image
not
available

<36601853780013

LIBANII SOPHISTAE

ORATIONES

ET

DECLAMATIONES

AD FIDEM CODICVM MSPT.

RECENSVIT

ET PERPETVA ADNOTATIONE

ILLVSTRAVIT

IO. IACOBVS REISKE.

VOLVMEN QVARTVM.

ALTENBVRGI

SVMTIBVS ET LITTERIS RICHTERI

MDCCLXXXXVII.



FED. MORELLVS LECTORI ΦΙΛΟΛΙΒΑΝΙΩι ΧΑΙΡΕΙΝ.

QVIDNI vero te, Lector beneuolens, gaudere et bene rem gerere optem; cui munus gratiſſimum et optatiſſimum adfero? πρᾶγμα δὲ τερπνότατον οὗ τις ἐρᾷ τὸ τυχεῖν. vides amores tuos? eccum Libanium Sophiſtam. agnoſcis? Non hunc, inquis, tantae molis, tam craſſum ac numeroſum; ſed Ferrarienſem macrum, μονόγλωττον, typorum maculis πιναρὸν, operarum mendis ſcatentem. vah! dolent adhuc oculi ex triſti illius inamoenae, carae tamen, editionis lectione. non diffiteor. at enim eas labes in Ferrar. Cod. comperimus; etſi is quem a clariſſimo et eruditiſſ. Senatore STE. TVRNEBO acceperamus, nonnullis in locis correctus et variis lectionibus auctus fuiſſet. at *ſic* Libanius *ille manus, ſic ora ferebat*; qualis hic Regius, Pariſienſis, bilinguis, προγυμνασματολογομελετοφόρος, *Languidáque Actaeo lumina rore leuans*. Cur regium vocas? nónne ex dedicatoria ſuperiore et hendecaſyllabis noſtris ſatis conſtat, plu-

res vetustos Codd. mnsc. ex Bibliotheca Reg. nobis suppeditatos fuisse a clariss. eius custodibus et moderatoribus? vnde tot noua praeexercitamenta et Declamationes, aliaque scripta, hactenus ἀνέκδοτα, desumpta sunt; exceptis Actionibus quibusdam, Demosthenis nomine praetextis, quarum exempla ex peruetusto Cod. mnsc. quem nobis liberaliter concessit C. V. Io. Veillart Reg. Cons. et Logorthota seu Corrector ordinarius in Rationum Reg. Camera. Estne aliud etiam discrimen praeter amplitudinem, quo Parisiensis hic Libanius ab illo differt? est. cuiusque nimirum scripti collocatio, quam εὐθημοσύνην ἀρίστην Hesiodus in ἔργοις, Xenophon in Oeconomico, et D. Augustinus in libris de ord. tantopere commendant. at in Declamationum serie ὕστερον πρότερον, praeposterusve ordo, vitio non vertitur; vbi nec temporum, nec personarum, a quibus habitae finguntur, vlla ratio haberi solet. esto. sed cuinam εὐτάκτῳ cuiusvis eruditi operis lucidus ordo displiceat? et doctrinae ordinem quis mente praeditus vnquam improbauit? Isocrates certe ludendum vtique esse vt serio agatur, non serio agendum vt ludatur, recte admonuit. Ideo praeludia προγυμνασμάτων, quae hactenus suppressa surreptaque Libanio fuerant, Suasoriis et controuersiis praeposuimus; eiusdem generis praexercitamenta, et Declamationes eiusdem argumenti coniunximus; ad memoriae et vsus expeditioris subsidium.

Quid

Quid in recensendis, castigandis emendandis et vertendis Graecis praestiterimus, tuum, hoc est, candidum, sincerum, ἐπιεικὲς erit iudicium. Atenim non solum ex Terentiani sententia, *Pro captu Lectoris habent sua fata libelli;* sed et pro eiusdem aequanimitate et εἰλικρινείᾳ. Ad quam virtutem ἀπαθῶς et modeste de eiusmodi in vertendis Graecis opera iudicandi comparandam, quia non parum facere videntur, quae a sanctissimo Hieronymo in praefatione versionis χρονικῶν Eusebianorum scripta sunt, hic apposita legere vel recognoscere forte non grauaberis.

Vetus iste disertorum mos fuit, vt exercendi ingenii causa Graecos libros Latino sermone absoluerent: et quod plus in se difficultatis habet, poëmata illustrium virorum addita metri necessitate transferrent. Vnde et noster Tullius Platonis integros libros ad verbum interpretatus est: Et cum Aratum iam Romanum hexametris versibus edidisset, in Xenophontis Oeconomico lusit. In quo opere ita saepe aureum illud flumen eloquentiae quibusdam scabris et turbulentis obicibus retardatur, vt qui interpretata nesciunt, a Cicerone dicta non credant. Difficile est enim alienas lineas insequentem non alicubi excidere. Arduum, vt quae in aliena lingua bene dicta sunt, eundem decorem in translatione conseruent. Significatum est aliquid vnius verbi proprietate, non habeo meum quo id efferam, et dum quaero implere sententiam, longo ambitu vix breuia spatia consumo. Accedunt hyperbatorum anfractus, dissimilitudines casuum, varieta-

tes figurarum. Ipſum poſtremo ſuum, et, vt ita dicam, vernaculum linguae genus, ſi ad verbum interpretor, abſurde reſonat: ſi ob neceſſitatem aliquid in ordine, in ſermone mutauero, ab interpretis videor officio receſſiſſe. Quod ſi cui non videtur linguae gratia interpretatione mutari, Homerum ad verbum exponat Latinum. Plus aliquid dicam, eundem in ſua lingua proſae verbis interpretetur, videbit ordinem ridiculum, et poëtam eloquentiſſimum vix loquentem. Quorſus iſta? videlicet vt non vobis mirum videatur, ſi alicubi offendimus, ſi tarda oratio aut conſonantibus aſperatur, aut vocalibus hiulca vel diuiſa ſit, aut rerum ipſarum breuitate conſtringitur, cum eruditiſſimi homines in eodem opere ſudauerint. etc.

Haec cum ita ſe habeant, et in leuibus ac protritis erraſſe etiam aliquando compertum ſit eos, qui iure columina quaedam literarum habiti ſunt: ingenuorum certe, aequorum atque eruditorum Lectorum fuerit, qua moderatione et verecunda libertate ſuos errores detegi vellent, eadem quoque alienos detegere, vt hac modeſtia duce, omni maledicentia exulante, artium vere ingenuarum ſtudia commodius honeſtiusque adiuuentur. Pro vero mihi conſtat hoc animo praeditos itaque affectos, ſi errores, quos humana parum cauit natura, in longo hoc opere animaduerterint, facile ei condonaturos, cui vt plurimum eodem die publice praelegendum, recitandum, domi docendum, interpretandum, dictandum, conferendi inter ſe vetuſti Codices mnſc. et excuſi; apparanda,

paranda, deſcribenda, recognoſcenda operarum exempla, ſpecimina legenda, et emendanda, inter alias domeſticas curas, fuerint. quae vero ἀσχολία occupatior? quid etiam potius cenſeretur ἀσχολίας ὑπέρτερον πρᾶγμα; Quare vno nomine omnes εὐγνώμονας καὶ ἐπιεικεῖς Lectores obſecro, obteſtor, et qua fas adiuro, vt non inuiti obſervationes, notas et ſecundas curas noſtras percurrant; quas operi praeponendas curaui; tametſi conciſiores contractioreſque ſint, ob praeproperam Bibliopolarum feſtinationem, quam voluiſſem. Quod ſi quid praeterea in quo peccaſſe videar (*Nam Romanus homo, tamenetſi res bene geſta eſt, Corde ſuo trepidat*) comiter monuerint, ſibi perſuaſum habeant, nihil mihi prius, antiquius, et optatius eſſe, quam vt id Apellis exemplo corrigam, et quod rectius rationique magis conſentaneum apparebit, amplectar. Equidem his pignoribus ἀξιοπίστοις et conditionibus aequiſſimis, Φιλολιβάνιε amiciſſime,

Mens mea cum tibi ſit iunctiſſima, iunctior eſſe
Expetit, et vinclo tecum propiore ligari.

Enimuero quae hic deſunt in Praeludiis, Declamationibus et diſſertationibus quaſi λοιπάδας τῶν λόγων, me tibi breui exſoluturum ſpero: idque non ſine foenore; adiectis et in vnum collectis ſermonibus ab eodem oratore nomine ſuo ſcriptis et habitis, pro re nata, vt caſuum varietas, temporum ratio, et ciuilium rerum ſtatus vſuſque poſce-

ſcebant; in quo genere ſunt panegyrici Impp. dicti; μονῳδίαι ſeu funebres orationes, et καταςάσεις, quibus epiſtolae ſexcentae accedent. Ad haec namque Deo iuuante, hac eadem forma cum verſione Latina edenda, cum Caſtore Pollux, hoc eſt vterque Morellus ſe accingit. Sed heus tu, vt e re tua eſt noſſe te ipſum, ſic tui quoque ſimiles, Αἰεὶ μὲν γὰρ ὁμοιον ἄγει θεὸς ὡς τὸν ὅμοιον. Sic igitur habeto, Φιλολιβανίους nec paucos eſſe nec plebeios, nec anguſticlauios tantum, ſed et auguſticlauios pleroſque, et Senatus primarii principes, et Reip. literariae λαμπαδούχους· nec noſtrates tantum, ſed et alios Φιλολόγους κοσμοπολίτας, qui mihi ad Libanianas arculas ſcrutandas et myrothecia exhaurienda, ac in Latium transferenda, autores, cohortatores, ἐργεπεἶκται fuerunt, σπεύδοντά περ ἔμπης ὀτρύνοντες, et admiſſo Suadae Pegaſo calcar addentes. Ex hoc cygneo numero fuit V. C. Ianus Gruterus Antverpienſis I C^torum^ eloquentiſſimus, et oratorum Iuris conſultiſſ. πολυγραφώτατος, cuius animi candorem ex eius ad me literarum Φιλικῶν fragmentis perſpicere eſt; quae εὐνοίας καὶ κοινωφελείας τεκμήρια tibi ſubiicere non cunctabor: tametſi in iis aliquid auribus meis et amicitiae potius quam veritati dederit, cum ita ſcripſit:

Cum ad vnguem factus videaris a Pallade et Gratiis, vt Graecis autoribus togam ſuam circumdes Latinam, in manu tua eſt demereri, imo vero deuincire tibi omnes Libanii ſtudioſos, illum a capite ad calcem conuertendo in Latinam linguam: quod

ipſum

ipſum ſane vel ſine voce a te petit orbis doctior; gnarus, neminem extare, cui ea prouincia proprie magis conuenire poſſit: quam a te dimittere voti minus compotem, non erit ſpero humanitatis tuae, quae pari fere paſſu cum eruditione ambulare ſolet.

Ex eiusdem ἀντεπιςαλτικῇ.

Nunc veniam ad tuas, ſignificoque gratiſſimam eſſe operam tuam poni in Libanio, iamque adeo oratoria eius ſpectare praelum. narro tibi, V. C. ex nullo autore comparaueris capiti tuo coronam minus immarceſſibilem. Itaque quantum poſſum fauſtis ominibus et acclamationibus adſto inſtoque, ac quaeſo vt pergas.

MONITVM DE LIBANII OBTRECTATORIBVS.

LIBANIVS in commentario *περὶ τῆς ἑαυτοῦ τύχης*, (quem Deo dante, caſtigatiorum Codd. ope, integriorem altero Tomo exhibebimus) de patriae ſuae celebritate, et proſapiae claritudine, his verbis ſcribit, quae obiter emendaui, *ἐν δὴ μεγίστῃ* [*τῇ τοῦ Ἀντιόχου πόλει*] *μέγιστον εἶναι συνέβη γένος τοὐμὸν, παιδείᾳ τε καὶ πλούτῳ καὶ χορηγίαις καὶ λόγοις.* *In maxima Antiochi ciuitate, genus meum contigit eſſe maximum, doctrina et opulentia et munificentia et facundia.* nihilominus ita Deos fortunae dona ſibi temperaſſe ait, vt neque *εὐδαιμονέστατος*, feliciſſimus, neque *ἀθλιώτατος*, infeliciſſ. fuerit. quin toto vitae curriculo expertus fuit, quam vere Salluſtius dixerit, *Viros interdum fortuna, ſaepe inuidia fatigat.* De obtrectatoribus autem ſuis quid ſenſerit, vtque ipſos partim ſpreuerit et neglexerit, partim excuſarit, ex quadam ipſius ad Euſtathium epiſtola colligere licet; quae quoniam perelegans et modeſtiae plena eſt, nec dum, quod ſciam, edita, a me nunc primum in *φιλοκάλων* gratiam publicatur et Latine vertitur, e mnſc. quem religioſiſſ. et eruditiſſ. R. P. AND. SCHOTTVS, e Societate IESV, mihi liberaliter conceſſit.

ΛΙΒΑΝΙΟΣ ΕΥΣΤΑΘΙΩι ΦΙΛΟΣΟΦΩι.

ΟἹ *λέγοντές με πλεῖστον ἀφεστάναι λόγων, ἐμοὶ μὲν ταυτὰ φθέγγονται. σοὶ δὲ ἀντιλέγουσι. ἐγὼ μὲν γὰρ οὐδεπώποτε ἐμαυτὸν ἡγησάμην ῥητορικόν· σὺ δ᾽ οὐδεπώποτέ με ἐπαύσω τοῦτο καλῶν. εἰ δὴ σὺ μὲν θεῖος· μάχονται δ᾽ ἐκεῖνοι τῇ ψήφῳ τῇ σῇ· τίνες ἂν εἶεν σκόπει. θαυμάζω δὲ αὐτῶν εἰ ἐμὲ μὲν ἡγοῦντο, τύχῃ μὲν ἠνθηκέναι πάλαι· πείρᾳ δὲ ἀπεσκληκέναι νῦν· αὐτοὶ δὲ ὑπ᾽ ἀφανείας πολλῆς νυνὶ σοβοῦντες, οὐκ οἴονται τύχῃ κεχρῆσθαι, τῇ μικρὸν ὕστερον ἀποπτησομένῃ. ἐμὲ δὲ οὐδὲν τούτων δύναται δάκνειν· εἰ δὲ ἤλγουν, εἶχον ὅθεν ἂν παραμυθίαν ἀγάγοιμι· πολλοῖς γὰρ ἐμοῦ βελτίοσι, τὰ τοιαῦτα ἐπέθετο σκώμματα, σοὶ καὶ σῷ διδασκάλῳ, καὶ τῷ ἐκείνου, καὶ ἔτι γε τῷ ἐκείνου. σὺ μὲν οὖν ὡς ἂν φιλοσόφων ὁ δοκιμώτατος, εὔχου τῇ Δίκῃ μεταβαλεῖν αὐτοῖς τοὺς τρόπους· ἐγὼ δὲ, ὡς ἄν τις τῶν ἀμαθῶν ὁ σκαιότατος, αἰτῶ τὴν αὐτὴν θεὸν, τοῖς ἴσοις αὐτοὺς διατηρῆσαι τρόποις.*

LIBANIVS EVSTATHIO PHILOSOPHO.

QVI *dictitant, me a dicendi arte absistere, idem mecum eloquuntur: tibi autem aduersantur. Etenim ego nunquam me dicendi magistrum reputaui; tu vero nunquam eo me nomine appellare desiisti. Atqui siquidem tu vir diuinus es, et illi suffragio tuo repugnant; qui nam sint considera. Equidem admiror in iis, si me fortuito quidem olim floruisse putent, sed nunc experimento exaruisse: cum ipsi prae superbia multa frementes, non autument fortuna vti, quae paulo post euolatura sit. at horum nihil pungere me potest: quod si id aegre ferrem, esset vnde consolationem ducerem. Nam multis me praestantioribus eiusmodi linguae sunt insidiatae, et tibi et doctori tuo, itemque illius magistri magistro. Quocirca tu, qui philosophorum clarissimus es, ora Dicen vt mores eorum commutet: at ego indoctorum imperitiss. eandem Deam obtestor, vt in iisdem moribus eos conseruet.*

Nunquid tantus orator, qui cum antiquis Atticis certabat et tam submisse de se sentiebat, meritissimo obtinuisse debuit, vt, quod idem Sallustius scribit, *vbi anima naturae cessit, demptis obtrectatoribus, ipsa se virtus magis magisque extolleret?*

FEDE-

FEDERICI MORELLI PROFESS.

REG. OBSERVATIONES, VAR. LECT. ET SECVNDAE CVRAE IN LIBANIANA EDITIONE GRAECOLAT.

ac primum in Progymnasmatis.

Monvimvs iampridem nostris ad Papinianas Syluas Notis, harum Libaniarum praeexercitationum selecta aliquot exempla Theoni cuidam Sophistae inconsulto nulloque autore tribnta fuisse, et sub eius nomine cum praeuia methodo praeceptorum, et docta fidaque Io. Camerarii versione prodiisse. Hanc rem quasi furtiuam, cuius perpetua ex XII. Tabb. autoritas, vero domino vetustissimi Cod. Regii fide comprobato, et velut ex iure manu consertum repetenti restituimus. editione διγλώττῳ Germanica recentata, recognita, emendata, priscorum mss. regiorum ope. vnde etiam plura et vberiora quae deerant suppleuimus, et Latine dilucide et fideliter potius quam concinne et eleganter conuertimus.

Praeexercitationibus quasi exordium et praeludium, Fabula praeit. De variis fabularum generibus, Philostratus in Imaginib. Idem lib. v. de vita Apoll. narrat vt Mercurius sapientiae muneribus cunctis aliis cultoribus collatis, Aesopo (cuius forte oblitus erat, tametsi lacte et fauo, myrtis, rosis, et violis suauissimis muneribus ab eo donatus esset.) μυθολογίαν dono dederit, λοιπὴν ἐν σοφίας οἴκῳ οὖσαν· Ἔχε, εἰπών, ἃ πρῶτα ἔμαθον. vbi Fabulam Sapientiae ministram et quasi aedituam, ac prima Mercurii doctrinae rudimenta nuncupat. Igitur primum eius exemplum est Aesopicum a Planude monacho in Aesopi vita relatum, quam parens ille fabularum, a Croesi legatis accersitus, Samiis narrauerat, his verbis; καθ' ὃν χρόνον ὁμόφωνα ἦν τὰ ζῶα, πόλεμον οἱ λύκοι τοῖς προβάτοις συνῆψαν· τῶν δὲ κυνῶν συμμαχούντων τοῖς θρέμμασι καὶ τοὺς λύκους ἀποσοβούντων οἱ λύκοι πρεσβευτὴν ἀποστείλαντες ἔφασαν τοῖς προβάτοις, εἰ βούλοιντο βιοῦν ἐν εἰρήνῃ, καὶ μηδένα πόλεμον ὑποπτεύειν τοὺς κύνας αὐτοῖς ἐκδῶναι. τῶν δὲ προβάτων ὑπ' ἀνοίας ἐκδεδωκότων, οἱ λύκοι τούς τε κύνας διεσπάραξαν, καὶ τὰ πρόβατα

βατα ῥᾶστα διέφθειραν. quae cum a Libanianis non re, sed verbis tantum discrepent; quid opus est eandem cantilenam occinere?

Secundum exemplum miror non succurrisse μυθοραψῳδοῖς in clausula haec verba, καὶ σὺ ὦ παῖ. loco ἐπιμυθίου posita sunt: cui affabulationi respondet admonitio Prodici in Herc. institutione apud Xenoph. lib. II. ἀπομνημον. et monitum illud patrium apud poëtam Lat.

Disce puer virtutem ex me, verumque laborem.

Tertium exemplum de gracculo memoratur a Greg. Naz. inuectiua in Iulian. parabaten. et a Theophyl. in Quaest. natural. lib. ἐκ ἀλλοτρίῳ θέμις κόσμῳ σεμνύνεσθαι, καθάπερ τις μυθικὸς κολοιὸς. itemque in epistola XXXIV. Horatio I. Epist 3. cornicula magis ad versum fecit quam gracculus,

Ne, si forte suas repetitum venerit olim
Grex auium plumas, moueat cornicula risum
Furtiuis nudata coloribus. —

Phaedrus Aug. libertus, lib. I. Fab. III. de Gracculo superbo et Pauone,

Ne gloriari libeat alienis bonis,
Suoque potius habitu vitam degere,
Aesopus nobis hoc exemplum prodidit.
Tumens inani Gracculus superbia,
Pennas Pauoni, quae deciderant, sustulit,
Seque exornauit: deinde contemnens suos,
Immiscuit se pauonum formoso gregi.
Illi impudenti pennas eripiunt aui,
Fugantque rostris. male multatus Gracculus
Redire maerens coepit ad proprium genus,
A quo repulsus tristem sustinuit notam.
Tum quidam ex illis quos prius despexerat:
Contentus nostris si fuisses sedibus,
Et quod natura dederat, voluisses pati,
Nec illam expertus esses contumeliam,
Nec hanc repulsam tua sentiret calamitas.

De vsu fabul. Plutarch. de Iside et Osir. et in conuiuio Sap.

Argumentum prioris Chriae et Apophthegma Alexandri, Libanio accepta feruntur in Eclogis ex Antonio et Max. ἐρωτηθεὶς ὑπό τινος, ποῦ τοὺς θησαυροὺς ἔχεις, δείξας τοὺς φίλους, ἔφη, ἐν τούτοις. Indidem e Chrysostomiis affertur, κἂν μυρίους θησαυροὺς εἴποις, οὐδὲν ἀντάξιον γνησίου φίλου εὕροις. Socrates in disputatione, quae extat apud Xenophontem II. ἀπομνημον. amicum

κτῆμα

κτῆμα παμφορώτατον, possessionem feracissimam appellat. adisis autoris nostri dissertationem περὶ φίλων.

Ἅπασα μὲν φιλοσοφία τίμιον. Hoc II. Chriae exordium persimile est Aristotelis Theophrastive prooemio τῦ περὶ κόσμου, quod eiusmodi est: Πολλάκις μὲν ἔμοι γε θεῖόν τι καὶ δαιμόνιον ὄντως χρῆμα, ἡ φιλοσοφία ἔδοξεν εἶναι.

οὐ γὰρ μὴ συγ. Lege bono sententiae, et mnsc. adstipulante, ἢ γὰρ δὴ μὴ σ.

παιδεύειν ἐπιχειροῦντι τ. Schedae R. ἐπιχειροῦντα, τῦτον π. rectius.

ὃν εἰσφέρει τ. eaedem sch. habent, εἰς ὃν φέρει.

κἂν φαύλως αὐτῷ ᾖ τὰ πεπραγμένα, ἀγ. idem C. R. ᾖ ταῦτα παρεσκευασμένα. atque haec germana videtur lectio.

φίλ.ις, ἐπιτήδειος κληθ. alter C. R. ἐπιτήδειος δὲ κληθῆναι. quod non incommode La. conuerteris. *anne opus est vt amicus comparetur, et vocetur necessarius? quis non doctum expetat?*

παρόντων δὲ θαῤῥοῦσι. al. C. R. παρόντας δ.

εἰ μὲν ὑπὲρ ἀδ. in al. C. R. apte inseritur, γάρ. εἰ μὲν γὰρ ὑ.

τοὺς δὲ τῆς Δημ. Idem C. τὰ δὲ τῆς Δ.

καὶ πάλιν ὅπερ Ἰσοκρ. Legitur ibid. Ἡσίοδος τραχεῖαν, τῦτο Ἰσοκράτης πικράν. verbis traiectis mens eadem manet.

IN MEDICI VENEFICI LOCVM COMMVNEM.

μεγίςῳ δὲ ἡμᾶς ἐδωρήσαντο τῇ τῆς ἰατρικῆς τέχνης δόσει. Papinius in Soteriis pro Rutilio Gal. de arte med.

Hinc altis gaudens est aggredienda facultas.

Greg. Nyssenus ad Eustathium περὶ τῆς ἁγίας τριάδος. initio: Ἐςι μὲν πᾶσιν ἡμῖν τοῖς τὴν ἰατρικὴν μετιοῦσι, φιλανθρωπία τὸ ἐπιτήδευμα. καί μοι δοκεῖ τῶν κατὰ τὸν βίον σπουδαζομένων ἁπάντων ὁ τὴν ἡμετέραν προτιθεὶς ἐπιςήμην, ἐπιτυχεῖν ἂν τῆς πρεπούσης κρίσεως, καὶ μὴ διαμαρτεῖν τῦ προσήκοντος. εἴπερ τὸ πάντων προτιμότατον ἡ ζωὴ φευκτόν ἐςι καὶ ἐπώδυνον, ἐὰν μή τις μεθ᾽ ὑγείας ταύτην ἔχῃ. ὑγείας δὲ χορηγὸς ἡ ἡμετέρα τέχνη. Haec hactenus ἀνέκδοτα, obiter castigata, sic interpretor: *Est profecto vobis omnibus qui medendi artem exercetis, praecipuae curae et studio benignitas. ac mihi sane videtur qui scientiam vestram omnibus seriis vitae occupationibus anteponit, recto iudicio praeditus, nec a decoro aberrasse: quandoquidem vita, quae omnibus aliis rebus praefertur, fugienda est, et dolori succumbit; nisi quis ea cum sanitate potiatur. sanitatis vero administra est ars vestra. etc.* Dio Chrysost. orat. 38. ad Nicom. pag. edit. nostrae 471. τὴν ὑγείαν ἐπιςάμενοι μέγιςον οὖσαν

τῶν ἀνθρωπίνων ἀγαθῶν, ὅμως αὐτῇ πολλάκις καθ' ἡμῶν ἐπιβουλεύομεν. *quamuis sciamus sanitatem humanorum bonorum esse maximum; ei tamen saepe contra nos ipsos insidias struimus. etc.*

ποιεῖται παῖδα ὁ Ἀπόλλων Ἀσκ. vt ambiguum sit τὸ ποιεῖσθαι παῖδα, de eo, qui procreat, et de eo, qui ascicit et adoptat, qui proprie dicitur εἰσποιεῖσθαι. hic tamen agitur de Apolline, qui ex Coronide procreauit Aesculapium, per quem medicam artem omnibus suis numeris absolueret. hic etiam eadem illa nostra coniectura nitor, qua melior nondum succurrit: cum ei concinat Pindarus, apud quem Pythion. III. Epod. II. Apollo Aesculapium suum — πόρεν Κενταύρῳ, διδάξαι Πολυπήμονας ἀνθρώποισιν ἰᾶσθαι νόσους. idemque apud Statium in iisdem Soteriis;

— hic mecum Epidauria proles,
Ingentem recreare virum tentemus adorti.
— has vltro laudabit Iuppiter artes.

hic temperare non possum, quin obiter Homericum hymnum in Apoll. mendo liberem eo grauiore, quod tenuitate sua lectorum oculos, et interpretum mentem fugiebat.

Ἠέ σ' ἐνὶ μνηστῆρσιν ἀείδω καὶ φιλότητι,
Ὁππόσ' ἀνωόμενος ἔκιες Ἀζαντίδα κούρην,
Ἴσχυ' ἅμ' ἀντιθέῳ Ἐλατιονίδῃ εὐίππῳ.

scribo ἔκαες, non ἔκιες. *adussisti*, non *adiisti*. Apollo Coronidis cum Ischy ξενίαν κοίταν ἄθεμίν τε δόλον (vt adulterium Pind. ibidem vocat) luis incendio februauit. Ἴσχυ' pro Ἴσχυϊ glama fuit in oculis interpretis, qui ex Heroe Ischy verbum finxit ab ἰσχύω. verto, *Cum Ischy Diis pari.*

πρὸς γῆρας ἀφικνοῦντο. Homerus, ἵκετο γήραος οὐδόν. idem Diis τὸ ἀγήρων καὶ ἄνοσον tribuit, vt Plato in Tim. Mundo, vbi caussas easdem facit morborum et senectutis, quae Comico Lat. *ipsa per se morbus est.* νόσους γῆράς τε ἐπάγοντα, φθίνειν ποιεῖ.

ἐμέλησε τοῦ γένους. ambigue dictum: de genere humano, an de genere Asclepiadarum, qui mox dicuntur βέλτιστοι περὶ τὴν τέχνην.

τῶν ἰατρευόντων εἷς. Auro contra non cara sunt haec Medicinae dictata: pro forib. certe ἰατρείων marmori auroque insculpenda; imo Medicorum pectoribus alte figenda. et cum Hippocratico Iureiurando sancte obseruanda colendaque. cuius capita istis consentanea ac probe germana sunt haec, Διαιτήμασι χρήσομαι ἐπ' ὠφελείῃ καμνόντων, κατὰ δύναμιν καὶ κρίσιν ἐμήν· ἐπὶ δηλήσει δὲ καὶ ἀδικίῃ εἴρξειν. οὐ δώσω δὲ οὐδὲ φάρμακον οὐδενὶ αἰτηθεὶς, θανάσιμον, οὐδὲ ὑφηγήσομαι ξυμβολίην τοιήνδε. *Victus regulam aegrotis conducibilem, pro facultate iudicioque meo, adhibebo; eosque omni noxia et iniuria prohibebo. Neutiquam autem cuiusquam*

quam rogatu, medicamentum exitiosum vlli porrigam: neque tam flagitiosi consilii cuiquam autor ero. Summa vero est, ἁγνῶς δὲ καὶ ὁσίως διατηρήσω βίον τὸν ἐμὸν, καὶ τέχνην τὴν ἐμήν. *Integrum, castam, scelerisque puram vitam artemque meam* (perperam quidam *aetatem* vertunt) *conseruabo.* His adamussim obseruatis, Ἰητρικὴ τεχνέων πασέων ἐστὶν ἐπιφανεστάτη.

τῶν πενθόντων· τὸ πλῆθος ἀκ. sic interpungendum, τῶν πενθόντων τὸ πλῆθος· ἀκ.

ἄποροι δὲ τῆς τέχνης· ἐνδ. Asterismum indicem loci mendi suspecti in versione Lat. inserui. itaque haec conuerti, vt si Graece legeretur, ἄποροι δὲ καὶ ἐνδεεῖς ἰατροὶ τῆς. si quidem inopes consilii et egentes aeris sunt artifices, quorum ars suspecta et despecta est. an eadem mens est Pindari in his?

— ἐμοὶ δ' ἄπορα γαστρίμαργον Μακάρων τιν' εἰπεῖν. sequitur vtique ἀκέρδεια. an haec tantum γνησία verba sunt, ἄποροι δὲ ἰατροὶ τ. τ. in reliquis subolet glossema cum battologia.

CONTRA TYRANNVM.

Εἶδεν, ὦ γῆ καὶ ἥλιε, πρὸς τὰ μετέωρα. dictum figurate, et signanter de tyrannidem affectante, εἰδέναι εἰς τὰ μετέωρα, *in editiora vrbis loca, et arces intueri.* vnde paulo post de tyr. dominante arce occupata, ἀπὸ τῆς ἀκροπόλεως ἰσχύων. *arcis rerumque potitus.* Thucydides lib. III. vtrumque iunxit, ἐς τὴν ἀκρόπολιν καὶ μετέωρα τῆς πόλεως καταφεύγει· Tragica exclamatio, ὦ γῆ καὶ ἥλιε ad grauitatem πάθους, saepe postea in Declamationibus adhibita ob autore nostro.

AD ELOGIVM VLYSSIS.

Iliadis et Odysseae ἐπιτομὴ miro artificio in hoc et sequenti Encomio includitur.

καὶ τῶν ὑπὲρ τῆς Ἑλένης ὅρκων. Vlyssem autorem fuisse iurisiurandi, cuius religione se Graeciae principes pro Helenae eiusque sponsi legitimi auxilio obstrinxerant, ad procorum dissidium vimque arcendam, Apollodorus etiam lib. III. Biblioth. luculentum hoc testimonium adfert, τῶν μνηστευομένων ὁρῶν τὸ πλῆθος Τυνδάρεως, ἐδεδοίκει μὴ κριθέντος ἑνὸς στασιάσωσιν οἱ λοιποί. ὑποσχομένου δὲ Ὀδυσσέως, ἐὰν συλλάβηται πρὸς τὸν Πηνελόπης αὐτῷ γάμον, ὑποθέσθαι τρόπον τινὰ, δι' οὗ μηδεμία γενήσεται στάσις. ὡς ὑπέσχετο αὐτῷ συλλήψεσθαι ὁ Τυνδάρεως, πάντας εἶπεν ἐξορκίσαι τοὺς μνηστῆρας βοηθήσειν, ἐὰν ὁ προκριθεὶς νυμφίος ὑπὸ ἄλλου τινὸς ἀδικῆται περὶ τὸν γάμον·

ἀκούσας

ἀκούσας δὲ τοῦτο Τυνδάρεως, τοὺς μνηστῆρας ἐξορκίζει καὶ Μενέλαον μὲν αὐτὸς αἱρεῖται νυμφίον· Ὀδυσσεῖ δὲ παρὰ Ἰκαρίου μνηστεύεται Πηνελόπην. haec quoque ad Elogium Vlyssis illustrandum faciebant.

IN AGRICVLTVRAE ENCOMIVM.

Τὰ περὶ γῆν παιδεύματα, interpretor *disciplinam ruris*, ex L. Iun. Columella in praefatione lib. I. de re rust. *saepe mecum retractans ac recogitans, quam turpi consensu deserta exoleuerit DISCIPLINA RVRIS.* Plinius lib. XVII. cap. III. vocat *Praecepta de cultura agri.* μέγα τε καὶ ἀγ. Legi posset, μέγα τι. Plinius loco laudato, *De cultura agri praecipere PRINCIPALE fuit etiam apud exteros. Siquidem et Reges fecere. etc.*

ἀκούσας * γάρ. In codice Reg. vetustissimo et a praepete notarum ministro exarato, quo vnico sumus vsi, τὸ ἀκούσας vt edidimus compendiarie scriptum est. quod cum sit ἀνακόλουθον, coniecimus reponendum, ἤκουσας vel ἠκούσαμεν. Quod autem hic Minerua, apud Tibullum, lib. I. Eleg. X.

— Pax *candida primum Duxit araturos sub iuga curua boues.*

hoc ita Graece olim expressimus in metaphrasi illius Elegiae,

— Εἰρήνη ἀγαυὴ Ἦγεν ἀρωσομένους πρὸς ζυγὰ λοξὰ βόας.

Plinius aliter lib. VII. cap. VI. *Bouem et aratrum Buzyges Atheniensis; vt alii Triptolemus.* Sed quis non videt Buzygem fictitium esse? ὅτι βοῦν ὑπὸ ζυγὸν ἤγαγεν.

τὴν τῆς ἀμπέλου χάριν. Varro in praeconio vini,

Vino nihil quidquam cluet iucundius;
Hoc hilaritatis dulce seminarium.

In oraculis sacris, Iudicum cap. IX. in Parabola, quam Ioathan Sichimitis proponit de electione Regis arborum. εἶπεν ξύλοις ἄμπελος, Ἀφεῖσα τὸν οἶνόν μου, τὴν εὐφροσύνην τῶν ἀνθρώπων, πορευθῶ ἄρχειν τῶν ξύλων; In eadem notione sumitur εὐφροσύνη apud Hom. Ody. IX.

Οὐ γάρ ἔγωγέ τι φημὶ τέλος χαριέστερον εἶναι,
Ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα.

Sequitur enim mox, μέθυ δ᾽ ἐκ κρητῆρος ἀφύσσων.

Οἰνοχόος φορέῃσι, καὶ ἐγχείῃ δεπάεσσι.

duntaxat, ait idem Varro, *Hoc continet coagulum conuiuia.* Allusum porro hic videtur ad Metrodori Graeci Epigrammatographi vetus et memorabile dictum, — ἐν δ᾽ ἀγροῖς φύσιος χάρις.

Est in agris rerum Naturae summa voluptas.

Quod Iulianus alter epigrammatogrum non inscite expressit hoc modo, Ἀγρὸς τέρψιν ἄγει. *Laetitiam dat ager.* Virgilius I. Aeneid.

Adsit laetitiae Bacchus dator.

Vite (inquit Cato M. apud Tullium) *quid potest esse cum fructu laetius, tum aspectu pulchrius?* forte an hinc apud Graecos ἡμερίδος nomen obtinuit, quod exprimit Senarium priscum, *Vites laetificae pampinis pubescere.* Ceterum haec et alia rustica Deorum munera pulchre complexus est Nonnus Panopolitanus lib. XII. Διονυσιακῶν, hoc oraculari tetrasticho:

Φοίβῳ Ζεὺς ἐπένευσεν ἔχειν μαντώδεα δάφνην,
Καὶ ῥόδα φοινίσσοντα ῥοδόχροϊ Κυπρογενείῃ.
Γλαυκὸν Ἀθηναίῃ γλαυκώπιδι θαλλὸν ἐλαίης,
Καὶ στάχυας Δήμητρι, καὶ ἡμερίδας Διονύσῳ.

quae totidem versibus Lat. reddidimus,

Fatidicam Phoebo laurum Pater annuit altus;
Purpureasque rosas tibi formosissima Cypris:
Paciferaeque oleae ramum tibi caesia Pallas,
Et Cereri fruges, laetas vitesque Lyaeo.

ἐπιστήμονες εἶναι τῶν ἄστρων.) Hic obliteratus, luxatus et lacer est codex Reg. nec in his scopulis, — *alba nautis stella refulsit.* Si quis tamen est coniecturae locus, legerem, σοφίας ἐπιστήμονας εἶναι δεῖ τῶν ἄστρων. Aristot. lib. XII. primae philoso. οἰκειοτάτη φιλοσοφίας τῶν μαθηματικῶν ἐπιστημῶν, ἡ ἀστρολογία. De hac caelesti cura, et diuinitate, Plinius lib. 18. cap. 24.

ἀναμιμνησκέτω δὲ καὶ τῆς Τριπτολέμου διφρείας.) Sophoclem in fabula Triptolemo laudat Plinius eiusdem lib. cap. 7. Apollodor. lib. 1. Bibl. Τριπτολέμου δίφρον vocat, non διφρείαν. vbi rem totam aperit. et idem Nonn. lib. XII. de Eleusiniis,

Τριπτολέμοιο γεγαῶτες ἀφ' αἵματος, ὅς ποτε Δηοῦς.
Δίφρον ἐχιδνήεντα δι' ἠέρος ἡνιοχεύων,
Στικτὰ φερεσταχύων ἐπεμάστιε νῶτα δρακόντων.

Triptolemi claro creti de sanguine; currum
Qui serpentigerum Cereris vago in aere ducens
Liuida spiciferorum agitabat dorsa draconum.

AD ENCOMIVM IVSTITIAE.

QVAE Libanius in hac aureola dissertatiuncula de Iustitia Diis amica, et Iouis patris παρέδρῳ praedicat, ex his Hesiodi petita sunt,

Ἡ δέ τε παρθένος ἐστὶ Δίκη Διὸς ἐκγεγαυῖα,
Κυδνή τ' αἰδοίη τε θεοῖς οἳ Ὄλυμπον ἔχουσι.
Καί ῥ' ὁπότ' ἄν τίς μιν βλάπτῃ σκολιῶς ὀνοτάζων,
Αὐτίκα παρ' Διῒ πατρὶ καθεζομένη Κρονίωνι
Γηρύετ' ἀνθρώπων ἄδικον νόον.

vel

vel ex istis Orphicis.

Ὄμμα Δίκης μέλπω πανδερκέος, ἀγλαομόρφου.
Ἣ καὶ Ζηνὸς ἄνακτος ἐπὶ θρόνον ἱερὸν ἵζει,
Οὐρανόθεν καθορῶσα βίον θνητῶν πολυφύλων,
Τοῖς ἀδίκοις τιμωρὸς, ἐπιβρίθουσα δίκαια,
Ἐξ ἰσότητος ἀληθείας συνάγουσ᾽ ἀνομοῖα.
Πάντα γὰρ ὅσσα κακαῖς γνώμαις θνητοῖσιν ὀχεῖται,
Δύσκριτα βουλομένοις τὸ πλέον βουλαῖς ἀδίκοισι,
Μόνη ἐπεμβαίουσα δίκην ἀδίκοις ἐπεγείρεις,
Ἐχθρὰ τῶν ἀδίκων· εὔφρων δὲ σύνεσσι δικαίοις.
Ἀλλὰ θεὰ μόλ᾽ ἐπὶ γνώμαις ἐσθλαῖσι δίκαια,
Ὡς ἂν ἀεὶ βιοτῆς τὸ πεπρωμένον ἦμαρ ἐπῆλθοι.

En etiam Claudiano,

Virgo Dice frontem limbo velata pudicam.
Pax auibus quacunque volat, rabiemque frementes
Deposuere ferae: laetatur Terra reuerso
Numine, quod prisci post tempora perdidit auri.

Quam iure Theodorus Mallius apud eundem ita affatur;

— tu prima hominem syluestribus antris
Elicis, et foedo detergis secula victu.
Te propter colimus leges, animosque ferarum
Exuimus. nitidis quisquis te sensibus hausit,
Irruet intrepidus flammis; hiberna secabit
Aequora, consertos hostes superabit in armis:
Ille vel Aethiopum pluuiis solabitur aestus:
Illum trans Scythiam vernus comitabitur aër.

Quibus quidni alterum etiam Orphei hymnum castigatiorem εἰς δικαιοσύνην conferendum subiiciam?

Ὦ θνητοῖσι δικαιοτάτη, πολύολβε, ποθεινή,
Ἐξ ἰσότητος ἀεὶ, θνητοῖς χαίρουσα δικαίοις,
Πάντιμ᾽, ὀλβιόμοιρε, δικαιοσύνη μεγαλαυχὴς,
Ἣ καθαραῖς γνώμαις αἰεὶ τὰ δέοντα βραβεύεις,
Ἄθραυστος τὸ συνειδός· ἀεὶ θραύεις γὰρ ἅπαντας,
Ὅσσοι μὴ τὸ σὸν ἦλθον ὑπὸ ζυγὸν, ἀλλ᾽ ὑπὲρ αὐτοῦ
Πλάστιγξι βριαραῖσι παρεγκλίναντες ἀπλήστως.
Ἀστασίαστε, φίλη πάντων, φιλόκωμ᾽, ἐρατεινὴ,
Εἰρήνη χαίρουσα, βίον ζηλοῦσα βέβαιον.
Αἰεὶ γὰρ τὸ πλέον στυγέεις, ἰσότητι δὲ χαίρεις.
Ἐν σοὶ γὰρ σοφίης κ᾽ ἀρετῆς τέλος ἐσθλὸν ἱκάνει.

De Minoe consentanea scribuntur hic iis, quae ab Homero canuntur Odyss. Λ.

Ἔνθ᾽ ἤτοι Μίνωα ἴδον Διὸς ἀγλαὸν υἱὸν,
Χρύσεον σκῆπτρον ἔχοντα, θεμιστεύοντα νεκύεσσι,

Ἥμενον. οἱ δέ μιν ἀμφὶ δίκας εἴροντο ἄνακτα
Ἥμενοι ἑστεῶτες τε κατ' εὐρυπυλὲς Ἄϊδος δῶ.
Quaesitor Minos vrnam mouet: ille silentum
Conciliumque vocat, vitasque et crimina discit.

Virgil. VI. Apollodor. lib. III. Biblioth.

Aeacum porro ὁμοπάτριον ἀδελφὸν Minois vocat, quod hunc Iuppiter ex Europa, illum ex Aegina susceperit. et quod ait πλέον ἴσχυσε τῆς κοινῆς τῶν Ἑλλήνων ἀτυχίας, ad pietatem refero, qua insignem Aeacum fuisse perhibet Apollodorus eod. lib. ἦν δὲ εὐσεβέστατος ἁπάντων Αἰακός. quam vero Liban. ἀτυχίαν dicit, et τὸν ἐκ τῶν αὐχμῶν λιμὸν, idem Apollod. ἀφορίαν καὶ ἀκαρπίαν appellat. ac θεήλατον ξυμφορὰν fuisse, vt Euripides nuncupat, *ira caelitum inuectum malum*, ex eiusdem autoris historia περὶ θεῶν constat: cum Graecia dira sterilitate premeretur, Pelopis causa, qui Stymphalum Arcadum regem sibi infestum per simulatum foedus interfectum discerpserat. Deorum responsis Graeciam tantis aerumnis ereptum iri renunciatum est, si Aeacus pro illa preces funderet. quo per Aeacum facto Graecia herois pietate liberata est annonae penuria. Ad haec θεωρίαν hic nominat legationem sacram ad Deum consulendum, et cum eo aliqua de re nomine publico agendum. quo munere qui fungebantur, et ad consulendum oraculum delegebantur, θεωροὶ vocabantur: itidem qui donariis ad solennia sacrificia perferendis committebantur. Caeterum ex his patet vere Theognidem cecinisse,

Ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή ἐστι.

Quod ad extremum ait iustum ex hac vita migrare cum laetitia lubentiaque, ob pulchram illam ἀποδημίαν, id e Socraticis chartis depromptum est, Platone in Phaedone, Axiocho, et παραμυθητικοῖς. Et hoc elogium Statius Pollio tribuit in Surrentino.

— dubio te non in turbine rerum
Deprendet suprema dies; sed abire paratum
Ac plenum vita. —

quinetiam quod fingit κήπους καὶ ἄνθη καὶ αὔρας ὀνειροπολοῦντα, hortos et flores aurasque somniantem; id ab his Statianis in Epicedio in Glauciam Melioris, non abludit:

— quae munera mollis
Elysii, steriles ramos, mutasque volucres
Porxit, et obtuso pallentes germine flores.

Quae mox sequuntur, ἀπελθόντος χαίρει τοὔνομα, καθάπερ Ἀριστείδῃ τῷ Λυσιμάχου, mihi mendi merito suspecta sunt; itaque scribendum coniicerem, χαίρει τοὔνομα ἀκούων, καθάπερ Ἀριστείδου. qua coniectura nescio an εὐστόχῳ, interpretatio nostra nititur.

Aristides

Ariſtides certe iure locum inter iuſtos principes Athenis obtinuit; adeo vt omnes in illum oculos conuerterint, cum hi Senarii de Amphiarao ex Aeſchuli Septemthebana in theatro pronunciarentur,

Οὐ γὰρ δοκεῖν δίκαιος, ἀλλ' εἶναι θέλει,
Βαθεῖαν ἄλοκα τῶν φρενῶν καρπούμενος,
Ἀφ' ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα.

Quos Trimetris Latinis totidem noſter Chriſtianus Florens olim repoſuit:

Nam ſe eſſe iuſtum, non videri poſtulat,
Altumque ſulcum mentis optimae colit,
Laudanda multa conſilia vbi pullulent.

Haec etiam pia ſunt, nullumque nefas ſuadent, imo ad oracula accedunt, *μόνοις τοῖς δικαίοις καλὰ μὲν τὰ τῇδε, καλλίω δὲ τὰ ὑπὸ γῆν.* iuſtorum conditio, dum viuunt, praeclara eſt, ſed poſt obitum praeſtantior:

Laus et ſors maior ſequitur tellure repoſtos.

B. Ioannes Chryſoſtomus concione prima in Lazarum, ſub finem, his conſentanea ſcribit, de iuſtorum et improborum ſtatu ac mercede poſt obitum: *τὸ λέγειν, ἐὰν μὲν ἀπελθόντες οἱ πονηροὶ κολασθῶσι· καὶ μὴ σφόδρα πεπεικέναι ἑαυτοὺς ὅτι κολασθήσονται, πάντως ἀπιστούντων ἐστὶ καὶ διαμφισβητούντων. τὸ δὲ, εἰ καὶ τοῦτο συμβαίη (ὅπερ οὖν καὶ συμβήσεται) νομίζειν τῆς ἴσης αὐτοὺς τοῖς δικαίοις ἀνταποδόσεως ἀπολαύειν, τοῦτο ἐσχάτης ἀνοίας.* Duntaxat ſummus ille *δικαιοκρίτης καὶ ἀθλοθέτης,*

Offenſus prauis, dat palmam et praemia rectis.

IN BOVIS ENCOMIVM.

Ἡ *μὲν γὰρ τούτους ζευξαμένη.* Nonnus v. Dionyſ. de Oncaea Thebarum *ἑπταπύλων* porta occidentali; a bouis mugitu dicta, ideoque Lunae dicata,

Ὀγκαίην ἐπένειμε πύλην γλαυκώπιδι μήνῃ,
Ἐκ βοὸς, ὀγκηθμοῖσι φερώνυμον· ὅττι καὶ αὐτὴ
Ταυροφυὴς κερόεσσα βοῶν ἐλάτειρα σελήνη,
Τριπλόον εἶδος ἔχουσα πέλει Τριτωνὶς Ἀθήνη.

hunc vatem, vt coepi, verſione metrica proſequar.

Oncaeam tribuit portam tibi caeſia Luna,
A Tauri dictam mugitu. ſcilicet ipſa
Cornibus inſignita boues agitando vagaris,
Et triplici facie Tritonia Pallas haberis.

ἐκεῖ δὲ ἥψαντό τινες π. Vlyſſis ſocii, Odyſſ. 1.

Νήπιοι οἳ κατὰ βοῦς ὑπερίονος Ἠελίοιο

 Ἤσθιον·

Ἠέλιον· αὐτὰρ ὁ τοῖσιν ἀφείλετο νόστιμον ἦμαρ.

Dementes, nitidi Solis qui armenta vorarunt;
Nemo ideo patrias boum remeauit ad oras.

καὶ στέφανος μὲν οὐρανῷ τὰ ἄστρα. Homeri versus 485. Iliad. Σ. designatur,

Ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται.
Hic etiam astra, coronantur quis templa polorum.

μὴ γὰρ ἀμνημονείτω τις τῆς Αἴαντος, ἣν ὁ Τύχιος ἐδημιούργησε. De Tychio fabro clypei septemplicis Aiacis, idem poëta Iliad. H.

Αἴας ἐγγύθεν ἦλθε φέρων σάκος ἠΰτε πύργον,
Χάλκεον ἑπταβόειον, ὅ οἱ Τύχιος κάμε τεύχων
Σκυτοτόμων ὄχ' ἄριστος, Ὕλῃ ἔνι οἰκία ναίων.

Accedat his pro mantissa corollariove Philae Iambographi Tetrastichum encomiasticum de Boue non inscitum nec infacetum,

Πάγχρηστον ἡ βοῦς, καὶ κομίζει φορτία,
Καὶ τοὺς γεωργοὺς ὠφελεῖ πρὸς τοὺς πόνους,
Ἡ δὲ γάλα ποιεῖ, καὶ τραπέζας ἀρτύει·
Μετὰ δὲ τελευτὴν καὶ μελίττας ἐξάγει.

hoc sic malim vertere, quam vt vulgus interpretum;

Bos commoda est omnes ad vsus: sarcinas
Trahit, colonorum labores adiuuat;
Lac porrigit, mensas et instruit dape.
Educit etiam apes suo e cadauere.

IN VITVPERIVM PAVPERTATIS.

Πολλοῖς μὲν ποιηταῖς. Ex Homero, Hesiodo, Theognide Inopiae accusatore acerrimo, et Pindaro, multa huc translata sunt.

Ὅμηρος λέγει χρυσοῦν εἶναι τοῖς θεοῖς τὸ δάπεδον. In exorsu Iliad. Δ. non pauimenti tantum, sed aurearum etiam paterarum fit mentio.

Οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο
Χρυσέῳ ἐν δαπέδῳ, μετὰ δέ σφισι πότνια Ἥβη
Νέκταρ ἐῳνοχόει· τοὶ δὲ χρυσέοις δεπάεσσι
Δειδέχατ' ἀλλήλους. —

Ῥοδίοις, φησὶ Πίνδαρος, ἐξ οὐρανοῦ ῥυῆναι χρυσόν. Locus est apud Pindarum Olympionic. Od. VII. Epodo II.

— ἔνθά ποτε
Βρέχε θεῶν βασιλεὺς ὁ μέγας χρυσαῖς νιφάδεσσι πόλιν.

et Antistr. III.

— κείνοισι μὲν ξαν — θὰν ἀγαγὼν νεφέλαν
Πολὺν ὗσε χρυσόν.

— *Rhodiis*

— *Rhodiis scilicet auream*
Conflauit nebulam Iuppiter, et graues
Coelo effudit opes. —

Idem Libanius epist. ἀνεκδότῳ ad Anatolium. ἔςι ῥᾷςον τοῖς ὑπάρχοις ὑμῖν τὴν τοῦ Διὸς μιμήσασθαι νεφέλην, ἀφ' ἧς ἐκεῖνος ὗσε Ῥοδίοις χρυσόν. *Expeditum* (inquit) *vobis est, qui praefecti estis, nebulam Iouis imitari, e qua ille Rhodiis pluuiam fudit auream.*

Θουκυδίδου δὲ ἀκούεις λέγοντος. Thucydid. initio lib. I. νεμόμενοι τὰ αὐτῶν ἕκαςοι, ὅσον ἀποζῆν, καὶ περιουσίαν χρημάτων οὐκ ἔχοντες.

εἰ μὲν ἄγαμος διαμένειν. allusum ad haec Posidippi, seu Cratetis Cyn. ex epigr. εἰς βίον ἀνθρ.

— ἔχεις γάμον; οὐκ ἀμέριμνος
Ἔσσεαι. οὐ γαμέεις; ζῇς ἔτ' ἐρημότερον.
Τέκνα πόνος· πήρωσις ἄπαις βίος.

His congruunt quae a Iuuenale scribuntur Sat. III.

Quis gener hic placuit censu minor, atque puellae
Sarcinulis impar? —

καὶ ὅλως τὰς ἀρετὰς κωλύει λάμπειν. Idem eadem Satyr.

Haud facile emergunt, quorum virtutibus obstat
Res angusta domi. —

ὡς ἔφη που Θέογνις. hos nimirum vers. innuit,

Πᾶς γὰρ ἀνὴρ πενίῃ δεδμημένος οὔτέ τι εἰπεῖν,
Οὔθ' ἔρξαι δύναται· γλῶσσα δέ οἱ δέδεται.
Pauperies linguam atque manus ceu compede vincit,
Nullaque libera sunt dicta nec acta inopis.

Sed iocose et salse Bion Theogn. perstrinxit his verbis, Πῶς οὖν σὺ πένης ὢν φλυαρεῖς τοσαῦτα καὶ καταδολεσχεῖς ἡμῶν; *Qui ergo tu penuria laborans vsqueadeo nugis tuis aures nostras obtundis?*

IN IRAE VITVPERIVM.

Καὶ αὐτός ποτε βλαβεὶς ὑπ' ὀργῆς. Basilius Magnus, quem iam φιλολιβάνιον fuisse ostendimus, concionem quam habuit κατ' ὀργιζομένων, orditur itidem a vi experientiae, quae documenta firmat. νῦν ὅτε εἰς πεῖραν ἤλθομεν τοῦ πάθους, οὐκ ἐν ἡμῖν γενομένου, ἀλλ' ἔξωθεν ἡμῖν προσπεσόντος, ὥσπερ καταιγίδος τινὸς ἀδοκήτως, τότε μάλιςα τὸ θαυμαςὸν τῶν θείων παραγγελμάτων ἐπέγνωμεν. Graeca Lib. in prima periodo ab interpunctis laborant. post κατηρτηκώς· sufficit incisum, vel ὑπεςίγμη. mox post εἰπεῖν expunge punctum.

AD PHILIPPI VITVPERIVM.

Παραλαβόντα τὰ π. non est cunctandum scribere παραλαβὼν τὰ π mox, σωθεὶς σαφῶς ὑπ' Ἀθηναίων, ἐπὶ τοὺς σεσωκότας, τῷ ἑαυτοῦ ἐχρήσατο τόπῳ. etiam repugnante Cod. R. singulari, scribendum censeo, τρόπῳ, non τόπῳ, *Philippus palam seruatus ab Atheniensib. in eos qui seruauerant, suis moribus est vsus;* fraudulentis scilicet et rapacibus.

ἑταίραν ἐτράπη. quae deinceps sequuntur de Fortuna, respiciente Philippum, ita sunt interpungenda: τὸ δὲ τῆς τύχης ἐπιεικῶς τοιοῦτον· μετὰ τῶν φαυλοτέρων ἵσταται τὰ πολλά. ὁ. eo Sallustianum, illud, e II. ad C. Caesarem spectat, *Saepe praua magis, quam bona consilia prospere eueniunt: quia plerasque res fortuna ex libidine sua agitat.*

AD VITVPERIVM AESCHINIS.

Lacunam sic nunc expleo, τὴν δὲ ἔξοδον ἡ Ἐλάτεια κατειλημμένη. *eductionis autem Atheniens. causa fuit Elatea capta.* vide inf. pag. 133. D.

εὔνους ἦν. conieci leg. ἄνους. ex frequenti lapsu, a similib. notis ἀν et εὐ. sed et sic legi potuit, εὔνους οὐκ ἦν, *quod palam minime beneuolens esset.* siquidem virtutis ergo beneuolentiaeque in ciuitatem, honores tribuebantur.

AD VITIS VITVPERIVM.

Τοὺς γὰρ παραφρονοῦντας δι' οἶνον, ἔλαιον πέφυκεν εἰς νοῦν ἐπανάγειν. sic est scribendum. Aristophanis Scholiastes in hunc Νεφελῶν versic. Ἁλσὶ διασμηχθεὶς ὄναιτ' ἂν οὑτοσί. scribit, οἱ σμηχόμενοι ἁλσὶ βελτίονες γίνονται, ἅμα καὶ ὅτι τοὺς παραφρονοῦντας ἁλσὶ καὶ ἐλαίῳ διέβρεχον, καὶ ὠφελοῦντο. sic enim interpungendum, et paulo post emendandum, ἐπὶ τοὺς ὑπὸ μέθης καὶ ἄλλως παραφρονοῦντας ὑποβρέχειν εἰώθαμεν ἐλαίῳ ἁλσὶ μεμιγμένῳ. His confirmatur mos vetus, quem hic notat Libanius, crapula vel quouis delirio laborantes, oleo sale perfuso madefaciendi.

AD COMPARATIONEM DEMOSTHENIS ET AESCHINIS.

Mendose edita sunt, et sic interpungenda scribendaque Graeca, quae sequuntur; κατὰ τοῦ τυραννοῦντος ξένια διώθει; τῷ δὲ ἐδόκει δ. Latina vtique versio menda arguebat.

τὰς περὶ τῶν αὐτῶν ἁμαρτίας ἐ. non ambigo Libanium scrip-

fisse περὶ τῶν ναυτῶν ἀμ. de lege qua nautarum malae artes fraudesque coërcerentur. Abstineo a luxatis; lubens tamen legerem; καὶ οὐκ ἐν μὲν τοῖς λόγοις ἐδείκνυεν, οἷον ἔδει τι προίεσθαι, φείδεσθαι δὲ μᾶλλον ᾑρεῖτο. *Ac non verbis quidem profuse largiendi modum indicabat: ipsi vero consilium erat parcere: Sed etc.*

ἐπεδίδου τριήρεις· καὶ τὸν πλοῦτον ἐποίει πρ. Demosth. etiam Curator muris reficiendis constitutus, eos refecerat pecunia sua. Ipse ἐν τῷ περὶ στεφάνου.

καὶ ἐστεφανοῦτο. Corona donatus est in theatro pop. conuocato, ex scito Ctesiphontis, quem propterea in iudicium adduxit Aeschines: et multam ab ipso petiit quadriennio ante Philippi Macedonis mortem: sed iudicium factum est aliquot annis post, Alexandro iam Asiam tenente. Tullius lib. de opt. gen. orat. seu praefatione contrariarum orat. Demosth. et Aesch. leges duas Athenis latas de coronis proponit; quarum alteram mutilatam et corruptam etiamnum in omnibus editionibus, olim ita restituimus e verbis Atticae legis, quae sunt eiusmodi. α. τὸν ὑπεύθυνον μὴ στεφανοῦσθαι πρὶν ἂν δῷ τὰς εὐθύνας. β'. ἐὰν μέν τινα ὁ δῆμος ὁ Ἀθηναίων στεφανοῖ, ἐν τῇ ἐκκλησίᾳ τὸν στέφανον ἀναγορεύεσθαι· ἐὰν δὲ ἡ βουλὴ, ἐν βουλευτηρίῳ. *I. Ne quis plebiscitum faceret, vt quisquam corona donaretur in magistratu, priusquam rationes retulisset. ALTERA LEX, Eos qui a pop. donarentur, in concione donari debere; Qui a Senatu, in Senatu.* Cui non liqueret has vltimas voces ita reponendas et interpungendas esse, apud Tullium; ei plane meridie non luceret, frustra sane fuisse constat eos qui aliter haec emendare conati sunt.

IN COMPARATIONEM RVRIS ET VRBIS.

τῆς πόλεως ἀγρὸν εἶναι πρεσβύτερον. in vers. Lat. *vrbe rus est antiquius.* interpunge absque interrogationis nota. tralatitium est, αἰδέσιμον τὸ πρεσβύτερον. *quod antiquius, est venerabilius.* ὑστερογενῆ tamen aliquando sunt potiora.

ἐπεὶ καὶ Ἡσίοδος ποιμαίνων τ. Dio Chrysost. Serm. 55. de Homero et Socrate. Ἡσίοδος Ἀσκραῖος φησὶν, ὅτι ποιμαίνων ἐν τῷ Ἑλικῶνι παρὰ τῶν Μουσῶν ἔλαβεν ἐν δάφνης ὄζῳ τὴν ποίησιν· ἵνα μὴ πράγματα ἔχοιμεν ζητοῦντες αὐτοῦ τὸν διδάσκαλον.

IN ETHOPOEIAS.

Ἠθοποιΐαν Fabius lib. IX. refert inter σχήματα, lumina ac figuras, quae mire tum variant orationem, tum excitant: eamque

que definit, imitationem morum alienorum. vt ad μίμησιν accedat, quae in dictis praesertim versatur; vt ὑποτύπωσις in factis. In hoc genere ἦθος cuiusque exprimendi, Libanii indolem atque artem egregie mirabilem fuisse perhibet Eunapius in eius vita: vt haberetur πίναξ καὶ ἐκμαγεῖον παντοδαπῶν ἠθῶν. proinde quod ipsi λῆρος et fictio erat; spectantibus αὐτοαλήθεια, resque ipsa videbatur.

τὴν τέχνην ἀντιτάξαι τῇ φύσει τῶν θηρίων ἔσβεσε τὸ πῦρ. in Cod. Regio ita rectius interpungitur, τῇ φύσει. τῶν θηρίων ἄσβεστον τ. π. vt in genere ars naturae opposita, ad cuncta quae subiiciuntur mira pertineat: siquidem φύσις, non ad θηρία tantum, sed ad γῆν etiam refertur. nec vero cunctarer scribere, ἄσβεστον τὸ πῦρ ἔσβεσε. Pind. Ode IV. Pythion. Ep. X. βόες φλόγ' ἀπὸ ξανθᾶν γενύων πνέον καιομένοιο πυρός. Apollon. III. Arg. ταῦροι χαλκόποδες στόματι φλόγα φυσιόωντες. Ouid. in Medeae ad Ias. epist.

Martis erant tauri plusquam per cornua saeui,
Quorum terribilis spiritus ignis erat.
Iunxit at aeripedes inadusto corpore Iason.

καθεύδων ὤφθη δράκων, οὔπω πρότερον τοῦτο πάσχων. Idem Pelignus vates,

Lumina custodis succumbere nescia somno,

de his autor noster infr. Ethop. XVII. pag. 158. C.

ἐν χερσὶν ἦν τὸ δέρας τοῦ τρέμοντος. *In manibus trementis* Iasonis *erat vellus.* Sic namque Erasmi versio Gr. Cod. incastigati labe hic et alibi foedata, Reg. mns. ope defecanda fuit.

In reliqua Alloquutione (vt Priscianus Ethopoeian vocat) quot in locis Erasmi versio mendosi cod. vitio deformata, et a nobis Regii mns. subsidio recentata fuerit, characterum Lat. diversitate passim notatur: vt in aliis quibusdam a Ioac. Camerario tralatis. In clausula scriberem potius, τὸν λυπηθέντα ὀφθήσομαι. quam, ἐκεῖθεν τὴν λύπην ἀποθήσομαι.

Sequentis alloquutionis inscriptio eiusmodi est apud Priscianum in praeexerc. *Quibus verbis vti potuisset Andromache Hectore mortuo.*

τοῦ τελευταίου λόγου καὶ αὐτὸς ἡγεμὼν ἐγενόμην. scribo, τελευταίου λόχου κ. errore facili ταχυγράφου pro χ pingentis γ *vltimarum*, inquit, *insidiarum dux et auspex fui.* vt sup. pag. 68. A. λέγουσι δέ τινες καὶ τοῦ λόχου τὸ πλεῖστον ἐπ' ἐκεῖνον ἐλθεῖν. et inf. pag. 158. A. καὶ τὸν τελευταῖον λόχον συνεκρότησα τὸν Ἑλληνικόν.

In Achille Penthesileam caesam alloquente, reuoca vocem fugitiuam interceptamve, νικῶσαν, καὶ πίπτουσαν καὶ χαίρω [καὶ] βεβλημέναν,

βεβλημένας, τὸν ἀριστεύσαντα refero τὸ νικῶσαι ad τὸν ἀριστεύσαντα. vt Amazones dicantur vincere Heroa fortiss. etiamtum cum inferiores et percussae caderent. iam vero, τὴν βολὴν ἐκτοξεύειν est aliorsum emittendo iacula exhaurire. In peroratione secundae alloquutionis, horum verborum, τοῦτον ἄν, εἰ μὴ περιῆς, ἐνεκαλέσαμεν, haec clarior planiorq; explicatio est, *Equidem Pelei felicitatem et admirabilem coniugii sortem argueremus, et nostra minorem esse conuinceremus, si mihi tu Penthesilea incolumis conseruata esses.* Ab hac Ethopoeia Achillis, Encomii eiusdem loca quaedam, *Qua gressum extuleram repeto, et vestigia retro*
Obseruata sequor, mendosaque *lumine lustro.*

Pag. 70. haec primum ita scribe et interpunge, ἐρῶν δὲ πάντα οὐκ ἂν δυναίμην· ἀλλ' ὁ et 71. B. emendaueram, καὶ τὴν ῥώμην ἔτρεψεν αὖ. et mox Camerarii versionem explanaueram, *plura ab hoc certamina fuere suscepta, quam voluptates, quae pax suggerit, aliis expetitae.* D. ἐνεβίβαζον γὰρ αὐτοὺς εἰς τ. hanc lect. e mns. Reg. expressimus, et vertimus: *hos namque iusiurandum et foedera ad conscendendas naues impulerant.* prior lect. quam sequutus est Camerat. fuit, ἐνεβιάζοντο γ. et ὁ δὲ τῆς δ. vt coniicimus. Pag. 172. l. 3. ἐπιβάντες ἐδῄουν, paulo post, ὁ μὲν ἰᾶτο, ὁ δὲ ἐδάκνυ τ. π. D. κοινὰ δὲ ἆθλα τ. verte, *communia vero Graec. praemia effecit.* Ὁ δεινότατος Ὀδ. *solertiss. et callidiss. Vlyss.* potius quam *acerrimus.* deinde restitue hic negationem, licet absit a mss. μόνος δὲ Ἀχιλλεὺς ἡσυχίαν τε οὐκ ἐποίει, κ. Pag. 73. τῶν εὖ παθόντων ἀγνωμοσύνην προὐπηλακίζετο, germanam lectionem censeo, sed vecordis et ingrati animi vitium potius quam incogitantiam denotat ἀγνωμοσύνη. deerant post illa verba in Camer. Cod. καὶ τοῦ γέρως ἀπεστερεῖτο. quae e Reg. mns. suppleuimus et Lat. reddidimus. Quod sequitur, οὐ μὴν ἔμεινεν ἐπὶ τοῦ συμμαχεῖν, dilucidius sic vertas, *Non ille quidem perseuerauit auxilium ferens: sed animi tamen aequitatem indicauit, cum pro puella non contendit, nec praefracte egit.* Pag. 74. συμπεσεῖν ἐπιθυμεῖ τῇ τοῦ Πατρόκλου σφαγῇ. Camerarii Cod. emendatior habuit, συμπεσεῖν ἐπιθυμῶν τῷ τοῦ Πατρόκλου σφαγεῖ. sed aut scribendum fuit, κοινὸς αὐτοῦ κ. κ. θάνατος, aut vertendum Lat. *idque cum sciret se communi seipsum et illum morte damnare, quia post Hect.* Scribe iam, ὅπλα παρὰ Ἡφ. [Μέμνονά τε διαφθείρας τὸν Αἰθίοπας ἄγοντα. ita scriptum fuit in Regio Cod. vt in Basiliensi edit M. τε τὸν Αἰθιόπων διαφθείρας ἄρχοντα. addendum est igitur versioni, quod omissum est a Camerario, *Memnone Aethiopum ductore occiso;* et τόξων δὲ Ἀπ. hanc periodum, quae clauditur ἐπέθηκε δόξαν. et in Camer. Cod. et tralatione praetermissa fuerat, e mns. Regio restituimus, et Lat. expressimus. in versionis tamen nostrae clausula supple quod omiserunt

ferunt, operae. *nam bello mortuus, maiori affectus honore fuit.*] Nunc a diuerticulo ad viam.

In eadem Ethop. τῆς ἱκάνου δυνάμεως καὶ ἐπιθεῖ ἀφελ. coniiciebam legendum, καὶ ἐπιθεῖναι αὐτὴν καὶ ἀφελέσθαι. vt apud Hom. Il. Θ. de Horis,

Αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ, ἃς ἔχον Ὧραι
Τῆς ἐπιτέτραπται μέγας οὐρανὸς Οὔλυμπός τε,
Ἠ μὲν ἀνακλῖναι πυκινὸν νέφος, ἠδ' ἐπιθεῖναι.

hic enim τὸ ἀνακλῖναι aequipollet τῷ ἀφελέσθαι. in ceteris Ariadnes filo opus fuit, quo nos inextricabili labyrintho prisci librarii δαιδαλογράφου expediremus.

εἴθε μὲν οὖν οὐκ πρῶτον ἔργον ἐγενόμην ἢ τελευταῖος γενήσεσθαι. notandum τελευταῖος, ἀντὶ τοῦ, τελευταία τροφή, vt subsequitur. [hinc lux exoritur superiori Vlyssis elogio; eo loci vbi de Polyphemi immanitate ait, ἐν χεροῖν ἔχων αὐτόν, καὶ μονονοὺκ ἐδηδοκώς. *quem in manibus habebat, tantumnon deuorauit.* post quae verba lacunam proximam sic explendam esse coniiciebamus, Ὁ δὲ ῥᾳδίως αὐτὸν τυφλὸν εἰργάζετο. cui coniecturae nostrae Lat. versio consonat nec clam me fuit posse legi, ῥᾳδίως κατειργάζετο. vt apud Herodianum lib. 3. ῥᾳδίως κατεργασάμενος πρεσβύτην. sed πλεονασμὸς καὶ τὸ ἀνακόλουθον displicebat. quae sequuntur non minus deprauata sunt, vt ad illustrandam sententiam cui lumen ademptum erat, verba quaedam apponenda fuerint; nec ingratiis legerem διέφυγε καθήμενον ἐν τῇ θύρᾳ ἑ. ex his Hom. Odyss. Θ.

Αὐτὸς δ' εἰνὶ θύρῃσι καθέζετο χεῖρε πετάσσας,
Εἴ τινά που μετ' ὀΐεσσι λάβοι στείχοντα θύραζε.

Achillis quiritatio de erepta Briseide sic incipit, Ἔστηκας, ὦ Μενέλαε, τῇ γῇ τὴν ὄψιν χρησάμενος. at quis non videt quam ἄτοπον et ἄκυρον hic sit τὸ χρησάμενος, quod tamen in veteri et singulari Cod. Regio aperte exaratum est; sed mendose vtique et perperam, opinor, cum scribendum esset ὁρισάμενος; est namque τῇ γῇ ὄψιν ὁρίσασθαι, quod ait Persius, *obstipo capite* esse, et *figere lumine terram.* vt cum interrogatione proferatur, *Stetistine, Menelae, oculis humi defixis?* et qui hic est γέρων πιστεύων τῷ δράματι, an trisaeclisenex; an Phoenix? quem Achilles ipse apud Hom. γεραιὸν appellat? an Dramati tragico comparatur expeditio Graec. interpungendum non fuit inter ἐσφάλημεν Πάριν. post lacunam restabat ὄντες. vnde εἰσάγοντες expressimus: an ἐπάγοντες aptius?

εὐτρέπιζε μετὰ μικρὸν Od. Lat. verte, *Compara paulo post Ul.*

mox, ἐκέρδανας, ὦ Τροία, μετὰ τὴν Βρισηίδα, τὴν ἅλωσιν. *Lucro tibi cessit, o Troia, expugnationis euitatio, Briseide rapta.* is κερδαίνειν κακόν τι dicitur, qui damnum fugit.

ζῆσαι

ξέσει Πριάμου ἐν λίθῳ τὴν κόρην. fortean fcribendum, ξέσει Πρίαμος, vel οἱ Πριάμου. nec iam placet haec verba ad Troiam referri; fed ad Priamum vel eius liberos, *Incidet*, inquit, *Priamus, puellam Brif. in marmore.* Scribefis τέμενος. ἀνορθώσει ταύτης τὸ ξόανον. γράφει Φρ. *Brifeidis fimulacbrum eriget.*

μάτην παρῆλθον οὐχ ἑκὼν πόλεις, ἃς τεθ. fic legitur et diftinguitur in Reg. Cod. ἔτι τὶς θρηνῶν υἱὸν, πρ. *praeterea dum quis luget filium, prior Proferpinae falutem impertiit.* mox difpungo, τῷ πλησίον, ἂν ἤσπ.

ἰδὼν ἐπάγομαι παρθένον Φρυγίας, εἰ π. fcribe et interpunge, ἐπάγομαι, παρθένου Φρυγίας εἰ π. huic fcripturae verfio congruit.

ὁ παραταξάμενος πρ. cum parum liqueat, ex coniectura mea legendum, ἢ παραταξαμένου πρ. Si tamen referas ad illa, τίς οὕτω κρίσιν ἄτοπον ἐπήνεσεν, nihil follicito, et fic verti poffe video, vt cum indignatione proferatur, *Aiax Vlyffe deterior apud Graecos; qui in acie hofti fe oppofuit? Atqui nonne tum fuperiores hoftium res extiterant; et Achilles abierat contumelia affectus?*

μηδὲ χεῖρον ἢ τοῖς ἐναντίοις ἔρωσι συνεμάχησεν ἀπ. refer ad fuperiora illa; καὶ τότε μὲν ἐνίκησεν ἔρως ἐμός· ὁ δὲ τῆς γυναικὸς ἡττώμενος, π. tamen in Reg. fcribitur, ἐρῶσι συν. vtvt fit, huius claufulae mens minus erit obfcura, fi dicat Bellerophon, fe manus excitauiffe, et robur et virtutem ad opitulandum forori Temperantiae, non minus alacriter, quam fallacia, fraus et calumnia aduerfariorum impudicis amoribus fuppetias attulerant.

In Alloquutione meretricis refipifcentis, ἐφίλουν τὸν ἀποκήρυκτον, de bafio tantum accipio; *fuauiter*, inquit, *ofculabar exheredem.* Haec vero, νόμῳ ἐν τῷ λιβάνῳ θήσω. τοῦτον, ἵνα τοῦ γράμματος ἔχῃ τὴν δύναμιν τ. vides mihi iure maculae fufpecta fuiffe; et arae verbo, thuri et ritui facrifico vtcunque accommodato, follicitata. nunc eadem animo voluntanti et coniectanti, fuccurrit ita commodius et dilucidius legi et interpungi poffe, νόμον ἐν τῷ λαῷ [ἢ ναῷ] θήσω τοῦτον, ἵνα τοῦ γρ. *legem*, inquit, *hanc in loco publico vel facro, proponam; vt fcripti decretique vim habeat.* hic et vbique melius coniicienti, non inuidebo, quin applaudam gratiamque habebo.

Ἐξόν σοι γ. hoc monitum vnico Euripidii Oreftis verficulo continetur,

Σὺ νῦν διάφερε τῶν κακῶν· ἔξεστι γάρ.
Electra, differ a malis, tibi integrum eft.

μή σε τῆς ἀσεβείας προβάλῃ τὴν Ἀφροδίτην μοι. adde e Reg. Cod. quod hic exidit, μή σου τῆς ἀσεβείας ἀφορμὴν προβάλῃ τ. Α. ne

ne impietatem tuam Veneris nomine praetexas. hoc namque est τινὸς ἀφορμὴν προβάλλειν. Virgil. IV. Aeneid.

Coniugium vocat, hoc praetexit nomine culpam.

Demosthenes in Leptinem, congruenter huic dicto, ait: χρὴ, ὡς ἔμοιγε δοκεῖ, πάνθ' ὅσα τις πράττει τοὺς θεοὺς ἐπιφημίζων, τοιαῦτα φαίνεσθαι, οἷα μηδ' ἂν ἐπ' ἀνθρώπου πραχθέντα, πονηρὰ φανείη. *par est, vt opinor, omnia quae agit quis Deorum nomine, eiuscemodi videri, vt ne hominis quidem nomine facta, improba appareant.* quibus consentiunt haec Greg. Naz. I. στηλιτευτικῷ. δεῖ τῶν θείων μηδὲ τὰς ἐνδείξεις, καὶ τὰς ἐμφάσεις ἀπρεπεῖς εἶναι καὶ ἀναξίας τῶν δηλουμένων· μηδὲ οἵας ἂν καὶ ἄνθρωποι λεγομέναις, περὶ αὐτῶν δυσχεραίνειν. Sequitur, ἃ πέφρακται τοῖς σώφροσιν, ἱκετεύειν τέμενος. quid si legas? πρὸς τὸ ἱκετεύειν τ. vel ἱκετεύειν βουλομένοις τέμενος. In clausula, καὶ πάντα τίκτει δυσσέβεια. clarius scriberetur, τίκτει δυσσεβῆ. *impia cuncta procreat.*

AD MENOECEI ETHOPOEIAM.

Menoecei Theb. Creontis fil. allocutionem Libanianam componamus huic Statianae, e x. Thebaidis,

At pius electa murorum in parte Menoeceus
Iam sacer aspectu, solitoque augustior ore;
Ceu subito in terras supero demissus ab axe
Constitit, exempta manifestus casside nosci,
Despexitque acies hominum, et clamore profundo
Conuertit campum, iussitque silentia bello.
Armorum superi; tuque o qui funere tanto
Indulges mihi, Phoebe, mori, date gaudia Thebis
Quae pepigi, et toto quae sanguine prodigus emi,
Ferte retro bellum, captaeque impingite Lernae
Relliquias turpes. confixaque terga fouentes,
Inachus indecores pater auersetur alumnos.
At Tyriis templa, arua, domos, connubia, natos,
Reddite morte mea. si vos placida hostia iuui;
Si non attonitis vatis consulta recepi
Auribus, et Thebis nondum credentibus hausi.
Haec Amphioniis per me persoluite terris;
Ac mihi deceptum, precor, exorate parentem.
Sic ait, insignemque animam mucrone corusco
Dedignantem artus pridem, moestamque teneri
Accipit, inque vno quaesitam vulnere rumpit.

Nonnus his concinit XXIII. Dionysiac.

Καὶ

Καὶ θάνεν αὐτοδάϊκτος ἐν ἀντιβίοισι Μενοικεὺς,
Αἰδόμενος μετὰ δῆριν ἰδεῖν ἔτι δηριάδηα,
Ὄμματι δ' ἀκλαύτοισι θελήμονι κάτθανε πότμῳ.

Vaticinium Tiresiae a quo Menoeceus orditur, Apollodorus libro tertio Biblioth. hoc fuisse refert, *Θηβαίους νικήσειν, ἐὰν Μενοικεὺς ὁ Κρέοντος Ἄρει σφάγιον αὑτὸν ἐπιδῷ.* *fore vt Thebani vincerent, si Menoeceus Creontis filius Marti se victimam mactaret.* Statius paulo aliter,

Labdacidae, venit alma salus, sed limite duro.
Martius inferias et saeua efflagitat anguis
Sacra. cadat generis quicunque nouissimus extat
Viperei. datur hoc tantum victoria pacto.

Pausanias in Boeoticis non Tiresiae, sed Apoll. Delphici oraculum fuisse perhibet. idemq; narrat ad Menoecei tumulum, Punicam malum enatam esse, cuius poma cum primum maturuerant, rupto inuolucro, nescio quid sanguineum prae se ferrent; atque hanc arborem perpetuo virescere. vbi non cunctarer scribere, *αὕτη δ' ἀεὶ τεθηλὸς δένδρόν ἐστιν ἡ ῥοιά.* quod numeros Iambicos retinet.

πολὺς δὲ ὁ φόνος τῶν ἐν ἡλικίᾳ, καὶ τὸ μάντευμα τὸ ἐκ Δελφῶν. Haec vrbis excidii Ecphrasis expressa est ex illa Cleopatrae apud Hom. Iliad. IX. in Phoenicis concione,

Ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει,
Τέκνα δέ τ' ἄλλοι ἄγουσι, βαθυζώνους τε γυναῖκας.
Quid faciunt hostes capta crudelius vrbe?

mox dempto asterisco scribe, *πεσεῖται μὲν* A.

τοῖς μὲν γὰρ οὐδὲν ἐγκώμιον, τῆς πατρίδος προαπελθοῦσι. sic potius interpungo, et ita versionem meam recensco; *Enimuero nullum illis concessum est elogium, licet pro patria e viuis discesserint: at mihi omnis conferetur gloria: ac diuinos bonores, et perpetuam nominis memoriam obtinebo, cum pro patria mortem obiero.* Idem Papinius:

— subit agmine longo
Colla inter iuuenum, laetisque fauoribus omni
Concinitur vulgo, Cadmum atque Amphiona supra
Conditur. hi sertis, hi veris honore soluto
Accumulant artus, patriaque in sede reponunt
Corpus adoratum. —

hoc est, *τὸ πᾶν τῆς δόξης.*

IN ΕΚΦΡΑΣΕΙΣ SEV EXPRESSIONES.

Rhetores Graeci et Latini *ἔκφρασιν*, descriptionem expressionemue definiunt, orationem colligentem et praesentantem oculis quod

quod demonstrat. Haec ab oratoribus et poëtis adhibetur ad exprimendas et quasi ob oculos ponendas res, personas, animantes, stirpes, loca, tempora, et cetera id genus. Libanius praeter has ἐκφράσεις a nobis editas, alias XII. scripserat, quas e Vaticanae Bibliothecae archetypis Romae cum aliis scriptis exscribendas curamus; ad alterius partis operum Libanii παρασκευήν. illarum expressionum ἀνεκδότων titulos nunc pro gustu accipe, ex strybis Biblioth. Vaticanae. Ἔκφρασις Ναυμαχίας. *Naualis pugnae.* Λιμένος. *Portus.* Κήπου. *Horti.* Θήρας. *Venatus.* Λέοντος κατασχόντος ἐλάφον. *Leonis quem ceruus detinebat.* Ἡρακλέους καὶ Ἀνταίου. *Herculis et Antaei.* quae duobus exemplis tractatur. Ἡρακλέους τοῦ ἑστῶτος ἐν τῇ λεοντῇ. *Herculis cum Leonino exuuio stantis.* Πατρίδος ἀπεσραμμένης. *Patriae euersae.* Ἥρας. *Iunonis.* Πολυξένης σφαττομένης ὑπὸ τοῦ Νεοπτολέμου. *Polyxenae a Neoptolemo mactatae.* Προμηθέως. *Promethei.*

In πεζομαχίας expressione, et conflictu, illud Hom. Il. T. effingitur,

Ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμὸς ὁμίλεον, ἐν δ' ὀλοὴ Κήρ.

τοῦ δέ τις ἀνέῤῥηξε τὴν γαστέρα. in vers. Camerarii repone, *alterius aliquis ventrem pertuderat.*

ὁ μὲν ἀγαθὸς εἶχεν ἐπὶ τῷ σήθει τὴν πληγήν. Vlysses apud Ouid. XIII. Met. in iudicio arm. *vulnera ipso pulcbra loco* vocat, quae antica sunt.

ὁ μέν τις πολλοὺς κτάνας, ἀπέθανεν. Poëta,

Ξυνὸς Ἐνυάλιος, καί τε κτανέοντα κατέκτα.
Communis Mauors, caesorem saepe trucidat.

Τὸ δὲ αἷμα τὴν γῆν ἐφοίνισσε. Hom. Iliad. K.

— ἐρυθαίνετο δ' αἵματι γαῖα.
Caede rubescebat tellus.

καὶ ἐπιβαίνοντες τοῖς νεκροῖς οἱ ζῶντες, τ. ex hac hypotyposi Homerica indidem,

Ἂν φόνον, ἂν νέκυας, διά τ' ἔντεα, καὶ μέλαν αἷμα.
Per tabum et caedes, et inertia corpora, et arma.

In principio descriptionis picturae quae in Senatu erat, haec parenthesi sunt includenda (οὐ μεγάλη μὲν, καλὴ δέ.) et Camerarii versio purganda, *In aula Senatus, (non magna quidem illa est, sed elegans) medio in spatio porticuum quatuor q.* Quod Aristoteles in Eth. Nic. scribit τὸ κάλλος ἐν μεγέθει εἶναι· non est vbique accurate obseruandum.

ὁ δὲ ἐπέστρεφε πρὸς τούτους. hoc ad tertium refero, qui ad priores se conuerteret, non ad adolescentulum, cui aliquid iniungebatur, vt Camerarius vertit; vbi de suo nequicquam addidit [*alter quispiam inclamare.*] scribe iam, *Quartus paululum ante fores*

fores progr. Alio mox Characterum genere edidimus insigne supplementum, quod Reg. C. suggessit, ad lacunam lachrymandam, quae et Graecum contextum Ferr. et Camerarii tralationem turpiter maculauerat.

In Ecphrasin ebrietatis. Ebriatatis descriptionem hac Libanii luculentiorem adhibuit Basilius M. in serm. aduersus temulentos; cuius legendae cupido Libanium incesserat, vt arguitur ex ipsius ἀντεπισταλτικῷ ad Basil. quod inter praeconia Lib inseruimus ἐπεὶ καὶ σοι κατὰ μέθης λόγος πεπόνηται, βουλόμεθα τούτῳ περιτυχεῖν. in plerisque certe locis consentiunt; vt cum hic initio dicitur: τὸν οἶνον ἢν πίνη τις μετρίως, τό, τε σῶμα ὤνησε, τήν τε ψυχὴν οὐκ ἔβλαψεν. sic enim scribo. Bas. οἶνος τὸ παρὰ θεοῦ δῶρον εἰς παραμυθίαν τῆς ἀσθενείας δεδομένον τοῖς σωφρονοῦσιν· ὅπλον νῦν γενόμενον ἀκολασίας τοῖς ἀσελγαίνουσι. ex hoc Homeri fonte, Iliad. Z.

Ἀνδρὶ δὲ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει, Panyasis,

Οἶνος μὲν θνητοῖσι θεῶν παρὰ δῶρον ἄριστον

Πινόμενος κατὰ μέτρον· ὑπὲρ μέτρον δὲ χερείων.

at Philostratus in I. de vita Apollonii, cap. V τὸν οἶνον καθαρὸν μὲν ἔφασκεν εἶναι πόμα, ἐκ φυτοῦ οὕτως ἡμέρου τοῖς ἀνθρώποις ἥκοντα, ἐναντιοῦσθαι δὲ τῇ τοῦ νοῦ συστάσει, διαθολοῦντα τὸν ἐν τῇ ψυχῇ αἰθέρα.] Lib. τὸ βλέμμα παρήγετο, Bas. ποῖον βόσκημα οὕτω παραβλέπει, καὶ οὕτω παρακούει, ὡς ὁ μεθύων. Lib. καὶ σκῶμμα ἂν ἠνέχετο, in Lat. vers. scribe, *neque salsis dictis cauillisue*, q. πρόχειρος εἰς ὀργήν. Bas. εὐπαρόξυντον. Lib. τρανὲς οὐδὲν οὐδ᾽ ὁλόκληρον. Bas. γλῶσσα παρειμένη, καὶ κραυγὴ ἄσημος. Lib. κατειλ. ὕπνῳ μάλιστα ἐοικότι θανάτῳ. Bas. ὕπνοι μὲν βαρεῖς καὶ δυσανάφοροι καὶ πνιγώδεις, καὶ τῷ ὄντι θανάτου γείτονες.

In clausula ἀπέλαβε τοὺς λογισμοὺς ὧν ἐ. quid si legas ἀπέλαβε τ. λ. *abiecit cogitationem eorum quae sibi temulento contigerant.*

In Veris expressione, principium respondet voto Myrionis apud Bionem Smyrnaeum.

Εἴαρ ἐμοὶ τριπόθατον ὅλῳ λυκάβαντι παρείη

Anno perduret mihi toto purpureum ver.

Haec ὥρας εἰαρινῆς decora poëtae Lat. certatim et παντοδαπῶς exprimunt, Lucr. lib. VI. Virgil. in Palae. et I. Geor. Horat. I. Car. Od. IV. et lib. IV. Od. VII. Catull. in peruig. Ven. Ouid. I. Fast. Statius IV. Syl. in Lyr. ad Sept. Seuerum.

καὶ τότε δὴ φαιδρός τε ἥλιος καὶ ἥμερος καὶ τερπνὸς κ. Naso, *blandos Soles*, Papinius, *altos*, vocat, Martial. lib. 8. Epig. 14. *purum, et sine fece diem.* pro, sine nube, ἀνεφέλῳ. Anacreon εἰς ἔαρ. Ἀφελῶς δ᾽ ἔλαμψε Τιτάν.

τῆς θερμότητος εἰσβαίνων. in alt. Reg. mns. legitur ἐκβαίνων. idem Bion,

Ἀνίκα μήτε κρύος, μήθ' ἅλιος ἄμμε βαρύνει.

Frigora nec mordent tunc, nec Sol nos grauat aestu.

mox ibid. scribitur, ἡδέως ἄν τις ὑπ' αὐτῷ. μ.

ἀλλὰ καὶ τὴν νύκτα π. vide an commodius verteris, *Tunc etiam sidera, quae apparent, nec occuluntur, noctem iucundam efficiunt.* refer ad stellas, quae sudo coelo suspiciuntur in vertice, qui nobis semper sublimis; atenim alterum eiusque astra *Sub pedibus Styx atra videt.*

πεποικιλμένος τοῖς τόποις ὁ οὐρανός. scribe, τοῖς τύποις. de signorum varietate, vt interpretatus sum. sidera signaue Homerus τείρεα vocat. Arat. Φαινόμενα. Astrologi, ἄστρα, ἀπλανῆ, ζώδια.

paulo post, καὶ εὐωχεῖ, τ. reuoca quae exciderant, καὶ κατακλίνει καὶ εὐωχεῖ. ea tibi versio nostra repraesentat.

ᾄδει δὲ καὶ ἀηδών. Basilius ad Leontium Sophist. σιωπήσει οὐδαμῶς σοφιστικὴ γλῶττα καὶ Ἀττική, ἐ μᾶλλον ἢ αἱ ἀηδόνες, ὅταν τὸ ἔαρ αὐτὰς πρὸς ᾠδὴν ἀναστήσῃ. *haudquaquam facunda et Attica Sophistae lingua conticesceret; multo minus quam lusciniae, cum eas ver ad cantum exicitarit.*

αἱ ἠδικημέναι π. ideo Statio ibid. celebrantur, — *volucrum noui quaestus.* Anacreonti εἰς χελιδόνα, ὑπορθρίαι Φωναί.

τῆς ὥρας τὸ χαρίεν δεικνύον. quippe sunt *coelestia sidera flores.* vt a Colum. in horto nuncupantur. et Anacr. χάριτες ῥόδα βρύουσι.

χαίρουσι δ' οἶμαι καὶ οἱ θεοὶ τ. sic legitur in alio msf. Reg. a quo abest clausula, ὥσπερ καὶ λιβανατῷ. Idem Anacr. εἰς ῥόδον. Τόδε γὰρ θεῶν ἄημα.

In Kal. Ecphrasin. Praeter hanc Kal. expressionem scriptum eiusdem Lib. πρὸς τὰς Καλάνδας recensetur in sittybis Vaticanae bibl. et per α constanter scribitur pen. Καλαιδῶν.

B. Io. Chrysostomus inuectiuas acerrimas habuit κατὰ τῶν παρατηρούντων τὰς νουμηνίας. καὶ κατὰ τῶν μεθυόντων μετὰ τὰς Καλάνδας τῇ ἑξῆς. vbi Kal. ἑορτὴν διαβολικὴν indigetat, et his verbis exagitat; Αἱ διαβολικαὶ παννυχίδες αἱ γινόμεναι τήμερον, καὶ τὰ σκώμματα καὶ αἱ λοιδορίαι, καὶ αἱ χορίαι αἱ νυκτεριναί, καὶ ἡ καταγέλαστος αὕτη κωμῳδία, παντὸς πολεμίου τὴν πόλιν ἡμῶν μᾶλλον ἐξῃχμαλώτησε. *Diabolica peruigilia, quae celebrantur hodie, et cauillationes et conuicia, et choreae saltationesque nocturnae, et haec perridicula comoedia, multo magis expugnant captiuamque tenent vrbem, quam quiuis hostis potuisset.* et paulo post: Οἱ δὲ ἐν τοῖς καπηλείοις ἀγῶνες γινόμενοι τήμερον, οὗτοι μὲν μάλιστα ὀδυνῶσι, καὶ ἀσωτείας καὶ ἀσεβείας ἐμπεπλησμένοι π. ἀῆς. ἀσεβείας μέν, ὅτι παρατηροῦσι ἡμέρας οἱ ταῦτα ποιοῦντες, καὶ οἰωνίζονται, καὶ νομίζουσιν εἰ τὴν νουμηνίαν τῦ μηνὸς τούτε μεθ' ἡδονῆς καὶ εὐφροσύνης ἐπιτελέσαιεν, καὶ τὸν ἅπαντα τοιοῦτον ἕξειν ἐνιαυτόν. ἀσωτείας δὲ ὅτι ὑπὸ τὴν ἕω γυναῖκες

γυναῖκες καὶ ἄνδρες φιάλας καὶ ποτήρια πληρώσαντες μετὰ πολλῆς τῆς ἀσωτίας τὸν ἄκρατον πίνουσι. Ταῦτα ἀνάξια τῆς ὑμετέρας φιλοσοφίας, κἂν ὑμᾶς ποιᾶτε κἂν ἑτέρους ποιοῦντας περιίδετε, κἂν οἰκέτας, κἂν φίλους, κἂν γείτονας. *Ludi vero qui in tabernis ac diuersoriis etiamnum peraguntur, hi maxime angunt, tum prodigitate, tum impietate multa, qua sunt referti. Impietate quidem, quia his occupati, dies obseruant, et auguriorum, auspiciorumque rationem habent, atque inducunt in animum, si Nouilunium mensis huius cum voluptate et laetitia exegerint, talem etiam totum annum sibi processurum: Prodigitate autem, quoniam sub auroram foeminae et viri,*

Crateras implent magnos et vina coronant:

et cum summa intemperantia mero indulgent. Haec plane indigna sapiente cultu vestro, siue haec ipsi faciatis, siue alios facientes vel domesticos, vel amicos, vel vicinos remissi spectetis.

τὰς ἑορτὰς ἄνθρωποι φιλοῦσιν, ὅ. Ex Platonis II. de legibus, Θεοὶ οἰκτείραντες τὸ τῶν ἀνθρώπων ἐπίπονον πεφυκὸς γένος, ἀναπαύλας τε αὐτοῖς τῶν πόνων ἐτάξαντο, τὰς τῶν ἑορτῶν ἀμοιβὰς τοῖς θεοῖς. Seneca de Tranquill. cap. XV. *Legum conditores festos instituerunt dies, vt ad hilaritatem homines publice cogerentur, tanquam necessarium laboribus interponentes temperamentum. Et magni, vt didici, viri quidam sibi menstruas certis diebus ferias dabant.*

καὶ οἷς μὲν γεωργία, πάντα ὅσα ἀγρὸς δίδωσι, φέρεται. Idem Synesius epistol. IV. expressius explicat, vbi de Afrarum mulierum benignitate agit, παρέχουσι γοῦν ὅσα αὐταῖς ἀήρ τε φέρει, καὶ γῆ, τυροὺς, ἄλευρα, πέμματα ἐκ κριθῶν, κρέα ἄρνεια, ἀλεκτορίδας, ὠὰ ἀλεκτόρεια. *Praebent quaecunque ipsis aër producit et terra, caseos, farinam, placentas ex ordeo, carnes agninas, gallinas, oua gallinacea.* τὸ παρέχειν, φέρειν, φέρεσθαι, nonne sunt ὡρμημένου ἀναλίσκειν. ergo hic lucidus ordo est; et series iuncturaque pollet; ne quis εἰκῇ turbare pergat. μὴ κίνει Καμαρίναν, ἀκίνητος γὰρ ἀμείνων. ne haec quoque solicitet; πολλοὶ ἐν ᾠδαῖς τε καὶ πηδήμασι καὶ σκώμμασιν. ob Atticam ἔκλειψιν τῶ εἰσιν. quid si κακόφατον in hac deformi iunctura σκώμμασιν εἰσι, cauit Lib. qui pag. proxima libere expressit πρὸς κύβοις εἰσὶ δ. Ceterum, *Et ridens Iocus et sales proterui,* hic adsunt, vt Statianis Kal. Decemb. Saturn. hisce *hunc diem festum agentes, et noctem et diem perdebant.* vt in Apologet. queritur Tertullianus.

ἤδη καὶ τοῖς ἐν τοῖς ἐργαστηρίοις ἐμβάλλοντες. Qui hanc Ecprasin interpolarunt tertio anno a prima editione et versione nostra, C. V. Iac. Aug. Thuano Senatus Praesidi dicata, et Notis etiam nostris in Sylu. Papinii inserta, cum tacite approbassent et sequuti essent coniecturas et emendationes nostras, vt in superiorib. il-

lis verbis, ὥσπερ τῆς γῆς ἐπιθυμοῦσιν οἱ πλ. hic non animaduerterunt nos non edidisse τοῖς ἐν τοῖς ἐργ. βάλλοντες, sed τοῖς ἐν τοῖς ἐργ. ἐμβάλλοντες. alioqui notione et structura τῦ ἐμβάλλειν obseruata, non προπετῶς asseuerassent Libanium scripsisse βοῶντες: nam quod sequitur, ἀγανακτοῦσιν οἷς ἀκούουσι, nonne θυροκοποῦντας, qui θυρεπανοίκταις effractoribus affines sunt, refertur? Euenus hic ἐπιλέγειν iubet, σοὶ μὲν ταῦτα δοκοῦντ' ἐστίν, ἐμοὶ δὲ τάδε. at quid caussae est cur neglegenter praetermiserint τὸ κατατωθάζουσι, quod de irridentibus et peruicaciter lasciuientibus vsurpatur, sed πάξ· φιλοφροσύνη γὰρ ἀμείνων.

ὄρθρον δὲ ὑποφ. καὶ ἀλεκτρυόνος ᾄδοντος. Plato in Symp. Heliod. lib. I. Aeth. ἡμέρας ἄρτι διαγελώσης. *Die iam ridente.* Gallus gallinaceus ἀλέκτωρ etiam Graecis eodem quo Sol nomine appellatur, quasi Solis gentilis, praeco et aemulus; vnde Prudentio,

Ales diei nuncius Lucem propinquam praecinit.

Simonidi ἡμερόφωνος. Martiali,

Cristataeque sonant vndique lucis aues.

Georg. Pisides noster κοσμουργίας V. 1087.

Τίς τὸν μεγιστόφωνον ἔνδον τῆς στέγης
Ἔπεισεν ὄρνιν ὡρολογεῖν τὴν εὐφρόνην
Καὶ μὴ παρόντα προβλέπειν τὸν ἥλιον,
Καὶ τοὺς ἐνύπνους ἐξυπνίζειν ἐργάτας.

Quis lucis aliti sonanti intra domum
Persuasit horas noctis vt subduceret,
Et praeuideret Sole nondum orto iubar,
Somnos sepultos opifices quo suscitet.

λαμπάδια πολλὰ παρέχει τὸ φῶς. Seneca in Herc. fur. Act. 3. de turba puellari quae per campos agitur silentes.

His datum solis, minus vt timerent,
Igne praelato releuare noctem:
Ceteri vadunt per opaca tristes.

καὶ τὸ δέξασθαι φερόμενον παράσαντα τ. malim τὸ φερόμενον referre ad impetum eius qui dum impulso vicino excipere nummos properat, ipse quoque protrusus labitur; quam ad ἀργυρίου missilia. vt in disticho Palladae,

Εἰ τὸ φέρον σε φέρει, φέρε καὶ φέρου· εἰ δ' ἀγανακτεῖς,
Καὶ σαυτὸν λυπεῖς καὶ τὸ φέρον σε φέρει.

Si fors te potior fert, fer simul atque feraris.
Si agre feras, te fors fortior vsque feret.

οἱ τοὺς ἵππους ἐπὶ ταῖς ἁμίλλαις τρέφοντες χ. Idem postea in Parasito ἀδάπνῳ, pag. 317. D. improbat equos τῶν πολιτῶν, ὡς ἐκ ἀγαθῶν ὄντων ἱπποτρόφων, probat Circenses. τουτωνὶ περισκοπήσας

τινα

τινὰ τῶν ἐξ ἱπποδρόμου καὶ γυμνασίων καὶ τῆς τοιαύτης ἀγωνίας ἠσκημένων. quod sequitur, τοῖς ὑπηρέταις ἀφικνεῖται ταῦτα. ad aureorum numismatum largitionem a Curialibus seu Senatoribus factam Officiis accensisve pertinet.

τῶν δὲ εἰσάπαξ διδόντων, ὧν δεῖ καὶ σοφίαν εἶσι μανθάνοντες. ita Reg. mnsc. quod accipiendum de philosophorum vel Sophistarum potius quam Grammatic. ludiue magistrorum discipulis; qui semel his Kal. duntaxat honorariam mercedem soluebant doctoribus, a quibus muneris quidquam accipere praeter doctrinam, insolens indecorumque esset. Idem Liban. μετριοφροσύνην hac in re suam docet, epist. ad Basil. quae τῶν ἀμοιβαίων IV. est: καλῶς δὲ κἀκεῖνο εἰκάζεις, ὡς οὐ χρήμασι μετρεῖται τὰ παρ' ἡμῶν. ἀλλ' ἀρκεῖ τῷ μὴ δυναμένῳ δοῦναι, τὸ βουληθῆναι λαβεῖν· κἂν γὰρ αἴσθωμαί τινα ἐν πενίᾳ λόγων ἐρῶντα, πρὸ τῶν πλουτούντων οὗτος. καί τοι οὐ τοιούτων πεπειράμεθα διδασκάλων· ἀλλ' οὐδὲν κωλύει ταύτῃ γε εἶναι βελτίονας. μηδεὶς οὖν πένης δεῦρο ὀκνείτω βαδίζειν, εἰ ἓν ἐκεῖνο κέκτηται μόνον, τὸ ἐπίστασθαι πονεῖν. *praeclare illud etiam coniectas, nos non statuisse pretium arti nostrae. enimuero ei qui dare non potuerit, si accipere voluerit, sufficit. nam si quem in re angusta amare studia animaduertero, hic mihi prae locupletibus erit: tametsi tales minime nacti simus doctores; at nihil vetat quin hac saltem in parte illis praestemus. Ne quis inops igitur huc accedere cunctetur; dummodo sibi hoc vnum compararit, vt firmus sit animus in labore.* O dignum doctore nomine reque Christiana propositum!

ἀλλὰ καὶ ὁ μεθύων τις αἰτίαν διέφυγε, τ. Tibullus I. lib. eleg. II.

Vina diem celebrent; non festa luce madere
Est rubor, errantes et male ferre pedes.

παιδαγωγός τις ἄγριος, τ. saeuum et plagosum ludimagistrum interpretor, vt Flaccus Orbilium praeceptorem suum I. lib. II. Epist.

— memini quae plagosum mihi paruo
Orbilium dictare. —

εὔχονται τὴν αὐτὴν αὖθις ἑορτὴν ἐπιδεῖν. haec clausula necessaria ab editione Ferrar. prorsus ἀτελῆ aberat, quam, vt pleraque alia, vet. Cod. Reg. ope olim restituimus.

ECPHRASI curriculi Heroum nihil numerosius, et concinnius, ἐῤῥυθμότερον καὶ ἀνθηρότερον; vt ab Heroicis etiam modulis ordiatur, cum hemistichiis. Ἤκουσας μὲν ὅπως. et poëtica passim affectat vocabula.

καὶ ἔτι τοῖς διαδήμασι τ. Vlysses apud Hom. II. Il. Regiae maiestatis insignia duo a Ioue data asserit, Sceptrum et Iura.

Εἷς βασιλεὺς, ᾧ ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω
Σκῆπτρον ἠδὲ θέμιςας. —

Diadematis non meminit.

καὶ εἰσὶ τῶν γινομένων. malim, *τῶν καθημένων.* ſiquidem dictum eſt conſediſſe duces.

μέλας δὲ ὁ Ἀγαμέμνων τὴν τρίχα. Hom. ibid.

— *κρείων Ἀγαμέμνων*
Ὄμματα καὶ κεφαλὴν ἴκελος Διῒ τερπικεραύνῳ.
Ceruicemque oculoſque Ioui par altitonanti.

atque Il. 1.

— *κυανέῃσιν ἐπ᾽ ὀφρύσι νεῦσε Κρονίων,*
Ἀμβρόσιαι δ᾽ ἄρα χαῖται.
— *ſuperciliis Saturnius annuit atris,*
Ambroſiaſque comas concuſſit. —

καὶ τῷ μὲν γένειον. In Philox. gloff. *Γένειον.* Barba, mentum. ſic enim diſtincte ſcribo. apud Solonem in Epig. *ἑβδομάδων* pro mento ſumitur;

Τῇ τριτάτῃ δὲ γένειον ἀεξομένων ἐπὶ γυίων
Λαχνοῦται, χροιῆς ἄνθος ἀμειβομένης,
Annis ſeptenis ter, creſcunt membra, ſubitque
Lanugo mentum, flore vigente cutis.

hic pro barba; cum exprimat *γενειήτην, εὐπώγωνα,* vel *εὐρυγένειον,* vt Nonnus in Euang. *κατὰ Ἰωάννην,* Annam pontif. vocat, a promiſſa barba, non ab amplo genere, vt ſomniarat olim Lat. ininterpres. ſcribe iam, *καὶ ὁ Νέςωρ ἐγέγραπτο μ.*

καλὸς μὲν τὴν κόμην τὸ πρόσωπον δὲ μετεῖχεν ἀθυμίας. οἷα δ. In verſione operarum mendum deme; *ſed eius vultus moerorem prae ſe ferebat* ex his Hom. Il. ψ.

— *ὄπιθεν δὲ κάρη ἔχε δῖος Ἀχιλλεὺς*
Ἀχνύμενος· ἕταρον γὰρ ἀμύμονα πέμπ᾽ Ἀϊδόσ δε.

deinde,

Στὰς ἀπάνευθε πυρῆς ξανθὴν ἀπεκείρατο χαίτην.

In vltima Deſcriptione tabulae, quae in Senatu ſpectabatur. haec verba, *Ὁ δ᾽ ἐπεςρέφετο πρὸς αὐτὸν ἠρέμα.* interpretor de tertio conuiua, qui ad eum cuius dextra alliciebatur, leniter ſe conuertebat: etc.

τὰ πρόσωπα δὲ πᾶσιν ὑπὸ τοῦ οἴνου πρὸς τὴν τῶν ῥόδων χροιάν· ἐφ. Plutarchus III. Sympoſ. I. Probl. *εἰ χρηςέον ἀνθινοῖς ςεφάνοις παρὰ πότον.* ſub fin. de roſarum vi aduerſus crapulam, ex ordore fraganti elicit etymon *ῥόδου, ὅτι ῥεῦμα πολὺ τῆς ὀδμῆς* (ſic legendum, non *ὀδωδῆς*) *ἀφίησι· διὸ καὶ τάχιςα μαραίνεται.* tum coloris ignei rationem addit, *ψυκτικὸν δέ ἐςι δυνάμει· τῇ δὲ ὄψει πυρωτὸν οὐκ ἀλόγως. λεπτὸν γὰρ αὐτῷ περιανθεῖ τὸ θερμὸν, ἐπιπολῆς ἐξωθούμε-*

νν ὑπὸ τῆς θερμότητος. hinc concolores rosis ait hic esse Bacchi minio rubentes.

IN THESIN ΕΙ ΓΑΜΗΤΕΟΝ.

Hoc ciuile Propositum vulgatum est in scholis Rhetorum; sed publica materies iuris fit a Libanio. οὐδὲ γὰρ μὴ τὸ βέλτιον ἰδεῖν τοὺς θεοὺς ἐστὶν εἰπεῖν. pendet ab aureo illo Phoenicis Homerici de Diis dicto,

— ὧν μάζων ἀρετή, τιμή τε, βίη τε.

et ex Iouis apud Hom. iactantia.

— πρότερος γενεῇ, καὶ πλείονα εἰδώς.

illud autem, ἐξεπιτηδὲς πρὸ τῶν ἀμεινόνων αἱρεῖσθαι τὰ χείρω. accedit ad Heroicum distichum παροιμιακὸν, quod Philo περὶ κόσμου ἀφθαρσίας laudat,

Οὐδὲ γυνὴ τοσσόνδε νόου ἐπιδεύεται ἐσθλοῦ,
Ὥς τε χέρειον ἑλέσθαι ἀμεινοτέρων παρεόντων.
Femina nulla bonae tantum vnquam mentis egena est.
Praeferat vt peiora bonis potioribus vltro.

τῆς οὖν ἐγέννησεν εὐχ. In Regio altera manu adscriptum est, τῆς ὧν ἐγεν. quae sincera videtur scriptura. Ad explendam lacunam, quae sequitur, plura addit Camerarius, quam corrosa obliterataque pareant in Reg. mns. a quo abest οὕτω. quod videtur suppositum pro εἶτα vacuo loco e vestigiis litt. C. Reg. coniicimus haec, δεύτερον δὲ καὶ οὐ πολλοστῷ αἰεὶ λ. hoc sensu, *Atenim primum et maximum est, cum probus quisque existit: proximum vero non longo interuallo est, cum liberos iisdem moribus ornatos exhibet.* Atque haec hactenus in Lib. dicendi primordiorum exempla breuiter obseruata sint. ad Declamationes iam gradum facientes paucula addamus.

IN DECLAMATIONES, EMENDATIONES ET NOTATA.

MΕΛΕΤΗ Graecis, Declamatio Lat. Suaſorias et Controuerſias complectitur, vt adumbrata Iudiciorum et Conſiliorum imago. A Suaſoriis declamandi ſtudium adoleſcentuli aggrediebantur; quippe cum ſimpliciores facilioreſque ſint, minuſque laboris ac iudicii requirant, ac velut *προγυμνάσματα*, quibus affines et *ἀντίστροφοι* ſunt, ad Controuerſiam operoſiorem praeparent et manuducant. Has igitur praeexercitamentis ſtatim ſubiiciendas, et Controuerſiis cauſiſue praeponendas cenſuimus. Hoc autem Suaſoriarum genus quod Libanius proponit, Heroicum vel hiſtoricum dici poteſt: quo nimirum ſuadentes vel diſſuadentes Heroes, vt apud Poëtas, inducuntur. Sic in Brutis, Caſſiis, Syllis, Antoniis, Catonibus, (qui Romani Heroes a Tullio dicuntur) declamitandis pueros Romae exercitatos a Rhetoribus fuiſſe, auctores ſunt Fabius, Tacitus, Iuuen. Sat. I.

ΠΡΟΘΕΩΡΙΑ. Haec nunc primum e vetuſtis Codd. Reg. Suaſoriae Menelai legati ad Troianos praepoſita eſt. Caeterum *προθεωρίαν*, *θεωρίαν*, *θεώρημα*, *διαίρεσιν* Graeci Rhet. appellant, quam Latini praefationem, praelocutionem, ſermonem, diuiſionem. haec enim vnum idemque valere, apud veteres dicendi magiſtros, eruditi viri obſeruarunt, qui Senecae Controuerſias et Suaſorias notis affabre accurateque cuſis illuſtrarunt: et de ſermone qui a declamaturis, tanquam futurae Declamationis pompa, antequam ad dicendum conſurgerent, haberi ſolebat, Rhetorum ſcripta diligentis penſitata expenderunt.

παῦρα μὲν λέγοι. Paraphraſis eſt verſuum Homeric. Libanio moris eſt, in pleriſque quae laudat et memorat ex poëtis, numeros ita ſoluere, vt verba tantum *ἐμφατικώτερα* retineat. extat hoc Menelai elogium apud Hom. Iliad. Γ.

> Ἤτοι μὲν Μενέλαος ἐπιτροχάδην ἀγόρευε
> Παῦρα μὲν ἀλλὰ μάλα λιγέως· ἐπεὶ οὐ πολύμυθος
> Οὐδ᾽ ἀφαμαρτοεπής.

Haec tenue, argutum et conciſum dicendi genus exprimunt. *λόγου ἰδέαν στενὴν ἤτοι γοργὴν καθυπογράφει*, Euſtathio.

τὴν δ' Ὀδ. ῥητορείαν εἰκάζει νιφάδων πυκνότητι. indidem ex hoc elogio Vlyſſeae facundiae.

Ἀλλ' ὅτε δὴ ῥ' ὄπα τε μεγάλην ἐκ στήθεος ἵει,
Καὶ ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίῃσιν,
Οὐκ ἂν ἔπειτ' Ὀδυσῆΐ γ' ἐρίσειε βροτὸς ἄλλος.

Hic eſt χαρακτὴρ καὶ κανὼν τοῦ ἁδροῦ λόγου. Plinius in epiſt. ad Cor. Tacitum lib. 1. *Si detur electio, illam orationem ſimilem niuibus hibernis, id eſt, crebram, aſſiduam et largam; poſtremo diuinam et coeleſtem volo.*

Ὅπερ διὰ τῶν αὐτῶν πολλαχοῦ κεφαλαίων ἐν ἑ. ſcribo, ὅπως δ. vt agnoſcis e verſione noſtra. *qui per eadem capita multis in locis in vtroque pergentes.* κεφάλαια εἰδικὰ dicuntur a Rhetoribus, minores quaeſtiones quae ex praecipua controuerſiae quaeſt. deſcendunt: et ζήτημα ſtabiliunt; de quibus ideo tantum quaeritur, vt de principali iudicium ſtatuatur. mox, ἐργασίαν συστέλλειν καὶ ἐκτείνειν, intellige de artificiali tractatione particularium quaeſtionum, κεφαλαίων, quam ſuppeditare, atque inuenire quae quaeſtiones in praecipuam incidant, Graeci εὑρέσει aſſignant; vt διαιρέσει tribuunt, τὸ τὴν ἀπαρίθμησιν καὶ τάξιν τῶν κεφαλαίων διδάσκειν, ex arte tractare et collocare quamque minorum quaeſtionum. Eiusdem generis et muneris eſt quod ſubiicit χαλιναγωγεῖν τὰς ἐννοίας, tanquam fraeno moderari et in gyrum cogere notiones. et contra, εἰς πλῆθος ἀφιέναι τὴν εὕρεσιν, alte excogitare et luculenter tractare quaeſt.

πρέπον ἦν ὑπὸ τ. decorum erat vt αἰνιγμάτων ἀντιθέσεις ab Vlyſſe potius quam a Menelao ſoluerentur.

διέθηκας δὲ τῶν πολεμίων πικρότερον. μηδὲ οἴεσθε τ. In caſtigatiore Reg. mnſ. legitur, διέθηκας δὲ τῶν πολεμίων πικρότερα· μὴ γὰρ οἴεσθε τ. vt mox,

οὐδεὶς γὰρ τῶν πώποτε ἠδικ. deinde ſcribe, πρὸς τοὺς προστυγχάνοντας ἑ.

ἐπεὶ καὶ νῦν ἡμεῖς ἐγώ τε καὶ Ὀδ. Ἀντήνορα τουτονὶ τὸν β. Antenor ipſe apud Hom. Iliad. III. memorat ſe comiter et benigne vtrumque Heroem excepiſſe, et dilexiſſe, V. 205.

Ἤδη γὰρ καὶ δεῦρό ποτ' ἤλυθε δῖος Ὀδυσσεὺς
Σεῦ ἕνεκ' ἀγγελίης, σὺν ἀρηϊφίλῳ Μενελάῳ.
Τοὺς δ' ἐγὼ ἐξείνισσα, καὶ ἐν μεγάροισι φίλησα·
Ἀμφοτέρων δὲ φυὴν ἐδάην καὶ μήδεα πυκνά.

ἄφθημεν ἢ μικρόν. idem Cod. εἰ μικρόν. mox muta acc. ἀφαίλετο μὲν γύναιον.

τί γὰρ ἄν τις μηκύνοι πρὸς ἀκριβῶς εἰδότας; Ad hunc modum Salluſt. in II. ſcripto de ordin. Rep. *Sed quid ego plura, quaſi de ignotis memorem?*

τȣ̃το τὸ γὰρ γύν. emendo ex eodem Cod. τουτὶ τὸ γύναιον.

τίς οὖν ὁ σεμνὸς λόγος. ad τεχνολογίαν huius ἐπαναλήψεως percipiendam, lege θεώρημα, quod e vet. Reg. Cod. transtulimus in pag. 1?9.

ὥσθε δεῖν καταλεύειν. Lapidatio apud gentiles Heroicis etiam temporibus vsitata; Hom. Il. III. eam vocat λάϊνον χιτῶνα. et Eur pid. in Orest., λεύσιμον πέτρωμα. lege diuina instituta fuerat. Exod. XXVII Leu. XX.

εὔφημον ὄνομα τοῖς κακουργήμασι τίθεσθαι. hoc pessimum genus est ὑποκορισμοῦ, de quo Horat. II. Serm. VI. *verbisque decoris Obuoluis vitium.*

οὐ γὰρ τοῖς ῥήμασιν ἕπεται τῶν πραγμάτων ἡ φύσις. Plato in Timaeo scribit, in omni oratione cum iis rebus, quae explicantur, esse cognationem, ὡς ἄρα τοὺς λόγους, ὧνπερ εἰσὶν ἐξηγηταί, τούτων αὐτῶν καὶ συγγενεῖς ὄντας.

οὐκ ἄρχοντες, ἀλλ' ἀμυνόμενοι. Ita corrigendum, et supplendum ἀδίκων χειρῶν ἄρχοντες mox etiam emend., λείπεται πολλαχόθεν.

τί δὲ ἂν εἴποις περὶ Δημοσθένους, ὃς τῶν συμπρέσβεων κατηγορεῖ. verba sunt quae passim declamitabat Aeschines; et quae sequuntur, ποῦ δ' ἅλες, ποῦ τράπεζαι, ποῦ σπονδαί. vt refert Demosthenes ἐν τῷ περὶ παραπρεσβείας. quibus Aesch. in orat. aduersaria haec opponit, τοὺς τῆς πόλεως ἅλας καὶ τὴν δημοσίαν τράπεζαν περὶ πλείστου δή φησι ποιεῖσθαι, οὐκ ὢν ἐπιχώριος, οὐδ' ἐγγενὴς ἡμῖν. *hic cum salem vrbis, et mensam publicam plurimi se facere memoret, non ex solo nostro, neque generis nostri est.*

Ἀντικρὺς δ' ἀπόφημι. Locus est apud Homerum Ilia. H. vbi cum in concione Antenor proposuisset,

Δεῦτ' ἄγετ' Ἀργείην Ἑλένην καὶ κτήμαθ' ἅμ' αὐτῇ
Δώομεν Ἀτρείδῃσιν ἄγειν.

Paris his verbis excepit,

Ἀντῆνορ, σὺ μὲν οὐκ ἔτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις·
Ἀντικρὺ δ' ἀπόφημι. γυναῖκα μὲν οὐκ ἀποδώσω·
Κτήματα δ' ὅσσ' ἀγόμην ἐξ Ἄργεος ἡμέτερον δῶ,
Πάντ' ἐθέλω δόμεναι, καὶ ἔτ' οἴκοθεν ἄλλ' ἐπιθεῖναι.

ἡ τῶν ὅρκων ἀνάγκη. huius iurisiurandi Graec. mentio fit supra in elogio Achillis, pag. 175. D. et infra in Vlyssis orat. pag. 218. C. D. προσέσχομεν Ἰλίῳ. καὶ νῦν λόγῳ διαλύεσθαι π. Auctor in praelocutione monuit, ab Herodoto traditum esse, Graecos tum demum legatos Troiam misisse, cum ad Troianam regionem appulissent. scribit certe Herod. initio Clius, τοῖσιν Ἕλλησι δόξαι πρῶτον πέμψαντας ἀγγέλους ἀπαιτέειν τε Ἑλένην, καὶ δίκας τῆς ἁρπαγῆς αἰτέειν.

AD VLYSSIS ΠΡΕΣΒΕΥΤΙΚΟΝ.

Huius orationis ſummam Vlyſſes ipſe narrat apud Ouid. Met. XIII. his verſibus,

Mittor, et Iliacas audax orator ad arces,
Viſaque et intrata eſt altae mihi curia Troiae,
Plenaque adhuc erat illa viris. interritus egi,
Quam mihi mandarat communis Graecia cauſam:
Accuſoque Parim, praedamque Helenamque repoſco:
Et moueo Priamum, Priamoque Antenora iunctum.

quod autem hic in exordio ait, *τούσδε καὶ διαῤῥήδην εἰπόντας, ὅτι προσήκει ἡμᾶς ἀποκτεῖναι λαβόντας* idem apud eundem poëtam praedicat,

At Paris et fratres, et qui rapuere ſub illo,
Vix tenuere manus (ſcis hoc Menelae) nefandas:
Primaque lux noſtri tecum fuit illi pericli.

ἓν μὲν οὖν ἐκεῖνο χρὴ πρ. Alterum prooemium, quod ornatur *ἀξιώσει.* Quod ſubiicitur *τοῖς ἀδίκως ἀπεκτονόσι καὶ πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους ὁ λόγος γίνεται* id Antiphon orator, in exordio *κατηγορίας φόνου*, firmat. *ὅςις ἀνόμως τινὰ ἀπεκτείνει, ἀσεβεῖ μὲν περὶ τοὺς θεούς· συγχέει δὲ τὰ νόμιμα τῶν ἀνθρώπων.*

πρᾶξαι τὸ παριςάμενον. clarius placet vertere, *ad id quod videtur ſuccurritve praeſtandum.*

τοσοῦτον ἐπ᾽ ὠμότητι καὶ πονηρίᾳ φρονεῖν, ὅσον εἰκὸς ἦν ἐπὶ τοῖς ἀμείνοσι. ſic etiam verti Lat. poteſt, *tantos ob ſaeuitiam ac nequitiam ſpiritus ſumere, quantos ob praeclare facta aequum fuiſſet.* mox, *κακῶς ἀκούειν θεμένοις.* qui hanc lectionem retinere mauult, interpretabitur, *Etenim qui ab initio male audire pro nihilo habuerunt. etc.* eodem recidit.

ἡμῖν δὲ τοῖς πεπονθόσι συναλγοῦντας lege Lat. *nobis qui laeſi ſumus condolentes.*

δικαίως ἂν φέροιμεν ταῦτα πάσχοντες, ἅ ποτε πεποιήκαμεν. Ariſtot. v. Eth. Nic. *περὶ τοῦ ἀντιπεπονθότος*, ius Rhadamanthys hoc eſſe ait,

Εἴ κε πάθοι τά κ᾽ ἔρεξε, Δίκη κ᾽ ἰθεῖα γένοιτο.
Si quae quis fecit cuiquam, patiatur, erit ius.

Quae deinceps ſequuntur refutant ea quae apud Herodotum lib. I. Troiani Graecis obiiciunt, *προφέρειν σφι Μηδείης τὴν ἁρπαγήν. ὡς οὐ δόντες αὐτοὶ δίκας, οὐδὲ ἐκδόντες ἀπαιτεόντων, βουλοίατό σφι παρ᾽ ἄλλων δίκας γίνεσθαι.*

εἰ δὲ τὸ μέλλον ἀκριβῶς μὲν οὐκ ἔςι προϊδεῖν. Salluſt. in Epiſt. II ad Caeſ. de ord. Rep. *cum non de futuro quisquam ſatis prudens ſatisque callidus ſit.*

ὑπὲρ

ὑπὲρ οὕτω ἀνομοίων ἄθλων ἄν. hic ἀνομοίους ἄθλους intelligo; non ἆθλα. siquidem de certaminibus et viribus agitur, non de praemiis. sed traiecta vocula est in edit. Lat. *pro tam dispa-ribus certaminibus.*

καὶ τοῦτό ἐστι βασιλεὺς εἰ μὴ πρ. *Ea*, inquit, *Regis suo nomine digni, virtus est, vt sit felicitatis moderator etc.* Eadem gnome luculentius tractatur a Dione Chrysostomo, ἐν τῷ περὶ βασιλείας καὶ τυραννίδος. pag. edit. nostrae 587. ad quam videsis quid a nobis adnotatum sit.

Ὁ δὲ χείρω τῶν ὑπηκόων παρέχων ἑαυτὸν, εἰκότως ἂν ἀφεὶς τὴν βασιλείαν εἰς τοὺς ἀρχομένους τάττοιτο. D. Io. Chrysostomus in conc. περὶ ἀρχῆς, de Ozia rege loquens, quem Azarias Pontifex increpans, quod incensum adolere Deo aggressus esset, Regem non appellauit) ἐπειδὴ, inquit, αὐτὸς ἑαυτὸν προλαβὼν ἐξέβαλε τῆς τιμῆς. ὁ μὲν γὰρ ἁμαρτίαν ποιῶν δοῦλός ἐστι, κἂν μυρίους ἐπὶ τῆς κεφαλῆς ἔχῃ στεφάνους. *quoniam seipsum anteuertens regia dignitate spoliauerat. nam qui peccat seruus est, quamuis sexcentas capite gestet coronas.*

ἀπελθόντος τοῦ πατρὸς εἰς τὴν ἐκείνου τάξιν παριέναι τὸν πρεσβύτατον· ἄλλως εἰ κ. Ius primigeniorum semper viguit in Regnis successione non electione constitutis: quod sacris etiam Regum Chronicis firmatur.

καὶ πολύ γε δεινότερον τὸ πεῖσαι γενέσθαι φαύλην, τοῦ πρὸς ἀνάγκην καταισχῦναι. ex Lysia de Eratosthenis caede, ὁ νομοθέτης τοὺς βιαζομένους ἐλάττονος ζημίας ἀξίους ἡγήσατο εἶναι ἢ τοὺς πείθοντας. τῶν μὲν γὰρ θάνατον κατέγνω· τοῖς δὲ διπλῆν ἐποίησε τὴν βλάβην· ἡγούμενος τοὺς μὲν διαπραττομένους βίᾳ ὑπὸ τῶν βιασθέντων μισεῖσθαι· τοὺς δὲ πείσαντας, οὕτως αὐτῶν τὰς ψυχὰς διαφθείρειν, ὥστε οἰκειοτέρας αὐτοῖς ποιεῖν τὰς ἀλλοτρίας γυναῖκας, ἢ τοῖς ἀνδράσι, καὶ πᾶσαν ἐπ' ἐκείνοις τὴν οἰκίαν γεγονέναι. *Legislator vim inserentes leuiore poena dignos esse duxit, quam suadentes: illos enim capite condemnauit; bis duplicem mulctam irrogauit. cum censeret eos qui vi exigunt in odio esse iis qui vim passi sunt: eos vero qui suaserunt, sic animos deprauare, vt magis peculiares sibi reddant alienas mulieres, quam maritis; vtque omnis in ipsos domus inclinata recumbat.*

ὧν τὸ πολλοστὸν μέρος ἦρκει τὴν πρώτην. ita scribe et dispunge. *multesimam partem*, pro minima, cum Lucretio verti, ex hac Attica phrasi.

ἢ κυβερνήτης περὶ τὸ σκάφος ἐκείνοι τὰς ὑφάλους, αἷς ἂν πρ. non insolens est haec numerorum ἐναλλαγὴ Att. licet tamen leg. κυβερνῆται κ. *gubernatores*, inquit, *scopulos caecos, quorum apicibus allisum nauigium semel pertuderint, secunda vectura euitant.* id senarium paroemiacum monet,

Δὶς

Δὶς πρὸς τὸν αὐτὸν, τοῦτον ἐστι σοφοῦ.
Prudentis haud est bis eodem allidere.

pr. lin. Lat. scribe, *damna et incommoda; probra quae audiet, taceo.* καὶ τὸ τῆς ἀδοξίας ἐν ἐπιθήκῃ. *certamini ancipiti accedet ignominia.* ex illo Hesiodio,

Νίκας τε στέρεται καὶ μετ' ἄλγεσιν αἴσχεα πάσχει.

IN ACHILLIS ANTIΛOΓIAN. In inscriptione, ΠΡΟΣ ΤΟΝ ΟΔΥΣ. ΕΝ ΛΙΤΑΙΣ πρεσβευτικόν. intelligit orationem habitam ab Vlysse legato ad Achillem apud Homerum in Λιταῖς, hoc est, lib. IX. Iliadis, qui Λιταὶ inscribitur, ob oratorum preces.

οὐκ ἐπὶ τοὺς οἰκείους χρῆσθαι νόμος. nec lex, inquit, neque mos vnquam fuit vllis animi dotibus et corporis viribus aduersus suos vtendi. qui id fecerit, ab eodem Achille apud Hom. ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιος. *sine amicis, sine lege, sine lare* esse asseritur, vt belli ciuilis amans. εἰ μὴ παρελθὼν Ἀντήνωρ ἐξῃτήσατο. *vtrumque arreptum occidissent, nisi Antenor intercessisset et exemisset.* id ex superiori Vlyssis orat. liquet, pag. 200. C. τὴν μὲν γὰρ φιλοτησίαν προπίνων, χ. Hos Homeri versus indigitat, Iliad. I.

Πλησάμενος δ' οἴνοιο δέπας, δείδεκτ' Ἀχιλῆα,
Χαῖρ' Ἀχιλεῦ, δ.

θαυμάζω δὲ, ὅπως οὐ συνίετε τῇ πρεσβείᾳ μείζω ποιοῦντες, οὐ λύοντες τὰ ἐγκλήματα. haec ita vertere in animo habui, *Miror autem qui non intelligatis, vos hac legatione maiora facere crimina, non soluere.* et quae iam sequuntur per προσωποποιΐαν dicta, ὡς ἐμοὶ μόνῳ τῶν ὑ. *Mihi soli e coutumeliosis non est venia danda.* absunt ab ironia.

κυρίου τὰς ναῦς εἶναί τε καὶ διεφθάρθαι κατὰ τὸν σὸν Ὀδ. λόγον. haec Vlyssis verba ex eodem lib. innuit,

— ἐν δοιῇ δὲ σαωσέμεν ἢ ἀπολέσθαι.
Νῆας ἐϋσσέλμους, εἰ μὴ σύ γε δύσεαι ἀλκήν.

καὶ οὐδὲν ἐδεόμην λέγειν ἃ τ. Latina sic recentabam; *Ac nihil sane opus habui, q. r. i. o. etenim iis qui magnos iure spiritus gerunt, non tam a semetipsis laudes sumere, quam rebus gestis testimonium producere conuenit.* quasi diceret, Magno praeditos animo, laudes suas ore proprio praedicare non decet, sed rerum gestarum testimonio comprobare. τὴν χώραν τῶν λελυπηκότων. Lat. reddo, *Quaenam regio esset eorum qui ipsos tristitia affecerant.* de hoc supra in Achillis elogio, pag. 72. B. ὁ τῶν Μυσῶν ἡγούμενος ὑπ' ἐμοῦ τιτρώσκεται. Ouid. XIII. Met.

— *ego Telephon hasta*
Pugnantem domui, victum orantemque refeci.

ἐπεὶ δ' ἀφικόμην, ἀρχεῖν ἡγησάμην. scribe ἀργεῖν ἡγ.

τὴν

τὴν Χρύσην, τὴν Κίλλαν, τὴν Τέν. Idem Naso,

Quod Thebae cecidere, meum est, me credite Lesbon,
Me Tenedon, Chrysenque et Cillan, Apollinis vrbes,
Et Scyron cepisse: mea concussa putate
Procubuisse solo Lyrnesia moenia dextra.

σιωπῶ Τρ. de quo Hom. Iliad. ω.

Οὐ γὰρ ἰσχυρισάμην εὐθὺς ἐκ τῆς π. verte, *Non enim obnixe contendi statim ob infamiam Chrysae irrogatam exercitum morbo vexatum esse.*

οὐ γέγονεν ἐκ τοῦ παντὸς χρόνου προπηλακισμὸς δεινότερος. Iul. Caesar apud Sallust. in Catil. *Non cuiquam mortalium iniuriae suae paruae videntur: multi eas grauius aequo habuere.*

ἀλλ' ὧν εἰς ἡδονὴν πάντα ἐλάττω. in Lat. voculam muta, *Sed quae ad gaudium omnino augendum faceret*; aut dic verbatim, *Sed prae quibus ad gaudium cuncta forent leuiora.* et statim, συνεύχεσθαι αὐτῷ πολέμου κράτος, interpretor, *iungere vota cum ipso vt in bello victoriam reportaret.* τὰς ἐξόδους ὡρίζετο τῇ δρυΐ. dixit δρῦν ἀντὶ τοῦ φηγοῦ, quercum pro fago, ex his Achillis verbis apud Hom. Il. K.

Οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεν' Ἕκτωρ,
Ἀλλ' ὅσον ἐς Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανε.

σὺ δὲ σοφίζῃ καὶ διαστρέφεις τὸν λόγον. diceres breuius, *tu captioso et peruerso sermone vteris.*

τῆς ἐπιεικείας αὐτὸν ἐκεῖνον ἔφασκεν τὸν μισθόν, τ. etiam interpretor, *modestiae ac sapientiae illam aiebat esse mercedem. etc.*

ὄφρα σε μᾶλλον Τίωσι Τρώων ἡμὲν νέοι ἠδὲ γέροντες. Vlysses Homericus dixit Achilli, ὄφρα σε μᾶλλον Τίσωσ' Ἀργείων ἤ. sed consulto voluit hic Achilles παρῳδίᾳ διαστρέφειν λόγον. alioqui vertendum fuisset, — *quo tibi honorem Argiui tribuant.* καὶ τί κωλύσει καὶ τοῦτον αὐτὸν καὶ τὸν εὔπορ. ita tralatum volui, *Ecquid prohibeat et hunc ipsum et quemuis locupletem licenter et intrepide alios offendere. etc.* Ideo Q. Labeo legem Decemuiralem non probabat, quae ita de iniuria punienda scripta erat, *Si iniuriam alteri faxit, XXV. aeris poenae sunto.* quare, vt idem IC. in libris quos ad XII. Tabb. conscripsit, refert, *L. Neratius egregie homo improbus, atque immani vecordia, pro delectamento habebat os hominis liberi manus suae palma verberare: eum seruus sequebatur crumenam plenam assium portitans; et quemcunque depalmauerat, numerari statim, secundum XII. Tabb. quinque et viginti asses iubebat. propterea praetores postea hanc legem abolescere et relinqui censuerunt, iniuriisque aestimandis recuperatores se daturos edixerunt.* A. Gellius, c. I. l. XX.

ἐπαγ-

ἐπαγγέλλεται· καὶ περὶ μὲν τῶν μελ. ſic Gr. interpungo, et Lat. *promittuntur: de futuris etiam haec dico.* mox haec verba, ὥστε οὖν ἐκ τοῦ λόγου τὴν ναῦν τοῦ χρυσοῦ. ad hunc Homeri verſum ſpectant,

Νῆας ἅλις χρυσοῦ καὶ χαλκοῦ νηήσασθαι,

ὥστε οὐδὲ πάντων ἄφις. verſionem exple, *Itaque ne omnibus quidem quae in t.*

ὥρα λάμπει σώματος· ἀλλ' ἐκ ἀ. Salluſt. in prooemio Cat. *Diuitiarum et formae gloria fluxa atque fragilis eſt.* Virg.

— *nimium ne crede colori.*

mox, ὧν ὁ μὲν εὐχῇ τὸν λοιμὸν ἔλυσεν. emendo, τὸν λιμὸν &c. *precibus famem compeſcuit.* ex Apollodori Bib. III. ἦν εὐλαβέστατος ἁπάντων Αἰακός· διὸ καὶ τὴν Ἑλλάδα κατεχούσης ἀφορίας διὰ Πέλοπα, χρησμοὶ θεῶν ἔλεγον ἀπαλλαγήσεσθαι τῶν ἐνεστώτων κακῶν τὴν Ἑλλάδα, ἐὰν Αἰακὸς ὑπὲρ αὐτῆς εὐχὰς ποιήσηται· ποιησαμένου δὲ εὐχὰς Αἰακοῦ τῆς ἀκαρπίας ἡ Ἑλλὰς ἀπαλλάττεται. vnde perſpicuum eſt, Aeacum ex oraculari reſponſo Graeciam annonae incendio et penuria vi precum ſuarum liberaſſe. εἰ δ' ὥσπερ Ὀρέστην μὲ Τιμ. eo refer,

— τίσει δὲ σε ἶσον Ὀρέστῃ
Ὅς οἱ τηλύγετος τρέφεται θαλίῃ ἐνὶ πολλῇ.

quod ſequitur, τὸ τὸν Ὀρέστην αὖθις ἰδεῖν. expono, *quod Oreſtem iterum videre poſſit.* ὥσπερ οὖν ὑμῖν ἀπολαμβάνουσιν οὐκ ἂν ἀπέχρησεν, οὐδ' ἑτέρῳ. adde verbum verſioni, *Ergo vt vobis, cum reciperetis, non ſufficeret; ita nec alteri.*

κατ' αὐτὸν τὸν χρόνον· τὸ γὰρ μὴ νῦν, ἀλλ' εἰς ὕστερον παθεῖν, ἐν τῷ μέλλειν ἔχει τὸ κέρδος. ἄλλως δ' ὅτ. haec laborabant ab interpunctis et proſodia. ſenſus idem qui verſiculi Ouidiani,

— *habent paruae commoda magna morae.*

eodem tendit adagium Gall. *le terme vault l'argent.* mox, παρὰ τῶν κρειττόνων ἀ. ad Diuos, qui κρείττονες dicuntur, referrem. vt de Agamemnone dicat, quod Virg. de paſtore negligente,
— *meliora Deos ſedet omina poſcens.*

αὐτὴ ἡ προθυμία, κἂν ἀπῇ τὸ κατορθοῦν, τιμῆς ἀξία. Pelignus Poëta,

Vt deſint vires, tamen eſt laudanda voluntas.

ὁ τῷ πονηρῷ δοὺς ἀδικεῖν, παῦσαι παρὸν, μᾶλλον αὐτὸς εἴργασται. eadem mente Cato M. dicere ſolebat magiſtratus, qui male agentes prohibere poterant, nec prohibebant, ad mala hortari. quod in ſcribendum eſſe apud Plutarch. ex mnſc. C. olim firmauimus. ἔλεγε τοὺς δυναμένους κωλύειν τοὺς κακῶς ποιοῦντας, ἐὰν μὴ κωλύωσι, κατακελεύειν. non καταλείπειν, vt quidam excuſi libri habent.

AD PATROCLI SVASORIAM.

HAC vetus in tela deducitur argumentum; ex Iliad. XIV. cuius inscriptio est Πατρόκλεια.

Ὥς τε καὶ ἀπέσκωψάς μου. Paraphrasin horum versuum persequitur,

Τίπτε δεδάκρυσαι Πατρόκλεις, ἠΰτε κούρη
Νηπίη, ἥθ' ἅμα μητρὶ θέουσ' ἀνελέσθαι ἀνώγει.
Εἱανοῦ ἁπτομένη, καί τ' ἐσσυμένην κατερύκει,
Δακρυόεσσα δέ μιν ποτιδέρκεται, ὄφρ' ἀνέληται.

καὶ προβάλλεις ἐμοὶ π. in recentiore mnsc. Reg. scribitur παραβάλλεις ἐ. quod non est ἄκυρον, cum haec sit παραβολή. in cod. etiam legitur ἀναγκάσαι χολαιότερον τήν τε. quae elegantior lectio est. et mox, ἔτυχον παρά σκ. et paulo post, τῆς τῆς Ὀδυσσέως γλώσσης ἀποτυχούσης κ. *Vlyssis lingua frustrata.*

ἕως ἦμεν ἱκανοὶ δυστυχεῖν. In eod. C. scriptum est, ἕως ἱκανοὶ δ. et sic ἐκλειπτικῶς legendum videtur, vel expressius ἕως ἦσαν ἱκ. vt interpretamur.

mox leg. Πατρόκλῳ δακρύσαντι κ. deinde τῆς ἀθυμίας καταβαλούσης ἀ. et θεραπείας σκ τρόπον.

ἔςι καὶ τιμωρία τὸν κ. vsque ad εἰ δὲ σιγῇ τ. parenthesi includenda sunt; et scribendum Lat. *Quod si tacite contumeliam tulisset, te formidasse visus fuisset.* καὶ ὡς ἐμεμψάμην ἀκ. *ceterum vt cum culpauerim, q.*

ἀλλ' ὥσπερ αὐτὸς Νέςορι πρ. haec de Agamemnone intelligenda, *tanquam Rex ipse Nestori pr.*

εἰδὼς μετρίαν πολλάκις θεραπείαν ν. sic vocat mediocre et idoneum remedium: vt Arist. I. Eth. N. ἀγαπητὸν ἀγαθὸν dicit, quo quisque contentus est.

πρὸς ἡμετέραν τιμήν, ἀ. *tributa honori nostro.* ad tuum et tuorum decus.

τοξικῆς ἀριςείας αὐτῷ κουφιζούσης τὸ φρόνημα· πρώην τε ὅτε τὸν Χρ. *cum sagittandi praestantia animum ipsi inflaret: et nuperrime cum Chr.*

μόνῃ δὲ τῇ τῦ Διὸς κρατοῦντος εὐνοίᾳ κ. scribe, κρατοῦντας εὐν. *sola Iouis pollentes ben.* καλὴν γὰρ ἅμα σωφ. Si hanc lectionem germanam putas, verte, *Nam et honestam simul continentiam sibi testificatur, ac f.* quae sequuntur, ita scribuntur in recentiore Cod. Reg. τοσούτων δὲ ὅμως ἀφελκομένων, εἰ τοιοῦτον ἐγχείρημα προσάψειεν, οὐ μ. *nihilominus cum tot ac tanta distraherent, si tali facinori attentarit, non reprehendo eodem ac tu moerore detentum.*

καὶ

καὶ πρὸς τῆς Βρισέως αὐ. fortean leg. πρὸς τὸν τῆς Βρισ. vel πρὸς τὴν τῆ Βρ. *ad Brisei filiae cupidinem ipf.*

ἵνα μάθῃ δυστυχήσας ὁ βασ. Ex Achillis Homerici dictis, Iliad. 1.

Γνῷ δὲ καὶ Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων
Ἣν ἄτην, ὅτ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισε.
Vt Rex Atrides noxam et sua crimina norit;
Cum spreuit tam praestantem virtute Pelasgis.

quare hic subiicit, *His matrem tuam verbis affatus es. n.* sic enim scripseram.

ὁ μὲν οὖν καιρὸς ἰατρὸν τοῖς νοσῦσιν ἐκάλει. *Opportunitas igitur medicum aegris accersebat.* mox legitur in Reg. mnsc. recent. ἀλλὰ μήπω τι δράσ. et statim scribendum, τοσάτῳ μάζονα δίδωμί σοι πρ.

τὸν Αἰακὸν τῷ Διὶ προσευξάμενον τ. de effectu precum Aeaci dictum est in superiori orat. p. 243. iam interpunge, θεάσῃ τὸν Δία, θεμ.

τὸ θαῤῥεῖν λαβὼν παρὰ σῦ μ. *sumptae a te* [*qui aberas a praelio*] *fiduciae oblitus est, male sobrius videlicet.* μέχρι τίνος ἑστιᾶταί σε τῆς ὀργῆς· οὐ χαλάσει λοιπὸν τὴν ὀφρύν; germanam sequor scripturam, *quoad tua depascetur ira?* h. e. quamdiu iracundiae tuae fructu fruetur? *nonne imposterum demittet supercilium?*

ὡς ὁ ἑταῖρος ἐγώ, κ. in alio regio scribitur, ὁ σὸς ἑταῖρος ἐ. eodem recidit. ἀμφοτέρων ἡ κρίσις πέφυκεν ἀρετή. coniicerem scribendum ἡ κρᾶσις. quam *moderationem* dixi. dic sis *temperationem.*

σὺ τὸν ἠτυχηκότα, τὸν ἱκέτην σ. *infortunatum supplicemque tibi effinge.* in eod. Regio legitur, ἠτυχηκότα, πρὸς τὸν οἰκέτην σ. nihil sollicito.

ἀγωνίας ἱκανῆς συνάχθομαι. idem ille regius habet συνήχθημεν.

IN DECLAM. V. ORESTIS.

Orestes in priori parte ἀντεγκλήματος, ostendit Deos per signa, omina, rumores, vaticinia hominum, et oracula, significare quae ipsis placent et decreta sunt, καί τοι διὰ τούτων οἱ θεοὶ σημαίνουσι τὰ δοκοῦντα. vt Socrates apud Xenophontem in Apolog. τὸ προειδέναι γε τὸν θεὸν τὸ μέλλον, καὶ τὸ προσημαίνειν ᾧ βούλεται, ὥσπερ ἐγώ φημί, οὕτω πάντες καὶ λέγουσι καὶ νομίζουσι. et de oraculo Pythii Apollinis. ἡ δὲ Πυθοῖ ἐν τῷ τρίποδι ἱέρεια, οὐ καὶ αὐτὴ φωνῇ τὰ παρὰ τῦ θεοῦ διαγγέλλει; quibus conuenienter hic subiicit Orestes, Ἐγὼ μὲν ἠρώτων, σὺ δ' ἐπέτρεπες. Sic idem apud Euripidem in Oreste, crimen μητροκτονίας in Apollinem reiicit, vbi ita Menelaum alloquitur, ἔστιν ἡμῖν ἀναφορὰ τῆς συμφορᾶς. Φοῖβος κελεύ-

κελεύσας μητρὸς ἐκπρᾶξαι φόνον. *Nobis facinoris in Deum reiectio est. Matrem enecare Phobus imperauerat.*

ἤ γε δι' ὑποψίας ἄγει τοὺς βίους. *status hominum in suspicionem vocat.* haec prima adulterii labes. βίος pro statu et conditione vitae hic vsurpatur.

φυλάττει μὲν σωφροσύνῃ τὴν πόλιν, οὐ μ. totum hunc circuitum repeto, et compleo Lat. *quod quantum in ipso situm esset, ciuitatem continentia seruaret, dum non eos tantum qui nunc lasciui et petulantes sunt, verum etiam postea futuros mature exemplo reprimit: deinde semetipsum probro liberaret; c.*

ψῆφον ἐνέγκατε σήμερον πρ. ita scribe, et Lat. *sententiam ferte hod.*

In Declam. VI. Morosi Se Deferentis.

Quam celebris fuerit huius Declamationis recitatio et quanto apud maximos viros in pretio, ex illis Basilii Magni epistolis quas proposuimus inter Libanii elogia, facilé est perspicere. Ceterum huius generis declamatiunculam legimus apud Fabium, numero CCCXXXVII. cuius summae prima verba sunt: *Qui causas in Senatu voluntariae mortis non approbauerit, insepultus abiiciatur.* et clausula est, *Vult mori pauper, ratione in Senatu reddita.* Declamat. proemium, Mori volo.

πρότερον ἐγκαλέσαις τοῖς λίθοις λαλεῖν ἢ τῇ κόρῃ. Naso Metam. II. in periuri senis Batti responso ad Mercurium:

Tutus eas, Lapis iste prius tua furta loquetur.
Et lapidem ostendit. —

ἐπ' αὐτὸν ἐμὲ κεκίνηκα τὸν ἀνάγυρον. actum ageremus si moneremus ortum esse hoc adagium ab Anagyro teterrimi odoris frutice, ac de iis qui sibi ipsis malum accersunt dici solitum; vt a Suida et παροιμιολόγοις obseruatum est. Idem Libanius epist. quadam ad Anatolium eodem quo hic sensu vsurpauit. ὁρᾷς ὅτι κρεῖττον ἦν σοι μὴ κινεῖν τὸν ἀνάγυρον. νῦν δὲ ἐπιθυμήσας μοι λῦσαι τὴν σιωπὴν, ἐπὶ σαυτὸν ἔλυσας, καὶ ῥεχθὲν ἔγνως· καὶ ταῦτα οὐκ ὢν νήπιος.

ἤνεγκα ἂν ὑπεραβελτ. Eodem pertinet illud Propert. Eleg. XV.

Sis quodcunque voles, non aliena tamen.

quod ita in Graeca nostra Paraphrasi expressum est,

Ἔσσο μεν ὅ, ττι σὺ λῇς· οὔ ποτε δ' ἀλλοτρίη.

Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. Sophoclis est in Aiace lorario, quae Tecmessa audita a viro suo refert, ἀεὶ ὑμνούμενα. Quo accedit illud Euripid. in Heraclid.

Γυναικὶ σιγή τε, καὶ τὸ σωφρονεῖν Κάλλιστον.
In femina silentium et modestia Pulcherrima.

αἰμ-

πέμψατέ με ταχέως εἰς τὴν τελέαν ἡσυχίαν· ὦ. Vir pereruditus, qui nouissime de funeribus Rom. scripsit, lib. II. vbi de planctu disserit, apposite hunc Libanii locum laudat, nec a versionis nostrae verbis discedit, nisi vbi τὸ ὅταν κόπτωνται αἱ γυναῖκες, vertimus, *cum praeficae plangerent.* nam ibi *mulieres* verbatim transtulit. veruntamen idem cap. de praeficis docte obseruat γυναῖκας κοπτομένας passim a Graecis dici, quae a Latinis Praeficae.

IN DECLAM. VII.

In argumento, alius Cod. mnsc. Reg. ἀττικωτέραν, opinor exhibet scripturam, ἵππον λαβὼν τῶν ἐξ ἱπποδρόμου, ἤ. vt in ipsa Declam. pag. 317. D.

Hic Parasitus, Gelasimus alter est Plautinus, qui in Sticho ait se *non pauxillulam in vtero gestare famem, verum hercle multo maximam et grauissimam.* quid enim aliud volunt haec Parasiti nostri verba? οὐ φωνὴ πάρεστί μοι λιμῷ προαπειρηκότι. *Prae moerore ego miser atque aegritudine* (inquit ille) *Consenui; pene sum fame mortuus.* hic, τί ἐστί μοι βιωτὸν εὐωχίας πολυτελοῦς ἐκπεπτωκότι; ille, *Damna euenerunt maxima misero mihi.*

Potationes plurimae demortuae.
Quot adeo coenae, quas defleui mortuae?
Quot potiones mulsi? quot autem prandia?

οὐδέν τι παύομαι τοῖς περὶ δεῖπνα πρώτοις ἀπαντηκώς. in alio Regio Cod. integrior est scriptio. καὶ οὐδέν τι παύομαι ὁμιλῶν τοῖς περὶ δεῖπνα πρώτοις ἀπαντηκόσι. *nec vnquam desino cum iis versari qui inter primos coenis occurrunt.* eos nimirum indigetat, qui cum Gelasimo praedicant,

Quis coena possit? ecqui poscit prandio? etc. de quibus Aristoph. in Neb.

Οἱ βάρβαροι γὰρ ἄνδρας ἡγοῦνται μόνον.
Τοὺς πλεῖστα δυναμένους φαγεῖν τε καὶ πιεῖν·

mox in cod. Regio scribitur, καὶ ὁ τόπος εὐτρεπής. aptius, de parato, congruo ei commodo conuiuis loco. εἰς ὀξύτητα διηγειρόμην. Gelasim.

Ego illo me hercule vero eo quantum potest.

τρέχειν ἀπενόησα κατὰ τοὺς Μήδων ἀλαζόνας, ὁ π. de Medis equitibus Xenophon I. παιδείας, ἐφ' ἵππου στειλάμενος εὐτρεπῶς. Regius hic εὐτρεπῶς. congruentius ei qui praeclare instrato equo decenter insidet. mox ex eodem cod. scribe, τάχος τε γὰρ οὕτως ἡγησάμην πρ. deinde, κρίνας δ' οὕτως. et, παρ' οἷς οὐκ ἔλαττον ἐμοῦ τ. et, εὐθὺς τῶν λουτρῶν ὁ μάταιος ᾠχόμην, ὡς ὦ. hoc sensu, *confestim e lauacris vanus sum egressus; tum subito o.*

 ἐτύγχανο

ἐτύγχανε μὲν πρὸ τῆς τοῦ κεκληκότος οἰκίας, βωμὸς Ἑστίας. *Exstructa fuerat ante aedes eius qui inuitarat Vestae ara.* vt credam hanc germanam esse lectionem, facit quod pag. prox. dicitur, *ὦ μισάνθρωπος Ἑστία*, et quod vestibulum a Vesta dictum eique dicatum constat. mox *μύωπος πλήξαντος*, *calcare subito percussus.* sic malim ambiguum *μύωπα* accipere. *νύσσα* porro in hypothesi *καμπτὸς* dicta est meta; atque hinc aram et metam circensem *ὁμοιοειδῆ* fuisse, et similitudinem aliquam inter se habuisse patet; cum equi *εὐφαντάστου* visum eluderent. Pro speculo certe arae priscae Philomusis erit Simmiae seu Theocriti *βωμός.* Ceterum Scholiastes Aristophanis in hunc *Σφηκῶν* locum, Βδελ. *Ὦ δέσποτ' ἄναξ· γεῖτον Ἀγυιεῦ τοὐμοῦ προθύρου πρὸς πύλαις. Δέξαι τελετὴν καινὴν, ὦ 'ναξ.* variis *Ἀγυιέων* [quae columellae erant in acutum desinentes ante ianuas erectae et Apollini Bacchoue consecratae] generibus expositis addit; *εἶεν δ' ἂν οἱ παρ' Ἀττικοῖς λεγόμενοι Ἀγυιεῖς, οἱ πρὸ τῶν οἰκιῶν βωμοὶ, ὡς Σοφοκλῆς μετάγων τὰ Ἀθηναίων ἔθη εἰς Τροίαν, φησὶ, Λάμπει δ' Ἀγυιεὺς βωμὸς ἀλμίζων πυρὶ, Σμύρνης σταλαγμοὺς βαρβάρους εὐοσμίας.* *fuerint*, inquit, *etiam qui dicuntur ab Atticis* Ἀγυιεῖς, *Arae ante aedes; vt Sophocles dum Atheniensium consuetudines Troiam transfert*, ait, *Agyea fulget ara fundens ignibus Stillas odoris myrrham olentis barbaras.*

θεήλατόν τι μήνιμα, dictum est, vt *ξυμφορὰ θεήλατος* Euripidi, in principio Orestis, quod verbis Attii expressimus.

ἐπειδὴ τῶν κεκλημένων τις ἐκλίπῃ τὴν σύνοδον. Cicero in Vat. probro vertit, *violasse nomen epuli, morem veterem, eius qui te inuitarit autoritatem.*

τὸ συμβεβηκός; ἀσχολίαν δέ; Regius ille castigatius scribit, *ἀσχολίαν*;

λοιμῷ δ' οἴκτιστον θανέειν κ. ex Odyss. XII. refutatur a Platone III. de Rep.

εἰ δὲ θέλητε γρ. literula intercidit in vers. *si vobis hoc etiam libuerit.*

μηδ' ἐποχούμενον αὐτῷ γρ. versio consentanea est alteri lectioni; *μηδ' ἐποχούμενος αὐτῷ γραφέσθω.* haec clarior postulat vt vertas, *at nec equo vectum.*

In Decl. VIII. Invidi Se Deferentis.

τοῦτον δὲ κηρύττειν τ. repone ex alio Reg. mnsc. *τοῦτον δεῖ κηρύττειν τ.* *hunccine opus est morbum praedicare; quem si quis alius obiiceret, succensere par esset contumeliae imputare?* leue istud, *ἀγανακτεῖν ἔδει* [pro *ἐχρῆν*] *καὶ δοκεῖν ὑβρίσθαι*; cum interrogationis nota.

καὶ τί τὴν πολλὴν ἀδικίαν ἔχει καὶ μέμψιν; *quid vero multam in se iniustitiam ac reprehensionem continet?* q. scribe statim, ἄτ' ὄνομα μὲν κοινὸν, ἐλεύθεροι· τὰ δὲ ἔργα τῶν μὲν ἃ δεσποτῶν ἐστι τ.

τὸν λόγον. ἀλλ' ὑμεῖς, ὦ πεντακόσιοι, φαίητ' ἂν εἶναι π. *Sed, o Iↄ viri, diceretis ne vos esse impr.* hic obserua Iudicum numerum etiam in eiusmodi caussis.

πολλοῖς εὕρισκον τεκμηρίοις ἄλλων γεγενημένων. *multis indiciis certis comperiebam alium esse factum* statim lege, vt in alio Regio scriptum est, καὶ τῶν ὑποκριτῶν ὀξύτερον τὸ σχῆμα μεταβέβληκεν· et paullo post, ἄλλοι δαιτυμόνες ἥδιόν τε κ. mox, ἢ τὰ μὴ ὄντα ὁρᾶται. a coniectura mea stat Hippoc. περὶ τέχνης. in alio tamen Regio C. scriptum est, ἢ τὰ ὄντα ὁρᾶται. hoc sic verto, *an quae sunt reapse videntur?* et statim, *conclaue virorum facere bibentibus tumulum.*

ἐφ' ᾧ καλούμενος κρύπτομαι. τ. melius in alt. mnsc. Reg. scribitur, ἐφ' ὃ κ. *ad quam* [coenam scil.] *accersitus occultor.*

οὐχ ὁρᾶτε τὴν ῥῖνα, ὡς ὀξεῖα; ex Hippocratis Κωακῶν καὶ προγνώσεων CCXII. ὀφθαλμοὶ κοῖλοι, ῥὶς ὀξεῖα, κρόταφοι συμπεπτωκότες, ὦτα ψυχρὰ καὶ συνεσταλμένα. etc. inter lethalia signa habentur.

καὶ διαλύσονται ῥᾳδίως. scribe vt in al. Reg. διαλύονται ῥ.

τούτοις τὸ τὴν συμφορὰν ἄνωθεν συμπροελθῶν. Sic emendandum, hoc παραμυθητικῷ vtitur, qui ait apud poëtam, *O socii, (nec enim ignari sumus ante malorum.* vt mox, ἀμυδρὰν ἔχει τὰ ὦτα τὴν λύπην· διὰ δὲ τῶν ὀμ exprimit illud Flacci,

Segnius irritant animos demissa per aures. etc.

ἀλλὰ κἂν ἄλλον κωλύσαιμι. *quin alium quoque id facere prohiberem.*

In IX. Declam. Timonis Se Deferentis.

Prima Suasoriae huius verba, Πάλιν ὑμῖν Τίμων ἐ. primis Iuuenalis Satirae IV. consonant, *Ecce iterum Crispinus.* πόῤῥω τῆς ἀνθρώπων ὄψεως τυγχάνειν. *longe a conspectu hominum abesse.* Homer. Il. VI. de Sarpedone,

— οἶος ἀλᾶτο

Ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων.

Ipse suum cor edens, hominum vestigia vitans.

Cic. interpr. III. Tusc. hac de re fusius infra pag. 347. sequitur, κινδυνεύω μηκέτ' εἶναι Τίμων, ἢ μ. ita Sosia Plautinus, — *illud nomen quaerendum est mihi.*

Vbi ego perii? vbi immutatus sum? vbi ego formam perdidi?

τοὺς ἐντεῦθεν θορύβους ἄστροις, τοῦτο δὴ τοῦ λόγου, τὸ λοιπὸν τεκμαιρόμενος. *tumultus qui hic sunt, imposterum stellis, vt vulgo fertur, signando.* vide paroemiographos.

ἐπὶ τοσαύτης εὐδαιμονίας tanta perfruebar beatitate: et praeclara appellatione illa, Hominum osor, *nuncupabar n.* μεθύει πάλιν. *iterum vino se ingurgitat.* οὗτος δυστυχεῖ πρὸς γένους καὶ πολιτειῶν ὥσπ. *Sic emendandum.*

τὸ Πήλιον καταλ. ita leg. *Pelio monte dest.* sup. in Enc. Ach. et Ethop. Chir.

καὶ τὸν Ὀλύμπιον ἐπὶ τῦτο μᾶλλον ἢ τῇ προσηγορίᾳ μακαρίζω. emendo ἐπὶ τούτῳ. de hoc Periclis cognomine, Plutarch. in ipsius vita

μείζω φρονεῖς τῶν νόμων. *altum sapis et supra leges.* Martialis,

Crede mibi sapere est, non nimium sapere.

mox, μικρὸν Περικλέα, *Periclem paruum putas.* ad Alcibiadem tamen Persius,

dic hoc magni pupille Periclis,

In clausula scribe, *Hos mibi ludos contra totum terrarum orbem ede, Alcibiades.* Adi Platonem in Alcib. I. et II. Xenoph. I. ἀπομνημον' Plutarchum, Pers. Sat. IV.

In X Decl. Avari Mori Volentis.

In prima Periodo Latina operae praecipites versiculum traiecerunt. legendum enim est, *Habetis, Senatores, drachmas quingentas, admirabilem thesaurum; et alias totidem ex prioribus facultatibus meis, et infortunata domo. Inf.* ὦ παῖ, μέχρις ἂν εὐπορῇς, ἀνήρ τε εἶναι τοῖς σαυτῦ πολίταις δόξεις, κ. *Fili mi, dum diues eris, vir esse ciuibus tuis videberis, et co.*

πόλεις ὅλας εὐδαίμονας ποιεῖν ὑετῷ χρυσίου. de hoc imbre aureo a Ioue Rhodum infuso, antea ex Pind. Olympion. VII. diximus in Progymn. vitup. inopiae, pag. 154. A. τὰ δὲ εἰς προῖκα μ. *cur ad epulas non exigua dotis pars impenderetur?* τὰ δὲ χρυσία οἷά περ ἦν μένει *aurea vero monilia, qualia sunt, permanent.* Valerius apud Liuium lib. 44. aduersus leg. Oppiam, *In purpura quae teritur, absumitur, iniustam quidem, sed aliquam tamen caussam tenacitatis video. in auro vero, in quo praeter manus pretium, nibil intertrimenti fit, quae malignitas est? praesidium potius in eo est et ad publicos et ad priuatos vsus.* mox ita haec interpunge, *tot ac tanta possidere par est? bunccine qu.* statim etiam ista sine interrog. lege, ὀβολὸν ὀβολῷ προστιθεὶς, καὶ δραχμῇ δραχμὴν κ. *obolum obolo addendo, et drachmae drachmam; etc.* quod Dauus Comicus ait,

— ille vnciatim vix de demenso suo,
Suum defrudans genium comparsit miser.

τῶν μὲν γραμμάτων ἔχεσθε, τὴν διάνοιαν δὲ τῆ τιθέντος οὐ βούλεσθε ἰδεῖν. *Scire leges non hoc est, verba earum tenere, sed vim ac potestatem.* Celsus l. XVII. D. de leg.

τὸ πλουτεῖν παίδων ἐκ ὄντων, τῆ π. *ditescere liberis carendo quam cum liberis inopia laborare, prius et charius est.* ἡ μὲν εὐφημία ῥήματος, ἐμή· τ. *ac verborum quidem fauor meus fuerit: pecuniae autem erunt vestrae.*

καὶ οἱ πλωτῆρες φεύγουσιν, ὦ βουλή, θάλασσαν, ἱ. *Tranquillas etiam naufragus horret aquas.* Nasoni.

In Declam. Parasiti II. Se Deferentis.

Ait hic Parasitus, bonorum sortem enarrans, ἔμπειρος ἐγενόμην καὶ αὐτὸς τῆς τῶν ἀγαθῶν λήξεως. *Expertus etiam fui sortem bonorum.* et statim, οὐ πατρὸς ἐγενόμην πλουσίου, ἢ οἷον ἄν τις ἀπεύξαιτο παῖδα ἰδεῖν. *Non patre locuplete natus sum, neque tali, cuius quis filium videre abominaretur.* huic emendationi ex coniectura nostra accedit Aristides initio Cimonis, Ἀλλὰ νὴ Δία καὶ ὁ Κίμων φαῦλός τις ἄνθρωπος, ἢ τοιοῦτος οἷος ἀπεύξαιτ' ἄν τις μὴ γενέσθαι παιδίον αὐτῷ; *An vero Cimo nequam vir aliquis, aut talis qualem quis deprecaretur sibi filium nasci?* itidem hic infra, pag. 383. B οἷς ἀπεύξαιτο ἄν τις καὶ περιτυχεῖν. Hic ne mireris toties ad oram libri adscriptas coniecturas nostras; nec vllas praeterea varias lectiones: vnus quippe Ferrar. Cod. suppetiit, nec vllis priscis lib. et mnsc. membranis adiuuari licuit.

τῷ λυπουμένῳ μὲν, συνησθῆναι. vt absurditatem tollerem, visum est reponere τὸ συλλυπηθῆναι. adderem etiam lubens, τῷ χαίροντι δὲ συνησθῆναι. πρ. *dolenti condolendum; gaudenti congratulandum; bene rem gerenti laetitiam producendam: ad v.* καὶ πλείων καιρὸς αὐτοῖς τῆ δρᾶσαι τι κακὸν, ἢ τῆ ζῆσαι μεθ' ἡδονῆς. *et maior tyrannis commoditas est aliquod malum patrandi, quam iucunde viuendi.* hac de re copiose Xenoph. in Hierone. Phalaris in epist.

πολὺν ἀρίσου σχολὴν εἶναι, κ. quidni εὐςόχῳ coniecturae adhaererem? *vt ad prandium otii multum esset, et ad diutius in coena immorandum.* pag. prox. C. ἀρίσου καιρὸς ἦν. τρόφιμος ἐκεῖνος, ὃ πάντα ὢν ἐμοὶ, καὶ ἀντὶ πάντων ὁ τ. ita felicius haec lacera restitui posse mihi videntur, itaque verti, *Nutritius ille meus, qui omnia fuit mihi, et vice omnium.* allusum ad τὸ εἷς ἀντὶ μυρίων. et ad illa Andromaches Homericae, Iliad- Z.

Ἕκτορ, ἀτὰρ σύ μοι ἐσσὶ πατὴρ καὶ πότνια μήτηρ,
Ἠδὲ κασίγνητος. —
Tu dominus, tu vir, tu mihi frater eras.

proinde hic in peroratione queritur Paras. ὃν ἀντὶ πάντων εἶχον, φιλοσο-

λοσοφεῖ. ex quibus verbis elicitur in iis quae ſequuntur per κακοδαίμονας, ἑαυτοτιμωρουμένους, χαμευνοῦντας, διαγρυπνοῦντας, ὠχριῶντας, ἀνυποδήτους, non alios innui, quam omnino philoſophiae Cynicae deditos, vel Socraticos, ἐγκεκυφότας, ἀεροβατοῦντας. an etiam ἀσκηταὶ notarentur, de quibus fuſe Philo Iud. περὶ βίου θεωρητικοῦ. barbae certe et pallii hic non meminit. ceterum θνήσκοντας ἐν ἀνθρώποις dicit ob ἔκστασιν et inediam, qua amiſſo omni naturalis alimoniae fundamento homo exhauſtus interit. ὁ δ' ἦν ἔτι παρ' ἐκείνοις μελαγχολῶν. *hic apud illos inſtitutores atra bile agitabatur.* τὸ κυνῶν δεῖπνον αἱρούμενος. Ita prandium abſtemium, in quo nihil vini potabatur caninum olim dicebatur, quoniam canis vino caret. Mneſteus apud Varronem et Agell. lib. 13. cap. vlt.

IN DECLAM. XII.

Oratori inopi animum deſpondenti ob faſtuoſam, belluinam, et a famelico ſed benigno populo exploſam Diuitis enunciationem, Πωλῶ τροφὰς ὑμῖν τῆς τοῦ πένητος σφαγῆς, iure obiicitur, πῶς ἄλογον ἀθυμεῖν ὑπὸ τοῦ δήμου φρουρούμενον; *Praeſidium populi murus aëneus eſt.* ſic licet εὐπορεῖτι προσκρούειν, vt ſ. p. 388. huc ſpectat illud Mart. *Nolo virum facili redimit qui ſanguine vitam.* etc.

ἀλλ' ἠδικῆσθαι φησὶν οὐ λαβών. *quin iniuriam ſibi illatam eſſe conqueritur, quod repulſam paſſus fuerit.* Hic ambitus orationi ita Graece ſcribendus et complendus eſt, Ταῦτ' εἰ καὶ δυσμενὴς ἄνθρωπος, ἀλλὰ πολλῷ σοι λυσιτελέστερα παραινεῖ τῶν παρὰ τῶν συμποτῶν εἰωθότων λέγεσθαι. his congruit verſio.

In Demoſth. nomine ſcriptis Actionibus quae mire Attici orat. ſtylum et χαρακτῆρα exprimunt, obiter paucula emendamus; initio, ὑμεῖς ἐποιήσατε, περὶ τῆς τελευτῆς ἀκούσαντες ἠθυμήσατε. De Cynegiro et Callimacho Herod. Erato.

τὸν Ἐρεχθέα μιμούμενον. Apollodorus III. Bibl. κατορθώσειν τὸν πόλεμον, ἐὰν μίαν τῶν θυγατέρων σφάξῃ, *Vincent, ſi tua nata Deo pia victima detur.*

ἢ τὸ φιλανθρώπους διακεῖσθαι τῇ γνώμῃ, κ. *quam vos benigna mente affectos eſſe et ad commiſerationem propenſos.* D. Paul. Act. 17. Athen. δεισιδαιμονεστέρους vocat.

ἐγὼ τὰ ὑμῖν ἥδιστα τήμερον ἂν γενέσθαι βουλοίμην, καὶ μη. Cic. VII. Philipp. *pleriſque in rebus gerendis tarditas et procraſtinatio odioſa eſt.*

ἢ τῶν μὲν πολιτῶν τοὺς ἐχθροὺς, εἰ παρ. *nonne ſi inimicos exhiberem, qui meliora quam ciues mihi atteſtarentur, magnum quiddam eſſet, ac ſummae virtutis indicium; q.* Plinius Sec. atteſtandi verbo ſic vſus eſt, in praefat. hiſt. Nat. *Cum tribunos appellaret*

laret L. Scipio Asiaticus, inter quos erat Gracilius, hoc attestabatur, vel inimico iudici se probari posse. adeo summum quisque causae suae iudicem facit, quemcunque elegit, vnde prouocatio appellatur.

Apologia Demosthenis ex vnico veteri mnſ. deſcripta fuit: in quo auctoris nomen ſuppreſſum erat: ſed hic Libanii ſtylus vt ſorex indicio ſuo ſe prodit. Initio libens ſeriberem, τούτῳ παυσάμενοι, κρ. et παρὰ τοὺς τῶν ἰδ. ceteras coniecturas boni conſule. ὅθεν οὐδὲ ἀνδράποδον σπουδαῖον ἥκει. ἐμ. *vnde ne mancipium quidem bonum venit. te su.* ſic emendo ex Declam. Hyperid. p. 476.

Hyperidis F. Glaucippi decretum memorat Demoſthenes adverſus Ariſtogit. de eius in Demoſth. animo Plutarch. de X. Orat. Athen. C. IX. a Suida δημαγωγὸς ἄριστος dicitur. Hic vbi inepte ſcriptum erat ὑπὲρ τῶν ὅπλων οὐκ αἰδέμεθα, coniecturam retineo, ὑπὲρ τῶν ὅλων ὀ. *pro ſumma rerum non pudet nos?*

In exordio Suaſoriae Cimonis, ſcribe, νέος τε ὤν, ὡς ὁρᾶτε, καὶ κρ. in lacuna quam coniectura explere voluimus, ſcribi etiam potuit, καὶ γῆρᾳ πιεζόμενον, δᾶσθαι τολμῶ δ. et. ἡμῖν ἢ προτοῦ εἶναι, κ. mox, ἐπὶ τὸν ἴσως ἐνεγκεῖν δυνησόμενον ἐμέ. in epilogo, ἐβουλόμην, ὦ ἄ. A. ταύτην τὴν ἐκκλησίαν ἐ. ſic Aiax Ouidianus,

— *Agimus pro Iuppiter, inquit, Ante rates cauſam?* —

In Corinth. Actione, de copiis auxiliaribus Corintho miſſis ad Potidaeatas cum Ariſteo, τοῖς μὲν εἰς τὴν σωτηρίαν, τοῖς δὲ εἰς τὸ μὴ παρανομῆσαι συνεμάχει. *bis ad ſalutem, illis ad ius non violandum profuerunt.* poſt emenda, ὡς εὐσεβῶς ἡμῖν διαλέγεσθε, *tanquam pii nobiſcum diſſeritis.*

Ad Neoclis et Themiſtoclis cauſam pertinet illud Liuianum *Cognitio nulla breuior, quam inter patrem et filium, paucisque, tranſigi verbis poteſt.* In Themiſtoclea, δεινότατα πάντων ἔπαχες ἀν. *omnium acerbiſſima paſſus es.* ὃ μεθ' ὑμῶν ὦ ἄ. mox, *inducit ſe ad ea quae f.* De corona oleagina prudentiae et ſolertiae ergo a Graecis donata Themiſtocli poſt pugnam ad Salamina, quae hic memoratur, Herodotus l. VIII. Plutarch. in Themiſtocle.

Neptuni et Martis cauſae in Areopago diſceptatae Apollod. l. III. Bibl. meminit; et Martem XII. Deorum Conſentium decreto abſolutum fuiſſe ſcribit. δικάζοντων τῶν θεῶν, Ἄρης ἀπολύεται.

In Archidami Ageſilai F. Apologiae praefatione, cum dicitur, λεγόντων ἀφεῖναι τινῶν, Ageſilaus etiam intelligitur, quem Xenophon in ipſius Encomio ſcribit iuſſiſſe Lacedaemonios Meſſenem dimittere, ἐπίταττε Μεσσήνην ἀφιέναι.

Laïdem Siculam fuisse ex Hyccaris oppido Siciliae, a Plutarcho firmatur, et a Synesio epist. III. ἡ Λαῒς ἀνδράποδον ἦν Ὑκκαρικόν. itaque scribo apud Aristoph. in Pluto, Λαῒς θυγάτηρ ἦν Ἐπιμάνδρας, ἥ τις ἐξ Ὑκκάρων τῆς Σικελίας ἦν. de hoc Huccarico vel Succareo scorto Platonis Tetrastichon mellitum extat VI. ἀνθολ. εἰς ἀναθήματα·

Ἡ σοβαρὸν γελάσασα καθ' Ἑλλάδος, ἡ τὸν ἐρώντων
Ἑσμὸν ἐνὶ προθύροις Λαῒς ἔχουσα νέων.

Callaeschrus Critiae pater et caesor, inter classis duces et locupletissimos numeratur a Demosth. contra Midiam. ad hanc vero caussam pertinet lex 35. Marcelli ICti D. de religios. et sumpt. fun. *Minime maiores lugendum.* etc.

κἂν οἱ πλέους πείθωνται, τ. *tametsi plures persuasum habeant, e.*

In patris Φιλοπόλεως Apologia, illud οἰόμενός γε τῷ φόβῳ τ. Atticismum sapit, et referendum ad ὁ δὲ, τί δ. quid si scribas, οἰόμενος ὅγε τ. vel ᾤετο μὲν γε τ. *cum illa adiecisset metu saltem se continentiam vestram superaturum antumabat.*

In Ducis caussa, vbi quaeritur, an potestas suspecta esse debeat, in eo cui licet, quidquid libet, εἰ δὲ μὴ τὸ βούλεσθαι τῶν ἔργων ἡγήσηται, τό γε δύνασθαι πλέον οὐδὲν, μὴ βουληθέντι ἀδικῆσαι. vt emendandum coniicio, et verto, *at nisi voluntas rebus praeeat, nihil sane potestas momenti habet, in eo qui non vult iniuriam inferre.* Ausonius, *Quod sapientis opus? cum possit nolle nocere.*

In Socratis Apologia vnico tantum veteri msc. Reg. ab antiquo ταχυγράφῳ non tam accurate et castigate, quam expedite exarato vsu simus.

ἢ τὴν ἐπὶ τοὺς ἰδιώτας ῥητορείαν συλλέγειν καὶ διὰ ταύτης τῆς μελέτης καρποῦσθαι τοὺς ἀπράγμονας. Iuuat nunc hoc potius modo interpretari, *Aut artificium Rhetoricum aduersus rudes et imperitos colligere; atque hac exercitatione ex iis quorum placidi sunt mores, et a negotiis auersi, fructum et commodum percipere.*

χρήσεσθαι δὲ τοῖς αὐτοῖς περὶ τῶν αὐτῶν λόγοις. in vers. operarum mendas exime, *se iisdem sermonibus iisdem in rebus vsurum; et non tantam vim habituram criminationem, vt quae c.* mox, κοσμεῖν ἀπὸ τῶν οὐ προσηκόντων, *ornare non conuenientibus adiunctis.* ὡς μὲν οὖν οὔτε Ἄνυτος δι. hanc periodum sic ab integro verto, *Quod igitur nec Anytus corruptela iuuentutem liberans, et damnum suum reputans, si quis liberos vestros deprauaret, huic Melito Socratem deferre persuaserit; et quod Socrates cum integrum esset erui praesenti periculo, cum fiducia iudicium subire maluerit, quia nullius sibi mali et facinoris poena digni conscius erat; his rationibus vobis patefactum esse existimo.*

καὶ πρὸς τούτῳ τί ποιεῖν Ἄνυτον γραψάμενον, κινεῖν, εἰ μὴ ἀ. hoc modo interpungere et vertere lubet. *praeterea quid oportuit facere*

tere Anytum, qui detulit? nempe mouere; nisi certe ipse vellet.

οἱ μὲν τούτῳ θέμενοι, τὸν Ἡσίοδον ἐκάκιζον. *alios qui Homero fauebant, Hesiodo detraxisse; qui vero Hesiodum probabant, improbasse Homerum.*

εἰ τὸ ἄνισον τοῦτο τῶν δικαίων ἐστι. ita nos legisse versio prodit. sequitur deinceps πίστις ἀπὸ μείζονος. sed haec non satis integra esse nimis liquet: et notae typographicae salebras arguunt. mox scribo, ἐκ ἠγνόει Θεόγνις ὁ Μεγαρεύς. cubile loci Theognidis istud est,

— οὐδὲ γὰρ ὁ Ζεὺς
Οὐθ' ὕων πάντας ἁνδάνει, οὔτ' ἀνέχων.

et statim lego, μισθὸς τοῦτό γε τῶν εἰς τὴν πόλιν ἐπαίνων βραχέων δὴ τινων ὄντων, οὐ τοῦ πάντα τ. deinde lege: ὁ δὲ ὅτι τῆς Ἑλλάδος ἡ πόλις ἔρεισμα προσεῤῥήθη, λ. hoc lucem accipiet ab Aeschinis epist. ἐν ταῖς ἐκκλησίαις Μελανίππου ἑκάστοτε ἀκούεις λέγοντος, Αἴτε λιπαραὶ καὶ ἀοίδιμοι Ἑλλάδος ἔρεισμα Ἀθῆναι· καὶ ὅτι Πινδάρου τοῦ Θηβαίου τὸ ἔπος τοῦτό ἐστι λέγοντος· καὶ ὅτι ἐζημίωσαν αὐτὸν Θηβαῖοι τοῦτο ποιήσαντα τὸ ἔπος· οἱ δὲ ἡμέτεροι πρόγονοι διπλῆν αὐτῷ τὴν ζημίαν ἀπέδοσαν, μετὰ τοῦ εἰκόνι χαλκῆ τιμῆσαι· καὶ ἦν αὐτὴ καὶ εἰς ἡμᾶς ἔτι πρὸ τῆς βασιλείου στοᾶς καθήμενος ἐνδύματι καὶ λύρᾳ ὁ Πίνδαρος διάδημα ἔχων, καὶ ἐπὶ τῶν γονάτων ἀνειλιγμένον βιβλίον. Auctor Graec. vitae Pind. scholiis praefixae dissentit ab Aeschine et Libanio in elogio Athenarum Pindarico, et aliud ἔπος laudat ex initio Odae VII. Pythion.

Κάλλιστον αἱ μεγαλοπόλεις Ἀθῆναι
Προοίμιον Ἀλκμαιονιδᾶν εὐρυσθενεῖ γενεᾷ.

εἰ δὲ συκοφαντεῖ, τὸ κρ. scriberem, εἰ δ' ἐσυκοφάντει, τ. *quod si calumniabatur, melius f.* et statim pro αὕτη δὲ, μ. malim, ἔτι δὲ, μ.

καὶ δεῖ μὲν οὐδὲν ἴσως λόγων, πρ. *ac nihil hic fortasse verbis opus esset, apud eos certe qui ita sunt affecti.*

IN DECLAM. XXX.

In προθεωρίᾳ huius controuersiae, ait, φύσει τοῖς ἀτίμοις λόγων οὐ μέτεστι. quod iure naturali ignominiosis in publico dicere nefas esset.

ἤδη καταγνωσθέντος τοῦ Στράτωνος, κ. huic Stratoni fauet Demosthenes contra Midiam, a quo periculum illi creatum fuerat. ἐν τῷ πρὸς Εὐβουλίδην. extat orat. ἐν δικανικοῖς, et inscribitur ἔφεσις πρὸς Εὐβ. *Appellatio aduersus Eub.* τοσοῦτον περὶ τῆς ποιότητος ἐροῦμεν μ. *eousque duntaxat de qualitate dicemus.* statim, ἐπὶ τῶν ἐπιτιμήσεων. mox, εἰ δὲ πρὸς ἕκαστον τῶν ὑποπιπτόντων, οἰκ. *Quod si in vnoquoque eorum quae exoriuntur, p.* deinde ex alio Reg. C. post

post *καὶ τὰς ἀντιθέσεις*, adde, *ὡς ἔδει, κτκ. et opposita vt par erat fecimus.*

ἐκ ἔχω τί γένωμαι. ex ant. Reg. mnsc. in quo mox etiam scribitur, *ἀτολμότερος π.* et *δεδοικὼς δὴ τοὺς κ.* statim exple in Graecis quae desunt, *οὔτε τὴν ἡσυχίαν, οὔτε τὴν πολ. πρὸς τῦτον ἡμῖν ὡδ.* ita leg. et mox, *συγχώρησον ἡμῖν, ὦ* T. paulo post, *ἐπὶ γῆν βλέπων, ἔστενον. τὴν ἐλάττονα παρὰ τὸν νόμον ἐζήτουν, καλῶς ἂν ἦχεν ὁ π. mitiorem praeter legem quaesiuissem, p.*

οὐ δίδωμί σοι, κ. sic in al. Regio, *non concedo tibi m. ὁ μὲν τὴν γνώμην ἀπάνθρωπος. hunc quidem immiti esse animo. καὶ πανηγ.* elegantius in alio Regio, *μὴ γὰρ πανηγύρεως μ.* et mox, *ὥστε μικροῦ λανθάνειν ἡμῖν κ.*

βασκανία καὶ τύχη πονηρὰ, σὺν ἐμοὶ τὴν πόλιν ἐκλίπετε. Epigrammatographus I. Anthol. *Φεύγωμεν ἐϋκτιμένην πόλιν, ἄλλην Πατρίδα μαστεύσωμεν.*

IN DECLAM. XXXI.

Menandri fabularum iacturam nondum factam fuisse Libanii aeuo, ex his Praeloquutionis huius Declamat. verbis constat *εἴ τις ὑμῶν τῶν Μενάνδρου φαντάζεται Θρασωνίδην, οἶδεν ὃ λέγω· καὶ γέγονεν ἀμέλει προσηγορία τῷ δράματι, τῦ ΘΡΑΣΩΝΙΔΟΤ τὸ ΜΙΣΟΣ.* Ad hoc certe Drama Plautus Militem gloriosum videtur effinxisse, vt ex argumento patet: siquidem de Pyrgopolinice dicitur a pueró Plautino, quod hic *περὶ Θρασωνίδου ἀηδίας, μίσους, ἀπεχθείας. — eum odere tam viri quam mulieres.*

Thrasonides tamen Thrasove, forte an etiam in Colace Menandri inducebatur, e qua Terentius fatetur se Parasiti et Militis personas transtulisse in Eunuchum suum.

τὸν πλησίον μὲν ἅπας, ἑαυτὸν δὲ οὐδεὶς ᾐτιᾶτο. Demosthenes in II. Olynth. id Atheniensibus obiicit, *μελλόντων ὑμῶν, ἑτέρους τινὰς ἐλπιζόντων πράξειν, αἰτιωμένων ἀλλήλους, κρινόντων, πάλιν ἐλπιζόντων, ὁ χρόνος ἅπας διελήλυθεν.*

ἐχώρουν δοκιμάζων τῇ σωτηρίᾳ μου τῶν πολεμίων τὴν γνώμην. processi, salutis meae periculo hostium consilium exploraturus. hoc illustratur postea, pag. 724. *τί γὰρ ἀντίῤῥοπον σωτηρίας, ἧς ὑπὲρ ἡμῶν κατεφρόνησα.*

ὡς γὰρ τῦ νόμου ταῦτα φωνὴν λαβὼν ὑμῖν ἀναγνώσομαι. In vetustiore mnsc. Reg. legitur, *ταῦτα φωνῇ λαβὼν ὑμῖν ἀναγνώσεται. nam haec vt percepta legis voce vobis recitabit.* vt ad praeconem referas. *τῦτον ἐκ ἂν ἁμάρτῃ τις Ἑλλανοδίκην ἀρετῆς ὀνομάζων. non erraret, qui hanc legem praesidem munerariamve virtutis nominaret.* Harpocration in *ἐξηγήσει Ἑλλανοδικῶν* docet Hyperiden hac voce vsum, *ἐν τῷ ὑπὲρ Καλλίππου πρὸς Ἠλείους*, et Aristotelem *ἐν Ἠλείων*

ον πολιτάς· et ex Ariſtodemi Elei ſententia Ἑλλανοδίκας Xviros fuiſſe apud Eleos ſingulis e quaque tribu lectis, ad ludos et munera edenda: τοὺς τελευταίους τιθέντας τὸν ἀγῶνα. Scholiaſtes hic κριτὴν expoſuit, vt translatum ἀπὸ τῶν ἀγωνοθετῶν, qui praeſides certaminum et munerarii.

τοὺς νόμους οἱ γεγραφότες, ὅσα τῶν πραττομένων εὐκόλως συμβαίνειν οὐ πέφυκεν, οὐδαμοῦ προσδιώρισαν. *Legumlatores* (inquit) *quaecunque ex iis quae ſub actionem cadunt, facile euenire non ſolent, nullibi expreſſe definierunt.* hoc Pomponius l. 3. Celſus 4. et 5. Paulus 6. D. de leg. et SC. Theophraſti auctoritate firmant. cur non etiam Ariſtotelis a quo haec didicerat Theophr. e IV. Ethic. ad Eudemum. τὸ ὡς ἐπὶ τὸ πλεῖον λαμβάνει ὁ νόμος· inde, ait Celſus dicta l. V. *ad ea potius debet aptari ius quae et frequenter et facile* (εὐκόλως), *quam quae perraro eueniunt.* εἰ τοίνυν ὡς παράδοξον ἔτυχε τοῦτο τ. hoc ἐκ παραλόγου dicitur a Theophraſto. mox ſcribe, vt in ſchedis Reg. οὐκ ἀπεικότως ἤτουν τὸ γέρας, μάζ

σοφίᾳ δὲ πλεῖστα τοὺς Ἕλληνας ὠφελῶν. *prudentia plurimum Graecis emolumenti adferebat; pl.* ſtatim illa, ὥστε τὸν ἄρχειν λαχόντα τοῦ τέλου, τοῦ Διὸς δ. metaphraſis ampliſſima eſt voti huius Agamemnonii, Iliad. B.

Αἲ γὰρ Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
Τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν.

πόλεμον ἄδακρυν, τὸ τοῦ λόγου, νικᾷν. huic Paroemiae opponitur, πόλεμον πολύδακρυν ἐγείρειν, apud Theognidem.

ὁλκάδα δὲ λῃστρικὴν ναῦν. vide infra Declam. XXXVIII. parem myoparonis et cymbae occurſum, p. 822. vtrobique κοίλη ναῦς, vt κοῖλον σκάφος, ἔδαφος νεώς, τὰ κάτωθεν τῆς νεώς, apud Pollucem lib. 1. ὀνομ. cap. 9 *nauis imum tabulatum, cymbae cauum, pauimentum.* δεῖ τὴν παράθεσιν κυβερνῶντα μὲν ἔχειν ἐμέ· hiccine ſcopulus an lacuna? quid ſi legas, κατὰ τὴν παράθεσιν κυβερνητήριον μὲν ἔργον ἐ. vel, δεῖ τὸ πηδάλιον κυβερνῶντα μὲν ἔχειν ἐ.

τότε ἂν ἀλόγως ἠξίουν τιμᾶσθαι. ita concinnius in alio Reg. Cod. eodem ſenſu, *tunc immerito honorari voluiſſem.*

ὅσῳ τῶν ὅπλων οἱ λόγοι τῇ πατρίδι λυσιτελέστεροι. vt *concedat laurea linguae.* et facundis ſermonibus locus ſit in aula, luculenter probat idem Liban. in exordio προσφωνητικοῦ πρὸς Ἰουλ. Ἐπανήκει μετὰ τῶν ἱερῶν, ὦ βασιλεῦ, καὶ τὸ τιμᾶσθαι τὴν τῶν λόγων τέχνην. οὐ μόνον ὅτι μέρος τῶν ἱερῶν οὐκ ἐλάχιστον ἴσως οἱ λόγοι· ἀλλ' ὅτι καὶ πρὸς τὴν τιμὴν τῶν θεῶν ὑπ' αὐτῶν ἐκινήθης τῶν λόγων. οὓς οὖν τῶν κειμένων ἀγαθῶν αἰτίους εἶναι συμβέβηκεν, τούτοις ἔδει δήπου καὶ χώραν ἐν βασιλείοις εἶναι. *Redit cum ſacris Imp. etiam oratoriae arti ſuus bonos: non eo tantum quod pars minima fortaſſe ſacrorum ſint ſermones; ſed etiam quia ab ipſis ad diuinum cultum inſtigatus es.* quam-

quamobrem iis orationibus, quas bonorum quae adsunt causas esse vsuuenit, locum vtique in Regia existere oportuit.
ex illo Phocylidae, Ὅπλον τοι λόγος ἀνδρὶ τομώτερόν ἐστι σιδήρου.

IN DECLAM. XXXI.

Quod M. Tullius ait in ea pro A. Cluentio, *Nihil innocenti suscepta inuidia tam optandum, quam aequum iudicium:* Diues hic ter strenuus ab inuido oratore tyrannidis accusatus in principio Apologiae suae id vnum sibi expetendum dicit; ἐν ἔτι μοι λείπεται πρὸς τὴν τῆς ἀριστείας ἀμοιβὴν, ψῆφος δικαστῶν ἀκριβὴς, οἷος ἔ. hic autem iudicii accurati definitio continetur, *vt in iudiciis et sine inuidia culpa plectatur, et sine culpa inuidia ponatur.*

ὃν οὐδὲ μιμεῖσθαι μαχόμενος ἤθελεν. Scribitur etiam in mnsc. Reg. μαχόμενον ἤθ. *quem nec imitari dimicantem voluit.* Prudentius Catil. Sallustii *imitari quam inuidere bonis malebat.*

mox ita scribe, οὔτε τῆς δι' ἡμᾶς ἀσφαλείας, οὔ.

οὐ δέδοικα γλῶτταν γενναίαν, ψευδῆς ἔχουσαν λογισμούς. Marius in Iugurth. Sall. *me quidem ex animi mei sententia laedere nulla potest oratio: quippe vera necesse est bene praedicet; falsam vita moresque mei superant.*

μήτε τοῖς εὖ παθοῦσι ὀνειδίσαι τὴν χάριν. μικροψύχου νομίζων ἁ. Terent. Andr.

— *istaec commemoratio*
Quasi exprobatio est immemoris benefici.

Quid sit μικροψυχία et ἀπειροκαλία, docet Arist. IV. Ethic. Nicom.

καὶ οἷος οὗτος γέγονε ῥητόρων· οἱ μ. Eiusmodi rabulas Hyperides viperis homini infestis pares esse dixit in or. contra Demadem, ῥήτορας ὁμοίους τοῖς ἔχεσι.

ὥσπερ τινὰ Γοργὼ τὴν ἐμὴν ὁρῶντες ἀσπίδα. alludit ad Palladis αἰγίδα θυσανόεσσαν

Ἐν δέ τε Γοργείη κεφαλὴ δεινοῖο πελώρου,
Δεινή τε σμερδνή τε, Διὸς τέρας Αἰγιόχοιο.

πρὸς τὴν ἀκρόπολιν ἔβλεπον. de hoc schemate affectantis Tyrann. antea dictum est in Progymnasm. κατὰ Τυράννου·

IN DECLAM. XXXIII.

Pauper Diuitis intercedentis rogationi immodestam accusationem acute in conscientiam ducit, vbi ait, πῶς οὐ σαφῶς ὡμολόγησεν, ἐμὲ μὲν εἰκότως τὰ τοιαῦτα νομοθετεῖν, αὐτῷ δὲ καὶ πεπρᾶχθαι τὶ τοιοῦτο, κ. hoc inductione probatur infra, pag. 746. C.

οὐ γὰρ αὐτοῖς ἄγονται μᾶλλον, ἢ τ. ex veteri Senario prouerbiali de νεογάμῳ sene, γαμεῖ γένων αὐτῷ τε καὶ τοῖς γείτοσι. *Ducit senex sibi et propinquis coniugem.*

καὶ

καὶ γὰρ ἂν πρώτην ἀποκρούσηται πεῖραν, ξ. ex Pindari dicto, *διάπειρά τοι βροτῶν ἔλεγχος*. *experimentum est hominum index.* vide inf. Decl. 35. p. 775. *τοιαῦτα ἐπὶ τοῖς μοιχοῖς νομοθετῶ.* scribe vt verteram, *talem super adulteris legem constituo.* et mox, *is qui sibi nullius sceleris eiusmodi conscius erat*, f.

ἠσέβησαν οὖν οἱ δικάσαντες; οὐ μὰ Δία. *ergone impie fecerunt qui ius dixerunt? minime*, p. l. Paulus l. 11. D. de Iust. et iure. *Praetor quoque ius reddere dicitur, cum inique decernit.* etc.

IN DECLAM. XXXIV.

Quod eleganter cecinit Statius in Protrept. ad Crisp. V. Syl. II

— *angustis animus robustior annis:*

Auctor noster initio huius Controuersiae pulchre sic expressit. *αἱ φύσεις ἰσχυρότεραι τοῦ τῶν ἐτῶν ἀριθμοῦ*, τ. *robustiora sunt ingenia, quam numerus annorum.* atque haec est *ante pilos sapientia.* Pindarus in clausula Odae IV. Olympionicarum.

Φύονται δὲ καὶ νέοις ἐν ἀνδράσι πολιαὶ
Θαμὰ καὶ παρὰ τὸν ἁλικίας ἐοικότα χρόνον.

οὐκ ὄψει με περὶ ταῦτα θρασύν. *haud videbis me in his contumacem audacemve.* vt *θρασὺς* hic ita accipiatur, vt apud Horat. *Audax Iapeti genus*, de gente humana quae *ruit in vetitum nefas.* Si secus, coniecturae nostrae locus erit, qua *βραδὺν* sufficiebamus *θρασύν*.

ὥσπερ ὠδίνων ἤλγουν τὴν καρδίαν. *perinde ac si parturirem, corde cruciabar.* Paroemiam olet. vbi *καρδία ἀντὶ τοῦ στομάχου*, cor pro ventriculo vsurpari, vt apud priscos medicos videtur. vnde *καρδιακὸν πάθος*.

IN DECLAM. XXXV.

Hic a coniectura mea nondum discedo. *ὡς ἔγωγε οὐδὲν ἕτερον τὰς δυστυχεῖς ταύτας χεῖρας αἰτιασαίμην ἄν, εἰ μὴ τοῦθ' ὅτι μὴ καὶ ἐμὲ τρίτον πρ.* *Atqui nihil aliud ego de miseris manibus his conquererer, nisi quod in me quoque tertium saeuiendo non incubuerint.*

μηδὲ μετὰ τὴν πρώτην πεῖραν τἀνδρὸς ὑπιδέσθαι τὸ πικρὸν ἐκεῖνο ἐνθύμιον, x. *ne post primum quidem tentamentum viri acerbum illud consultum peruideret; nec pro dign.* *οἱ πρὸς τοὺς καυτῆρας καὶ τὴν τομὴν ἀφορῶσιν*, ξ. Hippocrates etiam *καυτῆρα* ferrum adurens, dixit *ἀντὶ τοῦ καυτηρίου*. Galenus aereum calamum fuisse perhibet, in fundo perforatum, per quem tenue ferrum candens demissum exurebat: *Laniena quando saeuit Hippocratica*, vt canit Prudent. in Rom. Martyre. Ouid. de remed. amoris,

— *vt corpus redimas ferrum patieris et ignes.*

infra

infra hic autor eadem Asclepiadarum comparatione vsus est (p. 387. B.)

τὰς γυναῖκας ἀποκλίνειν πρὸς ἕτερον*, παρ' οὖς οἱ πατ. Si ἐναλλαγὴν numerorum Att. hic. respuis, lege ἑτέρους, vel παρ' ὃν οἱ π. animaduerte etiam hic patrem dici νυμφαγωγὸν, quem paullo post (p. 785. A.) συζευξάμενον τὸν γάμον, copulatorem coniugii vocat. item lecti genialis adornatorem. (p. 790. A.) οὐδὲ ἡ κειμένη ἐμεμοίχευτο. τ. *nec quae in tumulo iacet adultera est.*

πολλή τις ἀνάγκη σώζεσθαι. *conseruari, ingens necessitas vrget.*

οὔτε γὰρ ξίφους ἔργον γένοιτ' ἄν τι, μὴ π. scribe, ἄν τις μ. *neque enim sica quisquam confoderetur, nisi ad.*

καὶ τὸν φυτηκόμον ὁπόσους ἂν φ. Apud Aelianum, I. var. hist. c. vlt. Rhacoces Mardus filium improbum capitis reum postulans, coram Artaxerxe Pers. Rege, eadem similitudine petitionis suae aequitatem probat, ἐπεὶ καὶ ἐν τῷ κήπῳ τῶν φυομένων θριδακινῶν τὰς ἐκφύσεις τὰς πικρὰς ἀποκλῶ καὶ ἀφαιρῶ, οὐδὲν ἡ μήτηρ αὐτῶν ἡ θριδακίνη λυπεῖται, ἀλλὰ θάλλει μᾶλλον, καὶ μείζων καὶ γλυκίων γίνεται. Artaxerxis etiam super ea re iudicium ad hanc causam facit. ὁ περὶ τῶν ἰδίων οὕτω δικαίως ἀποφαινόμενος, πάντως καὶ ἐν τοῖς ἀλλοτρίοις ἀκριβὴς ἔσται δικαστὴς καὶ ἀδέκαστος.

τὸ περιττὸν τοῦ πόθου προσαναπληρώσω. *desiderii tui corollarium complebo.*

interpunge ante καὶ τοιαῦτα. *et eiusmodi alia.* ad clausulam admonitionis.

IN DECLAM. XXXVI.

ὑπὸ μάρτυσιν ὑμῖν. ἐπειδὴ τ *vobis testibus. propterea quod pr.*

ἄν τε, ὡς ἔθος ὑμῖν, ἀλλαχῇ κεχήνῃαι. vel scrib. ἄν τε μὴ, ὡς ἔ. vel κεχήνητε.

ἀγορανόμους δὲ καὶ ἀστυνόμους. *fori promercalis, annonaeque praefectos, et aediles.*

μονονοῦ καγχάζοντα ἐπ' ἐμοί. *tantum non cachinnum de me tollentem.*

IN DECLAM. XXXVII.

εἰς οὐδὲν χρηστὸν, βομβύκινα, ἱμάτια, καὶ βύσσινα, καὶ δ. Hic stat a Plinio, qui de bombycibus scribit, *Telas araneorum more texunt, ad vestem luxumque feminarum: quae bombycina appellantur.* subiungit etiam noster, διαφανὲς χιτώνιον. Mart. l. VIII. E. LXIIX. *Femineum lucet sic per bombycina corpus.* Georg. Pisidas Cosmurg. V. 1266. λαμπρόκλωστα νήματα appellat. ceterum θέριστρον, aestiuum indumentum, Synes. in epist. etiam θερίστριον dixit.

Mos

Mos veterum notandus lauandi et deferendi se saltem Nouiluniis, s. primo mensis die. *μόλις ταῖς νουμηνίαις λουομένη· λεπτὰ μὲν ὑφαινομένη· π.* *tenuia quidem texens.* *λεπτόμιτα*, nimirum vel *λεπτόνητα*, subtilia atque operosa texta, quae *multitia* Iuuenali II. S. dicuntur.

μὴ πλείω τεττίγων ἐσθίειν. Prouerbiale est, *Non plura comedere quam cicadae.* in fabula tamen, apud Gabr.

Ἤτει τροφὴν μύρμηκα τέττιξ ἐν κρύει.

Cicada formicam petit, brumâ, cibum.

διὰ τί γὰρ οὐκ ἐκπεσῇ τῆς οἰκίας. ὅτι τοῖς ἐμοῖς τίλεσιν ἐ. *Eccur nam domo non arceberis? an quia meis impensis eo pr.*

κατέβαλον τὰ τροφεῖα πάντα ἀκριβῶς, ὁ. Apud Ezechielem Tragic. in sacra Exagoge, Pharaonis filia matrem Mosis vt nutricem ita affatur,

— *τοῦτον γύναι Τρόφευε, κἀγὼ μισθὸν ἀποδώσω σέθεν.*

— *infantem educa*

Nutrix; at ego lactis tibi pretium dabo. *τροφεῖα*, nutrimenti pretia.

σὺ δ' ἀντ' οὐδενὸς τὸν δῆμον συνῆγες. referebam *τὸ ἀντ' οὐδενὸς* ad *σίφωνον οὐτιδανόν.* verte tamen, si lubet, *tu vero pro nihilo populum coëgisti.*

ὧν ἐγὼ βελτίων εἰμὶ τοσοῦτον, ὅσον οἱ μὲν ἐρ. Graeca sic esse emendanda, docet vers. *quibus tanto probior sum, quod hi cum pecunias ament, negant se amare.*

θύομεν, καὶ κόσμον ἀναθημάτων ἄγομεν. *mactamus, et donariorum ornatum celebramus* *καὶ καλοῦντες εὐρυσθενῆ.* *late potentem appellantes.* Pindarus in principio Odae V. Pythionic. *Ὁ πλοῦτος εὐρυσθενής.* *Opulentia praepotens.*

In Decl. XXXVIII. Abdicati Apolog.

HAEC oratio numeratur inter *τοὺς πρὸς τὸ τάχος συντιθεμένους τῶν λόγων.* vt initio Proloquii ostenditur. vnde postea de oratoribus, qui in subita dictione, vt loquitur Cic. se exercent, ait, *τοῖς τάχους ἐπιμελουμένοις εὑρεῖν, ὃ χ.* *his, quibus celeritas curae est, difficilius est inuenire, quid pr.*

τῷ πατὴρ ἄναξ· κ. in eum quadrat, qui est, vt canit Ausonius in Epiced. *mente animoque pater.* et al.

— *sine vulnere nominis huius.*

οὐ πάντες ἡμῖν ἔχουσιν οἱ κατὰ τὴν πόλιν ἐπιτηδείως. eadem quiritatio est Theognidis,

Ἀλλ' οὐκ ἀστοῖσι πᾶσιν ἁδεῖν δύναμαι.

Ciuibus haud cunctis, Cyrne, placere queo.

τὸ εἰς ἐμὴν διὰ κυμάτων ἀποπλεῦσαι ἐλευθερίαν, ὃ π. *cum ad libertatem mihi dandam per fluctus enauigauit, c.*

ὥρμησα μὲν ἐπικατασφάξαι τῷ σώματι ἐμαυτόν. καὶ. ita scribe; et verbum adde versioni. *his enunciatis, concitus sum ad me ipsum super cadauere iugulandum.* et mox, ἐν τῷ τὸ γύναιον συνεπαινέσαι, τ. *in collaudanda muliercula quidq.*

οὐ γὰρ ἐθέλεις φησὶ γαμεῖν. quae continuo sequuntur, ita scribuntur in castigatiore Reg. Cod. τίς τοῦτο νόμος εὐθύνει· τίς οὐ γαμῶν ἀδικεῖ· τίς εἰσήχθη πώποτε. τίς ἔδωκε δίκην τοῦ τοιούτου βίου, ἢ νῦν πρ. quae vides me sequutum in tralatione. προχώρους glossema γείτονας exponit, ego *finitimos* verti. nec animus fuit hoc ad Rom. referre, ob mulctam coelibi vitae irrogatam lege Iulia. Illud ἢ τὸ κοινὸν δὴ τ. verti potuit, *aut in genere apud Graecos?*

ἄπαιδα μὲν διαμεῖναι, δυστυχίας ἂν εἴη. θ. Posidipp. in Epigr. πήρωσις ἄπαις βίος. Papinius IV. Syl. *Orbitas nullo tumulata fletu.* Auson. in C. Pythag. — *poenaeque graues in coelibe vita.* θρηνῶν τὴν γυναῖκα, τεθνήξομαι. Scribe Lat. vt verteram, *lamentans mulierem, emoriar.*

In Declam. XXXIX. Avari filium pium abdicantis.

μίαν ἔσχον φιλονεικίαν, ἁ. *vni studio contentiose ac peruicaciter incubui.*

πολλοὶ καὶ στεφάνοις τὸν θεὸν γεραίρουσι. *multi etiam coronis Deum honorant.*

πλὴν οἶσά γε * ἀνεκτῶς. mendosi sunt hic libri editi et msc. vt Aesculapii ipsius ope tam lacer locus egeret. videsis coniecturam nostram, πλὴν ἤνεγκά γ' ἀνεκτῶς. *duntaxat non inique tulissem.* vel, πλὴν ἴσως ἦν ἀνεκτόν. *tametsi tolerabile forsitan fuit.*

ὁ μὲν εὐκτήμων νενίκηκε κρίσιν πολλάκις ἄδικον. Idem supra in vitup. inopiae. pag. 114. Xenophon initio Apolog. Socr. δικασταὶ πολλάκις ἀδικοῦντας. ἢ ἐκ τοῦ λόγου οἰκτίσαντας ἢ ἐπιχαρίτως εἰπόντας ἀπέλυσαν. Aristoph. in Nebulis.

τί φιλοκερδῆ τῷ γένει τὸν Ἀσκληπιὸν ἀπέφηνας; adisis Pindari locum, quem notaui. vis hoc te fasce leuem? Sic ille,

— κέρδει καὶ σοφία δέδεται.
Ἔτραπε κἀκεῖνον ἀγάνορι μισθῷ
Χρυσὸς ἐν χερσὶ φανεὶς
Ἄνδρ' ἐκ θανάτου κομίσσαι
Ἤδη ἁλωκότα.

Tertull. Apolog. C. XIV. *Est de Lyricis, qui Aesculapium canit auaritiae merito fulmine vindicatum.*

IN

In Declam. XL. Abdicati Fratrem Amantis.

Principio sic interpunge, πράττειν δὲ ἃ τῶν ὑγιαινόντων ἐστὶν ἤδη δύναται, κ. *atque ea quae sanorum sunt, iam facere possit, et ind.* ἐν δὲ τῷ δικαστηρίῳ. τ. *nunc in Curia patris iram mitigent.* paulo post scribe, τῷ πατρὶ μηδὲν ἠδικῆσθαι ν.

μηδὲ ἐξ ἀφανῶν βάλλειν. Paroemiacum, ex his Hom. Il. H. ἀ σ' ἐθέλω βαλλέειν τοιοῦτον ἐόντα,

Λάθρῃ ὀπιπτεύσας, ἀλλ' ἀμφαδὸν, αἴκε τύχοιμι.

Non te clam telis peterem, sed luce palamque.

ὅτι ταῦτα πολεμῶν ἐμοὶ πεποίηκε· π. nihil muto: proba scriptio, et mens est, *Iste haec aduersans mihi fecit: q.*

ταῦτα ᾔδειν ἕξοντα· καὶ ὡς κατηρᾶτ' ἂν ὁ παριὼν τὸν τάφον. τ. hoc a Lat. versione excidit; *Isthaec noueram patrem auditurum: atque praeteriens tumulum execraretur. istud q.* statim haec ita scribenda coniicio. διὰ τοῦτο ὅπερ οὐκ ἐξῆν ὕστερον δωρεὰν διδόναι, διὰ τῶν διαθηκῶν ἐποίουν, ἀ. *propterea, quod liberum non fuit postea dono dare, t.*

θεῶν γὰρ, οἶμαι, μόνων, τὸ κρείττους ἢ ἁμαρτάνειν εἶναι, οὐκ οὐδεὶς τὸ. haec ita emendo et interpungo; quibus consonat illud, θεοῦ τὸ πάντα καθορθοῦν.

mox ita distingue, νομίζειν· τοὺς δὲ ῥαθυμοτέρους ἐπαινεῖν μὲν μὴ, νομ. et versionem exple, *Segniores autem laudare non consueuit; eos t.*

ἔθυσας δὲ δεκάτην ποιῶν, οὐ τ. Decl. prox. sequenti, huius moris meminit, quo patres pro liberorum salute sacra litando decumas facere instituerant. p. 865. B. ὃν ἐγέννησεν, ὃν ἔθρεψεν, ᾧ τὴν δεκάτην ἐποίησε.

IN DECLAM. XLI.

HAEC erit pro corollario Declamatt. super abdicatione: tametsi locum habere potuit inter conciones Fortium, vel τῶν μεμψιμοίρων.

ἀλλ' ἐμοῦ πρὸς τὸ τιμωρεῖσθαι μᾶλλον ἢ τὸ συγγινώσκειν ὁρῶντος. verte dilucidius, *Sed quod ad puniendum potius, quam ad condonandum, specto.*

ἐκπολεμώσαντες τὸν ἄνθρωπον τοῖς ἀναγκαίοις. potui cum Horatio dicere, *hominem suis lib. inimicarunt.* τὸ ἐκπολεμοῦν, *inimicare.* Quod sequitur, Οὓς ὁ πατὴρ ἐλαύνει, τούτους αὐτὸς ἀγαγὼν οἴκαδε. obiectio est calumniatorum filii strenui. itaque lubens reponerem, αὐτὸς ἀνάγει εἴσ. *Quos pater excludit, hic eos domum reuocat.* iam ἕξει τὴν αἰτίαν, verto, *pater crimen subibit, eorum vice, qui irritarunt.* ὡς ἐμοὶ μάλιστα οἱ πολέμιοι τῶν πολιτῶν

καταρῶνται. clarius vertas, *quod mihi potissimum hostes ciuium imprecantur.*

mox, *τὴν ἐπὶ τῇ πικρᾷ κρίσει δόξαν,* vocat, *acris censurae opinionem.*

ὁ εἰς τὸ γένος μὴ χρηστός. τ. Hoc Aeschines Demostheni vitio vertit *ἐν τῷ περὶ παραπρεσβ.* iisdem prope verbis, quae iam in superiori Decl. occurrerunt.

τῷ μὴ μόνος ἀπολαύειν τῶν ἀγαθῶν. *quam si solus bonis potirer.* negationis notam, et adulterinam, non expressi.

μὴ οὖν οἴου μοι τὸν οἶκον τ. non omnino improbo alteram lect. *τὸν οἶκον τ.* *Ne igitur putes, patris domum satis mihi solatii ad salubrem habitationem fore.*

ἐκκλησίας ἀνάστασις. *concionis legitimae perturbatio et euersio cum tumultu.*

ἐπειδὴ καὶ ταῦτα ἀπ' εὐνοίας καὶ πρός σε λαβεῖν ἀξιῶ. hoc in Latin versione ab operis praetermissum restitue, *non desistam. quandoquidem haec etiam ob meam in te beneuolentiam accipere postulo.*

In Declam XLII. quae est Oratoris elinguis Apologia.

In exordio, vbi asteriscus est, legerem, *δεῖ δὲ ἡμᾶς οἷς ἔτι περίεστί τι φωνῆς.* vel *περίεστι φωνή* mox illud, *πάντων ἂν ἦμεν κάκιστοι, τὰς ἀμοιβὰς ἀ.* respondet his Tullii pro Archia poëta, *A quo id accepimus, quo ceteris opitulari et alios seruare possemus, huic profecto ipsi, quantum est situm in nobis, et opem et salutem ferre debemus.* *οὐ μὴν ὑμᾶς γε πρέπει, δ.* scribe Lat. *vos tamen non decet, q.* et statim, *reus apud vos f.* et, *a vobis quidem ser.*

τὴν γὰρ ψῆφον, οἶμαι, οὐ πρὸς τὰς ἐπιθυμίας τῶν ἀγων. Cic. pro Cluent *Est sapientis iudicis semper, non quid ipse velit, sed quid lex et ratio cogat, cogitare.*

εἰς ταῦτά σε κατέστησεν ἡ σὴ πολιτεία, κ. nunc ita verto, *ad haec calamitose, vitae tuae ratio te redegit,*

ὁ μὲν οὖν δῆμος, ὡς ἤκουσεν ἐπλήγη τῷ ῥήματι. Loquutio familiaris auctori: idem enim diss. *περὶ ἀπληστίας* p. 948. ait, *ὁπότε πληγείη τὴν ψυχήν.* et in commentar. de fort. sua, *πληγεὶς τὴν ψυχὴν τοῖς εἰρημένοις.* *dictis animo perculsus.*

πόλις πρὸς ἑαυτὴν ἐκπολεμοῦται. *ciuitas in se ipsam bellum gerit.* Sic. Luc. 1. canit,

— populumque potentem
In sua victrici conuersum viscera dextra.

τῶν μὲν ταῦτα, τῶν δὲ ἕτερα βουλομένων. quia in tumultu hi quidem haec, alii alia volunt: vbi

Scin-

Scinditur incertum studia in contraria vulgus.

ὥσπερ ἂν εἴ τις τ. scribe Lat. *perinde ac si q.*

εἰ καὶ τοὺς ἀνδριάντας ἐμψύχου θ. Sallust. II. de ord. rep. *incertissimi nobiles, in quibus, sicut in statua, praeter nomen nihil est additamenti.*

καὶ τὴν φύσιν ἐκ ἔστιν εὐθύνας ἀπαιτῆσαι. Aristot. v. Ethic. ad Nicom. C. IX. περὶ φυσικοῦ δικαίου. Flaccus ad Pisones.

Format enim natura prius nos intus ad omnem
Fortunarum habitum: iuuat aut impellit ad iram,
Aut ad humum moerore graui deducit et angit.

οὕτω κλαίοντες ὁ. Philemon, Comicus,

— ἡ λύπη ἔχει
Ὥσπερ τὸ δένδρον τοῦτο καρπὸν, τὸ δάκρυον.
Habet dolor lacbrymam, arbores fructum vt suum.

εἰ μὴ παρὰ τοῖς νόμοις, ἐν τῷ ψηφίσματι τῆς δωρεᾶς δεῖξον δι. illa sic interpungenda. et statim haec. ἀλλὰ τούτων γε οὐδὲ ὁ δυσμενὴς καὶ μηδὲν ὀκνῶν ἀπεστέρει *verum his certe ne infestus quidem ille, et proiectae vir audaciae, fraudarat.* de diuite interpretor. mox etiam appone τιγμὴν τελέαν ante haec. οὐ τὴν χεῖρα ἀπεκόπη κ. *Non manus ei populi scito praecisa est.*

καὶ δι' ἐμοῦ τὰ πλεῖστα τῶν αὐτῆς ἡ πόλις ἐπ. scribe Lat. *ac per me ciuitas m.*

IN MAGI ACCVSATIONEM. DECL. XLIII.

εὐθὺς ὑπακούσας τοῖς παρὰ τοῦ θεοῦ. ex pio Homeri monito Iliad. A.

Ὅς κε θεοῖς ἐπιπείθηται, μάλα τ' ἔκλυον αὐτοῦ.
Vt Diuos audit quisque, exauditur ab illis.

quo spectat Camilli dictum apud Liu. lib. V. *Inuenietis omnia prospera euenisse sequentibus Deos, aduersa spernentibus.*

ψυχὰς ἐκ ἐῶν ἐν τοῖς αὐτῶν μένειν ἤθεσι. *Nec eorum manes suis in locis manere sinens.* en ψυχομάντιος facinus. ἤθεα vero locos malui dicere, quam sedes, vt Virgil. *Deuenere locos laetos.* Di Augúst. in enchir. ad Laur. *receptacula* dixit. haec autem verba, ὁ γὰρ αἰσθανόμενος καὶ κωλύειν δυνάμενος αὐτῷ παρῄνει σιγᾶν. sic explico, *Qui sensu et iudicio valet, sibi silere suaderet.*

οἶδα μὲν ἃ πείσομαι· τὴν κοινὴν δὲ σωτηρίαν πρὸ τῆς ἐμαυτοῦ τιθέμενος ἀνίστην. Occurrit obiectioni, quae illi par est, quam Apuleius refert. I. Apol. *oppido miror, cur accusare non timuerint, quem posse tantum fatentur: neque enim tam occulta et diuina potentia caueri potest, itidem vt caetera.*

καὶ ὁ μὲν γόης ταῦτα. en incantator pro mago. Apul. ibid. *more vulgari eum proprie magum existimant, qui communione lo-*

 quendi

quendi cum diis immortalibus, ad omnia quae velit incredibili quadam vi cantaminum polleat.

τὸ Δελφικὸν καὶ τῷ τόπῳ κ. Cic. I. de diuin. *Nunquam illud oraculum Delphis tam celebre et tam clarum fuisset, neq. tantis donis refertum, omnium populorum atque regum, nisi omnis aetas oraculorum illorum veritatem esset experta.* sic interpunge haec σεμνότερος· οὐ τοίνυν οὐδ' ὁ τρ. *Atqui ne modus quoq. s.*

τὸν περὶ τὰς ταφὰς νομὸν κεκ. Thucyd. lib. 2. νόμοι πάντες συνεταράχθησαν οἷς ἐχρῶντο πρότερον περὶ τὰς ταφάς. vt esset *facilis iactura sepulcri.*

οὗτος ἂν γένοιτο καὶ λοιμοῦ· καὶ λοιμοὺς τ. scribendum, καὶ λιμοῦ· καὶ λιμὸν τ. de fame, vt interpretor.

ἀφάνιστον τὸ μειράκιον νεφέλῃ. praestigias eiusmodi Mago tribuit Horat. epist. 1. lib. II.

Irritat, mulcet, falsis terroribus implet,
Vt magus, et modo me Thebis, modo ponit Athenis.

τοὺς περὶ τὰ Φρέατα. ex eod. Thucydid. ibid. πολλοὶ ἔδραμον ἐς Φρέατρα, τῇ δίψῃ ἀπαύστῳ ξυνεχόμενοι.

νεκροὺς ἐπανῆλθε κομίζων. hemestichium excidit oratori fortean imprudenti, *redis inde cadauera vectans.* ἔξεις καὶ μετὰ τὴν σφαγὴν τὸν υἱὸν, ὕπακ. pater, ex his Magi appellatione etiam νεκυομαντιν contineri, qui dicitur a Io. Chrysost. hom. XXXV. in X. Matth. ὁ τὰς νεκυομαντείας τολμῶν. mox alludit ad εἴδωλα καμόντων Homeri.

IN DECLAM. XLIV.

CAECVS PRO LIMINE. Eadem inscriptio idemque argumentum II. Declam. Fabii Quintil. in tractatione tantum differt, quia apud illum patronus pro Caeco dicit; hic Caecus ipse caussam agit. Quare non sine fructu haec inter se conferentur a studiosis: et mirum fortasse accidet, qui ὑποθέσει Libanianae, summa Fabiana ita respondeat, vt e Graecis translata videatur; quod fortean suspectam νοθείας Lat. Declamat. fecerit: nisi Libanium ab antiquoribus Rhetoribus mutuatum esse duxeris. Eiusmodi autem est Quint. arg. *Ex incendio domus adolescens patrem extulit. Dum matrem repetiit, et ipsam et oculos amisit. Induxit illi pater nouercam. Quae accessit quodam tempore ad maritum, dixitque, parari illi venenum, quod iuuenis in sinu haberet, et sibi promissam dimidiam partem bonorum, si illud marito porrexisset. Intrauit ad caecum pater, interrogauitque, an haec vera essent: ille negauit. exquisiuit, et inuenit in sinu venenum. Interrogauit, cui parasset? ille tacuit. Recessit pater, et mutato testamento, nouercam fecit heredem. Eadem nocte strepitus in domo fuit. Intrauit*

Intrauit familia in cubiculum domini, inuenitque ipsum occisum, et novercam iuxta cadaver dormienti similem, caecum in limine cubiculi sui stantem gladium eius sub puluino cruentatum. Accusant se inuicem Caecus et Noverca.

Initio προθεωρίας emenda, ἐξαιρέτως δὲ οὗτος ὁ. et paulo post corr. τῆς ὑπεισιότητος ἔλαττον φροντίσαντες, ὁ.

θαῤῥεῖν μὲν οὖν. et confidere et formidare. Nonnus VI. Dionysiacῶν.

> Ζῆλον ἔχων καὶ δεῖμα. —
> *Inter spemque metumque.* —

ἄδον γοῦν καὶ ταῦτα πολλάκις ἐπὶ τῆς πρώτης εὐδαιμονίας ὕπερ τ. Non placet τὸ ἄδον, vt sit πληθυντικῶν. mallem εἴδετο pro ἐφαίνετο, et quo referas πρώτην εὐδαιμονίαν; an ad aureum saeculum? ἐοίχω.

προτιμοτέραν ποιήσασθαι τῶν διαβολῶν τὴν ἀλήθειαν. Aristot. I. de morib. ad Nic. ὅσιον προτιμᾷν τὴν ἀλήθειαν. Fab. ibidem *fiduciam veritatis* vsurpat.

πᾶσιν ἀπιστούμενον ἔργον τολμήσῃ τις. *omnibus incredibile facinus ausus fuerit.*

καὶ τοῖς πράγμασιν αὐτοῖς ἐπιστήσαντες. hic negatio desiderari videtur, αὐτοῖς οὐκ ἐπιστήσαντες. *et minus attento rebus ipsis animo.*

ὧδε καὶ τῶν ἀκοῶν ἡ δύναμις συναφῄρητο· κ. accedunt ad illa Oedipi in Senecae Theb.

> — *ego vllos ore concipio sonos,*
> *Per quos parentis nomen aut nati audiam!*
> *Vtinam quidem rescindere has quirem vias:*
> *Manibusque adactis omne quo voces meant,*
> *Aditusque verbis tramite angusto patet,*
> *Eruere possem.* —

ὁπλίζεσθαι, καὶ τιμωρεῖν πατράσιν ὑπὸ παίδων ἀνῃρημένοις. sic scribe et interpunge. quod autem ait de Furiis et vltoribus geniis, ex Tragico Oedipo et Oreste palam est.

ὦ Γῆ καὶ Ἥλιε. ita scribe, ex Trag. Demosth. exclamatione. Tellumo terrae vis mascula, quod femina producat. D. August. l. 7. de C. D. cap. 23.

EIVSDEM NOTAE AD LIBANII DISSERTATIONES.

Ad Primam.

ORDITVR a narratiuncula cuiusdam e vulgo, minime mali, imo humani, φιλανθρώπου. quique nihil humanum a se alienum putans,

— miseratus egentem
Inde aliquem fracta persensit mente dolorem.

Hanc vero graphicam mendicabulorum, debilium ac mutilorum, descriptionem, Ioannes Chrysostomus Libanii nostri auditor, et ex eo μαθητῶν numero, qui dicuntur κράττονες διδασκάλου, scite aemulatus est in sec. tractatu περὶ ἀρνήσεως Πέτρου, his aureis verbis: διὰ τοῦτο καὶ πρὸ τῶν θυρῶν τῶν εὐκτηρίων ἵστησαν τοὺς πένητας οἱ ἡμέτεροι πατέρες, ἵνα καὶ τὸν νωθρότατον καὶ ἀπανθρωπότατον, αὕτη τῶν πενήτων ἡ ὄψις πρὸς ὑπόμνησιν ἐγείρῃ τῆς ἐλεημοσύνης. ὅταν γὰρ εἱστήκει χορὸς γερόντων τῶν συγκεκυφότων, ῥάκια περιβεβλημένων, αὐχμώντων, ῥυπώντων, βακτηρίαν ἐχόντων, μόλις στηρίζεσθαι δυναμένων, καὶ τῷ σώματι ἀναπήρων· τίς οὕτως λίθινος· τίς οὕτως ἀδάμας, ὡς καὶ τῆς ἡλικίας καὶ τῆς ἀσθενείας, καὶ τῆς πηρώσεως, καὶ τῆς πενίας καὶ τῆς εὐτελείας, καὶ πάντων ἁπλῶς πρὸς συμπάθειαν ἐπικλώντων αὐτὸν ἀντιστῆναι, καὶ μεῖναι πρὸς ἅπαντα ταῦτα ἀνενδότως. διὰ ταῦτα πρὸ τῶν θυρῶν ἡμῶν εἱστήκασιν παντὸς τοῦ λόγου δυνατώτερον διὰ τῆς ὄψεως ἐπισπώμενοι πρὸς φιλανθρωπίαν τοὺς εἰσιόντας. h. e. *Propterea maiores nostri pauperes pro templorum foribus statuerunt, vt vel stupidissimum quemuis et immanissimum hic pauperum conspectus ad memoriam excitet eleemosynae. Cum enim steterit turba senum incuruorum, annis et pannis obsitorum, squalentium, sordidatorum, scipiones tenentium, quique vix consistere queant: saepe vero effossis etiam oculis et corpore ipso mutilorum: quis tam saxeus est, quis tam adamas, vt cum illum aetas, infirmitas, mutilatio, paupertas, vilitas, omnia denique ad commiserationem inflectant, resistat, ac nihil omnibus istis commotus, rigidusque, permaneat? Idcirco pro foribus nostris stant, vt ipso aspectu vehementius, quam vlla oratione fieri posset, ad humanitatem introeuntes alliciant.*

Ad II. Diss. De Amicis.

IN eodem argumento versatur primum χρείας λογικῆς exemplum supra in Progymn. pag. 4. Autoribus a nobis laudatis adde Plat. in Lyside. Aristot. VIII. de moribus ad Nicomach. Theognid. Lucian. in Toxari. Tullium in Laelio. Cyrum Theodor. in φιλίᾳ ἀποδήμῳ.

τύχης τὸν αὐτῆς ἱστὸν ἀναλυούσης. Quasi Fortunae Penelopes stus placeat, de quo Hom. Odyss. vlt.

Ἔνθα κεν ἠματίη μὲν ὑφαίνεσκεν, μέγαν ἱστὸν,
Νύκτας δ' ἀλλύεσκεν, ἐπὴν δαΐδας παραθεῖτο.

Ἐργά-

Ἐργάσαιτ' ἄν τι καὶ ἐγγύη τοιοῦτον. *aliquid etiam tale sponsio effecerit.* id Chilo dictitabat, ἐγγύα, πάρα δ' ἄτη. *sponde, praesto noxa est.* et Salom. Pro. 6. et 27.

εἰ δὲ θησαυροὶ οἱ φίλοι, κ. Aristoteles loco laudato Senarium Trag. exagitat,

Ὅταν ὁ δαίμων εὖ διδῷ, τί δεῖ φίλων;

Cum Deus adest fauetque, quid amicis opus?

tum probat φίλον τῶν ἐκτὸς ἀγαθῶν μέγιστον εἶναι. *Amicum bonorum externorum esse maximum.*

τὸν δὲ ὑπὸ τοῦ Πλούτωνος τοῦτο ἀφῃρημένον, γεγονέναι πένητα. cum duntaxat intelligit, *cui a Dite adempti sunt amici, egenum esse.* referendum ad id, quod sequitur paulo post, καθ' ἑκάστην τελευτὴν ἀποφέρουσαν φίλον, de vnoquoque amicorum interitu. vnde Achillis querimonia, Iliad. Σ.

Ἀλλὰ τί μοι τῶν ἦδος, ἐπεὶ φίλος ὤλεθ' ἑταῖρος;

At mihi quid volupe est, periit cum fidus amicus?

Ἡ οὐ πλουσίου καὶ μακαρίου πολλοῖς μὲν ὀφθαλμοῖς. Alludit ad Regis Persarum ministros, seu officia Palatina. Habuit quippe παμβασιλεὺς ille emissarios perspicaces vbique locorum, qui ὀφθαλμοί, oculi imperatorii dicebantur: habuit et ὠτακουστάς, qui olim *Auricularii*, et Aures regiae ab Apuleio vocantur. De manibus Regiis peruagatum est illud Nasonis.

An nescis longas Regibus esse manus?

Videsis Aristot. περὶ κόσμου. Dion. Chrys. orat. III. de Regno. pag. 55. edit nostrae. vb de his plura notauimus. adi etiam Philostratum lib. IV. de vita Apollonii.

βελτίους ὄντας τῶν ἐν λόγοις ἀργῶν. *praestantiores iis, qui vulgo nominantur * segnes.* Asteriscum apposui huic loco, qui dignum vindice nodum habet. quod si quis hoc existimet de sermonibus causidicorum intelligendum vt 1. Differt. meminit τῆς ἀπὸ λόγων δεινότητος; et mox, τῆς κατὰ λόγους πενίας, non invitus admitto. sin quibusdam nouum, ac prope absurdum videatur, vt nihilo mancipiis meliores, praestare facundis inertibus dicantur: tametsi Pacuuii vetus dictum laudetur, *Ego odi homines ignaua opera et philosopha sententia.* equidem, cum in quodam Reg. mnsc. legatur ἀργυρῶν, quod etiam ἄτοπον et explodendum paret; coniectura sola nixus scribendum autumarem, τῶν ἐν λόγοις Ἀργείων. *meliores iis, qui vulgo memorantur Argiui,* ex veteri Argiua paroemia, Ἀργεῖοι φῶρες. Argiui fures. ἐπὶ τῶν προδήλως πονηρῶν. Argiui nempe ob insignem improbitatem, ignaviam et furacitatem, Comico pipulo vt Lauerniones traducebantur.

III. Dissertationis *περὶ ἀπληστίας*, idem ferme exordium est, quod secundae Dionis Chrysost. de Fortuna, *Τὰ γιγνόμενα παρὰ τῶν ἀνθρώπων εἰς τὴν τύχην ἐγκλήματα, μέγιστ' ἂν ἔγωγε θείην ὑπὲρ αὐτῆς ἐγκώμια.* etc. pag. 592. edit. nostrae. porro sunt hic communia pleraque cum iis, quae ab eodem Dione scripta sunt *περὶ πλεονεξίας, Diuersum quamuis quisque sequatur iter.*

ὅτι μὴ καὶ ἰσχυρὸς, vt Heroi par sit, qui ab Homero dicitur, *ἠΰς τε μέγας τε*, *magnusque, valensque* alioqui, *non est in tanto corpore mica salis*, nisi robustum sit.

ἔθνους ἕτερος, *ὅ. qui nationi praeest*, *m. ὅτι μὴ καὶ ὕπαρχος.* tametsi *ὕπαρχος* vt *ἔπαρχος* interdum de praeside prouinciae vsurpetur: hic tamen vt apud Ecclesiasticos historicos de praefecto praetorio accipiendum potius videtur; quoniam huic magis conuenit secundum esse ab Imperatore. Igitur verte, *imp. habet, quod non sit praefectus Praetorio*, *q.* et mox, *nisi Praefecti habitu confidens sp. ἤχθετο τοῖς ἔτι ζῶσι τατωνὶ τῶν πα.* verto, *iis ex patribus istis succensebat*, *q. οὐκ εἶναι δυστυχέστερον.* legebam *εὐτυχέστερον.* si vulgata lect. placet, repone, *non esse vllum se miseriorem dicebat socius.* hic chare Lector, *εὐδαιμονοίης* spe *δευτέρων ἀμεινόνων.*

TOY

ΤΟΥ ΑΥΤΟΥ ΛΙΒΑΝΙΟΥ ΡΗΤΟΡΟΣ ΜΕΛΕΤΑΙ.

ΛΟΓΟΣ ΠΡΕΣΒΕΥΤΙΚΟΣ ΠΡΟΣ ΤΟΥΣ ΤΡΩΑΣ, ΥΠΕΡ ΕΛΕΝΗΣ.[1]

ΠΡΟΘΕΩΡΙΑ.

ΕΧΕΙΣ προλαβὼν παρ' Ὁμήρῳ, τοὺς χαρακτῆρας τῶν ῥητόρων. περὶ μὲν γὰρ τοῦ Μενέλεω φησὶν, ὅτι

Παῦρα μὲν λέγοι, μεθ' ἡδονῆς δὲ παρέχοιτο τοὺς λόγους.

τὴν δὲ Ὀδυσσέως ῥητορείαν, εἰκάζει νιφάδων πυκνότητι. τὸν μὲν οὖν κανόνα τοῦτον πειρασόμεθα φυλάττειν ἐπὶ τῶν λόγων. ἐκεῖνο δὲ μάλιστα κατιδεῖν[2] ἄξιον· ὅπερ διὰ τῶν αὐτῶν[3] πολλαχοῦ κεφαλαίων, ἐν

[1] τῆς ἑλένης μενέλεως Aug. secundus, quem in posterum simpliciter Augustanum appellabo, quia declamationum paene nihil in primo legitur

[2] παρατηρεῖν m. Mor.

[3] γρ. αὐτοῦ m. Mor.

ἐν ἑκατέρῳ βαδίζοντες, ἐν μὲν τῷ προτέρῳ συςέλλομεν ἐν θατέρῳ δὲ τὴν ἐργασίαν[4] ἐκτείνομεν· ἐκεῖ μὲν, χαλιναγωγοῦντες τὰς ἐννοίας ἐνταῦθα δὲ εἰς πλῆθος ἀφιέντες τὴν εὕρεσιν· κἀκεῖνο μέν τοι θεατέον· ὅπως[5] ἐπιτήδειον, ὡς δι' αἰνιγμάτων ἀντιθέσεων ἐνίας·[6] καὶ ὅπερ[7] τὰς πλείους ἀποδέδωκεν Ὀδυσσεῖ, πρὸς λύσιν· τοῦτο μὲν, ὅτι πρέπον ἦν ὑπὸ τούτου μᾶλλον αὐτὰς, ἢ θατέρου λύεσθαι. τοῦτο δὲ, ὅτι λόγον εἶχε[8] τὸ πλέον τοῦ ἀγῶνος εἰς τὸν δεινότερον ἐλθεῖν ῥήτορα. ὁ μέν τοι τύπος, τὴν μίξιν ἐπιδείξεται.[9] ἰςέον δὲ, ὅτι κατὰ τὴν ἱςορίαν, οὐχ Ὁμήρῳ μόνον, ἀλλὰ καὶ Ἡροδότῳ προσχρώμεθα· τὰ μὲν παρ' ἐκείνου, τὰ δὲ παρὰ τούτου, πρὸς τὸ συμφέρον λαμβάνοντες· εἰ δὲ φαίνοιντο οἱ Ἕλληνες ἀποβάντες[10] εἰς τὴν χώραν τῶν Τρώων, εἶτα πρεσβευόμενοι, παρὰ Ἡροδότου τοῦτο γεγένηται.

[4] τὰς ἐκκλησίας m. Mor.
[5] ὅπερ m. Mor.
[6] γρ. ἐνίους m. Mor.
[7] ὅπως m. Mor.
[8] γρ. ἔχει m. Mor.
[9] γρ. ὑποδείξεται m. Mor.
[10] γρ. ἀναβάντες m. Mor.

Ο ΛΟΓΟΣ ΜΕΝΕΛΑΟΣ.

Εἰ μὲν ἐβούλετο Ἀλέξανδρος, ὦ Τρῶες, κἂν κατὰ[1] μικρὸν εἶναι δίκαιος, οὔτ' ἐκκλησίας νῦν ἔδει, οὔθ' ὅπλων, οὔτε πρεσβείας. ἀλλ' ἡμεῖς τ' ἂν οἴκοι διετρίβομεν ἐν πᾶσιν ἀγαθοῖς, ὑμῖν τ' ἂν ἔξω φόβων[2] καθειστήκει τὰ πράγματα. ἐπειδὴ[3] δὲ τὴν τοῦ δικαίου τάξιν δευτέραν πεποίηται τῆς ἡδονῆς, ἥκομεν, ὦ Τρῶες, ἀδικήσοντες μὲν οὐδένα, τὰ δὲ ἡμέτερα[4] αὐτῶν κομιούμενοι, ἐάν περ ἄρα ἐξῇ.[5] τὸ μὲν οὖν στρατόπεδον τῶν Ἀχαιῶν ἀπὸ τῶν τειχῶν ὁρᾶτε δή που, καὶ τὸ πλῆθος ὅσον, καὶ τῆς παρασκευῆς τὸ μέγεθος. ἡμεῖς δὲ τοσαύτῃ προνοίᾳ κεχρήμεθα,[6] τοῦ μηδὲν ἀνεπιεικὲς ποιεῖν,[7] ὥστε καὶ[8] τὰ ὅπλα παραστήσαντες, προτέροις χρώμεθα τοῖς λόγοις. ἵν' εἰ μὲν ἀπὸ τῆς[9] πρεσβείας τῶν δικαίων τύχωμεν,[10] εὐθὺς ἀπίωμεν· εἰ δὲ μὴ, τά γε δεύτερα πράττωμεν. οὔτε γὰρ εἰς ἔργον παραχρῆμα καθίστασθαι, τῶν ἡμετέρων τρόπων, ἀπράκτου δὲ τῆς πρεσβείας ἀπελθούσης, ἡσυχάζειν οὐκ ἔνεστιν. ἔστι τοίνυν ἐφ' ὑμῖν, ἢ περὶ πλείονος ποιήσασθαι τὴν ἡδονὴν Ἀλεξάνδρου τῆς ὑμετέρας αὐτῶν ἀσφα-

[1] γρ. μετὰ m. Mor.

[2] φόβων] ſic Aug. et m. Mor. φόβου t. M.

[3] ἐπεὶ Aug.

[4] ἡμέτερα] δίκαια Aug.

[5] ἐάν περ ἄρα ἐξῇ] ἂν ἄρα βούλησθε m. Mor. ἂν ἄρα βούλοισθε Aug.

[6] κεχρήμεθα] ſic Aug. et m. Mor. χρώμεθα t. Mor.

[7] ποιεῖν] πράττειν in texto Aug. ſed in marg. γρ. ἂν ἀπεικὸς ποιεῖν.

[8] καὶ deeſt Aug.

[9] ἀπὸ τῆς] μὲν ἐκ Aug. et m. Mor.

[10] τύχοιμεν Aug.

ἀσφαλείας, ἢ μετὰ τῆς Ἑλένης ἀπηλλάχθαι καὶ [11] τοῦ πολέμου. μέχρι [12] μὲν οὖν τῆς παρούσης ἡμέρας Ἀλεξάνδρῳ μόνῳ τὴν ἁρπαγὴν λογιζόμεθα, καὶ τῶν εἰς ἡμᾶς ἠσελγημένων οὐδὲν ἀπὸ τοῦ κοινοῦ τῶν Τρώων πεπεῖσθαι νομίζομεν. τὸ δὲ τῆς νῦν ἐκκλησίας τέλος, ἢ βεβαιώσει ταύτην τὴν δόξαν, ἢ τὸ μὲν ἔργον ἐκείνου, τὸ δὲ βούλευμα κοινὸν ἁπάντων ἀποδείξει. ἐν μὲν γὰρ τῷ τὴν Ἀλεξάνδρου θεραπεύειν χάριν, κοινωνεῖν ἐστι τῶν πεπραγμένων, ἐν δὲ τῷ καὶ παρὰ τὴν ἐκείνου γνώμην μέτριόν τι ποιεῖν ἐθέλειν, ἐν ἐκείνῳ [13] τὴν μέμψιν ὁρίζει. αἰεὶ μὲν οὖν ἔμοιγε σύνηθες μὴ μακροὺς ὑπὲρ τῶν πραγμάτων ἀποτείνειν τοὺς λόγους. καὶ τοῦτο εἰκότως οὕτω μοι δοκῶ ποιεῖν. ὑπὲρ μὲν γὰρ τῶν ἀδίκων οὐδ' ἂν εἴποιμι τὴν ἀρχήν· τὰ δὲ δίκαια, [14] βραχείας ἡγοῦμαι δεῖσθαι ῥήσεως. οἶμαι δὲ καὶ εἰ μακρολογεῖν [15] εἰώθειν, τό γε [16] παρὸν πρᾶγμα [17] συστεῖλαι ἂν ὡς εἰς ἐλάχιστον τοὺς λόγους. τουτὶ γὰρ μόνον τῶν ἁπάντων οὐδὲν ἀπαιτεῖ ποικίλον, [18] οὐδὲ σοφὸν, ἀλλ' ἀπὸ ψιλῆς τῆς ἐρωτήσεως, [19] ἑλεῖν ἐστι [20] τὸν ἀνθιστάμενον. καί μοι ἀπόκριναι [21] πρὸς Διὸς ξενίου Ἀλέξανδρε, ἔλαβές τι τῶν οὐ σοὶ προσηκόντων; οὐκοῦν ἀπόδος. ἔλαβες ἀδίκως; οὐκοῦν προσοφείλεις δίκην. δεῖ γὰρ δήπου δυοῖν θάτερον, ἢ τὸ μηδὲν εἰληφέναι δεικνύειν, ἢ [22] τοῦθ' ὁμολογοῦντα μηδὲν ἀντιτείνειν ἔτι. ὡς [23] μὲν οὖν οὐκ ἀφει-

λῶ

[11] καὶ deest Aug.

[12] ἄχρι Aug.

[13] κἀκείνῳ Aug.

[14] post δίκαια deleui καὶ, quod deest Aug.

[15] μακρηγορεῖν Aug.

[16] τό γε sic Aug. et m. Mor. τό δε t. M.

[17] γε deleui post πρᾶγμα, quod deest Aug. et m. Mor. et t. dat. γράμμα.

[18] ποικίλον] sic Aug. et m. Mor. δύσκολον t. Mor.

[19] τῆς ἐρωτήσεως] sic Aug. τῆς deest Mor.

[20] ἔνεστι Aug.

[21] ἀπόκριναι] sic correxi ex Aug. ἀπόκρινε Mor.

[22] in Aug. sic est: δεικνύναι ἄδικος, ἢ — verum vocabulum ἄδικος erat rursus inductum calamo, et e regione adscriptum γρ. δικαίως. quod huc referendum arbitror.

[23] sic interstinxi ex Aug. ἀντιτείνειν. ἔτι ὡς Mor.

λου μὲ τὰ τιμιώτατα πάντων, οὐκ ἀξιώσεις ἀρνεῖσθαι· ἀκούω γὰρ σεμνύνεσθαί σε τοῖς ἀδικήμασι. τούτου δὲ οὕτως ἔχοντος, ὁ τοῦ δικαίου λόγος[24] ἀποστῆναί σε τῶν ἡμετέρων ἔταξεν. ἐφ᾽ ἃ τῷ κοινῷ μὲν νόμῳ τῶν ξένων εἰσεδέχθης, διέθηκας δὲ, τῶν πολεμίων πικρότερον. μὴ γὰρ οἴεσθε[25] τὴν ἐπιβουλὴν αὐτὸν ἡμῖν ἐμφανῆ καταστήσαντα, τοσαῦτα δεδυνῆσθαι. μηδὲ οὕτω, μήτε τοῦτον εἶναι θαυμαστὸν, μηθ᾽ ἡμᾶς[26] ὑπτίους, ὥστε τὸν μὲν[27] ἐκ προῤῥήσεως ταῦτ᾽ ἂν ποιῆσαι, ἡμᾶς δὲ προειδότας ταῦτ᾽ ἂν παθεῖν. ἀλλ᾽ ὅπως ἔχει τὸ πρᾶγμα, ἀκούσατε. Ἀλέξανδρος μὲν γὰρ οὐχ ὡς ἔμελλε τἀληθὲς φυλάξειν, ἀλλ᾽ ὡς ᾤετ᾽ αὐτῷ συνοίσειν, οὕτως ἴσως πρὸς ὑμᾶς ἀπήγγελκε,[28] κλέπτων ψευδολογίᾳ τὴν πονηρίαν. οὐδεὶς γὰρ πώποτε τῶν ἠδικηκότων ὡμολόγηκεν ἃ τετόλμηκεν· ἀλλὰ πάντα τρόπον διαστρέφουσι τ᾽ ἀληθὲς, ἐκ μὲν τῶν ἀδικημάτων πλέον ἔχειν, ἐκ δὲ τῆς ἀρνήσεως χρηστοὶ δοκεῖν εἶναι βουλόμενοι. τὸ μέν τοι πρᾶγμα τοῦτον ἐσκευωρήθη τὸν τρόπον. κατέπλευσεν εἰς τὴν Λακωνικὴν Ἀλέξανδρος, σχῆμά τι[29] περιβεβλημένος οὐ φαῦλον, καὶ θεραπείαν ἐπαγόμενος, ἀφ᾽ ἧς εἰκάζετο, οὐ τῶν τυχόντων εἶναι. ἀναβὰς δὲ εἰς τὴν Σπάρτην, τά τε ἄλλα, πρὸς τοὺς ἐντυγχάνοντας[30] ἐφιλανθρωπεύετο, καὶ πρᾳότητα πολλὴν, καὶ σωφροσύνην πλαττόμενος, ἐδεῖτο ξενίζεσθαι· ἀκούων δὲ ἐγὼ ταῦτα, καὶ πρὸ τῶν ἄλλων ἐμαυτῷ προσήκειν[31] ἡγούμενος τῷ ξενίῳ Διῒ πάντα ὑπηρετεῖν,[32] ἀνέῳξά τε τὴν οἰκίαν,[33] καὶ εἰσήγαγον

[24] λόγος] variam lect. dat Aug. νόμος. quod malim.

[25] recte dat Aug. μὴ γὰρ οἴεσθε, et ἡμῖν, pro μηδὲ οἴεσθε et ὑμῖν Mor.

[26] ἡμᾶς] sic Aug. ὑμᾶς Mor.

[27] ὥστε τὸν μὲν] sic Aug. et m. Mor. ὡς τοῦτον μὲν t. Mor.

[28] ἡμᾶς ἀπέσταλκε Aug. sed in marg. vulg. est cum γρ.

[29] τι addit Aug.

[30] ἐντυγχάνοντας] sic Aug. Mor. προτυγχ.

[31] προσῆκον Aug.

[32] τῷ ξενίῳ ὑπηρετεῖν Aug. sine Διῒ et sine πάντα sed in marg. est γρ. τῷ ξένῳ πάντα, sine Διῒ et sine ὑπηρετεῖν.

[33] ἀνέῳξά τε τὴν οἰκίαν] sic Aug. ἀνέῳξα τὴν οἰκίαν Mor.

γον ἄσμενος[34] ἐπὶ παῖδά τε καὶ[35] εἰς γυναῖκα, τὰ τιμιώτατα, οὐδὲν, ὦ Τρῶες, ἐννοῶν ὧν ὕστερον ἔπαθον. Συναγωγέα γὰρ τοῦ πράγματος ἡγούμενος εἶναι τὸν Δία, τὴν αὐτὴν ᾤμην αἰδῶ σώζεσθαι[36] πρὸς τὸν θεὸν, ὑπό τε τοῦ ὑποδεξαμένου[37] τὸν ξένον, καὶ τοῦ τετυχηκότος φιλανθρωπίας, μᾶλλον δὲ πλείω παρὰ τοῦ ξένου· καὶ τοσούτῳ γε ὅσῳ περ ὁ παθὼν[38] εὖ, τοῦ πεποιηκότος μείζω κεκέρδακεν·[39] ἐπεὶ καὶ νῦν ἡμεῖς ἐγώ τε καὶ Ὀδυσσεὺς Ἀντήνορα τουτονὶ τὸν βέλτιστον, πῶς οἴεσθε[40] θαυμάζομεν, καὶ συνευχόμεθα τὰ βελτίω.[41] καὶ βουλοίμεθ' ἂν αὐτῷ μηδὲν τοιοῦτον περὶ[42] τὸν οἶκον συμβῆναι. οὕτω τοίνυν καλὴν καὶ γενναίαν ἐμοῦ δεξιότητα περὶ τὸν ξένον ἐνδεικνυμένου καὶ τοῦ χρόνου προϊόντος, εἰπάτω παρελθὼν Ἀλέξανδρος, εἴ τινος δεηθεὶς ἠτύχησεν. εἰ τῷ πλείονι τῆς διατριβῆς δυσχεραίνοντες, ὤφθημεν, ἢ μικρὸν, ἢ μεῖζον ἀποστραφέντων[43] ἤσθετο. ἢ μικροψυχίαν ἡμῶν οἶδε καταγνούς, εἰ[44] πρὸς ἑαυτὸν ἐνιδὼν αηδίαν[45] εἴ τινος ὅλως ἐπιλαμβάνεται τῶν περὶ ταῦτα;[46] λεγέτω, δεικνύτω, καὶ πολλοστὸν ὧν ὀφείλομεν ὁμολογήσομεν πεπονθέναι. ἀλλ' οὐκ ἂν ἔχῃ,[47] διόπερ οὐκ ἀνίσταται. ὄντων οὖν ἡμῶν ἀφυλάκτων, ὡς ἂν πρὸς[48] φίλον καὶ γνώριμον, καὶ τῆς πίστεως εἰς ῥαθυμίαν ἀγούσης, πῶς ἂν τις χρήσαιτο τοῖς λοιποῖς;[49] μετέθηκεν, ὦ Τρῶες, τὸν περὶ

ταυ-

[34] ἀσμένως Aug.

[35] παῖδά τε καὶ] ſic recte Aug. erat enim Menelao ex Helena ſuſcepta nonniſi vna filia Hermione. παῖδας καὶ Mor.

[36] malim σωθήσεσθαι.

[37] ὑποδεξαμένου] ſic Aug. δεξαμένου Mor.

[38] καὶ τοσοῦτόν γε ὅσον ὁ παθὼν Aug.

[39] κεκέρδηκεν Aug.

[40] οἴεσθε] ſic Aug. οἴεσθαι M.

[41] βέλτιστα Aug. et margo Mor.

[42] τοιοῦτον περὶ] ſic Aug. et m. Mor. τοιοῦτο πρὸς Mor.

[43] ἀποστραφέντων] ſic Aug. ſubauditur ἡμῶν. ἀποστραφέντας Mor.

[44] ἢ Aug.

[45] ἀνηδίαν] ſic Aug. et m. M. ἀδικίαν Mor.

[46] τῶν περὶ ταῦτα] ſic appellat τὴν ὑποδοχὴν τοῦ ξένου, τὴν τῶν ὑποδεξαμένων πρὸς αὐτὸν φιλοφροσύνην.

[47] ἔχοι Aug.

[48] poſt πρὸς deleui τὸν, quod abeſt ab A.

[49] τοῖς λοιποῖς] τοῖς λόγοις Aug. γρ. λοιποῖς λόγοις m. Mor.

ταῦτα θεσμὸν εἰς πᾶν τοὐναντίον· καὶ ἠμείψατο τὴν μὲν φιλανθρωπίαν ἀδικίᾳ, τὴν δὲ φιλοξενίαν πονηρίᾳ, τὴν δ' ὑποδοχὴν ἁρπαγῇ, τὴν δὲ τιμὴν ὕβρει, τὴν δὲ πίστιν ὠμότητι· οὐ θεοὺς φοβηθεὶς, οὐ τοὺς εὖ πεποιηκότας αἰδεσθεὶς, οὐχ ὑμᾶς αἰσχυνθείς· οὐ τὸν πατέρα Πρίαμον, ὃν ἀκούομεν περί τε τὸ θεῖον ἐσπουδακέναι, καὶ ὅλως ἐν φροντίδι πεποιῆσθαι τὸ μηδὲν δοκεῖν ἐξαμαρτεῖν. ταῦτα πάντα, καὶ ἔτι πλείω τούτων παρὰ φαῦλον τιθέμενος,[50] ἀφείλετο μὲν τὸ γύναιον, προσαφείλετο δὲ καὶ χρημάτων ὄγκον· οἰκετὰς δὲ σιωπῶ, καὶ πολλὰ πρὸς τούτοις ἕτερα· τί γὰρ ἄν τις μηκύνοι, πρὸς ἀκριβῶς εἰδότας; ἐκ γὰρ ὧν ἧκεν εἰς ἡμᾶς[51] ἄγων, ὅπου ἡμᾶς ἀπεξέρηκεν,[52] ἔδειξε καὶ πλουτεῖ νῦν ἐκ τῶν ἡμετέρων κακῶν. καὶ ὅς τις βούλεται τὴν παροινίαν σαφῶς καταμαθεῖν, οὐχ ἑτέρου[53] δεήσεται, ἀλλ' εἰσελθὼν οἴκαδε ὡς Ἀλέξανδρον, ἐρέσθω. τοῦτο τὸ[54] γύναιον, ὦ τᾶν, πόθεν ἔχεις λαβὼν, καὶ τίνι τρόπῳ; ἆρ' ὥσπερ ὁ πατήρ σου τῇ μητρὶ τῇ σῇ συνῴκηκεν, οὕτω καὶ αὐτὸς Ἑλένῃ συζῇς νόμου τῆς κοινωνίας ἡγησαμένου; ἢ γὰρ ψεύσεται τὴν πρᾶξιν αἰσχυνόμενος, ἢ τἀληθῆ λέγων ὁμολογήσει τὸ κακούργημα. μηδεὶς δὲ ὑμῶν[55] εἰ μετὰ παῤῥησίας οἱ λόγοι[56] γίγνοιντο, τοῦτο ποιείσθω δυσχερές· πρῶτον μὲν γὰρ οὔτ' ἂν ἡμεῖς τῶν δικαίων τύχοιμεν,[57] οὔτ' ἂν ὑμεῖς ἃ προσήκει[58] γνοίητε, εἰ μὴ τοὺς προσήκοντας λόγους τὰ πράγματα λάβοι.[59] ἔπειτα δ' ἐντεῦθεν, καὶ μάλιστα ἄν τις κατίδοι, ὁπόσην ἔχει τὰ πεπραγμένα τὴν ἀτοπίαν. εἰ γὰρ

ἐὰν

[50] τιθέμενος] sic Aug. θέμενος Mor.

[51] ὑμᾶς] sic Aug. ἡμᾶς Mor.

[52] ἀπεσέρησεν Aug.

[53] οὐχ ἑτέρου] fortasse deest τοῦ διδάξοντος, vel tale quid. in Aug. hic vehementer conturbatum est, vt nihil ex eo peti possit opis.

[54] post τὸ deleui γὰρ, quod deest A.

[55] ὑμῶν] sic Aug. ὑμῖν Mor.

[56] οἱ λόγοι] scil. οὗτοι οἱ ἐμοί.

[57] τύχοιμεν] subaudi, εἰ μὴ μετὰ παῤῥησίας ἐλέγομεν.

[58] ἃ προσήκει] scil. ὑμᾶς γνῶναι.

[59] λάβῃ Aug.

ἐάν τις ἃ πέπονθεν ἀποκεκαλυμμένως εἴπῃ, τοῦτο τῶν δεδρακότων ὕβρις, πῶς εἰκὸς τοὺς πεπονθότας, ὑπ' αὐτῶν τῶν ἔργων διακεῖσθαι;[60] χωρὶς δὲ τούτων οὐκ ἔνι τὴν πρεσβείαν φανῆναι δικαίαν, ἂν μὴ τὸν εἰργασμένον ἀδικοῦντά τις ἐπιδείξῃ. ὁρᾶτ' οὖν ὡς ἁπλᾶ καὶ δίκαια παρεχόμεθα.[61] δύο γὰρ δή που τοὺς ἐγκαλουμένους ἀφιέναι τῆς αἰτίας πέφυκεν, ἢ τὸ μηδοτιοῦν πεποιηκέναι τὴν ἀρχὴν, ἢ τὸ τῆς δικαίας εἶναι τὰ πεπραγμένα πράξεως.[62] ὅταν οὖν μήτ' ἀρνεῖσθαι[63] τὴν ἁρπαγὴν οἷός τε ᾖ[64] μήθ' ὡς οὐκ ἀδίκως ἐτολμήθη διδάσκειν, δῆλον δή που τὸ λειπόμενον. Τίς οὖν ὁ σεμνὸς λόγος; ἔλαβον, φησὶ, καὶ ἔχω, καὶ μὴ ἐνόχλει. ἀλλ' οὐκ ἀρκεῖ λαβεῖν, οὐδ' ἔχειν Ἀλέξανδρε. ἔστι γὰρ καὶ λαβεῖν, ὅθεν οὐκ ἄξιον, καὶ ἔχειν τὰ ἀλλότρια. οὐ γὰρ ἐν τῷ λαβεῖν ἐστὶ τὸ δικαίως κεκτῆσθαι· ἀλλ' ἐν τῷ δικαίως κτήσασθαι τὸ χωρὶς[65] ἐγκλημάτων ἔχειν. οὐκοῦν δεῖ τὴν λῆψιν ἁπλῆν σκοπεῖν, ἀλλὰ πολὺ πρὸ ταύτης τὸν τρόπον· ἀπὸ γὰρ τούτου, κἀκείνη δοκιμάζεται. ὁρᾷς, ὡς οὐδὲ τοῖς ἱεροσύλοις ἀκίνδυνον τὸ τὰ τῶν θεῶν εἰληφέναι;[66] καί τοι γε, εἰ τὸ ἔχειν ἰσχυρὸν ἦν ἐχρῆν ὁμολογοῦντας ἔχειν, ἀπηλλάχθαι πραγμάτων. ἀλλ', οἶμαι, τοῦτ' ἔστι, καὶ οὐδὲν ἔγκλημα ἕτερον[67] ἄρα, τὸ τὰ μὴ προσήκοντα ἔχειν. οὕτως οὐκ ἀρκεῖ τὸ

[60] γρ. ἀδικεῖσθαι m. Mor.

[61] παρέχομαι Aug. et m. Mor.

[62] πράξεως tametsi etiam in Aug. est, tamen praestat τάξεως e m. Mor.

[63] μή τις ἀρνεῖσθαι Aug. non male.

[64] οἷός τε ᾖ,] sic Aug. ᾖ deest Mor. sed m. γρ. οἷόν τε ᾖ.

[65] δικαίως κεκτῆσθαι. ἀλλ' ἐν τῷ δικαίως κτήσασθαι, τὸ χωρὶς] sic Aug. et m. Mor. δικαίως κτήσασθαι, ἀλλὰ τῷ χωρὶς M. caeteris omissis.

[66] τὰ τῶν θεῶν ἔχειν ἢ εἰληφέναι dat Aug. scil. duas variantes vna exhibet. ἢ indicat, vt saepe, varietatem lectionis.

[67] ἕτερον post ἔγκλημα addit Aug. quod amplector equidem; verumtamen vitium loci non eo corrigitur. Sententiam video, tametsi verbo nondum satis expedio. τοῦτ' ἔστι τὸ δεινὸν hoc ipsum, quod reus confiteatur, se habere aliena, haud conuenientia sibi, est id, quod eum grauat, et nullum aliud crimen ad eius condemnationem

τὸ λαβεῖν, ἀλλὰ καὶ[68] προσεῖναι δεῖ τὸ χωρὶς ἀδικήματος.[69] οὐδὲ γὰρ, εἰ τὸν πατέρα τὸν αὐτοῦ παρώσας Ἀλέξανδρος, καὶ τὸ σκῆπτρον ἁρπάσας, αὐτὸς ἀντ' ἐκείνου τοῖς ὑμετέροις ἐφεστηκέναι πράγμασιν ἠξίου, μέτριον ἄν τι ποιεῖν[70] ἐνομίσθη καὶ ἀνεκτόν. οὐδ' ἂν ἤνεγκε σιωπῇ, οὔτε Πρίαμος, ὁ ἠδικημένος, οὔθ' ἡμεῖς οἱ συνειδότες, ἀλλ' εὐθὺς ἂν ἅπαντες ᾤεσθε δεῖν καταλεύειν; ὡς οὐχ ὅσια ποιοῦντα. μὴ δὴ τοῦτο λέγε, ὡς ἔλαβες, ἀλλὰ δεῖξον εἰ μηδεὶς οἷς ἔλαβες ἠδίκηται.[71] τὸ γὰρ δίκαιον, ἄν τ' ἐπ' ἐμοῦ τὶς, ἄν τ' ἐπὶ[72] Πριάμου λογίσηται,[73] τὴν αὐτὴν ἰσχὺν ἔχει. καὶ μὴν πολέμιοί γε, φησὶν, ἡμεῖς τε οἱ ταύτην ἔχοντες τὴν ἤπειρον, καὶ ὑμεῖς οἱ τὴν ἑτέραν. τὰ δὲ τῶν δυσμενῶν ἔξεστιν ἄγειν, καὶ φέρειν, καὶ λῄζεσθαι· καλῶς Ἀλέξανδρε. παρὰ δὲ τοῖς ἐχθροῖς καταλύειν[74] ἔξεστι, καὶ ξενίων τυγχάνειν, καὶ φιλανθρωπίας ἀξιοῦσθαι; σὺ τοίνυν ὧν ἐδεήθης, τούτων ἔτυχες. ἐχρῆν δέ σε, ὦ βέλτιστε, τὴν ἀρχὴν ἀποφεύγειν οἰκίαν ἀνδρὸς δυσμενοῦς, καὶ μηδαμῶς ἀγαπᾷν τὰς παρὰ τῶν πολεμίων εὐεργεσίας, μηδὲ ὁμορόφιον γίγνεσθαι τοῖς ἐκ παλαιῶν χρόνων, ὡς σὺ φῂς, εἰς ἔχθραν διῃρημέναις. ἢ[75] τότε μὲν ὡς ἐπιτηδείοις ἐχρῶ, μικρῷ[76] δὲ ὕστερον ὡς πολε-

nem requiritur, praeterquam quod ea habeat, quae haud deceat eum habere. num ergo leg. καὶ οὐδὲν ἔγκλημα ἕτερον δεῖ προφέρειν πλὴν τὸ τὰ μὴ προσήκοντα ἔχειν.

[68] καὶ recte addit Aug.

[69] post ἀδικήματος deleui ἔχειν, quod deest Aug. subauditur a communi λαβεῖν.

[70] ἄν τι ποιεῖν] sic Aug. ἀντιποιεῖν Mor.

[71] ἀλλὰ δεῖξον εἰ μηδεὶς οἷς ἔλαβες ἠδίκηται] sic Aug. et m. Mor. ἀλλ' ὡς οὐκ ἠδίκηται δεῖξον Mor. f. ἠδίκημαι legendum, e persona Menelai, verba haec facientis; quod inse quentia ἄν τ' ἐπ' ἐμοῦ videntur confirmare.

[72] ἄν τ' ἐπὶ κρ.] sic Aug. et m. Mor.

[73] λογίζεται Aug.

[74] καλῶς Ἀλέξανδρε. παρὰ δὲ τοῖς ἐχθροῖς καταλύειν] sic Aug. recte vero. bene ais. valeto tantisper tuum argumentum, λῄζεσθαι καλῶς. π. δ. τ. ἐχθ. Ἀλέξ. κατ. Mor.

[75] post ἢ Aug. addit καί.

[76] μικρὸν Aug.

πολεμίους ἑκάκους[77] καὶ μὴν οὐδὲν ἐν τῷ μεταξὺ[78] παρ' ἡμῶν εἰς σὲ δυσχερὲς ὑπῆρξεν ἐδέν.[79] οὐδ' ἂν ἔχοις[80] εἰπεῖν. εἰ μὲν οὖν ἐξ ἀρχῆς πολεμίους ἐνόμιζες, τί ἐκ ἔλεγες; τί δὲ σὺ σύμφωνον παρείχου τῇ γνώμῃ τὸ σχῆμα;[81] εἰ δὲ ὕστερον μεταβαλὼν,[82] ὤου δεῖν λυπεῖν, εἰπὲ πρὸς θεῶν,[83] ἀνθ' ὅτου; ἀλλ' ἐκ ἂν ἔχοις. ἀλλὰ πρᾶγμα πάντων ἀνοσιώτατον, εἰς νοῦν λαβὼν εἰσῆλθες μὲν ὡς ξένος, ἀπῆλθες[84] δὲ ὡς δυσμενής. κλέψας δὲ τὴν ἐπιβελὴν, εὔφημον ὄνομα τοῖς κακουργήμασι τίθεσαι. ἀλλ' οὐ δὴ πείσεις οὐδένα ἀνθρώπων. πόθεν; οὐ γὰρ τοῖς ῥήμασιν ἕπεται τῶν πραγμάτων ἡ φύσις. τῇ δὲ φύσει[85] τὰς προσηγορίας ἀκολουθεῖν ἄξιον. εἰ μὲν οὖν πλοίοις μακροῖς καὶ στρατοπέδῳ καταλάμποντι τοῖς ὅπλοις προσενεχθεὶς τῇ Λακεδαίμονι, καὶ τὴν ἔχθραν ἐν φανερῷ καταστήσας, καὶ χεῖρα[86] ἀνταράμενος, καὶ βέλος ἀφιεὶς, καὶ δόρυ δεξάμενος,[87] ἐνεγκὼν, ἢ τῆς τύχης, ἢ τῆς ἀρετῆς νικῆσαι παρασχούσης, εἷλε μὲν τὸ ἄστυ, τῶν δὲ σωμάτων ἐκράτησεν, ἐν λαφύρων δὲ μέρει[88] τὴν Ἑλένην ἐκτήσατο, ἐχέτω, τρυφάτω. ληροῦμεν ἡμεῖς, ἔγκλημα ποιούμενοι τε̃ πολέμου τὰ ἆθλα. εἰ δὲ[89] πάντα εἰρηναῖα προδείξας, τὸν κατάπλουν, τὴν σκευὴν,[90] τοὺς λόγους, τὸ σχῆμα, τὴν ὁμιλίαν, τὰς

[77] πολεμίους ἑκάκους] sic Aug. et m. Mor. πολεμίοις sine ἑκάκους t. Mor.

[78] ἐδὲ τῷ μεταξὺ Aug. lege ἐ δ' ἐν τῷ μετ.

[79] ἐδὲν post ὑπῆρξεν addit Aug.

[80] ἔχοις] sic Aug. ἔχεις Mor.

[81] τῇ γνώμῃ τὸ σχῆμα] sic Aug. et m. Mor. τὴν γνώμην τῷ σχήματι t. Mor.

[82] μεταβληθεὶς Aug. et m. Mor.

[83] πρὸς Διὸς Aug. et m. Mor.

[84] ἀπηλλάγης Aug. et m. Mor.

[85] post φύσει add. Aug. et m. Mor. τῶν πραγμάτων.

[86] χεῖρας et ἀφεὶς Aug.

[87] post δεξάμενος addit m. Mor. καὶ λόχον ἐπιφερόμενον ἐνεγκών. in Aug. sic est: δεξάμενος καὶ λόχον ἐπιφερόμενον διενεγκὼν τῆς ψυχῆς διὰ τὴν ἀρετὴν νίκην. videntur participia transponenda esse ad hunc modum: καὶ δόρυ ἐπενεγκὼν, καὶ λόχον ἐπιφερόμενον δεξάμενος, ἢ τῆς τύχης.

[88] μοίρᾳ Aug. et m. Mor.

[89] εἰ δὲ desunt Aug.

[90] τὴν σκευὴν] κατασκευὴν Aug.

τὰς διατριβὰς, ἐναντίον ἐξήγαγε τῷ προοιμίῳ[91] τὸ τέλος· ἴσω ὅτι πολὺ διενήνοχε νίκη κλοπῆς, καὶ πολέμου κράτος μεμηχανημένης ἀπάτης. τὸ μὲν γὰρ τοῦ κρείττονος ἀπόδειξιν ἔχει· τὸ δὲ τοὺ χείρονας εἶναι[92] τοὺς ἀπάτῃ πειρωμένους ἑλεῖν, ἃ δι' ἀνδρείας οὐ δεδύνηνται. τὸ μὲν οὖν εἰς τοὺς κρείττους τὰ τῶν ἡττόνων[93] εἶναι κτήματα, λόγον ἴσως ἂν ἔχοι· καὶ δίδωσιν ὁ τοῦ πολέμου νόμος. τὸ δὲ τοὺς μηδ' ὁμολογῆσαι τὴν ἔχθραν ὑπομείναντας,[94] τὰ τῶν βελτιόνων λαμβάνειν, εἰς ἀδικήματα τελεῖ,[95] καὶ[96] δέοιτ' ἂν ζημίας. ὅτι μὲν οὖν ὑβρισμένοι, καὶ τὰ δεινότατα πεπονθότες ἐστρατεύσαμεν εἰς γῆν τὴν ὑμετέραν, καὶ οὐκ ἄρχοντες, ἀλλ' ἀμυνόμενοι· καὶ πλὴν ἀναισχυντίας οὐδὲν Ἀλεξάνδρῳ λείπεται, πολλαχόθεν εἶναι δῆλον οἶμαι. ἡμεῖς πρὸ τῶν χειρῶν τοῖς λόγοις εἰκότως χρώμεθα, πολλῶν ἕνεκα· πρῶτον[97] μὲν, ὅτι[98] τὰ δίκαια τῷ λόγῳ πειρᾶσθαι λαμβάνειν. ἀλλὰ μὴ τοῖς ὅπλοις ἐπιπηδᾶν, ἀνθρωπινώτερον δήπουθεν. δεύτερον δ' οὐκ ἄξιον κρίνομεν, ὧν εἷς ἠδίκησε, παρὰ πάντων τὴν δίκην λαμβάνειν, ὅπερ[99] εἰς πολέμων κατάστασιν ἀναγκαῖον ἤδη γίγνεται. οὐ γὰρ ἔνεστι, τηνικαῦτα τοὺς ἀναιτίους, καὶ τοὺς φαυλοτέρους κρίνειν,[100] ἀλλὰ ἀνάγκη τοὺς παραπεπτωκότας ἀπολωλέναι. ἵνα οὖν[1] μὴ τοῦτο γένηται. μηδ' ὃν οὐκ ἄν τις βούλοιτο λυπῆσαι τινὰ προαχθῇ, πρεσβείᾳ, καὶ ψήφῳ δεξαίμεθ'[2] ἂν τὰ διάφορα κριθῆναι.

πρὸς

[91] τῶν προοιμίων Aug. et m. Mor.

[92] χείρονος εἶναι] sic etiam Aug. verumtamen deest sine dubio aliquid. fortasse locus ad hunc modum est restaurandus. τοῦ χείρονος. subaudi a communi ἀπόδειξιν ἔχει· hic finita est sententia. tum incipit noua ἀνάγκη γὰρ χείρονας εἶναι.

[93] χειρόνων Aug. sed super linea γρ. ἡττόνων. et m. M. dat γρ. χείρονας εἶναι χρήματα. praeferam χειρόνων et εἶναι.

[94] ὑπομένοντας Aug.

[95] τελεῖ] sic Aug. τελοῖ Mor.

[96] post καὶ addit Aug. μή.

[97] καὶ πρῶτον Aug.

[98] ὅτι sic Aug. et m. M. γὰρ τ. Mor.

[99] ὥσπερ Aug.

[100] γρ. τοὺς ἀναιτίους ἐξετάζειν φιλοκρινεῖν in marg. Aug.

[1] οὖν] sic Aug. δὴ Mor.

[2] δεξαίμεθ'] sic Aug. δεξάμεθ' Mor.

πρὸς δὲ τούτοις μεγάλην μὲν ῥοπὴν ἐν τοῖς τοῦ πολέμου πράγμασιν τὴν τοῦ θεοῦ[3] εὔνοιαν ἡγούμεθα. ταύτην δὲ ὁρῶμεν, οὐ τοῖς θρασυτέροις, ἀλλὰ τοῖς ἐπιεικεστέροις ὑπάρχουσαν. διὰ τοῦτο τὸν θυμὸν ἐπισχόντες ἀπὸ πρεσβείας ἀρχόμεθα. ἵν' εἰ μὲν ἀρκέσειεν αὐτὴ πρὸς τὸ τῶν ἀμφισβητησίμων πέρας, μηδενὸς ἔτι προσδεήσει.[4] εἰ δὲ μή, τῇ τοῦ δαιμονίου συμμαχίᾳ, διὰ τὴν ἐπιείκειαν, πιστεύοντες, οὕτως ἤδη πρὸς τὰ δεύτερα πραπώμεθα.[5] ὁρᾶτ' οὖν[6] ἀμφότερα, καὶ παραθέντες τῷ συλλόγῳ τὰς μάχας, καὶ τοῖς λόγοις τὰ ὅπλα, καὶ πρὸς τὴν παροῦσαν εὐδαιμονίαν ἀπιδόντες, καὶ τὴν ἀπ' ἐκείνων δυσχέρειαν ἐξετάσαντες, γένεσθε τοῦ κρείττονος· δεῖ δὲ ὦ Τρῶες ὑπὲρ τῶν τοιούτων μὴ ῥαθύμως βουλεύεσθαι, ἐκεῖνο εἰδότας, ὡς οὐκ ἔστιν ἅπαξ ἁμαρτάνοντας, αὖθις γενέσθαι βουλῆς κυρίους. πρὶν μὲν γὰρ ἅψασθαι τοῦ πολέμου[7] ἔνεστιν αὐτῷ καθάπαξ μὴ περιπεσεῖν, λογισμῷ βελτίονι, τὸ προσιὸν[8] ἀνασείλαντας. εἰσελθόντας δὲ εἰς τὸ ἔργον. αὐτὰ τὰ πάθη κατέχει μέχρι πόῤῥω. καὶ τῇ νίκῃ τὰ πολλὰ κρίνεται τὸ τέλος, ἀλλ' οὐ κατὰ συνθήκας μετρίας. ὁρᾶτ' οὖν μή, παρὸν γνῶναι τὰ δέοντα, πολεμεῖν ἕλησθε· τῷ πολέμῳ δὲ λυπηθέντες, αὖθις ἐπιθυμήσητε βουλεύσασθαι, ἡνίκα τοῦτο οὐκέθ'[9] ἕξετε· μάλιστα μὲν οὖν[10] εἰ καὶ[11] μηδεὶς ἐπῆν ἀγών, μηδὲ κίνδυνος, ἐχρῆν αὐτὸ καθ' αὑτὸ τὸ δίκαιον αἰδεσθῆναι. τοῖς γὰρ οὕτω γνώμης ἔχουσιν, ἐξ οὐρίας[12] φιλεῖ τὰ πράγματα φέρεσθαι. νῦν δέ γε, εἰ δεῖ μὴ ληρεῖν, οὐδὲ βουλομένοις ἡμῖν ἔνεστιν ἑτέρως ποιεῖν. οὐχ ὁρᾶτε τοὺς Ἀχαιοὺς κατὰ τῆς ἠόνος,

καὶ

3 τῶν θεῶν Aug.

4 προσδεήσει] malim προσδεήσειεν, quo ducit Aug. προσδεήσειν.

5 τραπώμεθα] sic Aug. τρεπ. Mor.

6 ὁρᾷ τις ἂν Aug.

7 πολέμου] sic Aug. πολεμεῖν Mor.

8 post] προσιὸν videtur κακὸν deesse, aut δεινόν.

9 οὐκέθ'] sic Aug. οὐχ Mor.

10 οὖν] sic Aug. et m. Mor. γὰρ t. Mor.

11 καὶ addit Aug.

12 ἐξ οὐρίων Aug.

καὶ τοῦ πεδίου κεχυμένους[13] καὶ μικρὸν ἀποφαίνοντας[14] τῷ πλήθει τὸν χῶρον; οὗτοι μέν τοι πάντες ἐκ πολλῶν μὲν συνεληλύθασι πόλεων, μίαν δὲ γνώμην ἐσχήκασιν ἀμῦναι τοῖς ὑβρισμένοις εἰς τέλος, καὶ τοσαύτῃ μὲν προθυμίᾳ κέχρηνται πρὸς τὰ ἡμέτερα πράγματα,[15] ὅσῃ καὶ χωρὶς ὅρκων ἤρκεσεν ἄν. τοσαύτη δὲ ἐστὶν ἡ τῶν ὅρκων ἀνάγκη, ὅση καὶ μὴ βουλομένους προθυμεῖσθαι, πάντως ἂν ἐπαναγκάσαι. τίς οὕτως ἠλίθιος, ὅς τις οὐκ ἂν ἕλοιτο χωρὶς τοῦ τι παθεῖν δεινὸν ἀποδοῦναι ταῦτα, ὧν μετὰ συμφορᾶς ἀποστήσεται, ὅτι νὴ Δί'[16] ἄδηλον τὸ τοῦ πολέμου τέλος, οὐ μὰ τοὺς θεοὺς οὐδαμοῦ τὸ τοῦ παρόντος ἄδηλον, ὅτι μηδὲ τοῦτ' ἄδηλον;[17] πότερον ὁ τῆς δικαιοσύνης καρπὸς, ἢ τῆς πονηρίας ἀμείνων· καὶ πότερον ἐκείνην τὴν πρᾶξιν[18] οἱ θεοὶ τιμῶσιν ἢ τοῖς τάδε πράττουσι συναίρονται. εἰ γὰρ μηδ' ἕτερον τούτων ἀμφισβητήσιμον, κἀκεῖνο σαφὲς εὐθὺς τὸ μεθ' ὧν ἂν ᾖ τοῦ κρείττονος μερὶς,[19] τῶν[20] ἐναντίων κρατεῖν. περὶ τοίνυν τῶν συμμαχησόντων ὑμῖν. οἶμαι γάρ τινας ἐννοεῖν, ὡς οὐκ ὀλίγους ἕξετε βοηθούς· ἐκεῖνο λέγω, ὅτι κἂν ἅπαν τὸ λοιπὸν στρατόπεδον ἡσυχίαν ἄγῃ, Ὀδυσσεὺς οὑτοσὶ μόνος, γέλωτα τοὺς ὑμετέρους[21] ἀποφανεῖ[22] συμμάχους, τῇ συνέσει τὸ πλῆθος ἐλέγχων. ταῦτ' οὔτ' ὀκνῶν τὸν πόλεμον, οὔτ' ἐπιθυμῶν πραγμάτων, εἴρηκα. πλείω[23] μέν τοι διεξιέναι, πρόχειρον μὲν, μάταιον δὲ καὶ κενόν. εἰ γὰρ μὴ τούτοις προσέξετε τὸν νοῦν, οὐδὲ τοῦ πλείονος

οὐδὲν

[13] κεχυμένους] ſic Aug. effuſos. κεχρημένους Mor.

[14] ἀποφαίνοντας] ſic Aug. et m. Mor. ὑποφ. t. Mor.

[15] τὰ ἡμέτερα πράγματα] ſic Aug. ἡμέτερα deeſt Mor.

[16] νὴ Δί'] ſic Aug. μὴ δι' Mor.

[17] εἴπερ μὴ καὶ τοῦτο Aug. et in m. γρ. δῆλον.

[18] πρᾶξιν] Paridis puta. niſi obſtarent inſequentia τοῖς τάδε πράττουσιν (ſubaudi ἃ ἡμᾶς πράττομεν) praeferrem lectionem Aug et m. Mor. τάξιν.

[19] τῶν κρειττόνων ἡ μερὶς Aug. τῶν κρειττόνων ἂν μερὶς m. M.

[20] τούτοις ἀποκεῖσθαι τὸ τῶν] ſic Aug. ἀποκεῖσθαι etiam m. Mor. dat. ſed in t. Mor. τούτῳ ἀποκάσισθαι τῶν —

[21] ὑμετέρους] ſic Aug. ἡμ. Mor.

[22] ἀποφαίνει Aug.

[23] πλεῖον Aug.

οὐδὲν ὄφελος· μαρτύρομαι δὲ Δία τε[24] ξένιον, καὶ πάντας θεούς τε καὶ [25] δαίμονας, ὅσοι τήνδε κατέχουσι τὴν γῆν, ὅτι καὶ τὴν ἀρχὴν ἀδικούμενοι προσέχομεν Ἰλίῳ, καὶ νῦν λόγῳ διαλύεσθαι προαιρούμεθα, καὶ πολεμήσομεν ἑτέρων ἀναγκαζόντων.

[24] τε] τὸν Aug.
[25] θεοὺς ἅπαντας καὶ Aug. et m. Mor.

ΘΕΩΡΗΜΑ.

ΧΩΡΙΣΑΣ δὲ τὴν πρότασιν ἀπὸ τῆς παρασκευῆς, ἀντιθέσεις πεποίηκα δύο. κέχρηται δὲ τῷ θεωρήματι καὶ Δημοσθένης. τί δὲ ἂν εἴποις περὶ Δημοσθένους ὃς τῶν συμπρέσβεων κατηγορεῖ καὶ χωρὶς ἀπαντήσας, πάλιν ἀντέθηκε τὴν τούτου κατασκευήν. ΠΟΥ Δ᾽ ΑΛΕΣ; ΠΟΥ ΤΡΑΠΕΖΑΙ; ΠΟΥ ΣΠΟΝΔΑΙ; καὶ λύει. ἔστι δὲ καὶ ἄνευ τούτου, βαρβάρῳ πρέπων ὁ λόγος· καὶ πρός γε Ἀλεξάνδρου. μαρτυρεῖ δὲ καὶ Ὅμηρος· ποιεῖ γὰρ ἐν συλλόγῳ τὸν Ἀλέξανδρον λέγοντα,

Ἀντικρὺ δ᾽ ἀπόφημι, γυναῖκα μὲν οὐκ ἀποδώσω.

καὶ ψιλὴ πάσης αἰτίας ἡ πρότασις· ὥς τ᾽ εἰ καὶ μὴ προσῆν ἐνταῦθα τὸ τῆς κατασκευῆς, ὑπῆν ἄν τις ἐκ τοῦ προσώπου λόγος.

ΠΡΕΣ-

ΠΡΕΣΒΕΥΤΙΚΟΣ ΟΔΥΣΣΕΩΣ ΠΡΟΣ ΤΟΥΣ ΤΡΩΑΣ, ΥΠΕΡ ΤΗΣ ΕΛΕΝΗΣ.

ΠΡΟΘΕΩΡΙΑ.

Ἐν τούτῳ τῷ λόγῳ μάλιστα παρατηρεῖν ἄξιον, τῆς τε εὑρέσεως τὸ πλῆθος, καὶ τῆς δεινότητος τὴν ὑπερβολὴν, καὶ τῶν περιόδων τοὺς κύκλους· οὐ μέν τοι γε οὐδ' ἀκμῆς ἀμοιρεῖ.

Η ΜΕΛΕΤΗ. ΟΔΥΣΣΕΥΣ.

ὨΙΜΗΝ μὲν, ὦ Τρῶες, μηδενὸς ὑμᾶς[1] ἔτι προσδεήσεσθαι λόγου, πρὸς τὸ πάνθ' ἃ προσῆκεν ἐθελῆσαι ποιεῖν.[2] ἀλλὰ τὴν τελευτὴν τῆς Μενέλεω δημηγορίας, ἀρχὴν τῶν εἰς ἡμᾶς δικαίων ἔσεσθαι. ἐπειδὴ δὲ ὁρῶ τοὺς μὲν ὅλως τὴν ἡσυχίαν ἄγοντας· ὡς ἂν[3] οὔτε ἡμῶν κατεγνωκότας, οὔτε Ἀλεξάνδρῳ προσκρούειν ἐθέλοντας· τοὺς δὲ θορύβου πολλοῦ τὴν ἐκκλησίαν πληρώσαντας·[4] τοὺς

δὲ

1 ὑμᾶς deest m. Mor.

2 κινῆσαι Wolfenb. sed vulg. superscr. dat καὶ ἐθ'.

3 ἂν deest Aug. et m. Mor.

4 πληρώσαντας] ἐμπλήσαντας Aug. et m. M.

δὲ καὶ διαῤῥήδην εἰπόντας, ὅτι προσῆκεν ἡμᾶς ἀποκτεῖναι λαβόντας· ἀνέστην τῷ βασιλεῖ τῶν Ἀχαιῶν συνερῶν,[5] ὅ, τι ἂν δύνωμαι. καὶ γὰρ ἄτοπον, ἔργῳ μὲν[6] ὑπὲρ αὐτοῦ τοσοῦτον ὑπομεῖναι πόνον, ὥς τε μήτε πλοῦν μακρὸν ἐνεγκεῖν,[7] μήτε τῶν οἰκείων ἀπόληψιν, μήτ᾽ ἄλλο μηδὲν ὑπολογίσασθαι, πρὸς τὸ μὴ πάνθ᾽ ὑπουργεῖν· τῆς δὲ βοηθείας εἰς λόγους ἡκούσης, ἢ μηδὲν[8] εἰπεῖν τὴν ἀρχὴν, ἢ ῥαθυμότερον τῇ δημηγορίᾳ χρήσασθαι. ἓν μὲν οὖν ἐκεῖνο χρὴ πρῶτον ὑμᾶς εἰδότας ὑπάρχειν ὅτι κἂν αἰκίσασθαι, κἂν διαφθεῖραι, κἂν ἄλλό τι τῶν ἀπειρημένων εἰς τοὺς πρέσβεις ὑμῖν[9] ἐπέλθῃ τολμῆσαι, οὐ τοὺς παθόντας ἔσεσθε μᾶλλον, ἢ ὑμᾶς αὐτοὺς ἐζημιωκότες. ὁ μὲν γὰρ ἀδίκως παθὼν[10] ὑπ᾽ οὐδενὸς ἂν πονηρὸς νομισθείη. καὶ τοῦτ᾽ ἂν εἴη πεπονθὼς, ὃ μικρὸν ὕστερον αὐτόματον ἔπεισι.[11] τοῖς δὲ ἀδίκως ἀπεκτονόσι, καὶ πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους ὁ λόγος γίγνεται. καὶ τὰ[12] τῆς ἀδικίας εἰς ἅπαν τὸ γένος. ὑπὲρ μὲν οὖν τούτου,[13] ταύτην ἔχειν[14] τὴν γνώμην ἄξιον. δεῖ δὲ ὑμᾶς, μηδὲ τοὺς ὑπὲρ τοῦ πράγματος λόγους ἡγεῖσθαι φορτικοὺς, ὅπως ἂν γίγνονται.[15] καὶ γὰρ εἰ μὲν ἀναγκαῖον ἦν τὴν ψῆφον εὐθὺς ἕπεσθαι τοῖς εἰρημένοις, καλῶς ἄν τις ἐδυσχέραινε τὴν ἀκρόασιν, ὡς ἂν ὑπ᾽ αὐτῆς ἀφαιρούμενος ἃ ἂν[16] προείρηται κυρῶσαι. ἐπεὶ δὲ τὸ μὲν εἰπεῖν, τῶν πρεσβέων· ἡ δὲ ὑπὲρ τοῦ παντὸς γνῶσις ἐν ὑμῖν, οὐδὲν ἂν δήπου βλάβος εἴη, διὰ τέλους ἀκούσασι, πρᾶξαι τὸ παριστάμενον. τοῖς μὲν οὖν ἄλλοις ἅπασιν,[17] ὅσοι

παρ᾽

5 συναινῶν Aug. συναίρων m.M.

6 ἔργῳ μὲν] ἡγοῦμαι Aug.

7 ἐνεγκεῖν addit Aug. deest Mor.

8 ἢ μηδὲν] sic Wolfenb. et Aug. ἢ deest Mor.

9 an ὑμῖν vulg. an ἡμᾶς ex Aug. praeferam, ambigo.

10 παθὼν] sic Aug. ἀποθανὼν Mor.

11 ἐπίῃ m. Mor.

12 καὶ τὰ] κατὰ m. Mor. corrupta haec sunt, f. desunt nonnulla.

13 τούτων Aug.

14 ἔχει Wolf.

15 γίγνωνται Aug. et Wolf.

16 ἃ ἂν] ἃ ἦν βουλόμενος κυρῶσαι Aug. et m. Wolfenb. ἃ ἂν προήρητο (καὶ) ἦν βουλόμενος κυρ. m. Mor. προήρηται malim, vel potius προῄρητο e. m. Mor.

17 post ἅπασιν addit Wolf. καὶ. πράγμασιν ὅσ. πρ. m. Mor.

παρ' οὓς τινας ἦλθον πρεσβεύοντες, τὸ μὴ τυχεῖν ὑπὲρ ὧν ἀφίκοντο, τῶν ἐσχάτων ἀτυχημάτων εἶναι δοκεῖ· ἡμῖν δὲ, ὡς ἔοικε, τό, τε διαπράξασθαι περὶ ὧν ἀπεστάλμεθα, τῶν ἡδίστων ἐστί· καὶ τὸ διακενῆς ἀπελθεῖν,[18] οὐδὲν[19] λυπηρόν. τὸ μὲν γὰρ πρότερον, πραγμάτων ἡμᾶς ἀπαλλάττειν φαίνεται[20] καὶ διατριβῆς[21] ἐν δὲ τῷ δευτέρῳ, μειζόνων ἔργων ἐλπὶς ὕπεστιν. ὡς οὖν ὑπὲρ ὑμῶν ὄντος μᾶλλον ἢ ὑπὲρ[22] ἡμῶν, τοῦ συλλόγου, καὶ προσέχοντες ἀκούσατε, καὶ τὴν ἐξέτασιν, μὴ πρὸς τὸ ἥδιστον μᾶλλον, ἢ τἀληθὲς ποιήσασθε.[23] πάλαι μὲν οὖν, ὦ Τρῶες, πρὸς τὴν Ἀλεξάνδρου γνώμην τὸ κοινὸν τῆς πόλεως[24] ἦθος ἐξετάζοντες, κακίστους ἁπάντων ἀνθρώπων· δότε γὰρ εἰπεῖν μετ' ἐξουσίας· καὶ δυσσεβεστάτους ἐνομίζομεν,[25] καὶ πάντων ὠμοτάτους βαρβάρων. νῦν δέ γε πεῖραν ὑμῶν καὶ τῶν ὑμετέρων νομίμων λαβόντες[26] καὶ συνηθείας καὶ τάξεως, καὶ τῶν ἄλλων, οἷς γνωρίζεται πόλεως τρόπος, τὴν μὲν κοινὴν ὑμῶν προαίρεσιν ἀγάμεθα· ἕνα δὲ γενέσθαι φαῦλον ἐν πόλει δεξιῶς ἐχούσῃ, θαυμαστὸν οὐδὲν ἡγούμεθα· ἐπεὶ κἂν τοῖς Ἕλλησιν αὐτοῖς ἐν ταῖς εὐνομουμέναις[27] τῶν πόλεων, εὕροις ἄν τινα, τὸν αὐτοῦ βίον, ἐναντίως τῷ κοινῷ κατεστησάμενον σχήματι· διόπερ καὶ κολάζεται νόμῳ. ἀλλ' οὐ τῶν πόλεων, οἶμαι, ταῦτα κατηγορήματα, τοῦ δὲ πεποιηκότος ἀδικήματα. ἃ τοίνυν θαυμάσαντες ὑμῶν ἔχομεν, ἐκεῖνά ἐστι· πρῶτον μὲν ὅτι τὸ χρῆμα τῶν πρεσβειῶν[28] ἐπίστασθε, καὶ τοὺς ἥκοντας προσήκασθε καὶ οὐκ ἀπεστράφητε ὡς ἠκούσατε· ἀλλ' ἀνοίξαντες τὰς πύλας,

τοῦτο

[18] καὶ διακενῆς ἀπελθοῦσιν A. et m Mor.

[19] οὐδὲν] sic Aug. οὐδὲ ἓν Mor. f. οὐδὲ καθ' ἕν.

[20] malim ἀπαλλάξειν φαίνεται.

[21] καὶ τριβῆς m. Mor.

[22] ἢ ὑπὲρ ἡμῶν] sic Aug. ὑπὲρ deest Mor.

[23] ποιήσατε Aug.

[24] τῆς πόλεως] subaudi τῆς ὑμετέρας.

[25] ἐνομίζομεν] subaudi ὑμᾶς.

[26] λαβόντες] sic Aug. λαμβάνοντες Mor.

[27] ἐν ταῖς μάλιστα εὐνομουμέναις.

[28] πρεσβειῶν] sic Wolf. a πρεσβείᾳ. Mor. dat πρέσβεων.

τοῦτο μὲν ἐδέχεσθε[29] ἐν τῇ πόλει πρᾴως· τοῦτο δὲ ἐξενίζετε[30] λαμπρῶς. λέγω γὰρ νῦν[31] ὑμετέραν πρᾶξιν, τὴν φιλανθρωπίαν Ἀντήνορος. ἐπὶ τούτοις βωμοὶ πανταχοῦ τῆς πόλεως ὁρώμενοι καὶ κάλλη νεῶν, καὶ πλῆθος ἀναθημάτων,[32] καὶ συνεχεῖς θυσίαι, καὶ πανηγύρεις συχναί, καὶ τεταγμένος ἑκάστου χρόνος ταῦτα[33] γὰρ ἀκούειν ἐνῆν· καὶ μαντικὴ τίμιος, οὐκ ἐῶσα τὸ μᾶλλον ἐν ἀδήλῳ κεῖσθαι καὶ ὅλως τὰ πλείω, πρὸς Ἑλληνικὸν ἁμιλλώμενα κόσμον· ἐκκλησία, ῥήτορες, τὸ βουλῇ χώραν εἶναι, τὸ λέγειν εἰς μέσον ἐξεῖναι, τὸ μὴ τῷ θυμῷ, πλέον, ἢ τῷ δικαίῳ δίδοσθαι. τοὺς μὲν γὰρ ἄλλους βαρβάρους ἀκούομεν, ὀργῇ μᾶλλον ἢ λογισμῷ[34] τὰ καθ᾽ ἑαυτοὺς ἐπιτρέψαντας ἐγγύτατα τῶν θηρίων διάγειν· καὶ τοσοῦτον ἐπ᾽ ὠμότητι καὶ πονηρίᾳ φρονεῖν, ὅσον εἰκὸς ἦν ἐπὶ τοῖς ἀμείνοσι. τὰ δὲ ὑμέτερα, πρὸς τὸ βέλτιον ὁρῶμεν πάντα συνηρμοσμένα· καὶ συγχαίρομέν γε ἡμῖν, τῶν τε ἐθῶν[35] καὶ τῆς καθεστώσης τάξεως. ἔστι δ᾽ ὑμῖν ἀπ᾽ αὐτῶν ὧν εὐδοκιμεῖτε, τὸ τὰ δίκαια πανταχοῦ φυλάττειν ἀναγκαῖον· καὶ ἀρετῶν δι᾽ ὧν ὑμᾶς[36] ἐπαινεῖν ἔχομεν, θαῤῥεῖν ὑμεῖν ὑπὲρ ὧν ἥκομεν ἔπεισι. τοῖς μὲν γὰρ ἐξ ἀρχῆς παρὰ φαῦλον τὸ κακῶς[37] ἀκούειν θεμένοις, ἴσως ἂν ἐνέγκαι τινὰ συγγνώμην, τὸ ῥᾳδίως ἐπὶ τὰ χείρω[38] καταφέρεσθαι. οὐδὲν γὰρ ὑπεναντίον οἷς[39] ἄνωθεν ἔγνωσαν, δοκοῦσι διαπράττεσθαι· καὶ τῇ συμφωνίᾳ τῶν ἔργων, ἀφαιροῦσι τῆς μέμψεως τὸ πλέον. ὅσοι δὲ ἀρχὴν ἐνστησάμενοι καλὴν

καὶ

[29] ἐδέχεσθε] sic Aug. ἐδέξασθε Wolf. ἐνδέχεσθε Mor.

[30] ἐξενίζετε] sic Aug. ξενίζετε Mor.

[31] γὰρ νῦν] δὲ Aug. γὰρ οὖν m. Mor.

[32] πόλεως κάλλη νάως· καὶ πλῆθος ἀναθημάτων Aug.

[33] καὶ ταῦτα Wolf.

[34] λογισμῷ] sic Aug. λογισμοῖς Mor. λόγοις Wolf. sed vulg. superſ.

[35] ἠθῶν m. Mor.

[36] videtur leg. καὶ ἀπὸ τῶν ἀρετῶν, δι᾽ ἃς ὑμᾶς· Aug. dat καὶ δι᾽ ὧν ἂν ὑμᾶς sine ἀρετῶν et sic etiam m. Mor

[37] καλῶς Aug. et m. Mor..

[38] χείρω] sic Aug. et m. Mor. χείριστα t. Mor.

[39] οἷς addunt Aug. et Wolf. deest Mor.

καὶ γενναίαν, εἶθ᾽ ἑκόντες ἁμαρτάνουσιν, αὐτῶν κατήγοροι γεγόνασιν οἷς ἔκριναν εὖ ἔχειν, ὑπεναντία τολμῶντες, ποῦ τοίνυν ἂν εἴη τῶν αὐτῶν, φοβεῖσθαι μὲν τοὺς θεοὺς,[40] πάλιν δὲ αὐτῶν καταφρονεῖν, καὶ θύειν μὲν ὑπὲρ εὐσεβείας, δυσσεβεῖν δὲ διὰ τῶν χειρίστων. καὶ τὸν μὲν[41] τιμᾷν, καὶ διὰ πολλῆς τῆς ἐπιμελείας θεραπεύειν. νῦν μὲν ἐν ταῖς κορυφαῖς τῆς Ἴδης, αὖθις δὲ ἐπὶ τῆς ἀκροπόλεως· πάλιν δὲ αὐτοῦ τοῦ Διὸς[42] οὕτως ὀλιγωροῦντας φαίνεσθαι, ὥστε τὴν μεγίστην αὐτοῦ τῶν τιμῶν, εἰκῇ διαφθείρειν. τίς γὰρ οὐκ οἶδεν ὡς ὁ ξένιος Ζεὺς,[43] ὅ, τι περ[44] κεφάλαιόν ἐστι τῶν ἐπωνυμιῶν αὐτοῦ,[45] καὶ ὅτι παντὸς μὲν ἀναθήματος ἥδιον ἐκείνῳ, τὰ[46] περὶ τοὺς ξένους εὖ ἔχειν. πάσης δὲ δεινότερον ἱεροσυλίας, εἴ τι συμβαίνει δυσχερὲς. ἢ τῷ ξένῳ παρὰ τοῦ δεξαμένου, ἢ τῷ δεξαμένῳ, παρὰ τοῦ τυχόντος εὐνοίας. οὐ τοίνυν ἐστὶ τῶν αὐτῶν, ὑβρίζειν τε ὁμοῦ καὶ θεραπεύειν τὸν Δία.[47] εἰ μὲν γὰρ οὐκ ὀργίζεται παροινούμενος, τί περὶ τὴν θεραπείαν ἐσπουδάκαμεν;[48] εἰ δὲ τοῦ τιμᾶσθαι ποιεῖται λόγον, εἰκὸς δήπου καὶ τοῖς ὑβρίζουσιν ἄχθεσθαι.[49] εἰ μὲν τοίνυν οὐ παραπλησίων[50] ἔνεστι θεῶν[51] τυχεῖν, οὐδὲ τοιούτων[52] ὁποίους[53] ἂν ἡμᾶς αὐτοὺς[54] παρέχομεν. ἀλλ᾽ ἔστι μὲν ἀδικοῦντας, τῆς ἐκείνων[55] προνοίας ἀπολαύειν. ἔστι δὲ τὰ δίκαια προῃρημένους, μηδὲν ἄμεινον τῶν

πονη-

[40] τὸν θεὸν Wolf. sed vulg. superscr.

[41] Δία] sic Aug. et m. Mor. θεὸν t. Mor.

[42] Διὸς] sic Aug. et m. Mor. θεοῦ t. Mor.

[43] θεὸς Wolf.

[44] περ] ὅπερ m. Mor.

[45] αὐτοῦ] τοῦ θεοῦ m. Mor.

[46] τὰ] τὸ Aug. et m. Mor. malim τὸ τὰ περί.

[47] Δία] sic Aug. et m. Mor. θεὸν Mor.

[48] ἐσπούδακεν Wolf.

[49] ἔχθεσθαι Wolf.

[50] ad παραπλησίων subauditur ἡμῖν. Insequentia οὐδὲ τοιούτων — sunt enarratio huius vocabuli.

[51] τῶν θεῶν] sic Aug. et m. Mor. τοῦ θεοῦ t. Mor.

[52] τοιούτων] sic Aug. et m. Mor. τοιούτου t. Mor.

[53] ὁποίου Wolf.

[54] αὐτοὺς] sic Aug. Wolf. et m. Mor. αὐτῷ t. Mor.

[55] ἐκείνων] sic Aug. et m. Mor. ἐκείνου t. Mor.

πονηρῶν πράττειν, καθαιρετέον μὲν βωμούς· ἀμελητέον δὲ θυσιῶν. παροπτέον δὲ πανηγύρεις· ἐν οὐδενὸς[56] δὲ μέρει τὸ θεῖον κτέον· ἁπλῶς τε νομιστέον καὶ[57] εἰκῇ φέρεσθαι τὰ ἀνθρώπινα· καὶ τὸ προστυχὸν ἰσχύειν. τῆς δὲ τοῦ βελτίονος[58] τάξεως, μηδὲν εἶναι τὸ κέρδος, τοῖς οὕτω[59] ζῆν ἐθέλουσι. καὶ τί δεῖ δικαιοσύνην ἀσκεῖν, πρᾶγμα ἐπιζήμιον; ἐξὸν προτιμήσαντας[60] πονηρίας ἡδονὴν ἀκίνδυνον καρποῦσθαι. εἰ δὲ ταῦτα μὲν οὐδὲ λέγειν καλὸν, ἥπου γε τὸ πράττειν[61] οὐκ ἄξιον. ἀλλὰ τοῖς μὲν ὁσίοις αἱ βελτίους ἐλπίδες ἀπόκεινται· τοῖς δὲ ὡς ἑτέρως ζῆν ᾑρημένοις, καὶ τὰ παρόντα δυσχερῆ, καὶ τὰ μέλλοντα φόβου μεστά· πολὺ δήπου κάλλιον, ὦ Τρῶες, ἐκείνης εἶναι τῆς μερίδος, ἣ τὰ χρηστὰ προξενεῖ,[62] καὶ οὐκ ἐπιτιμῶμεν ὑμῖν, ὡς οὐχ οὕτω φρονοῦσιν· ἀρχὴν δὲ οὐδ' ἂν συνεβούλευον[63] ὑμῖν, εἰ μὴ τοῦτον διέκεισθε τὸν τρόπον· ἀλλ' ἐπειδὴ ταῦθ' ὑμᾶς[64] ὁρῶμεν ἐπιτηδεύοντας, οὐκ ἂν βουλοίμεθα τὴν πόλιν ὑμῶν ἐξ ἡμισείας εἶναι δικαίαν, οὐδὲ τ' ἄλλα ἀνεγκλήτους ὄντας, ἐν τοῖς περὶ τὴν Ἑλένην[65] δοκεῖν ἁμαρτάνειν. ἁπάντων γὰρ ἀτοπώτατον, τῆς μὲν ἐγχειρήσεως καὶ τῶν ἔργων ἀφεστηκέναι, ἐν δὲ τῇ περὶ τῶν πεπραγμένων βουλῇ, τῆς αἰτίας τοῖς πεποιηκόσι[66] κοινωνῆσαι. εἰ μὲν οὖν κοινῷ δόγματι τῆς πόλεως[67] τὸ ἀδίκημα τετόλμηται, καὶ τὸν Ἀλέξανδρον ὑμεῖς ἐπὶ καλὴν οὕτω πρᾶξιν ἐξεπέμψατε, σαφῶς εἴπατε μηδὲν ὀκνήσαντες,[68] καὶ οὐδὲν

56 οὐδενὸς] sic Aug. et m. Mor. οὐδὲν t. Mor.

57 καὶ deest Aug. et Wolf.

58 post βελτίονος deleui μοίρας καὶ, quae desunt Aug. et Wolf.

59 οὕτω] id est ἐν τῇ τοῦ βελτίονος μέρει.

60 παρατιμήσαντας m. Mor.

61 ἥπου γε τὸ πράττειν] sic Aug. et m. Mor. ὅπου γε οὐδὲ πρ. Mor.

62 post προξενεῖ deleui τῷ χρηστὰ προεξενέγκαι, quae verba desunt Aug. Wolf. et m. Mor.

63 malim συνεβουλεύομεν.

64 ταῦθ' ὑμᾶς] ταῦτα δικαίως Aug.

65 ὑπὲρ τῆς Ἑλένης Aug.

66 ἐναντίας τοῖς πεπραχόσι m. Mor.

67 τῆς πόλεως] sic Wolf. τῆς deest Mor. et πόλεως ab Aug. plane abest.

68 μηδὲν ὀκνήσαντες desunt Wolf.

οὐδὲν ἔτι φθεγξόμεθα. τίς γὰρ ἂν νοῦν ἔχων, αὐτοῖς τοῖς εἰργασμένοις δικασταῖς ὧν ἠδίκησαν χρήσαιτο; εἰ δὲ ὅπερ ἀληθές ἐστιν, ὁ μὲν ἀφ'[69] ἑαυτοῦ βαλλόμενος[70] ἔπραττε τὸ τερπνόν· ὑμῶν δὲ τὸ κοινὸν οὐ μετεῖχε τῶν γιγνομένων, δείξατε τοὺς δεδρακότας ἐν τῇ ψήφῳ· καὶ τῇ χειροτονίᾳ τῆς αἰτίας, ἐξέλεσθε[71] τὴν πόλιν. καὶ μὴν ἔγωγε[72] πολλοὺς ὑμῶν οἶδα τῷ μὲν Ἀλεξάνδρῳ δυσκόλως ἔχοντας, ἡμῖν δὲ τοῖς πεπονθόσι συναλγοῦντας. δεῖ δὲ τόν γε ἀληθῶς ἁπλοῦν καὶ γενναῖον, οὐ πλάττεσθαι τὴν καλοκαγαθίαν· ἀλλ' ἐπὶ τῶν ἔργων τοῖς ἠδικημένοις[73] ἀμύνειν· καὶ τοῦ νόμου τῆς ἐκκλησίας διδόντος παῤῥησίαν, ἀποδοῦναι κελεύειν τὴν Ἑλένην. ἀλλ' οὐκ ἰδίᾳ σεμνολογεῖσθαι, τὴν πρᾶξιν δημοσίᾳ μὴ αἰτιώμενον. καὶ μὴν εἴ τις ὑμᾶς ἔροιτο, τί μαθόντες[74] οὔτε πρότερον οὐδὲν τοιοῦτον εἰργάσθε, οὔτ' ἐπειδήπερ Ἀλέξανδρος ὧν ἐπεθύμει κύριος ἦν, ἐξηλάσατε τὴν ἁρπαγήν, εὖ οἶδ' ἔτι φήσαιτε[75] ἅπαντες, ὅτι καὶ πρότερον καὶ μετὰ τὴν τοῦ Ἀλεξάνδρου παροινίαν, πονηρᾶς[76] εἶναι φύσεως τὸ ἅρπαγμα κατεγνώκαμεν.[77] καὶ οὐ διὰ τοῦτο[78] χρηστόν, ὅτι[79] τῷ δεῖνι τῶν Τρώων ἤρεσε. τούτοις μέν τοι τοῖς λόγοις οὐ συμβαίνει, τὸ συμπράττειν Ἀλεξάνδρῳ καὶ συναγωνίζεσθαι πρὸς τὸ μηδὲ[80] παύσασθαι τῶν ἀδικημάτων ποτέ. εἰ μὲν γὰρ ἐπαινεῖτε τὸν ἄνθρωπον, τί οὐ μιμεῖσθε; εἰ δὲ καταμέμφεσθε, τί οὐ κωλύετε; οὐ γὰρ δή που λόγον ἔχον[81] ταῦτα διαφυλάττειν[82] εἰς τέλος, ἃ μηδὲ γενέσθαι τὴν ἀρχὴν βέλ-

τιον

69 ἀφ'] ἐφ' Aug. et m. Mor.

70 malim βαλόμενος in aor. 2. m. Mor. dat. λαβόμενος et βαλόμενος.

71 ἐξέλεσθε] sic Aug. et Wolf. ἐξέλεσθαι Mor.

72 οὐ μὲν ἔγωγε m. Mor.

73 τοῖς ἠδικημένοις] sic Wolf. et Aug. τοῖς deest Mor.

74 παθόντες Aug.

75 φήσαιτ' ἂν] sic Aug. et m. Mor. φήσειαν t. Mor.

76 ἢ ὅτι πονηρᾶς Aug.

77 κατέγνωμεν Aug. et m. Mor.

78 καὶ οὐδὲ διότι τοῦτο m. Mor.

79 ὅτι] διότι Aug. et m. Mor.

80 μηδὲ sic Wolf. μὴ Aug. μηδὲν Mor.

81 λόγον ἔχον] sic Aug. et m. Mor. τοῦ λόγου ἐστὶ Mor.

82 διαπράττειν Aug. sed in marg vulg.

τιον ἦν.[83] ἢ τὴν μὲν ἁρπαγὴν αἰτιασόμεθα,[84] τὸ δὲ μηδ' ἀποδοῦναι βούλεσθαι, τοῦτο θαυμασόμεθα. ὅλως δὲ εἴ τις ἀκριβῶς λογίζεσθαι βούλοιτο, οὐ Μενέλεως ἠδίκηται μόνος ἐν τοῖς τετολμημένοις· ἀλλὰ καὶ τὰ κράτιστα τῶν ἀνθρωπίνων[85] συγκέχυται καὶ κεκίνηται. εἰ γὰρ[86] Ἀντήνωρ ὁ βέλτιστος ἐνεθυμήθη πρὸς ἑαυτὸν, ὅτι νῦν ἐγὼ Μενέλεων καὶ τὸν Ὀδυσσέα παρ' ἐμαυτῷ καταλύειν ἀνέξομαι, τὸν μὲν εἰς τὰ τιμιώτατα βεβλαμμένον, τὸν δὲ συνωργισμένον τῷ πεπονθότι. ἂν οὖν ἀποχρήσονται πρός τι τῶν δυσχερῶν τῇ παρ' ἐμοὶ διατριβῇ· παρ' ἡμῶν δὲ αὐτῶν ἔχουσι τῶν τοιούτων τὸ παράδειγμα. καλῶν[87] γ' ἂν εἴην ἀπολαύειν[88] ξένων· εἰ ταῦτα[89] διαλογισάμενος προσιόντας ἀπήλαυνε καὶ μηδαμῇ προσίετο, ἆρ' οὐκ ἂν, ἦν θέαμα δεινὸν καὶ πάντων ἐλεεινότατον, ἄνδρας ξένους ἠδικηκότας οὐδὲν,[90] ἐπ' ἀγορᾶς κυλινδεῖσθαι; οἶμαι γὰρ ἂν καὶ τοὺς ἄλλους τοῦτον μιμήσασθαι, τῷ φόβῳ τῶν πεπραγμένων πρὸς ἀπιστίαν ἀγομένους. ταῦτα τοίνυν τὸ μὲν Ἀλεξάνδρου μέρος, συμβέβηκεν. ἡ δὲ Ἀντήνορος καλοκἀγαθία, κρείττων ἐφάνη τῆς ὑποψίας. μάλιστα μὲν οὖν, ὦ Τρῶες, καὶ τὸ περὶ ὁτιοῦν εἰς τὸν ὑποδεξάμενον ἐξαμαρτάνειν,[91] τῶν δεινοτάτων ἐστί. τῆς γὰρ αὐτῆς παροινίας ἀπόδειξιν ἔχει τὸ πραττόμενον ἅπαν, ἕως ἂν[92] ἐκβαίνῃ τὸ τοῦ προσήκοντος.[93] Ἀλέξανδρος δὲ παρανομεῖν ἐπιχειρήσας, ἐν τῷ μεγίστῳ τὴν παρανομίαν ἔδειξεν.

οὐκ

83 ἦν] εἶναι Wolf.

84 αἰτησόμεθα Wolf.

85 ἀνθρώπων Aug. et m. Mor.

86 εἰ καὶ γὰρ m. Mor.

87 καλὸν Aug. et m. Mor.

88 in Aug. est vtraque lectio simul, ἀπολαύειν et ἀπολαύων. mihi videtur leg. aut καλῶν γ' ἂν εἴην ἀπολελαυκὼς ξενίων, aut καλόν γ' ἂν εἴη ἀπολαύειν τῷ ξένῳ praeclarum sit, ambo peregrinos abigere, proturbare domo mea.

89 εἰ ταῦτα] ἐπ' αὐτὰ Wolf.

90 ἠδικηκότας οὐδὲν desunt Aug.

91 ἁμαρτᾶν Wolf. et m. Mor. ἐξαμαρτᾶν Aug.

92 in Aug. est ὡς ἂν, vnde confici possit ὅταν. aut possit ἕως plane omitti, et ἂν pro ἐὰν accipi.

93 τὸ τοῦ προσήκοντος] subaudi μέρος vel μέτρον. aut lege cum codd. τὸ προσῆκον.

οὐκ ἤρκει θεραπαίνας καὶ χρυσία, καὶ ὅσα εἰς ἐσθῆτα φέρει λαβόντα, οἴχεσθαι, καὶ τούτοις ὁρίσαι τὰ ἀδικήματα· ἀλλ᾽ ἐπὶ[94] τὸ γύναιον[95] ἐπιθυμίαν ἀκόλαστον ἐκίνησε· καὶ τοῖς αὐτοῖς ὀφθαλμοῖς τοῦτον μὲν δεξιούμενον εὐλαβῶς,[96] τὴν δὲ Ἑλένην εἶδεν ἐφ᾽ ὕβρει. καὶ οὐκ ἔστησεν ἐπὶ τῆς ἐννοίας τὸ ἐγχείρημα, ἀλλὰ προσέθηκε καὶ[97] τὴν πρᾶξιν, ὑπὲρ ἧς καὶ τὸ βουλεύσασθαι, τῶν ἐσχάτων ἂν ἦν· καὶ εἰ μὲν οὐχ ἑώρα παιδίον αὐτοῖς γεγονὸς, ὃ μάλιστα δὴ πάντων εἰς οἰκειότητα τοὺς γονέας συνάγει,[98] ἦν μὲν ἂν οὐδὲ οὕτω μικρόν· τοῦ δὲ νῦν εἰργασμένου, μετριώτερον. νῦν δὲ οὔσης αὐτοῖς Ἑρμιόνης τοσαύτης ἀφορμῆς εἰς κοινωνίαν, Ἀλέξανδρος διέσπασεν, ἃ συνῆπτο θεσμῷ καλλίονι. οἶδα τοίνυν ὡς ἐρεῖ τις, ὅτι δικαίως ἂν στέργοιμεν[99] ταῦτα πάσχοντες, ἃ ποτε[100] πεποιήκαμεν. οἷον ὑμεῖς, φησιν, ἐκ μὲν Φοινίκης, Εὐρώπην· ἐκ δὲ Κόλχων ἡρπάσατε Μήδειαν. τί τοίνυν ἀχάλλετε ταῦτα[1] ὑπομένοντες ἂν ὑπήρξατε;[2] ἐγὼ δὲ πρῶτον μὲν αὐτὸ τοῦτο τεθαύμακα, εἰ ὧν ὡς ἐγκλημάτων μέμνησθε, ταῦθ᾽ ὁμολογεῖτε μιμήσασθαι. εἰ μὲν γὰρ μηδὲν ἡμάρτανον οἱ τότ᾽ ἐκεῖνα πράττοντες, πῶς[3] εἰς ἔγκλημα προφέρετε; εἰ δὲ οὐκ ἦν ἔξω τοῦ ψέγεσθαι,[4] πῶς ἃ ψέγειν οἴεσθε δεῖν, ἐζηλώσατε; καὶ μὴν καὶ κατ᾽ αὐτὸν τοῦτον τὸν λόγον, εἰς τοὺς βαρβάρους ἔρχεται τὸ ἔγκλημα. εἰ γὰρ τὸ μὲν τῶν ἀδικημάτων ἄρχειν, παρὰ τὸν νόμον ἐστί· τὸ δὲ ἀμύνασθαι τοὺς ὑπάρξαντας, εἰς τὸ δίκαιον τελεῖ· εἰπάτω μοι τὶς, πότερον

Κρῆ-

94 ἐπὶ] ſic Aug. et m. Mor. ἐπεὶ r. Mor.

95 poſt γύναιον delevi εἰς, quod deeſt Aug. et m. Mor.

96 δεξιώμενον εὐλαβῶς] ſic Aug. et m. Mor. iiſdem oculis adſpexit et Menelaum et Helenam, ſed illum reverenter, hanc cum cupiditate contumeliam afferendi. Mor. dat δεξιώμενος. et omittit εὐλαβῶς.

97 καὶ addit Aug. deeſt Mor.

98 εἰσάγει m. Mor.

99 στέργοιμεν] ſic Wolf. στέργωμεν Aug. στέργομεν Mor. φέροιμεν m. Mor.

100 malim ταὐτὰ πάσχοντες, ἃ πρίν ποτε.

1 malim ταὐτά.

2 προήξατε Aug. et m. Mor.

3 πῶς] τί τοῦτο Aug. et m. Mor. πῶς ἔγκλημα Wolf.

4 ψεύδεσθαι Wolf. et m. Mor.

Κρῆτες πρότερον τὴν Εὐρώπην ἐκ Φοινίκης ἥρπασαν, ἢ Φοίνικες ἐξ Ἄργους Ἰὼ τὴν Ἰνάχου. ἐγὼ μὲν γάρ, οἶμαι, τῶν Φοινίκων γεγενῆσθαι τὴν ἀρχήν· καὶ οὐκ ἐπαινοῦμεν[5] οὐδὲ τοὺς Κρῆτας, πρὸς[6] τοῦτο ἐλθόντας. πάντων γὰρ ἀλογώτατον, τῶν ἠδικημένων[7] ἀντεπιβουλεύειν, οὐ προῃρημένων ἐκείνους περιεργάζεσθαι.[8] ἔπειτα εἰ καὶ πλέον τῶν πεπονθότων ἤχθοντο· δῶμεν γάρ,[9] καὶ[10] μᾶλλον ἤλγουν Ἰνάχου· οὐχ ἁρπαγῇ τὴν ἁρπαγὴν μετιέναι ἐχρῆν. ἀλλὰ ταῦτα ποιεῖν, ἅπερ ἡμεῖς νῦν, πρεσβείαν[11] ἀποστέλλειν, στρατόπεδον συγκροτεῖν, πόλεμον ἀπειλεῖν. τοῦτο μὲν γὰρ ἦν, μηδὲν τοιοῦτον μήτ' ἐν γῇ, μήτ' ἐν θαλάττῃ βουλομένων τολμᾶσθαι· ἐκεῖνα δέ, πολλὰ παρασκευαζόντων παραπλήσια γίνεσθαι. ἐπαινεῖν μὲν οὖν ἐκείνους οὐκ ἔχομεν. εἰ δὲ ἰσχυρόν τις εἶναι νομίζει τὸ χρῆναι τοῖς ἴσοις ἀμύνασθαι,[12] λόγος τίς αὐτοῖς[13] λείποιτο; πλὴν ἕν γε ἐκεῖνο ἴσμεν, ὅτι Φοινίκων τὸ ἔγκλημα γίνεται, τῶν καταβεβληκότων τὸ σπέρμα τῆς ἁρπαγῆς. τί οὖν; Μήδειαν Ἰάσων ἐλάμβανεν. ἄλλος μὲν οὖν ἄν τις ἔφησεν, ὅτι πρὸς τὰ τῶν Φοινίκων παροξυνόμενος,[14] καὶ προσδεῖν ἡγούμενος τῇ τιμωρίᾳ. ἐγὼ δέ, οὐ τὸν Ἰάσωνα αὐτῆς Μηδείας ἐπιθυμήσαντα σκοπῶν[15] εὑρίσκω,[16] τὴν δὲ Μήδειαν ἁλοῦσαν Ἰάσωνος. ὡς μὲν οὖν συνέπραξεν[17] αὐτῷ πρὸς τοὺς ἄθλους, αὐτόματος ὁρμήσασα εἰς τὴν ἐπικουρίαν· καὶ ὡς ἀπέκτεινε τὸν ἀδελφὸν ἀποσπᾷν ἐπι-

[5] ἐπαινῶ μὲν Aug. et m. Mor.

[6] πρὸς] εἰς Aug. et m. Mor.

[7] τὸν ἠδικημένον malim, tametsi vulgata etiam in A. et W. est, verum insequentia haud expedio.

[8] ἐκείνων δὲ περιεργάζονται Aug. δὲ περιεργάζεσθαι m. Mor.

[9] post γὰρ deleui εἰ, quod abest a Wolf. Hic incipit Aug. deficere, qui vt multas habet egregias lectiones, ita rursus a librario indoctissimo erat exaratus, vt mendis foedissimis scateret.

[10] ὅτι καὶ m. Mor.

[11] πρέσβειν m. Mor.

[12] ἀμύνεσθαι Wolf.

[13] λόγοις, τί ἂν αὐτοῖς Wolf. et m. Mor. f. λόγος τίς ἂν αὐτοῖς.

[14] παρωξυμμένος et paulo post τῆς Μηδείας m. Mor.

[15] σκοπῶν Wolf.

[16] εὑρήσω Wolf. et m. Mor.

[17] συνέπραξεν] sic m. Mor. ἐνέπραξεν r. Mor.

ἐπιχειροῦντας· καὶ ὡς ἀβίωτον ἡγεῖτο τὸν βίον, εἰ μὴ ἐκεῖνον ὄψεται, καὶ ὅσα τῶν πρώτων ἐστὶ,[18] παραλείψω· τί γὰρ ἂν τις μακρηγορίη. ἀλλ᾽ ἐπειδὴ τῆς Ἑλλάδος ἦσαν[19] ἐν Κορίνθῳ, ὁ μὲν ἄλλην ἐμνήστευσεν, ἡ δὲ ἐδάκρυε. καὶ ὁ μὲν ἣν ἠβούλετο, ἤγετο· ἡ δὲ, οὐκ εἶχεν ἢ τι γένηται.[20] οὕτως σφόδρα αὐτὴν Ἰάσων ἠγάπα· καὶ τὰς συμπληγάδας ὑπὲρ ἐκείνης διέπλευσεν· ὥσπερ Ἀλέξανδρος ὑπὲρ τῆς Ἑλένης τὸν Αἰγαῖον. πότερον οὖν Ἰάσων Μηδείας ἑαλώκει; ἢ Μήδεια τὰν οὐδὲν δεόμενον αὐτῆς, ἠνώχλει; τὰ μὲν γὰρ[21] πράγματα, τὸ δεύτερον βεβαιοῖ. εἰ δὲ ἐκεῖνό τις φήσειεν, ὅτι καὶ τὴν Ἑλένην παραπλήσιος λογισμὸς ἀκολουθεῖν Ἀλεξάνδρῳ συνέπεισεν, οὐ χαλεπὸν εὑρεῖν τὴν ἀλήθειαν. εἰπάτω πρὸς αὐτὴν ἀπαλλαγῆναι τῆς οἰκίας·[22] ἕτερον ἐγγυάσθω γύναιον. κἂν προσκαθημένη δακρύῃ[23] χαίρειν ἐᾶν. καὶ τότε εἰσόμεθα οἷς ἐγκαλεῖν ἄξιον. καὶ ὥσπερ ἂν εἰ τότε Αἰήτης ᾔτει τὴν Μήδειαν, πόλεμον ἀπειλῶν, εἰ μὴ λάβοι, ῥᾷστα ἂν ἀπέδωκεν Ἰάσων πρὸς τῷ[24] καὶ χάριν εἰδέναι τοῖς ἥκουσιν. οὕτω νῦν Ἀλέξανδρος δειξάτω μηδὲν[25] τῆς γυναικὸς δεόμενος. ἀλλ᾽ οὐ ποιήσει τοῦτο ἑκὼν[26] εἶναι; πόθεν; οὔκουν Ἰάσων ἠδίκει τότε. ἀλλ᾽ ἡ παῖς ἠδίκει τοὺς γονεῖς, ἑκοῦσα παρ᾽ αὐτὸν ἀπελθοῦσα. τί οὖν ἄν τις παραδείγμασι[27] χρῷτο τούτοις, ὧν πολὺ τὸ παρὸν ἀποστατεῖ; τὸ δὲ μέγιστον, καὶ ὃ[28] σαφῶς εἴσεσθε, ποίῳ τινὶ[29] κεχώρισται τὰ πράγματα; οὔτε γὰρ ἦν οἱ Φοίνικες, οὔτε ἦν οἱ Κρῆτες

[18] ὅσα τῶν πρώτων ἐστι] non intelligo haec. Num significat τὰ πρότερον ὑπὸ τῆς Μηδείας γεγενημένα πρὶν ἢ αὐτὴν ἀφικέσθαι εἰς τὴν Ἑλλάδα.

[19] ἦσαν] Iaſon et Medea.

[20] γένοιτο m. Mor.

[21] γὰρ] ἂν m. Mor.

[22] οἰκίας] ſic Wolf. et m. Mor. οἰκείας r. Mor.

[23] δακρύῃ] ſic Wolf. δακρύει Mor.

[24] τῷ] τὸ Wolf.

[25] ὡς μὴ m. Mor.

[26] ἐκεῖνος εἰπὼν m. Mor.

[27] παράδειγμα Wolf.

[28] ὃ] imo vero ᾧ, id eſt ἐν ᾧ, vel δι᾽ ὅ. quamquam ὃ etiam in Wolf. eſt. γὰρ m. Mor.

[29] τινὶ] ſic m. Mor. τοίνυν r. Mor.

τες ἔλαβον· ἀλλ' οὔτε[30] ἡ Μήδεια συνοικοῦσα τισὶν ἤδη τοῦτο ἔπαχον. οὐδὲ διεσπᾶτο[31] γάμος· οὐδὲ εὐνὴ κατῃσχύνετο· οὐδὲ παίδων διαδοχὴ διεκόπτετο· οὐδ' ἐφ' ἃ θεοὶ γαμήλιοι παρεκλήθησαν, ταῦτα κατὰ πολλὴν ὕβριν ἀνῃρεῖτο. ἀλλ' ἦν κἀκεῖνα δεινὰ μὲν, οὐ μὴν εἰς τοσοῦτον ἀσεβείας ἥκοντα. εἰ δὲ δὴ κἀκεῖνα πολλῆς ἦν ἄξια τῆς ἀγανακτήσεως, πόσης γε εἶναι τὸ παρὸν ὀργῆς θήσομεν; ἔτι τοίνυν οὐδὲ γὰρ τοῦτο[32] μικρὸν, τὴν μὲν Ἰνάχου παῖδα, ναυκλήρου τινὸς φασὶ κλέμμα γενέσθαι, οὔτε διαλεχθέντος, οὔτε καταλύσαντος παρὰ τῷ πατρὶ[33] τῆς κόρης. περὶ δὲ τῆς Εὐρώπης οὐδὲν οὐδέπω καὶ νῦν σαφὲς[34] ἀκούομεν. Ἰάσων δέ γε, δυσμενεστάτου πάντων[35] ἐτύγχανεν Αἰήτου, καὶ τοιαῦτα προβάλλοντος, ἃ πρόδηλον εἶχε τῷ μετιόντι συμφοράν· εἶθ'[36] οὗτός γε εἴ τι καὶ δυσχερὲς ὕστερον εἰργάζετο τὸν Αἰήτην, τὸ προπεπονθέναι[37] κακῶς δικαίαν ἐποίει τὴν πρᾶξιν αὐτῷ. τούτων ἕκαστος Ἀλέξανδρε τοῖς γε σεσυλημένοις, οὐχ ἁλῶν, οὐ σπονδῶν, οὐ τραπέζης ἐκοινώνησεν. μᾶλλον δὲ, οἱ μὲν οὐδενὸς τοιούτου μετεσχηκότες ἦσαν· ὁ δὲ καὶ διαῤῥήδην ἐπεπόνθει κακῶς. καὶ εἰ τὰ[38] ἄλλα πάντα ἦσαν πονηροὶ, τοῦ τι περὶ τὸν ξένιον Δία πλημμελεῖν, ἦσαν ἐλεύθεροι. καὶ τὸ μὲν ἐκείνων[39] ἦν πλεονεξία, τὸ δὲ ἀσέβεια. πλεῖστον δὲ δή που διαφέρει τῆς τοῦ πλείονος ἐπιθυμίας ἡττᾶσθαι, ἢ τοῦ παρὰ[40] τῶν θεῶν φέβου, μείζονας εἶναι βούλεσθαι. μὴ τοίνυν ἀναισχυντῶμεν εἰς μέσον ἐκείνους φέροντες, ὧν ἀτοπώτεροι πεφήναμεν· ἢ λήσομεν ἡμᾶς αὐτοὺς πλέον θάτερον ποιοῦντες. εἰ γὰρ ὧν ὡς δεινοτάτων κατηγοροῦμεν, ταῦτα ὑπερβάλλοντες ἁλισκό-

μεθα

[30] οὔτε etiam in Wolf. est. verum leg. est tamen οὐδὲ, ne Medea quidem.

[31] διέσπαστο m. Mor.

[32] οὐδὲ γὰρ τοῦτο] sic Wolf. et m. Mor. recte. parentheticum enim est hoc breue οὐδὲ γὰρ τοῦτο μικρόν.

[33] post πατρὶ deleui περὶ, quod abest a W.

[34] σαφῶς m. Mor.

[35] δυσμενέστατος πάντως Wolf. γρ. δυσμενέστατος (καὶ) δυστυχέστατα m. Mor.

[36] ὤθ' m. Mor.

[37] προπεπονθέναι] sic Wolf. πεπονθέναι Mor.

[38] εἰδὲ καὶ m. Mor.

[39] ἐκείνων] sic Wolf. ἐκείνῳ Mor.

[40] παρὰ] sic m. Mor. περὶ t. Mor.

μεθα, καθ' ἡμῶν αὐτῶν ἐκεῖνα κακιοῦμεν. παρὰ πάντα δὲ ταῦτα, ἐκεῖνο εἰπεῖν ἄξιον. πάντων ἐστὶν ἀλογώτατον, ὦ Τρῶες, τὰ μὲν ἐγκλήματα ἑτέρων εἶναι, τὴν δὲ τιμωρίαν ἑτέρους ὑπέχειν. καὶ τοὺς μὲν ἠδικηκότας, ἀθώους ἀφεῖσθαι, τοσούτοις [41] δὲ ὕστερον χρόνοις, ἄλλους ἀντ' ἐκείνων πάσχειν κακῶς. οἷον τί λέγω; Κρῆτες ἠδικήκασι; Κρησὶν ἐγκάλει. Ἰάσων ἥμαρτεν; εἰσπράττου τὴν τιμωρίαν τοὺς [42] Ἰάσωνος οἰκείους. [43] νῦν δὲ Κρῆτες μὲν καὶ Θετταλοὶ κατὰ συμμαχίαν στρατεύουσι· Μενέλεως δὲ μηδὲν ἐγκαλούμενος, ὑπὲρ τῶν ἑαυτοῦ συμφορῶν, ἐκείνους συνήγαγε. καὶ οἱ μὲν τὰς προφάσεις ἐνδεδωκότες [44] ἀλλήλοις ἐπαμύνουσιν. ὁ δὲ καθαρὸς αἰτίας, ἐκείνων εἰς ἐπικουρίαν δεδέηται [45] καί τοι καὶ Κρησὶ καὶ Θετταλοῖς, λόγος ἐστὶν ὑπάρχων ἰσχυρός. οὐ γὰρ ἡμεῖς γε φήσουσιν, οἱ νῦν ὄντες, οὐδὲν τοὺς βαρβάρους ἀφειλόμεθα· ἀλλ' οὐδὲ ἴσμεν τὸ παράπαν, εἴ τις Εὐρώπη γέγονεν. εἰ δὲ μὴ συκοφαντία ταῦτα ἦν, ἐχρῆν τοῖς προγόνοις ἐγκαλεῖν, οὓς καταμέμφεσθε ταῦτα [46] ἡμαρτηκέναι. εἰ μὲν οὖν οὐ κατεμέμψασθε τὴν ἀρχὴν, τί νῦν ἐνοχλεῖτε; [47] τί δὲ [48] μεταφέρετε τὰς αἰτίας ἐπὶ τοὺς ὕστερον γενομένους; εἰ δὲ μεμφομένων κατεγέλων, ἔδει τοῖς ὅπλοις χρήσασθαι. ὅτε τοίνυν καὶ τοῖς ἐγγόνοις τῶν δοκούντων ἡμαρτηκέναι, πολλῆς εὐηθείας ἐγκαλεῖν; ἢ που πλείστης ἀναιδείας, τὸ τοὺς μηδὲν ἐκείνοις προσήκοντας ἀδικεῖν. οὕτω δὲ πανταχόθεν ἀνέστραπται τὸ πρᾶγμα, ὥστε οὐ μόνον μὲν ὁ χρόνος τῆς τιμωρίας πολὺ τῶν ἐγκλημάτων νεώτερος· οἱ δὲ μηδὲν ἠδικηκότες ἀντὶ τῶν ἡμαρτηκότων ἕλκονται. ἀλλὰ καὶ τὸ τρίτον τῆς αὐτῆς ἀλογίας, [49] ἀντὶ Φοινίκων καὶ Σκυθῶν, Ἀλέξανδρος ἐπὶ τὴν τιμωρίαν ἥκει. ὥσπερ ἐκείνων ἢ παροξύνεσθαι τοῖς γεγενημένοις [50] οὐκ εἰδότων, ἢ δίκην

[41] τοσούτους m. Mor.

[42] τοὺς] τοῦ Wolf. δίκην τοῦ m. Mor.

[43] οἰκείαν Wolf. m. Mor.

[44] δεδωκότες Wolf.

[45] δεδέχθαι Wolf. et m. Mor.

[46] post ταῦτα deleui τι, quod abest a Wolf.

[47] ἐγκαλεῖτε m. Mor.

[48] δὲ malim abesse.

[49] τῆς ἀναλογίας Wolf.

[50] γρ. γεγενημένοις (καὶ) ἠδικημένοις m. Mor.

δίκην ὑπὲρ αὐτῶν οὐ δυναμένων λαβεῖν; καὶ μὴν εἰ μὲν οὐδὲν ἐφρόντιζον ἐκεῖνοι τῶν πεπραγμένων, πῶς ὑμᾶς ἀγανακτεῖν ἄξιον; εἰ δὲ ἀλγοῦντες, ὅμως ἡσύχαζον, τί δεῖ χαρίζεσθαι τοῖς ὑπὲρ αὐτῶν οὐ κινουμένοις; θαυμάζω δὲ, εἰ μελλούσης μὲν ὑμῖν κινδυνεύειν τῆς πόλεως, οὐδεὶς ἐκείνων ἐπιςρέφεται οὐδ' εἰδέναι βούλεται τὸ παράπαν. οὔτ' εἴ τις Ἀλέξανδρος ὑπὲρ αὐτῶν Ἑλένην ἥρπασεν, οὔτε εἴ τινες πόλεμον[51] προσβάλλουσιν ἀντὶ τούτων Ἰλίω, ὑμεῖς δὲ ὑπὲρ τούτων οὕτω διακείμενοι,[52] παροξύνεσθαι φήσετε. μωρία ταῦτα, καὶ οὐδὲν ὑγιές. χωρὶς δὲ τούτων, εἰ μὲν ἐςὶν ἐφ' ὑμῖν μέχρι παντὸς παροινεῖν,[53] δίκαιον μὲν οὐδαμῶς· χρῆσθε δὲ εἰ βούλεσθε τούτω.[54] εἰ δὲ μείζων ὁ φόβος τῆς ἐξουσίας, καὶ τὸ προσκαθήμενον ςρατόπεδον οὐκ ἐᾷ τρυφᾷν, τί ἄν τις ληροίη περὶ τῆς Εὐρώπης,[55] τῶν ὅπλων οὐκ ἐώντων μυθολογεῖν; καὶ γὰρ εἰ μὲν ἤρκει τοῖς Ἕλλησι ταῦτ' ἀκούσασι τὴν ταχίςην ἀποπλεῖν, εἶχεν ἂν ἴσως τι[56] χρηςὸν ἡ περὶ ταῦτα διατριβή. εἰ δὲ δεῖ δυοῖν θάτερον, ἢ διὰ[57] τῆς Ἑλένης ὑμᾶς πρίασθαι τὴν ἀσφάλειαν, ἢ τῶν ἀλλοτρίων ἐπιθυμοῦντας, ὑπὲρ τῶν οἰκείων κινδυνεύειν· λάβετε λογισμὸν περὶ τῆς πρεσβείας ὀρθόν. τίς δὲ οὗτος ἐςί; μὴ μᾶλλον ὑπὲρ τῶν ἀπεςαλκότων, ἢ ὑμῶν τῶν δεξαμένων νομίζειν αὐτὴν γεγενῆσθαι· μηδὲ ἀποςερεῖσθαι[58] τινὸς ὑπολαμβάνειν, εἰ τὴν Ἑλένην ἡμεῖς ἀποληψόμεθα· ἀλλὰ τὰ μέγιςα ἡγεῖσθε κερδαίνειν, εἰ τὴν Ἑλένην λαβόντες, ἀρκεῖν ἡγησόμεθα. εἰ μὲν γάρ ἐςι τὶς ὑμῖν ἐγγυητὴς θεῶν (καὶ τοῦτο οἱ μάντεις ὑπισχνοῦνται σαφῶς) ὡς εἰ τὸ πρᾶγμα εἰς πόλεμον προβαίη, καὶ τοῖς ὅπλοις τὴν κρίσιν ἐπιτρέψαιμεν, ἧττα[59] μὲν τοῖς ἠδικημένοις ἀπόκειται,[60] τὰ δὲ τῆς τύχης μεθ' ὑμῶν τῶν ἠδικηκότων ςήσεται.

[51] πολέμιοι Wolf. et m. Mor.

[52] γρ. τῶν οὕτως ἀδικουμένων καὶ διακειμένων m. Mor.

[53] παροινεῖν Wolf.

[54] τοῦτο Wolf.

[55] τὴν Εὐρώπην m. Mor.

[56] τινὰ λόγον m. Mor.

[57] γρ. διὰ τὸ ἐκςῆναι τῆς, et πειρᾶσθαι. καὶ θηρᾶσθαι. ἴσ. πρ. πειρᾶσθε m. Mor.

[58] ἀπεςερῆσθαι m. Mor.

[59] ἧττα] εἶτε ἡμῖν Wolf,

[60] ἀπόκεινται Wolf.

σεται. οὐκ ἂν παραινέσαιμεν ὑμῖν μὴ χρήσασθαι τοσαύτῃ πλεονεξίᾳ. εἰ δὲ τὸ μᾶλλον ἀκριβῶς μὲν οὐκ ἔστι προϊδεῖν· τοῖς δὲ λογισμοῖς ἀκολουθῶν τις, οὐκ ἂν εὕροι χαλεπῶς ὁποτέροις μένει τὸ τοῦ πολέμου κράτος. ἐξετάσατε[61] παρ' ὑμῖν αὐτοῖς, ποτέρως ἂν ὑμῖν ἔχοι καλῶς. πότερον εἰ μετὰ τοῦ τῆς Ἑλένης ὕστερον στέρεσθαι, καὶ τὴν πόλιν προσαποβάλλοιτε,[62] ἢ εἰ τὴν Ἑλένην ὑπὲρ τῶν ὅλων ἀποδοίητε. εἶτά με τις ἐρωτᾷ. τί οὖν; ἐξὸν ὑμῖν τῶν ἡμετέρων κρατῆσαι, φείδεσθαι[63] τῶν δυσμενῶν. ὅτι νῦν οὐ κακὸν ποιήσοντες ἑτέρους ἥκομεν, ἀλλ' ἅ γε[64] ἀφῃρέθημεν κομιούμενοι, ἅν τε ἠδικήμεθα δίκας ἄνευ ὅπλων προσληψόμενοι. οὔκουν[65] ἀξιοῦμεν πρὶν ἢ καὶ[66] χωρὶς πραγμάτων τευξόμεθα τῶν δικαίων, εἰδέναι πόλεμον ἐπιφέρειν τοῖς καὶ χωρὶς ἀνάγκης ἴσως ἂν τι βουλευσαμένοις μέτριον. ἵν' οὖν μὴ δῶμεν ἀφορμὴν τοῖς ἐπιθυμοῦσι βλασφημεῖν, ὡς οὐχ ἡ τῆς ὕβρεως ὀργὴ τὴν στρατείαν παρεσκεύασεν, ἀλλ' ὁ πλοῦτος τῆς Πριάμου πόλεως, πᾶσι βουλόμεθα καταστῆσαι σαφῶς[67] καὶ θεῷ καὶ ἀνθρώποις, ὅτι καὶ Μενέλεῳ καὶ πᾶσιν ἡμῖν ἀπόχρη, κατὰ πολλὴν ἡσυχίαν τῶν δικαίων τυχεῖν. ὑπὲρ μὲν οὖν τούτων πλείω λέγειν, οὐκ οἴομαι δεῖν. οὐ γὰρ ἐνδεῶς εἰρῆσθαι μοι δοκῶ· ἐπάνειμι δὲ ὅθεν ἐξέβην. ἅπασι μὲν ἀνθρώποις, ὦ Τρῶες, εἰρήνη μὲν καλόν· πόλεμος δὲ δυστυχές. καὶ τῆς μὲν ἀνθεκτέον·[68] τὸν δὲ φευκτέον. ὡς ἐκείνης μὲν ὀρθούσης τὰς πόλεις. τούτου δὲ καταστρέφειν[69] εἰωθότος. καὶ τὴν μὲν ἄξιον καὶ παροῦσαν φυλάττειν, καὶ ἀποῦσαν, ὅπως ἔσται ζητεῖν. τὸν δὲ καὶ ἐπικείμενον λύειν· καὶ προσδοκώμενον, ὅπως μὴ γενήσεται, προνοεῖν.[70] ἁπάντων

[61] ἐξετάσετε m. Mor.

[62] προσαποβάλλοιτε] sic dedi tametsi vulg. προσαπολάβοιτε etiam in Wolf. est. προσαποβαλῆτε m. Mor.

[63] φείδεσθε m. Mor.

[64] ἀλλά γε ἃ m. Mor.

[65] ἐκεῖν ἀξιοῦμεν — non intelligo.

[66] ἢ εἰ χ. m. Mor.

[67] f. σαφὲς, quod etiam subiicit Wolf. in quo ε super σαφῶς scriptum est.

[68] τῇ μὲν προσεκτέον m. Mor.

[69] καταφέρειν m. Mor.

[70] πράττειν m. Mor.

πάντων δὲ ἀνθρώπων εἰκότως ἂν ταύτην περὶ αὐτῶν ἐχόντων τὴν κρίσιν, ὑμῖν πολὺ πλέον τῶν ἄλλων φροντιστέον. καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τοῖς πᾶσιν ἀγαθοῖς ἀνθοῦσαν οἰκεῖτε πόλιν. καὶ λόγος πανταχοῦ[71] πεφοίτηκεν, εὐδαιμονέστατον ἀνθρώπων εἶναι Πρίαμον, καὶ αὐτὸν καὶ τοὺς ἀρχομένους. ὅσοις μὲν γὰρ τῶν ἀνθρώπων οὐκ εὖ τὰ πράγματα ἔστηκε, τούτους μὲν οὐδὲν ἀπεικὸς, ἑτοίμους ἐπὶ τὸ πολεμεῖν χωρεῖν. ἢ γὰρ κρατήσαντες, ἀλλοτρίων ἀγαθῶν ἐγένοντο δεσπόται. ἢ σφαλέντες, οὐκ ἐν μεγίστοις ἐζημιώθησαν. ὑμῖν δὲ καὶ τοῖς ἐγγύτατα ὑμῖν εὐδαιμονίας[72] ἥκουσι, πολλῆς δεῖ τῆς βουλῆς, εἰ πόλεμον πρὸ εἰρήνης αἱρετέον· μᾶλλον δὲ οὐδὲ βουλεύσασθαι τοῖς οὕτως ἔχουσιν ἄξιον. εἰ μὴ νὴ Δία βουλῆς δεῖσθαι φήσουσιν εἰς τὸ μαθεῖν, πότερον ἡ τῶν ὑπαρχόντων ἀπόλαυσις ἄμεινον, ἢ τούτων στερῆσθαι; ἐξετάσωμεν, ὦ Τρῶες, τὰ παρόντα ὑμῖν ἀγαθὰ τοῖς χαλεποῖς ἐκείνοις παραβάλλοντες. δεῖ δὲ οὐδὲν εὐλαβεῖσθαι τὸ βλάσφημον τοῦ λόγου. ἃ γὰρ ἐφ᾽ ὑμῖν ἐστι μὴ παθεῖν,[73] τί ἂν τὴν τούτων ἀκοὴν δυσχεραίνοιτε; ἆρ᾽ οὖν ἴσον ἢ παραπλήσιον ἔξω κινδύνων ἐν εὐπαθείᾳ διάγειν, ἢ μεθ᾽ ὅπλων ἐν αἵματι, καὶ χρηστὰς ἔχειν ἐλπίδας, περὶ τῶν συγγενῶν ἢ[74] τὴν παροῦσαν ἡμέραν, ἀεὶ τελευταίαν ἡγεῖσθαι, καὶ καλεῖν συμμάχους, ὧν οἱ μὲν οὐδὲ τὴν ἀρχὴν ἥξουσιν, οἱ δὲ ἄκοντες ἐλθόντες, ἐθελοκακήσουσιν ἐπὶ τῆς χρείας. ἐκεῖνο δὲ ἴσον ἢ προσόμοιον, εὐφημίας ἢ μίσους παρὰ τῶν περιοίκων τυγχάνειν; οὐκ ἴστε ὅτι νῦν μὲν ἅπαντες ὑμῖν καὶ τοῖς ὑμετέροις πράγμασι συνεύχονται τὰ βελτίω, εἰ δὲ ὁ πόλεμος ἐμπέσοι, πρῶτοι τῶν ἀνιαρῶν[75] αἰσθήσονται, περιπλεόντων ἡμῶν καὶ ληϊζομένων τὸ προστυχὸν, καὶ τὰς μὲν τῶν πόλεων περικοπτον-

[71] πάντων m. Mor.

[72] ἐγγύτατα ὑμῖν εὐδαιμονίας si bene habet, idem valet atque ἐγγύτατα ὑμῖν εἰς λόγον εὐδαιμονίας. quod ego equidem malim. τῆς ὑμῶν εὐδ. m. Mor.

[73] ἔνεστιν ἢ παθεῖν ἢ μὴ m. Mor.

[74] ἢ addunt Wolf. et m. Mor. deest r. Mor.

[75] ἀριμασπῶν Wolf. et m. Mor.

κεπτόντων, τὰς δὲ ἄρδην ἐξαιρούντων. καὶ μήτε θάλατταν μήτ᾽ ἤπειρον τὴν ὑμῖν ὅμορον,[76] ἔξω τῶν κακῶν ἀφιέντων. οἱ δὲ τοιαῦτα δι᾽ ὑμᾶς ὑπομένοντες, ὦ πρὸς θεῶν, ἔσθ᾽ ὅπως ἂν ἡμῖν ἔχοιεν εὐμενῶς; τί δὲ ἐςὶν ὅπερ οὐκ ἂν ὑμῶν κατεύξαιντο, τῶν σωμάτων αὐτοῖς εἰς θάνατον καὶ δουλείαν δι᾽ ὑμᾶς μεριζομένων; οὐκ οὖν πρὶν ἡμᾶς ἀπώσασθαι,[77] τοῖς ἀςυγείτοσι πολεμίοις χρήσεσθε. καί τοι τί τῶν ἐν ἀνθρώποις ἀντάξιον τῆς τοσαύτης δυσμενείας; τὰ κελευόμενα ἡμᾶς ἄρα δεῖ ποιεῖν, ἐρεῖ τις, ὥσπερ οὐκ εἰδότας ὅτι μηδαμῶς εἴκειν τοῖς πολεμίων λόγοις ἀνδρῶν[78] ἐςί. ἡμεῖς δὲ τὸ μὲν ἀφίςασθαι τῶν οἰκείων τοῖς πλεονεκτεῖν ἐπιχειροῦσι φόβῳ τῶν κινδύνων, αἰσχρὸν ἡγούμεθα. καὶ τοῦτο ἔργῳ δεδηλώκαμεν.[79] ὅπως γὰρ μηδεὶς Ἑλλήνων τῶν ὑπαρχόντων ςεροῖτο, μήτε καταγελάσειαν τῶν πεπονθότων οἱ δεδρακότες, πελάγη μὲν οὕτω μακρὰ διέβημεν·[80] τιμιωτέραν δὲ τὴν τῶν λελυπηκότων τιμωρίαν τῆς μετὰ τῶν φιλτάτων διατριβῆς πεποιήμεθα. γνώμη δὲ αὕτη νενίκηκεν.[81] ἢ λαβεῖν ταῦθ᾽ ὑπὲρ ὧν ἥκομεν, ἢ μαχομένους, πεσεῖν. τοῖς μὲν οὖν ὑπὲρ τῶν τοιούτων ἀγωνιεῖσθαι μέλλουσι, τὸ μὴ τολμᾶν πολεμεῖν, δειλίας αἰτίαν ἔχει. εἰ δέ τινες ἃ μὴ καλῶς ἔλαβον, ἀποδοῦναι δέον, πολεμεῖν μᾶλλον αἱροῖντο, οὐκ ἀνδρείας οὗτοί γε δόξαν, ἀλλ᾽ ἐμπληξίας[82] λαμβάνουσι. καὶ τοσοῦτον ἀπέχουσι τοῦ δοκεῖν τι βεβουλεῦσθαι λαμπρὸν, ὥστε διπλοῦν φέροντας τὸ ὄνειδος· ἐκ μὲν ὧν τὴν ἀρχὴν ἠδίκησαν, πονηρίας· ἐκ δὲ ὧν ἐπὶ πολλῷ[83] κατέχουσιν, ἀναισθησίας. οὐ γὰρ ἐν τῷ πολεμεῖν ἁπλῶς τὸ τῆς εὐκλείας προσγίνεται· ἀλλ᾽ αἱ τῶν πολέμων προφάσεις,

[76] ὅρμενον m. Mor.

[77] ἀποσπᾶσθαι ὑμᾶς Wolf. et m. Mor.

[78] πολεμίοις ἀνδρῶν ſine λόγοις Wolf. et m. Mor.

[79] δῆλον πεποιήκαμεν m. M.

[80] διεβάλλομεν Wolf. et m. Mor.

[81] ἐνίκησεν Wolf.

[82] ἐμπληξίας] ſic Wolf. ἐκπληξίας Mor.

[83] πολλῷ] demoſthenica dictio. ſubaudi τόκῳ. magno cum ſoenore, h. e. magno cum malo ſuo. πολλῶν Wolf. et m. Mor.

σεις, ἢ καλοὺς αὐτοὺς εἶναι δοκεῖν ποιοῦσιν,[84] ἢ μὴ τοιούτους. τῆς γὰρ αὐτῆς ἀτοπίας,[85] δειλίᾳ τε καταπροδοῦναι τὸ δίκαιον, καὶ θρασύτητι τὸν ὑπὲρ τῶν οὐ προσηκόντων ἐπισπάσασθαι κίνδυνον. εἰ μὲν οὖν μὴ παθόντες ἡμεῖς κακῶς, μηδ᾽ ἐπ᾽ ἐγκλήμασι δικαίοις κεκινημένοι,[86] μηδὲ τὰ οἰκεῖα ἐπιζητοῦντες,[87] ἀλλὰ τῶν ἀλλοτρίων ἐπιθυμοῦντες, οὕτω πολλὴν καὶ μεγάλην στρατιὰν ἐγείραντες,[88] ἢ βοῦς ἀπηλαύνομεν, ἢ παρετεμνόμεθα γῆν· ἢ τῶν ἐντὸς τείχους χρημάτων ἐζητοῦμεν τὸ μέρος, εἶθ᾽ ὑμεῖς ὑπεκύπτετε, ῥᾳδίως ἀγαπῶντες εἴ τις ἐάσειε[89] ζῆν· πάνυ ἂν ὑμῶν ἐμεμψάμεθα[90] τῆς ἄγαν ἀπραγμοσύνης·[91] εἰ δὲ τὰ μὲν ὑμέτερα βουλοίμεθα ἂν ὑμῖν ἀκέραια μένειν, αὐτοὶ δὲ ὑπὲρ ὧν ἀφῃρέθημεν, ἥκομεν, οὐχ ὁρῶμεν, ἥν τινα ὑμῖν ἕξει λαμπρότητα τοῦ πολέμου τὸ σχῆμα. οὐδὲ γὰρ εἰ σφόδρα πρόδηλον ἦν, ὡς ἡ τύχη μεθ᾽ ὑμῶν παρατάξαιτο,[92] οὐκ ἂν ἦν ὑγιαινόντων, ὑπὲρ τοιούτων κινδυνεύειν ἄθλων, ὧν τὸ μὲν διαμαρτεῖν[93] εὔδαιμον· τὸ δὲ κρατῆσαι δυστυχές. τὰ γὰρ ἀδίκως κτηθέντα, βέλτιον ἀποθέσθαι μᾶλλον, ἢ διὰ τέλους κατέχειν. καὶ οἵ γε λογίζεσθαι δυνάμενοι, μετὰ τοῦ προσθεῖναι χρημάτων πλῆθος, ἥδιστα[94] ἂν ἀπαλλαγεῖεν τοσαύτης συμφορᾶς. καίτοι ποῦ καλὸν ὑπὲρ τοιούτων ἀγωνίσασθαι[95] τοῖς σώμασιν, ἃ καὶ μηδενὸς ἀπαιτοῦντος,[96] εἶχε καλῶς ἐκβάλλειν. οὑτωσὶ δὲ σκοπῶμεν ἐν βραχεῖ. κάλλιστον εἶναι κτῆμα τὴν Ἑλένην Ἰλίῳ κρίνετε;[97] οὐκ, οἶμαί γε τοὺς σώφρονας. οὐκοῦν ἂν μὲν ἀποδῶτε τοῦτο, οὐχ ἕξετε ᾧ[98] παρόντι δυσχεραίνετε· ἂν δὲ πολε-

μεῖν

84 δοκοῦσιν m. Mor.

85 τίς αὕτη ἀτοπία Wolf.

86 κεκινημένοις Wolf.

87 τῶν οἰκείων ἀμφισβητοῦντες m. Mor.

88 ἐγείραντες] sic m. Mor. f. etiam leg. est συνεγείραντες.

89 ἐάσει Wolf.

90 ὑμῖν ἐμεμψάμην m. Mor.

91 τὴν ἄγαν ἀπραγμοσύνην. Wolf. et m. Mor.

92 παρατετάξεται Wolf. et m. Mor.

93 ἁμαρτεῖν Wolf. et m. Mor.

94 ἥκιστα Wolf. et m. Mor.

95 ἀγωνίζεσθαι Wolf.

96 ἃ καὶ εἰ μηδὲ εἶεν οἱ ἀπαιτοῦντες Wolf.

97 κτήματα ἐν Ἰλίῳ κρ. Wolf.

98 ᾧ] ὡς Wolf.

μὲν ἔλησθε, κρατηθέντες μὲν μετὰ τοῦ τὴν πόλιν ἀποβαλεῖν, οὐδὲ ἐκείνην ἕξετε. νικήσαντες δὲ, καὶ κεκινδυνευκότες ἂν εἴητε, ὑπὲρ ὧν οὐ χρῄζετε. εἰ δὲ δεῖ[99] μηδὲν ὑποστειλάμενον εἰπεῖν, τοῦτο μόνον ἁπάντων πραγμάτων πρόδηλον ἔχει[100] τὴν τελευτὴν, ὁποτέρων ἔσται τὸ κράτος. μαντείας μὲν οὖν καὶ φήμας καὶ διοσημείας[1] καὶ τὰ φοιβαθέντα[2] τὴν πρώτην συλλογὴν[3] τοῦ στρατοῦ, καὶ ὅσα τοιαῦτα, παρίημι, μή τις ἀλαζονείαν αἰτιάσηται τῶν λόγων. ἀλλὰ τίς οὐκ οἶδεν ὅτι δύο ταῦτα μάλιστα τοῖς ἀγωνιζομένοις τὴν νίκην φέρει; ἓν μὲν, τὸ τῆς στρατείας[4] ὑπερβάλλον· ἕτερον δὲ, τῶν κρειττόνων ἡ συμμαχία. πότερον οὖν ὦ Τρῶες, εἶναι νομίζετε θεοὺς[5] καὶ Δίκην καὶ Νέμεσιν,[6] καὶ περινοστεῖν[7] τὰ ἀνθρώπεια· καὶ τοὺς μὲν χρηστοὺς ἐπαινεῖν, τοῖς δὲ πονηροῖς ὀργίζεσθαι· καὶ τοῖς μὲν ἀποδιδόναι χάριν· παρὰ δὲ τῶν, εἰσπράττεσθαι δίκην; ἔστι ταῦτα, ὦ Τρῶες ἢ οὔ; ἔστιν εἴτε[8] βούλεταί τις, εἴ τε μή. τί δέ; ὡς ἂν ἐθέλωσι, ταῦτα πράττεσθαι ἀνάγκη; ἀνάγκη.[9] οὐκοῦν ἐκ τούτου δῆλον, ὅτι κἂν εἰ κομιδῇ τινας[10] εὐαριθμήτους Μενέλαος ἀγείρας[11] ἐπεστράτευσεν,[12] ἔδει τὰ τῆς νίκης εἶναι, τοῦ τὸ δίκαιον ἔχοντος σύμμαχον. τοσαύτης δὲ οὔσης τῆς παρὰ τῶν κρειττόνων ἐπικουρίας, τοσοῦτον συνεῤῥύηκε πλῆθος, ὥς τε μηδένα λόγον τῆς ἀκριβείας ἐφικνεῖσθαι. πολλοῦ γὰρ χρόνου διελθόντος, ἀφ᾽ οὗ τὴν γῆν οἱ ἄνθρωποι νέμονται, καὶ πολέμων συστάντων πολλῶν ἤδη,

99 ἴσ. δεῖ δὴ m. Mor.

100 πρόδηλον ἁπάντων ἔχει μόνον τὴν τ. καὶ ποτ. m. Mor.

1 διοσημείας] θεοῦ σημεῖα W. et m. Mor. μαντείαν Wolf.

2 φανθέντα m. Mor. lege φοιβαθέντα κατὰ τήν.

3 ἐν τῇ συλλογῇ m. Mor.

4 τῆς στρατείας] sic Wolf. τῆς deest Mor.

5 θεοὺς] πρόνοιαν Wolf. et m. Mor.

6 καὶ Νέμεσιν desunt Wolf.

7 post περινοστεῖν deesse videtur ἐπισκοποῦντας.

8 ἔστιν ἢ οὔ; εἴτε Wolf.

9 ἀνάγκη deest Wolf.

10 ὀλίγας m. Mor.

11 ἀγείρας] sic Wolf. ἐγείρας Mor.

12 ἐστράτευσεν Wolf.

ἤδη, τῶν μὲν πρὸς ὁμόρους, τῶν δὲ ἐπὶ τῆς ὑπερορίας, οὐδεὶς οὐδ᾽ ἑώρακεν οὔτ᾽ ἀκήκοεν, οὕτω πολλὴν κίνησιν τοῖς Ἕλλησι γεγενημένην. οὔτε γὰρ ναῦς, οὔτε ἵππος, οὔτε ἀνὴρ ὅπλα φέρειν δυνάμενος, οὐκ ἄρχων, οὐκ ἰδιώτης, οὐ τοξότης, οὐ ψιλὸς, ἀπολείπεται τοῦ στόλου· ἀλλὰ πάντες πανταχόθεν ἀνήχθησαν. οὕτω πολὺς ἔρως τοῖς Ἕλλησιν ἐνέπεσεν. ὑπὲρ τῶν δικαίων μάχεσθαι. καὶ τίς ἂν ἐξαριθμήσαιτο τοὺς καθ᾽ ἕκαστον; ὅπου γε καὶ τοὺς ἑκάστων βασιλεῖς, οὐκ εὐχερές. ἀλλ᾽ ἐν κεφαλαίῳ λέγω. πᾶσα μὲν ἧκεν ἡ Βοιωτία, πᾶσα δὲ ἡ Πελοπόννησος, Ἄργος Πελασγικὸν, ἡ τούτων ἐχομένη.[13] ἐπὶ τούτοις Εὔβοια, Κρήτη, Κεφαλληνία, Σαλαμὶς, Ἀθῆναι· πολλοὶ μὲν Ἠπειρῶται· πολλοὶ δὲ ἀπὸ τῶν νήσων, καὶ τῶν ἀρχόντων, οἱ μὲν ἀνδρείᾳ νικῶσιν· οἱ δὲ συνέσει κρατοῦσι· παρὰ δὲ τοῖς, ἀμφοτέρων ἡ κτῆσις· καὶ τοὺς αὐτοὺς εὕροι τις ἂν καὶ συμβουλεῦσαι δεινοὺς. καὶ πολεμῆσαι κρατίστους· οἴεσθε δέ τινα καὶ σοφὸν εἶναι παρ᾽ αὐτοῖς. εἰ δὲ βούλεταί τις καὶ πανοῦργον, ἱκανὸν τὰ μὲν ἐκ τοῦ φανεροῦ κατεργάσασθαι· τὰ δὲ, κλέψαι λαθόντα, ἀλλὰ καὶ παρ᾽ ἡμῖν, φησί, τινές εἰσιν ἄνδρες ἀγαθοί· καὶ συμμάχους οὐκ ὀλίγους κεκλήκαμεν, μεθ᾽ ὧν[14] διοίσομεν τὸν πόλεμον. ἔστι μὲν οὖν ὁ πρὸς ταῦτα λόγος, φορτικώτερος· οὔτε γὰρ ἑαυτὸν ἐπαινεῖν τινα νοῦν ἔχειν ἡγοῦμαι· τό, τε ἑτέρους κακίζειν προχείρως, μικροψυχίας ἄν τινος εἴη. δεῖ δὲ ὅμως χρήσασθαι παῤῥησίᾳ· τοὺς δὲ λόγους τῆς ἀνάγκης νομιστέον, ὡς μὲν οὖν ἰσχὺς κράτιστον ἐν πολέμῳ, καὶ ὡς εὐβουλία μεῖζον ἰσχύει χειρῶν πολλάκις, καὶ ὡς εἰ καὶ χειρῶν μάλιστα δεῖται πόλεμος, ταῦτα πάντα παρ᾽ ἡμῖν μετὰ[15] πολλοῦ τοῦ κρείττονος, ἐάσω. ἀλλ᾽ ἐκεῖνο ἂν ἐροίμην ἡδέως ὑμᾶς, πότερον νοῦν ἔχοντας κεκλήκατε συμμάχους, ἢ οὔ; εἰ μὲν οὖν ἐμπλήκτους[16] καὶ τετυφωμένους, εὐχῆς ἂν εἴη τοῖς τοιούτοις προσπολεμεῖν. εἰ δὲ σώφρονας καὶ λογίζεσθαι δυναμένους, πῶς ὑπα-

[13] οἱ τούτων ἐχόμενοι m. M. τούτων ἐχομένων Wolf.

[14] ἡμῶν m. Mor.

[15] κατὰ Wolf.

[16] ἀποπλήκτους m. Mor.

ὑπακούσονται καλούντων. εἰδότες ὡς ὑπὲρ τῶν ἀδίκων μαχοῦνται, καὶ ὅπως[17] κύρια ταῦτα καταστήσωσιν, ἄν, εἴπερ εὐφρονοῦσι,[18] κατηγοροῦσι. δύο γὰρ ἅπαντας ἀνθρώπους ἐπὶ τοὺς πολέμους παρακαλεῖν πέφυκεν· ἢ τὸ προειδέναι τὴν ῥοπὴν ἐφ᾽ ἑαυτοῖς[19] ἥξουσαν, ἢ τὸ τὴν ὑπόθεσιν εἶναι τῶν κινδύνων, θαυμαστήν. καὶ νῦν μὲν τὸ[20] κέρδος διώκοντες· νῦν δὲ τὴν φιλοτιμίαν θηρεύοντες, ἀξιόχρεων πρόφασιν ὑποκεῖσθαι τῷ πολέμῳ νομίζουσι. τούτων δὲ οὐδέτερον ὁ παρὼν πόλεμος τοῖς γε μεθ᾽ ὑμῶν ἐσομένοις προδείκνυσιν. ὥστε ἢ τὴν ἀρχὴν οὐχ ὑπακούσονται νοῦν ἔχοντες, ἢ τῇ παρουσίᾳ, τὴν ἄνοιαν[21] ἐπιδείξουσι. χωρὶς δὲ τούτων ἡμεῖς μὲν ἀθρόοι συντεταγμένοι κατήραμεν,[22] καὶ τοῖς βασιλεῦσι[23] τὰ τῶν συμμάχων, οὐκ ἐν ἐλπίσιν ἐστίν. ἀλλὰ τοσούτους ἦλθον ἄγοντες, ὥστε εἰ Τροίας μόνης ἀποπειρᾶσθαι δεήσειε, πολλοὺς[24] ἂν οὐκ ἔχειν εἰς ὅτι χρήσαιντο σφίσιν αὐτοῖς μικροτέρου τοῦ ἔργου καθεστῶτος τῆς τῶν ἐπελθόντων χειρός. ὑμῖν δὲ εἰ[25] τινες ἄρα καὶ βοηθεῖεν,[26] οἱ μὲν θᾶττον[27] ἴσως,[28] οἱ δὲ σχολαιότερον ἥξουσιν· ὅσον ἕτερος ἑτέρου κατὰ τὸν τόπον ἀφέστηκε, τοσοῦτον ὑστερίζων κατὰ τὸν χρόνον. ἂν οὖν ὑμεῖς μὲν ἀντιτείνητε πρὸς τὴν πρεσβείαν· οἱ δὲ βοηθήσοντες ὑμῖν μελλήσωσι[29] τοῖς Ἕλλησι δὲ λοιπὸν ᾖ τὰ ὅπλα προσαγαγεῖν.[30] ἆρα οὐ κατόπιν, εἰ καὶ δυσχερὲς εἰπεῖν, τῶν πραγμάτων παρέσονται, καὶ τοῦ καιροῦ τῆς ὠφελείας παρελθόντος, ἐπὶ τὴν τῶν συμφο-

ρῶν

17 ὅπερ m. Mor.

18 Φρονοῦσι Wolf.

19 praefero lect. m. Mor. τῆς νίκης, ἑαυτὰς, tametsi vulgata etiam in Wolf. legitur.

20 τοῦτο m. Mor.

21 ἄγνοιαν et paulo post ἀθρόως m. Mor.

22 κατήρκαμεν Wolf.

23 βασιλεύουσι m. Mor.

24 post πολλὰς delevi δ᾽ quod deest Wolf.

25 εἰ] οἱ Wolf.

26 βοηθεῖν ἐθέλωσιν m. Mor.

27 οἱ μὲν θᾶττον] sic m. M. οἱ μὲν deest r. Mor.

28 ἴσως] sic Wolf. ἴσος Mor. ἴσθι m. Mor.

29 μελλήσουσι Wolf.

30 πρὸς ἁρπαγὴν Wolf. et m. Mor. sed m. Mor. etiam dat προσάγειν.

ρῶν ἀφίξονται θέαν; οὐ γὰρ δὴ ταύτην παρ᾽ ἡμῶν ἐπαγγέλλεσθε[31] τὴν χάριν. οὐδέ γε πέμψαντες κήρυκας ἐκεῖνα ἐρεῖτε; ὅτι, ὦ βέλτιστοι, τί ἐπείγεσθε;[32] ἀναμείνατε Λυκίους ἡμῖν καὶ Παίονας ἐλθεῖν, ὥστε καὶ ἡμᾶς ἔχειν μεθ᾽ ὅσων παραταξόμεθα, ἀλλὰ πάντα ἀφίημι ταῦτα. καὶ θῶμεν ἢ πάντας ἤδη παρεῖναι τοὺς ἐπικούρους ὑμῖν, ἢ καθεδεῖσθαι[33] τοὺς Ἕλληνας, ἀργοῦντας, ἕως ἂν εὐπορήσωσιν ἀντιπάλων· ἥξουσι πολλοὶ πολλαχόθεν συνδιασώσοντες Ἴλιον. οὐκοῦν τὸ μὲν πλῆθος ἴσον ἀμφοῖν εἰ δοκεῖ, λογιζώμεθα. τὰς δ᾽ ἀρετὰς παραλλήλους θέντες, ἐξετάσωμεν. εἰ δὲ ὑπερβολῇ προσήκει κεχρῆσθαι, δεδόσθω μήτ᾽ Ἀχιλλέως, μήτ᾽ Αἴαντος ἑκατέρου, μήτε Διομήδους, μήτ᾽ Ἰδομενέως, μήτε Τεύκρου μὴ Σθενέλου. μὴ[34] Μενεσθέως· ἐμαυτὸν γὰρ καὶ τοὺς βασιλεῖς ἀφήσω, καὶ πολλοὺς[35] ἄλλους καλοὺς κἀγαθοὺς στρατηγούς· δεδόσθω νῦν μηδένας εἶναι τούτων φαυλοτέρους ἐκείνους οἷς φατὲ πιστεύειν εἰς τὴν νίκην. ταῦτα κοινὰ θέντες,[36] τὴν ἀνάγκην σκεψώμεθα, μεθ᾽ ἧς ἑκάτεροι τῶν ἔργων ἀψώμεθα[37]. οὐκοῦν ἐκείνους μὲν, ἐγείρει[38] παράκλησις καὶ δέησις, καὶ τὸ βούλεσθαι Πριάμῳ χαρίζεσθαι· ἡμῖν δὲ τὸ μὲν βούλεσθαι χαρίζεσθαι τοῖς Ἀτρείδαις, κοινὸν πρὸς ἐκείνους ἐστί. πρόσεστι δέ γε καὶ τὸ τῶν ὑπηκόων δίκαιον. ἐκείνοις μὲν γὰρ ἔξεστιν ὅσον βούλονται χαρισαμένοις, μηκέτι τοῦ λοιποῦ πρὸς ἀνάγκην, ταλαιπωρεῖσθαι. ὥστε καὶ τῆς ἐπικουρίας καὶ τῆς ἀναχωρήσεως ὅρος αὐτοῖς ἡ γνώμη· ἡμῖν δὲ ἡ προαίρεσις οὐχ ἕξει μεταβολήν· βεβαιοῦται γὰρ τῇ τῶν βασιλέων ἀνάγκῃ. τὸ δέ γε ἔτι τούτου μεῖζον· πολὺ[39] γὰρ βελτίοσι τῶν Ἀτρειδῶν βασιλεῦσι καὶ ἰσχυροτέροις[40] ὁμολογίας[41] δεδώκαμεν, ἢ μὴν

[31] ἀπαγγελεῖτε m. Mor.

[32] ἐπάγεσθε Wolf. et m. M.

[33] καθελεῖτε Wolf.

[34] μήτε m. Mor.

[35] καὶ πολλοὺς καὶ Wolf.

[36] κοινὰ θέντες] sic m. Mor. κινηθέντες t. Mor.

[37] ἀψόμεθα] sic Wolf. ἀψώμεθα Mor.

[38] ἐγείρει] ἄγει Wolf.

[39] πολλὴν Wolf.

[40] Ἀτρ. ἰσχυροτέρας δεδώκαμεν βασιλεῦσιν ἡμᾶς ἐκ. πολ. τὰς ἀδικοῦντας τὸν Ἑλένῃ συνοικοῦντα m. Mor.

[41] ὁμολογίαν W.

μὴν ἐκπολιορκήσειν τοὺς ἀδίκως τῇ Ἑλένῃ συνοικοῦντας. καὶ οὐδ' ἂν εἰ σφόδρα βουλοίμεθα προκαταλῦσαι τὴν προθυμίαν, ἡμῖν[42] ἀκίνδυνον. τί δὲ τοῦτό ἐστιν; ἔτι νέας οὔσης τῆς Ἑλένης κομιδῇ ἀνεῖπεν ὁ θεὸς ἔσεσθαί τινα περὶ τὸ γύναιον ταραχήν. ὡς οὖν πολλοὶ πολλαχόθεν οἱ κράτιστοι συνῆλθον μνηστεύοντες, ἔδοξεν[43] ἀδήλου τοῦ μέλλοντος ὄντος, πίστιν ποιήσασθαι καὶ ὅρκους ἰσχυρούς, ἦ μὴν ἀποτυγχάνοντας,[44] βοηθήσειν τῷ ληψομένῳ κατὰ τῶν ἀδικούντων. ᾤετο γὰρ ἕκαστος ἐν μετεώρῳ[45] τοῦ πράγματος ὄντος, αὐτῷ ταύτην ἀποτίθεσθαι τὴν ὠφέλειαν. καὶ νῦν ἡμᾶς ἐπὶ τὴν στρατείαν ἤγειρεν ὁ Ζεύς, ὁ Ἀπόλλων, καὶ πάντες οἱ θεοί· καὶ λιπεῖν τὴν τάξιν, οὐκ ἔνεστιν·[46] εἰ μή τις μέλλοι τὰς τῶν βαρβάρων χεῖρας φεύγων, περιπεσεῖσθαι ταῖς τῶν θεῶν, καὶ τὰ ὅπλα δεδιώς, πολεμήσειν τοῖς κρείττοσι. ἆρα ὑμῖν δοκεῖ Πρίαμος παραπλησίους[47] στρατιώτας συλλέγειν, καὶ τὴν αὐτὴν ἔχοντας τοῦ μέχρι παντὸς κινδυνεύειν ἀνάγκην; οὐ γὰρ ἔνδηλον[48] ὅτι κἂν τὸ τυχὸν ἀντικρούσῃ, ταχέως μεμνήσονται τῆς οἰκείας·[49] οὐδενὸς ὄντος, ὃ φοβερωτέραν ποιήσει τὴν ἀναχώρησιν, τῆς μονῆς· ἀλλ' οὐ τά γε ἡμέτερα ταῦτα·[50] ἀλλὰ τὸ μένοντας ἀποθνήσκειν μετριώτερον φαίνεται, τοῦ μετ' ἐπιορκίας σώζεσθαι. φέρε δὴ καὶ τὰ λοιπὰ σκοπήσωμεν· καὶ ὅπως εἰς ἄνισον πόλεμον. τὸν πρὸς ἡμᾶς ἑαυτοὺς ἐμβαλεῖν[51] ἐπιθυμεῖτε, ὑπ' ὄψιν[52] ἀγάγωμεν.[53] οὐκοῦν ἡμῖν μὲν παῖδες, καὶ γυναῖκες, καὶ τὰ ἄλλα ἀγαθὰ πόῤῥω που τυγχάνει κείμενα ἐπὶ τῆς Ἑλλάδος, ἐν σκέπῃ τοῦ πολέμου, κἂν (ὃ μὴ γένοιτο) σφαλῆναι συμ-

[42] ἡμῶν m. Mor.

[43] post ἔδοξεν addit Wolf. ἔτι. ἔδειξεν ἔτι m. Mor.

[44] τοὺς ἀποτυγχ. Wolf.

[45] ἔτι μετεώρου m. Mor.

[46] ἔστιν Wolf.

[47] Πριάμῳ παραπλησίως m. Mor.

[48] ἄδηλον Wolf. καὶ γὰρ εὔδηλον m. Mor.

[49] οἰκίας Wolf.

[50] τοιαῦτα Wolf. et m. Mor.

[51] πόλεμον ὑμᾶς αὐτοὺς ἐμβ. Wolf. et m. Mor.

[52] ὑπ' ὄψιν desunt Wolf. et m. Mor.

[53] ἀγάγωμεν deest Wolf. ἐξηγάγωμεν m. Mor.

συμβαίη,[54] τῆς χείρονος οὐ μεθέξουσι τύχης· ἀλλ᾽ ἐν τοῖς ἡμετέροις σώμασιν ὁ κίνδυνος ἵσταται. εἰ δὲ ὑμεῖς τί πταίσετε,[55] τοῖς ὅλοις ἐπταικότες ἂν εἴητε· καὶ δεῖ συνυποκεῖσθαι τοῖς ἀποβαίνουσι, τὸ τῆς πόλεως ἔδαφος· καί τοι τίς οὕτω σφόδρα μεγαλόψυχος; ὅστις ἂν ὑπὲρ οὕτως ἀνομοίων ἄθλων ἀναῤῥίψειε τὸν κῦβον· μέλλων, εἰ μὲν κρατήσειεν, οὐδὲ μικρὸν κερδανεῖν[56] εἰ δὲ σφαλείη, τοῦ παντὸς στερήσεσθαι. ἔτι τοίνυν τὴν μὲν ἡμετέραν χώραν, οὐδείς ἐστιν ὁ ποιήσων κακῶς· ἡ δὲ ὑμετέρα, στρατόπεδον ἡμῖν γίγνεται· καὶ τὴν τροφὴν πορίουμεν, ἀπὸ τῶν ὑμετέρων καρπῶν[57] καὶ βοσκημάτων· καὶ διχῇ δεήσει δαπανᾶσθαι τὸ Ἴλιον, τῶν μὲν συμμάχων αἰτούντων, τῶν δὲ πολεμίων ἁρπαζόντων· καὶ τῶν μὲν, οἰκειότητος ὀνόματι λαμβανόντων· τῶν δὲ, πολέμου νόμῳ ληϊζομένων. καὶ μὴν οὐδὲ ἐκεῖνο παραπλήσιον. εἰ μὲν γὰρ μεθ᾽ ὑμῶν τὸ δαιμόνιον γένοιτο, καὶ τὰ πράγματα ἡμῖν, εἰς[58] ἔσχατον προβαίη κακοῦ, πρόχειρον καθελκύσασι τὰς ναῦς, ἔξω γενέσθαι τῶν δεινῶν· καὶ πρὸς βραχὺ τῷ καιρῷ παραχωρήσαντας, αὖθις ἐπιπλεῖν, ἡνίκα βέλτιον· εἰ δ᾽ ἐφ᾽ ὑμῶν τὸ αὐτὸ[59] συμβαίνῃ[60] τίς ἡμῖν ἔσται πόρος; τίς μηχανὴ τῆς ἀκαιρίας ἰσχυροτέρα; οὐ γὰρ δὴ τὴν πόλιν γε μεθορμιεῖτε πρὸς τὸ ἀσφαλές. ἀλλ᾽ ἐγὼ μὲν εἰπεῖν οὐ βούλομαι· τοῦ δὲ πράγματος ἡ τελευτὴ καταφαίνεται. οἱ μὲν λογισμοὶ, ταῦτα καὶ πολλὰ τοιαῦτα παριστῶσιν, ὦ Τρῶες. ἔστι δ᾽ ἐφ᾽ ἡμῖν ὁποτέραν βούλεσθαι[61] τραπέσθαι. βέλτιον δὲ ἐκείνην, ἀφ᾽ ἧς ὕστερον ὑμᾶς αὐτοὺς ἐπαινέσεσθε. καὶ γὰρ ἐρῶ, εἰ καὶ φορτικώτερον ἀκοῦσαι, εἰ μὲν ἅπαντες συνῳκεῖτε[62] τῇ ἀνθρώπω,

[54] συμβῇ m. Mor.

[55] ὑμ. πταίσητε m. Mor. malim πτήσαιτε.

[56] κερδαίνειν m. Mor.

[57] καλῶν m. Mor. et Wolf.

[58] recte abest τὸ post εἰς a Wolf. quod deleui. nam alias eo seruato, leg. quoque sit τοῦ κακοῦ cum articulo.

[59] εἰ δ᾽ ἐφ᾽ ὑμῶν τὸ αὐτὸ] sic m. Mor. εἰ δ᾽ ἐφ᾽ ἡμῶν τι αὐτὸ t. Mor.

[60] συμβαίνῃ] sic dedi. συμβαίνει Mor.

[61] βούλεσθαι etiam in Wolf. est, veruntamen leg. βούλεσθε.

[62] haec verba sic dat Wolf. καὶ γὰρ εἰ μὲν ἅπαντες (ἐρῶ γάρ, εἰ καὶ φορτικώτερον ἀκοῦσαι) συνῳκεῖτε.

πῳ, τάχ᾽ ἂν εἶχε συγγνώμην, κοινὴν ἡδονὴν ὠνήσασθαι κινδύνου.[63] εἰ δὲ τοῦτο οὐκ ἔνεστιν, οὐδ᾽ ἂν γένοιτό ποτε, τίς ἡ πολλὴ πρόνοια τῆς Ἀλεξάνδρου τρυφῆς; ὅτι νὴ Δία κρατεῖ, τοῖς δὲ κρατοῦσιν ὑπουργεῖν ἄξιον· κἂν παρανομῶσιν, ὦ Τρῶες, κἂν ἀποσφάττωσι τοὺς ἀρχομένους, κἂν παῖδας, κἂν[64] γυναῖκας ἄνδρα πεδίζωνται, κἂν πυρπολῶσι τὴν πόλιν; ταῦτα τοίνυν Ἀλέξανδρος ἐπενήνοχεν Ἰλίῳ· ὁ γὰρ τὴν ἀνάγκην παρεσχηκὼς τοῦ ταῦτα ποιεῖν ἑτέροις,[65] οὗτος ἂν αὐτόχειρ[66] νομίζοιτο τούτων, ὧν καθέστηκεν αἴτιος. εἶτα βασιλέα προσερεῖ τις εὖ φρονῶν, τὸν οὐ καταλιπόντα ὧν βασιλεύσειε. οὐκ οἶσθ᾽ ὅτι τὸ τῆς ἀρχῆς ὄνομα τοῦ κρείττονός ἐστι; καὶ τοῦτο ἐστὶ βασιλεύς, εἰ μὴ τὴν προσηγορίαν ἀρνοῖτο[67] τοῖς ἔργοις, εὐδαιμονίας πρύτανις, δικαιοσύνης κανών, τῶν ἀρίστων παράδειγμα; ὁ δὲ χείρω τῶν ὑπηκόων παρέχων ἑαυτόν, εἰκότως ἂν ἀφεὶς τὴν βασιλείαν, εἰς τοὺς ἀρχομένους τάττοιτο.[68] οὐ καλῶ κυβερνήτην ἐγὼ τὸν καταδύοντα τὸ σκάφος, οὗ τοὺς οἴακας ἐπιστεύθη· οὐδὲ τὸν ἐν οἷς ἐπιτηδεύει δεικνύντα τοῖς ναύταις, ὡς ἀμελητέον εἴη τοῦ πλοίου. οὐ δέ γε τόν, ἃ μηδεὶς τῶν[69] ναυτῶν πλημμελεῖ, περὶ ταῦθ᾽ ἑκόντα πονηρὸν ὄντα. Ἀλέξανδρος τοίνυν ἄρχειν ἀξιῶν, τῶν ἄλλων Τρώων, ἃ μηδεὶς τῶν ἀρχομένων ἐτόλμησε, ταῦτα ἑαυτῷ προσήκειν ἡγήσατο. ἔοικα δὲ τηνάλλως μακρολογεῖν, ἕτοιμον ὂν ἐπιστομίσαι τὸν ταῦτα προφασιζόμενον. νῦν γὰρ οὔτ᾽ Ἀλέξανδρος, οὔθ᾽ Ἕλενος, οὔτε Δηΐφοβος, οὔτ᾽ ἄλλος οὐδεὶς τῶν Πριάμου παίδων κρατεῖ τῶν ὑμετέρων πραγμάτων, ἀλλὰ Πρίαμος αὐτός. καὶ τοῦτο οὐκ ἀκοῇ μόνῃ[70] ἐστὶν εἰδέναι, ἀλλὰ καὶ τοῖς ὁρωμένοις δῆλον καθίσταται· καὶ χωρὶς τούτων, τοῖς ἁπανταχοῦ[71] γενο-

[63] ὠνῆσθαι κοινοῖς κινδύνοις m. Mor.

[64] κἂν παῖδας κἂν] sic Wolf. καὶ παῖδας καὶ Mor.

[65] ἑτέρας m. Mor.

[66] post αὐτόχειρ deleui secund. ἂν, quod deest Wolf.

[67] ἀρνεῖται Wolf.

[68] πράττοιτο Wolf.

[69] τῶν ἀρμένων m. Mor.

[70] μόνον m. Mor.

[71] ἁπάντων Wolf.

νενομισμένοις. ταῦτα δέ ἐστι τί; τοὺς παῖδας τοῦ βασιλέως περιόντος μὲν αὐτοῖς τοῦ πατρὸς, ἰδιωτεύειν· ἀπελθόντος δὲ, εἰς τὴν ἐκείνου τάξιν παριέναι τὸν πρεσβύτατον. ἄλλως τε εἰ καὶ δεινὸς εἴη χρήσασθαι πράγμασιν· ἅπερ ἀμφότερα, τὸ σκῆπτρον εἰς Ἕκτορα περιάξειν ἔοικε. τοσοῦτον ἀπέχει τοῦ νῦν Ἀλέξανδρον βασιλεύειν,[72] ὥστε οὐδὲ ἐν ἐλπίσιν ἐστὶ τοῦ πράγματος. εἴγε[73] ζῶντος μὲν καὶ ὄντος Πριάμου, οὐδεὶς εἰς τοῦτο[74] τῶν ἐκείνου παίδων κληθήσεται. τελευτήσαντος δὲ, Ἕκτωρ γίνεται τῆς ἀρχῆς τοῦ πατρὸς κληρονόμος. οἶδα δὲ ὡς εἰ καὶ Πρίαμος οἷάπερ[75] Ἀλέξανδρος ἠσέλγαινεν (ἠσέλγαινε δὲ ἐπ' ὀλέθρῳ τῆς πόλεως) οὐκ ἂν ἠνέχεσθε τῆς ἀκολασίας ἐκείνου[76] τὴν δίκην αὐτοὶ διδόντες. ἀλλ' εἴχετ'[77] ἂν εἰπεῖν πρὸς αὐτὸν μέτριά τε καὶ δίκαια, καὶ αὐτῷ πεισθῆναι συμφέροντα· ὦ βασιλεῦ, ἡμεῖς μὲν ἑαυτοὺς ἐνεδώκαμέν σοι, καὶ τῶν ὅλων[78] προὐβαλόμεθα[79] πραγμάτων, οὐκ ἐπὶ τῷ[80] κακῶς ὑπὸ σοῦ παθεῖν· ἀλλ' ἐπὶ τῷ, κἄν εἴ τις ἕτερος τολμήσῃ, σὲ διακωλύειν· οὐδ' ἵνα πρὸς ἡδυπάθειαν ἀποχρέῃ τῇ βασιλείᾳ, ἀλλὰ τὴν ὑπάρχουσαν εὐδαιμονίαν ἐπιτείνῃς τῇ προνοίᾳ· σὺ δὲ οὐκ εἰς καλὸν ἔοικας ἀπολαύειν τῶν δοθέντων σοι· οὐδὲ τὰς ἐλπίδας ἡμῖν βεβαιοῦν· ἀλλ' ἃ μηδεὶς ἂν ἤλπισε, τούτοις ἐπιχειρεῖν. καὶ δύο τὰ χείριστα ἐργάζεσθαι· σαυτὸν μὲν γὰρ πονηρότατον ἀποφαίνεις· δι' ὧν δὲ αὐτὸς ἀδικεῖς, τούτοις ἡμᾶς ἀπολλύεις. ταῦτα καὶ ὑμᾶς ἂν εἰπεῖν οἶμαι, καὶ Πρίαμον αἰσχυνθῆναι, καὶ δευτέραν ποιήσασθαι τὴν ἑαυτοῦ[81] ῥαστώνην τῆς τῶν ἄλλων σωτηρίας. μὴ τοίνυν ἃ τὸν βασιλέα τολμῶντα ποιεῖν ἐκωλύετ' ἄν, ταῦτα τοῖς οὔπω τοσ-

[72] ἄρχειν m. Mor.

[73] εἴγε] ὥστε Wolf. et m. Mor.

[74] εἰς τοῦτο desunt Wolf.

[75] οἷάπερ] sic Wolf. οἷα ἅπερ Mor.

[76] ἐκείνης m. Mor.

[77] αὐτὴν διδόντες· ἀλλ' ἔχετ' Wolf.

[78] post ὅλων videtur σε addendum esse.

[79] προὐβαλόμεθα Wolf.

[80] τῷ] τὸ Wolf. et sic etiam paulo post.

[81] ἑαυτοῦ] sic Wolf. et m. Mor. ἑαυτὴν Mor.

τοσοῦτον ἰσχύουσιν ἐπιτρέψητε. μηδὲ εἰς τοσοῦτον συγχέητε τὰ πράγματα, ὥστε βασιλέα γε νομίζειν, τὸν οὐκ ἔχοντα τὴν ἀρχὴν, καὶ πλείω τούτῳ παρέχειν ἐξουσίαν, ἢ παρ' οἷς ἐστι τὸ κρατεῖν. οἶμαι τοίνυν ἐρεῖν τινὰς, ὡς ἑκοῦσα συνηκολούθησεν ἡ γυνή· καὶ οὔτ' Ἀλέξανδρος οὐδὲν ἀδικεῖ, Μενέλεως τε πραγματωδέστερός ἐστι[82] τοῦ προσήκοντος, τὴν ἀποφυγοῦσαν[83] ἀγαπῶν. ἔστι δὲ πρόχειρον μὲν εἰπεῖν, ὡς Ἀλέξανδρος μὲν[84] ἀδικεῖ, τὴν οὐ βουλομένην ἀκολουθεῖν ἁρπάσας. Μενέλεως δὲ τὰ προσήκοντα ποιεῖ, τὴν ἄκουσαν ἀπελθοῦσαν, ἀξιῶν ἔχειν· ἀλλ' ἵνα μὴ ἀπέραντος ὁ λόγος εἴη, δεδόσθω βεβουλημένην[85] ἀκολουθῆσαι· οὐκ οὖν ἐξαπατήσαντος Ἀλεξάνδρου τοῦτ' ἐποίησεν· οὐ γὰρ πρότερόν γε οὐδὲν τοιοῦτον εἰργασμένη φαίνεται. ἔστιν οὖν Ἀλεξάνδρου καὶ τοῦτο[86] ἀδίκημα δεινόν. καὶ πολύ γε δεινότερον, τὸ πεῖσαι γενέσθαι φαύλην, τοῦ πρὸς ἀνάγκην καταισχῦναι· ἡ μὲν γὰρ βιασθεῖσα, τὸ μὲν σῶμα ὕβρισται· τὴν δὲ γνώμην οὐ διέφθαρται· καὶ προσέτι μισεῖ τὸν τὴν ἀνάγκην ἐπενεγκότα. ἡ δὲ πεισθεῖσα, θαυμάζειν ἃ φεύγειν ἄξιον, συνυπείληπται[87] τῶν ἀδικημάτων. καὶ γέγονε πονηρίας κοινωνός. καὶ[88] οὐδ' ἂν ἐπανόρθωσις εἴη τῷ πράγματι, διεφθαρμένου τοῦ τρόπου. οὕτω κατ' ἀμφότερα Ἀλέξανδρος ἄδικος·[89] καὶ ἐν θατέρῳ πονηρότερος δείκνυται. ὑπερβολῇ δ' ἔγωγε χρήσομαι. οὐ παρεκρούσατο τὸ γύναιον Ἀλέξανδρος. ἀλλ' ἐκείνη μὴ βουλόμενον ἠνώχληκε. καλῶς ἔδει τοίνυν ἐπισχεῖν ἁμαρτάνουσαν, ἀλλ' οὐ συλλαβεῖν ἀδικούσῃ.[90] καὶ ταύτην ἀντιδοῦναι τῷ ξενίσαντι τὴν χάριν, τὸ μὴ συμπράττειν εἰς ἃ μὴ προσῆκε τῇ γυναικί· οὐ γὰρ ἡ κοινωνία τῶν ἀδικημάτων ἐν τοῖς τοιούτοις ἐξαιρεῖται τὸν μετασχόντα τῆς μέμψεως· ἀλλ' εἰς ταυτὸν τίθησι, τῷ παρακεκληκότι, τὸν ὑπακούσαντα. καὶ τοσοῦτον

[82] ἔσεσθαι m. Mor.
[83] ἀποφεύγουσαν m. Mor.
[84] οὐδὲν ἀδ. m. Mor.
[85] βουλομένην m. Mor.
[86] τοῦτο] τὸ Wolf.
[87] συνυπειλῆπθαι] sic Wolf. συνεπείλειπται Mor.
[88] καὶ] ἀλλ' m. Mor.
[89] ἀδικῶν m. Mor.
[90] ἀδίκως Wolf.

ἔτον αὐτῷ νέμει[91] τῶν αἰτιῶν,[92] ὅσον καὶ τῶν ἔργων μέτεστιν. ὁ τοίνυν λόγος ὁ τοιῦτος ἐ τὸν μὲν[93] ποιεῖ καθαρὸν ἐγκλημάτων· τὴν δὲ ἐ[94] ἀλλ᾽ ἐκείνη συνδιαβάλλει. οὐδὲ Ἀλέξανδρος μετριώτερος, εἰ καὶ τὸ γύναιον ἐν αἰτίᾳ· ἀλλὰ μὴν πρός γε τὸν φάσκοντα θαυμάζειν εἰ μὴ αἰσχύνοιτο Μενέλεως, Ἑλένην ἀπολαμβάνειν ἐπιχειρῶν, ἐκεῖνο λέγω· ἡμῖν ὦ Τρῶες, μελήσει τῆς ἡμετέρας αὐτῶν δόξης· ὑμῖν δὲ τῆς ὑμετέρας αὐτῶν[95] φροντιστέον· θαυμάζω δὲ, εἰ τὸ μὲν ἡμῖν τὰ οἰκεῖα κομίζεσθαι ζητεῖν αἰσχρόν· ὑμῖν δὲ τὸ τῶν οὐ προσηκόντων ἀμφισβητεῖν, καλόν. καὶ Μενέλεως μὲν Ἑλένῃ συνοικῶν, γέλωτα καὶ χλευασμὸν οἴσει· Ἀλέξανδρος δὲ κρείττων ἐσαι κατηγορίας, πάντα ἐκείνην ἡγούμενος. πάντων δὲ ἀτοπώτατον, ἣν ἑκοῦσαν φατὲ[96] τοῖς χειρίσοις ἐπιδραμεῖν, ὑπὲρ ταύτης ἀποθνήσκειν ἐπιθυμεῖν. τίς δ᾽ ἂν εἰδείη τί ποτε χρήσεται[97] τῇ γυναικί; εἴτ᾽ ἐπὶ τῇ τιμωρίᾳ, λαβεῖν βούλεται, εἴτ᾽ ἀποσφάξαι· εἴτε καταποντίσαι· εἴτε συνειδὼς αὐτῇ παρὰ γνώμην ἡρπασμένῃ,[98] τῦ πεποιηκότος, ἀλλ᾽ οὐ τῆς παθούσης, τἀδίκημα κρινεῖ.[99] τί ἂν τις περιεργάζοιτο ταῦτα, περὶ ὧν ἀφεῖναι δεῖ δοκιμάζειν τὸν κύριον. ἤδη τοίνυν τινὸς ἤκουσα τὸν Ἀλέξανδρον ἐπαινοῦντος, ὅ, τι βούλοιτο γυναικὶ συνοικεῖν, καὶ γένει καὶ κάλλει διαφερούσῃ. τῦτο δὲ, κατηγορία μεγίση τῶν ἁπασῶν ἐσίν. εἰ γὰρ σεμνόν τι τῦτο, καὶ πολλῆς εὐδαιμονίας γέμον· καὶ ζηλωτὸν δεῖ κεκρίσθαι τὸν Ἑλένῃ συνοικοῦντα, μεγίσων ἀγαθῶν δήπουθεν ὁ Μενέλεως ἐσέρηται· καὶ ὧν παρόντων εὐδαίμων ἦν, τούτων ἀπόντων ἠδίκηται. ὥστε ὁ τῦτο λέγων, ἡμῖν μὲν εὔλογον τὴν σρατείαν ἀποφαίνει· τὴν δ᾽ ἀπολογίαν Ἀλεξάνδρου, παραιτεῖται.[100] εἰ μὲν γὰρ οὐδενὸς ἄξιον Ἑλένη, τὸ κινδυνεύειν ὑπὲρ ταύτης εὔηθες·

εἰ

[91] νέμοι Wolf.
[92] αἰτίον m. Mor.
[93] τὸν μὲν] τῦτον Wolf.
[94] τὴν δὲ ἐ desunt Wolf.
[95] ὑμῶν αὐτῶν m. Mor.
[96] φῆτε Wolf.

[97] χρήσεται] sic Wolf. χρήσηται Mor.
[98] αὐτὴν — ἡρπασμένην W.
[99] κρίνει Wolf. κρίνοι m. M.
[100] f. παραιρεῖται, adimit, eripit. atque Morellus quoque

suis

εἰ δὲ πλείστου καὶ τοῦ παντὸς, μεθ' ὑπερβολῆς ἠδικήκατε· ὥστε ἢ μικρὸν τὸ πρᾶγμα νομίζοντες, οὐ καθέξετε,[1] ἢ μέγιστον κρίναντες, ἀποδώσετε. τὸ μὲν γὰρ[2] ἀνόητον· τὸ δὲ ἄδικον. εἰ γὰρ οὗτος ἑκάστῳ παραστάιη λογισμὸς, καὶ τὰς τῶν πλησίον[3] γυναῖκας σκεψόμεθα[4] καὶ τὰς ἀρίστας, ἡμῶν αὐτῶν εἶναι μᾶλλον, ἢ τῶν ἐχόντων βουλησόμεθα. ὁρᾶτε, ὦ Τρῶες, μὴ καὶ πρὸς ἀλλήλους τοῦτο πάθητε· καὶ τὸ νόσημα πάσας ἐπέλθοι τὰς πόλεις· καὶ πονηρὸν ἔθος[5] παρ' ἡμῶν ὁρμηθῇ.[6] θαυμάζεις τὴν παῖδα τοῦ Διός; ἀλλ' οὔ σοι δίδωσιν αὐτὴν ἡ τύχη· ἀλλ' ἐξ ἁπάντων, κηδεστὴν ποιεῖται[7] Μενέλεων· τοῦτέστιν ὁ κλῆρος· ἡ γνώμη τοῦ Διὸς τοῦτον αἱρεῖται· τούτῳ τὸ θυγάτριον ἐγγυᾷ. πάντων δὲ σχετλιώτατον,[8] ὅτι[9] εἰ οἱ μὲν ἐν Πελοποννήσῳ κατοικοῦντες, καὶ ἅπαντες ἁπλῶς οἱ τότε μνηστεύσαντες, ἔστερξαν τῇ τύχῃ καὶ τοῦ δικαίου, τὴν αὐτῶν ἰσχὺν οὐκ ἠξίωσαν προθεῖναι· ὁ δὲ μηδὲ μνηστεύειν τολμήσας, πλέον ἔχει τοῦ λαχόντος. ἀλλ' ἵνα μὴ διατρίβωμεν[10] ἐν λόγοις τὸν χρόνον· μηδὲ στρατόπεδον[11] τοιοῦτον ἐν ἀργίᾳ[12] καθέζηται, πράξεως ἐπιθυμοῦν, τοσοῦτον εἰπὼν ὑμῶν ἀπαλλάξομαι· κατέχοντες μὲν Ἑλένην, πολεμηθήσεσθε· διδόντων δὲ ὑμῶν αὐτὴν, καὶ δίκας ἀνεξόμεθα. καὶ νῦν ἐφ' ὑμῖν ἐστὶν ἢ ζῆν ἀδεῶς, ἢ κινδυνεύειν.[13]

δότε

ſuis in codd. idem inueniſſe videtur, et exhibere in marg. ſuae edit. voluiſſe cenſendus eſt. tametſi operae interceſſerunt, annotationem eius corrumpentes.

1 καθέξετε] ſic Wolf. a κατέχειν. καθέζετε Mor.

2 obſcure et mutilate ſententiam extulit, ſi ſic extulit, quae ſic erat efferenda: τὸ μὲν γὰρ κατέχειν μικρὸν πρᾶγμα νομίζοντα, ἀνόητον, τὸ δὲ μέγιστον κρίναντα οὐκ ἀποδιδόναι οἷς προσήκει, ἄδικον.

3 πλησίον] ſic Wolf. πλησίων Mor.

4 malim aut σκεψοίμεθα aut σκεψώμεθα.

5 ἦθος Wolf. et m. Mor.

6 ὁρμισθῇ Wolf.

7 ποιεῖτε Wolf.

8 σχετλιώτατα ὅτι πάντες ἁπλῶς caeteris omiſſis Wolf.

9 aut ὅτι aut εἰ eſt delendum. εἰ ſi ſeruamus, paulo poſt erit ἕξει in fut. leg.

10 τρίβωμεν Wolf.

11 τὸ στρατόπεδον Wolf.

12 ἀργείᾳ Wolf.

13 poſt κινδυνεύειν deleui ἢ τοῦτο ἀπαλλάξαι ὑμᾶς αὐτοὺς nam haec

δότε οὖν ἡμῖν ἤδη τὰς ἀποκρίσεις· καὶ τὴν ταχίστην ἀποπέμψατε. ὡς ἔγωγε πάντας μὲν, μάλιστα δὲ τὸν Ἀχιλλέα, καὶ τὸν Αἴαντα, ζημίαν ἡγοῦμαι πεποιῆσθαι τὴν μέλλησιν· καὶ νῦν μετέωρον εἶναι τὸ στρατόπεδον, ἐς τε τὰ ὅπλα ἀποβλέπον,[14] καὶ τὴν ἀκοὴν ἀναμένον·[15] εὖ δὲ ἐπίστασθε, ὡς τὸ τῶν πρέσβεων ἄπρακτον, προσθήκη πρὸς ἀγανάκτησιν τοῖς ἀπεσταλκόσι καθίσταται. ὁ γὰρ ἐπιεικείᾳ πρὸς τοὺς ἠδικηκότας χρησάμενος, ἐπειδὰν ὑπερφρονηθεὶς τύχοι χαλεπώτερος γίνεται τῶν ἀπ' ἀρχῆς εἰς χεῖρας ἰόντων, πρὸς τοῖς ἀδικήμασιν ὑπὸ τῆς ὕβρεως κινούμενος. καὶ νῦν εἰ μὲν ἀπὸ τῶν δυσχερῶν ἠρξάμεθα, καὶ τῇ ἀποβάσει τὸ ἔργον[16] ἠκολούθησε, τάχα ἂν ὕστερον δεομένοις σπονδῶν ἐνεδώκαμεν· καὶ τοὺς ἔχοντας τραχέως, ῥᾷστον ἂν ἦν καταπραΰνειν· οὐ γὰρ διειλέχθη μὲν τοῖς[17] ἀνθρώποις, οὐδὲ αἱρέσεως κύριοι κατέστησαν, εἰ δ' ἄκοντες[18] ἐπεσπάσαντο τὰ χείρω· Ἀλεξάνδρου τὸ πονήρευμα γέγονεν·[19] ἡ δὲ πόλις οὐ συνηδίκηκε καὶ πολλὰ ἂν ἦν ἱκανὰ μεταστῆσαι τὴν ὀργὴν εἰς φιλανθρωπίαν. νυνὶ δὲ, τίς ἂν ὕστερον εὑρεθείη λόγος μέτριος, δι' οὗ καταθήσεσθε τὸν πόλεμον, εἰ μὴ νῦν ἐθελήσητε;[20] ἄνθρωποι τοσοῦτοι τὸ πλῆθος, καὶ τοιοῦτοι τὰς ἀρετὰς, ἐγκαλεῖν ἔχοντες τὰ μέγιστα, ἐν ταῖς χερσὶν ὅπλα φέροντες, ἐφεστηκότες τῇ τῶν λελυπηκότων γῇ, σαφῶς εἰδότες, ὡς, εἰ μὴ τὰ πρῶτα τῶν ἀδικημάτων ἐπιστροφῆς τύχοι, φανεῖται ταχέως καὶ τὰ δεύτερα· ὅμως κατέχουσιν ἑαυτούς· καὶ νικῶσι τῇ πρᾳότητι τὸν θυμόν. καὶ παρέχουσι τοῖς ἠδικηκόσιν, ἀφορμὴν[21] εἰς σωτηρίαν. ἂν οὖν ὑμεῖς μὴ δέχησθε[22] τὸ ἕρμαιον,[23] μηδὲ ἁρπάζητε τὴν δωρεάν· ἀλλ' ἀπο-

haec verba desunt Wolf. quae si serues, delenda sint paulo ante ista ἢ ζῆν ἀδεῶς.

14 ἀποβλέπων Wolf.

15 ἀναμένων Wolf.

16 τῶν ἔργων Wolf.

17 διελέχθημεν τοῖς Wolf.

18 εἰ δ' ἄκοντες] sic Wolf. ἢ ἑκόντες Mor. sed m. ἄκοντες.

19 γίγνεται m. Mor.

20 ἐθελήσετε Wolf.

21 post ἀφορμὴν deest ἔχειν Wolf. quod deleui.

22 δέχεσθε Wolf.

23 ad ἕρμαιον addit m. Mor. χρ. εὕρημά τε ἐπικερδές.

ἀπεστρέφησθε [24] τὴν εὐτυχίαν· [25] εἶτα πταίσαντες ὕστερον, πανθ' ἕτοιμοι συγχωρεῖν ἦτε ὧν καὶ πολλοστὸν μέρος, ἤρκει τὴν πρώτην. ἀνταιτῆτε [26] δὲ τοσοῦτον, μήτε τὴν πόλιν [27] ὑμῖν ἀπόλλυσθαι. ἆρ' οὖν ἀναχέσθαι νομίζετε, τοὺς ἐγγὺς ὄντας ἤδη, τὴν πόλιν ἔχειν; ταῦτ' οὖν ἐνθυμηθέντες καὶ παραθέντες ταῖς ἡδοναῖς Ἀλεξάνδρου, τὸν περίβολον τουτονὶ τοῦ ἄστεος, τοὺς νεὼς, κάλλη δημοσίων, οἰκοδομημάτων [28] κατασκευὰς, ἰδίας εὐπορίας, πλοῦτον, ῥαστώνην, γεωργίας, παῖδας, γονεῖς, γυναῖκας, τὰ παρόντα ἀγαθά· τὰς μελλούσας [29] ἐλπίδας· ἐρωτήσατε ὑμᾶς αὐτούς γε, εἰ τοσούτων ἄξιον πρίασθαι τὴν πρὸς Ἀλέξανδρον χάριν. ἔστι δὲ ὑμῖν μάλιστα πάντων ἀνθρώπων, οἰκείοις σωφρονίζεσθαι [30] παραδείγμασι· καὶ τὸ γιγνόμενον κερδαίνειν ἀπὸ τῶν συμφορῶν· τοῦτο δὲ ἐστὶ, τῇ [31] πείρᾳ τῶν προλαβόντων, τὸ μὴ τοῖς αὐτοῖς περιπεσεῖν εἰδέναι φυλάττεσθαι. τίς γὰρ οὐκ οἶδεν, ὅτι Λαομέδων ἀγνωμοσύνῃ πρὸς Ἡρακλέα χρησάμενος, καὶ ὧν μὲν ἐδεήθη τυχὼν, ἃ δὲ ὑπέσχετο δώσειν οὐ παρασχὼν, πολέμου καὶ κακῶν ἐπειρᾶτο; καὶ ἡ πόλις ἔκειτο, καὶ χρήματα ἤγετο, καὶ σώματα εἵλκετο· καὶ τῶν ἀπολλυμένων οἱ λειπόμενοι δυστυχέστεροι, τῇ τῶν δεινῶν αἰσθήσει, τῶν ἀπελθόντων πλεονεκτοῦντες· τοῦτο μέν τοι τὸ δεινὸν καὶ φρικῶδες, Πρίαμον εἰσιὸν, ταραττέτω· καὶ μὴ βουλέσθω, [32] πολλὰ τοιαῦτα ποιεῖν παραδείγματα· μήτε ῥαθυμότερον ἐχέτω περὶ τὴν πόλιν, ἢ κυβερνήτης περὶ τὸ σκάφος· ἐκεῖνοι τὰς ὑφάλους αἷς ἂν προσβαλόντες [33] τρώσωσι [34] τὸ πλοῖον, ἐπὶ τῆς δευτέρας ἀναγωγῆς φυλάττονται· καὶ γίγνεται τὸ πρότερον πάθος, σωτηρία πρὸς τὰ δεύτερα·

ὑμεῖς

[24] ἀποστρέφεσθε Wolf.
[25] σωτηρίαν m. Mor.
[26] hic nil prodeſt ἀνταιτῶτε e Wolf. ſed neceſſe eſt quaedam deeſſe.
[27] malim ἤδη τοῦ τὴν πόλιν.
[28] οἰκοδομήματα Wolf.
[29] τοῦ μέλλοντος m. Mor.
[30] σωφρονεῖν m. Mor.
[31] f. τοῦτο δὲ ἐστὶ τί; τῇ. γρ. τοῦτ' ἐστι m. Mor.
[32] βουλευέσθω Wolf. et m. Mor.
[33] παραβάλλοντες m. Mor.
[34] τρώσωσι Wolf.

ὑμεῖς δὲ, εἰ μηδ᾽ ἐξ ὧν πεπείρασθε σωφρονήσητε, πάνυ ἂν εἴητε δυστυχεῖς.[35] καίτοι, τί τοσοῦτον ἐπιστρατεύσαιτό τις;[36] ἐξ νεῶν Ἡρακλῆς ἐδεήθη πρὸς τὴν ἅλωσιν Ἰλίου. τὰ δὲ νῦν εἰς ἐπίδειξιν μᾶλλον, ἢ χρείαν παρεσκεύασαι χιλίαις ναυσὶ, καὶ πελαγῶν καλυπτομένων, καὶ τῆς ἠϊόνος ἐκ ἀποχρώσης. καὶ μὴν καὶ τὸ ἀδίκημα μετριώτερον τοῦ Λαομέδοντος, τοῦ νῦν τετολμημένου. πολὺ γὰρ ἔλαττον, οἶμαι, δοῦναι τί δεόν μὴ βουληθῆναι, ἢ τὰ μὴ προσήκοντα μηδαμόθεν, ἁρπάσαντα ἔχειν· οὐ δὴ[37] φανεῖται τοσούτῳ χεῖρον[38] ὁ Τελαμώνιος Αἴας τοῦ πατρὸς, τοῦ συνεξελόντος Ἡρακλεῖ Τροίαν. ὥστ᾽ ἐκείνου συνοργισθέντος ἐπ᾽ ἐλάττοσιν, αὐτὸς ἐφ᾽ οὕτω μείζοσι μιμήσασθαι[39] τὸν γεννήσαντα.[40] καὶ τὸ πάντων γὰρ σχετλιώτατον,[41] εἰ Θησέως μὲν αὐτὴν τολμήσαντος λαβεῖν, νέαν οὖσαν κομιδῆ, καὶ βουλομένου[42] γυναῖκα ποιήσασθαι, πρὸς τῷ[43] μηδένα λυπεῖν· οὐ γὰρ συνῴκει γε οὐδενὶ, ἔδει μὲν κινεῖσθαι τὴν Πελοπόννησον. ἔδει δὲ πολέμου τὴν Ἀττικὴν ἐμπίπλασθαι, καὶ τὰς Ἀφύδνας[44] πορθεῖσθαι, καὶ πάλιν Ἑλένην ἐπὶ Λακεδαίμονος εἶναι· τῶν δ᾽ ἀλλοφύλων ταῦτ᾽ εἰργασμένων μετὰ γάμον, ὦ Ζεῦ, καὶ παῖδα· μὴ[45] πᾶν ὅσον ἐστὶν ἐν ἡμῖν πρὸς τιμωρίαν ζητῆσαι· οἶμαι δὲ οὐ μόνον τοῖς ἄλλοις, ἀλλὰ καὶ αὐτῷ καλῶς ἔχειν Ἀλεξάνδρῳ πείθεσθαι. νῦν μὲν γὰρ τοῦ σεσωκέναι τὴν πόλιν, δόξαν ἀποίσεται· ἐὰν δὲ φιλονεικῶν πέρα τοῦ δέοντος ἐπάγῃ τὰ δυσχερῆ, ὀνείδη μὲν ὅσα ἀκούσεται, σιωπῶ· ἀλλὰ καὶ συμφορὰς δεινὰς παροξῦναι καὶ κατὰ τῶν οἰκείων τοὺς οἰκείους[46] ἀνιωμένους. οὕτω τοῖς μὲν ἄλλοις ὁ πρὸς τοὺς ἔξω πολεμίους μόνος ἐστὶν ἀγών· τούτῳ δὲ καὶ πρὸς ἐκείνους καὶ πρὸς τοὺς οἰκείους· καὶ τὸ τῆς ἀδοξίας[47] ἐν ἐπιθήκῃ.

35 εἴη δυστυχεῖς. m. Mor.
36 ἐπεστράτευσε τότε Wolf.
37 ἐδὲ m. Mor.
38 f. χεῖρων.
39 f. μὴ μιμήσασθαι.
40 τὸν γεννήσαντα] τὴν ἀλήθειαν Wolf.
41 γὰρ σχετλ. m. Mor.
42 βουλόμενον Wolf.
43 τῷ] sic dedi. τὸ Mor.
44 ἀφνίτας Wolf.
45 μὴ] καὶ Wolf. et m. M.
46 οἰκείας deest Wolf.
47 ἀξίας Wolf.

θήκη. Ταῦτα ἐχρῆν,[48] ὦ Τρῶες, πρὸς ὑμᾶς διελθεῖν, ἵνα πολλὴν τὴν ἐπιείκειαν προδείξαντες, μετὰ τῆς ἀγαθῆς τύχης ἁπτώμεθα τῶν ὅπλων, εἰ τοῦθ' ὑμῖν ἀρέσκοι.

[48] ἐχρῶν Wolf.

ΑΧΙΛΛΕΩΣ ΠΡΟΣ ΤΟΝ ΟΔΥΣΣΕΩΣ ΕΝ ΛΙΤΑΙΣ ΠΡΕΣΒΕΥΤΙΚΟΝ, ΑΝΤΙΛΟΓΙΑ.[1]

ΟΤΕ πρῶτον ὑμᾶς εἶδον ἐπὶ ταῖς θύραις ἥκοντας, ὦ σοφώτατε Ὀδυσσεῦ, ἡγησάμην ὀψέποτε, κοινωνοὺς ἀφῖχθαί μοι, τῆς ἐφ' οἷς ὑβρίσθην ὀργῆς· καὶ τοῦ γε λοιποῦ μεθ' ἡμῶν συνδιατρίψειν,[2] τῆς Ἀγαμέμνονος βδελυρίας εἰσάπαξ κατεγνωκότας. καὶ μὰ τοὺς θεοὺς οὐ τὸ νῦν ἐπὶ τούτοις ἥκειν ὑμᾶς[3] θαυμαστὸν ἐποιούμην. ἀλλὰ μᾶλλον ὅτι μὴ πάλαι μετέστητε, τοῦτ' ἐθαύμαζον. ἐπεὶ δὲ καὶ τῶν λόγων ἤκουσα τῶν καλῶν καὶ πολλῶν, καὶ[4] τὴν ὑπὲρ τῶν ἠδικηκότων, ἐθεασάμην σπουδὴν, καὶ τὴν κατ' ἐμοῦ τοῦ τὰ δεινότατα πεπονθότος τέχνην· καὶ ἔτι με καθάπερ παῖδα προσεδόκησας οἰχήσεσθαι[5] λαβὼν, νῦν πλέον ἢ πρότερον, εἰ καὶ παράδοξον[6] εἰπεῖν, ἤλγηκα· τὸ γὰρ μηδὲ νοῦν ἔχειν δοκεῖν, ἀλλ' ἕτοιμον εἶναι

[1] tit. in Wolfenb. Λιβανίου ἀντιῤῥητικὸς, τῇ μελέτῃ τοῦ ἀριστείδου τῇ ἀπὸ (sic) τὸν ἀχιλλέα: ἀχιλλεύς:

[2] συνδιατρίβειν m. Mor.

[3] ἥκειν ὑμᾶς] sic Wolf. ἡμᾶς deest Mor.

[4] post καὶ addit Wolf. ἐκεῖ, videtur dare voluisse ἔτι.

[5] οἰχήσεσθαι] sic Wolf. et m. Mor. οἴχεσθαι t. Mor.

[6] παράδοξον] sic Wolf. et m. Mor. παρὰ δόξαν t. Mor.

γαι πρὸς ἀπάτην, ὅτε τις ἂν εἴποι δεινοῦ, τοῖς γε οὐκ ὄντως ἀνοήτοις, δεινότερον. ἐγὼ δέ σε ἠξίουν φάσκοντα συνέσει νικᾷν, μὴ τὸ πᾶσι πρόδηλον ἀγνοεῖν, ὅτι καὶ τῇ δεινότητι, καὶ τῇ ῥώμῃ καὶ τῇ τῶν πολεμικῶν[7] ἐμπειρίᾳ καὶ ταῖς ἄλλαις δυνάμεσιν οὐκ ἐπὶ τοὺς οἰκείους[8] χρῆσθαι νόμος·[9] ἀλλ' οὗ δεῖ τῶν ἐχθρῶν πλεονεκτεῖν. ταύτης τοίνυν τῆς ῥητορίας ἕτερος ἦν ὁ καιρὸς, ἡνίκα ἦλθες εἰς τοὺς Τρῶας Ὀδυσσεῦ, μετὰ τοῦ Μενέλεω, τὴν Ἑλένην ἀπαιτήσων. νῦν δὲ, ἐκείνοις μὲν οὕτως ἔδοξας εἶναι πιθανὸς, ὥς τε μικροῦ λαβόντες ἀπέκτειναν ἂν, εἰ μὴ παρελθὼν Ἀντήνωρ ἐξῃτήσατο. τὰς δὲ ἡμετέρας διαλλαγὰς, πάντως που τοῖς ὑβρικόσιν ἐπηγγελμένος ἥκεις· οὕτω φαυλοτέρους ἡμᾶς τῶν βαρβάρων ὑπειληφας· πάντων δέ μοι δοκεῖς ἐναντιώτατον[10] πρᾶγμα ποιεῖν· τὴν μὲν γὰρ φιλοτησίαν προπίνων, χαῖρε προσεφώνησας.[11] λέγεις δὲ ἀφ' ὧν[12] ἀνάγκη τὸν ἀκούοντα λυπεῖσθαι· πείθειν μὲν γὰρ ἐπιχειρῶν, οὐκ ἂν ἔχοις μὴ μεμνῆσθαι τῶν ἔμπροσθεν· μεμνημένος δὲ τῶν ἔμπροσθεν, οὐκ ἔστι σοι μὴ καὶ τὸν πεπονθότα λυπεῖν· καὶ τί λέγω τῶν ἔργων; πρὸς αὐτὸ τοὔνομα τοῦ πρεσβευομένου ταράττομαι· σὺ δ' ἐν Ἀγαμέμνονος[13] ἔφης[14] ἑστιαθεὶς·[15] ἐκεῖθεν δ' ὁρμηθεὶς εἰς ἡμᾶς ἐλθεῖν, ὡς ἂν μάλιστα ἀνιάσῃς·[16] θαυμάζω δὲ, ὅπως οὐ συνίετε τῇ πρεσβείᾳ μείζω ποιοῦντες, οὐ λύοντες, τὰ ἐγκλήματα·[17] δείκνυτε[18] γὰρ εἰς οἷον ὄντα ὑβρίζετε, τῷ μόνον ἡγεῖσθαι σωτῆρα, καὶ δι' ὃν, εἰ μὴ λάβητε[19] βοηθὸν[20] ἀπολεῖσθαι πεπιστεύκατε, τῷ[21] τῇ παροινίᾳ κατὰ τοῦ πρώ-

του

7 τῇ πολεμικῇ m. Mor.

8 τοῖς οἰκείοις m. Mor.

9 νόμους Wolf.

10 ἐναντιώτερον m. Mor.

11 προσεφώνησα m. Mor.

12 ἐξ ὧν Wolf. et m Mor.

13 σὺ δ' ἐν Ἀγαμ.] ſic Wolf. (ſcil. σκηνῇ) ἐν deeſt Mor.

14 ἔφης] ſic Wolf. et m. Mor. ἔφθης t. Mor.

15 ἑστιασθεὶς ὡς ἡμᾶς ἐλθεῖν, caeteris omiſſis Wolf. ὡς dedit. Mor. dat εἰς etiam. non improbo abeſſe haec verba.

16 ἀνιάσαις Wolf. ἀνιάσαις εὐκτικὸν ἀντὶ τοῦ ὑπαρκτικοῦ m. Mor.

17 ὑβρίσματα Wolf.

18 δείκνυτε] ſic Wolf. δείκνυται Mor.

19 λάβοιτε Wolf.

20 κοινωνὸν m. Mor.

21 τῷ] ſic dedi. τὸ Mor.

του τῶν Ἑλλήνων κεχρῆσθαι μεμαρτυρήκατε· ὥς ἐν οἷς ἱκετεύει, παροξύνει· καὶ ταῖς δεήσεσιν ἐλέγχει τὰ πονηρεύματα. καὶ μονονοὺ βοᾷ πρὸς ἅπαντας, ὡς[22] ἐμοὶ μόνῳ τῶν ὑβριστῶν οὐκ ἔστι συγγνώμη. καὶ γὰρ ὕβρικα, καὶ ὣν ἥκιστα ἐχρῆν· ἐγὼ δὲ μάλιστα μὲν ᾤμην δεῖν μηδένα τῶν συμπεπλευκότων προπηλακίζεσθαι· μηδ' εἰ τῶν πολλῶν εἴη καὶ τῶν ἔλαττον ἰσχυόντων. αὐτὴ γὰρ ἡ προθυμία, κἂν ἀπῇ τὸ κατορθοῦν, τιμῆς ἀξία. εἰ δ' οὖν ἀνάξιον ἡγεῖτε τῆς αὐτοῦ τύχης[23] τὸ συφρονεῖν, καὶ τοῦτ' εἶναι.[24] κέρδος τῆς βασιλείας, τὸ κακῶς τὸν πλησίον ποιεῖν· εἰς τοὺς σκευοφόρους καὶ τελοῦντας εἰς δῆμον, καὶ φρονήματος ἐξερημένους, εἰς τούτους ἀσελγαίνειν, ἐχρῆν. εἴπερ ἄρα καὶ τοῦτο ἐχρῆν· οὐ κατὰ στρατηγοῦ[25] μεθύειν, καὶ τούτου φίλου τοῖς θεοῖς, καὶ κυρίου τὰς ναῦς εἶναί τε καὶ διεφθάρθαι, κατὰ τὸν σὸν[26] Ὀδυσσεῦ λόγον. ἐμοὶ μὲν οὖν ἥκει τὰ πράγματα, καὶ τὰ τῶν πολεμίων[27] πάθη· καὶ πρὸ τῶν ἄλλων ὁ Ἕκτωρ τότε μὲν τρέμων, νῦν δὲ φοβῶν. καὶ οὐδὲν ἐδεόμην λέγειν, ἃ τοῖς ἔργοις ἐπεδειξάμην. τοῖς γὰρ εἰκότως μέγα φρονοῦσιν, οὐ παρ' αὐτῶν ἐπαίνους· ἀπὸ δὲ τῶν πεπραγμένων εἶναι δεῖ τὴν μαρτυρίαν. ἐπεὶ δὲ βουλόμενον[28] σιωπᾶν, οὐκ ἐᾷς Ὀδυσσεῦ, πολέμου μεμνημένος πρὸς ἄνδρα κιθαρίζειν ἀντὶ τοῦ πολεμεῖν ἠναγκασμένον. ἀκούσατε, ὦ παρόντες, ἀνθ' ὧν οἷα κεκόμισμαι· καὶ ταῖς εὐεργεσίαις ἀντίθετε τὰς ἀμοιβάς. ἔσεσθε γὰρ εἴτ' ἔχει λόγον τὸ μὴ συμμαχεῖν, εἴτε καὶ ἄλλως ἀγανακτῶ· εἰ γὰρ ἐθέλοιτε σκέψασθαι, τί τὸ ποιῆσαν ἐστὶ τοὺς Ἀχαιοὺς ἐπὶ τῆς Τρῳάδος ἱδρῦσθαι γῆς, καὶ μὴ τοῦτ' αὐτὸ πρῶτον ἀγνοεῖν, τὴν χώραν τῶν λελυπηκότων· καὶ τίς τοῦ Πριάμου πόλις· καὶ ποῖ δεῖ προσβαλεῖν; καὶ ποίαν κακοῦν, ἐμὲ τουτονὶ τὸν

αἴτι-

22 ὡς aut delendum; aut eum ὦ ἄνδρες mutandum videtur.

23 γνώμης m. Mor.

24 ἄκον m. Mor.

25 ἐπαίρεσθαι m. Mor.

26 κατὰ τὸν σὸν] sic Wolf. τὸν deest Mor.

27 πολεμίων] sic Wolf. πολέμων Mor.

28 δὲ βουλόμενον] sic Wolf. δ' ἐβουλόμην Mor.

ἄτιμον εὑρήσετε, καὶ τὸ δόρυ τὸ πατρικόν. ὡς γὰρ ἀνήχθημεν ἀπὸ τῆς Αὐλίδος, ἀγνοίᾳ τῶν τόπων προσπεσόντες τῇ Μυσῶν, τὴν ἀρχὴν κατεθέομεν Τηλέφου. τὴν Ἀλεξάνδρου νομίζοντες εἶναι.[29] αἰσθόμενος δὲ ὁ Τήλεφος, εὐθὺς ἐν ὅπλοις ἦν, καὶ μετὰ τῆς δυνάμεως ἀπήντα· μάχης δὲ καρτερᾶς γενομένης, καὶ τοῦ πράγματος[30] προϊόντος, ὁ τῶν Μυσῶν ἡγούμενος ὑπ᾽ ἐμοῦ τιτρώσκεται. καὶ οἱ μὲν ᾤχοντο φεύγοντες. ἡμεῖς δὲ γνόντες τὴν πλάνην, ἀποπλεύσαντες[31] αὖθις ἦμεν ἐν Βοιωτίᾳ· καὶ τῷ συμβεβηκότι τὸ στράτευμα διελέλυτο.[32] χρόνου δὲ ἐγγιγνομένου, καὶ τῆς ἀγνοίας μενούσης, κομίζεται Τήλεφος εἰς Δελφούς· τῷ θεῷ χρησόμενος ὑπὲρ τοῦ τραύματος· ὡς τῆς τῶν ἰατρῶν τέχνης οὐκ ἀρκούσης τῷ πάθει· ὁ δὲ ἀνεῖλε, παρὰ τῷ τρώσαντι, καὶ τὴν ἴασιν ζητεῖν. ταῦτα ἀκούσας, εἰς Ἄργος ἔρχεται καὶ τῶν ἀλγηδόνων παύεται, ταῖς ναυσὶν ὁμολογήσας ἡγήσεσθαι.[33] καὶ γίνεται τῆς ἰατρείας μισθὸς, ἡ τῆς ἀγνοίας τῶν τόπων ἀπαλλαγή. αὕτη πρώτη καὶ μεγίστη τῶν εὐεργεσιῶν, γνῶναι τὴν Ἀλεξάνδρου πατρίδα· καὶ μὴ καθάπερ ἐν μανίᾳ, τὸν παραπεπτωκότα βλάπτειν, ἀντὶ τῶν αἰτίων. οὐκ οὖν τῶν μὲν ἄλλων ἕκαστος τοῖς αὑτοῦ πράγμασι σεμνύνεται. ἐγὼ δὲ τοῖς τε ἐμαυτοῦ καὶ τοῖς ἁπάντων. καὶ γὰρ τὰ τῶν τοξοτῶν καὶ τῶν ὁπλιτῶν καὶ τῶν ἱππέων· καὶ ὅλως ὅπερ ὠφέληκε τις[34] τὸ κοινὸν, πάντα ταῦτά ἐστι, τοῦ δεῦρο κεκομικότος τὴν στρατιάν. εἰμὶ δὲ οὗτος ἐγὼ, τῷ τὴν ἀφορμὴν ἐνδοῦναι. εἰ τοίνυν τῶν μὲν νοῦν εἰργασμένων οὐδὲν ἂν ἐπέπρακτο, μὴ τὴν ἀρχὴν ἐλθόντων· τοῦτο δὲ οὐκ ἂν ἦν.[35] μὴ Τηλέφου τρωθέντος· ἐτρώθη δὲ, ὑφ᾽ οὗπερ[36] ἴσε· τοῦ τὴν[37] ὑπόθεσιν παρασχόντος, καὶ τὰ ἔργα γίνεται. παρ᾽ ἀμφοτέρων τοίνυν ὀφείλεταί μοι χάρις·[38]

τῶν

[29] νομίζοντες εἶναι] sic Wolf. εἶναι deest Mor.

[30] χ. τοῦ πολέμου m. Mor.

[31] χο. ἤτοι ὀπίσω πλεύσαντες m. Mor.

[32] διελέλυτο] sic Wolf. διελύετο Mor.

[33] ἡγήσεσθαι] sic Wolf. ἡγήσασθαι Mor.

[34] ὅπερ ὠφέληκέ τις] sic Wolf. ὅσις ὠφέληκέ τι Mor.

[35] ἦν] ὑπῆρξε Wolf.

[36] οὗπερ] ὅτουπερ Wolf.

[37] f. τοῦ γὰρ τὴν·

[38] ὀφείλετέ μοι χάριν m. Mor.

τῶν τε ἠριστευκότων αὐτῶν, καὶ τῶν δοκούντων ἐφεστάναι τοῖς πράγμασι· τῶν μὲν, ἀντὶ τῆς ἀρετῆς, ἣν[39] ἐπεδείξαντο. τῶν δ', ἀντὶ τῆς παρ' ἁπάντων ὠφελείας. ἐγὼ τοίνυν, τοῦ μὲν ἐλθεῖν τὴν στρατιὰν, αἴτιος ἐγενόμην· ἐπεὶ δ' ἀφικόμην, ἀρκεῖν ἡγησάμην, ἢ ταυτὰ τοῖς ἄλλοις ποιεῖν, ἢ μικρῷ τοὺς ἄλλους ὑπερβάλλειν. ἀλλ' ὁρῶν τοῖς μὲν Τρωσὶν ἐν τοῖς περιοίκοις τὴν ἰσχὺν οὖσαν τοῦ πολέμου, καὶ τῇ τούτων εὐνοίᾳ μεγάλην ὑπάρχουσαν αὐτοῖς[40] ἀποστροφήν·[41] τάς τε νήσους τὰς ἐπικειμένας· καὶ τῆς ἠπείρου πόλεις οὐκ ὀλίγας· τὰ δ' ἡμέτερα τῇ πενίᾳ πρὸς ἀσθένειαν ἥκοντα· ταῦτα ἐνθυμηθεὶς, Κύκνου μὲν ἤδη πεπτωκότος, τῶν δὲ Τρώων εἰς τὸ τεῖχος κατακλεισθέντων, ἀδείας δὲ οὔσης ἐνδιαιτεῖσθαι τῷ πεδίῳ, νῦν μὲν πεζαῖς στρατιαῖς, νῦν δὲ ταῖς ναυσὶ χρώμενος, περικόπτω τὴν τῶν ἐχθρῶν συμμαχίαν. τίς[42] μοι τὰς πόλεις ἐξαριθμοῖ[43] τὰς ᾑρημένας; εἷλον Φωκαίαν, Κολώνας,[44] Κλαζομένην,[45] Τῆνον, Κύμην, τὴν Χρύσαν· τὴν Κίλλαν, τὴν Τένεδον, Σκῦρον, Θήβας, Πήδασον,[46] Πύῤῥαν, Λέσβον ὅλην. μακρὸν ἐπελθεῖν[47] λόγῳ τὰς πόλεις, ἃς ἐγὼ[48] παρεστησάμην· καὶ σιωπῶ Τρωΐλον καὶ Λυκάονα, καὶ βοῦς ἐξ Ἴδης ἐληλαμένας· ἐντεῦθεν τοῖς Τρωσὶν ἀκριβὴς ἡ πολιορκία, τῷ πάντ' ἐξερημώσασθαι[49] τὰ κύκλῳ.[50] αἱ μὲν οὖν πόλεις, εἰς ἔδαφος· ὁ δὲ πόνος, ἐμός· τὰ δὲ χρήματα, κοινά. οὐκ οὖν τῇ Κύκνου μὲν τελευτῇ τὴν ἀπόβασιν τοῖς Ἕλλησιν ἔδωκα· ταῖς δὲ τῶν πόλεων ἁλώσεσι, τοὺς Τρῶας συνέστειλα· τῇ περιουσίᾳ δὲ τῶν χρημάτων, τὴν προσεδρείαν[51] ἐμήκυνα· οὐ γὰρ ἐνῆν ἐν ἐνδείᾳ

39 ὧν m. Mor.

40 αὐτοῖς] sic Wolf. et m. Mor. εὐθὺς t. Mor.

41 ὑποστροφὴν Wolf.

42 τίς] καὶ Wolf.

43 ἐξαριθμεῖ Wolf.

44 Κιλαυνὰς m. Mor.

45 Κλαζομενάς· τῆνος Wolf.

46 πήλας Wolf.

47 ἐπεξελθεῖν Wolf.

48 ἐγὼ] sic Wolf. ἔργῳ M.

49 ἐξερημῶσθαι Wolf. recte si paululum reformetur, sic: ἐξηρημῆσθαι.

50 τὰ κύκλῳ] sic Wolf. τὰ deest Mor.

51 προσεδρείαν] sic Wolf. προσεδρίαν Mor.

θεία καὶ τροφῆς ἀπορία, μακρὸν οὕτω πόλεμον διενεγκεῖν. ἐπεὶ καὶ τὴν Χερρόνησον οἱ γεωργοῦντες, τῶν μὲν ἤδη κατεσκαμμένων· τῶν δὲ τῷ φόβῳ[52] τὴν ἡσυχίαν ἀγόντων· κατὰ πολλὴν ἀσφάλειαν περὶ[53] τὰ ἔργα διέτριβον· ὥστ' οὐχ ἧττον αἱ διὰ τῆς γεωργίας ἀφορμαὶ τῶν ἀπὸ τοῦ πολέμου πόρων ἐμοὶ προσήκουσι. Φέρε δὴ καὶ περὶ τῆς αἰτίας, ὅθεν προσκεκρούκαμεν Ἀγαμέμνονι, μνημονεύσωμεν. οἶμαι γὰρ εἰ καὶ μηδὲν πρότερον εὖ πεποιηκὼς τοὺς ὁμοφύλους ἐτύγχανον, ἀλλὰ πάντων ἀργότατα καὶ ῥαθυμότατα τῷ πολέμῳ κεχρημένος, καὶ μηδὲν ἐποίουν βέλτιον, ἀπό γε ταύτης προσῆκεν ἐμοὶ[54] ἰσοθέων ἀξιωθῆναι τιμῶν. Σκοπεῖτε γάρ· εἶχεν Ἀγαμέμνων τὴν Χρύσου παῖδα λαβών· ὁ δὲ Χρύσης οὗτος ἦν ἱερεὺς Ἀπόλλωνος. βουλόμενος οὖν ἀνασῶσαι τὴν θυγατέρα, πρὸς τὸ στρατόπεδον ἧκεν, οὔτε λυτρῶν φειδόμενος, τῷ τε θεῷ δοῦναι[55] τὴν χάριν ἱκετεύων· ὁ δὲ μετρίως καὶ καλῶς ὑπὲρ τῶν κοινῶν βεβουλευμένος, οὔτ' ἀφῆκεν, οὔτε πράως ἀπέπεμψεν· ἀλλ' ἠπείλησεν ἀποκτενεῖν, εἰ μὴ φύγοι· λῆρον εἶναι φήσας τὴν τοῦ θεοῦ[56] συμμαχίαν.[57] ἐμοὶ μὲν οὖν εὐθὺς[58] δεινὸν[59] τοῦτ' ἐφαίνετο, καὶ μεγάλων ἀρχὴ συμφορῶν· οὔτε γὰρ ἐκεῖνον μὴ κατεύξασθαι τῶν Ἀχαιῶν εἰκὸς ἦν, οὔτε μὴν τὸν Ἀπόλλω μὴ συναλγήσειν τῷ πρεσβύτῃ· τοῦ δὲ μὴ δοκεῖν, οὔπω τῶν δεινῶν παρόντων, ἐξεπίτηδες συγκρούειν τὸν ἄνθρωπον τοῖς Ἀχαιοῖς, ἐσιώπων. ἀλλ' οὐκ ἔφθη[60] παροινήσας εἰς τὸν Ἀπόλλω, καὶ τὸ στρατόπεδον ἐξαίφνης ἀνηλίσκετο νόσῳ. καὶ τὸ ἔργον ἡμῶν[61] ἦν αἱ τῶν ἀπιόντων ταφαί· καὶ τῷ πολέμῳ κρατοῦντες, ἑνὸς ἀνδρὸς ἐφθειρόμεθα δυσσεβείᾳ. ἔδει μὲν οὖν, εἰ καὶ πάντες ὀλιγώρως εἶχον τῶν συμβαινόντων, καὶ τοῦ καθ' αὐ-

τὸν

[52] τῷ φόβῳ] sic Wolf. τῷ deest Mor.

[53] περὶ] sic Wolf. εἰς Mor.

[54] προσήκειν ἡμῖν Wolf.

[55] δοθῆναι Wolf.

[56] τὴν τοῦ θεοῦ] sic Wolf. (Apollinis puta) τὴν θεῶν M.

[57] θεραπείαν m. Mor.

[58] μὲν οὖν εὐθὺς,] sic Wolf. οὖν deest Mor.

[59] δεινόν τι Wolf.

[60] ἔφθην Wolf.

[61] ἡμῖν Wolf.

τὸν ἕκαστος μόνου φροντίζων, τῆς κοινῆς κατημέλει σωτηρίας, Ἀγαμέμνονα περιθέειν[62] ἄνω καὶ κάτω, καὶ πρὸς τὰς σκηνὰς ἰόντα τῶν ἐν τέλει, συγκαλεῖν, συνάγειν, δεῖσθαι, πάντα ποιεῖν, ὥστε τὴν λύσιν εὑρεθῆναι τοῦ κακοῦ. νῦν δ' ὥσπερ τῶν πολεμίων ἀπόντων ἐπιθήσας[63] τοῖς νεκροῖς τὰς συνεχεῖς πυράς, καὶ συμφορὰς ἀκούων ἀλλοτρίας, οὐ τὰς οἰκείας ὁρῶν, οὐ λόγον εἶπεν· οὐ σύλλογον ἐποίησεν· οὐκ ἀνέστησε σύμβουλον. οὐκ ἤρετο μάντιν· ἀλλὰ τοὺς μὲν ἀφῆκεν ἀποθνήσκειν· αὐτῷ δ' ἱκανὴν εὐδαιμονίαν ἔκρινεν, εἰ τρυφᾶν ἐξείη.[64] τί τοίνυν ἐχρῆν με πράττειν[65] Ὀδυσσεῦ, τοῦ λοιμοῦ μὲν ἐπικειμένου, τῶν δὲ καταλόγων κενουμένων,[66] ῥαθυμοῦντος δὲ τοῦ κρατοῦντος, σιωπῶντος δὲ σοῦ· σιωπῶντος δὲ Νέστορος, ὃν ἤγαγεν[67] εἰς Ἴλιον τὸ[68] δοκεῖν δύνασθαι τὰ δέοντα παραινεῖν; ἐὰν ἔδει τὸ δεινὸν χωρεῖν, καὶ μὴ ζητεῖν ὅπως στήσεται; καὶ τίς ἂν ἐμήνυσε τοῖς οἴκοι, τὸν τρόπον τῆς τελευτῆς; οὐδὲ γὰρ ἄγγελον ἂν[69] κατέλιπεν ἡ νόσος· ἀλλ' ἔδει σκοπεῖν εἴ τις ἴασις ἔσται, καὶ φανῆναί τινα ὑπὲρ τῶν κοινῶν ἀτυχημάτων ἀχθόμενον. ἐφάνην τοίνυν τηνικαῦτα ἐγὼ καὶ παρελθὼν εἶπον οὐδὲν οὔτε προπετές, οὔτε ἀπαίδευτον. οὐ γὰρ ἰσχυρισάμην εὐθὺς ἐκ τῆς περὶ τὸν Χρύσην ἀτιμίας, τὸ στρατόπεδον νοσεῖν· ἀλλ' ὃ δίκαιον πάντες ἂν εἶναι φαῖεν, πλὴν Ἀγαμέμνονος, ἐπὶ τοὺς μάντεις ἠξίουν καταφυγεῖν[70] καὶ παρ' ἐκείνων μανθάνειν, πῶς ἂν πριαίμεθα[71] τοῦ λοιμοῦ τὴν λύσιν· καὶ τιμῶν καὶ θυσιῶν

62 περιθέειν] ſic Wolf. περιθεῖν Mor.

63 ἐπιθεὶς καὶ ἐπιάσας m. Mor. ἐπιβάσας Wolf. fort. recte, verum tamen ex parte tantum, ſ. leg. ὥσπερ τῶν πολεμίων ἀπιόντων ἐπιβάσας ἀγνοῶν τοῖς νεκροῖς— quaſi neſciret in locum hoſtium, qui deceſſiſſent, ſucceſſiſſe rogos continuos funeribus.

64 ἐξείη] ſic Wolf. ἐξῇ Mor.

65 ἐχρῆν με πρ.] ſic Wolf. με deeſt Mor.

66 κενουμένων] ſic Wolf. κινουμένων Mor.

67 ἤγαγεν] ſic Wolf. εἰσήγαγεν Mor.

68 τῷ δὲ m. Mor.

69 ἄγγελον ἂν] ſic Wolf. ἂν deeſt Mor.

70 καταφεύγειν Wolf.

71 πριαίμεθα] ſic Wolf. πριάμεθα Mor.

σιῶν[72] ἐμνημόνευον· ὁ δὲ Χρύσης οὐκ ἦν ἐν τοῖς ἐμοῖς λόγοις[73] καλούμενος δὲ ὁ Κάλχας ὑπὸ τοῦ καιροῦ, λέγει τὰ[74] παρὰ τῆς τέχνης, ὡς ὁ θεὸς παρώξυνται, καὶ τιμωρεῖ τῷ πρεσβύτῃ καὶ ζητεῖ τὴν κόρην. τί τοίνυν ἐπλημμέλουν; δεῖξον Ὀδυσσεῦ· ἠδίκουν φυλάττων Ἀγαμέμνονι τὴν ἀρχήν;[75] ὁ γὰρ τοὺς ἀρχομένους φυλάττων· ἐκείνῳ συνέχει[76] τὸ σχῆμα· ἠδίκουν ἐπὶ τὸν μάντιν ἄγων τὸ πρᾶγμα; τί οὖν εἵπετο τῇ στρατιᾷ[77] μέλλων ἐν τοῖς ἀπόροις ἄφωνος ἔσεσθαι; καὶ μὴν ἐπ' αὐτῆς τῆς ὀργῆς ἐμαρτύρησεν Ἀγαμέμνων, ταῦτά με σπεύδειν, ἃ μάλιστ' ἂν[78] αὐτὸς βούλοιτο. τί γὰρ ἔφησε·

Βούλομ' ἐγὼ, λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι.

Οὐκ οὖν καὶ αὐτὸς, σῶον εἶναι θέλων[79] μᾶλλον, ἢ ἀπολωλέναι, τὴν ἐκκλησίαν συνῆγον. πῶς οὖν ὑβριζόμην, ὡς ἀδικῶν, ὁ τὴν ἐπιθυμίαν Ἀγαμέμνονι πληρῶν; πῶς δ' οὐκ αὐτὸς παρ' αὐτοῦ λαμβάνει δίκην, εἰ τὸ βούλεσθαι σώζεσθαι τὸ στρατόπεδον,[80] ἀδικεῖν ἐστίν; ἐχρῆν γὰρ ἢ καὶ αὐτὸν ἀτιμοῦν, ἢ καὶ ἐμὲ θαυμάζειν· εἰ γὰρ μὴ Κάλχας ἦν ὁ μνησθεὶς τῆς γυναικὸς, ἀλλ' ἐγὼ, τί δεινὸν ἦν ἀποστάντα τῆς κόρης, θαρρεῖν ὑπὲρ τοῦ στρατοῦ; οὐ τιμωρίας ἀξίαν ἐδεδώκειν γνώμην τότε Ὀδυσσεῦ· ἀλλὰ[81] στεφάνων καὶ τιμῶν καὶ δωρεῶν. δῆλον δὲ ἐκ τοῦ παρόντος. τίς γὰρ[82] ἡ πρόφασις τουτωνὶ τῶν δώρων;[83] ἡ σωτηρία τῶν Ἑλλήνων· οὐκ οὖν καὶ τότε τοὺς Ἕλληνας ἔσωζον. ὅπως ἀπαλλάξωνται τοῦ λοιμοῦ προνοῶν. ὥς τε καὶ τότε

τοῦ

[72] non improbanda videtur lectio Wolf. καὶ τίνων ἁγνισμῶν καὶ θυσιῶν·

[73] ἐμοῖς λόγοις] λογισμοῖς Wolf.

[74] τὰ συμβάντα m. Mor.

[75] post ἀρχὴν videtur οὔ deesse, per se stans, et absolutam efficiens sententiam, *Neutiquam.* est responsio ad praemissam interrogationem.

[76] συνεῖχε Wolf.

[77] στρατιᾷ] sic Wolf. στρατηγίᾳ Mor.

[78] μάλιστ' ἂν] sic Wolf. ἂν deest Mor.

[79] θέλων] τὸν στρατὸν ἐθέλων Wolf.

[80] τὸν στρατὸν Wolf. et m. Mor.

[81] post ἀλλὰ addit Wolf. καὶ.

[82] τίς γὰρ] sic Wolf. τί γὰρ Mor.

[83] δωρεῶν Wolf.

τῦ δικαίου νικῶντος, ἐτιμώμην ἄν· οὐ γὰρ δὴ τὸ σιδήρῳ[84] μὲν πληγέντα πεσεῖν ἀφόρητον· λοιμῷ δὲ ἀπενεχθῆναι, κοῦφον· ἀλλὰ τοσούτῳ τῦτ᾽ ἐκείνου χαλεπώτερον, ὅσῳ τὸ μὲν ἐπαινεῖται, τὸ δὲ οἰκτείρεται. καὶ τὸ μὲν ὑπάρχει δόξης· τὸ δὲ σημεῖον ἐςὶ τῆς τῶν θεῶν[85] δυσμενείας· εἰ δὴ τοὺς πολεμίους ἀπώσασθαι δωρεῶν ἄξιον· τό γε λῦσαι τὸν λοιμὸν πῶς οὐ μειζόνων; ὐκ οὖν ἀντὶ τούτων ὑβρίζειν δίκαιον[86] ἦν, ἀλλ᾽ εἰ καὶ πρότερον ὑβρισμένος ἐτύγχανε, τούτων εἵνεκα διαλλάττεσθαι. ὁ δὲ ταῦτ᾽ ἐν ἐγκλήμασιν ἐποιεῖτο, δι᾽ ἃ καὶ παλαιὰ ἐχρῆν ἀνελεῖν ἐγκλήματα. καὶ μὴν οὐδ᾽ ἐκεῖνο δῆλον ὑπῆρχεν, ὡς μόνης τῆς Χρυσηΐδος ὁ λοιμὸς ἀφέξοιτο· πότερον οὖν κρεῖττον ἦν καὶ λυσιτελέςερον,[87] μετὰ τῶν ἄλλων τεθνᾶναι τὴν κόρην, ἢ σῶσαι[88] τοὺς ἄλλους, καὶ αὐτὴν σεσῶσθαι; ἔτι τοίνυν, εἰ μὲν ἐμοὶ παραχωρήσειν[89] τῆς Χρυσηΐδος ἔμελλεν, ἢ Αἴαντι, ἢ Ἰδομενεῖ, ἢ σοὶ, ἢ ὅλως ἀνθρώπων[90] τινὶ ὐδ᾽ οὕτω μὲν ἐχρῆν ἀγανακτεῖν, εἰ τῦ συμφέροντος ὁ λογισμὸς ἐνταῦθα ἦγεν· ἔδοξε δ᾽ ἂν[91] ὐκ ἔξω φύσεως ἀνθρωπίνης εἶναι τὸ πάθος· νῦν δὲ θεὸς ἦν ὁ τὴν ἄνθρωπον ἀπολαμβάνων. θεῶν[92] δὲ ἡττᾶσθαι, ποῦ λυπηρόν; ἢ τίς αἰσχύνη; εἰ γὰρ τὸ σκῆπτρον ἐκέλευεν ἀποθέμενον ἐν ὑπηρέτου μέρει[93] διάγειν, ὐκ ἐχρῆν ἀγαπᾶν; καὶ τῦτο νομίζειν καλόν τε καὶ γενναῖον, ὅπερ ἐκεῖνος προσέταττε. καὶ μὴν εἰ μὲν ἄκων ἠφίει τὴν κόρην, ἐχθρὸν ἦν τῷ θεῷ[94] εἰ δ᾽ ἑκὼν ἐνεβίβαζεν εἰς τὴν ναῦν· πῶς ἃ μεθ᾽ ἡδονῆς ἔπρατ-

84 οὐ γὰρ δὴ τὸ σιδήρῳ] sic Wolf. τὸ cohaeret non cum σιδήρῳ, sed cum πεσεῖν. δὴ omitt. Mor. et dat τῷ.

85 τῦ θεῦ Wolf.

86 δίκαιος] sic Wolf. decebat eum, s. Agamemn. puta δίκαιον Mor.

87 λυσιτελέςερον] sic Wolf. λυσιτελέςατον Mor.

88 σῶσαί τε Wolf.

89 παραχωρήσειν] sic Wolf. παραχωρῆσαι Mor.

90 ἀνθρώπῳ Wolf.

91 ἔδοξε δ᾽ ἂν] sic Wolf. et m. Mor. ἔδειξεν ἂν t. Mor.

92 θεῦ Wolf. et m. Mor.

93 μοίρᾳ m. Mor.

94 ἐχθρὸς ἦν τῷ Ἀπόλλωνι Wolf.

ἔπραττε, τούτων εἰσεπράττετο δίκην; συλλογίσασθαι δὴ βόλομαι τὰς εὐεργεσίας, καὶ διελθεῖν ἐν βραχεῖ. ἔδωκα ἡγεμόνα[95] τῷ στόλῳ Τήλεφον· ἐτρεψάμην τοὺς ἀνείργοντας τὴν ἀπόβασιν. ἐψίλωσα[96] τοὺς Τρῶας τῶν περιοίκων· μετήνεγκα τὸν πλοῦτον εἰς ὑμᾶς· ἔπαυσα τὸν λοιμὸν διὰ τοῦ μάντεως. τίνες οὖν αἱ τούτων ἀμοιβαί; ἐξέρημαι τοῦ γέρως· ἀφῄρημαι τὴν τιμήν. ὑπὲρ τοὺς ἀτίμους ὕβρισμαι· ποῦ νῦν Βρισηΐς Ὀδυσσεῦ; παρὰ τῷ πέμψαντι τὴν πρεσβείαν· οὐ γέγονεν ἐκ τοῦ παντὸς χρόνου προπηλακισμὸς δεινότερος· μαρτυρήσατέ μοι πρὸς Διὸς, ὦ κήρυκες, οἱ τοῖς ἐπιτάγμασιν Ἀγαμέμνονος, ᾐσχύνεσθε· καὶ τῷ μὴ τολμῆσαι προσελθεῖν τοῦ τολμήσαντος ἀποστεῖλαι, κατεγνώκειτε· ἐξῆγε μὲν ὁ Πάτροκλος τὴν κόρην, κύπτων εἰς γῆν· ἐδέχετο δὲ ὁ[98] Ταλθύβιος ἐρυθριῶν· εἵπετο δὲ Βρισηΐς στένουσα· ἐγὼ δὲ ἐγκαλυψάμενος, ἀπεχώρουν τῶν Μυρμιδόνων. Ἕκτωρ δὲ ἴσως ἐγέλα· ὦ πόλεμοι,[99] καὶ μάχαι καὶ πόλεων ἀνδραποδισμοί. ἀνανεοῦμαι τῇ μνήμῃ τὴν ὕβριν, καὶ πᾶς[100] ἐμπίπλαμαι τοῦ θυμοῦ· φεῦγε μάλ᾽, ἧκον ἐπὶ τοῦ συλλόγου. τί οὖν ἐνοχλεῖ τῷ πεφευγότι; τὸ ἐκείνου[1] μέρος ἀνῆγμαι· καὶ νῦν εἰμὶ μετὰ τοῦ πατρός. πάρεισιν αὐτῷ βασιλεῖς ἐπιεικεῖς, καὶ πρᾶοι καὶ μισοῦντες φιλονείκειαν·[2] ἐγὼ δὲ χαλεπός τις καὶ δύσερις. μὴ δὴ ζητείτω τοῦτον, οὗ φαυλίζει τὸν τρόπον. ἀλλ᾽ Ἕκτωρ, φησὶ, μέγας γέγονε, καὶ φοβερὸς· καὶ ταῖς ἀπειλαῖς πάντας ἐλαύνει, τὸ θαῤῥεῖν ἔχων παρὰ τοῦ Διός. μὴ δὲ παύσαιτό[3] ποτε τοιαῦτα δρῶν, ὦ Ζεῦ πρόγονε· ταῦτα γάρ ἐστιν ἃ μετὰ[4] τὴν ὕβριν ηὐξάμεθα· τὸν μὲν κρατῆσαι τοῦ πεδίου· τοὺς δὲ πρὸς θάλατταν ἀεὶ βιασθῆναι· τὸν δὲ κίνδυνον ταῖς ναυσὶ προσελθεῖν. εἰ τοίνυν ταῦτ᾽ ᾐτοῦμεν, ταῦτα δὲ πέπρακται,

[95] τὸν ἡγεμόνα Wolf.

[96] ἐψίλωσα] sic Wolf. et m. Mor. ἐστέρησα r. Mor.

[98] ἐδέχετο δὲ ὁ] sic Wolf, δὲ ὁ desunt Mor,

[99] πόνοι Wolf.

[100] πάλιν Wolf.

[1] malim τὸ γὰρ ἐκείνου.

[2] φιλονεικίας Wolf.

[3] παύσαιο m. Mor.

[4] τοῦτο γάρ ἐστιν ὃ μετὰ Wolf,

ται, οὐκ ἀφ᾽ ὧν λυπήσεις[5] ἀπήγγελκας, ἀλλ᾽ ὧν εἰς ἡδονὴν[6] πάντα ἐλάττω· εἰ μὲν οὖν τέρψαι βουλόμενος ἀθυμοῦντα, τὴν Ἕκτορος διηγῇ λαμπρότητα, καλῶς εὗρες ὅθεν παραμυθήσῃ· εἰ δ᾽ οἴει τούτοις κινήσειν, λίαν εὐήθως ἔχεις. πῶς γὰρ οὐκ ἄτοπον, βούλεσθαι μὲν Ἕκτορα γενέσθαι μέγαν, γινομένῳ δὲ φθονεῖν; καὶ συνεύχεσθαι μὲν αὐτῷ πολέμου κράτος, ἐπεὶ δὲ κρατεῖ, κωλύειν; καὶ ταπεινοὺς μὲν τοὺς Ἕλληνας ἰδεῖν ἐπιθυμεῖν, ἡττωμένους δὲ πάλιν ὀρθοῦν;[7] καὶ ταῦτα ποθεῖν τε ἀπόντα, καὶ παρόντα διαφθείρειν; ὥσπερ ἂν εἴ τις παρὰ[8] τῆς Δήμητρος, αἰτήσας εἰς πλῆθος αὐτῷ γενέσθαι τοὺς καρπούς, εἶτα τυχὼν ἄχθοιτο τῇ φορᾷ. εἰ συμμαχοῦντος ἐμοῦ καὶ κοινωνοῦντος τῶν ἀγώνων, Ὀδυσσεῦ, ταῦθ᾽ ἃ νῦν Ἕκτωρ ἐτόλμα, εἶχεν ἄν τινά μοι τούτων παροξυσμόν, καὶ οὐκ ἂν ἠξίωσα ζῆν, ἐκείνου ζῶντος. εἰ δὲ τότε μὲν ἐπὶ τῷ τείχει παρετάττετο, καὶ τὰς ἐξόδους ὥριζετο τῇ δρυΐ· νῦν δ᾽ οὐδὲν αὐτοῦ[9] τὴν μανίαν χωρεῖ· τί τοῦτο πρὸς τὸν ἐν τῇ σκηνῇ καθήμενον; καταφρονεῖται γάρ, οὐχ ὁ τῶν[10] πραγμάτων ἀποστὰς διὰ τὴν ὕβριν· ἀλλ᾽ οἱ μὴ τοῖς πράγμασιν ἱκανοὶ παρόντες βοηθεῖν. ἐγὼ δὲ ἄρα τοσοῦτον ἀπέχω τοῦ μισεῖν Ἕκτορα, διὰ τὴν νῦν ἀριστείαν, ὥς τε καὶ χάριν.[11] αὐτῷ φαίην ἂν εἰδέναι τοῦ θράσους. εἰ μὲν γὰρ ἐπὶ τῆς[12] προτέρας εὐλαβείας ἔμενεν, πολλοὺς ἂν Ἕλληνας[13] ἐδόκει δεδιέναι· νῦν δ᾽ ἀναθαρρήσας ἐπειδὴ μετέστην, ἔδειξέ με μόνον φοβούμενος. κἀκεῖνο μὲν τῆς αὐτοῦ δειλίας ἦν ἂν σημεῖον· τοῦτο δὲ τῆς ἐμῆς ἀνδρείας τεκμήριον· κἀκείνως[14] μὲν οὐκ ἂν ἐφάνη τοῖς Ἕλλησι

5 λυπήσεις] sic Wolf. λυπήσεις Mor.

6 ὧν εἰς ἡδονὴν si bene habet, idem significat atque τῶν εἰς ἡδονὴν τοιούτων vel ἀγόντων.

7 ὀρθοῦν] sic Wolf. f. etiam ἐπανορθοῦν. ἐπορθοῦν Mor.

8 παρὰ] διὰ Wolf.

9 αὐτῷ Wolf. non male.

10 οὐχ ὁ τῶν] sic Wolf. οὐχὶ τῶν Mor.

11 οὕτως m. Mor.

12 τῆς πρ.] sic Wolf. τὰς πρ. Mor.

13 Ἑλλήνων Wolf.

14 κἀκείνω καὶ κἀκεῖνος m. Mor.

λησι τῆς ἀπουσίας τὸ βλάβος· νῦν δ᾽ ὁ[15] πολέμιος[16] διδάσκει τὴν τοῦ παροινηθέντος ἀξίαν· κρατῶν ἁπάντων τοσοῦτον, ὁπόσον ἑνὸς ἡττᾶτο· τοῦτον οὖν ἀναστὰς ἐγὼ παύσω, χαριζόμενον ἐμοὶ, καὶ δίκην ὑπὲρ ἐμοῦ πραττόμενον; οὐκ ἄρα σωφρονεῖν δοξῶ· καί μοι δοκεῖς οὐκ ὀρθὴν δόξαν ἐσχηκέναι, καὶ καθ᾽ ἡμῶν Ὀδυσσεῦ· τούτους γὰρ δὴ σὺ τοὺς λόγους ἐπήρθης εἰπεῖν, τοὺς περὶ τῆς μανίας Ἕκτορος· ἐκεῖνο ἐνθυμούμενος ἴσως· φιλότιμος ἀνήρ·[17] ὑπερβολῇ τοῦ πάθους παρ᾽ Ἀχιλλεῖ ἂν ἀκούσῃ τοῦ πολεμίου[18] γενναῖον ἔργον, ἁρπάσεται[19] τὰ ὅπλα. ἐγὼ δὲ[20] τῆς μὲν ἐμαυτῷ προσηκούσης ἀντιποιεῖσθαι τιμῆς ὁμολογῶ· κἂν ἀφῄρημαι ταύτην, οὐκ οἴσω[21] μετρίως· οὐ μὴν οὕτω μικροψύχως ἔχω καὶ μειρακιωδῶς, ὥς᾽ εἴ[22] τις εὐδοκιμεῖ δικαίως,[23] ἀποπνίγεσθαι. καὶ μὴν εἰ καὶ σφόδρα τοῦτ᾽ ἔπαθον, οὐκ ἔσθ᾽ ὅπως ἂν ἧττον ἐκινήθην,[24] ἢ τοιαῦτα ἀκούων. λέγεις γὰρ αὐτὸν τῇ τοῦ Διὸς συμμαχίᾳ τὰ μέγιστα δύνασθαι· τοῦτο δέ ἐστιν εὐτυχεῖν, οὐκ ἀγαθὸν εἶναι τὰ πολέμια· καὶ γίνεται τὰ κατορθώματα, τῆς παρασχούσης τύχης· φιλοτιμία δὲ ἀνθρώπου,[25] πρὸς μὲν τοὺς ἀρετῇ χρωμένους, κἂν πάθοι τι καὶ παροξυνθείη. τοὺς δ᾽ εὐπραξίᾳ τι δυνηθέντας, οὐκ ἂν ζηλωτούς τις ἡγήσαιτο,[26] τῇ δούσῃ θεῷ λογιζόμενος τὰ ἔργα. ἐπεὶ καὶ τοὺς ἀγαθοὺς ἀτυχοῦντας, οὐ φαύλους παρὰ τὰ πταίσματα κρίνομεν. καὶ νῦν Ἕκτωρ, εἴπερ ὄντως τῇ τύχῃ μέγας

ἐστὶ

[15] νῦν δ᾽ ὁ πολ.] ſic Wolf. ὁ deeſt Mor.

[16] πόλεμος m. Mor.

[17] ὁ ἀνὴρ Wolf.

[18] πολεμίου] ſic Wolf. πολέμου Mor.

[19] ἁρπάσεται] ſic Wolf. ἁρπάζεται Mor.

[20] ἐγὼ δὲ] ſic Wolf. ἐγὼ δὴ Mor.

[21] οἴσω] ſic Wolf. et m. Mor. οἴσεσθαι t. Mor.

[22] ὥς᾽ εἴ] ſic Wolf. ὡς εἴ Mor.

[23] γενναίως m. Mor.

[24] ἐκινήθην] per omnia alia magis mouerer, irritarer, quam per haec, quae ex te audio.

[25] ἄνθρωπον Wolf. f. τύχης φιλοτιμίᾳ. πῶς δὲ ἄνθρωπος πρὸς μὲν τοὺς ἀρετῇ χρωμένους — nam recte τῇ abeſt ante ἀρετῇ a Wolf. quod deleui.

[26] τις ἡγήσαιτο] ſic Wolf. τις deeſt Mor.

ἐστὶ, πόῤῥω τοῦ θαυμάζεσθαι γίγνεται. ἀλλὰ γὰρ εὖ ποιῶν προσέθηκας τὸν Δία, καὶ τὴν εὔνοιαν, ἣν εἰς τοὺς Τρῶας ἔχει. ἐν γὰρ τούτῳ τῷ λόγῳ τὰς καθ᾽ ἡμῶν ἀνῄρηκας αἰτίας. τίνα γὰρ μάρτυρα μείζω παράσχωμαι, τοῦ δικαίως τὴν ἡσυχίαν ἄγειν, ἢ τὸν ἄριστον (τῶν) θεῶν, ὃν σὺ φῂς ταῦτά μοι περὶ ὑμῶν φρονεῖν, καὶ συνοργίζεσθαι, καὶ τὴν ῥοπὴν ἄγειν ἐπὶ τοὺς ἐναντίους. πῶς οὖν ἀδικῶ χαλεπαίνων, εἰ τῷ χαλεπαίνειν ὁμολογῶ[27] τῷ Διΐ; πῶς δὲ οὐ σεμνύνει[28] τὴν ὀργὴν ὁ κοινωνῶν μοὶ τῆς καθ᾽ ὑμῶν ὀργῆς; μᾶλλον δὲ καὶ μειζόνως ἀγανακτῶν, εἴπερ ἐγὼ μὲν οὐ βοηθῶ τοῖς Ἕλλησιν, ὁ δὲ καὶ πολεμεῖ τοῖς Ἕλλησιν; εἰ τοίνυν τὸ τοῖς θεοῖς ἀκολουθεῖν, δίκαια ποιούντων ἐστιν, αἱ μὲν διαλλαγαὶ τὴν μέμψιν· τὸ δὲ φυλάττειν τὴν ὀργὴν, ἔπαινον ἔχει. πάνυ τοίνυν ἠχθόμην ὅτε μετοῦ πατρὸς ἀμνημονεῖν ἔφησθα· τὸν μὲν γὰρ[29] κελεύειν θυμοῦ κρατεῖν· ἐμὲ δὲ ἥττω πεφηνέναι. οὐ γὰρ δὴ τοῖς μὲν ἄλλοις ἦν τότε ὦτα, ἐμοὶ δὲ οὐκ ἦν, Ὀδυσσεῦ· ἀλλ᾽ ἴσμεν ἃ περὶ θυμοῦ λέγοντος ἀκηκόαμεν. σὺ δὲ σοφίζῃ, καὶ διαστρέφεις τὸν λόγον. ἔλεγε τοίνυν τότε ἐκεῖνος, ὦ παῖ, μὴ καταμέλει τοῦ τοὺς Ἕλληνας ὡς οἰκειότατα πρὸς αὐτὸν διατεθῆναι[30] τούτου δ᾽ ἂν ἐπιτυγχάνοις, εἰ μηδενὸς ἄρχεις ἀδίκου, μήτ᾽ ἔργου, μήτε ῥήματος, θυμῷ δουλεύων. ἐκεῖνα δὲ οὐκ ἀκήκοα, οὐδὲ ὁ[31] Πηλεὺς ἐπέτελλεν· ὦ παῖ, μικρὰ φρόνει· ταπεινὸς γίνου· εἰς γῆν κύπτε· μὴ δόξης ὀρέγου· μετὰ τῶν ἀνδραπόδων ἀριθμοῦ, προσκύνει τοὺς ὑβρίζοντας· κἂν ἐπὶ κόῤῥης πατάξῃ σέ τις, μὴ χαλέπαινε· κἂν ἀποστερῇ γέρως, σιώπα· πέμπω σε νῦν ἐπ᾽ Ἴλιον, οὐ κτησόμενον εὔκλειαν· ἀλλ᾽ αἰσχυνοῦντα τὸ γένος. τούτων οὐδὲν ἀκήκοα τῶν λόγων· οὐδὲ Πηλεὺς ἐπέτελλεν· ἀλλὰ καὶ τῆς ἐπιεικείας αὐτῆς[32] ἐκεῖνον ἔφασκεν εἶναι τὸν μισθὸν, τὴν παρ᾽ ἑκατέρας τῆς ἡλικίας

[27] εἰ τῷ χαλεπαίνειν ὁμολογῶ] sic Wolf. εἰ τὸ χαλ. ὁμολογῶ Mor.

[28] post σεμνύνει addit Wolf. μοι.

[29] τὸν μὲν γὰρ] sic Wolf. γὰρ deest Mor.

[30] non repudiem lect. W. et m. Mor. διατιθέναι.

[31] ὁ deest Wolf. v. paulo post.

[32] αὐτῆς sic Wolf. αὐτὸν m. Mor.

νίας τιμὴν, καὶ νέων καὶ γερόντων· ὁ δὴ[33] τὴν πρᾳότητα καλὸν[34] ἡγούμενος διὰ τὴν ἀπ᾽ αὐτῆς τιμήν· πῶς ἂν οὗτος ἔπειθεν, ἀνάλγητον εἶναι πρὸς ἀτιμίαν; ἀλλ᾽ ὅπερ ἔφην, ἄρχειν μὲν ὕβρεως ἀπέτρεπε· λυπεῖσθαι δὲ παθόντα κακῶς, οὐκ ἐκώλυεν. ἀλλ᾽ οὐδ᾽ ἂν τὴν ἀρχὴν ἔπεμψεν, εἰ ταῦτ᾽ ᾔδει πεισόμενον. εἰ μὲν οὖν ἐγὼ τὰ δίκαια τῶν Ἑλλήνων πρὸς ἐμὲ ποιούντων, ἠγροικισάμην εἰς ὁντινοῦν ἢ τῶν νέων ἢ τῶν πρεσβυτέρων, ἢ τῶν ἡγεμόνων, ἢ τῶν πολλῶν· εἰ κακῶς εἶπον· εἰ περιέῤῥηξα χλανίσκιον·[35] εἰ τὸ σκῆπτρον εἰς πληγὴν ἀνετεινάμην· εἰ γέρας ἀφειλόμην, ὡς ἂν αὐτὸς τοῖς ἐμαυτοῦ κινδύνοις ταῦτα κομίσας· εἰ μικρὸν, ἢ μεῖζον, ὧν οὐκ ἄμεινον, θυμῷ προήχθεν ἐργάσασθαι, ἀδικῶ μὲν ὑμᾶς, ἀδικῶ δὲ Πηλέα· ὁ δὲ θυμὸς παρ᾽ ἐμοὶ τὰ πρῶτα ἔχει· λήθη δέ μοι τοῦ πατρὸς[36] οὐκ οἶδ᾽ ὅπως γέγονεν· ἀλλ᾽ ἐπάνειμι πρὸς τὰς παραινέσεις, καὶ σωφρονῶ, καὶ λαμβάνω τὰ ὅπλα. εἰ δ᾽ ἥμαρτον[37] μὲν οὐδὲν, ὑβρισμένος δὲ ἀλγεῖν ἐπίσταμαι· ποῦ Πήλεως αἱ συμβουλαὶ παρορῶνται; δοκῶ δέ μοι τρόπον ἕτερον ἐπιλελῆσθαι Πήλεως, κατέχων[38] ἐν τῇ γῇ τὰς ναῦς, καὶ μέλλων καθέλκειν, ἀλλ᾽ οὐ συνάψας τῷ προπηλακισμῷ τὸν ἀπόπλουν. εἰ γὰρ αὐτῷ τις ἀγγείλειεν,[39] οἷα παθὼν, οἵους δέχομαι λόγους, μέγα ἂν οἰμώξειεν, ὡς ἀπολωλότος μοι τοῦ φρονήματος. σὺ δὲ μὴ λέγε τὸν θυμὸν ἁπλῶς· ἀλλ᾽ εἰ μὴ λόγον ἔχει, τοῦτ᾽ ἐπίδειξον· μηδὲ ψιλὴν πρόφερε τὴν ὀργήν· ἀλλ᾽ εἰ μὴ τάξιν ἔχει τιμωρίας, τοῦτ᾽ ἐξέταζε. εἰ δ᾽ ἐγὼ φαῦλος τῷ θυμῷ,[40] φαῦλοι μὲν οἱ τὴν στρατιὰν[41] ἀγείραντες, φαῦλοι δὲ οἱ τούτοις ὑπακούσαντες, καὶ τοσαύτην ποιησάμενοι τὴν ὀργὴν ὥστε καὶ γονέων, καὶ παίδων, καὶ συγγενείας, καὶ κτημάτων,[42] καὶ κατασκευῆς λαμπρᾶς,

καὶ

[33] ὁ δὴ] ſic Wolf. ὁ δὲ Mor.

[34] poſt καλὸν add. Wolf. et m. Mor. ἁπάντων. ἐπ᾽ m. Mor.

[35] χλανίδιον Wolf.

[36] poſt πατρὸς deleui γ᾽, quod deeſt Wolf.

[37] εἰ δ᾽ ἥμαρτον] ſic Wolf. δ᾽ deeſt Mor.

[38] ἐπ᾽ ἔχων Wolf.

[39] ἀγγείλειεν] ſic Wolf. ἀγγέλειεν Mor.

[40] f. φαῦλος εἴκων τῷ θυμῷ.

[41] στρατιὰν] ſic Wolf. στρατείαν Mor.

[42] καὶ παίδων καὶ συγγενείας καὶ κτημάτων] ſic Wolf. haec verba deſunt Mor.

καὶ γῆς, καὶ πατρίδος, καὶ ἱερῶν καὶ τάφων, καὶ πάντων ἃ κατέχειν[43] ἰσχύει[44] τὴν τῶν λελυπηκότων τιμωρίαν ποθεινοτέραν ἡγήσασθαι. καὶ μὴν ἐμοὶ μὲν, οὔπω πέντε καὶ δέκα ἡμέραι τῷ θυμοῦ· κοινῇ δὲ τοῖς Ἕλλησι δέκατον ἔτος. τί οὖν οὐ ταῦτα πρὸς Ἀγαμέμνονα ἔλεγες;

Λῃγέμεναι δ' ἔριδος κακομηχάνου, ὄφρα σε μᾶλλον
Τίωσι Τρώων· ἠ μὲν νέοι ἠ δὲ γέροντες.

δῆλον γάρ, ὡς εἴπερ ἀπαίρειν ἐβούλετο πάλαι, καὶ μὴ παρέχειν πράγματα κἂν εὔξαιντο τῷ Ποσειδᾶνι, παραπέμψαι τὰς ναῦς. ἀλλ' οἶμαι τὸ δεύτερον[45] ἥκειν ἐπὶ τὸ[46] λυπεῖν, κοσμεῖ τὸν θυμόν· ἔστι γὰρ δούλου μὲν σιγῇ παθεῖν· ἐλευθέρου δὲ παθόντα ἀμύνασθαι. χωρὶς δὲ τούτων πῶς ἔνεστι ταῦτα ἀμφότερα συνελθεῖν, τάς θ' ὑπὲρ[47] Ἀγαμέμνονος ἱκετείας, καὶ τὰ καθ' ἡμῶν ἐγκλήματα; εἰ μὲν γὰρ[48] ἐγὼ τοῦ Πηλέως ἀμνημονῶ, τί τὸ κατηγορεῖν ἀφέντες, εἰς συγγνώμην καταφεύγετε, εἰ δ' ὑμῖν ἡ παραίτησις πρέπουσα, ταῖς καθ' ἡμῶν αἰτίαις, οὐκ ἔστι χώρα; δεῖ[49] τοίνυν δυοῖν θάτερον· ἢ συγγνώμην αἰτεῖν, ἢ μέμφεσθαι· ἀλλὰ δῶρα φὴς τὰ μὲν δίδωσι, τὰ δ' ὑπισχνεῖται. καὶ τούτοις ὑβρίζων φαίην ἄν, εἰ πεπίστευκεν ἐπ' ἐμαυτῷ μετὰ χρήματα[50] λήψεσθαι, καὶ τὴν ἐπιτιμίαν ἀποδόσεσθαι·[51] καὶ τί κωλύσει καὶ τοῦτον αὐτὸν καὶ τῶν εὐπορούντων ἕκαστον, ἀδεῶς ὑβρίζειν, εἴπερ ἐξαρκέσει χρήματα καταθέντι παῦσαι τῶν ἠδικημένων[52] τὸν θυμὸν καλόν γε. οὐ γὰρ[53] πλοῦτον συλλέγειν ἐξ ἀδικίας,[54] καὶ

[43] κατέχειν] subaudi e praemissis τὴν ὀργήν.

[44] ἰσχὺς m. Mor.

[45] δευτέρους Wolf.

[46] ἐπὶ τὸ] sic dedi ἐπὶ τῷ Mor.

[47] τάς θ' ὑπὲρ] sic Wolf. ταῦθ' ὑπὲρ Mor.

[48] εἰ μὲν γὰρ] sic Wolf. μὲν deest Mor

[49] δεῖ δὴ Wolf. et m. Mor.

[50] ἐμαυτὸν μὲν μετὰ χρημάτων m. Mor.

[51] ἀποδόσεσθαι] sic Wolf. et m. Mor. ἀπολήψεσθαι t. Mor.

[52] ἠδικημένων] sic Wolf. ἀδικημάτων Mor.

[53] οὐ γὰρ] sic Wolf. et m. Mor. desunt t. Mor.

[54] ἀσωτίας Wolf. et m. M. malim προσθέντα.

καὶ χρηματίζεσθαι τοῖς ἀσελγαίνειν βουλομένοις αὐτὸν προθέντα· καὶ πότερον δῶρα ταῦτα χρὴ καλεῖν ἢ δουλείας ἀρχήν; οὐ γὰρ δὴ πρὶν μὲν γενέσθαι καταφανὲς, εἰ τὴν ὀργὴν ἐπὶ χρήμασιν ἀναιρήσω, ῥαδίως οὕτως Ἀγαμέμνων ὕβρισεν· ἔργῳ δὲ γνοὺς ὅτι πάντ᾽ ἂν[55] ὑπομείναιμι χρημάτων, αἰδοῖ χρήσεται πρὸς τοῦτον ὃν ἔξεστι πρίασθαι. ὅλως δὲ εἰ μὲν ἀδίκως ὀργίζομαι, τίς ὁ καιρὸς τῶν δώρων; εἰ δ᾽ ἐν δίκῃ χαλεπαίνω, πῶς ἀξιοῖς με δώρων τὸ δίκαιον προέσθαι; θαυμάζω δὲ εἰ τὸν Χρύσην πολλὰ καὶ θαυμαστὰ λύτρα φέροντα, μικροῦ διειργάσατο· ἡμᾶς δὲ ἀξιοῖ πρὸς τοὺς τρίποδας ἐκπλαγῆναι, καθάπερ ἐν ἐνδείᾳ τραφέντας. εἰ δοῦλος ἦν, Ὀδυσσεῦ, περιουσίας, ἐξῆν ἂν ἐν Φθίᾳ μοι καθημένῳ τρυφᾶν· νῦν δ᾽ ἔρωτι μὲν δόξης ὑπερεῖδον τῶν οἴκοι· τετελευτήκασι δέ μοι πρὸς ἀτιμίαν οἱ πόνοι. φέρε, εἰ πρὸ τῆς ἀτιμίας Ἀγαμέμνων ὑπισχνεῖτο[56] δῶρα δώσειν, εἰ παροινοῦντος ἀνασχοίμην,[57] ἆρ᾽ ἄν μοι συνεβούλευσας εὐπρεπεῖς οὕτω ποιεῖσθαι συνθήκας; οὐκ ἔστιν. οὐχ᾽ οὕτω ποτ᾽ ἂν φθέγξαιο· εἶθ᾽ ὑβρίζεσθαι μὲν ἐπὶ δώρων ἐλπίδι, πολλῆς αἰσχύνης·[58] ὑβρισθέντα δὲ χρημάτων λῦσαι[59] τὴν ὀργὴν, τῶν καλῶν ἔν τι ἐστί; καὶ μὴν τὸ λαβόντα[60] καταλῦσαι τὸν θυμὸν, ἴσον γίνεται τῷ παθεῖν ἐπὶ τῷ λαβεῖν. ἑκάτερον γάρ ἐστιν ἀνδρὸς, τὸ παροινεῖσθαι πεποιημένου πρόσοδον· ὅλως δὲ γέλως[61] τὰ δῶρα καὶ τὰ νῦν προκεχειρισμένα, καὶ ἃ Τροίας ἁλούσης ἐπαγγέλλεται. καὶ περὶ μὲν τῶν μελλόντων, ἐκεῖνο λέγω· ἐμοὶ μένοντι καὶ μετέχοντι τῶν ἀγώνων εἵμαρται πεσεῖν, Ὀδυσσεῦ. Πηλέα δὲ καὶ τὸν πατρῷον οἶκον οὐκ ὄψομαι[62] ταῦτ᾽ εἶπεν ἡ μήτηρ, θεὸς οὖσα· καὶ μὴ πιστεύειν οὐκ ἔνεστιν.

ἀνελε

[55] πάντ᾽ ἂν] sic Wolf. ἂν deest Mor.

[56] τῆς ἀσελγείας ὑπισχ. m. M. et Wolf.

[57] ἀνασχοίμην] sic Wolf. ἀναχοίμην Mor.

[58] αἰσχύνης] ἂν εἴη μανίας Wolf. et m. Mor.

[59] λύσειν Wolf.

[60] τὸ λαβ.] sic Wolf. τὸν λαβ. Mor.

[61] γέλως] sic Wolf. γελάσαι Mor.

[62] ὄψομαι] sic Wolf. ὄψεσθαι Mor.

εἶπε οὖν ἐκ τοῦ λόγου τὴν ναῦν τοῦ Χρυσοῦ·[63] καὶ τὰς εἴκοσι Τρῳάδας, καὶ τὰς ἑπτὰ πόλεις· καὶ τὴν κηδείαν. κεναὶ γὰρ, ταῦτα, ὑποσχέσεις· ὥσπερ ἂν εἰ καὶ τῷ Πρωτεσιλάῳ, δῶρα νῦν ἔπεμπεν εἰς Ἐλεοῦντα· περὶ μὲν[64] τῶν μετὰ τὴν νίκην, τοσαῦτα εἰρήσθω μοι· περὶ δὲ τῶν ἑτοίμων, καὶ ὧν[65] ἐγγὺς ἡ δόσις, τί φημί; ταχέως Ἀγαμέμνων ἐπιλέλησαι, πόθεν ἔχει τὸ δῶρα διδόναι δύνασθαι; ταῦτα γὰρ οὐκ ἐκ Μυκηνῶν εἰς τὰς ναῦς ἐνθέμενος ἧκεν ἄγων· ἀλλὰ τοῖς μὲν ἐμοῖς κινδύνοις ἐκτήθη· μεγαλοψυχίᾳ δὲ, εἰς τὸ κοινὸν ἀφείθη.[66] ἣν οὖν λάβω, τἀμαυτοῦ λαβὼν ἔσομαι. φέρε γὰρ, εἰ μὴ τὴν Λέσβον εἷλον, ἆρ' ἂν εἶχεν ὑπισχνεῖσθαι τὰς ἑπτὰ γυναῖκας τὰς Λεσβίδας; τί δ' εἰ μὴ τὰς ἄλλας ᾑρήκειν; ἆρ' ἂν εἶχεν ὑπισχνεῖσθαι τ' ἄλλα; εἰ τοίνυν ἃ παρ' ἐμοῦ γέγονεν ἐκείνῳ, ταῦτ' ἐμοὶ παρ' ἐκείνου, παρ' ἐμαυτοῦ μοι γίνεται τὰ δῶρα· καὶ χάριν εἰδέναι δικαίως ὁ ἐκεῖνος[67] ἐμοὶ πάντων. ἀλλ' οὐκ ἐγὼ τοῦ μέρους τῶν σκύλων, ἐκείνῳ· δοκεῖ δέ μοι μηδὲ τοὔνομα τῶν δώρων προσήκειν τῷ παρόντι πράγματι· ὁ μὲν γὰρ ὧν οὐ κατέστη κύριος, ταῦτα λαμβάνων, δῶρα λαμβάνει· ὁ δ' ὧν ἐγκρατὴς ὑπῆρχε, ταῦτα δεχόμενος, ἃ πρότερον εἶχε κομίζεται. ὥστ' οὐδὲ πάντων ἀφισάμενος τῶν ἐν τῇ σκηνῇ, δώρων μεμνῆτ' ἂν εἰκότως. οὐ γὰρ δοῦναι τοῦτ' ἂν ἦν,[68] ἀλλ' ἀποδοῦναι. νῦν δὲ ποιεῖ παραπλήσιον, ὥσπερ ἂν εἰ καὶ τὴν κιθάραν ταύτην, εἰς δωρεάν μοι λογίζοιτο.[69] χωρὶς δὲ τούτων, μὴ θαυμάζοντα μὲν τὰ δῶρα, τὴν ὀργὴν ἐξαλείφειν οὐκ ἔνι. θαυμάζειν δὲ ὧν τις ὑπερεῖδεν οὐχ οἷόν τε. ἐμοὶ τοίνυν κατέχειν μὲν ἦν ἐξελόντι.[70] τίς γὰρ ἂν ἄκοντος ἥψατο;

κοινὰ

[63] τὴν ναῦν τοῦ Χρυσοῦ] bene si habet, idem valebit atque τὴν ναῦν τὴν γέμουσαν τοῦ Χρυσοῦ.

[64] post μὲν addit Wolf. οὖν.

[65] ὧν] τῶν Wolf.

[66] ἀφείθη] sic Wolf. ἀφήθη Mor.

[67] ὁ post δικαίως deleui. desunt vt a m. Mor. ita a Wolf. quoque ista ὁ ἐκεῖνος et τῶν σκύλων. sed ἐκεῖνος seruari debere, apparet ex inseqq.

[68] ἂν ἦν] ἐστιν Wolf.

[69] λογίζοιτο] sic Wolf. λογίζηται Mor.

[70] ἐξῆν ἑλόντι Wolf.

κοινὰ δὲ ποιεῖν τοῖς Ἕλλησι [71] τὰ τῶν ἐχθρῶν ἀγαθὰ πρέπειν [72] ᾠήθην. εἶτ' ἐν χεροῖν μὲν ὄντα, ῥᾳδίως ἐξέβαλον. ζητῶ δ' ἀπόντα· καὶ τῷ δοῦναι σεμνυνόμενος, ἐπιθυμῶ λαμβάνειν; [73] καὶ πάντα μὲν ἡγησάμην μικρὰ, μικρὰ δ' ἐξ ἁπάντων θαυμάζω· τί οὖν αἰτεῖ συγγνώμην Ἀγαμέμνων; εἰ γὰρ ἐφέλκεταί με τὰ δῶρα, καλῶς ἐκεῖνος ὕβριζε. πᾶς [74] γὰρ ἐλάττων κέρδους, ἀτιμαζέσθω· [75] βούλομαι τοίνυν ἐπανελθὼν ὅσα φρονῶ, περὶ τῆς κηδείας εἰπεῖν. θῶμεν γὰρ καὶ βιώσεσθαί με παρὰ τὴν τῆς μητρὸς μαντείαν, καὶ πάλιν ἐπιβήσεσθαι τῆς οἰκίας. [76] εὐθὺς οὖν Ἀγαμέμνων ἐγγυήσει τὸ θυγάτριον; τί λέγεις; ὁ τὴν οὖσαν ἀφαιρούμενος, τὴν αὐτῷ δώσει; καὶ τὴν αἰχμαλώτου [77] φθονῶν ἐγχειριεῖ τὴν παῖδα; καὶ τοῦ πολέμου τελευτὴν εἰληφότος, ἔσται χρηστὸς, ὁ μηδ' ἐν [78] τῇ χρείᾳ σωφρονῶν; οὐκ ἔστιν· ὁρῶ τὸ μέλλον [79] τοῖς ἤδη πεπραγμένοις· καὶ γίγνεταί μοι τῶν δευτέρων, ἃ πέπονθα διδαχή. καὶ τοῖς ἐγνωσμένοις, τἀφανῆ ἐξελέγχεται. ἀλλ' εἰ δοκεῖ, καὶ τοῦτο θῶμεν· ἐμμένει [80] οἷς ὑπισχνεῖται καὶ πληρώσει τὸν γάμον. τί τοίνυν ἐν τῇ παιδὶ τοιοῦτον, δι' ὃ δεῖ προκινδυνεῦσαι τοῦ δυσμενοῦς; πλοῦτον ἐποίσεται μέγαν; ἀλλ' οὐ θαυμάζω τὸ πλουτεῖν. ὥρα λάμπει σώματος· ἀλλ' οὐκ ἀσφαλὲς τὸ κτῆμα· καὶ δείκνυσιν Ἑλένη· τρόπων ἤσκηκεν [81] ἀρετήν; καὶ πότερον τὴν τίθην [82] ἢ τὴν τιτθίδα [83] μεμίμηται; γένους ἕνεκα; νὴ Δία· καὶ πότερον Αἰακὸς Ταντάλου χείρων, ἢ Πηλεὺς

71 τῶν Ἑλλήνων Wolf.

72 τρέπειν Wolf.

73 λαβεῖν Wolf.

74 πᾶς] sic Wolf. πῶς Mor.

75 ἀτιμαζέσθω] bene si habet, accipitur pro δίκαιος ἐστιν ἀτιμάζεσθαι. ἴσ. ἠτιμάζετο. m. Mor.

76 τῆς οἰκίας] malim τῆς οἰκείας.

77 τῆς αἰχμαλώτου] sic Wolf. τὴν αἰμάλωτον Mor.

78 μηδ' ἐν] sic Wolf. μηδὲν Mor.

79 μέλλον] sic Wolf. μέλλων Mor.

80 ἐμμένειν et πληρώσειν dat Wolf. futura et infinitiuos hic loci si praeferas, erit ἐμμενεῖν leg.

81 ἤσκησεν Wolf.

82 τίθην] Sch. in marg. Wolf. τὴν ἀερόπην.

83 τιτθίδα] Schol. in m. Wolf. τὴν Ἱπποδάμειαν.

Πηλεὺς Ἀτρέως. ὧν ὁ μὲν, εὐχῇ τὸν λοιμὸν διέλυσεν·[84] ὁ δὲ τὴν τῶν Κενταύρων ὕβριν κατέλυσε, καὶ δι᾽ ἀρετὴν τρόπων, τῷ Θέτιδος ἐτιμήθη γάμῳ. ἐξεταζέτω τοὺς προγόνους Ἀγαμέμνων. καὶ πάντας ἐκ τῶν ἀδικημάτων βεβοημένους εὑρήσει· Τάνταλος ἐξειπὼν τ᾽ ἀπόρρητα· καὶ τεθνεὼς κολάζεται· δικάζει δὲ ὑπὸ γῆν Αἰακός. Πέλοψ τὸν συναγωνιστὴν Μυρτίλον, ἐν Γεραιστῷ κατεπόντισεν.[85] Ἀτρεὺς ἀδελφὸν ἀπέκτεινε, καὶ παῖδας ἀδελφοῦ.[86] τὴν δὲ θοίνην σιωπῶ. οὗτος αὐτὸς Ἀγαμέμνων εἰς τὸν Ἀπόλλωνα καὶ τὴν Ἄρτεμιν ἠσέλγησεν·[87] ὥστ᾽ οὐκ οἶδ᾽, εἰ προσῆκεν, οἰκίαν θαυμάζειν τοσούτου γέμουσαν[88] μύσους. κεφάλαιον δὲ, βάρβαρος Ἀγαμέμνων τὸ ἐξ ἀρχῆς. ἐγὼ δὲ Αἰγινήτης. γίγνεται οὖν ἡ μίξις τοῖν γενοῖν, ὄνειδος μὲν τοῖς Αἰακίδαις· κόσμος δὲ τοῖς Πελοπίδαις. οὐκ οὖν ἐκεῖνος θεραπεύσει τὴν ὕβριν τῷ γάμῳ, ἀλλ᾽ αὐτὸς[89] ἁμαρτὼν, οὕτως ἂν ᾤμην τὴν ἁμαρτίαν λύσειν, φάσκων αὐτῷ κηδεύσειν ἐπὶ ταῖς διαλλαγαῖς. εἰ δ᾽ ὥσπερ Ὀρέστην με τιμήσει, τῷ μὴ μᾶλλον ἐμὲ τιμᾶν, ἀδικήσει. πῶς γὰρ οὐκ ἄτοπον, παρ᾽ ἐμοῦ μὲν ἔχειν, τὸν Ὀρέστην αὖθις ἰδεῖν, τῆς αὐτῆς δ᾽ ἐκείνῳ τιμῆς ἄγειν. Ὀρέστη τε γὰρ τοῦ πατρὸς ἐντιμότερος ἐγώ· δι᾽ ὃν οὐκ ὀρφανὸς ἐκεῖνος·

84 διέλυσεν] sic Wolf. recte. ἔλυσεν Mor.

85 κατεπόντισεν] sic Wolf. κατεπόντιζεν Mor.

86 Θυέστῃ m. Mor.

87 ἀσελγὴς Wolf.

88 post γέμουσαν delevi τοῦ quod deest Wolf. ad βάρβαρος scripta sunt in Wolf. haec Scholia:

Τάνταλος γὰρ ὁ πρόγονος τούτου λυδὸς ἦν.

τὴν ἀερόπην λέγει τὴν τοῦ ἀγαμέμνονος μητέρα. ἣν ὁ ἀνὴρ αὐτῆς ἀτρεὺς μοιχευομένην λαβὼν τῷ ἀνδραδέλφῳ αὐτῆς θυέστῃ, εἰς θάλασσαν ἔρριψεν.

τὴν τοῦ πέλοπος. γυναῖκα ὑποδάμειαν λέγει. καὶ αὐτὴ γὰρ ἐμοιχεύετο τῷ μυρτίλῳ.

89 ἀλλ᾽ αὐτὸς] sic Wolf. sed ego ipse, si quid in Agamemnonem deliquissem, ita viderer mihi peccatum diluturus, si pollicerer, me cum ipso affinitatem contracturum, hac conditione, ut mihi ignoscat, et mihi rursus reconcilietur. ἀλλ᾽ deest Mor.

ἐκεῖνος· τούτῳ τε Ὀρέστου, δι' ὃν ἕξει τοῦ παιδὸς ἀπολαύειν. οὕτω τῶν ὑποσχέσεων, αἱ μὲν ἐλάττους τοῦ δέοντος· αἱ δὲ δωρεῶν ἀφεστᾶσιν· ἐν δὲ ταῖς, ἐκεῖνος πλεονεκτεῖ· ἀλλ' ἔστων[90] καὶ μεγάλαι καὶ καλαὶ[91] καὶ θαυμασταί· ἐχθροῦ δέ γέ εἰσι,[92] καὶ οὐ πεφύκασιν εὐφραίνειν. ᾧ τοίνυν ἡμᾶς μάλιστα κάμψειν ἤλπισας, ὅτι τὴν κόρην ἀποπέμψει· τοῦτο τοῦ μηδενὸς[93] ἄξιον εἰς τὴν σπουδὴν ἐστί σοι. τίς γὰρ οὕτως εὐήθης, ὃς οὐ τῆς ἀφαιρέσεως ἀλγήσει μᾶλλον, ἢ τῆς ἀποδόσεως εἴσεται χάριν. τὸ μὲν γὰρ ἐκ τῶν δικαίων ὑπῆρχε, τὸ τῶν αὐτοῦ κρατεῖν· ὃν δ' ἀφῄρηταί τις χρόνον ἠδίκηται. καὶ τὸ μέν ἐστιν ἔγκλημα· τόδ' οὐκ ἔστιν εὐεργεσία. ὃ γὰρ ἐχρῆν συνεχῶς[94] παρ' ἐμοὶ μένειν, τοῦτο ἁρπάσας, εἶτ' ἀποδοὺς, τῷ μὲν ἐλύπεις[95] τῷ δὲ οὐ χαρίτῃ[96] τίς γὰρ ἡ χάρις ἀποστῆναι τῶν ἀλλοτρίων; ὅτι τοίνυν, οὐχ οἷόν τε λύσιν τῶν ἀδικημάτων διὰ τῆς ἀποδόσεως γενέσθαι, γνοίης ἂν ὧδε· νῦν ἐπάνεισί μοι Βρισηίς· καλῶς. πόθεν οὖν ἐπάνεισι; παρ' Ἀγαμέμνονος; τοῦτ' οὖν αὐτὸ παρ' Ἀγαμέμνονος ἐπανήκειν, τίς λύσει μοι μηχανή; ἕως δ' ἂν ἀπὸ τῆς ἐκείνου σκηνῆς ἐξίῃ, μένει τὸ λυποῦν[97] ἀνίατον. χωρὶς δὲ τούτων, οὐ τὸ σῶμα τῆς ἀνθρώπου τότε ἀφῃρεῖτο, μόνον· ἀλλὰ καὶ προσῆν ὕβρις τοῖς πραττομένοις· μᾶλλον δὲ ὅλον ὕβρις ἦν τὸ πρᾶγμα· ἡ μὲν οὖν ἄνθρωπος αὖθις ἔσται παρ' ἡμῖν· τὸ δὲ μὴ πεπαρῳνῆσθαι, πόθεν προσέσται μοι; εἰ τοίνυν ὑπὲρ οὗ τὴν κόρην ἀπέσπα, τοῦτο οὐκ ἀναιρήσει, σώζεται τὸ ἀδίκημα· κἂν ἀποπέμπῃ τὴν κόρην,[98] ἡ ὕβρις μένει· εἰ προσελθὼν

τίς

90 ἔστων] sic Wolf. id est ἔστωσαν. ἔστω Mor.

91 καλαὶ] πολλαὶ Wolf. et m. Mor.

92 ἐχθρά εἰσι m. Mor.

93 τοῦ μηδενὸς] sic Wolf. τοῦ deest Mor.

94 συνεχῶς] sic Wolf. νυνεχῶς Mor.

95 ἐλύπεις] sic Wolf. ἐλύπησε Mor. ἐλύπει m. Mor.

96 χαρίζῃ] sic Wolf. χαρίζεται Mor.

97 λυποῦν] sic Wolf. et m. Mor. recte id quidem; verum e vulg. παράπαν colligo, in libris quibusdam etiam ταράττον fuisse.

98 post κόρην addit Wolf. εἰς ἐμέ.

τὶς τῶν Ἑλλήνων, τρώσειεν ἐπιβουλεύων, ὃ καθυφήσεις[99] τῆς ὀργῆς, ὁρῶν κομίζοντα τῷ τραύματι φάρμακον· ἕτοιμον γὰρ ἅμα καὶ δίκαιον εἰπεῖν. ὦ κάκιστε ἀνδρῶν· τί γὰρ κατεσκεύαζες τῷ φαρμάκῳ τὴν χρείαν, ἐξὸν ὅλως ἔχειν παρὰ σαυτῷ τὼ χεῖρε; τί δ᾽ ἀντὶ τοῦ μὴ πλῆξαι, τὴν πληγὴν ἐπανορθοῖς; εἶτα, σὺ μὲν οὕτως. ἂν δὲ Ἀγαμέμνων εἴπῃ, λέλυται τὸ δεινὸν, ἐπάνεισιν ἡ κόρη· προσδεξάμενος ἐγὼ, περιπτύξομαι τὸν ἄνδρα, καθάπερ ὄντως οὐδὲν ἠδικημένος; ἀλλ᾽ οὐχ οὕτως ἀνόητός εἰμι, καὶ κατὰ σὲ σοφός. ἐγὼ γὰρ ἡγοῦμαι τὴν ἀπόδοσιν αὐτὴν δεῖγμα εἶναι τῆς ἀδικίας· ἐν ᾧ γὰρ ἀφίησί τις τοῖς ἐξ ἀρχῆς κυρίοις, ἃ τέως ἀπεστέρει, τὸ μὴ προσηκόντως ἀφελέσθαι δείκνυσιν. ὅταν οὖν ἀκούσω τὴν ἀπόδοσιν, ἐννοῶ τὴν ἀφαίρεσιν, καὶ συνεισέρχεταί τὸ λυποῦν. πρὸς τῶν θεῶν, εἴ τις αὐτοῦ τὴν ἀρχὴν[100] ἀφελόμενος ἡμέρας πλείους[1] ἢ ἐλάττους, εἶτ᾽ αὖθις ἑκὼν ἀπαλλάττοιτο, τὴν βασιλείαν ἀποδοὺς, ἆρ᾽ ἂν ἡγήσαιτο μηδὲν ἄξιον δίκης πεπρᾶχθαι; τί δ᾽ εἴ τις τῇ Κλυταιμνήστρᾳ συνοικοίη[2] μέχρις ἂν οὗτος ἀπῇ,[3] φανέντος δὲ, μηκέτι προσίοιτο[4] τῇ γυναικὶ, ἆρ᾽ ἂν εὐγνώμονα καὶ βέλτιστον κρίνειε, τὸν οὐκ ἄχρι παντὸς ἀδικοῦντα; σὺ δὲ πρὸς τῆς Ἀθηνᾶς, εἰ τὴν Πηνελόπην ἀνὴρ Ἰθακήσιος ἀποσπάσας τῶν σῶν βασιλείων, οἴκαδε ὡς αὐτὸν ἀγαγὼν ἔχοι[5] εἶτα πυθόμενός σε κατηρκέναι πάλιν καταστήσειεν εἰς τὰ πρότερα, ἆρ᾽ οὐκ οἰήσῃ τοῦ ξίφους δεῖν ἐπ᾽ αὐτόν; οὐδ᾽ ἐκεῖνα μισήσεις, ἀλλὰ τούτων εἴσῃ χάριν; μέγα μέν τ᾽ ἂν ὑπάρξειε τοῖς πονηροῖς, εἰ τρυφῶντες ἐν τοῖς ἀλλοτρίοις[6] ὁπόσον ἐθέλουσιν, εἶτ᾽ ἀποδόντες, ἐν

τοῖς

99 καθυφήσεις] sic Wolf. vnde colligitur, aut pone εἰ addendum esse σοι, aut pone Ἑλλήνων, στ. v. paulo post εἶτα σὺ μὲν οὕτως scil. ἂν ἔφης. vnde haec conjectura confirmatur. καθυφήσει Mor.

100 ἀρχὴν] τιμὴν Wolf.

1 ἢ πλείους Wolf.

2 συνοικοίη] sic Wolf. συνοικεῖ Mor.

3 ἀπίῃ Wolf.

4 ἐπίῃ Wolf.

5 ἔχοι] sic Wolf. ἔχει Mor.

6 ἐπ᾽ ἀλλοτρίαν (sic) Wolf. voluit ἐπ᾽ ἀλλοτρίων.

τοῖς ἐπιτηδείοις γεγράψονται. ἀλλ᾽ ὐδ᾽ Αὐτολύκῳ τῷ πάππῳ τῷ σῷ, τῦτ᾽ ἂν ἤρκεσεν εἰπεῖν, εἴπερ ἑάλω κλοπῆς, ἀποδίδωμι, κομίζεσθε τὰ φώρια· τί κεκράγατε; τί δὲ ἠδίκησθε; δεῖ γὰρ ἐξ ἀρχῆς εἶναι χρηςόν ὐκ[7] ἀδικοῦντα σοφίζεσθαι· ἀξιῶ δέ σε μὴ δυσχερῶς ἀκούειν, εἰ μετὰ Πηνελόπης καὶ Κλυταιμνήςρας μνημονεύοιμι τῆς Βρισέως. ἑκάςῳ γὰρ ὅ, τι φίλον, τῦτ᾽ ἔντιμον· ἐμοὶ δὲ ἦν ἐκείνη περὶ πολλοῦ· καὶ οὐδὲν ἐκώλυεν ἡ τύχη. ὥσπερ οὖν ὑμῖν ἀπολαμβάνυσιν οὐκ ἂν ἀπέχρησεν, οὐδ᾽ ἑτέρῳ· καὶ μὴν εἰ λύσιν τῆς ὕβρεως οἰησόμεθα τὴν ἀπόδοσιν, πονηρὸν ἔθος εἰς τὸ ςρατόπεδον εἰσάγοντες λήσομεν. ἀφαιρήσεται μὲν τὸ σὸν γέρας ὁ Διομήδης· Αἴας δὲ τὸ Αἴαντος· οὑτοσὶ τὸ τῦ λοκροῦ. Μενέλεως δὲ τὸ Νέςορος· ἄλλος δὲ τὸ τῦ δεῖνος.[8] εἰ δ᾽ ἀγανάκτησις γένοιτο, πάντες ἀποδώσυσι· τοῖς δ᾽ ὑβρισμένοις σιωπᾷν καταλείπεται· ἀλλ᾽ ὐκ ἐςαι τῦτο, μηδὲ γένοιτο, ὦ Πόσειδον. ἀλλ᾽ ἐνταῦθα δὴ καὶ τὸ τούτυ δεινότερον· εἰ πέπονθα μόνος, ἃ μηδεὶς ἔτι τολμήσει. χθὲς ὑμεῖς ἐπῃνεῖτε τὸν Τυδέως· ἔγνων γὰρ ἔγνων, ἐπειδὴ μάλα[9] νεανικῶς ἀπεκρίνατο πρὸς Ἰδαῖον, ὡς οὔτε τὰ χρήματα, οὔτε τὴν Ἑλένην ἀποδοῦσιν, ἐςαι τῦ πολέμου πέρας. καὶ ὡς ὐκ ἀπήρεσκε τοῖς Ἀτρείδαις ὁ λόγος, ἐμαρτύρησεν Ἀγαμέμνων, ὐ ζητήσας ἑτέρας ἀποκρίσεις. μὴ τοίνυν ὕτω πλεονεκτικῶς ἐχόντων,[10] ὥςε τούτοις ἀξιῦν ςέργειν ἐμὲ, ὧν αὐτοῖς γιγνομένων, ὐκ ἂν ἠγάπησαν. καὶ δῆτα, ςέργει Μενέλεως Ἑλένην ἀπολαμβάνων; καὶ πόλεμος οὐκ ἔςαι· ἀλλ᾽ οὐδέν τι μᾶλλον ἐμοὶ ταῦτα ποιητέον. διὰ τί; ὅτι τὸ πρῶτον μὲν, Μενέλαος ὑπ᾽ ἀλλοφύλων ἠδίκηται· καὶ οἷς ἡ φύσις πρὸς τοὺς Ἕλληνας ἀθάνατον ἔςησε[11] τὴν ἔχθραν· ὥς τ᾽ ἐλάττων ὁ θυμὸς γίγνεται, τῷ τὸ εἰκὸς συμβῆναι. ἔπειτ᾽ Ἀλέξανδρος οὐκ εἰς ἐνεργέτην ἡμάρτανεν. ὐ γὰρ ἐκείνῳ γε συνανήχθη Μενέλεως,

[7] ὐκ] sic Wolf. etiam hoc probo, quod εἰ dat pone ἀκύειν. Mor. dat ὐδ᾽ et εἰ pone κλυταιμνήςρας:

[8] τὸ νέςορος, ἄλλος δὲ τὸ τῦ δεῖνος] sic Wolf. τῦ Νέςορος· ἄλλος τῦ δ᾽ Mor.

[9] μᾶλλον m. Mor.

[10] ἐχόντων] id est ἐχέτωσαν.

[11] ἔτακε Wolf.

λεως, οὐδὲ στρατείας ἐκοινώνησε, καὶ πόνων· οὐδὲ συνήρατο πράγματα· ὐδὲ παρεῖχε καθεύδοντι τῶν δυσμενῶν κρατεῖν· ὐκ οὖν εἶχεν ἀφορμὰς εἰς ὀργὴν μεγάλην.[12] ἐγὼ δὲ Ἕλλην ὑφ' Ἕλληνος ὑβριζόμην σύμπλους, συστράτηγος,[13] ὑπὲρ τῶν ἐκείνῳ διαφερόντων κοπτόμενος τῆς μὲν[14] βουλῆς κοινωνῶν· τὰ δ' ἐν τοῖς ὅπλοις, μόνος μοχθῶν· τὰς δ' εὐπορίας,[15] εἰς μέσον παρέχων. ὅσῳ τοίνυν[16] εὖ ποιῶν ἐλαυνόμην,[17] τοσούτῳ πλέον ἀλγῶ. καὶ θαυμαστὸν οὐδὲν μὴ τοῖς ἴσοις διαλλάττεσθαι, τοὺς οὐκ ἴσα πεπονθότας.[18] ᾧ μὲν γὰρ ἡ λύπη[19] μικρὰ, τούτῳ τὸ κομίσασθαι μέτριον· ᾧ δὲ ὑπερβάλλουσα, τούτῳ πάλιν λαβεῖν[20] ὐκ ἀπόχρη. ἄνευ δὲ τούτων ἀκούω τὸν Μενέλεων, οὐ τῦ κάλλους τῆς Ἑλένης ἐπιθυμεῖν, ἀλλὰ τῆς παρ' αὐτῆς δίκης. βούλεται γὰρ λαβὼν αἰκίσασθαι· λιμῷ πιέσαι·[21] κατακόψαι· ταύτῃ γὰρ ἐγκαλεῖ πλέον ἢ τῷ Πριάμου·[22] μὴ γὰρ ἐθέλουσαν, οὐκ ἂν ἐκ μέσης ἁρπασθῆναι Λακεδαίμονος. ἣν τοίνυν μᾶλλον ἢ Τρῶας μισεῖ, ταύτην εἰ[23] λάβοι παρ' ἑκόντων, οὐκ ἔτ' ἂν Τρωσὶ χαλεπαίνοι. ἐγὼ δὲ τί χρήσομαι τῇ κόρῃ; τὸ μὲν συνοικεῖν,[24] αἰσχρόν· τὸ δ' ἀποκτείνειν, οὐ δίκαιον· εἶδον γὰρ ἑλκομένην ἀφιεῖσαν δάκρυον· ὐκοῦν ἐκείνῳ μὲν ἵστησι[25] τὴν λύπην, Ἑλένη δοῦσα δίκην· ἐμοὶ δὲ ὐκ ἔστιν ὃ παύσει τὸν θυμόν. παρὰ πάντα δὲ ταῦτα ἐκεῖνο λέγω·[26] νῦν ὁ καιρός μοι τὴν Βρισέως ἀποδίδωσιν· ὁ φόβος[27] ἡ ταραχή· τὰ τῶν βαρβάρων εὐτυ-

12 ὀργὰς μεγάλας Wolf.
13 σύμπλυς, σύμπνυς, συστρ. Wolf. et m. Mor.
14 τῆς μὲν] sic Wolf. et m. Mor. τὰ μὲν t. Mor.
15 εὐπορίας Wolf. m. Mor.
16 ὅσῳ τοίνυν] subaudi πλέον vel μᾶλλον.
17 ἠλαυνόμην Wolf.
18 παθόντας Wolf.
19 γὰρ ἡ λύπη] sic Wolf. ἂν λύπη Mor.
20 lege τούτῳ τὸ παλινλαβεῖν. retrosumere.
21 πιέσαι] sic Wolf. et m. Mor. πιέσασθαι t. Mor.
22 τῦ πριάμυ Wolf.
23 post εἰ delevi καὶ, quod deest Wolf.
24 τὸ μὲν γὰρ συνοικ. Wolf.
25 ἐκείνῳ μὲν ἵστησι] sic Wolf. Mor. dat στήσῃ.
26 βλέπω m. Mor.
27 ὁ κίνδυνος ὁ φόβος Wolf.

εὐτυχήματα. μὴ οὖν ὡς Ἀγαμέμνονος ἐπιεικοῦς γεγενημένου, χρῶ τοῖς λόγοις. ὃ γὰρ ἑκὼν οὐ ποιεῖ, πῶς ἂν τούτῳ χρηστὸς εἶναι δοκοίη. εἰ μὲν οὖν οὔπω[28] τῶν πραγμάτων εἰς δυσκολίαν ἡκόντων μετεβάλλετο, καὶ πρέσβεις πέμπων ἀπελογεῖτο, τάχ' ἂν εἶχε λόγον ἐνδοῦναι καὶ νομίσαι βελτίω γεγονέναι τὸν ἄνθρωπον· ἐπεὶ δ' οὐδὲν ἔπραξεν ἐπιεικὲς πρὸ τοῦ θορύβου, μὴ ποιείσθω τὰ τῆς ἀνάγκης ἑαυτοῦ. ὥσπερ γὰρ οὐ τῶν κηρύκων ἡγούμην τὴν ἀφαίρεσιν, εἰ καὶ λαβόντες ἀπῆγον[29] τὴν κόρην· οὕτως οὐδὲ τούτου τὴν ἀπόδοσιν, εἰ καὶ σφόδρα ἀποπέμψει· ἀλλ' ἦν ἐκεῖνο μὲν Ἀγαμέμνονος· τοῦτο δὲ τῆς ἥττης· αὐτὸ δὲ τὸ[30] τοὺς Τρῶας τῷ πολέμῳ κρατεῖν, παρὰ τὴν ἐμὴν ἡσυχίαν· ὥς τ' ἀκριβεῖ λόγῳ παρ' ἐμαυτοῦ λαμβάνω τὴν κόρην· εἴ γε τὴν μὲν ἀπόδοσιν ἡ ἀνάγκη, τὴν δ' ἀνάγκην ἐγὼ πεποίηκα. λογίζου δὲ κἀκεῖνο. νῦν Ἕκτωρ ἐπὶ ταῖς ναυσὶν ἐστρατοπέδευται,[31] καὶ μονονοὺ προσάγει τὸ πῦρ· καὶ τοῖς δεινοῖς ἡ νὺξ ἀναβολὴ μόνη· τῶν τοίνυν σκηνῶν ἐμπιπραμένων, ἀνάγκη καὶ τὴν κόρην τεθνάναι· δίδωσιν οὖν ἣν οὐχ' οἷός τέ ἐστιν ἔχειν·[32] καὶ φιλοτιμεῖται τούτοις, ὧν ἐκπεσεῖται πάντως. ὥσπερ ἂν εἴ τις χειμῶνι χρησάμενος, καὶ τῶν σκευῶν, ὑπὲρ σωτηρίας[33] ἐκβαλὼν εἰς χαριστήριον[34] ταῦτα τῷ Ποσειδῶνι λογίζοιτο. ἆρ' αἰσθάνῃ τῆς τῶν λόγων ἀνωμαλίας, Ὀδυσσεῦ; ὡς μὲν πάντων στερησόμενος[35] ἱκετεύει· ὡς δὲ βεβαίων κύριος ὢν ὑπισχνεῖται, καὶ τῆς ἀλαζονίας[36] οὐδ' ἐν τοῖς φόβοις πέπαυται.[37] ναὶ φησὶν, ἀλλ' οὐχ ὡμίληκα τῇ κόρῃ καὶ ὑπὲρ τούτων ὀμοῦμαι. τοῦτο γάρ ἐστι τὸ δεινόν·[38] ὅτι μηδὲν χρήζων τῆς γυναικὸς ὑβρίζων ἀπέσπα.

εἰ

[28] εἰ μὲν ἂν ἄπω] sic Wolf. ἂν deest Mor.

[29] ἀπήγαγον Wolf.

[30] δέ γε τὸ Wolf.

[31] ναυσὶ στρατοπεδεύεται Wolf.

[32] ἐστιν ἔχειν] sic Wolf. alias possit etiam legi ἐστὶ κατέχειν. ἐστι συνέχειν Mor.

[33] τῆς σωτηρίας Wolf.

[34] εἰς χαριστήριον] sic Wolf. εὐχαρις. Mor.

[35] στερησόμενος] sic Wolf. et m. Mor. pro στερηθησόμενος. στερησαμένου Mor.

[36] ἀλαζονείας Wolf.

[37] παύεται Wolf.

[38] τι δεινὸν m. Mor.

εἰ μὲν γὰρ εὐθὺς ἔχων ἐπλησίαζεν, ἐνῆν[39] εἰπεῖν ὡς ἔρωτι δουλεύων· πολλὰ ὧν οὐκ ἐβούλετο ποιεῖν ἠνάγκαστο·[40] καὶ τὸ πάθος ἐνίκησε τὴν γνώμην. ἐπεὶ δ' ἔνδον οὔσης οὐχ ἥπτετο, μία ἐστὶν αἰτία τῆς ἀφαιρέσεως ἡ περὶ ἡμᾶς ἀτιμία.[41] οὐ γὰρ αὐτῷ χαριζόμενος, ἀλλ' εἰς ἐμὲ[42] παροινῶν, ἐλάμβανεν· ὡς τ' ἐπιορκῶν μὲν, τὸ τῆς ἀπολογίας ἰσχυρὸν διαφθείρει·[43] ὀμνὺς δὲ τὰ εὔορκα, χείρω ποιεῖ τὰ ἐγκλήματα. δῶμεν τοίνυν αὐτὸν οὐκ ἐπιορκεῖν, ἀλλ' ὑποπτεύεταί γε· τούτου δὲ οὕτως ἔχοντος, καὶ τοιαύτης ἐν ἑκάστῳ δόξης ὑπαρχούσης, οὐδὲν παρὰ τὸν ὅρκον[44] ἐξαλείφεταί τ' οὐνειδος· ἐπεὶ καὶ ταῖς ὕβρεσιν ἀχθόμεθα, καὶ τὰς τιμὰς ἀγαπῶμεν, καὶ κινδυνεύειν αἱρούμεθα, καὶ προϊέμεθα τὰς ψυχὰς, καὶ πάντα δρῶμεν εἰς ἓν ἐκεῖνο βλέποντες, ἥν τινα γνώμην τοῖς πολλοῖς ὑπὲρ ἡμῶν αὐτῶν παραστήσομεν. καὶ νῦν εἰ ὀμεῖται[45] μὲν Ἀγαμέμνων· δεδόσθω δὲ ὡς ἀληθῶς·[46] πείσει δὲ οὐδένα· μένει[47] τὸ τῆς αἰσχύνης· ὅλως δὲ, οὐδαμόθεν ἡ πίστις οἷς ὀμνύει.[48] πρῶτον μὲν γὰρ ὁ καιρὸς τὴν ἐπιορκίαν ἐλέγχει. τὸ γὰρ ἐπικεῖσθαι μὲν τοὺς Τρῶας, τετάχθαι δὲ μετ' ἐκείνων τὴν τύχην, πλησίον δὲ εἶναι τοὺς φόβους, μικρὰν δὲ εἶναι[49] τὴν τάφρον, οὐδὲν δὲ ὄφελος τὸ τεῖχος, ἐπὶ ξυροῦ δὲ ἀκμῆς τὰ πράγματα ἑστάναι, μίαν δὲ σωτηρίας ὁδὸν ὑποφαίνεσθαι μόνην, εἰ διαλλαγείη, οὐκ ἐᾷ προσέχειν οἷς ὀμεῖται. ἐν μὲν γὰρ ἀσφαλείᾳ καὶ τῶν πραγμάτων εὖ κειμένων, καὶ[50] φυλάξαιτό τις ἐπιορκεῖν, οὐκ οὔσης ἀνάγκης εἰς τὸ γενέσθαι πονηρόν. οὕτω δὲ τὰ μὲν ἄλλα ἀπεγνω-

39 ἦν Wolf.
40 ποιεῖν ἠνάγκαστο] sic Wolf. ποιεῖν deest Mor.
41 ὕβρις Wolf.
42 εἰς ἐμὲ] sic Wolf. ἐπ' ἐμὲ Mor.
43 διαφθείρει] sic Wolf. διαφθεῖραι Mor.
44 τὸν ὅρκον] sic Wolf. τῶν ὅρκων Mor.
45 καὶ νῦν εἰ ὀμεῖται] sic Wolf. εἰ deest Mor.
46 ἀληθῆ Wolf.
47 δὲ post μένει omittit Wolf. quod delevi.
48 ὄμνυσι Wolf. et m. Mor.
49 εἶναι et paulo post δὲ desunt Wolf.
50 καὶ] κἂν Wolf.

ἀπέγνωσται· εἷς δὲ ὑπολείπεται πόρος, ὃν οὐκ ἔστι μὴ ψευσάμενον ἔχειν· ὁ δὴ[51] τοιοῦτος, τολμᾷ[52] κίνδυνον ἀνταλλαττόμενος κινδύνου· τὸν μὲν ἐν ὀφθαλμοῖς ἄφυκτον[53] εἰδώς· ὑπὲρ δ' ἐκείνου πολλάκις αὐτὸν ἀπατῶν· ὡς καὶ θυσίαις[54] καὶ θεραπείαις καὶ εὐχαῖς καὶ ἱερείοις[55] καὶ κάλλει ἀναθημάτων, συγγνώμονας ἂν κατασκευάσαι[56] τοὺς θεούς. ἔπειτα τοῦ μὲν τὴν δίκην μέλλειν[57] ἡγεῖται· τοῦ δὲ τὸ δεινὸν εὐθὺς ἐφεστάναι· ἐλάττω δὲ τῆς ἐπικειμένης, τὴν οὔπω παροῦσαν κρίνει, κατ' αὐτὸν τὸν χρόνον. τὸ γὰρ μὴ νῦν, ἀλλ' εἰς ὕστερον παθεῖν ἐν τῷ μέλλειν ἔχει τὸ κέρδος. ἄλλως θ'[58] ὅταν ἄνθρωπος ᾖ πάλαι πεπαιδευμένος τῶν θεῶν ὀλιγωρεῖν, οἷος οὗτος ὁ τοῦ[59] πολέμου προστάτης, καὶ παρὰ τῶν κρειττόνων[60] αἰτῶν Τροίαν ἑλεῖν. δοκίμαζε γάρ, Ὀδυσσεῦ, τίς ποτε πρὸς τὸ δαιμόνιον ὁ μεμνημένος[61] ὅρκων· κἂν μὲν εὑρίσκῃς εὐλαβείᾳ παρὰ πάντα τὸν βίον, εἰς τὸ θεῖον κεχρημένον, καὶ σὺν ὅρκῳ πιστὸν ἡγοῦ, καὶ πρὸ τῶν ὅρκων πολλάκις· ἂν δ' ἀσελγῆ καὶ θρασὺν οὐχ ἧττον εἰς ἐκείνους ἢ ἡμᾶς·[62] καὶ μήτε λόγῳ μήτ' ἔργῳ ὀκνοῦντα δυσσεβεῖν· κἂν σφάττῃ κάπρον· κἂν αἱμάττῃ τὸ ξίφος, κἂν διὰ τῶν τομίων πορεύηται, πάνθ' ἡγοῦ τὰ φρικώδη, λῆρον τῇ τοιαύτῃ κεκρίσθαι[63] ψυχῇ. τῆς ποίας οὖν μερίδος Ἀγαμέμνων σοι φαίνεται; πότερον τῆς οὐδὲν ἀνωτέρω τῶν θεῶν ἀγούσης, ἢ τῆς ἐν γέλωτι πεποιημένης τακείνων; σὺ μὲν οὐκ ἂν εἴποις[64] ἃ φρονεῖς· ἐγὼ δὲ οὐκ ἀποκρύψομαι· οὐχ οὗτός ἐστιν ὁ πρω-

51 δὴ] sic Wolf. δὲ Mor.

52 τολμᾷν Wolf.

53 ἀφύλακτον Wolf, et m. Mor.

54 δύνασθαι καὶ m. Mor. θυσίαι καὶ θεραπείαι Wolf.

55 ἱερεῖα καὶ κάλλος Wolf.

56 κατασκευάσθαι m. Mor.

57 μέλλειν m. Mor.

58 ἄλλως θ'] sic Wolf. ἀλλ' ὡσθ' Mor.

59 οἷος ὁ τοσούτου πολ. Wolf. et m. Mor.

60 post κρειττόνων delevi αὐτῶν. quod abest recte a Wolf. contemnit deos illo ipso tempore, cum eos rogat, vt se Troiae victorem faciant.

61 μνημονεύων ὅρκου Wolf et m. Mor.

62 ἢ εἰς ἡμᾶς Wolf.

63 κεχρῆσθαι Wolf.

64 εἴπῃς Wolf.

πρῶτον μὲν ἐν Αὐλίδι τῆς Ἀρτέμιδος ἀμαθίαν εἰς τοξικὴν καταγνοὺς, καὶ φήσας οὐδὲν εἶναι πρὸς ἑαυτὸν ἐκείνην, ἐν ἀφέσει βελῶν· ἐξ οὗ δὴ καὶ τὸν στόλον ἐπέσχεν ἡ θεὸς χαλεπήνασα· καίτοι τί τῆς μανίας τὸ κέρδος; ἔτυχες τοῦ θηρίου; τί οὖν ὑπέρλαμπρον; οὐ γὰρ Ἀλεξάνδρου τετύχηκας;[65] ἀλλὰ καὶ τοῦτο γενναῖον; οὐκ οὖν ἀρκεῖ βεβληκέναι; ἀλλὰ καὶ σεμνύνεσθαι[66] τῷ βλήματι[67] δεῖ; Τεύκρῳ ἑαυτὸν[68] ἀντίθες· ἀλλ' οὐχ ἱκανὸν τοῖς ζῶσιν; ἴδα τῷ παλαιῷ·[69] σὺ δ' ἀφεὶς τὴν γῆν[70] τοῖς θεοῖς πολεμεῖς. πάλιν γε τοίνυν ἥκοντος ἔναγχος ὑπὲρ[71] τῆς θυγατρὸς τοῦ Χρύσου, καὶ πρὸς Ἀπόλλωνος ἱκετεύοντος, ὁ καλὸς καὶ ἀγαθὸς οὑτοσὶ, καὶ τοὺς θεοὺς δεδιὼς, ὀλίγου[72] τὸν πρεσβύτην, αὐτῷ σκήπτρῳ καὶ στεφάνοις, ἐμβαλὼν εἰς τὴν θάλατταν ἀπέπνιξεν· ἀσθενεῖ φήσας αὐτὸν συμμάχῳ πεπιστευκέναι τῷ θεῷ· καίτοι τὴν τῶν γιγάντων ἀπόνοιαν, τί χρὴ δοκεῖν ἕτερον, ἢ ταῦτα εἶναι, ἃ δὲ Κάλχας ἤκουεν, ἐπειδὴ τἀληθὲς οὐκ ἔκρυψεν, οὐκ εἰς αὐτοὺς ἂν εἴη[73] τοὺς θεοὺς, παρ' ὧν ἐκεῖνος εἶχε τὴν τοῦ πάντ' ἐπίστασθαι τέχνην; τοσοῦτόν ἐστι κακὸν ἄνθρωπος, ὀνόματι μὲν Ἕλλην, φύσει δὲ βάρβαρος· ἡμεῖς οὖν ἐκεῖνα εἰδότες, ταῦτα πιστεύσομεν; ὥσπερ ἀγνοοῦντες ὅτι πᾶς ὅρκος ἐκ τοῦ πρὸς τοὺς θεοὺς φόβου τὴν ἰσχὺν λαμβάνει· τῇ δὲ εἰς ἐκείνους ὀλιγωρίᾳ πίστις οὐχ ἕπεται. Ἀγαμέμνων τοίνυν εἰ μὲν ἐδεδοίκει τοὺς θεοὺς, οὐδ' ἂν ἐκεῖνα ὕβριζε. καταφρονῶν δὲ ὅλως, οὐδ'[74] ἂν τοὺς ὅρκους δείσειεν. ὥσπερ γὰρ ὁ τολμῶν τὸν ἐντυγχάνοντα παίειν, κἂν εἴπῃ τὸν αὐτὸν κακῶς, οὐδὲν ὑποστειλάμενος· τῆς γὰρ αὐτῆς ἄμφω θρασύτητος· οὕτως ὁ φαυλίζων τοὺς θεοὺς, κἂν ὀμόσαι ῥᾳδίως, τὰ ψευδῆ μέλλων ὀμεῖσθαι. τῆς γὰρ αὐτῆς

65 τετύχηκάς γε Wolf.
66 σεμνύνασθαι Wolf.
67 ῥήμασι m. Mor.
68 σεαυτὸν Wolf.
69 ἴδα τῷ παλαιῷ] sic Wolf. compara te Idae illi vetusto, τῇ Ἴδῃ τὸ παλαιὸν Mor.
70 ὀργὴν m. Mor.
71 περὶ m. Mor.
72 ὀλίγῳ Wolf.
73 εἴη] ἢ Wolf f. οὐκ εἰς αὐτοὺς ἄνεισι τοὺς θεοὺς, nonne ad deos ipsos redeunt?
74 οὐδ'] sic Wolf. οὐκ Mor.

αὐτῆς ὕβρεως ἀμφότερα. εἰ μὲν οὖν ἐτίμα τὸν Ἀπόλλω, καὶ τὴν ἀδελφὴν, τοῖς τ' ἐν Αὐλίδι καὶ πρώτην ἐνθάδε, μὴ διαβάλλωμεν τὸν ὅρκον. εἰ δ' ἑκατέρου τολμήματος, κοινῇ τὴν δίκην ἐτίσαμεν, τότε μὲν ὑπὸ τῶν πνευμάτων ἀνειργόμενοι,[75] νῦν δὲ τῷ λοιμῷ φθειρόμενοι,[76] πῶς ὢν[77] ὑπερεῖδεν, ἀεὶ τούτους ὀμνὺς, οὐ δόξει[78] φενακίζειν; ἔτι τοίνυν, εἰ μὲν ἡ μίξις ἐποίει τὴν ὕβριν, εἶχεν ἂν λόγον ὑπὲρ τῆς μίξεως[79] τῶν ὅρκων γιγνομένων, μηδὲν ὑβριστικὸν πεπρᾶχθαι νομίζειν. ἐπεὶ δ' ἀρχὴ τῆς ἀσελγείας ἦν τὸ τοὺς κήρυκας ἐλθεῖν ἐπὶ τὴν κόρην, καὶ πρὶν ἰδεῖν τὴν ἄνθρωπον ἀποσπῶν ἐλύπει, οὐδὲν ἦν ἧττον ὑβριστὴς,[80] καὶ μὴ συγκαθεύδων τῇ Βρισέως. ὡς δ' ὁ περὶ τῆς μίξεως ὅρκος, οὐ τοῦ παντὸς ἴασις γίγνεται· ἀλλ' ὑπὲρ μὲν τῶν ἐπὶ τῆς σκηνῆς ὀμεῖται· τῶν δ' ἐν μέσῳ κακῶν τίς ἔσται λόγος εὐπρεπής· ὅτι φησὶ,[81] τοὺς λοιποὺς Ἕλληνας ἄξιον ἐλεεῖν; τί λέγεις; οἷς ἤρεσκε τὰ τότε πραττόμενα; πῶς γὰρ εἴπερ οὐκ ἤρεσκε πέπρακται; εἰ γὰρ ἐκεῖνοι συστραφέντες, καὶ τὰ ὅπλα θέμενοι,[82] καὶ περιστάντες τὴν σκήνην Ἀγαμέμνονος, καὶ βοῆς ἐμπλήσαντες τὸν ναύσταθμον, ἐχρήσαντο δικαίοις[83] καὶ συμφέρουσι λόγοις, οὐκ ἂν οὕτω μετεπεπτώκει τὰ πράγματα. ἔλεγον δ' ἂν ὅτι, ὦ βασιλεῦ τῶν Μυκηνῶν· οὐ καλῶς ὑπὲρ τῶν ὅλων βουλεύῃ. Πριάμῳ στρατηγεῖς διὰ τοῦ ὑβρίσματος·[84] ἡμᾶς προδίδως· τοὺς ἐναντίους αἱρεῖς· εὐχὰς Ἕκτορι πληροῖς· ἄνδρα τῆς συμμαχίας ἀπελαύνεις· καὶ ποιεῖς ἐχθρὸν τοῖς πράγμασι, δι' ὃν ἀφίγμεθα· δι' ὃν ἀπέβημεν·[85] δι' ὃν εὐποροῦμεν· δι' ὃν εἴσω πυλῶν οἱ Τρῶες· ὃς ἀντὶ τείχους τοῖς Ἀχαιοῖς γεγένηται. ὅρα μὴ νῦν μὲν χαρίσῃ ταῖς ἡδοναῖς, μικρὸν δ' ὕστερον δακρύσῃς·[86] ἀπέδωκας

τῷ

75 εἰργόμενοι Wolf.
76 διαφθειρόμενοι Wolf.
77 ὢν] sic Wolf. οὖν οὓς Mor.
78 δόξῃ Wolf.
79 μίξεως] sic Wolf et m. Mor. συνάξεως t. Mor.
80 οὐδὲν ἧττον εἴη ἂν ὑβρ. Wolf.
81 φήσει Wolf.
82 περιθέμενοι Wolf.
83 καὶ δικαίοις Wolf.
84 τῶν ὑβρισμάτων Wolf.
85 ἐπέβημεν Wolf.
86 δακρύσῃς] sic Wolf δακρύσεις Mor.

τῷ θεῷ[87] τὴν κόρην (ὁ γὰρ λοιμὸς ἐβιάζετο) ἔα μένειν παρ' Ἀχιλλεῖ τὸ γέρας· οὐ γὰρ ἀναγκάζῃ[88] λαβεῖν. ποῖ Ταλθύβιον τοῦτον ἐκπέμπεις; μέμψῃ ταύτην τὴν διακονίαν· εἰ μὲν οὖν κατείχετο τοῖς λόγοις; εἶχεν ἂν συγγνώμην ἡ ὕβρις.[89] εἰ δ' οὐ προσεῖχε τὸν νοῦν, ἄκων ἂν ἐποίει τὰ δίκαια. τῶν γε Ἑλλήνων ἀληθῶς[90] τοῖς γιγνομένοις ἀχθομένων. τί γὰρ ἂν ἔδρασεν ἐναντιουμένους ὁρῶν· ἐμπεσὼν ἂν εἰς μέσους ἐτρέψατο; πάνυ γε· εἰ τὸν[91] ἀδελφὸν συναγωνιστὴν εἶχεν. ἀλλ' ὥπλισεν ἂν τοὺς Μυκηναίους ἐπὶ τοῖς ἄλλοις ἅπασι. καὶ ποῦ νῦν οἱ Μυκηναῖοι· μωρία ταῦτα καὶ γέλως. ἀλλ', οἶμαι, τῷ μηδεμίαν ἐπιστροφὴν πεποιῆσθαι, μηδ' ἐνδείξασθαι τοῦθ' ὅτι οὐ χαιρόντων[92] ὕβρει, παρέχον ἐπ' ἐξουσίας τολμῆσαι· καὶ μηδεὶς εἴπῃ, βασιλεὺς γὰρ ἄνθρωπος, καὶ κύριος τῶν ὅλων. πρῶτον μὲν γὰρ ἅπας βασιλεὺς ἐν τοῖς ὑπηκόοις ἰσχύει, καὶ πρὸς τὴν τούτων γνώμην τἀκείνου φέρεται· καὶ κρατεῖ καὶ καθήρηται, καὶ δέδοικε καὶ θαῤῥεῖ, καὶ τοῦτό ἐστιν ὅτι ἂν τοῖς ἀρχομένοις δοκεῖ. οὐ γὰρ ἑνὶ σώματι καὶ ψυχῇ μιᾷ κρατεῖ τοσοῦτον πλῆθος· ἀλλὰ τῇ τῶν πολλῶν βουλήσει τὸ σχῆμα λαμβάνει· καὶ τῶν αὐτῶν δήπου, δοῦναί τε καὶ πάλιν ἀφελέσθαι, καὶ παρασχεῖν, καὶ μηκέτ' ἐᾶν ἔχειν. τῷ μὲν οὖν δοκεῖν ἐκ τῆς ἐκείνου γνώμης τὰ τῶν ἀρχομένων ἤρτηται· τὸ δὲ ἀληθὲς, ἐν τῇ τούτων τἀκείνου κεῖται· κἂν τούτοις ἀπειθεῖν παραστῇ, τό γε ἐπιτάξον οὐκ ἔσται. εἰ γὰρ Μυκηναῖοι σφᾶς αὐτοὺς ἑτέρῳ προσένεμον, οὐκ ἂν εὐθὺς ἦν Ἀγαμέμνων ἰδιώτης; ἢ τὸν μὲν Ἀτρέα μετὰ τὴν Εὐρυσθέως τελευτὴν, τύραννον ἐξ ἰδιώτου κατέστησαν· εἰς δὲ τὸν ἐκείνου παῖδα τἀναντία ποιεῖν, οὐ τῆς αὐτῆς ἐξουσίας· ἀλλ' ἐῶ Μυκηναίους, καὶ συγχωρῶ μηκέθ' αὐτῶν εἶναι κυρίους· οὐ μὴν καὶ καθ' ἁπάν-

87 ἀποδέδωκας τῇ θεῷ Wolf.
88 ἀνάγκῃ m. Mor.
89 εἶχεν ἂν συγγνώμην ἡ ὕβρις recte desunt Wolf. non enim ista verba postulat sententia, sed εὖ εἶχεν, aut ἤρκει τοῦτο. id, quod subaudiendum in eiusmodi loco omittitur.
90 ὡς ἀληθῶς Wolf.
91 εἰ καὶ τὸν Wolf.
92 lege χαίρων.

ἁπάντων[93] ἂν[94] τὴν αὐτὴν κέκτηται δυναστείαν. ἀλλὰ τὸ μὲν ἐκείνων ἐστὶ πατρικὴ βασιλεία· τὸ δὲ παρὰ τοῦ κοινοῦ, τιμή τις ὑπὸ τοῦ πολέμου δοθεῖσα. ἥκομεν δὲ εἰς Τροίαν οὐ παραδώσοντες ἑτέρῳ τὴν αὐτοῦ[95] βασιλείαν ἕκαστος[96] ἀλλ' εἰσὶ μὲν Βοιωτοῖς ἡγεμόνες· εἰσὶ δὲ Φωκεῦσιν· εἰσὶ δὲ[97] Ἀργείοις· εἰσὶ Λοκροῖς, Εὐβοεῦσιν, Ἀθηναίοις, Σαλαμινίοις, Κεφαλλῆσι, Κρησὶ, Πυλίοις· τῶν ἄλλων ἑκάστοις. εἰς τούτους οὖν ὁρῶσι, καὶ παρὰ τούτων τοῖς ἑπομένοις τὰ παραγγέλματα. καὶ οὐ σκοποῦσιν Αἰτωλοὶ, τί δέδοκται τοῖς Ἀτρέως· ἀλλ' ὁ Θόας αὐτοῖς τοῦ τί δεῖ ποιεῖν ὁριστής. ἐπεὶ καὶ τὴν στρατιὰν συνήγαγεν οὐ φόβος[98] Ἀγαμέμνονος· ἀλλὰ τὸ δόξης ἐπιθυμεῖν.[99] μέγα δέ σοι καὶ σαφὲς ἐρῶ τεκμήριον. οἱ τὴν ἡσυχίαν τῆς φιλοτιμίας προθέντες, οὐκ ἠναγκάσθησαν[100] πλεῖν. οἷον ἐβούλοντο Μεθωναῖοι μετ' ἀσφαλείας μᾶλλον τῶν ὄντων ἀπολαύειν, ἢ κοινωνεῖν ἔργων μεγάλων· καὶ μένουσιν οἴκοι Μεθωναῖοι· καὶ Μενέλεως παρακαλῶν ἀπῆλθεν ἄπρακτος. ἤρεσκε τῷ Ταναγραίων ἄρχοντι, μήτε λαμπρότητος μήτε κινδύνων[1] μετέχειν· καὶ τοὺς Ταναγραίους ὥπλισεν ἐπ' αὐτὸν τὸν καλοῦντα, περιεργαζόμενον λαβεῖν[2] καὶ εἰ μὴ σὺ παρὼν ἔτυχες, ἔκειτ' ἂν ὁ τοῦ δεσπότου τῶν Ἑλλήνων ἀδελφός. ἀλλὰ γὰρ[3] ἠνάγκασμαι πρὸς σὲ λέγειν, ὧν αὐτόπτης γεγένησαι. τὸ δὲ καθ' ἡμᾶς τοῦτο τίνος σοι φαίνεται σημεῖον; ἀπέστην τοῦ συμμαχεῖν, καὶ Μυρμιδόνες ἀργοῦσιν· ἐξάγει δὲ οὐδεὶς ἄκοντας. ἥκετε δὲ ὑμεῖς, ἱκετεύσοντες, οὐκ ἐπιτάξοντες. ὁ δὲ πειρᾷ πρὸς

[93] μετὰ πάντων m. Mor.

[94] ἂν] γε Wolf. et m. Mor.

[95] ἑαυτοῦ Wolf.

[96] ἕκαστος] sic Wolf ἕκαστοι Mor.

[97] εἰσὶ δὲ Wolf.

[98] στρατιὰν συνήγ. οὐ φόβος] sic Wolf. στρατείαν συνηγ. οὐχ ὁ φόβος Mor.

[99] ἐπιθυμεῖν] sic Wolf. ἐπιθυμῶν Mor.

[100] προθέντες οὐκ ἠναγκάσθησαν] sic Wolf. προθέντες, οὐκ ἀπηναγκ. Mor. videtur in libris quibusdam fuisse ἐπηναγκασθ.

[1] κινδύνου Wolf.

[2] λαβεῖν] sic Wolf. λαβὼν Mor.

[3] ἀλλὰ γὰρ] f. ἀλλ' (οὐ γὰρ ἠνάγκασμαι — γεγένησαι)

πρὸς τοὺς Ἕλληνας χρώμενος, καὶ περὶ μὲν φυγῆς ἐν μέσῳ παραινῶν, διὰ δὲ τῶν ἡγεμόνων τῶν κατεσκευασμένων[4] αὐτῷ, τὴν ὁρμὴν κωλύων, καὶ φανερῶς μὲν οὐ τολμῶν, ἃ φρονεῖ λέγειν· τέχνῃ δὲ χρώμενος πρὸς τὸ πλῆθος μεγάλην τε[5] καὶ γενναίαν τὴν δεσποτείαν ἐμφαίνει. ὁρᾷς, ὡς οὔτ᾽ ἐκεῖνος πάντα κελεύειν κύριος, τούτοις τε πάνθ᾽ ὑπηρετεῖν οὐκ ἀνάγκη; βουληθῆναί γε ἔδει, καὶ οὐδὲν ἂν ὑβρίσμην· εἰ γὰρ ἡνίκα τὴν ἀφαίρεσιν ἠπείλει, τὴν[6] ἀπόστασιν παρὰ τῶν ἐθνῶν ἀντήκουσεν,[7] σώφρων[8] ἂν ἐγένετο τῷ φόβῳ. νῦν δ᾽ ἐγὼ μὲν ἠτιμαζόμην· οἱ δὲ ἐσιώπων· καὶ τὸν μὲν Χρύσην ἐκέλευον αἰδεῖσθαι, καλῶς γε ποιοῦντες· ὑπὲρ ἡμῶν δὲ οὐδὲ τὰς αὐτὰς ἀφῆκαν φωνάς· οὐδ᾽ εἰ μηδὲν τῶν ἄλλων, τὴν τῆς ὕβρεως αἰτίαν ᾐσχύνθησαν· ἦδ᾽ ἦν, τὸ τῶν Ἑλλήνων κήδεσθαι·[9] εἰ δ᾽ ὥσπερ τῶν ἄλλων ἕκαστος, μηδὲν[10] ἐφρόντιζον, οὐκ ἂν ὥσπερ οὐδὲ τῶν ἄλλων οὐδείς, ὑβριζόμην.[11] οὐκοῦν ὁ μὲν ἠσέλγαινεν, οἱ δὲ ἐπέτρεπον. καὶ ὁ μὲν ἀπεστέρει τοῦ γέρως· οἱ δὲ οὐκ ἐκώλυον. κοινὸν οὖν τὸ ἀδίκημα τοῦ τετολμηκότος, καὶ τῶν οὐκ ἐπεχόντων, οὓς ἀξιοῖς ἐλεεῖν· μᾶλλον δ᾽ εἰς ἐκείνους τὸ πλέον ἔρχεται. ὁ γὰρ τῷ πονηρῷ δοὺς ἀδικεῖν, παῦσαι παρόν, μᾶλλον αὐτὸς εἴργασται τὸ πραχθέν· ἂν προδοσίαν αἰσθόμενος μὴ προαναστείλω, δίκην ὀφείλω τοῖς προδοθεῖσιν· ἂν ὁ φονεὺς ἐμοῦ συγχωροῦντος δράσῃ τὸ ἔργον, οὐκ εἰμὶ καθαρός· ἂν Ἀγαμέμνων ὑβρίζων μὴ λυπῇ τὸν στρατόν, ὑπ᾽ ἀμφοτέρων ἠδίκημαι· νόμος[12] δὲ κοινὸς Ἑλλήνων καὶ βαρβάρων ἀμύνεσθαι τὸν ὑπάρξαντα.[13] ἐτιμώμην πρότερον; καὶ παρὼν ὠφέλουν· ὑβριζόμην ὕστερον· καὶ μεταστὰς ἀμύνομαι· οὐ τ᾽ ἀμοι-

βῶν

[4] κατεσκευασμένων] sic W. κατασκευαζομένων Mor.

[5] τε] malim γε nam est oratio ironica.

[6] καὶ τὴν Wolf.

[7] θεῶν ἀντήκει Wolf.

[8] σώφρων] sic Wolf. σωφρονῶν Mor.

[9] κήδεσθαι] subaudi ἐμέ.

[10] μηδὲν] sic Wolf. μηδενὸς Mor.

[11] post ὑβριζόμην addit Wolf. οὐδ᾽ ἐπροπηλακιζόμην παντάπασιν.

[12] λόγος Wolf.

[13] ὑπάρξαντα] sic Wolf. ἀπάρξαντα Mor.

βῶν ἀποστερῶν, καὶ δίκην οἶδα[14] λαμβάνειν. λυπεῖ τὸν ἄνθρωπον τῶν Ἑλλήνων ὁ φόνος·[15] εἶτ' ἐμὲ πείθεις παῦσαι τοῦτο, δι' οὗ στένειν ἐκείνῳ πάρεστι; καὶ βουκόλον μὲν μισῶν, οὐκ ἂν τὴν νόσον τῆς ἀγέλης ἀπήλλαξα· τούτῳ δὲ ἐγκαλεῖν ἔχων, ἐξαιρήσομαι τῶν δεινῶν τὸν στρατόν; καὶ τίς οὐκ οἶδεν ὡς ὁμοῦ τε τούτοις ἐν καλλίονι τὰ πράγματα, κἀκεῖνος ἡδίων[16] ἐμοί τε, ὃ μόνον εἰς τιμωρίαν, ἀπόλλυται. εἰ μὲν γὰρ ἦν τοὺς μὲν Ἕλληνας σώζειν, ἐκείνῳ δὲ μὴ χαρίζεσθαι, πονηροῖς μὲν ἂν καὶ οὕτως ἐβοηθοῦμεν· ἴσως δ' ἂν ὑπεμείναμεν. εἰ δὲ ἡ τούτων σωτηρία φαιδρὸν ἐκεῖνον ποιεῖ, τίς λόγος ἂν ᾖ δυσμενεῖ παρασκευάζειν ἡδονήν. οὐδὲν δεινὸν, Ὀδυσσεῦ, τὸν Ἀπόλλω μιμεῖσθαι· ἐσχάτης μὲν οὖν ἀρετῆς, θεῶν εἶναι ζηλωτήν· ἐκεῖνος ὑπέρ τε αὐτοῦ καὶ τοῦ πρεσβύτου παροξυνθεὶς, λοιμὸν ἐμβαλὼν εἰς τὸν στρατὸν, τῇ φθορᾷ τῶν Ἀχαιῶν ἐκόλασε τὸν ὑβρίσαντα· καί τοι τῶν Ἑλλήνων πολλὰ καὶ φιλάνθρωπα πεποιηκότων εἰς τὸν Χρύσην· ἀλλ' ὅμως ἐπειδὴ τὸ ἐκείνους ἀναλοῦσθαι, συμφορὰν ἔχον εὕρισκεν Ἀγαμέμνονι, κοινῇ νόσῳ μετῄει[17] τὸν ἄρχοντα. ποτέρου δὲ καὶ χρήζουσιν, ὦ πρὸς Διός; εἰ μὲν γὰρ σωτηρίας, ἔξεστιν αὐτοῖς μετὰ Μυρμιδόνων τουτωνὶ καταφρονεῖν Ἕκτορος. εἰ δ' ὑπὲρ τῶν Ἀτρειδῶν τρέμουσιν, οὔπω δέονται τῆς ἐμῆς ἐξόδου. ἀλλ' ἂν αἱρήσω[18] τὸν Ἕκτορα θρασυνόμενον, πρᾶγμα σεμνόν; πῶς, ὦ σοφώτατε, σεμνόν; εἰ γὰρ[19] ὅτι μου φανεῖται χείρων, πάλαι τοῦτο πέφηνεν· οὐ ταῖς ἐμαῖς οὐδὲ σαῖς, ἀλλ' αὐταῖς ταῖς ὁμολογίαις[20] Ἕκτορος. οὐ γὰρ τὰ μὲν πολλὰ τειχήρης, τολμηρὸν δ' ἡγούμενος παρακύψαι, μένων δὲ ὑπὸ τοῖς πύργοις, ὀρρωδῶν δὲ τὴν πρὸς ἐμὲ μάχην, πλέον ἢ γυναῖκες,[21] οὐκ ἀμφισβητήσι-

μὸν

[14] εὖ οἶδα Wolf. f. εἰδὼς, vel εἰδώς.

[15] ὁ φόβος Wolf.

[16] ἥδεται m. Mor.

[17] μετῄει] sic Wolf. μετίῃ Mor.

[18] ἀλλ' αἱρήσαι Wolf.

[19] εἰ γὰρ] subaudi a communi σεμνόν ἐστι.

[20] ἀλλ' αὐταῖς ταῖς ὁμολ.] sic Wolf. quod idem est atque ἀλλὰ ταῖς αὐτοῦ τοῦ Ἕκτορος ὁμολογίαις. malim οὐδὲ ταῖς σαῖς. αὐταῖς deest Mor.

[21] πλέον γυναικὸς Wolf.

μόν μοι τὴν νίκην πεποίηκεν; ἔστι δὲ πολλῷ μεῖζον εἰς δόξαν τοῦ μένοντα τὸν ἀντίπαλον κτεῖναι, τὸ φεύγοντα δεῖξαι· τὸ μὲν γὰρ ἐστὶν ἀνδρείᾳ χρώμενον, τῇ τύχῃ βλαβῆναι· τὸ δὲ μὴ συμμίξαι, πρόφασιν οὐκ ἔχει, πλὴν δειλίας. κτείνει μὲν πολλάκις τὸν ἀγαθὸν ὁ χείρων. φοβεῖ δὲ μόνος ὁ βελτίων· ὡς τ' εἰ τῆς τοῦ κρείττων[22] ὑπειλῆφθαι δόξης ἐπιθυμῶ, πάλαι τετύχηκα. καὶ μὴν οὐδὲ λαβεῖν τὸν ἄνδρα τῶν ῥᾴστων, εἰ καὶ σφόδρα δεῖ τοῦ λαβεῖν ἐπιθυμεῖν. εἰπὲ γάρ μοι τί κατήγαγεν αὐτὸν ἐπὶ τὰς ναῦς; αὐτό, μὴ κοινωνεῖν με τῶν ἔργων; οὐκοῦν εἰ κοινωνοῦντα γνοίη, φεύξεται· πῶς οὖν εἰς χεῖρας ἀφίξεται; ὁ γὰρ τοῦ θαρρῆσαι τὸν καιρὸν εἰδώς, οὐκ ἀγνοήσει τὸν τῆς φυγῆς· ἀλλ' εἴσεται μὲν κινουμένας τῶν Μυρμιδόνων τὰς τάξεις, ὄψεται δ' ἀπὸ τοῦ Σιγείου, προϊούσας[23] τὰς φάλαγγας· ἐμὲ δ' ὀξέως μηνύσει τὰ ὅπλα τεθέντα·[24] πάλιν δὲ ἐκεῖνος ἐπανήξει πρὸς τὴν δρῦν. λογίζου δὲ καὶ τοῦτο· νῦν οἱ Πριαμίδαι μὲν τοὺς Ἀτρείδας ἀδικοῦσιν·[25] ἐγὼ δ' ὑπ' ἐκείνων μὲν οὐδέν· ὑπὸ δὲ τῶν Ἀτρειδῶν ἠδίκημαι. πῶς οὖν οὐκ ἄλογον ὑπὲρ τοῦ τὰ ἔσχατα λελυπηκότος, τὸν ἀναμάρτητον εἰς τἀμὰ διαφθεῖραι, καὶ δόξαν θηρεύοντα ῥώμης,[26] τὴν τῆς ἀναισθησίας, μὴ[27] δεῖσαι; ἢ τὸ μὲν Ἕκτορα κτεῖναι καλόν, τὸ δ' εὐχερῶς φέρειν ἀτιμίαν οὐκ αἰσχρόν; ἤσκηκεν[28] Ἀγαμέμνων Ἕκτορα· καὶ δεχέσθω τὸν ἄνδρα. ἐξελήλακεν ἐμὲ τῶν πραγμάτων· μὴ καλείτω τὸν ἄτιμον. ἤδη καθέλκω τὰς ναῦς· ὁ δὲ σβεννύτω τὸ πῦρ. κρείττων[29] σοφία ῥώμης, εἰς πολέμου τέλος, Ὀδυσσεῦ. Ἰδομενεὺς παρ' ὑμῶν εὑρεθήτω τοῖς δεινοῖς κώλυμα.[30] νῦν δεικνύτω

Νέστωρ

[22] κρείττων] sic Wolf. κρείττονι Mor.

[23] malim προσιούσας. vbi conjecturam meam pono, non commemorans discrepantiam Wolf. a vulgata, ibi censendus est W. cum vulg. consentire; nam inspexi codicem sedulo de singulis eiusmodi locis.

[24] τιθέντα Wolf.

[25] ἀδικοῦσιν] sic Wolf. διώκουσιν Mor.

[26] γνώμης Wolf.

[27] μὴ] sic Wolf. μηδὲ Mor.

[28] ἤσκησεν Wolf.

[29] γὰρ κρείττων Wolf.

[30] τὸ κώλυμα Wolf.

Νέστωρ τὴν σύνεσιν· νῦν σὺ τὴν εὐβουλίαν· νῦν μεθ᾽ ὑμῶν ὁ Διομήδης τὸ δόρυ.

ΠΑΤΡΟΚΛΟΥ ΠΡΟΣ ΑΧΙΛΛΕΑ ΜΕΛΕΤΗ.

ΥΠΟΘΕΣΙΣ.

ΑΦΑΙΡΕΘΕΙΣ[1] Ἀχιλλεὺς[2] τῆς Βρισηίδος, ἐπὶ τῆς οἰκείας διῆγε σκηνῆς ὀργιζόμενος·[3] πρεσβεύεται πρὸς αὐτὸν Ἀγαμέμνων, μετὰ πλείστων τὴν κόρην ἀποδιδοὺς δωρεῶν· καὶ γέγονεν ἄπρακτος αὐτῇ[4] πρεσβεία καὶ Βρισηίδι καὶ δώροις. χρόνος ἐν μέσῳ βραχὺς, καὶ προσθήκη ταῖς τῶν Ἑλλήνων ἀτυχίαις πολλή· ἤχθετο Πάτροκλος, καὶ συνήλγησε· καὶ τὰ μὲν δακρύων· τάδε νουθετῶν, διαλλάξαι πειρᾶται τὸν Ἀχιλλέα τοῖς Ἕλλησι.

Μελετωμεν τον Πάτροκλον.

[1] ἀφαιρεθεὶς] sic Bau. et Wolf. ἀφαιρεθεὶ ἴσης Mor.
[2] ὁ Ἀχ. Aug.

[3] ὀργιζόμενοι] sic Aug. ὠργισμένος Mor.
[4] ἴσ. αὐτῷ m. Mor.

ΠΡΟ-

ΠΡΟΘΕΩΡΙΑ.

ΠΟΘΕΝ τοῖς Ἕλλησιν ἤδη συνάχθεται Πάτροκλος, οὔπω τοῦτο παθόντος[1] τοῦ Θετταλοῦ· ἄμφω μὲν γὰρ συνήθεις καὶ φίλοι. κοινὰ δὲ τὰ φίλων[2] ἡ παροιμία νομοθετεῖ. πόθεν οὖν πρώην τῆς Ἀχιλλέως ὀργῆς μεταχὼν οὐ μέχρι τέλους αὐτῷ τὴν κοινωνίαν ἐφύλαξε[3] τοῦ θυμοῦ; ἔλυσεν, οἶμαι, τὴν ἀπορίαν ὁ ποιητὴς, τὸν μὲν ἥμερον ἡμῖν παραδοὺς[4] καὶ πρὸς οἶκτον εὐάγωγον· μειλίχιον γὰρ αὐτὸν ὀνομάζει· τὸν δὲ τραχύν τε καὶ σοβαρὸν καὶ θυμούμενον ἐν τοῖς ἔπεσι προσειπών· ἔδει τοίνυν ἐν χρείᾳ φιλανθρωπίας σύμβουλον εἶναι τὸν πρᾶον τοῦ μὴ τοιούτου· ἐντεῦθεν ὁ μὲν ἐκείνῳ,[5] παρίσαθαι κρήνης δίκην αὐτῷ δάκρυα χέων· ὁ δὲ Πηλέως· ἀλλ᾽ οὐδὲ τὴν[6] πρόφασιν ἔγνω τῶν ὀδυρμῶν· τοιγαροῦν πυνθάνεται τὴν αἰτίαν[7] αὐτοῦ καὶ διασύρει τὰ δάκρυα, καὶ κόρης ὀδυρομένης οὐδὲν ἀπεοικέναι φησίν. ὁ μὲν οὖν Ὁμήρου Πάτροκλος βραχέα πρὸς τὸν Φθιώτην[8] ἀφοσιούμενος, τοσοῦτον ἤθελε τὸν ἄνδρα πραΰνειν,[9] ὅσον ἐκεῖνον αὐτῷ συμμαχεῖν ἐπιτρέψαι[10] τοῖς Ἀχαιοῖς. ὁ δέ γε ἡμέτερος αὐτὸν ἐπιχειρεῖ τῆς σκηνῆς ἐξάγειν τὸν Ἀχιλλέα. φιλέλλην γάρ τις ἐγὼ, καὶ πέπονθα τὴν ψυχὴν φυγάδας ἅμα καὶ κοπτομένους ἰδών·[11] καὶ πρὸ τοῦ Πατρόκλου τὴν ἐκείνων ἐδάκρυσα τύχην

[1] πεπονθότος Aug.
[2] τῶν φίλων Aug.
[3] ἐκ ἐφύλαξε Aug.
[4] ἀποδεὶς Aug.
[5] ἐκεῖνα Aug.
[6] τὴν] sic Bau. Wolf. Aug. γὰρ Mor.
[7] τὴν αἰτίαν] sic Bau. Wolf. Aug. τὴν deest Mor.
[8] Θέτιδος Aug.
[9] καταπραΰνειν Aug.
[10] vt ille, Achilles sibi, Patroclo, permitteret, adiuvare Achiuos in bello.
[11] γρ. ὁρῶν in marg. Aug.

τύχην. τάχα δ' ἂν καὶ ἄλλως ἄμεινον εἴη τὸν Πηλέως ἐπικουρῆσαι προτρέπειν· ὅπως εἰ μὴ τούτῳ[12] βούλοιτο πειθαρχεῖν, τὴν ἐλάττονα γοῦν συμμαχίαν τὸν Πάτροκλον ἀπονείμῃ τοῖς Ἕλλησι. Καὶ Δημοσθένης γὰρ[13] Ἀθηναίων συνελθεῖν Ὀλυνθίοις ὀκνούντων, ὅμως διπλῆν ἀποστεῖλαι βοήθειαν ἐνουθέτησε· τὴν μὲν ῥυσομένην τὴν Ὄλυνθον, τὴν δὲ ποιήσουσαν[14] τὴν Φιλίππου κακῶς· ὅπως αἰσχύνοιτο μᾶλλον ὁ δῆμος, εἰ τῶν πραγμάτων δυοῖν δεομένων μηδ' ἑτέραν ἐκπέμψει. Τοιαύτῃ συμβουλεύων ὁ Μενοιτίου μεθόδῳ, πιθανὸς πολλαχόθεν ἔσται τῷ νεανίσκῳ· ἐρεθίζων, τὴν ῥώμην, ἐπαίρων τὸ φρόνημα, τὴν ἐπιθυμίαν ψυχαγωγῶν, εἰς ἔλεον τὴν ὀργὴν μεταφέρων· αἰδεῖσθαι παρασκευάζων τὴν γνώμην· παροξύνων μὲν ταῖς Ἕκτορος ἀριστείαις· ζηλοτυπεῖ γὰρ ἐκτόπως τὸν ἄνθρωπον· κουφίζων δὲ πολλοῖς ἐγκωμίοις φιλότιμον[15] φύσιν· ἄγων[16] ἐν μνήμῃ τῆς Βρισηΐδος· ἐρωτικὸς γὰρ ὁ ἀνήρ· εἰς οἶκτον δὲ κάμπτων, οἷς ὀλοφύρεται τῶν Ἑλλήνων τὰ πάθη. ἐρυθριᾶν δὲ ποιῶν,[17] οἷς ὀνειδίζει τὴν ἀμετρίαν αὐτῷ τῆς ὀργῆς. ὃ γὰρ ἂν φθέγξαιτο Πάτροκλος, ἐλεύθερον ὑποψίας παρ' Ἀχιλλεῖ τῆς ἑταιρίας[18] οὐδὲν ἐώσης δοκεῖν ὕπουλον ἔχειν· οὐ μὴν τῇ φιλίᾳ τὸ πᾶν ἐπιτρέψας, ῥαθυμότερον κυβερνήσει τὸν ἔλεον. οὐ γὰρ τὸν ἐξ οὐρίας που πλέοντα[19] τῷ πνεύματι χρὴ παραδοῦναι τοὺς οἴακας. ἀλλὰ δείξει μὲν πάλαι μετεγνωκότα τὸν βασιλέα· διηγήσεται δὲ τὰ συμβάντα τοῖς Ἀχαιοῖς, μετὰ[20] τὴν Ἀχιλλέως διάστασιν.[21] τὰς μὲν δυστυχίας[22] διεξιών· εἰ δέ πά τινος[23] εὐημερίας ἢ νυκτερινῆς

[12] τοῦτο Wolf. et m. Mor.

[13] γὰρ] γοῦν Aug.

[14] ποιήσουσαν] sic Wolf. Aug. ποιοῦσαν Mor.

[15] τὸν φιλότιμον Bau.

[16] ἄγων] num φυλάττων?

[17] οἷς ὀλοφύρεται τῶν ἑλλήνων τὰ πάθη. ἐρυθριᾶν δὲ ποιῶν,] sic Aug. Bau. et Wolf. haec omnia desunt Mor.

[18] αἰτίας Bau.

[19] super πλέοντα script. est in Aug. γρ. λογισμόν.

[20] post μετὰ delevi μὲν quod deest Aug. Bau. et Wolf.

[21] διάστασιν] sic Aug. Bau. e Wolf. μετάστασιν Mor.

[22] ἀδυστυχίας Bau. ἀτυχίας in t. Aug. sed in marg. vulg. est.

[23] εἰ δέ πά τινος] sic Aug. πὰ deest Mor.

τῆς εὐπραγίας ἐλάβοντο, παρατρέχων· μή πως ἀμβλύνῃ τὴν ἄγευσαν ἐπὶ τὸν οἶκτον παράκλησιν, καὶ δόξης ἐρῶντα στρατιώτην λυπήσῃ,[24] βουλόμενον[25] ἀπόντος αὐτοῦ μηδὲν ἰσχύειν τὸ στράτευμα.

[24] λυπήσει Bau.
[25] βουλόμενος Bau.

Η ΜΕΛΕΤΗ ΠΑΤΡΟΚΛΟΥ.

ΩΙΜΗΝ μὲν ὦ Ἀχιλλεῦ[1] τὰς τῶν ἐμῶν δακρύων πηγὰς ἀποσβέσαι σοι[2] τὴν ὀργήν· δεινὸν γὰρ ἂν εἴη τὸν Ἕκτορα φλέγειν τῶν Ἑλλήνων τὰ σκάφη, καὶ σὲ πρὸς ἐκείνους φλέγεσθαι τῷ θυμῷ· σὺ δέ μου[3] τῆς γνώμης οὕτω διέστηκας, ὥστε καὶ ἀπέσκωψάς μου τὸν ὀδυρμόν[4] καὶ παραβάλλεις[5] ἐμοὶ παιδίον κλαυθμυριζόμενον· καὶ τῶν σκωμμάτων τὸ μέγιστον, θῆλυ παιδίον, ἑπομένην[6] ἐν ὁδῷ τῇ μητρί, καὶ τῆς ἐσθῆτος ἀντεχομένην,[7] ὡς ἀναγκάσαι σχολαίτερον[8] τὴν τεκοῦσαν βαδίζειν, ὅπως αὐτὴν ἀνελομένη[9] κομίσειε. τοιαύτης εἰκόνος ἔτυχον παρά σοι, δακρύσας ὁμόφυλον στράτευμα, συμφοραῖς κεχρημένον· εἰ μὴ διαλλαγείης, ἀμάχοις. πρώην μὲν οὖν Ὀδυσσεὺς ἧκε δεῦρο πρεσβεύων· τρίτος αὐτός, καὶ πολὺς ὑπὲρ Ἀγαμέμνονος

[1] ὦ ἀχιλλεῦ] sic Bau. Wolf. Aug. ὦ deest Mor.
[2] σε Bau.
[3] μοι Bau.
[4] τὰς ὀδυρμὰς Bau.
[5] παραβάλλεις] sic Bau. A. Wolf. mecum comparas. προβάλλ. Mor.
[6] ἑπόμενον Aug.
[7] ἀντεχόμενον Aug.
[8] σχολαίτερον] sic Aug. Bau. Wolf. σχολαίαν Mor.
[9] ἀνελομένη] sic Aug. Bau. et Wolf. ἀνελομένην Mor.

μνονος ῥέων ὀχετός. οὐ τὴν λύπην[10] αὐξήσας ὁ ῥήτωρ· οὐ μὴν ἀλλὰ καὶ τῆς Ὀδυσσέως γνώμης[11] ἀποτυχούσης καὶ τῆς Αἴαντος συγγενείας καὶ τῆς Φοίνικος πολιᾶς, ἔχω τῆς νουθεσίας ὁδὸν ἄβατον τοῖς εἰρημένοις ἀνδράσιν· οὐ γὰρ ἐκ τῆς Ἀγαμέμνονος ἀφῖγμαι σκηνῆς· οὔτε πάθους παραινῶ σοι κρατεῖν, οὗ μὴ κοινωνὸς ἐγενόμην· ἀλλὰ κέκτημαι τάξιν τὴν ὀρθῶς εἰωθυῖαν τὰ πράγματα κρίνειν. ἥ τις οὔτε τοῖς πρέσβεσι τούτοις ὑπῆρχεν, οὔτε σοι προσάσαι[12] τυγχάνει. οὔτε γὰρ οἱ νοσοῦντι μὴ συναλγοῦντες ἰάσασθαι δύνανται τὸ λυποῦν οἷς μὴ μέλον αὐτοῖς· οὔτε τὴν ἰδίαν ὁ νοσῶν ἐξέως ὁρᾷ θεραπείαν, τυφλωττούσης αὐτῷ τῆς διανοίας. μόνος ἄρα σύμβουλος ὑπάρχει σαφὴς, οὗ μήτε τὸν λογισμὸν μέγας ἀμβλύνει θυμὸς, μήτε ῥαθυμεῖν ἐπιτρέπει νόμος φιλίας. εἰμὶ τοίνυν ἐγώ σοι τοιοῦτος· καὶ γὰρ ὑβρισμένῳ δεινῶς ἠνιάθην, καὶ μεταστάντι τῶν Ἀχαιῶν ἠκολούθησα· καὶ πρεσβευομένοις[13] οὐ διηλλάγην, ἕως ἦσαν[14] ἱκανοὶ δυστυχεῖν· ἐπεὶ δὲ τὸ δύνασθαι πράττειν κακῶς αὐτοὺς ἀπολέλοιπε, καὶ τοὺς Τρῶας οὐ χωρεῖ τὸ πεδίον· καὶ μάταιον μὲν[15] ἡ τάφρος ἀνάλωμα· περιττὴ δὲ τὸ[16] τεῖχος δαπάνη· καὶ τὴν ἐπὶ τὰς ὁλκάδας ὁδὸν ἀνέῳξε τοῖς ἐναντίοις ὁ πόλεμος· καὶ πυρὸς ἀπειλὴ δηλοῖ τὰ δεινά· καὶ διῆλθε χρόνος ἀρκῶν[17] εἰς κόρον ὀργῆς· εἶξον λοιπὸν Ἀχιλλεῦ, Πατρόκλῳ δακρύοντι, καὶ χρόνῳ παραδραμόντι, καὶ βαρβάρων πυρὶ, καὶ μεγίσταις τῶν Ἀχαιῶν συμφοραῖς. τὸν γὰρ ἐκ τῆς ἡμετέρας ὀργῆς ἄχρι τῆς αὐτῶν πρεσβείας καιρὸν ἀδεέστερον ἐπολέμουν, ἤπερ τὸν ἀφ' οὗ διήμαρτον πρεσβευσάμενοι, τότε μὲν ὑπὸ τῆς ἐλπίδος τῶν σῶν ὡπλισμένοι διαλλαγῶν· νῦν δὲ τῆς ἀθυμίας

μίας

[10] ὃς τὴν οὐ μὴν λύπην Aug. ὀχετοὰ (sic) Bau. e varietate lectionis, quae mirifica hic loci est, colligo, leg. esse ῥέων ᾤχετο, τὴν ἐμὴν λύπην αὐξήσας.

[11] γλώττης Bau. Wolf. γλώσσης Aug.

[12] πρέπουσα Aug.

[13] πρεσβευομένοις] sic Aug. πρεσβευσαμ. Mor.

[14] ἦσαν] sic Aug. et Wolf. ἦμεν Mor.

[15] μὲν] ἦν Aug.

[16] δὲ ἡ περὶ τὸ Aug.

[17] ἀρκῶν Bau.

μίας καταβαλούσης[18] αὐτοῖς[19] τὴν ἰσχὺν, οὐδὲ σμικρὰν ὑποφήναντος[20] σου πειθοῦς προσδοκίαν, ἀλλὰ καὶ προσθήκην ἐπιβαλόντος τῷ μίσει· ὅθεν οὐδὲ τολμῶσι δευτέραν ἐκπέμψαι πρεσβείαν, ἵνα σοι μὴ πλέον ἐκτείνωσι[21] τὸν θυμόν· οὕτω πάντα μετέρχονται θεραπείας σοι τόπον· ὑπείξωμεν[22] οὖν ἅπασι τούτοις, ὅπως καὶ τῷ Μενοιτίῳ τὰς ὑποσχέσεις ἐκτίσωμεν· ἃς ἐπειδὰν λήθην αὐτῶν[23] εἰληφέναι δοκεῖς, ἀναμνῆσαί σε βούλομαι. ἐτύγχανε μὲν παρά σοι καταλύων, ὅτε πρὸς τὴν ἐνταῦθα στρατείαν ἡ Ἑλλὰς μετέωρος ἦν· ὡς δὲ καλὴν εὗρεν ὑποδοχὴν, καὶ πλείστης ἀπέλαυσε[24] δεξιότητος, καὶ συνήθης λοιπὸν ὑπῆρχεν ὁ ξένος· ὁ μὲν ἀνεδύετο, τὸν υἱὸν ὑπερορίῳ πιστεῦσαι πολέμῳ· σὺ δὲ χρησταῖς ἐδελέαζες ἐλπίσι τὸν ἄνθρωπον, παρακαταθήκην ὀνομάζων ἐμὲ, καὶ μικροῦ τὸν πόλεμον ἐγγυώμενος κατὰ σκοπὸν ἡμέτερον φέρεσθαι· ὥστε καὶ τὴν Τροίαν ἡμῖν ὑποτάξαι, καὶ χάριτας ἀποδοῦναι τῆς νίκης. τὸ δὲ πέρας τῶν ὑποσχέσεων εἰς αὐτὴν ἄγεις Ὀποῦντά[25] με τῷ πατρὶ, καὶ παραδίδως ὥσπερ ἄλλο τι χρέος, τόκους αὐτῷ προσεκτίνων, τὸ τρόπαιον,[26] τὴν εὐδεξίαν, τὰ λάφυρα· ποῖα δὲ[27] λάφυρα πρὸς Μενοίτιον οἴσομεν ἐν τῇ σκηνῇ καθήμενοι, καὶ σὺ μὲν ᾄδων πρὸς λύραν, ἐγὼ δὲ ἀκούων; πῶς δ᾽ ἂν εἴη τὰς τοῦ πατρὸς ἐντολὰς ἐμὲ διαπράξασθαι. ὡς γὰρ ἐς Ἴλιον ἀνηγόμην ἐφόδιά μοι δέδωκε πατρικὰ νουθετήσας τοιάδε, Ὦ παῖ, πλεῖν μὲν ἐμοὶ καὶ πολεμεῖν οὐκ ἐπιτρέπει τὸ γῆρας· ἀφῃρημένος δὲ ταῦτα τῇ πολιᾷ, βούλομαί σοι νουθεσίαν, ὥσπερ τινὰ παιδαγωγὸν συνεκπέμψαι.[28] τί οὖν

[18] καταβαλούσης] sic Aug. et Bau. καταβαλλ. Mor.

[19] αὐτοῖς] sic Aug. Bau, et Wolf. αὐτῆς Mor.

[20] ὑποφῆν Aug.

[21] malim ἐντείνωσι aut ἐπιτείνωσι.

[22] ὑπείξωμεν] sic Bau. et Wolf. ὑποδείξωμεν Aug. ὑπείξομεν Mor.

[23] αὐτοῖς Aug.

[24] ἀπέλαυσαν Bau.

[25] ἄγεις Ὀποῦντα] sic A. B. W. ἄγεις deest Mor.

[26] τὰ τρόπαια Aug.

[27] δὴ Aug.

[28] ἐπὶ τρυΐαν συνεκπέμψαι A. et Bau.

αὖν φημί· οὐ πᾶσιν ἅπαντα διδόασιν οἱ θεοί. τοιγαροῦν ἀνδρείᾳ μὲν Ἀχιλλεὺς φέρει τὰ πρῶτα· σὺ δὲ πρεσβύτερος ὤν, οὐ φαυλοτέραν ἐκ τῆς ἡλικίας τὴν φρόνησιν ἔχεις. δότε τοίνυν γενναίας ὑμῶν ἀκοῦσαί μοι πράξεις τοῖς ἀλλήλων πλεονεκτήμασιν ὁμοῦ κεχρημένοι. ἰσχὺς γὰρ καὶ σύνεσις ἑκατέρα μὲν μικρὰ πέφυκε πράττειν· ἄμφω δὲ συνελθοῦσαι, μεγάλα. τί οὖν ἐροῦμεν ἐκείνῳ, σὲ μὲν εἰσπράττοντι τὴν ὑπόσχεσιν, ἣν ἐπηγγείλω· ἐμὲ δὲ τὴν συμβουλήν, ἣν εἰσηγήσατο.[29] Πηλεὺς δὲ ποίων ἀκούσεται λόγων, τὴν παραίνεσιν ἀπαιτῶν, δι' ἧς ἐνταῦθά σε πέμπων,[30] ἠξίου μὴ νεότητι σαυτὸν ἐκδιδόναι, μηδὲ εἰκῇ δυσκολαίνειν, καὶ λήγειν ἔριδος· οὐ μὰ δία τῆς Τρωϊκῆς, ἀλλ' εἴ ποτέ τις πρὸς ἄνδρας οἰκείους σοι γένηται. τοιαύτας ἡμῖν ὑποθήκας παραδόντες ἐξέπεμψαν. ἆρ' οὖν μετρίαν αἰσχύνην ὀφλήσομεν, ὑπερορῶντες γεγηρακότων ἀνθρώπων, καὶ ταῦτα γονέων, καὶ γνώμας οὕτω λυσιτελεῖς δεδωκότων; καὶ μὴν οὐ μόνον[31] ἐνετέλλετό σοι Πηλεὺς ἥμερον εἶναι καὶ πρᾶον· ἀλλὰ παιδίον ὢν ἔτι[32] τοῦ Χείρωνος φοιτητής, νῦν μὲν στρατιώτης[33] ἐμάνθανες κατὰ θηρίων τὰς μελέτας ποιούμενος· νῦν δὲ μηδαμῶς ἀγριαίνειν, ᾄσμασι καὶ χορδαῖς τιθασσεύειν ἐπισταμένης τῆς Μουσικῆς. καὶ νὴ τοὺς θεοὺς ἄγαμαί σου τὸν παιδευτήν, λίαν εὐστόχως εἰκάσαντά σου τὴν φύσιν. ὁρῶν γάρ σοι θυμοῦ περιουσίαν πολλήν,[34] ὡς μὴ τοὺς πολεμίους ἀρκέσειν ὅλην εἰς αὐτοὺς δαπανῆσαι,[35] ἡγήσατο δεῖν ἁρμονίᾳ κρουμάτων ἀναλῶσαι τὸ λεῖπον, μήποτε λάθῃ πρὸς ὁμοφύλους σοι κενωθέν. ἴθι δή, νομίσαντες ὑπὸ Πηλέως καὶ Μενοιτίου καὶ Χείρωνος ἐρωτᾶσθαι τὴν πρόφασιν, ἧς ἕνεκα τούτους παρίδομεν[36] συμβουλεύσαντας, κοινῇ τὴν πρὸς ἐκείνους ἀπολογίαν σκεψώμεθα· ἐροῦμεν νὴ Δία τὴν

29 γρ. ἐποιήσατο in marg. Aug.

30 πέμπειν Aug.

31 μόνος A. B. Wolf.

32 παιδίον ὢν ἔτι] sic A. B. W. ὢν deest Mor.

33 post στρατιώτης videtur εἶναι deesse.

34 f. οὕτω πολλήν.

35 ἑαυτοὺς δαπανῆται Bau.

36 παρείδομεν] sic Bau. παρίδομεν Mor.

τὴν Ἀγαμέμνονος ὕβριν, τοὺς κήρυκας, καὶ τὴν τῆς Βρισηΐδος ἀφαίρεσιν· καλῶς. Ἀγαμέμνων δὲ τὰς ἡμῶν[37] σιωπήσεται λοιδορίας,[38] ἐν αἷς φιλοπότης ἐςὶ, καὶ μεςὸς[39] ἀναιδείας, καὶ νοσεῖ δειλίαν ἐσχάτην; ȣ̓κ ἔςι· τὰς ἀλλήλων γὰρ ὕβρεις προβάλλοντες,[40] τὰς ἰδίας κρύπτομεν[41] ἑκάτερος.[42] οὐκοῦν ἔνιοι μὲν Ἀγαμέμνονος, ἔνιοι δὲ ἴσως ἡμῶν καταγνώσονται. ἐγὼ δὲ πῶς[43] ἔχω; καὶ τίνα ψηφίζομαι τρόπον;[44] εἰ μὲν τῶν Ἑλλήνων τὶς ἕτερος τὸν κρατοῦντα προπηλακίσας[45] ἐτύγχανε· τίς δ' ἂν ἐπὶ τοσαύτην ἀνέβη θράσους ὑπερβολὴν, πλὴν εἴ τις ἐτύγχανε, προαχθείς· ἐδεῖτο ἂν ἡ παῤῥησία σωφρονισμοῦ· καὶ δικαίως ἂν ἀφῄρητο[46] τȣ̃ γέρως. νῦν δὲ τὴν τιμωρίαν ἔγκλημα τῷ δεδρακότι πεποίηκεν ἡ τȣ̃ παροινηθέντος ἀνδρεία.[47] μᾶλλον δὲ τὴν ἀνδρίαν αὐτὴν ἡγοῦμαι τῆς ἀτιμίας γενέσθαι σοι πρόφασιν. ἄλλου μὲν γὰρ ὑπερεφρόνες ἂν ἴσως ὁ βασιλεὺς, οἰόμενος τὰ σκῆπτρα φαυλίζειν, εἰ λήψεται δίκην τῆς λοιδορίας. ἔςι[48] καὶ τιμωρία τὸν κεχρημένον ὑβρίζουσα, ὅταν ἀμύνηταί τις τὸν ἄγαν ἐλάττονα· εἰ δὲ σιγῇ τὴν ὕβριν ἤνεγκε, δεδοικέναι ἂν ἔδοξεν. οὐ γὰρ δὴ σοῦ γε καταφρονεῖν ἐνομίζετο· ȣ̓κ ἀπεικότως ἄρα τὸ σὸν ἀφείλετο γέρας, φοβερὸν ἅπασι τὸ χρῆμα τῆς βασιλείας ἐμφαίνων τῇ κατὰ τȣ̃ πρώτȣ τῶν Ἀχαιῶν ἐξουσίᾳ· πλὴν ἔδει φιλοσοφῆσαι κατὰ νοῦν εἰληφότα τοὺς ὑπὲρ τῶν Ἑλλήνων σοῦ πόνους· καὶ ὡς ἐμεμψάμην ἀκρατῶς ἐνεχθέντι,[49] δῆλον ἐποίησα, κοινωνήσας σοι τῆς ἀπο-

[37] καλῶς. ἀγαμέμνων δὲ τὰς ἡμῶν] sic Aug. et Bau. καλῶς deest Mor. et dat ἀγ. δὲ τῆς ἡμ.

[38] λοιδορίαν Bau. et Wolf.

[39] καὶ μεςὸς] sic Aug. et Wolf. καὶ deest Mor.

[40] ἄμφω προβάλλ. Aug. et Wolf. προβάλλομεν m. Mor.

[41] κρύπτων m. Mor.

[42] ἑκάτερος] sic A. B. W. et m. Mor. ἑκάτεροι t. M.

[43] ἐγὼ δὲ καὶ πῶς Aug.

[44] τρόπων Bau.

[45] προπηλακίσας] sic A. B. et W. προπηλακίσαι Mor.

[46] ἀφῃρεῖτο Aug.

[47] παρόντος ἀνδρεία A. B. et W.

[48] pone ἐςὶ addunt A. et B. δὲ, ego vero malim γὰρ addi.

[49] ἐνεχθέντα Aug.

ἀποστάσεως. τί οὖν μεταβέβλημαι νῦν, καὶ γέγονα τῆς ἐκείνου μερίδος· λογίζου τὰ συμβάντα μετὰ τὴν ἐκ τῆς μάχης ἡμῶν ἀπουσίαν, ἄχρι τῆς παρούσης ἡμέρας· κἂν εὕρῃς ἐκεῖνον ἢ μήπω κεκολασμένον, ἢ τὴν αὐτὴν κεκτημένον προαίρεσιν, ἢ παραλείψαντά τι τῆς προσηκούσης ἀπολογίας, ἢ τύχης μετέχοντα δεχομένης μείζονα δίκην, τότε με δακρυούσῃ προσείκαζε κόρῃ. ὡς γὰρ εὐτελὲς καὶ σμικρὸν φανὲν τοῖς πολεμίοις σῶσαι τὴν Τροίαν, καὶ φλόγα φέρειν ἀλλήλοις ἐκέλευον, οὐδὲ ὅσον δραπέτας ἐκπλεῦσαι τοῖς Ἕλλησι καταλιπόντες· συγκαλέσας Ἀγαμέμνων τὸ πλῆθος, εἶτα παρελθὼν εἰς μέσους, τέως μὲν ἔκλαιε σιωπῇ κύπτων εἰς γῆν. θέαμα πικρὸν, Ἀχιλλεῦ, βασιλεὺς ἐν ὑπηκόοις δακρύων· ἤπου κατέσταξε[50] τῆς ἁλουργίδος καὶ τοῦ σκήπτρου τὰ δάκρυα· ὀψὲ δ' οὖν ἀνοιμώξας ἀφῆκε φωνὰς ἀθλιωτέρας τῶν ὀδυρμῶν· θρηνῶν μὲν τοὺς ἐῤῥιμμένους· δεδιὼς δὲ καὶ τρέμων ὑπὲρ τῶν ὑπολοίπων, καὶ κατεπείγων εἰς ἀναχώρησιν λίαν ἀπάδουσαν[51] ἡγεμόνος συμβούλου, καὶ τῆς ὑπερηφάνου παρασκευῆς·[52] καθελκομένου τοίνυν ἤδη τοῦ ναυτικοῦ ἐπειδὴ τῶν Ἀχιλλέως ὁ Νέστωρ ἐμνήσθη διαλλαγῶν, εὐθὺς ὁ δρασμὸς ὑπεχώρει. τὸν γὰρ Μυκηναῖον εὗρεν ὁ Πύλιος οἴκοθεν ταῦτα βεβουλευμένον· οὔκουν ἐξεπλάγη τῇ νουθεσίᾳ τὴν ἀκοήν·[54] οὐδ'[53] εἰ δέοι πειθαρχεῖν ἐλογίσατο. ἀλλ' ὥσπερ αὐτὸς Νέστορι[55] προειπὼν εἰσηγήσασθαι τὴν βουλὴν, ἵνα πιθανωτέρα φανῇ σοφοῦ παραινοῦντος πρεσβύτου· οὕτω δεδιὼς τὴν γνώμην ἐπεσφραγίσατο, καὶ τὴν ἑαυτοῦ περὶ[56] σὲ παροινίαν ἐπὶ τοῦ συλλόγου μεμψάμενος, οὐ τοῦτο μόνον[57] ᾠήθη πρὸς ἀπολογίαν ἀρκοῦν·[58] καὶ ταῦτα τοὺς ὑβρισμένους εἰδὼς μετρίαν πολλάκις θεραπείαν νομί-

50 κατέσταζε Wolf. et t. Bau. fed in marg. Bau. ἀπέσταξε.

51 ἀναχώρησιν λίαν ἀπᾴδουσαν] fic A. B. W. λίαν deeft Mor.

52 σκηνῆς παρασκευῆς Mor. σκηνῆς delevi, quod omittunt A. B. et W.

53 κόρην Wolf.

54 οὐδ'] fic Bau. οὐκ Mor.

55 τῷ Νέστορι Aug. et Wolf.

56 ἐπὶ Aug.

57 μόνων Bau.

58 ἀρκεῖν A. B. et W.

νομίζοντας [59] τὴν ὁμολογίαν τοῦ πλημμελήσαντος· ἄλλως τε ὅταν σεμνότερος ᾖ τὴν ἀξίαν· μέγιστον δὲ πάντων ἀξιωμάτων ἡγεμονία. οὐ μὴν ἀπέχρησεν Ἀγαμέμνονι τοῦτόν σε [60] μόνον τιμῆσαι τὸν τρόπον· [61] ἀλλὰ καὶ παρὰ [62] τὰς σὰς ἐφοίτησε θύρας ὁ βασιλεὺς τῇ πρεσβείᾳ, πόλεις ἑπτά σοι διδοὺς, ἄλλην ἄλλης ἔχουσαν γῆς ἀρετήν· ἡ μὲν ἀγαθὴ σπείρειν ἐστίν· ἡ δὲ πεφίληται τῷ Διονύσῳ· ἡ δὲ λειμῶσιν ἁβρύνεται· καὶ τῶν ὑπολοίπων ἴδιον ἑκάστη κέκτηται πλεονέκτημα, ποίμνιά τε πρόσεστι καὶ βουκόλια, ψυχαγωγία καὶ κέρδος. τοσαύτη περιουσία μικρά τις ἐφάνη τῷ δεδωκότι· καὶ προσέθηκε γάμον τοῦ θυγατρὸς, καὶ προῖκα τῆς κόρης ὁλκάδα χρυσοῦ. εἰ μὲν οὖν ὀλίγον ἔμελε χρημάτων αὐτῷ, ἴσως ἂν ἔδοξεν [63] ἀσωτίᾳ φύσεως μᾶλλον, ἢ πρὸς ὑμετέραν τιμὴν, ἀποστεῖλαι τὰς δωρεάς. ἐπεὶ δὲ φιλοκτεανώτατός ἐστι [64] πάντων ὁ ἀνὴρ, κατὰ τὸν σὸν, Ἀχιλλεῦ, λόγον, παρεῖδεν εὐνοίᾳ τῇ σῇ περιπόθητον κτῆμα, καὶ γέγονέ σοι φιλόδωρος ὁ φιλάργυρος. οὐ τοίνυν πολλὰ καὶ λαμπρὰ χαριζόμενος, Βρισηΐδα τῶν δώρων ὠνεῖται· οὔτε δίδωσι μὲν, δίδωσι δὲ τῆς εὐνῆς ἐπιβὰς, οὔτε κοσμίως ἀποδιδοὺς ἐν ὑπονοίαις [65] δυσχεραίνειν παρῆκεν· [66] ἀλλ᾽ ἀνεῖλε τοῦτο καθάπαξ, ὅρκῳ διαλύσας τὴν ὑποψίαν. τίθει τοίνυν τῆς ἀφαιρέσεως ἣν ἐθέλεις αἰτίαν· εἴτε τὴν πρὸς σὲ γενομένην διαφοράν· εἴτε τινὰ πρὸς τὸ γύναιον ἔρωτα. εἰ μὲν γὰρ ἐρασθεὶς ἐκαρτέρησε, τὴν οἰκείαν, [67] ὡς ἔοικεν, ἡδονὴν δευτέραν τῆς σῆς ἔθετο χάριτος. εἰ δὲ ἀγανακτῶν ἀπέσπα τὴν κόρην, ἐγίνωσκε δὴ [68] πικρότερόν σε λυπήσων

[59] νομίσαντας Wolf.

[60] τοσοῦτόν σε in marg. Aug.

[61] μόνων τιμῆσαι τῶν τρόπων Bau.

[62] παρὰ] sic Wolf. περὶ Mor. sed et καὶ erat addendum.

[63] ἴσως ἂν ἔδοξεν] sic A. B. et W. ἂν deest Mor.

[64] φιλοκτεανώτατός ἐστι] sic Wolf. ἐστι deest Mor.

[65] post ὑπονοίαις addit Wolf. ἄν.

[66] δυσχεραίνει περιεῖδεν ὅρκον διαλύσας Aug. et Wolf. περιεῖδεν etiam dat m. Mor.

[67] ἰδίαν Bau. et Wolf.

[68] δηλαδὴ A. B. et Wolf.

πήσων τῇ μίξει τῆς ἐρωμένης· ὁ δὲ τὸν ἐχθρὸν ὑποκνίζων, τὴν οἰκείαν φιλεῖ θεραπεύειν ὀργήν· οὐ μὴν προήχθη χαρίσασθαι τῷ θυμῷ· οὐκοῦν φαίνεται πάλιν ἐντεῦθεν τὴν περὶ σὲ θεραπείαν τῆς οἰκείας[69] προκρίνων. καὶ τοσούτῳ μᾶλλον ἐντεῦθεν, ὅσῳ πρὸς μεῖζον ἐπάλαισε πάθος. θυμὸς γὰρ ἀκμάζων, ἔρωτος μᾶλλον ἐκμαίνει. καὶ σὺ τούτε τεκμήριον τῇ πρὸς τὸν Ἀτρέως ὀργῇ Βρισηΐδος ὑπερορῶν· ἀλλ᾽ ὁμιλήσας τῇ κόρῃ, φησὶν,[70] ὅρκῳ σοφίζεται τὴν ἐγκράτειαν, ἐν χρείᾳ μου γεγονὼς τῆς συμμαχίας. οὐδὲν ἄρα σοι κεχαρισμένον ὀκνεῖ[71] διαπράξασθαι, κἂν ἐπιορκῆσαι δεήσει·[72] ὀμνὺς μὲν γὰρ ἀληθῆ, ἀποδίδωσιν[73] οἵαν βούλει τὴν κόρην· τῇ δὲ περὶ σὲ κολακείᾳ[74] τοὺς ὅρκους ὑπερορῶν, ἐν μείζονι τῶν θεῶν, εἰ θέμις εἰπεῖν, ἄγει[75] σὲ μοίρᾳ, καλῶς δὲ οὐδαμόθεν ἐπιορκεῖν ὑποπτεύω τὸν ἄνδρα. εἰ μὲν γὰρ σὺ τοῦτον ὀμνῦναι προκαλεσάμενος, δῆλον ἐντεῦθεν ἐποίεις, ὡς οὐ διαλλαγήσῃ μὴ τελοῦντι τὸν ὅρκον, εἰς ἐπιορκίας ἀνάγκην περιειστήκει· ὀμωμοκὼς δὲ νῦν αὐτεπάγγελτος, οὐδὲν αἰσχρὸν ἑαυτῷ φαίνεται συνειδώς. μὴ γὰρ ὑπολάβωμεν, ὡς ἐκ φαύλου καὶ ἀσελγοῦς συνειδότος ἐπὶ τὸν ὅρκον προήχθη. ἀλλὰ τοιαύτας ὑποψίας γινώσκων ἐρῶντι[76] παρεπομένας, ἠβουλήθη[77] καὶ ταύτην ἀποτρίψασθαι τὴν φροντίδα· χωρὶς δὲ τούτων, πῶς ἂν εἴη[78] μὴ δεδιέναι τοὺς[79] θεοὺς, τὸν ἤδη πολλῶν πειραθέντα κακῶν ἐκ τῆς περὶ τὸ θεῖον ὀλιγωρίας; ὁ μὲν γὰρ ἀσεβήσας πολλάκις, τιμωρίαν δὲ μηδαμῶς ὑποσχὼν, ἧττον ἂν φυλάξαι τὸ πλημμελεῖν, ἀγνοίας

[69] post *οἰκείας* videtur *ὀργῆς* deesse.

[70] *φησὶν*] leg. sine dubio *φὴν* in sec. persona, *tu Achille, ais.*

[71] *ὀκνεῖ*] sic A. B. et W *veretur. δοκεῖ* Mor.

[72] *δεήσῃ* Bau. et Wolf.

[73] *δίδωσιν* A. B. et W.

[74] *κολακείᾳ*] sic A. B. et W. *δὲ μείζονι κολακείᾳ* m. Mor. *εὐλαβείᾳ* t. Mor.

[75] *ἔχει* Aug.

[76] *γινώσκων τῷ ἀχιλλεῦ* Bau.

[77] recte omittunt codd. *γε* post *ἠβουλήθη*, quod delevi.

[78] *οἴει* Bau.

[79] *τὰς* deest A. B. et Wolf.

ἀγνοίᾳ τῆς ἐκ [80] θεῶν ἐπιȣ́σης τοῖς ἁμαρτάνουσι δίκης· ὁ δὲ Μυκηναῖος πεῖραν ἔχει διπλῆν, ὅπως κινεῖται τὸ θεῖον εὐσεβείας ἀμελουμένης· καὶ [81] πάλαι μὲν ἡνίκα τὴν Ἄρτεμιν φορτικοῖς ἠρέθισε [82] ῥήμασι, τοξικῆς ἀριστείας αὐτῷ κουφιζούσης τὸ φρόνημα· πρώην τὲ ὅτε τὸν Χρύσην [83] ἀτίμως ἀπέπεμψεν, ἐπιθυμίας ἐρωτικῆς πλανώσης τὸν λογισμόν. ὥστε δὶς ἤδη πεπαιδευμένος, πνεύμασί τε μαχομένοις τῷ στόλῳ, καὶ νόσῳ κοινῇ τῶν ἀρχομένων, μεστός ἐστιν εὐλαβείας· καὶ δέδοικε τοὺς κολάσοντας τῇ μνήμῃ τῶν γεγονότων. ἄνευ δὲ τῶν εἰρημένων, ὁρᾷ δήπȣ τοὺς Τρῶας ἀνδρείᾳ καὶ [84] συνέσει καὶ ῥώμῃ [85] καὶ πολεμικῶν ἐμπειρίᾳ καὶ πλήθει στρατεύματος ἐλαττουμένους τῶν Ἀχαιῶν· μόνῃ δὲ τῇ τȣ̃ Διὸς κρατȣ̃ντας [86] εὐνοίᾳ, κατὰ [87] τὴν σὴν ἱκετείαν ἐπικουροῦντος αὐτοῖς· πῶς οὖν ὑπερόψεται τῶν οὐρανίων, ὧν αἰσθάνεται τὴν ἰσχὺν, τοσαύτας σφάλλουσαν ἀρετάς; ἔδειξε δὲ τοῦ λοιμοῦ παρενοχλοῦντος τοῖς Ἕλλησιν, ὡς ἔμαθεν ὑποστέλλεσθαι τὰ θεῖα καὶ σέβειν. ἄκουε γὰρ ἡλίκην ἐγκράτειαν ἐπεδείξατο τῷ πρὸς Ἀπόλλωνα φόβῳ· εἶδεν ἀπιοῦσαν τὴν ἐρωμένην, ἔδωκε προῖκα τὴν κόρην, ἣν πολλῶν οὐ πέπρακε λύτρων. εἰ μὲν οὖν ἀνόνητος Ἀγαμέμνονι γέγονεν ἡ πρὸς τὸν Ἀπόλλω τιμή, πάλιν ἂν ἴσως ὑπερεφρόνει τῶν Ὀλυμπίων. Οὕτω γὰρ [88] πολλοὶ τιμῶντες τὸ θεῖον, οὐ ταχεῖαν ἐξ ὧν τιμῶσιν ὠφέλειαν αἰσθόμενοι, πρὸς ἀσέβειαν εὐκόλως ὑποσκελίζονται. ἐπεὶ δὲ ἅμα τε τὴν Χρυσηΐδα παρέχε, [89] καὶ τῶν Ἑλλήνων ἡ νόσος ἀπῄει, πόθεν [90] ἐπιορκεῖν ὑποπτεύομεν ἄνδρα παντοδαπὴν εἰληφότα πεῖραν δαιμονίας ῥοπῆς; δύο γὰρ ἀφορμαὶ κινοῦσιν ἀνθρώπους

εἰς

[80] ἐκ] sic B. W. et m. Mor. πρὸς t. Mor.
[81] καὶ recte abest a. Bau.
[82] ἐκίνησε Wolf.
[83] τὸν χρύσην] sic A. B. et Wolf. τὸ χρ Mor.
[84] ἀνδρείᾳ μὲν καὶ Bau.
[85] καὶ ῥώμῃ] sic A. B. et Wolf. desunt haec verba Mor.

[86] κρατȣ̃ντας] sic B. et W. recte; redit enim ad Troas: κρατȣ̃ντος Mor.
[87] μετὰ Aug.
[88] ȣ̃τω γὰρ] sic Aug. γὰρ deest Mor.
[89] παρῆχε Bau. et Wolf.
[90] ἀπείη Bau.

εἰς θεῶν ἐπιμέλειαν, τιμωρία τε δυσσεβείας, καὶ γνώμης εὐσεβοῦς ἀμοιβαί· ὧν ἀμφοτέρων ἐκεῖνος φαίνεται μεταχών. καὶ τί δεῖ[91] κύκλῳ περιελθεῖν ἐξὸν ἓν[92] καὶ ἁπλοῦν φράσαι τεκμήριον· πάρεστιν αὐτῆς σοι πυθέσθαι τῆς Βρισηίδος, εἴπερ[93] ἐρῶντος αὐτῆς Ἀγαμέμνονος ᾔσθετο, καὶ βουλομένου πρὸς βίαν αὐτῇ πλησιάσαι· ὡς εἴ τις ἐκείνῃ τοιαύτη γέγονεν αἴσθησις, ἥδιστ' ἂν πρὸς τὸν ἐραστὴν διηγήσαιτο· καὶ προσθήσει τι πλεῖον.[94] κάλλος γὰρ ἅμα καὶ σωφροσύνην[95] αὐτῇ μαρτυρεῖ, καὶ περὶ[96] σὲ βέβαιον εὔνοιαν. τοσούτων δὲ ὅμως ἐφελκομένων,[97] εἰ τοιοῦτον ἐγχείρημα τούτῳ προσάψειεν, οὐ μέμφομαι τῆς αὐτῆς ἀντεχομένῳ σοι λύπης. καί τοι μέγα καὶ σαφὲς ἔχω σημεῖον, ὡς ἀκέραιόν σοι τὴν εὐνὴν διεφύλαττεν. εἰ μὲν γὰρ ὤφθη ποτὲ τῆς γυναικὸς ἐρασθεὶς, ἴσως ἂν ἦν[98] ὑποπτεύειν, ὡς πάλαι μὲν ἐπεθύμει λαβεῖν· ἐκαρτέρει δὲ προσχήματος ἀπορῶν τὸν πόθον αὐτῷ συσκιάζοντος· ἐπεὶ δὲ τὸν πρὸ τῆς ἔριδος χρόνον ὑπονοίας ἀλλότριος[99] ἦν, οὐκ οἶδ' ὅπως εὐσχημόνως αὐτῷ τοιαύτην προσθήσω[100] λοιδορίαν. οὐ γὰρ δὴ Χρυσηίδος τῷ πατρὶ δεδομένης, ὁ περὶ ταύτην Ἀγαμέμνονος ἔρως εὐθέως[1] ἀπέστη, καὶ πρὸς τὴν[2] Βρισέως αὐτὸν ἕλκων μετέβη· ἢ τοῦτο ἐβεβούλευτο[3] μετὰ τὴν Χρυσηίδος[4] ἀπόδοσιν, ταύτης ἀλῶναι· ὥσπερ δέον βασιλέα πάντως[5] ἐρᾷν. τοσούτων οὖν ἐναργῶς τὸν[6] ὅρκον αὐτῷ βεβαιούντων, καὶ τῶν δώρων προτρεπόντων εἰς εὔνοιαν,

91 δεῖ] sic A. B. et W. δὴ Mor.

92 ἓν] εὖ Bau.

93 εἴπως Bau. et Wolf. εἴπερ Aug. et m. Mor.

94 πλέον Bau. et Wolf.

95 κάλλος γὰρ ἅμα καὶ σωφρ.] sic Aug. Wolf. et m. Mor. καλῶς Bau. sed dat etiam καὶ σωφρ. Mor. dat. καλὴν, et omittit καί.

96 περὶ] malim πρός.

97 ἐφελκομένη Aug.

98 τυχὸν ἂν ἦν A. B. W. et m. Mor.

99 ἐλεύθερος Bau. et Wolf. et m. Aug. et Mor.

100 περιθήσω Wolf.

1 εὐθὺς Wolf.

2 τὴν] sic Wolf. τῆς Mor.

3 βεβούλευτο Bau. et W.

4 χρυσηίδος] ἐκείνης Bau. et Wolf. βρισέως Aug. sed in marg. ἐκείνης.

5 πάντων m. Mor. πάντα Aug.

6 τῶν Bav.

εὔνοιαν, καὶ τῶν ἀτυχημάτων ἐπισπωμένων εἰς ἔλεον, δεῖ παθεῖν τι, καὶ στήσασθαι[7] τὴν ζημίαν· καὶ μὴ ζητεῖν ὑπερβαίνειν τὴν τιμωρίαν, ἧς ἄχρι τὸ πέρας τῆς λύπης ὑπέχου τῷ Διῒ παρατείνειν. ἀναμνήσθητι[8] γὰρ τῆς ἀρᾶς ἣν ἐποιήσω φλεγμαίνων, καὶ ζέουσαν ἔτι[9] πνέων τὴν ὀργήν· ἐδεήθης σου τῆς μητρὸς ἱκετεῦσαι τὸν Δία πρὸς τὸ Ἴλιον κλῖναι· καὶ τοσαύτην ἐπὶ τοὺς Τρῶας εὔνοιαν ἄγειν, ὥστε τὸν πόλεμον ἀπειλεῖν[10] ταῖς ναυσὶν ἐπελθεῖν.[11] οὕτω τῆς μητρὸς ἐδεήθης· οὕτω τοῦ κρατοῦντος ἡ Θέτις. οὕτω νικῶσιν οἱ Τρῶες. ὑπολάβωμεν οὖν ἐν δικαστηρίῳ συνεστάναι τὸ πρᾶγμα· κρινομένου μὲν Ἀγαμέμνονος, κατηγοροῦντος δὲ σοῦ, δικάζοντος δὲ τοῦ Διός, οἷον ἐδέξατο πέρας ὁ τῆς δίκης ἀγών; ὥρισε ζημίαν[12] ὁ δικαστής, ἣν ὁ διώκων ἐπέταξεν. ἔδωκε τιμωρίαν ὁ φεύγων, ὅσην ὁ τοῦ διώκοντος[13] θυμὸς[14] ἐψηφίσατο. μὴ τοίνυν ἐκτείνῃς αὐτῷ τὴν δυσμένειαν ὑπὲρ τὴν ψῆφον τὴν σήν· μηδὲ μείζονος ὀρεγόμενοι δίκης, τὸν Δία κινήσωμεν, μικρὰν ἀποφαίνοντες[15] τὴν τοῦ θεοῦ δωρεάν. οὐχ ἕνεκα τούτου[16] τῆς Θέτιδος ἐδεήθης, ἵνα μάθῃ δυστυχήσας ὁ βασιλεὺς ἣν ἄτην,

— ὅτ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισε·

τούτοις ἐχρήσω πρὸς τὴν μητέρα τοῖς ῥήμασιν· ἔγνω τὴν ἄτην, ἐδάκρυσε γνούς, ἱκέτευσεν, ἀπέδωκεν, ἐδωρήσατο· διήμαρτε, πέπονθε μείζονα. ἐπειδὴ γὰρ ἀτυχῶς ἐπρεσβεύσατο, καὶ τῶν ἑαυτοῦ δώρων κατέγνω, πικροτέρων φανέντων σοὶ τῆς ἀτιμίας· καὶ δυσμενέστερος ὤφθη Βρισηΐ-

δα

7 praefero σπείσασθαι καὶ μὴ sine τὴν ζημίαν e Bau. σπεισείσασθαι (sic) Aug.

8 ἀναχωρήσασα Aug.

9 ἴσι Bau. et Wolf.

10 ἀπειλεῖν] sententia postulat ἰέν.

11 ἀπελθεῖν Wolf.

12 ζημίαν] sic Aug. Bau. Wolf. et m. Mor. τιμωρίαν t. Mor.

13 δικάζοντος Aug. κατηγόρου Bau. Wolf. et m. Mor.

14 θυμός] sic Aug. B. W. et m. Mor. λόγος t. Mor.

15 malim ἀποφαίνοντες.

16 οὐ γὰρ εἵνεκα ταῦτα Wolf. et m. Mor. οὐ γὰρ ταῦτα, sine εἵνεκα Aug. οὐ γὰρ εἵνεκα τούτων Bau.

δα διδοὺς ἥπερ ἀποστερῶν, ἀπεῖπε πρὸς τοὺς μεθ' ἡμέραν ἀγῶνας, καὶ νυκτερινὸν ἐσκέψατο δόλον· καθεύδειν ὑπὸ τῶν δεινῶν[17] οὐ δυνάμενος, καὶ κλέπτειν ἀντὶ τοῦ πολεμεῖν ἠναγκάζετο. ὁ μὲν δὴ ταῦτα, οἱ βάρβαροι δὲ παρὰ[18] τὰς ὁλκάδας σκηνώσαντες, ἐν ἄσμασιν ἐπαννύχιζον καὶ αὐλοῖς· ὥστε τὸν Ἀτρέως ὅποι ἂν ἔβλεψε,[19] δυσχερεῖ θεᾷ περιπεσεῖν· τοῦ μὲν ναυστάθμου τοὺς Ἕλληνας ἔχοντος ἐν ἀθυμίᾳ καὶ σιωπῇ, τοῦ δὲ πεδίου τοὺς Τρῶας ἐπινίκιον ἄγοντας[20] ἑορτήν. ὦ νυκτὸς ἐκείνης οὐδὲ τὸν Νέστορα καθεύδειν ἐώσης· ὦ τῆς ἐπιούσης ἡμέρας χαλεπωτέρας τοῖς Ἕλλησιν! οἱ γὰρ ὁπλῖται καὶ τοξόται τῶν Τρώων τραυματίας εἰργάσαντο τῶν Ἀχαιῶν τὰ κεφάλαια· καὶ συνέστησαν μάχαι τινὲς Ἀγαμέμνονος τετρωμένου, καὶ Διομήδους, βασιλέως καὶ στρατιώτου, τῇ σάλπιγγι τὰς τῶν πολεμούντων[21] ἀκονῶντος[22] ψυχάς· τοιαῦται συνέστησαν μάχαι· μηδὲ τῆς Ὀδυσσέως ἀπολαύουσαι παρουσίας,[23] ὅπως εὕρῃ[24] τινὰ μηχανὴν ἀναπληροῦσαν τῷ στρατοπέδῳ τὴν τῶν τετρωμένων ἰσχύν. ὁ μὲν οὖν καιρὸς ἰατρὸν τοῖς νοσοῦσιν ἐκάλει· ἡ δὲ τύχη καὶ τοῦτον ἐν χρείᾳ τῆς ἑαυτοῦ κατέστησε τέχνης· καὶ τὰ τραύματα[25] ἡσυχίας[26] ἐδεῖτο· ὁ δὲ πόλεμος οὐδὲ νοσεῖν ἐπέτρεπεν, ἀλλὰ μήπω[27] δράσαντας[28] ἐξῆγε· καὶ ἀπῄτει βαδίζειν κακῶς,[29] καὶ σχεδὸν εἴσω βέλους ἑστάναι, καὶ θεωρεῖν[30] ἐπερειδομένους τοῖς δόρασιν. ἢ[31] σοι δοκοῦσιν ἑτέρων

[17] κακῶν B. A. W.

[18] περὶ Bav.

[19] ὅπῃ ἂν βλέψοι m. Mor.

[20] ᾄδοντας Aug. Wolf. et m. Mor. quod si probabitur, omittendum erit ἑορτήν.

[21] πολεμίων A. W. et m. M.

[22] ἀκονῶντος] sic dedi, (ab ἀκονᾶν) ἀκοῦντος Aug. ἀκονέντων Wolf. et m. Mor. ἀκονοῦντος r. Mor.

[23] παρρησίας Aug.

[24] εὕροι Bau. et Wolf.

[25] πράγματα m. Mor.

[26] μὲν ἡσυχίας A. B. et W.

[27] μήπω τι Aug.

[28] δράσαντας] num ἀριστήσαντας? γρ. δραπετεύσαντας. ἴσ. μή πω ῥαίσαντας.

[29] κακῶς τοῖς δόρασι δοκοῦσιν ἑτέρων caeteris omissis Bau. post κακῶς videtur ἑστῶτας male, h. e. aegre stantes.

[30] θεωρεῖν] hic videtur aliquid deesse.

[31] δόρασιν. ἢ] sic dedi. δόρασι. μὴ Mor.

ρων ἀτυχημάτων δεῖσθαι πρὸς ἔλεον; ἴσως τοίνυν ὅσῳ τὰ συμβάντα δεινότερα δείκνυμι, τοσούτῳ μείζονά σοι δίδωμι[32] πρόφασιν, εἰς τὴν τοῦ καιροῦ δυσκολίαν τὰς Ἀγαμέμνονος δωρεὰς ἀναφέρειν· ἵνα θηρεύσῃς ἐντεῦθεν τὸ μὴ δεῖν αὐτῷ βοηθεῖν· ὡς οὐ γνώμης ἐπιεικείᾳ, τῇ δὲ βίᾳ τῆς τύχης φιλοδώρῳ φανέντι. ταύτην Ἀπόλλων τὴν πρόφασιν ἔχων ἐγκαλεῖν Ἀγαμέμνονι· κατόπιν γὰρ ἐσωφρόνησε τοῦ λοιμοῦ· καὶ τὴν εἰς αὐτόν τε καὶ τὸν ἱερέα[33] τιμὴν εἰδὼς ἀνατρέχουσαν εἰς τὴν ἀνάγκην τῆς συμφορᾶς, οὐκ εἰς τὴν ἐκείνου προαίρεσιν, ὅμως ἔλυσε τὴν ὀργὴν ὁ θεός· καὶ συνέγνω τῷ βραδέως αὐτῇ τῇ νόσῳ[34] μαθόντι τὸ δέον. εἶδεν[35] εὐμενῶς ἀμέλει τὰ δῶρα, οὐ κατάλογον πόλεων καὶ ναῦν χρυσίου γέμουσαν ὅλην· ἀλλ' εὐχὰς καὶ ἱερεῖα καὶ ὕμνους. σὺ δὲ μὴ μόνον θυμούμενον τὸν Ἀπόλλω ζηλώσῃς,[36] ἀλλὰ καὶ σπενδόμενον Ἀγαμέμνονι· μηδὲ τοῦ Χρύσου τὰς κατὰ τῶν Ἑλλήνων ἀρὰς μιμησάμενος, τὰς ὑπὲρ τούτων ἐκείνου παραλίπῃς εὐχάς. ὡς γὰρ ᾤχετο φέρων αὐτῷ τὸ θυγάτριον Ὀδυσσεύς, ὁ μὲν ᾔτησε τὸν Λητοῦς ἡμῖν συναλλαγῆσαι·[37] ὁ βάρβαρος γέρων τοῖς Ἕλλησιν· ὁ δέ, πάλιν ἐπένευσεν αἰτοῦντι τὴν χάριν. ἀνήγετο οὖν[38] ὁ Λαέρτου καλλιερήσας· καὶ πρὶν ἀφῖχθαι εἰς τὸ[39] στρατόπεδον ᾔσθετο τῆς Ἀπόλλωνος εὐμενείας, ἀσφαλείᾳ καὶ δρόμῳ τοῦ πλοῦ.[40] οὕτω πρὸς οἶκον ὤφθη ταχὺς ὁ θεὸς αὐτός τε καὶ ὁ θεράπων αὐτοῦ· καὶ ταῦτα τοῦ Μυκηναίου τὴν κόρην γυμνὴν ἀποστείλαντος δώρων, καὶ μηδαμῶς πεπεικότος ὅρκῳ τὸν Χρύσην

Μήποτε τῆς εὐνῆς ἐπιβῆναι. μηδὲ μιγῆναι.

οὐκοῦν ὑπέρογκόν[41] ἐστι καὶ σοβαρὸν ἐπ' ἐλάττονος μὲν θερα-

32 μείζονά σοι δίδωμι] sic A. B. et W. σοι deest Mor.

33 καὶ εἰς αὐτόν γε τὴν εἰς τὸν ἱερέα Aug.

34 τοῦ βραδέος αὐτῷ τὴν ὅσιμ. Aug.

35 οἶδεν Bau.

36 ζητήσῃς Bau.

37 aut cum codd. A. et W. leg. συναλγῆσαι, aut potius συναλλαγῆναι.

38 γοῦν A. et B.

39 πρὸς τὸ A. B. W. et m. Mor.

40 πλοίου Wolf.

41 post ὑπέρογκον delevi μέν, quod abest a codd.

ῥαπείας διαλλαγῆναι θεόν· ἄνδρα δὲ μειζόνων τετυχηκότα τιμῶν μὴ ζηλῶσαι τὸν κρείττονα, καὶ ταῦτα μὲν ἔφην ὑποθέμενος τὸν Ἀτρέως ὕστερον μετεγνωκότα[42] τῶν ἐν τῷ πολέμῳ κακῶν, οἷς διαστάντος σου περιπέπτωκεν. ἀκριβεῖ δὲ λόγῳ φανήσεται προλαβὼν μετανοίᾳ τὴν ἀτυχίαν.[43] οὐ γὰρ ἂν τῇ Βρισέως ἐφυλάξατο συνελθεῖν, εἰ μὴ παραχρῆμα μεταμέλος εἰσῆλθεν αὐτόν,[44] καὶ κατέγνω τῶν πεπραγμένων· ἀλλ' ὡς ἔοικε, χρόνον ἀνέμεινεν[45] ἀρκοῦντά σου[46] τὸ τραχὺ τοῦτο μαλάξαι. τὴν γὰρ ὑπὲρ τοιούτων ἐγκλημάτων ὀργήν, ἃ δι' ἀφαίρεσιν γίνεται κτήματος ἀναδοθῆναι[47] δυναμένου,[48] ῥᾳδίως παύεσθαι χρή, τῆς ἀποδόσεως εἰς πέρας ἰούσης.[49] ἤδη δὲ καὶ πατὴρ πρὸς φονέα παιδὸς χαλεπαίνων, ἐπαύσατο μακρῷ τε[50] χρόνῳ καὶ δώροις, οὕτω καὶ τῆς ἐσχάτης εἰσὶ δυσμενείας συνθῆκαι· καὶ λύεται μῖσος ἀπόδοσιν οὐκ ἔχον. πρὸς ταῦτα[51] Μενέλαος ἀφορῶν, ἐπαύσατο[52] Ἀλεξάνδρῳ μνησικακῶν, εἰ τὴν Ἑλένην ἔτυχε κομισάμενος, καὶ συνήρεσκε πᾶσιν ἡ γνώμη. γενομένου γὰρ ἡμῖν τοῦ πρὸς τὴν Τροίαν κατάπλου, κοινὸν ἐνίκησε δόγμα πρεσβείᾳ πρότερον χρήσασθαι· καὶ ταύτῃ[53] διάπειραν Ἀλεξάνδρου λαβεῖν· κατένευες[54] οὐδενὸς ἧττον τοῖς[55] δεδογμένοις. οὐχ ὑπέλαβες τότε μηδαμῶς ἀρκέσειν ἀνδρὶ γυναικὸς ἐστερημένῳ τὴν ταύτης ἀπόδοσιν. ἧκεν[56] οὖν ὁ τῆς Ἑλένης ἀνὴρ εἰς τοὺς Τρῶας, οὐδὲν ὧν ἀφῄρητο πλέον αἰτήσων. ἄνθρωπος πλεῖστα μὲν ἀγαθὰ τὸν Ἀλέξανδρον εἰργασμένος· ἀναπετάσας τε, τὴν οἰκίαν αὐτῷ, καὶ μεταδοὺς[58] εὐνοίας

[42] κατεγνωκότα Aug.
[43] τὴν ἀτυχίαν] sic A. B. W. et m. Mor. τῆς ἀτυχίας Mor. f. etiam leg. τὰς ἀτυχίας in plur.
[44] αὐτῷ A. B. et m. Mor.
[45] ἀνέμενεν Bau. et Wolf.
[46] ἀρκοῦντά σοι A. B. et m. Mor.
[47] ἀναδιδόναι Bav.
[48] δυναμένῳ Aug.
[49] ἐλθούσης B. et W.
[50] τε] τῷ Aug. τε καὶ Bav.
[51] ταῦτα καὶ A. B. et W.
[52] ἐπαύσατο ἂν A. B. et W.
[53] τὸ ταύτῃ Wolf.
[54] καὶ κατένευες Aug.
[55] οὐδὲν ἧττον ἐν τοῖς Bav.
[56] ἧμεν Bav.
[57] τε] sic Wolf. δὲ Mor.
[58] μεταδιδοὺς Bav.

ας τοσαύτης, ὥστε σύνοικον εὐπρεπῆ καὶ θυγάτριον εἰς ὄψιν ἀγαγεῖν τȣ̃ ξένου. πλεῖστα δὲ δεινὰ πεπονθὼς, τὴν τῆς γυναικὸς ἁρπαγήν· τὴν ὑπὲρ τȣ̃ στόλου δαπάνην· τὸ μῆκος τȣ̃ πλοῦ, τὴν πλάνην, τὸν κίνδυνον· πανταχόθεν δὲ πρὸς τὴν τȣ̃ πολέμου νίκην εὔελπις ὢν, οἷα πολλὴν ἀγείρας παρασκευήν· καὶ σφριγῶσαν εὐεξίαν σωμάτων, καὶ μεγίστην ἔχων ἐπικουρίαν τὸ δικαίως ἐπιστρατεῦσαι· τοσούτοις ὠθούμενος λογισμοῖς ἀμύνασθαι τὸν Ἀλέξανδρον, οὐ περαιτέρω προήει, τȣ̃ τὴν Ἑλένην ἀπολαβεῖν. βούλομαι τοίνυν εἰδέναι εἰ δίδως Βρισηΐδι τὴν Ἑλένην παραβαλεῖν, καὶ τὸ μέσον ὑπάρχον σκοπῆσαι. βάρβαρος αὕτη καὶ δορυάλωτος· ἡ δὲ τὴν τύχην ἐλευθέρα, καὶ Λάκαινα. καλὴ μὲν ἡ Βρισηΐς,[59] καλλίστη δὲ γυναικῶν ἡ Λήδας θυγάτηρ. ὅσῳ τοίνυν ἅπασι ταύτης ἐκείνη πλεονεκτεῖ, τοσοῦτό σου μᾶλλον[60] ὁ Σπαρτιάτης ἠδικημένος ἔστεργε τὴν ἀπόδοσιν· ὑβρισμένην εἰδὼς αὐτῷ τὴν εὐνήν. οὐ γὰρ ἑτέραν τῆς ἁρπαγῆς αἰτιᾶσθαι[61] πρόφασιν. ἀκόλουθον, οἶμαι, τῷ Μυκηναίῳ παραβαλεῖν τὸν Ἀλέξανδρον, ἵνα καὶ ταύτῃ δείξωμεν μείζω[62] τὴν εἰς τὸν Μενέλαον ὕβριν. οὐχ ὁ μὲν Ἕλλην ἐκ Μυκηνῶν, ὁ δὲ, καθέστηκε Φρύξ; οὐχ ὁ μὲν, ἐκ παιδὸς βασιλεὺς, ὁ δὲ πάλαι βουκόλος; οὐχ ὁ μὲν, ἐξ ἀντιλογίας καὶ μάχης ἀφείλετό σε τὴν κόρην· ὁ δὲ τὴν Ἑλένην Μενελάῳ μηδὲν ἐγκαλῶν; ἐπειδὴ τοίνυν ἑκάτερος ἀλλοτρίαν εἴληφε γυναῖκα, φέρε σκοπήσωμεν, ὅπως ἀμφότεροι τοῖς ὑβρισμένοις ἐχρήσαντο· ὁ μὲν σωφρόνως τὸ γέρας ἀποδιδοὺς· καὶ πλοῦτον ἄφθονον προστιθεὶς,[63] ἐπρεσβεύσατο· ὁ δὲ τȣ̃ Πριάμου πρεσβεύσαντα τὸν ἠδικημένον ἰδὼν, ἄπρακτον ἔπεμψε.[64] τάχα δή τις[65] τὴν Βρισηΐδος πρὸς τὴν Ἑλένης

[59] ἡ Βρισέως A. B. W. et m. Mor.

[60] τοσούτῳ μᾶλλον] Bau. et Wolf.

[61] αἰτιάσασθαι A. B. W. et m.Mor.

[62] μείζονα A. B. et W.

[63] παρατιθεὶς B.

[64] malim compositum ἀπέπεμψε.

[65] δή τις] ſic codd. δ' εἴ τις Mor.

Ἑλένης ἐξέτασιν ὑπερβὰς, καὶ τὴν Ἀλεξάνδρου πρὸς Ἀγαμέμνονα σιωπήσας παράθεσιν, εἶτα μόνῳ τῷ Μενελάῳ μόνον τὸν Ἀχιλλέα παραβαλὼν, μείζονά σοι δεῖξαι τὴν ἀτιμίαν πειράσεται· οὗτος σοφίζεται μὲν εὐπρεπῶς· ἁλώσεται δὲ κακουργῶν. ἡ γὰρ εἰς[66] τὸν Μενέλαον ἡνίκα πρὸς τὸν Ἀλέξανδρον ἐπρέσβευσεν ὕβρις, διὰ σȣ̃ τε καὶ τῶν Ἑλλήνων ἁπάντων διέρχεται. ἡ γὰρ ἀτιμία τȣ̃ πρεσβευτȣ̃, πάντων[67] ὑπάρχει τῶν ἐκπεμψάντων· καὶ διὰ ταύτης ὁ Πάρις ἐκήρυσσεν, ὡς καταφρονεῖ μὲν τῆς Ἀχιλλέως ἀνδρείας. ὑπερορᾷ δὲ τȣ̃[68] Αἴαντος τὴν ῥώμην· ȣ̓ δέδοικε δὲ τὸν σὸν ἑταῖρον ἐμέ. βραχὺς δὲ λόγος αὐτῷ τȣ̃ Διομήδους φρονήματος· ȣ̓ φεύγει δὲ τȣ̃ Λοκρȣ̃ τὴν ὀξύτητα, καὶ τῶν Ἀτρειδῶν ȣ̓ τιμᾷ τὴν ἀξίαν, καὶ τῶν Ὀδυσσέως λόγων καταγελᾷ,[69] καὶ τὴν Νέστορος εὐβȣλίαν ἐν ἀμελείᾳ ποιεῖται, καὶ τῶν ὑπολοίπων τὸ πλῆθος ἀφόβως ὁρᾷ καὶ τί σοι τὸν Χρύσην; τί φημὶ τὸν Μενέλαον εἰς παράδειγμα; τȣ̃ μὴ προσήκειν εἰς τέλος, ἀλγεῖν, ὑπὲρ κόρης ἀφῃρημένης. εἰσὶν ἐν τοῖς στρατοπέδοις[70] ῥήτορες δύο γεγηρακότες, ἀμφότεροι παραπλησίαν ἔχοντες τὴν ἡλικίαν, καὶ τοῖς οἰκείοις ἑκάτερος τὴν ἀπὸ τῆς γλώττης συντέλειαν[71] χορηγῶν τοῖς μὲν Ἕλλησι Νέστωρ. τοῖς δὲ πολεμίοις Ἀντήνωρ. οὗτοι μίαν ἀπεφήναντο γνώμην ἀμφότεροι, μὴ χρῆναι τινὰ[72] ὑπὲρ γυναικὸς ἡρπασμένης ἄσπονδον ἔχθραν ποιεῖσθαι· προϊούσης εἰς ἔργον τῆς ἀποδόσεως. ὁ μὲν γὰρ ἀποδȣ̃ναί σοι τὴν Βρισέως ἐνουθέτησεν Ἀγαμέμνονα. ὁ δὲ Μενελάῳ τὴν Ἑλένην Ἀλέξανδρον, οἷα[73] προσῆκον ἐντεῦθέν σέ τε διαλλάττεσθαι τῷ Μυκη-

66 εἰς] ſic A. B. W. et m. Mor. πρὸς Mor.

67 πάντων] ſic A. B. et W. πάντως Mor.

68 τȣ̃] τὴν A. B. et W. ſed omittunt τὴν poſt αἴαντος.

69 καταφρονεῖ Aug. et m. Mor.

70 τοῖς στρατοπέδοις] ſic recte B. W. et m. Mor. duo enim caſtra deſignantur, Graecorum altera, altera Troum. τῷ στρατοπέδῳ t. M.

71 συντέλειαν] ſic A. B. et W. λυσιτέλειαν Mor.

72 τινας dant codd. ego malim, vtrumque, τινα et τινας, prorſus abeſſe.

73 οἷα] malim οἷς. quibus adhortationibus Neſtoris et Antenoris, conſentaneum eſt.

Μυκηναίῳ, καὶ τῷ Πριάμου τὸν Σπαρτιάτην. βούλομαι δή σε καὶ τοῦ προγόνου Διὸς ζηλωτὴν ἀποδεῖξαι παυσάμενον τῆς ὀργῆς. λέγεται γὰρ ἐν[74] ἀφορήτῳ ποτὲ τῆς Ἑλλάδος λιμῷ τρυχομένης, τὸν Αἰακὸν προσευξάμενον τῷ Διῒ τὸ κακὸν ἀπελάσαι. καταβαίνει τοίνυν ἐξ οὐρανοῦ σοι φιλανθρωπίας εἰκών· εἰς ἣν ἀποβλέπων θεάσῃ τὸν Δία. θυμούμενον μέν· δείκνυσι γὰρ τὴν ὀργὴν ὁ λιμός·[75] παυσάμενον δὲ καὶ διαλλαγέντα τοῖς Ἕλλησι. ζηλώσεις οὖν, εἴτε τὸν Δία τὸν πρόγονον, εἴτε τὸν παῖδα τοῦ Διὸς τὸν Ἀπόλλω. μὴ γὰρ οἴου μικρὸν εἶναι συγκαταλέγεσθαι σωτῆρσιν Ἑλλήνων θεοῖς, εἴπερ τὸν λιμὸν μὲν ὁ Ζεύς, ὁ δ᾽ Ἀπόλλων ἔπαυσε τὸν λοιμόν· σὺ δὲ[76] τὸν Ἕκτορα χαλεπώτερον ὄντα τοῖς Ἀχαιοῖς, συναμφοτέρου νοσήματος· μαίνεται γάρ πως[77] τῷ μεγέθει τῶν πεπραγμένων, καὶ τὸ θαῤῥεῖν λαβὼν παρὰ σοῦ, μὴ νήφων. ὡς εἰκός, ἐπιλέλησαι· πρόφασιν εἶναι δὲ[78] τὸν Ἀγαμέμνονα. καὶ τοσοῦτον ἡμᾶς ἐκεῖνος διέπτυσεν, ὥστε τῷ Δόλωνι κατάσκοπον αὐτὸν ἐπὶ τὰς ναῦς ἀποστείλας, ἀμοιβὴν ἀποῤῥήτων Ἑλληνικῶν ὑπέσχετό σου διδόναι τοὺς ἵππους, τοὺς ἕτερον φέρειν ἀναβάτην οὐκ ἀξιοῦντας. εἰς τοῦτο ὕβρεως ἐκεῖνον ἐκούφισεν ἡ παρὰ τὴν ἀξίαν εὐδαιμονία. ἀλλὰ μέχρι τίνος ἑστιᾶται[79] σου τῆς ὀργῆς; οὐ χαλάσει λοιπὸν τὴν ὀφρύν; οὐ παύσεται ταῖς ναυσὶ γειτνιῶν; οὐκ ἀποδώσει σοι τὸ μεταίχμιον; οὐ ζητήσει τὸ δένδρον ἐκεῖνο, τὴν δρῦν, τὸ σύνηθες αὐτῷ[80] τῆς φυγῆς[81] ἐνδιαίτημα; οὐ γνώσεται ὅτι

74 malim ἐν abesse, ut abest a Wolf.

75 λοιμὸς Aug.

76 post σὺ δὲ deesse videtur ζηλοῖς.

77 μαίνεται γάρ πως] sic Bav. et Wolf. γὰρ deest Mor.

78 non intelligo recte. abesse δὲ ab Aug. suspicor. quo admisso, tollendum punctum post ἐπιλέλησαι. et sententia est: oblitus est, Agamemnonem solummodo, h. e. suas Hectoris, cum Agamemnone simultates, praetendi; reuera autem te, Achille, peti.

79 ἑστιᾶται] sic recte A. B. W. et m. Mor. pascitur, id est fruitur, ira tua. αἰτιᾶται t. Mor.

80 αὐτοῦ Aug.

81 φυγῆς] sic recte A. B. et W. γῆς Mor.

ὅτι στρατὸν ἡττημένον παραλαβὼν Ἀχιλλεὺς, ὁμοίως ἐστὶν Ἕκτορι φοβερὸς ἡγουμένῳ[82] στρατοπέδου νενικηκότος; μάλιστα μὲν γὰρ οὐδένα τῶν ἄλλων[83] δεῦρο συμπεπλευκότων, ἀτελῆ καταλεῖψαι τὸν πόλεμον ἀξιῶ. αἰσχρὸν γὰρ ἔργων[84] ἀρξαμένους ἐπαινουμένων, πρὶν ἐπιθεῖναι πέρας αὐτοῖς, ἡσυχάζειν· καὶ ταῦτα τοῦ πολέμου δέκατον ἔτος ἤδη προβάντος. εἰ δ' οὖν καὶ τοῖς ἄλλοις ἅπασιν ἔδοξεν ἠρεμεῖν οὔπω τοῦ τροπαίου σταθέντος, ἥκιστά γε σοὶ τοῦτο προσῆκόν ἐστι ποιεῖν, ὅσῳ πλείονα σοὶ καὶ μείζω διήνυσται. ὅσοις μὲν γὰρ ἐλάττων ἡ δύναμις, καὶ κατὰ λόγον τῆς ἰσχύος αἱ πράξεις, τούτοις εἰκότως ἐλάττων γίνεται πόθος τῆς νίκης· ἐννοουμένοις ὅτι τῆς εὐδοξίας ὀλίγην ἀπέρχονται φέροντες μοῖραν· σὺ δὲ πλείους ἢ εἴκοσι πόλεις[85] ζημιώσας τὸ Τρωϊκὸν· δώδεκα μὲν ναυμαχῶν, πεζεύων δὲ ἕνδεκα· τοσαύτης δὲ ζημίας οὔσης τοῖς ὅπλοις,[86] ἂν ἀπέλθῃς τὴν Τροίαν αὐτὴν ὡς ἔχει[87] καταλιπὼν δι' ἣν ἐχειρώσω τὰς τρεῖς καὶ εἴκοσι πόλεις, παρόμοιόν τι δόξεις ποιεῖν, ὥσπερ ἂν εἰ Μενέλαος εὔξαιτο πάντας διαφθεῖραι[88] τοὺς Τρῶας, πλὴν Ἀλεξάνδρου. ἦν μὲν οὖν καταγέλαστος ἡ Ἑλλὰς ἠρεμοῦσα, καὶ φέρουσα σιωπῇ τῆς Ἑλένης τὴν ὕβριν· δειλίας γὰρ ἐντεῦθεν ἐδέχετο ψόγον, φόβῳ τὴν ἡσυχίαν ἄγειν δοκοῦσα·[89] πλὴν ἡσυχάζουσα μᾶλλον μετρίαν εἶχεν[90] αἰσχύνην, ἢ κακῶς ἀπαλλάττουσα· τὸ μὲν γὰρ ὑποψία,[91] τόδ' ἀπόδειξις ἀνανδρείας.[92] καὶ τότε μὲν ἴσως οἱ Τρῶες οὐ λίαν ἔζων ἀφόβως· ἀλλὰ πᾶς ἑαυτὸν, καὶ τὸν πλησίον ἕκαστος, καὶ πάντες ἀλλήλους ἐτάραττον, τοὺς Ἕλληνας ἐννοούμενοι· εἰ γὰρ

82 ἡγουμένου A. B.

83 aut omittendum est ἄλλων, id quod faciunt codd. aut leg. τῶν ἄλλων τῶν δεῦρο -- iterato articulo.

84 ἔργον Bau.

85 num πόλεσι?

86 τοῖς ὅπλοις suspectum.

87 εἶχε Bau.

88 εὔξειτο φθεῖραι Bau.

89 δοκοῦσα] sic codd. δοκοῦντα Mor.

90 εἶχεν] sic A. et W. ἦγεν Mor.

91 ὑποψία] sic recte B. et W. subauditur ἦν ἀνανδρίας. nam in altero erat suspicio ignauiae. ὑποψίας Mor.

92 ἀνανδρίας B. et W.

γὰρ ἐστράτευσαν, εἰ γὰρ πολέμῳ[93] τὴν ἁρπαγὴν ἐσωφρόνισεν, εἰ μὴ σμικρὸν αὐτοῖς ἔδοξε μία γυνὴ, οὐ πολιορκία καὶ κίνδυνος περιειστήκει τὴν Τροίαν. μηδεὶς τοίνυν Ἀλεξάνδρου παροινίαν ζηλώσῃ· μὴ τῷ δευτέρῳ τολμήματι τὸ πρῶτον ἀνασοβήσωμεν. τοιοῦτον ἔμελλε δέος αὐτοὺς[94] ἐνοχλεῖν, καὶ σωφρονεῖν ἐνουθέτει[95] μενόντων οἴκοι τῶν Ἀχαιῶν· ἠγωνισμένων δὲ δυστυχῶς· καὶ τῆς μὲν πολλῆς στρατιᾶς[96] ἐνταῦθα κειμένης, τῆσδε λοιπῆς ἀπρεπῶς ἀπιούσης. εἴ τις ἄρα περισωθείη, πᾶσα τοῖς ἐναντίοις λύεται ταραχή· καὶ δίδωσιν αὐτοῖς ὁ πόλεμος θρασύτερον ἔρωτα[97] γυναικῶν Ἑλληνίδων. γελοῖον δ' ἂν[98] εἴη καὶ γέμον ἀνοίας, εἰ τὴν Μυσίαν μὲν ἐλῄστω, Τροίαν εἶναι δοκοῦσαν, τὴν ἀληθῆ δὲ Τροίαν ἱσταμένην περιορᾷς. ἀλλὰ τῆς πολεμίας ἁλούσης, φησὶν[99] Ἀγαμέμνων ἐφεδρεύει τοῖς ἄθλοις. ἡ γὰρ εὐδοξία τῶν ἔργων ἐπὶ τοὺς κρατοῦντας αὐτομολεῖ· ἄτοπον οὖν ἑτέρων[100] μὲν εἶναι τοὺς πόνους, ἑτέρων δὲ τοὺς καρπούς. ἔλυσε ταύτην Ἀγαμέμνων τὴν ὑποψίαν περιβόλῳ καὶ τάφρῳ καὶ πρεσβείᾳ καὶ δώροις, ὁμολογήσας ὅτι μιᾶς μὲν ὡς ἀληθῶς ἤρτηνται δεξιᾶς οἱ τῆς Εὐρώπης ἀγῶνες· ἡ δὲ Ἑλλὰς, καὶ τῆς Ἑλλάδος ὁ βασιλεὺς, σχῆμα καὶ ὄχλος· ὥστε εἰ καὶ[1] ὁ κόμπος τῆς βασιλείας δελεάσει τὴν φήμην, καὶ πείσει χαρίσασθαι τῷ κρατοῦντι τὴν εὔκλειαν· πολλὰ ψευδομένην[2] ἐλέγξει ἡ τῶν Ἑλλήνων ἐν τοῖς ἀψύχοις ἐλπὶς, ἡ περὶ σὲ πολυτέλεια τοῦ βασιλέως· οἱ προστατεύειν εἰληχότες, διακονήσαντες,[3] ἡ τῶν πραγμάτων μεταβολή. τῶν μὲν Ἑλλή-

νων

93 εἰ γὰρ πολέμῳ] sic A. B. et W. γὰρ deest Mor.

94 αὐτοῖς A. B. W.

95 f. καὶ σωφρονεῖν ἂν ἐνουθέτει.

96 στρατείας Bau.

97 ἔρωτι dat Wolf. quod si probatur, deest ἐντρυφᾶν, vel tale quid.

98 γελοῖον δ' ἂν] sic A. B. et W. δ' deest Mor.

99 φησὶν] sic A. B. et W. φῆς Mor.

100 ἑτέρου μὲν εἶναι τ. π. ἑτέρου A. B. W. et m. Mor.

1 ὥστε εἰ καὶ] sic Wolf. εἰ deest Mor.

2 τὴν ψευδομ. Aug.

3 recte omittunt codd. articulum οἱ ante διακονήσαντες. argumento erunt inter alia — etiam hoc, quod illi, qui aliis praeesse constituti sint, ministrauerint, h. e. ministerio legationis ad te functi fuerint.

γων δραπετεύειν ἀντὶ τȣ̃ διώκειν ἠναγκασμένων. τῶν εἰωθότων δὲ φεύγειν, τȣ̃ πεδίου κρατούντων, καὶ μετενεγκόντων ἐπὶ τὰς ναῦς ἀπὸ τῆς Τροίας τὸν κίνδυνον. ὅτως ἀμφότεροι τὰς ἀλλήλων διεδέξαντο τύχας, ἑνὸς ἀνδρὸς ἀπουσίᾳ. οὐ τοίνυν μόνον τειχίζων τε καὶ ταφρεύων καὶ πρεσβευόμενος καὶ τιμῶν, οὐ μόνον ἔργοις τοσȣ́τοις ἐκεῖνος τὴν τȣ̃ πολέμȣ σοι [4] δόξαν ἀνέθηκεν· ἀλλ᾽ ἐπειδὴ τὴν γενομένην ἡμῖν ἀψιμαχίαν διῆλθεν ὁ Νέστωρ, καὶ τὰς ἐκ ταύτης ἐμπεσούσας [5] αὐτῷ κακοπραγίας [6] ὠνείδισεν, [7] ἥμαρτον, ἔφη, λυπήσας ἄνδρα τῷ Διῒ προσφιλῆ· ȣ̃ μεταστάντος ἡ πλείστη τῶν Ἑλλήνων ἀνήλωται [8] μοῖρα. ȣ̓κȣ̃ν ἐξ ὧν ηὐτύχησε [9] διὰ σοῦ ἐξ ὧν ἀπόντος σȣ πέπονθεν, οἷς μετὰ σὲ κατεσκεύασε δι᾽ ὧν ἱκέτευσεν ὀργιζόμενον, οἷς ἵνα διαλλαγῇς ἐδωρήσατο, δι᾽ ὧν ἐγκαλοῦντι τῷ Νέστορι γέγονε σύμψηφος· διὰ τοσȣ́των τὸ πλῆθος, ὡσπερεὶ κῆρυξ ἐν μέσῳ βοᾷ, ὑπὸ [10] σοὶ μόνῳ κεῖσθαι τὴν [11] Ἴλιον εἶναί τε καὶ [12] μή· οἱ γὰρ τοὺς ἡμετέρους ἱδρῶτας ἐκεῖνος καρποῦται. τὰ μὲν παρόντα σοι ταῦτα, τὰ δὲ μέλλοντα μείζονα. σπενδομένου γάρ σȣ, καὶ μετέχοντος τῆς συμμαχίας, πάλιν Ἕλληνες ὑψηλοί· πάλιν εἰς γῆν [13] οἱ βάρβαροι νεύσȣσι, [14] καὶ πρὸς τὴν προτέραν δειλίαν αὐτῶν ὑποστρέψαντες, αἰσθήσονται τὴν ἤδη συμβᾶσαν αὐτοῖς εὐπραγίαν· ȣ̓ τὸν οἰκεῖον κατορθώσαντα στρατηγόν· ὅτω γὰρ ἠπάτηνται νῦν· ἀλλὰ τὴν σὴν ἐργασαμένην διάστασιν· ὥστε καὶ τοῖς ἤδη σοι πεπραγμένοις, καὶ τοῖς παρὰ τὴν σὴν ἀπουσίαν Ἑλληνικοῖς ἀτυχήμασι· [15] καὶ ταῖς ὕστε-

[4] πολέμȣ σοι] sic Bau. et W. σοι deest Mor.

[5] ἐμπεσȣ́σας] sic codd. id est συμπεσ. αὐτῷ. redit ad Agamemnonem, vt ἔφη pariter ad eundem redit. ἐκπεσȣ́σας Mor.

[6] κακοργίας Aug.

[7] ὠνειδίσας Bau.

[8] ἀνάλωται A. et W.

[9] ηὐτύχησε] sic recte Wolf. (scil. παρόντος καὶ φίλȣ ὄντος καὶ συμμαχȣ̃ντος] ηὐτύχησε Mor.

[10] ὑπὸ] mallim ἐπί.

[11] τὴν] τὸ A. B. et W. τὸ Ἴλιον κεῖσθαι, εἶναι m. Mor.

[12] τε πόλιν καὶ Bau.

[13] γῆν] sic A. et W. φυγὴν Mor.

[14] νεύσȣσι] sic B. et W. νεύσȣσι Mor.

[15] ἀτυχήμασι] sic A. B. et W. εὐτυχήμασι Mor.

ὕστερον οἰχομέναις[16] ἀνδραγαθίαις, ὑπὸ σοὶ φανήσεται[17] μόνῳ τȣ͂ πολέμȣ τὸ κράτος· τί οὖν ἀπίθανον ἡμῖν φαντασίαν[18] προβάλλῃ, καὶ δέδοικας, μὴ σὺ μὲν ἔλῃς ἔργῳ τὴν Τροίαν, ὁ δὲ ἔχων τὴν ἀρχὴν, τὴν φήμην.[19] οὐ ταύτην ἔχε[20] τὴν διάνοιαν ὁ Πηλεύς· οὐ ταύτης ὑπῆρχε τῆς γνώμης ὁ Τελαμὼν, ἡνίκα τὸ χρυσοῦν μετῆλθε δέρας Ἰάσων· ἢ γὰρ ἂν οὐδέτερος ἐπὶ Κόλχους ἐξέπλευσεν, ὥσπερεὶ ἐκείνου[21] μὲν δρεψομένου τὸν ἆθλον· Ἰάσονος δὲ (τȣ͂ στόλου γὰρ οὗτος ἡγεῖτο) τὴν δόξαν· αὐτῶν δὲ μάτην τὰς Συμπληγάδας περαιουμένων· ἀλλ᾽ ἐκεῖνοι τȣ̀ς μεγάλων κατατολμῶντας[22] ἀγώνων, ᾤοντο χρῆναι τȣ͂το πεπεῖσθαι βεβαίως, ὅτι τὴν ἰδίαν ἕκαστος[23] ἀρετὴν, εὐκλείας ἔχει κανόνα· καὶ πρὸς τὰ μέτρα τῶν ἔργων ἐπίσημος γίνεται. χωρὶς δὲ τούτων, εἰ προσλαβόντες σȣ τὴν συμμαχίαν οἱ βάρβαροι, τὰ αὐτὰ δεινὰ[24] τοὺς Ἕλληνας ἔδρασαν, ὅσα κατώρθωσαν ἀποστάντος σου μόνου,[25] ἤρκει ἂν[26] σȣ[27] καὶ τȣ͂το τὴν τῆς[28] ἀνδρείας ὑπερβολὴν παραστῆσαι τοῖς Ἀχαιοῖς. εἰ τοίνυν προστεθέντος σȣ τοῖς ἐναντίοις τοιαῦτα παθόντες, οἷα πεπόνθασιν ἡσυχάζοντος, ᾐσθάνοντό σȣ τῆς ἀρετῆς· πόση νῦν αὐτοῖς γέγονεν αἴσθησις[29] παρὰ τὴν σὴν ἀπουσίαν τοσούτων ἐμπεπλησμένοις κακῶν· ὧν ἐγὼ θεατὴς γεγονὼς ἐκ τῆς Εὐρυπύλȣ σκηνῆς· νῦν γὰρ ἐμνή-

θη

[16] οἰχομέναις A. B. et W. ego malim ἐσομέναις.

[17] φανήσεται] sic Bau. et Wolf. φαίνεται Mor.

[18] γρ. πρόφασιν in marg. Bau. προδοσίαν Wolf.

[19] τὴν φήμην] scil. ἕλῃ e praemissis.

[20] ἔξει τ. δ. ὁ δὲ π. m. Mor.

[21] ἐκείνȣ et δρεψομένȣ, superscr. sunt in Bau. ων. Aug. dat. δρεψομένȣ, et Wolf. δρεψαμένων.

[22] τȣ̀ς μεγάλων κατατολμῶντας] sic A. B. et W. τῶν μεγ. κατατολμῶντες Mor.

[23] ἕκαστος] sic codd. ἑκάτερος Mor.

[24] post δεινὰ codd. recte πρὸς omittunt.

[25] μόνον B. et W.

[26] ἂν ἴσως Aug.

[27] σȣ] sic A. B. et W. recte. σȣ͂ τῆς ἀνδρείας idem est atque τῆς σῆς ἀνδρείας. Mor. dat σοι.

[28] τȣ͂το τὴν τῆς] sic Aug. Bau. et Wolf. τὴν deest Mor.

[29] αὐτοῖς γέγονεν αἴσθησις] sic A. B. et W. αἴσθησις αὐτοῖς Mor.

θην[30] ἐκείνου μετέχοντος τοῦ καταλόγου τῶν τετρωμένων· ἥκω δεδακρυμένος εἰκότως, ἀήθη μάχην ἰδών· ἣν ἔξεστι μὲν ἱππομαχίαν, ἔξεστι δὲ ναυμαχίαν καλεῖν. τίς οὖν ἐστὶν αὕτη; τῶν ὁλκάδων ἐπιβάντες οἱ Ἕλληνες, πρὸς τὴν ἵππον ἐπολέμουν τὴν Τρωϊκήν. εἰς τοῦτο ἀνάγκης αὐτοῖς περιειστήκει τὰ πράγματα. εἶτά σου πεῖραν οὕτω σαφῆ καὶ λαμπρὰν εἰληφότες, καὶ μείζω ληψόμενοι,[31] τὴν ἐκ τῶν ἔργων ὀφειλομένην σοι δόξαν τῷ Μυκηναίῳ δωρήσονται; πόθεν; ἀλλ' εἴ τις ἄρα τῆς εὐκλείας σοι[32] γένοιτο κοινωνός, ὡς[33] ἑταῖρος ἐγὼ καὶ συνήθης, μέρος τι κτήσομαι·[34] καὶ θρυλλήσουσιν ἅπαντες μιᾶς εἶναι ξυνωρίδος φιλτάτης τὴν ἅλωσιν· τοῦ μέν, πολεμεῖν βουλεύσαντος· τοῦ δέ, γενναίως ἠγωνισμένου. θαυμάζω δὲ εἰ τῶν μὲν Ἑλλήνων τὸν ἡγεμόνα ζηλοτυπεῖς, ἐφεδρεύοντα τῇ δόξῃ τῆς νίκης· θῶμεν γὰρ οὕτως· ὁ στρατηγὸς δὲ τῶν Τρώων, οὐ δάκνει σου τὸ φιλότιμον, τὴν τοῦ πολέμου καρπούμενος εὔκλειαν· ἢ συμπονῶν μὲν τοῖς Ἀχαιοῖς, Ἑλληνικῆς εὐδοξίας οὐ μετέχεις τὸ μέρος· ἐν δὲ τῇ σκηνῇ διατρίβων τῶν Ἕκτορος τροπαίων κληρονομεῖς; ναί φησι. παρὰ γὰρ τὴν ἐμὴν ἡσυχίαν ἐπαίρεται, καὶ γέγονε μέγας· ὥστε κρατεῖ μὲν ἐκεῖνος· ἐγὼ δὲ θαυμάζομαι. τί οὖν συμπλέκεσθαι δεῖ, παρὸν ἡσυχάζειν, καὶ τοῖς Ἕκτορος πόνοις[35] εὐδοκιμεῖν.[36] μὴ τοσοῦτον ἰδίων γένοιο[37] πράξεων ἐνδεής, ὡς ἀλλότρια συλᾶν κατορθώματα. αἰσχρὸν γὰρ ἂν εἴη τὸν Ἑκάβης μὲν ἀριστεύειν· τὸν δὲ Θέτιδος,[38] ἔργοις τοῖς ἐκείνου κοσμεῖσθαι· εἴ γε δεῖ κόσμον καλεῖν, ἡσυχίαν ἀπανθρωπίας φέρουσαν ὄνειδος· ὥστε κἂν εὔκλειαν κτήσῃ γενναίου[39] ταῖς Ἕκτο-

[30] ἀνεμνήσθην B. et W.

[31] ληψόμενοι] sic Wolf, λειψόμενοι Mor.

[32] σοι γένοιτο] σοι γενήσεται A. B. W. et m. Mor. σοῦ γένοιτο t. Mor.

[33] post ὡς delevi ὁ, quod deest Aug.

[34] κτήσομαι] sic A. B. et m. Mor. ego participabo tuam gloriam, vt contubernalis tuus.

[35] πόνοις] τρόποις Aug. voluisse videtur τροπαίοις darc.

[36] malim compositum ἐνευδοκιμεῖν.

[37] γένοιτο Aug.

[38] τῆς Θέτιδος Wolf.

[39] γενναίου] sic A. B. et W. sed in B. vulg. γενναῖον superscr. est.

Ἕκτορος ἀριστείας, ὠμότητος αἰσχύνην οὐ διαφεύξῃ· ἐπικουρήσας δὲ τοῖς ὁμοφύλοις, φιλανθρωπίας ἅμα δόξαν ἀποίσῃ καὶ ῥώμης. ἔτι τοίνυν οὐδ' ἐλάνθανες πλείστω τοὺς Ἕλληνας ὑπεραίρων τῷ μέσῳ, ἵνα δεηθῇς ἀπουσίας δηλούσης ἡλίκον ἐστὶ κέρδος ἡ παρουσία. ἐπεὶ καὶ τὸν Ἕκτορα πάντες ἄριστον εἶναι μαρτυροῦμεν τῶν Τρώων· οὐ τῇ διαστάσει τῆς μάχης· ἀλλ' ὅτι τὰ πρῶτα φέρει τοῦ Τρωϊκοῦ στοχασάμενοι. ἐπειδὴ τοίνυν οὐδαμόθεν λείπεται σκῆψις εὐπρόσωπος μακροτέρας σοι λύπης, ἀπόθου τὸ μῖσος, καὶ τῇ πρᾳότητι κόσμησον τὴν ὀργήν. ὁ γὰρ ἐν καιρῷ τὸ προσηνὲς ἐνδεικνύμενος, οὐκ ἐᾷ τὸν θυμὸν ἄλογον εἶναι δοκεῖν· εἰ δὲ φαίνοιτό[40] τις ἀπέραντα[41] χαλεπαίνων, ἔμφυτον ἔχειν ὑπονοεῖται τὸ πάθος. σοὶ δὲ καὶ ἄλλως προσήκει μιμήσασθαί μου τὴν ἡμερότητα· ζηλώσαντος τὸ πρώην σου τὴν ὀργήν· δεῖ γὰρ ἑκάτερον τὴν οἰκείαν μετρίως βιάσασθαι φύσιν· σὲ μὲν ἐπὶ τὸ πρᾷον· πρὸς δὲ τὸ ὀργίλον ἐμέ. τούτων γὰρ ἀμφοτέρων ἡ κρίσις[42] πέφυκεν ἀρετή· παῦσαι τοίνυν ὅλον σαυτὸν ἀπονέμων τῷ θυμῷ· κἂν ὑπογράψῃ σοι τὸν ἀλάζονα, τὸν ὑβριστὴν Ἀγαμέμνονα· σὺ τὸν ἠτυχηκότα, τὸν[43] ἱκέτην σαυτῷ διατύπωσον· κἂν εἴποι[44] τὴν ἱκετείαν οὐ τῆς Ἀγαμέμνονος εἶναι προαιρέσεως ἔργον, ἀλλὰ τῆς ἀτυχίας ἐκείνου ἐροῦμεν αὐτῷ· τοῦτο γὰρ ἐστὶ τὸ μεῖζον· εἰ γὰρ τῶν πραγμάτων καλῶς φερομένων, τὴν σὴν ἐκεῖνος ἠγάπησεν εὔνοιαν, τυχὸν ἂν ὕποπτον ἦν, μήποτε πάλιν ἑτέρας φιλονεικίας λαβόμενος ἀτιμάσῃ σε· ἐπεὶ δ' οὖν ἀπέστη σοι τῶν Ἑλλήνων ὁ Ζεὺς, μᾶλλον δὲ πρὸς τοὺς Τρῶας μετέβη, σοῦ διαστάντος τῶν Ἀχαιῶν, εὐλαβήσεται ποιεῖν,[45] δι' ὧν ἡγεῖται λυπήσειν· ὑπερόπτας φυλάττων τὰς ἐξ ὧν πταίει προ-

40 φαίνοιτο] sic A. et W. φαίνοντο Mor.

41 ἀπέραντον Aug.

42 aut coniectura Morelli est adoptanda, κρᾶσις, aut leg. σύγκρισις, comixtio, contemperatio.

43 πρὸς τὸν Aug.

44 εἴπῃ Bau.

45 εὐλαβήσεται ποιᾶν] sic Bau. Wolf. et m. Mor. recte, nam subauditur ταῦτα, ut ex insequente ταῦτα patet. t. Mor. interponit τι.

προφάσεις. πάντων δ' ἂν εἴη δεινότατον, εἰ μὴ ληψόμεθα[46] κατὰ νοῦν, ὡς τὴν μὲν ὕβριν τὴν ὑπ' ἐκείνου. Χρυσηΐδος ἐποίησεν ἔρως καὶ θυμὸς περὶ[47] σέ· τὴν δὲ τιμὴν σωφρονοῦσα καὶ καθεστηκυῖα κρίσις, ἑκατέρου πάθους ἀπηλλαγμένη, ἀλλ' ἔξω σοι τῶν Ἑλλήνων ὁ βασιλεὺς ὀλίγη φροντίς· τὸ δὲ στρατόπεδον, τί, πρὸς τῶν[48] θεῶν, αὐτοῖς ἐγκαλοῦντες, τοσοῦτον περιοψόμεθα[49] χρόνον· ὅτι, φής, οὐ τῆς γεγονυίας ἔριδος[50] ἀνέστειλαν τὸν κρατοῦντα τῆς πρὸς[51] ἐμὲ λοιδορίας; οὕτω θρασυτέρους νομοθετεῖς τῶν βαρβάρων εἶναι τοὺς Ἕλληνας; ἐκεῖνοι τὸν Ἀλέξανδρον ἴσασι φέρειν, καὶ καρτεροῦσι[52] κινδυνευούσης πατρίδος, ὑπὲρ ἑνὸς ἀνδρὸς ἡδονῆς. εἰ τοίνυν βαρβάρων ὅμιλος οἶδεν ἡγεμόνας τιμᾶν, οὐδὲ τοῦτον οἶμαι τὸν νόμον οἴκοθεν παιδευθείς· νοσεῖ γὰρ ἐπιχώριον ἀμαθίαν· ἀλλὰ τὰ τῶν Ἑλλήνων ἤθη[53] ταυτὶ[54] μιμούμενος, πῶς αὐτοὺς ἔδει τοὺς Ἕλληνας ἄχρι καὶ εἰς βασιλέα τὸ θράσος ἐκτεῖναι. καί τοι τοῖς Ἕλλησιν ὅτε πρὸς ἀλλήλους μὲν[55] ἡ ἔρις συνέστη,[56] οὐ σφόδρα πρόδηλος ἦν ὁ λοιμὸς ἐξ Ἀγαμέμνονος τὴν αἰτίαν λαβών; μὴ γάρ μοι τὸν Κάλχαντα[57] πολὺ τῆς ἀληθείας διήμαρτον·[58] μάντις[59] δὲ βαρβάροις Ἀλέξανδρος ὑπῆρχε[60] καταφανής, τὸν πόλεμον εἰς Ἴλιον ἐνεγκών· πολλαχόθεν δ' ἂν τις εὕροι[61] τότε τοὺς Ἕλληνας εἰς καιρὸν μηδ' ἑτέρῳ προστιθεμένους. ὄντων γὰρ ἰσοῤῥόπων τῶν ἑκατέρωθεν ὑβρισμάτων, καὶ τῶν μαχομένων παρα-

46 ληψόμενος Aug.
47 περὶ] malim πρός.
48 τῶν deeſt A. B. et W.
49 περιοψόμενος Aug.
50 τῆς γ. ἔριδος] id eſt ὅτε ἐγίγνετο ἡ ἔρις, quod altercantibus nobis principem ſuum non prohibuerunt a iactandis in me probris.
51 πρὸς] εἰς B. et W.
52 καρτεροῦσι] ſic A. et W. μαρτυροῦσι Mor.
53 ἔθη Aug.
54 malim ταύτῃ hactenus, vel hoc pacto.
55 μὲν] malim ὑμῖν.
56 poſt συνέστη omittunt B. et W. καὶ, recte, et delevi.
57 κάλχαντα] ſic B. et W. χάλκαντα Mor.
58 διήμαρτε A B. et m. Mor. et in A. vulg. ſuperſcr. eſt.
59 μάντεσι Aug.
60 ὑπῆρξε Wolf.
61 εὕροι] ſic A. B. et W. εὕροιτο A. B. W.

παραπλησίως[62] ἀξίων τιμῆς, τȣ̃ μὲν, τὴν ἀρετὴν, τȣ̃ δὲ τὴν βασιλείαν ὁμοίως αἰδούμενοι[63] εἰκότως ἠπόρησαν πρὸς ποίαν ἔχρῆν ἀποκλῖναι μερίδα· οἶδα ὅπως ὑπεύθυνοι δικαίας ἐγένοντο μέμψεως; εἰ τὰς Ἀγαμέμνονος λοιδορίας ἐνεγκόντος σȣ πρᾴως ἐσίγων. ἀλλ᾽ ȣ̓κ ἂν οἶμαι τότε παρεῖδον, εἰωθὸς ὂν τοῖς ὁρῶσι φιλονεικίαν δυοῖν ἀνδράσιν συνισαμένην,[64] πρὸς τὸν ἐγκρατῶς φερόμενον ῥέπειν. νῦν δὲ τὸ τῆς ἀντιλογίας ἐφάμιλλον, ἐκποδὼν ἑκατέρȣ παρεσκεύασεν εἶναι.[65] ἀλλὰ μὴν εἰ καὶ φήσει τὶς αὐτοὺς ἁμαρτεῖν, οὐ πάντες ὁμοίως ἐξήμαρτον· οὐ γὰρ πᾶσιν ὁμοίως ἐξῆν πρὸς τὸν κρατȣ̃ντα παῤῥησιάζεσθαι, καὶ τοῖς ἐν τέλει τῆς ςρατιᾶς, καὶ τοῖς ἐλάττονα τάξιν λαχοῦσι, καὶ ναύταις καὶ σκευοφόροις· ἑκάςȣ τοίνυν πρὸς τὰ τῆς ἀξίας ἁμαρτήσαντος[66] μέτρα, πῶς ἂν εἴη καλὸν τοὺς ἀνίσως ἡμαρτηκότας, μιᾷ τιμωρίᾳ σωφρονεῖσθαι[67] θανάτῳ. εἰ μὲν γὰρ ἦσθα τȣ̃ πολέμȣ ταμίας, ὡς ἐπιτρέπειν[68] τὸν μὲν, θανάτῳ κολάσαι, τὸν δὲ τραυματίαν ποιῆσαι, ἐνίων δὲ φείσασθαι,[69] ἧττον ἂν ἴσως[70] ἐδόκει[71] εἶναι κακόν. ἐπεὶ δὲ διακρίνειν ȣ̓κ οἶδεν ὁ πόλεμος τοὺς ἀναιτίους, καὶ μηδὲν ἁμαρτάνοντας.[72] ἀλλὰ τοὺς παραπεπτωκότας εἰκῆ διαφθείρει. δέδοικα μὴ λάθῃ[73] πολλοὺς ἀνελὼν, οἷς ἔλαττον χαλεπαίνομεν. ἐγὼ δὲ καὶ τοὺς οἴκοι λίαν ὀδύρομαι· λογιζόμενος τί ποτε ἄρα τα-

νῦν

[62] παραπλησίως] ſic A. et W. παραπλησίας Mor.

[63] αἰδȣ́μενοι] A. B. et W. αἰδȣ́μενον Mor.

[64] recte Bau. verba ſic collocat τοῖς ὁρῶσι φιλονεικίαν δυοῖν (id eſt δυσὶν) ἀνδράσι συνισαμένην.

[65] εἶναι ſubaudi αὐτάς.

[66] πλημμελήσαντος B. W. et m. Mor.

[67] codices dant σωφρονίσαι. ego malim aut σωφρονίζεσθαι aut σεσωφρονίσθαι.

[68] poſt ἐπιτρέπειν addunt codices αὐτῶν, ego αὐτῷ malim. bello puta, et ſubauditur σε. vt tu bello poteſtatem faceres alium interimendi, alium —

[69] φείδεσθαι m. Mor.

[70] ἴσως deeſt A. B. W. et Mor.

[71] poſt ἐδόκει addunt codices et m. Mor. ὅμως.

[72] malim τὰς αἰτίας καὶ τὰ μηδὲν ἡμαρτηκότας.

[73] λάθοι Bau.

νῦν[74] ἐν ἑαυτοῖς ἀναπλάττουσι· καὶ πῶς ἔχειν ἡμᾶς ἐννοοῦνται. φιλοῦσι δὲ μάλιστα τὴν ψυχὴν αἱ τοιαῦται κατατέμνειν φροντίδες. κουφότερον γὰρ ἐν πολέμῳ παρόντας τὰ συμβάντα[75] θεωρεῖν, ἤπερ ἀπόντας ποικίλοις περιστρέφεσθαι λογισμοῖς· τῆς τε οὖν ἀγωνίας ἐκείνοις[76] συνάχθομαι[77] καὶ μεμνημένος τῶν λόγων οἷς ἐξέπεμπον ἐπὶ Τροίαν, πατέρες τε παῖδας, καὶ τέκνα μητέρες, καὶ νύμφαι συνοίκους, οἱ μὲν ἀγωνίσασθαι γενναίως κελεύοντες· αἱ δὲ, νουθετοῦσαι πολεμεῖν ἀσφαλῶς, αἱ δὲ τοὺς ἄνδρας αἰτοῦσαι διὰ τάχους ἐπανελθεῖν. εἰσέρχεταί δέ με κἀκεῖνο, καὶ δεινῶς ἀνιᾷ· ὅτι ὁ στόλος τὸ μάχιμόν ἐστι τῶν Ἀχαιῶν· ἡ νεότης ὅλη[78] τοῦ γένους· αἱ τῆς Εὐρώπης ἐλπίδες. οὐκοῦν εἷς ὑπὲρ ἁπάντων συνέστηκεν οὗτος ἀγών· καὶ τῶν ἐφ᾽ ἑκάτερα ἡμῖν ἐκβαινόντων πᾶν τὸ Ἑλληνικὸν κοινωνεῖ. πλὴν εἰ μήτε τῶν οἴκοι, μήτε τῶν ἐνταῦθά σοι λόγος πολύς. ἐκεῖνο γοῦν ὅρα, μὴ τὰς ναῦς Ἕκτωρ ἐμπρήσας, τὴν Ἀγαμέμνονος καταλάβῃ σκηνήν· καὶ Βρισηΐδα τοῦ πολέμου λαβὼν ἀριστεῖον, ἀπέλθῃ, καὶ συνοικήσῃ τῇ κόρῃ· τοῦ κάλλους, οἷα εἰκὸς, ἡττηθεὶς, καὶ τὸν ἐκείνης βουλόμενος ἐραστὴν ἀνιάσαι[79] ἐγὼ μὲν οἶμαι, κἂν ἐν γραφῇ[80] που ταῦτα θεάσῃ, χαλεπῶς φέρῃς[81] τὴν θέαν· πῶς οὖν οἴσεις[82] γιγνόμενον ὃ γεγραμμένον οὐ καρτερεῖς; ἆρ᾽ οὖν ἐπάνιμεν, ἐκείνῳ τὸ γύναιον καταλείψαντες; οὐκοῦν δόξομεν Μενελάου φαυλότεροι, τοσοῦτον ὑπὲρ Ἑλένης κεκινημένου· ἀλλ᾽ ἐπειδὰν γένηται τοῦτο, παραταξόμεθα, καὶ χορηγήσομεν ἑτέραν ὑπόθεσιν τῷ πολέμῳ, τὴν Βρισηΐδα. καὶ τὸν Πριάμου[83] καταβαλὼν, ἀναλήψῃ τὴν κόρην; ἀλλ᾽ ἄμεινον οἶμαι[84] τοὺς οἰκείους τε σώζειν, καὶ ταύτην ἑτέ-

ρῳ

[74] τανῦν] sic B. et W. τῶν νῦν Mor.

[75] συμβαίνοντα A. B. et W.

[76] ἐκείνοις] sic B. et W. ἐκείνης Mor.

[77] συνήχθημεν Aug.

[78] ὅλου Aug.

[79] γρ. ἀνίστασθαι in marg. Aug.

[80] κἂν ἐν γραφῇ] sic Aug. ἐν deest Mor.

[81] φέρεις A. B. W.

[82] οἴσεις] sic A. οἴσει Mor.

[83] τὸν τοῦ πρ. Bau. τὸν πρίαμον Wolf.

[84] μὲν οἶμαι Aug.

ρῳ μὴ συνελθοῦσαν ἀναλαβεῖν, ἥπερ τοὺς μὲν φθειρομένους περιορᾷν· τὴν δὲ, τῷ Πριάμου[85] συναφθεῖσαν κομίσασθαι. ἢ τότε μόνον Βρισηΐδος ἐρᾷς, ὅταν Ἀγαμέμνων [86] ἀφέληται. νόμιζε δήπου τὴν ἐρωμένην ἀντιβολοῦσαν καὶ δεομένην, ὦ φίλτατε, λέγειν, ἔγνων ὅσον ἠγάπημαι· δι' ἐμὲ βασιλεὺς ἱκέτης καταφρονεῖται· δυστυχοῦντες οὓς λυποῦσιν ὁμόφυλοι· δυσμενεῖς οὐ φθονοῦνται νικῶντες· καὶ τὸ μέγιστον Ἕκτωρ εὐδοκιμῶν, οὐ δάκνει τὸν Ἀχιλλέα. ἔχω δὴ παρὰ σοῦ τῆς εὐνοίας τὰ σύμβολα· ἔχω παρ' Ἀγαμέμνονος οἵαν ἤθελον δίκην, τοσοῦτον λελυπηκότος, ὅσον διαστῆσαι τοῦ ποθουμένου. δὸς τοίνυν ὁμοίως καὶ Πατρόκλῳ τὴν χάριν. ἐπιθυμῶ μετὰ τῶν ὅπλων ἰδεῖν ἀριστεύοντα· δέξασθαι κεκονιμένον·[87] μεστὸν αἵματος Τρωϊκοῦ. ἡδύ σε πρότερον [88] θεάσασθαι φοβερὸν, εἶτα καλόν· τί μοι νίκας νέων καὶ ἀρχαίων ἀνδρῶν μελῳδεῖς, τερπνότερον ᾆδε μοι μέλος, τὰς σὰς[89] ἀριστείας. τοῦτο κἀγὼ μετὰ σοῦ συνᾴσω[90] τὸ μέλος· καὶ μᾶλλον οὕτω τοὺς ἀκούοντας θέλγωμεν. μείζων[91] γὰρ τῶν ᾀσμάτων[92] ἡ τέρψις, ἀνδρείᾳ τε καὶ γυναικείᾳ φωνῇ κεκραμένων. τοιαῦτα τὴν κόρην τεκμαίρομαι πρὸς ἑαυτὴν μελετᾷν. εἶτα τὴν οὕτω ποθοῦσαν οὐ βούλει κομψευομένην ὁρᾷν οἷον ἔλαχεν ἐραστήν; οὐ Νεοπτόλεμον τὸ παιδίον πρὸς τοὺς ἡλικιώτας ὡραϊζόμενον πατρικαῖς ἀριστείαις; οὐ τὸν πρεσβύτην Πηλέα παιδὸς ἀγαλλόμενον ἀρεταῖς ἐν συλλόγῳ γεγηρακότων. οὐ τὸν Ὀπούντιον φίλου τροπαίοις καλλωπιζόμενον,[93] ἀναβήσεταί σοι καὶ πρὸς αὐτὸν ἡ δόξα[94] τὸν οὐρανὸν τῷ προγόνῳ Διΐ· οὐδὲ τοὺς θαλαττίους αὕτη λήσει θεοὺς

85 δὲ πριάμῳ m. Mor.

86 ὅταν αὐτὴν ἀγαμ. Bau.

87 κεκονιμένον] sic Aug. recte, nam κονίειν aliud est, aliud κονῆν. Mor. dat κεκονιαμένον.

88 πρῶτον Wolf.

89 τῆς σῆς m. Mor.

90 συνᾴσω] sic Wolf. συνᾴδω Mor.

91 μείζων] sic A. B. et W. μεῖζον Mor.

92 γρ. τῶν ἀγαθῶν in marg. A.

93 καλλωπιζόμενον] sic A. et B. ὡραϊζόμενον Mor.

94 ἡ δόξα] sic Bau. ἡ deest Mor.

θεούς, διηγουμένης[95] σου τῆς μητρός. ἔτι βουλεύεσθαί μοι δοκεῖς τῇδε κἀκεῖσε περιάγων τὸν πόδα· πειράσομαι τοίνυν ἀφύκτῳ σε λίνῳ θηρᾶσαι· κομίζω σοι τὴν σκευήν· ὑποδείκνυμι τὴν μελίαν, τὸ δόρυ τὸ πατρικόν. ἀναλάβωμεν, ὦ Μυρμιδόνες τὰ ὅπλα. ἂν ἴδῃ ςρατόπεδον Ἀχιλλεὺς ὡπλισμένον, εἰς τὴν ἰδίαν ἥξει φερόμενος φύσιν, ἠρεμεῖν ἔτι μὴ καρτερῶν. πολλάκις αὐτοῦ πολεμικόν τι παθόντος ᾐσθόμην τῷ κτύπῳ τῆς συμπλοκῆς. καὶ δεδοικότος[96] μὴ λάθῃ μαχίμῳ φιλοτιμίᾳ διαλλαγεὶς Ἀγαμέμνονι. τοιγαροῦν ὅτε τῶν πολεμούντων ἡ ταραχὴ προσέρχεται ταῖς ναυσί, σφοδρότερόν πως ὑποκινεῖ τὰς χορδάς· καὶ μέλος τὸ προστυχὸν ᾄδων βοᾷ,[97] μεγέθει φωνῆς ἐκκλίνων τὸν θόρυβον.

95 διηγουμένης] sic A. et W. διηγημένης Mor.
96 δεδοικότως B. δέδοικα m. Mor.
97 ᾄδων βοᾷ] ἀναβοᾷ Aug.

ΟΡΕΣΤΗΣ.

Μετὰ Τροίας ἅλωσιν, καὶ Ἀγαμέμνονος[1] τελευτήν,[2] Ὀρέςης ἀπεκτονὼς τὴν μητέρα[3] κρίνεται φόνου. ΑΝΤΕΓΚΛΗΜΑ.[4]

Η ΘΕΩΡΙΑ.[1]

Η ΤΩΝ πολιτικῶν ὑποθέσεων ὕλη, ἄλλοτε ἄλλως ἔχουσα, καὶ πρὸς τὴν τῶν πραγμάτων φύσιν ἀμει-

1 τὸν ἀγαμ. Bau.
2 τελευτὴν] φόνον Bau.
3 τὴν αὐτοῦ μητέρα Bau.
4 ἀντέγκλημα deest Bau.
1 προθεωρία Bau.

ἀμειβομένη, τεχνίτου πρὸς θεωρίαν δεῖται τοῦ ῥήτορος· ὃς καὶ τοῦτο πρῶτον ἐπισκεψάμενος, πρεπόντως ἁρμόσει[2] τὰς τῶν λόγων ἰδέας· ζητήσει δὲ μή τι πρόσωπον ἢ καιρὸς, ἤ τι ἕτερον, ἐναντίας ὄντα[3] ποιότητος, ἐφ᾽ ἑτέραν βιάζηται[4] τὸν λόγον ἰδέαν. τὸ τοίνυν προκείμενον ἡμῖν ζήτημα, παθητικὴν μὲν ἔχει τὴν ὕλην· καταφορικὴν δὲ τὴν ἰδέαν ὅσον ἐκ τῆς φύσεως ἀπαιτεῖ. Ἀγαμέμνων γὰρ ἐν τῷ λόγῳ, καὶ Κλυταιμνήστρα, καὶ τὰ δεινὰ διηγήματα, ἐξ ὧν πλήρεις αἱ σκηναὶ καὶ τραγῳδίαι συνίσταναι. τί οὖν ἐκ τῶν πραγμάτων ἀκόλουθον; ἀντεγκαλοῦντα τὸν Ὀρέστην τῇ μητρὶ τῷ κατ᾽ αὐτῆς θυμῷ, σφοδροτέραν τὴν κατηγορίαν ποιεῖσθαι· μίαν γὰρ ἀπολογίαν ἔχει τὰ κατ᾽ αὐτῆς ἐγκλήματα, καὶ δι᾽ ὧν αὔξει ταῦτα ἀνεύθυνον τὴν ἑαυτοῦ πρᾶξιν δείκνυσιν· ἀλλ᾽ ἐπεὶ καὶ παῖς αὐτὸς καὶ μήτηρ ἐκείνη· κἂν τὰ δεινὰ διεπράξατο, τοῦτο τὴν ἄγαν παῤῥησίαν ἀνείργει, καὶ ψιλῆς οὐκ ἀνέχεται λοιδορίας. εἰ δὲ μὴ, πρὸς μῖσος κατ᾽ αὐτοῦ τοὺς δικαστὰς ἐπισπάσηται.[5] μετὰ τιμωρίαν τοσαύτην κατὰ μητρὸς θρασυνόμενος. πᾶς γὰρ ἂν ὑποπτεύσειεν, ὡς διὰ τρόπων ὠμότητος[6] μᾶλλον, ἢ τῷ πατρὶ τιμωρῶν, κατὰ τῆς μητρὸς[7] ἑτοίμως ὡπλίσατο· εἰ δὲ φανείη τῆς κατὰ τῆς μητρὸς, ὡς οἷόν τε, φειδόμενος βλασφημίας, καὶ ἄκων μὲν ἀναγκαίως δὲ τὴν κατηγορίαν ποιεῖσθαι,[8] δόξει μὲν εἶναι φιλάνθρωπος φύσει, ἐκ δὲ τῶν πραγμάτων βεβιασμένος εἰργάσθαι τὸν φόνον· οὕτω δὲ μᾶλλον καὶ λεληθότως αὐξῆσαι[9] τὸ ἔγκλημα. τοιοῦτον γὰρ εἶναι δόξειεν, ὥστε καὶ παρὰ φύσιν εἰς οὕτως ἥμερον[10] φόνον ἑλκύσαι τὸν παῖδα. δεῖ τοίνυν μεθόδων αὐτῷ καὶ δεινότητος

[2] ἁρμόσαι Bau.

[3] malim ὂν, tametsi illa plura modo dicta facile numero plurali ὄντα comprehendantur.

[4] βιάζηται] sic Wolf. βιάζεται Mor.

[5] ἐπισπάσεται Wolf.

[6] ὠμότητα Bau. et Wolf.

[7] τεκούσης B. et W.

[8] καὶ ἄκων μὲν, ἀναγκαίως δὲ τὴν κατηγορίαν ποιεῖσθαι, sic Bau. eadem lectio etiam in Wolf. est, nisi quod W. dat ἄκων οὐκ ἀναγκ. haec verba omnia desunt Mor.

[9] αὐξήσει Bau.

[10] ἀνήμερον B. et W.

τητος· δι' ἃν[11] οὐδὲν ἧττον τὰ πραχθέντα κατηγορῶν ἄχθεσθαι δόξει τοῖς λεγομένοις, καὶ τῇ μητρὶ τὸ πρέπον ἀποδιδόναι· ἔσται δὲ τοῦτο, εἰ τὸ πικρὸν τῶν ἐγκλημάτων, ἐν ἤθους προφέροιτο σχήματι, μίξας εἰς ἓν ἀμφότερα, καὶ τῷ πράγματι καὶ τῷ προσώπῳ τὸ προσῆκον ἀποδιδούς. οὐκ ἀγνοοῦμεν δέ, ὡς ἐπὶ θεῶν δικαστῶν, καὶ πρὸς τὰς Ἐριννῦς, συνίστησιν αὐτῷ τὴν κρίσιν ἀτόπως ὁ μῦθος ὥσπερ τῶν κρειττόνων, πρὶν ἀκοῦσαι τὸ δίκαιον ἀγνοούντων· καὶ μαθεῖν ἐκ τῆς κρίσεως ἀναμενόντων, ὅπερ ἔδει ψηφίζεσθαι· ἐπεὶ οὖν μῦθον ἀρχαῖον·[12] πλὴν εἰ μὴ πάρεργον· ῥητορικὸς οὐκ ἀνέξεται λόγος· τούτοις χαίρειν εἰπόντες, τὸ πρέπον κἀνταῦθα φυλάξομεν.

[11] ἢ B. ἧς W.
[12] μύθων ἀρχαίων Bau.

Η ΜΕΛΕΤΗ ΟΡΕΣΤΟΥΣ.

ὨΙΜΗΝ μέν, ὦ ἄνδρες, μόλις ποτὲ τὴν τύχην ἡμῖν ἐνδιδόναι· καὶ καιρὸν ἔσεσθαί μοι λοιπὸν κατ' ἐμαυτὸν ἀδεῶς γενέσθαι, καὶ τὰς ὑμὰς δὲ ταύτας ὀδύρεσθαι συμφοράς. ἤλπιζον γὰρ ἡμᾶς, οἷα τοὺς ἄλλους ἀνθρώπους, τὰ μὲν δυστυχεῖν· τὰ δὲ καὶ πεπαῦσθαι· καὶ μίαν ἔσεσθαί μοι τότε παραμυθίαν, εἰπεῖν τι πρὸς τὴν τύχην, ἀεὶ τῶν ἐξ αὐτῆς μεμνημένος· καὶ τῷ πλήθει τῶν δακρύων τῆς διανοίας ἐπικουφίσαι τὰ δυσχερῆ. ἐπειδὴ[1] δὲ σφοδρῶς οὕτω καθ' ἡμῶν ἔπνευσε τὸ δαιμόνιον, ὡς μηδὲ κόρον τῶν εἰς ἡμᾶς λαμβάνειν ἀτυχημάτων· ἀλλὰ μετὰ πατρὸς φόνον καὶ μητρός, πρᾶγμα ὅπερ ἐπίστασθε μὲν ὑμεῖς ἐγὼ δὲ λέγειν αἰσχύνομαι· οὐ τοὺς συναχθομένους ἡμῖν συγκαλεῖ, καὶ παραμυθίαν τινὰ πειρωμένους εὑρίσκειν·

ἀλλὰ

[1] ἐπεὶ Bau.

ἀλλὰ δικαστὰς καὶ κατήγορον[2] φέρειν ἀνάγκη καὶ ταῦτα μετὰ τῶν ἄλλων, εἰ καὶ μέτρον εἰς ἡμᾶς οὐκ οἶδεν ἡ τύχη. εὐξαίμην δ' ἂν μοι[3] τήμερον παραστῆναι παρὰ τουτὶ τὸ βῆμα, τήν τε τοῦ πατρὸς[4] ψυχὴν, καὶ τὸν Ἀπόλλω τὸν Πύθιον· καὶ ἐναντίον ὑμῶν εὔχομαι τοῦτο τοῖς δικάζουσιν ὑμῖν ἐμβαλεῖν, ὅπερ ἐμοὶ παρὰ τοὺς τρίποδας ἐκέλευσέ τε καὶ πράττειν ἠξίου. οὕτω γὰρ ἂν ἐκεῖνος μὲν, τοῦθ' ὅπερ ἐστὶ, σύμβουλος ἀγαθὸς εἶναι νομίζοιτο, ἐγώ τε πεισθεὶς ἐπαινοίμην· ὑμεῖς δὲ μετὰ τὸν Ἀπόλλω δικάζοντες, οὐκ ἂν ἐναντίαν οἴσετε ψῆφον. ὃ δὲ μάλιστα λυπεῖ παρὰ[5] τοῦτον[6] τὸν ἀγῶνα, τοῦτο πρὸς ὑμᾶς οὐκ ἀποκρύψομαι· ὅ, τι περ ἡ τῶν παρόντων πάντων αἰτία, δι' ἣν οἴχεται μὲν οἰκτρῶς ὁ πατήρ· ἐγὼ δὲ παραδόξως κρίνομαι σήμερον· αὕτη μοι μήτηρ εἶναι δοκεῖ. κἂν μὲν αἰδούμενος τὰς οἰκείας συμφορὰς σιωπήσωμαι, οὐκ ἔχειν δόξαιμι δι' ὧν τὴν ἀπολογίαν[7] πληρώσω· ἂν δὲ ὑπὸ τῆς ἀνάγκης τἀληθῆ λέγειν προάγωμαι· δόξω τὰς ἡμετέρας ἐγὼ συμφορὰς, ὃν ἐρυθριᾷν ἔδει διηγουμένων ἑτέρων, καὶ μηδὲ περιστέλλειν εἰδέναι τὰ σιωπῆς ἄξια· τούτου μὲν οὖν αἴτιος ὁ κατήγορος· ὥσπερ τοῖς ἡμετέροις ἐπεντρυφῶν ἀτυχήμασιν· καὶ εἰς[8] τοιαύτην ἡμᾶς αἵρεσιν καταστήσας· ὥστε καὶ τῶν λεγομένων, αὐτὸς ἂν ἔχει[9] τὴν αἰτίαν εἰκότως. ἐγὼ δὲ πειράσομαι μετρίως τοῦτο ποιεῖν, ὡς ἂν οἷός τε ὦ. παραιτήσομαι δὲ τοσοῦτον ὑμᾶς, μέτρια ὡς ἐμαυτὸν πείθω· ἂν μεταξὺ λέγων ἀναμνησθῶ τοῦ πατρὸς, καὶ τῶν καλῶν τῆς μητρὸς ἐπιτηδευμάτων· καὶ μεταβάλλω τοὺς λόγους εἰς δάκρυα· μή με νομίζειν ἀποφυγήν τινα πρὸς σωτηρίαν.

[2] κατήγορον] subaudi e praemissis συγκαλῶ. apodosis periodi est in illis ἀνάγκη καὶ ταῦτα φέρειν. necesse est etiam haec me ferre vna cum reliquis.

[3] δ' ἂν μοι] sic W. ἂν deest Mor.

[4] τήν τε τοῦ πατρὸς] sic B. et W. τοῦ deest Mor.

[5] περὶ Bau.

[6] τουτονὶ B. et W.

[7] τὴν ἀπολογίαν] sic Wolf. τὴν deest Mor.

[9] ἔχοι Bau.

τηρίαν διὰ τούτων[10] θηρᾶσθαι· τούτῳ γὰρ ἧττον[11] ἐμοὶ λόγος οὕτως ἠτυχηκότι· ἀλλὰ γενέσθαι παρὰ[12] τὰ συμβάντα τῇ διανοίᾳ. καὶ σκοπεῖν[13] ὅσον τὸ μέγεθος τῶν πραγμάτων, ἐν οἷς ἠδικήμεθα· ὡς μηδὲ τοὺς περὶ αὐτῶν λόγους ἀδακρυτὶ διηγεῖσθαι· λέξω δ' ἅπερ ἐμοῦ μᾶλλον πάντες ἐπίστασθε· εἰ δέ τι παραλείψω τῶν εἰρῆσθαι δεόντων; ἢ λέγειν αἰδούμενος ἢ συγκεχυμένος τῷ πάθει τὴν γνώμην· ὑμέτερον ἂν εἴη σκοπεῖν οὐ χαλεπῶς ἐκ τῶν εἰρημένων τὰ τιμηθέντα σιγῇ. ὁ γὰρ ἐμὸς πατὴρ, ὦ ἄνδρες· ἵνα τὰς ἡμετέρας τύχας ἄνωθεν διηγήσωμαι. ἦν μὲν εὐτυχὴς καὶ λαμπρὸς, ἀλλὰ[14] τὰ πρῶτα τοῦ βίου. γένει τε γὰρ αὐτῷ φρονεῖν ὑπῆρχε, Τάνταλον ἔχοντι πρόγονον· ὡς δὲ φασὶ, καὶ τὸν Δία, καὶ βασιλείας ἐκοσμεῖτο μεγέθει· καὶ γήμαντι δὲ, ὡς μήποτ' ὤφελε, παῖδές τε ἦμεν πολλοί· καὶ ἡ γυνὴ τέως ἐσωφρόνει· καὶ διὰ πάσης ᾔδετο γλώττης Ἀγαμέμνων ὁ Μυκηναῖος. πόθεν οὖν ἐδυστυχοῦμεν; καὶ τίς ἡμῖν ἡ τῶν κακῶν ἁπάντων ἀρχή; Τροία καὶ Πάρις, καὶ γάμος Ἑλένης· καὶ Μενελάου φιλοξενία. ὡς γὰρ ἐκ Τροίας ποθὲν ἐλθὼν ὁ Πριάμου, παρ' ἐμῶν ξενίου Διὸς δίκην, ἀδίκοις ὄμμασιν εἶδε[15] Ἑλένην· καὶ τὸ γύναιον εἰς μοιχείαν ἥρπαστο· δεινὸν μὲν ἦν τοῦτο τῷ πεπονθότι· πῶς γὰρ οὐκ ἔμελλε; δεινὸν δὲ καὶ τῷ ἐμῷ πατρί· καὶ πρὸς ἔνδημον[16] στρατείαν συνεκρότουν τοὺς Ἕλληνας, βαρβάρους λέγοντες, καὶ μοιχείαν· καὶ ἡ Ἑλλὰς ἐκεκίνητο, καὶ πάντα[17] τῆς Ἀσίας ἐχώρει· οὐ τῆς μιᾶς εἵνεκα γυναικός· τί γὰρ ἐκείνης ἔμελε[18] τοῖς μηδοτιοῦν πεπονθόσιν· ἀλλὰ σωφρονοῦντες Ἑλληνικῶς, καὶ τῆς μοιχείας τοὔνομα[19] βδελυττόμενοι· ὁ δ' ἐμὸς πατὴρ

[10] τοῦτον Bau.
[11] ἧττον Bau.
[12] παρὰ] malim περί.
[13] σκοπεῖν] fic B. et W. recte. apti funt hi infinitiui a παραιτήσομαι rogabo vos. σκοπεῖτε Mor.
[14] ἀλλὰ fine dubio corruptum eft; fententia poftulat εἰς.
[15] εἶδε] fic Wolf. οἶδε Mor.
[16] leg. ἔκδημον.
[17] πάντα τὰ κατὰ W.
[18] ἐκείνοις ἔμελλε Bau.
[19] malim καὶ τοὔνομα.

τὴρ, ὦ ἄνδρες, κοινῇ ψήφῳ τοῦ στόλου παντὸς ἡγεμὼν αἱρεθεὶς, καὶ μέλλων ἀνάγεσθαι, καλέσας φιλανθρώπως ουτωσὶ τὴν γυναῖκα[20] καὶ παραστησάμενος ἡμᾶς μικροὺς ἔτι τοὺς παῖδας, πρῶτα[21] μὲν ἐδάκρυσε, πρίν τι καὶ λέγειν· εἶτα μεταξὺ δακρύων (εἰπὲ πρὸς Διὸς Ἠλέκτρα τοὺς λόγους ἐκείνους, οὓς μοὶ πολλάκις ἀπήγγειλας· οὔπω γάρ[22] τότε τῆς φρονούσης ἐτύγχανον ἡλικίας· ἀλλὰ σὺ μὲν αὖθις αἰδουμένη δακρύεις· ἐγὼ δὲ πάλιν δυστυχῶς διηγήσομαι·) μεταξὺ τοίνυν δακρύων, ὁ μὲν πλοῦς, φησὶν, ὡς ὁρᾷς, ὦ γύναι, μακρός· αἱ δὲ περὶ τοῦ ζῆν ἡμῖν ἐλπίδες ἄδηλοι. δεῖ γὰρ, ἣν δέῃ, πάντα παθεῖν, ὅπως σωφρονῶσιν ἡμῖν αἱ γυναῖκες· σὲ δὲ τί ποιεῖν βούλομαι· ταυτί σοι παρακατατίθεμαι[23] τὰ παιδία, λέγων ἡμᾶς· οἰκούρει. καὶ φύλαξ τῆς οἰκίας ἔσο πιστή· καὶ μεῖνον ἀπόντι πάλιν γυνὴ, καὶ τοῖς παισὶ μήτηρ, καὶ πατὴρ ἀντ' ἐμοῦ· ἴσως ἐπανήξω, καὶ ἐπαινέσομαί σε τῆς οἰκουρίας· εἰ δέ τι περὶ ἡμῶν ἑτέρως δόξει[24] τῇ τύχῃ, ἀνδρωθεὶς Ὀρέστης ὁ παῖς οὑτοσὶ (καί με λαβὼν ἐνέθηκε ταῖς ἀγκάλαις·) τοῦτον ἕξεις, φησὶν, ἀντ' ἐμοῦ, καὶ μὴ ζήτει τὸν Ἀγαμέμνονα. ταῦτα,[25] καὶ τὰ τοιαῦτα διαλεχθεὶς, καὶ περιβαλὼν[26] τῇ μητρὶ τὰς χεῖρας, καὶ μετ' ἐκείνην ἡμῖν, χρόνῳ ποτὲ καὶ μόλις ἡμῶν[27] ἀπηλλάττετο. αὕτη τῶν καθ' ἡμᾶς ἀτυχημάτων ἀρχή· ταύτην ἄν εἴποι τὶς τὴν ἡμέραν ἄρξαι, καὶ τῇ μητρὶ, ὧν διεπράξατο,

20 μητέρα B. et W.
21 πρῶτον B. et W.
22 οὐ γάρ Bau.
23 παρακατατίθημι Bau.
24 εἰ δ' ἕτερόν τι περὶ ἡμῶν δόξει Bau. etiam W. dat ἕτερον. aut δόξῃ in coniunctiuo, aut δόξειε in optatiuo leg. ad ἀνδρωθεὶς in W. scriptum est hoc Schol. ἐν ταῖς ἐπαναλήψεσιν οὐ μόνον πρὸς τὴν προηγουμένην μετοχὴν ἐπάγομεν τὴν ἀπόδοσιν, ἀλλὰ καὶ ὡς βουλόμεθα, ἐκείνην μὲν ἀπόδοτε ἐῶντες, ποιοῦντες δ' ἑτέραν ἀπόδοσιν· εἰπὼν γὰρ ἐνταῦθα, ἀνδρωθεὶς, ὁ παῖς οὑτοσὶ, καὶ τὰ ἑξῆς· εἶτα ἐπανάληψιν ποιησάμενος. διὰ τοῦ εἰπεῖν τοῦτο ἑτέρως. τὴν σύνταξιν ἔτρεψεν εἰπὼν τοῦτον ἕξεις φησὶν ἀντ' ἐμοῦ:
25 ταῦτα] sic B. et W. τοιαῦτα Mor.
26 περιβαλὼν] sic B. περιβάλλων Mor.
27 μόλις ἡμῶν ἀπ.] sic Wolf. ἡμῶν deest Mor.

ξατο, καὶ τῷ πατρὶ τοῦ πάθους, καὶ ὧν πεπειράμεθα. ὁ μὲν γὰρ τὸ Ἴλιον καταλαβὼν, πόλιν ἀλλοδαπὴν, ὑπὲρ ἑτέρου γυναικὸς ἠγωνίζετο· καὶ πᾶσα ἦν αὐτῷ μηχανὴ, τὴν Τροίαν ἑλεῖν. τὸ δ᾽ ἔγκλημα, ὅτι μοιχὸς ὁ βάρβαρος, καὶ σωφρονεῖν οὐκ ἠπίστατο· ἐλάνθανε δ᾽ οἴκοι καταλιπὼν (πῶς ἂν εὐπρεπῶς εἴποιμι;) Ἑλένην ἄλλην, καὶ Πάριν δεύτερον· τάχα καὶ Τροίαν ἑτέραν· πλὴν ἀλλ᾽ ἐκείνην μὲν εἷλε, καὶ τοὺς ἀδικοῦντας ἠμύνατο, καὶ ἐπανῆλθεν, ὡς οὐκ ἔδει. ἐνταῦθα δὲ πέπτωκεν, οἴμοι, παρὰ τὴν πατρῴαν τράπεζαν, παρὰ τοὺς κρατῆρας αὐτοὺς, γυμνὸς, ἄοπλος· μετὰ τοὺς πολλοὺς πολέμους· μετὰ τὰς πολλὰς μάχας καὶ ἀριστείας καὶ τρόπαια, καὶ θάλατταν ὅσην.[28] πέπτωκεν, ὦ Ζεῦ, ὁ στρατηγὸς τῶν Ἑλλήνων, ὁ τὴν Τροίαν ἑλών· ὁ πανταχοῦ τῇ φήμῃ[29] βοώμενος· ὁ μέχρι τοῦ τὴν οἰκίαν[30] ἰδεῖν εὐτυχής· οὐδὲ ἤρκεσεν,[31] ὡς ἔοικε, τὰ προλαβόντα τῇ πικρᾷ τύχῃ, ἵνα μὴ τῇ μητρὶ λέγω· ἀλλὰ τὴν μοιχείαν διεδέξατο φόνος. ποῖος ἤνεγκε ταῦτα χρόνος; τί παράδειγμα τῶν ἡμετέρων κακῶν· τί δὲ τῶν μετὰ ταῦτα δεινότερον ἔσται; οὐκ ἤνεγκαν οἱ θεοὶ τὴν ἀτοπίαν τοῦ πάθους. ἐδίκασεν Ἀπόλλων φθεγξάμενος, καὶ ψῆφος ἦν ἡ φωνή·[32] ἠλέει γὰρ τὸν ἀνῃρημένον οἰκτρῶς, καὶ σύμμαχον ἐκάλει τὸν παῖδα. τί οὖν ἐχρῆν με[33] ποιεῖν; ἤδη γὰρ ἐρέσθαι βούλομαι τὸν κατήγορον· καὶ μαθεῖν τι τῶν προσηκόντων· παριδεῖν μὲν ἀνῃρημένον ὑφ᾽ ὧν ἥκιστ᾽ ἐχρῆν ἐμὲ[34] τὸν πατέρα τὸν ἐμαυτοῦ· ἀπιστεῖν δὲ θεῷ τοσούτῳ· καὶ καλοῦντι μὲν[35] πείθεσθαι· συνεῖναι δὲ τοῖς δεδρακόσι· καὶ τὴν γνώμην ἐπαινεῖν, καὶ θαυμάζειν τὰ πεπραγμένα; ταῦτά με ποιεῖν ἔδει· οὐχ οὕτως ἂν εἴποι τις, εὐσεβεῖν εἰδώς,

28 f. θάλατταν ἀμήχανον ὅσην.

29 τῇ φήμῃ] sic codd. τῇ deest Mor.

30 malim οἰκείαν patriam.

31 οὐδὲ γὰρ ἤρκεσεν Wolf. ἤρεσκεν Bau.

32 γρ. φόνος m. Mor.

33 μοι Bau.

34 ἐμὲ abesse malim; nam alias ἐχρῆν sit iterandum.

35 μὲν] μὴ W.

εἰδὼς, καὶ βουλόμενος ἔχειν οἶκον εὐτυχῆ, καὶ παῖδας ἀγαθοὺς, καὶ σωφρονοῦσαν γυναῖκα. τί δὲ μὴ καὶ τοῦ Πυθίου κατηγορεῖς· καὶ καινὸν ἡμῖν κατὰ θεοῦ συγκαλεῖς δικαστήριον; μᾶλλον δὲ κρίνομαι μὲν ἐγὼ τήμερον· ἐκεῖνος δὲ τοῖς ἔργοις τὴν κατηγορίαν ὑφίσταται. ἐφ᾽ ἃ γὰρ ἄν τις προσταχθεὶς ἔλθῃ,[36] τούτων τὴν αἰτίαν ἥτις[37] ποτ᾽ ἐστὶν, οὐκ αὐτὸς ἂν ἔχοι δικαίως· ἀλλ᾽ ὁ προστάττειν λαχών· ἐπεὶ κἂν οἰκέτης ἁμάρτοι δεσπότου γνώμῃ· καὶ στρατιώτης, τοῦτο κελεύοντος τοῦ στρατηγοῦ, ἐπ᾽ ἀμφοτέρων δήπουθεν, κἀπὶ τῶν ἄλλων ἁπάντων, ὁ μὲν πράξας ἀνεύθυνος· κατὰ δὲ τῶν ἐφεστηκότων ἡ κρίσις· μὴ δὴ[38] λέγε τὸ πεπραγμένον ἀλλὰ σκόπει τὴν αἰτίαν, καὶ λογίζου τὸν Πύθιον· κἂν εὕρῃς ἡμᾶς διακονήσαντας τῇ τοῦ θεοῦ βουλήσει, γνῶθι[39] σαυτοῦ τὴν γνῶσιν·[40] καὶ τίμα μεθ᾽ ἡμῶν τὸν Ἀπόλλω. ναὶ, φησιν· ἀλλ᾽ ἀπέκτεινας σαυτοῦ τὴν μητέρα· δακρύειν αὖθις ἀνάγκη· καὶ τῇ μνήμῃ τῶν ἐμῶν[41] συμφορῶν ὀλοφύρεσθαι· πολλὰ γάρ με λυπεῖ,[42] κατηγόρου φωνὴ, καὶ πατρὸς φόνος· καὶ μήτηρ ἐκ τῶν οἰκείων κακῶν τὴν ἀπολογίαν μοι χορηγοῦσα. πῶς γὰρ ἂν παῖς ὑπάρχων, παριδεῖν ὅλως ἐπεχείρουν, τὴν ἐπ᾽ ἐμοὶ τὰς ὠδῖνας ἀναχομένην,[43] εἰ μὴ τοῖς ἔργοις τὴν φύσιν ἠρνήσατο· ἐπειδὰν καὶ ἀντὶ τῆς μητρὸς, ἑτέρας προσηγορίας ἠλλάξατο· τὰς ἡμετέρας συμφορὰς,[44] οὐδὲ σιωπᾶν ἀφῆκεν ἡ τύχη· τί οὖν τὴν αἰτίαν σιωπῶν, γυμνὴν καθ᾽ ἡμῶν προφέρεις τὴν κρίσιν,[43] ὁ τοῦ

[36] ἔλθοι B.

[37] ἥτις] sic Wolf. εἴ τις Mor.

[38] δὲ Bau.

[39] aut ante, aut post γνῶθι deest ἄκυρον, vel simile quid. agnosce, irritam et vanam esse tuam sententiam.

[40] σαυτὸν τῇ γνώσει, et superscr. σαυτῷ τὴν γνώσιν Bau. σαυτῷ τὴν γνῶσιν Wolf.

[41] ἐμῶν] sic codd. ἐμοῦ Mor.

[42] καὶ post λυπεῖ, quod W. omittit, deleui.

[43] ὑπομείνασαν m. Mor.

[44] in Wolf. est, ἐπὶ δὲ τῆς ἡμετέρας συμφορᾶς. sic etiam m. M. nisi quod omittit δέ. lege ἐπὶ δὲ ταῖς ἡμετέραις συμφοραῖς. Bau. dat ἐπειδὲ τῇ τὰς —

[45] πρᾶξιν B. et W. malim γνῶσιν.

τοῦ παιδὸς περὶ τὴν μητέρα φιλανθρωπότερος ὤν; πολλὰ γὰρ τῶν πραγμάτων αὐτὰ μὲν καθ᾽ ἑαυτὰ δόξειεν ἂν εἶναι δεινά· οὐ μὲν οὖν ἔχοντα κακίας ὑπερβολήν· προσλαβόντα δὲ τὴν πρόφασιν, μεθ᾽ ἧς ἐγεγόνει,[46] τὸ πρώην ἔγκλημα πρὸς εὐφημίαν μετάγει· οἷον εἴ τις λωποδύταις περιπεσὼν, φθάσας ἀνέλῃ τοὺς ἐπιόντας· ὡς μὲν οὐ φόνος τὸ πραχθὲν, οὐδεὶς ἀντείποι γε.[47] ἆρ᾽ οὖν χρὴ διὰ τοῦτο τιμωρίαν ὑπέχειν[48] τὸν δεδρακότα; πολλοῦ γε καὶ δεῖ. τὸ γὰρ δίκαιον τῷ πράγματι προστεθὲν, ἐπαινουμένην τὴν πρᾶξιν ἐμποιεῖ·[49] καὶ εἴ τις πολέμιον ἀμυνόμενος κτείνῃ, οὐ τὸ πραχθέν τις καθ᾽ αὑτὸ[50] λογιζόμενος, κατηγορήσει τοῦ φόνου· ἀλλὰ τὴν τούτου γνώμην εἰδὼς, ὡς ἀριστέα μᾶλλον θαυμάζοι.[51] καὶ τὸ δὴ μέγιστον, εἴ τις ἐπὶ γυναικὶ μοιχὸν εἰληφὼς, δικαίῳ θυμῷ τοῦτον ἀμύνεται·[52] καὶ τοῦτον εἰς δικαστήριόν τις παράγων, ὡς ἐπὶ φόνῳ δήπου τὴν κατηγορίαν ποιοῖτο· οὐκ ἂν εἴποι δίκαια λέγων ὁ τὴν κρίσιν ὑπομένων· ἐγὼ τοῦτον εἰληφὼς, ὦ ἄνδρες, ὀλιγωροῦντα τῶν νόμων· καὶ ἐνυβρίζοντα τῇ σωφροσύνῃ· καὶ διαφθείροντά μοι τὰ τιμιώτατα, γυναικὸς γάμον· ὃν ἐπὶ χρησταῖς ἐλπίσιν ἠγαγόμην, καὶ ἐψεύσθην[53] ὑπὸ τούτου· καὶ τὴν τῶν παίδων μοι γονὴν οὐ καθαρὰν ἐργαζόμενον· καὶ ἄνω κάτω ποιοῦντά μοι τὴν οἰκίαν, οὐκ ἤνεγκα τὸ δεινόν· διεταράχθην τῇ θεωρίᾳ.[54] καὶ πρᾶξιν εἴργασμαι πρέπουσαν θεοῖς γαμηλίοις, καὶ σωφροσύνῃ καὶ νόμοις, ἀποκτείνας τὸν ἀλιτήριον· προσθεὶς τούτῳ καὶ τὴν γυναῖκα, καὶ κοινῶς ἀμφοτέρους ἁμαρτάνοντας, κοινὴ διεδέξατο τελευτή. εἰ ταῦτα πρὸς θεῶν εἴποι, οὐκ ἂν ἐπὶ τούτοις θαυμάζοιτο; οὐκοῦν κἀμοὶ δήπου, τοιαῦτα λέγειν ἁρμόσει; ἀλλ᾽ οὐ μόνα τοιαῦτα·

46 γέγονε B. et W.
47 οὐδεὶς ἂν ἀντείποι γε B.
48 ὑπέχοι W.
49 malim simplex ποιεῖ.
50 ἑαυτὸν B.
51 θαυμάζει B. θαυμάσει W.
52 praestat vtique ἀμύνοιτο B. malim tamen ἀμύναιτο.
53 καὶ ἐψεύσθην, vel, vt codd. διεψεύσθην. subaudi κατὰ et repete a communi ἣν, ac si dixisset καὶ κατὰ ἣν ἐψεύσθην et ratione cuius meae me spes fefellerunt.
54 θέᾳ B.

αὐτά· οὐ γὰρ μέχρι τούτων ἐδυστυχοῦμεν· ἀλλ᾽ εἴθε τὶς προλαβὼν, εἶπεν ἅπερ ἔδει με λέγειν· ἐγὼ δὲ μόνον ἀκούων ἐδάκρυον. πλὴν τοῦτο[55] ἂν εἴποιμι ἡμῖν, ὦ ἄνδρες, τὰ τῆς οἰκίας ἐνόσει δεινῶς· ἐν λήθῃ μὲν ἦν Ἀγαμέμνων, καὶ λόγος ἦν ἀπόντος οὐδείς· οἱ δὲ παῖδες ἀπεῤῥιμμένοι, ἀντὶ πατρὸς[56] ἕτερον ἐπὶ τῆς οἰκίας ὁρῶντες· Αἴγισθος δ᾽ ἦν οὐκ οἶδ᾽ ὅπως ἀντ᾽ Ἀγαμέμνονος τῇ μητρί· καὶ εἴποτε τὶς ἡμῶν, οἷα δὴ παῖς πρὸς μητέρα λέγων[57] ἐφθέγξατό τι τῶν τῆς ἡλικίας ῥημάτων, ὧν ἂν εὔξαιτο γνησία μήτηρ ἀκούειν, πλήρης ἦν εὐθὺς τοῦ θυμοῦ καὶ δεινὸν ἠπείλει· καὶ τοιοῦτος ἂν ἡμῖν ἀπήντησε λόγος, ὡς ἀπόλοισθε[58] μὲν ἡμεῖς·[59] ἀπόλοιτο δὲ καὶ ὁ φυτεύσας πατήρ· πίπτοι[60] δὲ μαχόμενος, καὶ Τρωϊκὸς ἐκεῖνον δέξαιτο τάφος. ἀλλ᾽ ὦ πάτερ, εἴθε τοιούτων ἔτυχες· καὶ τὴν ἄδικον ταύτην[61] εὐχὴν, θεῶν τις ἀκούων ἐπλήρωσεν· οὕτως ἂν ἦμεν εὐδαίμονες· ἔκεισο γὰρ ἐν[62] καταλόγῳ ἀριστέων,[63] σὺν Ἀντιλόχῳ, σὺν Αἴαντι, μετ᾽ Ἀχιλλέως τοῦ Θέτιδος· καί σου τῷ τάφῳ πάντες ἂν ἐπέγραψαν Ἕλληνες, ΑΓΑΜΕΜΝΩΝ ΟΥΤΟΣ Ο ΜΥΚΗΝΑΙΟΣ, Ο ΣΤΡΑΤΗΓΗΣΑΣ ΕΝ ΤΡΟΙΑ,[64] ΥΠΕΡ ΑΡΙΣΤΕΙΑΣ ΠΕΣΩΝ· ἀλλὰ ταῦτα μὲν οὕτω δίκαια, παρεῖδεν ἡ τύχη· ἐπανήρχου δὲ μετὰ Τροίαν. πάντως καὶ θυσίαν, ἀνάγεσθαι[65] μέλλων, ἐποίεις, καὶ τοὺς θεοὺς ἐκάλεις δοῦναί τε σοι[66] χρονίως μετὰ Τροίαν τὰς Μυκήνας ἰδεῖν, καὶ τὸν οἶκον εὐτυχῆ, καὶ λοιπὸν ἀκμάζοντας ἤδη τοὺς παῖδας, καὶ γυναῖκα τὴν τοσούτου χρόνου[67] τὸν ἄνδρα ποθοῦσαν· οὐ γὰρ ἐλογίζου τὰ ἐπὶ τῆς οἰκίας, οἴμοι, δεινότερα

55 τοσοῦτον B.

56 τοῦ πατρὸς W.

57 λέγων] sic B. et W. λέγειν Mor.

58 ἀπόλλυσθε et ἀπόλλυτο B.

59 ὑμᾶς B. et W.

60 πίπτει Bau.

61 post ταύτην addit Mor. ταφὴν μᾶλλον ἢ sed haec verba recte omittunt B. et W.

62 malim ἔκεισο γὰρ ἂν ἐν.

63 τῶν ἀριστέων B. et W.

64 post τροίᾳ delevi καὶ, quod abest a Wolf.

65 ἀνάγεσθαι] sic codd. ἄγεσθαι Mor.

66 δοῦναί τέ σοι] sic codd. τε deest Mor.

67 καὶ τὴν γυναῖκα τοσούτου χρόνου] subaudi διά.

τερα τῶν ἐπὶ Τροίας ἀδικημάτων ἐκεῖ φανερὰ[68] τὰ τῆς μάχης, ἐνταῦτα λανθάνοντες οἱ πολέμιοι· ἀλλ', οἴμοι, πῶς ἂν εἴπω τὰ μετὰ ταῦτα· καὶ τὴν μητέρα σιγήσαιμι; μόνος γὰρ ὡς ἔοικε τῶν κρινομένων, ἐγὼ καὶ λέγων καὶ σιωπῶν δυστυχής· πῶς ἂν οὖν εἴποιμι; τράπεζα ἦν ἐκείνη, καὶ δαιτυμόνες καὶ ξίφος· καὶ μήτηρ καὶ Αἴγισθος· καὶ ἀλάστορες[69] καὶ παλαμναῖοι, τῇ τραπέζῃ συνεπιμιγνύντο. οὕτως, ὦ θεοὶ, τὸν Ἀτρέως ἔδει πεσεῖν ὑπὸ γυναικὸς συνοικούσης· ἐξ ἧς παῖδας εἶδεν,[70] ἣν ἐκ παρθενίας ἠγάγετο. ἐπὶ δὲ τούτοις ἔδει τὴν οἰκίαν ἰδεῖν· ταῦτα λογιζόμενος, ἐδάκρυον μὲν τὸν πατέρα, τῆς δὲ μητρὸς ἐφειδόμην· καὶ οὔτε παριδεῖν[71] ἐκεῖνον, οὔτε ταύτην ἀμύνασθαι, παρεῖχεν ἡ φύσις· μέσος δὴ γίνομαι τοῖς κακοῖς, καὶ ἠπόρουν, καὶ μοὶ πάντα πρὸς τὴν γνώμην εἰσήει. περιίδω[72] τὸν πατέρα; τῆς μητρὸς ἅψωμαι; ἐμαυτὸν ἀνέλω; τίς δὴ καὶ γένωμαι. ὦ κρίσεως ἐκείνης δυστυχοῦς[73] καὶ πανταχόθεν λυπούσης! ἐδόκει δή μοι[74] τὸ πρᾶγμα κρείττονος δεῖσθαι βουλῆς· ἔλεγον γὰρ ὡς ὅσα τῶν βουλευμάτων τὴν τῶν ἀνθρώπων γνώμην νικᾷ· ταῦτα τοῖς θεοῖς ἐπιτρέπειν προσήκει. ἐζήτουν δὴ περὶ τούτων οὐ συμβόλοις,[75] οὐ φήμαις· οὐ μαντείαις ἀνθρώπων· καίτοι διὰ τούτων οἱ θεοὶ σημαίνουσι τὰ δοκοῦντα· ἀλλ' ἐκ ἐκ τούτων ἠξίουν εἰδέναι. ἀλλ' εἰς Δελφοὺς ἀφικόμενος, ὦ Ἄπολλον, ἐγὼ μὲν ἠρώτων· σὺ δ' ἐπέτρεπες· καὶ ἐτιμώρησα τῷ πατρὶ, τηλικαῦτα δυστυχοῦντι. δεινὸν γὰρ, δεινὸν καὶ καθ' αὑτὴν ἡ μοιχεία τῷ τῶν ἀνθρώπων βίῳ λυμαινομένη. χωροῦσα δὲ καὶ διὰ φόνου τῶν οἰκειοτάτων· πάντων δὴ[76] κακῶν εἰς ἓν συνελθόντων, οὐκ ἂν ἔχοι τὸ[77] μεῖζον· ἥ γε δι' ὑποψίας ἄγει τοὺς βίους, καὶ διασπᾷ τὰ γένη, καὶ νόθα δείκνυσι, καὶ μερίζει τὰς γνώμας, ἐκπολεμοῦσα κατ'

[68] malim ἐκεῖ γὰρ φανερά.
[69] ἀλάστορές τινες B. et W.
[70] εἶχεν m. Mor.
[71] παριδεῖν] sic Bau. παρῶν W. παρὼν M.
[72] παρίδω B. et W.
[73] κρίσις ἐκείνης δυστυχοῦσα W.
[74] δέ μοι B.
[75] συμβούλοις W.
[76] δὴ deest W. δὲ B.
[77] ἔχοι τὸ] sic codd. ἔχοιτο Mor.

κατ' ἀλλήλων τὰ φίλτατα. ὢ πόσων οἴκων εὐδαιμονίας διέλυσεν! ὢ πόσαι διὰ ταύτης μετέβαλον[78] εὐτυχεῖς παςάδες εἰς θρῆνον. τί δὴ καὶ μέγιςον ἅπαντες νομίζομεν ὧν ἂν ἐργάσαιντο κρείττους γεγονότες οἱ δυσμενεῖς· τὰς τῶν γυναικῶν ὕβρεις, καὶ τὰς τῶν[79] προσηκόντων σφαγὰς, οἶδ' ὅτι πάντες ἂν εἴποιτε. τίνος δὲ χάριν ὅπλα φέρουσι, καὶ πολέμων ἀνέχονται καὶ προκινδυνεύειν ἐθέλουσιν[80] ἄνθρωποι· ὅπως ἔχωσι[81] σώφρονας τὰς γυναῖκας, καὶ διωρισμένους τοὺς παῖδας, καὶ πατέρες γνησίως καὶ σύνοικοι καλῶνται[82] πῶς οὖν οὐκ ἄτοπον τοὺς μὲν ἔξω πολεμίους ὅπως ἀμυνώμεθα πάντα κινεῖν, καὶ χρήματα διδόναι, καὶ σωμάτων ὑπερορᾶν· τοὺς δ' ἐν μέσῃ τῇ πόλει, τὰ τῶν πολεμίων ποιοῦντας, τοσούτῳ δεινοτέρους ὅσῳ λανθάνοντας, οὐδ' ἂν φυλάξασθαι δύναιτό τις· τοὺς δὲ τοιούτους εἴ τις καταλαβὼν ἀμύνοιτο, δικαςήριον ὁρᾶν, καὶ κατηγόρου πειρᾶσθαι, ὥσπερ ἐγκαλούμενον· ὅτι τὸ ἐφ' ἑαυτῷ, φυλάττει[83] μὲν τῇ σωφροσύνῃ τὴν πόλιν·[84] οὐ μόνον τοὺς νῦν ὄντας, ἀλλὰ καὶ τοὺς μέλλοντας ἀσελγεῖς προαναςέλλων τῷ παραδείγματι· ἀπαλλάττει δὲ καὶ αὐτὸν ὀνείδους· συνεῖναι τοῖς τοιούτοις εἶναι δόξας οὐκ ἀνεκτόν· ἤδη δὲ καὶ τοὺς πεπονθότας[85] αὐτοὺς εὐεργετεῖ· ἐπονειδίςου βίου πέρας αὐτοῖς ἐπιθεὶς, καὶ τῆς ἐπὶ τοῖς πεπραγμένοις ἀδοξίας ἀναισθήτους ποιῶν.[86] ἂν δ' ἄρα τις αὐτοῖς ποτε αἴσθησίς τε καὶ μεταμέλεια τοῦ τολμήματος γίνοιτο, καὶ τῷ βάρει τῆς διαβολῆς, ὁ θάνατος τῆς ζωῆς αἱρετώτερος· τίς γὰρ ἐν τῇ

[78] μετέβαλλον B.

[79] κατὰ τῶν B.

[80] καὶ προκινδυνεύειν ἐθέλουσιν] sic codd. haec verba desunt Mor.

[81] ἔχουσι B.

[82] καλοῦνται B.

[83] φυλάττειν W.

[84] τὴν σωφροσύνην τῇ πόλει M, et W.

[85] πεπονθότας] sic recte codd. subaudi τὸν φόνον. Mor. dat πεποιθότας.

[86] ἂν δ' ἄρα τις αὐτοῖς ποτε αἴσθησίς τε καὶ μεταμέλεια τοῦ τολμήματος γίνοιτο, καὶ τῷ βάρει τῆς διαβολῆς ὁ θάνατος τῆς ζωῆς αἱρετώτερος] sic codd. haec omnia desunt Mor.

τῇ πόλει τούτους ἰδὼν οὐκ ἀγανακτήσει; καὶ ὁ μὲν ἀποστραφείη τὴν θέαν· ὁ δὲ τοῖς ἀγνοοῦσι δεικνὺς, ἐπ' αὐτοῖς ἐνέγκοι τὴν γλῶσσαν· ἐκεῖνα δήπου λέγων· ἥδε τοῦ δεινος, ἡ σωφρονεῖν οὐκ ἐπισταμένη·[87] ἡ Ἀγαμέμνονος φήσει σύνοικος· τυχὸν γὰρ ἐκ τῶν ἡμετέρων κακῶν τὸ παράδειγμα· ἡ παριδοῦσα τοὺς παῖδας, ἡ ἀνελοῦσα τὸν Ἀγαμέμνονα· ὄντος Ὀρέστου παιδὸς, ὦ θεοὶ, καὶ παρορῶντος τὰ πεπραγμένα· ταῦτα λέγοντος, οὐκ ἂν ἕλοιτο τις ἀποθανεῖν πολλάκις, ἢ τούτων ἀκούειν; οὐκ ἂν εὔξαιτο τὴν γῆν αὐτῷ διαστῆναι; τοιούτων ἀπήλλαξα συμφορῶν ἐμαυτὸν ὁμοῦ καὶ τὴν πατρίδα· καὶ τὴν ἡνίκα ἐσωφρόνει μητέρα. ἀλλὰ δίκαιος ἦν, φησὶν, Ἀγαμέμνων ταῦτα[88] παθεῖν, αἰτούσῃ τῇ Ἀρτέμιδι τὴν Ἰφιγένειαν ἐπιδούς· καὶ παρὰ τὴν Τροίαν βοῶν, ὡς τὴν Χρύσου παῖδα, προτέραν ἄγει τῆς Κλυταιμνήστρας· καὶ ἐπειδὰν τῆς Τροίας ἐπανῆλθε παλλακὴν ἄγων τὴν Κασάνδραν ἐφ' ὕβρει τῆς γυναικός. ἔδει καὶ τοῦτο προστεθῆναι ταῖς Ἀγαμέμνονος συμφοραῖς, καὶ πικροτέραν γενέσθαι τοῦ πάθους, τὴν τοῦ κατηγόρου φωνήν· ἀφαιρεῖται γὰρ τηλικαῦτα δυστυχέντα, καὶ τὸ δοκεῖν ἀδίκως αὐτὸν πεπονθέναι· καὶ ἐπιχαίρει κειμένῳ, καὶ γίνεται μετ' Αἰγίσθου τῇ γνώμῃ. ἀλλ' οὐ πείσει σωφρονοῦντας, οἶμαι, δικαστὰς, ἀδίκοις λόγοις θαρρῶν. δῶμεν γὰρ, πρὸς Ἀπόλλωνος, εἰ δοκεῖ, ἡμαρτηκέναι τὸν πατέρα, καὶ τοσοῦτον αὐτῷ περιεῖναι δυνάμεως, ὡς αἰτοῦσι[89] τοῖς κρείττοσιν ἀντιλέγειν ἐξεῖναι, καὶ μὴ τῇ τῶν θεῶν ὑπηρετεῖσθαι βουλῇ· ἀλλ' ἑκόντα καὶ καθ' αὑτὸν ἐπιδοῦναι τὴν θυγατέρα, ἣν ἔτικτεν,[90] ὦ θεοὶ, καὶ παῖδα προσεῖπε, καὶ προσάγειν τῷ βωμῷ, καὶ πρὸς σφαγὴν ἐπιθεῖναι τὸ ξίφος· ἔστω δὴ ταῦτα· καὶ τὰ ἐντεῦθεν σκοπῶμεν. τί οὖν ἔδει τὴν μητέρα ἀνθ' ὧν ἐνεκάλει, μείζοσι περιπεπτωκέναι ταῖς ἀτοπίαις, ὥσπερ δεινοτέροις κακοῖς τὰ προλαβόντα[91] διορθουμένην. καὶ τίς ὕβρεως τινὰ κρίνων, καὶ διορθοῦσθαι βου-

87 ἐπισταμένας B.

88 τοῦτο W.

89 malim ὡς' αἰτοῦσι.

90 ἔτεκεν Bau.

91 προλαβόντα] sic W. προσλαβ. Mor.

βουλόμενος τοῦτον, αὐτὸς τοῦ λοιποῦ τὸν προσιόντα πάντα ῥᾳδίως πατάξει;[92] τίς δὲ κλοπῆς, κατηγορῶν, φόνου κοινωνεῖν αὐτὸς ἂν ἐθέλοι; ἀλλ' οὐδὲ μοιχείαν τὶς ἐπάγων ἑτέρῳ, καὶ τοῦτον τιμωρεῖσθαι νομίζων,[93] ἐπὶ πολλαῖς τοιαύταις αὐτὸς ἂν ἁλίσκοιτο. πῶς οὖν κακώσεως ἡ μήτηρ, ἡ καὶ ὕβρεως κρίνειν ἔχουσα τὸν πατέρα, αὐτὴ μᾶλλον τὰ μὴ προσήκοντα διεπράττετο· οὕτω γὰρ εὔφημον ἴσως εἰπεῖν. πῶς δὲ μιᾶς φειδομένη παιδὸς οἷα μήτηρ ἀγαθὴ, τοὺς ἄλλους ᾔσχυνε παῖδας; εἰ γὰρ ἐγκαλεῖν εἶχεν Ἀγαμέμνονι,[94] καὶ οἷα πέπονθε λέγειν· ἀλλ' οὐ δήπου καὶ ἡμεῖς αὐτὴν ἠδικοῦμεν, ὥστε τοσαύτης[95] ἀπολαύειν αἰσχύνης, καὶ μηδ' ἐλευθέρως ἔχειν εἰς τοὺς ἀπαντῶντας ὁρᾶν. οὐ γάρ ἐστιν,[96] οὐκ ἔστιν, εἴ τις[97] ὑπὲρ παιδὸς ἀμύνασθαι βουλομένη τὸν ἀδικοῦντα, τραπείη πρὸς[98] μοιχείαν, ἐξ ἧς ἡ τῶν παίδων γονὴ διαφθείρεται. καλήν γε παρὰ τῆς μητρὸς Ἰφιγένεια τὴν χάριν ἔχεν, εἰ ὑπὲρ ὧν συγγινώσκειν ἐχρῆν τῷ πατρὶ πρὸς ἀνάγκην αὐτὴν ἐπιδόντι, ἐκεῖνον μὲν ἀνεῖλεν οἰκτρῶς· δέον δὲ θρηνεῖν ἀεὶ τὴν ἀπελθοῦσαν ὅπως ἂν ᾤχετο,[99] καὶ τοῦ γάμου λοιπὸν μηδὲ προσίεσθαι τοὔνομα· τοῦτο μὲν οὐκ ἐποίει· ἀλλ' ἅπερ ἐγὼ μὲν οὐκ ἂν εἴποιμι, ἄλλος δέ τις ἴσως, ὡς δι'[100] ἐκείνην οὐκ ἐσωφρόνει. ἆρ' οὖν ἀχθομένης ταῦτα καὶ ζητούσης τὴν παῖδα·[1] τί οὖν αἰσχροῖς πράγμασιν, αἰτίας οὐ προσηκούσας ἁρμόττεις;[2] καὶ τὸν σύλλογον ἡμῖν αὖθις τὸν ἐπὶ Τροίας προφέρεις·[3] καὶ τὴν αἰχμάλωτον κόρην. ἐχρῆν γὰρ ἐκεῖνο δήπουθεν ἐνθυμεῖσθαι, ὡς θυμοῦ καιρὸς ἦν ἐκεῖνος· καὶ φιλονεικίας οἱ λόγοι, ὅτε

[92] malim πατάξειν.

[93] θέλων W.

[94] ἀγαμέμνονι] sic codd. ἀγαμέμνονα M.

[95] τῆς τοσαύτης B.

[96] οὐ γάρ ἐστιν] subaudi a communi ὁρᾶν ἐλευθέρως εἰς τοὺς προσιόντας.

[97] εἴ τις] sic W. ἥτις M.

[98] πρὸς] sic W. τὴν Mor.

[99] ἔχετο B. malim ὅπως ἀπώλετο, ob miserabile mortis genus, quo sublata esset.

[100] ὡς οὐ δι' B.

[1] τὴν παῖδα] sic W. τὸν π. Mor.

[2] ἁρμόζεις B. et W.

[3] προφέρεις] sic codd. φέρεις Mor.

ὅτε τὶς καὶ τῶν ἄγαν ἐν λόγοις μετρίων, ἔφθασέ τι τῶν μὴ προσηκόντων εἰπὼν, καὶ προήκατο ῥῆμα παρὰ γνώμην οὕτω κελεύοντος τοῦ θυμοῦ· ὅτε[4] καὶ τὸ σμικρὸν ἄγαν ἐπαίρει· καὶ τὰ μεγάλα ποιεῖ τοῖς λόγοις ἐλάττω οὐ μὴν ἀλλ' εἰ κἀκεῖνά τις ἐπ' ἀληθείᾳ σκοπεῖν ἐθέλοι, εὑρήσει. πρὸς ἐπαίνου μᾶλλον, ἢ λοιδορίας. ἴστε γὰρ δή που πάντες, ὡς τὰ τῶν ἀγαθῶν φαῦλα, καὶ μικρὰ τῇ τῶν μειζόνων ἀντεξετάσει, λαμπρότερα δείκνυται. καὶ διὰ τοῦτο πάντες ἄνθρωποι πρὸς τὰς ὑπερβολὰς τῶν πραγμάτων χωροῦσι· τῇ πρὸς ἐκεῖνα παραθέσει τὰ παρόντα σεμνύνειν βουλόμενοι. οἷον πᾶς τὶς ἂν εἴποι τὸν τεταγμένον τῷ βίῳ καὶ σώφρονα, καὶ βδελυττόμενον τοὺς αἰσχροὺς, ὥσπερ τινὰ τῶν θεῶν ἀνθρώποις[5] ἐνδιαιτᾶσθαι· οὔτε τούτους καθυβρίζων, εἰ μὴ καὶ μᾶλλον σέβοιτο, κἀκείνῳ συμπληρῶν, διὰ τῆς πρὸς τούτους ὁμοιότητος, τὸν δέοντα κόσμον. ὁ τοίνυν ἐμὸς πατὴρ τὴν τοῦ Χρύσου παῖδα κοσμεῖν τῷ λόγῳ ζητῶν,[6] γυναικὸς ἀρίστης παράδειγμα, τὴν καλὴν μητέρα προὐβάλλετο· μὴ χείρω ταύτης[7] ἐκείνην εἰπών· ὥς τε καὶ σεμνοτέραν ἐπὶ τῶν Ἑλλήνων ἐποίει· εἰ γὰρ τὴν ὁμοίαν[8] οὕτως ἐθαύμαζε, πόσῳ γε μᾶλλον ἐκείνην πρὸς ἣν ἀπεικάζετο· εἰ δὲ δὴ καὶ πρὸς ὕβριν ἦσαν οἱ λόγοι· δῶμεν γὰρ, δῶμεν τούτου χάριν εἰρῆσθαι· ἆρα συμβαλεῖν ἄξιον ἀντὶ τῶν ψιλῶν ἐκείνων ῥημάτων ὅσα πάθη τὴν Ἀγαμέμνονος οἰκίαν ἐπλήρου;[9] θαυμάζω δὲ τοῦ κατηγόρου μὴ συνιέντος ὅτι διὰ τούτων

των

[4] ὅτε] malim ὃς aut ὅστις.

[5] τοῖς ἀνθρώποις W.

[6] aut aute ζητῶν deest βουλόμενος, vt ſic legatur locus diſtinctus: κοσμεῖν τῷ λόγῳ βουλόμενος, ζητῶν γυναικὸς ἀρίστης παράδειγμα. aut pone ζητῶν addendum eſt, ſiue ὡς ſiue εἰς.

[7] ταύτης redit ad Briſeidem. ἐκείνην ad Clytaemneſtram. quo etiam σεμνοτέραν redit. circa ὥστε videtur aliquid deeſſe, e. c. τοσούτου δεῖ tantum abeſt, vt vel venerabiliorem etiam atque praeclariorem ea cum Briſeide comparatione reddiderit Clytaemneſtram.

[8] τὴν ὁμοίαν] ſcil. Clytaemneſtrae Briſeidem. Hanc illi ſimilem ſi admiratus eſt Agamemnon, quanto cenſendus eſt magis admiratus fuiſſe eam, cum qua Briſeidem comparabat.

[9] ἐπλήρου] ſic W. ἐπλήρουν Mor.

των τῶν λόγων μείζω τῇ μητρὶ τὴν κατηγορίαν προσάπτει. τίς γὰρ γυνὴ σωφρονοῦσα τοσαύτης ἐςὶν ἀλαζονίας μεςὴ, ὡς μηδ᾽ ἂν ἑτέραν οἴεσθαί ποι[10] κρείττω γενέσθαι· ἀλλὰ τοσοῦτον, ἀγανακτεῖν, εἴ τις καλὴν ἑτέραν ἐξ ἴσου προσαγορεύει.[11] πρέπων γὰρ γυναικὶ κόσμος, οὐ τὸ κάλλος, ἀλλ᾽ ἡ σωφροσύνη, περὶ ἧς πατὴρ οὐδένα πεποίηται λόγον· ἀλλ᾽ ὥσπερ τὸ[12] γέρας ἐξαίρετον ἀπέλιπε τῇ μητρί· τῦτο γὰρ ᾤετο· οὐ γὰρ εἶπε σωφρονεςέραν ἐκείνην, ἢ κατ᾽ αὐτό γε τῦτο παραπλησίαν. ἀλλ᾽ ἐξ ὧν ἄν τις καὶ θεράπαιναν, καὶ τὴν δυςυχῦσαν ῥᾳδίως θαυμάζοι,[13] τὸν ἔπαινον ἐποιεῖτο. ἰδέαν[14] λέγων, καὶ κάλλος καὶ ὅσα ταῖς χερσὶ διαπράξαιτο. σὺ δὲ ὡς ἐν ἐπαίνῳ[15] μέρει ζηλοτυποῦσαν ἡμῖν τὴν μητέρα, πρὸς αἰχμαλώτους καὶ δυςυχεῖς ἀποφαίνεις. νῦν μὲν τὴν Χρυσου·[16] νῦν δὲ τὴν Πριάμου παῖδα προφέρων· ὥσπερ ἐγκαλῶν πατρὶ, ὅτι Τροίαν εἷλε[17] καὶ λαφύρων μετείληφε Τρωϊκῶν. τῦτο γὰρ δεῖγμα τῆς τῶν ἀγαθῶν ἀρετῆς, αἰχμαλώτους ἄγειν καὶ θεραπαίνας. τῶν λελυπηκότων τοὺς παῖδας· ὁ ἐμὸς δὲ πατὴρ ἀντὶ τῶν ἀριςείων, ἔγκλημα φέρει· καὶ ξίφη τῦτον ἐδέξαντο,[18] μετὰ τροπαίων ἐπανελθόντα. τίς τῶν ἀπὸ Τροίας Ἑλλήνων, τοιούτων ἐπιβατηρίων ἀπέλαυσε, χρόνῳ καὶ μόλις τὴν πατρίδα, τὸ γύναιον, τοὺς παῖδας τεθεαμένος; ὐκ ἔςιν οὐδείς. ἀλλ᾽ οἱ μὲν ἄλλοι πανηγυρίζουσιν· αἱ μὲν γυναῖκες διὰ τὺς ἄνδρας· διὰ δὲ τοὺς[19] πατέρας οἱ παῖδες· καὶ πλείονος ἡδονῆς πρόφασιν τὸ τῶν λαφύρων ποιῦνται[20] πλῆθος·[21] ἡμεῖς δὲ μόνοι[22] ξίφει

---

[10] πυ B.

[11] malim προσαγορεύῃ aut προσαγορεύοι.

[12] τὸ] τι B. et W.

[13] δυςυχῦσαν, ῥᾳδίως θαυμάζοι] sic W. θαυμάζει B. τυχῦσαν dat Mor. et omittit θαυμάζοι.

[14] ἰδέαν] sic B. et W. ἰδίαν Mor. et m. ἴσ. εἰδυῖαν.

[15] ὡς ἐν ἐπ.] sic W. et m. Mor. ἐν deest t. Mor.

[16] τῦ χρύσυ et τῦ πρ. B.

[17] εἷλε] sic B. εἴληφε Mor.

[18] ἐδέξατο W.

[19] τὺς — τὺς] sic B. et W. pro vtroque τῦτο Mor.

[20] ποιῦνται] sic W. ποιῦντας M.

[21] τὸ πλῆθος B.

[22] ἡμεῖς δὲ μόνοι] sic codd. ἡμᾶς δὲ μόνον Mor.

ξίφει τὸν Ἀτρέως δεδέγμεθα· οὕτως ἐθαυμάσαμεν ἐκεῖνον ἐπανελθόντα· καὶ εἰς μόνην[23] ταύτην τὴν οἰκίαν, τὰ τῆς Τροίας μετῆλθε κακά· εἰ γάρ τι καὶ τῶν λυπούντων ὁ πατὴρ ἐτύγχανε πράξας, οὐ συμβουλεύειν μᾶλλον ἐχρῆν; οὐ μεταπείθειν πειρᾶσθαι καὶ τῶν παίδων ἀναμιμνήσκειν; πάντως ἂν ἐπεκάμφθη, καὶ οἶκτος αὐτὸν ὑπεισῆλθε τῶν λόγων. καὶ μετεβέβλητο. νῦν δὲ πρότερον ἀνθότου γέγονε ταῦτα. πρὶν γὰρ ἀφικέσθαι τὸν πατέρα καὶ τὴν αἰχμάλωτον ἄγειν, ἀδήλου τοῦ μέλλοντος ὄντος, Αἴγισθος ἦγεν ἡμῖν τὴν οἰκίαν· καὶ πάντα ἦν αὐτὸς τῇ μητρί· ἀλλὰ κρίνειν ἔδει[24] τὴν μητέρα· καὶ δικαστηρίῳ παραδιδόναι. τοῦτο γὰρ καὶ τὸν θεὸν δηλοῦν, τιμωρεῖν λέγοντα τῷ πατρί· ἔοικεν ὁ κατήγορος, ἀντιλέγειν μόνον ἐσπουδακέναι καὶ πάντα λέγειν ἑτοίμως· εἰ δὲ δικαίως ἢ ἀδίκως. οὐ πάνυ φροντίζειν· νῦν μὲν γὰρ δι' αἰσχρᾶς ἀπολογίας ἐπειρᾶτο καλύπτειν τὰ πεπραγμένα· νῦν δὲ μόλις μετατίθεται, καὶ τὴν αἰτίαν ὁμολογῶν ὧν εἰργάσμεθα, περὶ τοῦ τρόπου τῆς τιμωρίας ἡμῖν ἀντιλέγει· οὐ μὴν ἀλλ' ἐρέσθαι τοῦτον ἐναντίον ὑμῶν[25] βούλομαι. εἰπὲ πρὸς Διός· πότερον ἐπ' ἀδήλοις ἐγκλήμασιν ἡ μήτηρ ἀνῄρηται; τοῦτο μὲν οὐκ ἂν εἴποι παρ' εἰδόσιν ὑμῖν. τοσοῦτον γὰρ δυσπραγοῦμεν[26] ὡς τὰς ἡμετέρας δυσπραγίας πᾶσιν ἐγνῶσθαι· τῶν γὰρ ἐκ τύχης ἐπισήμων ἡμεῖς,[27] εἴθε δὲ τούτων οὐκ ἦμεν, καὶ τὰ πάθη πᾶσι κηρύττεται. εἰ δὲ ὁμολογῶν τὰ ἐγκλήματα, δικαστῶν φησὶ δεῖν ἡμᾶς ἀναμεμενηκέναι[28] ψῆφον; οὐ πάνυ μοι δοκεῖ γινώσκειν τίνος εἵνεκα τὴν ἀρχὴν δικαστήρια συνεκρότησαν ἄνθρωποι. οὐχ ἵνα, παρελθόντες, τὰ πᾶσι δῆλα κατηγορῶμεν· οὐδεὶς γὰρ δικαστής, ἅπερ ἐπίσταται, παρ' ἑτέρου λέγοντος μανθάνειν ἐθέλει· ἀλλ' ἵνα

[23] μόνην] ſic B. et W. μόνον Mor,

[24] ἔδει] idem eſt ac ſi dixiſſet προσῆκεν ἐμοὶ εἰς κρίσιν προσκαλεῖσθαι τὴν μητέρα.

[25] τοῦτον ἐναντίον ὑμῶν ſic B. et W. τούτους ἐναντίον ὑμῖν Mor.

[26] δυσπραγοῦμεν] ſic W. δυστυχοῦμεν Mor.

[27] ἐπισήμων ἡμεῖς] ſic codd. ἡμεῖς deeſt Mor.

[28] ἀναμέμνηκέναι B.

ἵνα τὰ μὴ φανερὰ τῶν ἐγκλημάτων τοῖς ἀγνοοῦσι διὰ τῶν ἐλέγχων γίνηται[29] δῆλα. τὰ μὲν γὰρ ἀφανῆ, κρίσιν ἀπαιτεῖ· ἐπὶ δὲ τοῖς προδήλοις, μόνη λείπεται τιμωρία. εἰ δὲ δὴ καὶ γνοὺς Αἴγισθος τὸ μέλλον κατ᾽ αὐτῶν[30] δικαστήριον· καὶ πείρᾳ τὴν τῆς μητρὸς ἐπιστάμενος γνώμην, ὡς ἀναιρεθέντος τοῦ συνοίκου, ῥᾳδίως ἤνεγκε, καὶ ὡς εἰς ὄνειδος αὐτοῖς ὁ ἐξ Ἀγαμέμνονος παῖς ἐσωζόμην· εἰ ταῦτα λογισάμενος, ἔδεισέ τε τὸ μέλλον, κἀμὲ προαναρπάζειν ἐγνώκει, οὐκ ἂν προσέθηκε τῷ πατρὶ, καὶ ἡ μήτηρ ἴσως ἐπῄνεσεν, καὶ τοὐμὸν δικαστήριον, ὃ παρ᾽ ἐκείνων[31] ἔφθασε φόνος· ἀλλὰ γὰρ τούτων μὲν ἔξω μηδέν. ἔδει δέ με τὴν μητέρα παράγειν εἰς δικαστήριον; τί οὖν[32] ἐχρῆν παρελθόντα λέγειν; ἐπειδή με καὶ κηρύττειν ἀπῄτεις τὰς ἐμαυτοῦ συμφοράς· ὥσπερ καὶ νῦν οὐδὲ τὴν σιωπὴν ἡμῖν εἰς παραμυθίαν ἀφῆκας· ἀλλὰ καὶ ταύτην ἡμᾶς ἀφείλου μετὰ τῆς τύχης. οὐκοῦν ἐκεῖνα τότε λέγειν ἐχρῆν, ἄνδρες δικασταὶ, τὰ δεινότατα τῶν ἐν ἀνθρώποις, μοιχεία καὶ φόνος ἐμφύλιος, τὴν ἡμετέραν οἰκίαν κατείληφε· κεῖται μὲν Ἀγαμέμνων ἔνδον ἀνῃρημένος, ὃ μήποτ᾽[33] ἂν ἤλπισεν ἐκεῖνος παθεῖν· ἡ δὲ μήτηρ· ἀλλὰ τοῦτο μὲν ἴσως αἰσχυνθεὶς, ἐσιώπων. καὶ τίς οὐκ ἂν ἀπήντησέ μοι τῶν δικαστῶν, ὡς ἀγνοοῦσιν ἡμῖν, ὦ παῖ, διαλέγῃ· ἔργων, οὐ λόγων σοι νῦν ὁ καιρὸς· ἀλλ᾽ ὡς ἔοικεν ὀκνεῖς τὴν πρᾶξιν, καὶ παρορᾷς τὴν μητέρα· καὶ πρόσχημά σοι τῆς δειλίας, τὸ δικαστήριον. λογίσασθε πρὸς Διὸς τίς ἂν ἐγενόμην, τούτων ἀκούων; οὐκ ἂν εὐθὺς κατέδυν· καὶ ἰδεῖν εἰς οὐρανοὺς οὐκ ἂν ἠνεσχόμην; ὅθεν οἶμαι τὸν Ἀπόλλω, καὶ τὰ λανθάνοντα, μήτι γε τὰ πᾶσι πρόδηλα καλῶς ἐπιστάμενον, οὐχ᾽ ὡς ἀδήλου τῆς πράξεως οὔσης κατηγορεῖν ὑποθέσθαι· ἀλλ᾽ ἀμφότερα βουλόμενον, ὅπως εἴτε ἀσεβοῦντες δίκην ὑπόσχοιεν, καὶ τοῦτο πρὸς θεραπείαν ἔσται μᾶλλον τῷ πεπονθότι, τὸ τοὺς οἰκειοτάτους εἶναι τοὺς αὐτῷ τιμωροῦντας, ἐμὲ τὸν ἐκείνου παῖδα

29 γίνεται B.
30 κατ᾽ αὐτῶν] aduersus se et Clytaemnestram.
31 ἐκείνω Bau.
32 τί τοίνυν B.
33 μήτ᾽ ἂν m. Mor.

δαι καλεῖν πρὸς τὴν πρᾶξιν, καὶ τὴν κατὰ τῶν ἀδικούντων ἐνδείκνυσθαι τιμωρίαν. εἰ γὰρ οἶδας τὸν Πύθιον εἰδέναι τὰ πεπραγμένα· τὸ δὲ δικαστήριον ἑκατέρων[34] τῶν κρινομένων ἄδηλον ἔχει τὸ πέρας· πῶς ἂν ὁμολογουμένων ἐγκλημάτων, ἄδηλον τὴν ἐκ τοῦ δικαστηρίου παρέχετο τιμωρίαν. τί δ᾽ ἂν ἐκώλυσε τὸν θεὸν εἰδότα μὲ τῷ χρησμῷ μέλλειν, ὡς αὐτός που φῄς, ἀπατᾶσθαι, καὶ τὰ δεινότατα πράττειν, ἀντὶ τοῦ δικάζεσθαι τὸ τιμωρεῖν μετειληφότα,[35] σαφῶς οὑτωσὶ λέγειν, κρίνον τὴν μητέρα, καὶ κατηγόρει, καὶ τὴν ἐκ τῶν δικαζόντων ἀνάμενε ψῆφον. οὐ γὰρ ἂν εἰδὼς τὸ μέλλον, παρεῖδεν ἄτοπον πρᾶξιν, ὥσπερ σαφεστέρου φειδόμενος ῥήματος, καὶ ταῦτα μέλλων αὐτὸς τῶν ἐσομένων ἀποφέρεσθαι τὴν αἰτίαν· παντὸς γὰρ πράγματος ὁ τὴν πρόφασιν παρασχών, οὗτος οἶμαι τῶν ἐκβησομένων αἴτιος ἂν εἴη δικαίως. πῶς οὖν δέον τὸ τοῦ πατρὸς πάθος ὡς ἐνῆν[36] μάλιστα θεραπεύειν, ἕτερον ἂν ἀδίκως παρεῖδε γενέσθαι, ὥσπερ ἐφηδόμενος τῇ συνεχείᾳ τῶν φόνων; οὔπω πρὸς Διὸς λογισμὸν λαμβάνεις, ὡς τοῦ θεοῦ μᾶλλον κατηγορεῖς, καὶ μονονουχὶ βοᾷς, ἀλλ᾽ οὐκ ἐμὸς[37] ὁ λόγος, ὦ Πύθιε, ὡς ἠδίκησεν Ἀπόλλων; ὡς ἐναγῆ πεποίηκε φόνον; ὡς αἴτιος κακῶν τῇ μητρὶ, καὶ μετ᾽ ἐκείνην ἐμοί; οὐκοῦν ταύτην προβάλλομαι μεγίστην ἀπολογίαν, ὅσγε[38] μετ᾽ ἐκείνου κρίνομαι σήμερον· καὶ λεγόμενος ἡμαρτηκέναι, κοινωνὸν ἔχω τῶν πλημμελημάτων τὸν Πύθιον· τοῦτον σύμβουλον ἔχων, οὐ τὸ δικαστήριον[39] ἐνοχλεῖν προσῆκον ἡγούμην· οὔτε δήμου[40] πράγματα[41] μένειν, ὡς ἂν ὁ κατήγορος εἴποι. εἰ γὰρ μὴ παῖς ἦν Ἀγαμέμνονος, μηδὲ προσήκων κατὰ μηδὲν τῷ πεπτωκότι, μηδὲ περὶ τῆς μητρὸς παντὸς ἂν οἰκειότερον ἐβουλευσάμην,[42] ἀλλὰ ξένος,[43] ποθὲν ἥκων· καί με, δόξαν αὐτῷ,

34 malim ἑκατέρῳ.
35 κατειληφότα W.
36 ἐνῆν] νῦν B.
37 ἐμὸς] ſic W. ἐμοὶ Mor.
38 ὅσγε] ſic W. ὥς γε Mor.
39 δικαστηρίοις B. et W. δικαστήριον Mor.
40 δήμου] ſic W. δὴ μου Mor.
41 pro πράγματα malim προστάγματα. B. dat πρᾶγμα.
42 ἐβουλευσάμην] ſic W. ἐβουλεύσαμεν Mor.
43 Wolf. dat ξένοις f. copulanda ſunt iſta duo ξένος ξένοις.

αὐτῷ πρὸς τὴν πρᾶξιν Ἀπόλλων ἐκάλει· οὐκ ἔδει δήπουθεν τοῖς τοῦ θεοῦ πειθαρχεῖν ἐπιτάγμασιν· ἀλλὰ συμβούλους ἀναμένειν ἑτέρους, ὥσπερ κριτὰς τῆς ἐκείνου ποιούμενον γνώμης; εἰ μὲν γὰρ ταυτὰ λέξειν ἔμελλον, τί πλέον ἐντεῦθεν ὑπῆρχεν; εἰ δὲ τὴν ἐναντίαν Ἀπόλλωνι ψῆφον ἐκφέρειν, τίνι με προστίθεσθαι ἔδει; εἰπὲ πρὸς διός, τουτὶ μόνον,[44] καὶ σιωπήσομαι· ἀλλὰ γὰρ δέδοικα· δέδοικα, εἰρήσεται γὰρ[45] πρὸς ὑμᾶς, ὦ ἄνδρες, μὴ ὁ κατήγορος ὑμῖν[46] οὐ πάνυ τι σωφρονεῖν παρεσκεύασαι· ἀλλὰ μιμεῖσθαι τὸν Αἴγισθον· καὶ τὸ παράδειγμα δεδιὼς τῆς τιμωρίας, ἐν ἑτέρων κατηγορίαις μελλούσης ἑαυτῷ πονηρίας ἄδειαν προευτρεπίζει.[47] οὐ γὰρ ἂν οὕτω προθύμως παρίστατο[48] τοῖς ἐπ' ἀσελγείᾳ καὶ τοῖς δεινοτάτοις ἑαλωκόσι. καὶ παρ' ὧν τεθνηκότων, μηδεμίαν ἔχει κέρδους ὠφέλειαν,[49] εἰ μή τινος τῶν καθ' αὑτὸν προὐνοεῖτο. ὅπερ ὑμῖν οὐχὶ[50] προσῆκεν, ὦ ἄνδρες, τοῖς εἰς ὑμᾶς ἁμαρτησομένοις[51] καὶ τὴν τῶν ὑμετέρων γυναικῶν σωφροσύνην, πρόφασιν διδόναι, δι' ἧς ἂν ῥαδίως γένοιτο ταῦτα. τίς γὰρ οὐκ ἔσται πάλιν Αἴγισθος τῶν φύσει μὲν πονηρῶν, σωφρονεῖν δὲ διὰ τοὺς νόμους βιαζομένων, ὅταν ἴδωσιν ἐξ ὑμῶν προελθοῦσαν τὴν ἄδειαν, ἐν οἷς ἐστι κυρίους, ἢ τῆς πόλεως ὑπάρχειν τοὺς νόμους. οὐ γὰρ ἐγὼ κρίνομαι τοσοῦτον, ὅσον ὑμεῖς δοκιμάζεσθε, πῶς ἔχετε πρὸς τὸ μισεῖν πονηρίαν, καὶ ἀποδέχεσθε[52] τοὺς τῆς σωφροσύνης ἐρῶντας· καὶ ἁπλῶς εἰπεῖν, διὰ μιᾶς ψήφου ταύτης τὰ τῆς πόλεως κινδυνεύει[53] δίκαια, πρὸς τὸ εἶναι ταῦτα, καὶ ἀνῃρῆσθαι. σκοπεῖτε δὲ κἀκεῖνο. ὑμῶν ἴσως πολλοὶ τῶν ἐπ' Ἴλιον στρατευσαμένων ἐγένοντο· καὶ εἴ τις ὑμᾶς ἔροιτο τὴν αἰτί-

αν

[44] τουτὶ μόνον] sic recte codd. sed Mor. interponit λέγε.

[45] γὰρ] δὲ B.

[46] ὑμῖν et σωφρονῆ B.

[47] εὐτρεπίζει B. et W.

[48] παρίστατο] sic W. περίστατο or.

[49] χειν κέρδους ἐλπίδα B.

[50] οὐδὲ B.

[51] ἁμαρτησομένοις] id est aut ἁμαρτηθησομένοις in neutro, aut ἁμαρτήσασι in masculino.

[52] malim καὶ εἰ ἀποδέχεσθε, B. dat ἀποδέχεσθαι.

[53] κινδυνεύεται B.

ἂν τοῦ τότε πολέμου, εἴποιτ' ἂν μηδὲν ἀναμείναντες, ὅτι σωφρονεῖν οὐκ ἐβούλοντο[54] Τρῶες. πῶς οὖν οὐκ αἰσχρὸν, εἰ τότε μὲν πλεῖν ἡγεῖσθε,[55] καὶ τῶν οἰκείων ἀπεῖναι· καὶ πίπτειν ἐπ' ἀλλοτρίας, ἣν δέῃ, ἵνα σωφρονεῖν διδάξητε τοὺς βαρβάρους· νυνὶ δὲ τῆς αὐτῆς ὑμῖν προφάσεως οὐκ ἐν ὅπλοις, οὐκ ἐν ἀποδημίᾳ μακρᾷ κειμένης, ἀλλ' ἐν ψήφῳ μόνῃ· καὶ τῷ τὰ δίκαια κρῖναι· καὶ προσέτι τούτῳ, τῷ τοὺς πολίτας γενέσθαι σωφρονεστέρους· ᾧ μάλιστα διαφέρειν τῶν βαρβάρων δοκοῦμεν· εἰ τὰ νῦν[56] παρίδητε τὸ πρᾶγμα, δι' ὃ τότε κινδυνεύειν ἠθέλετε, δόξετε οὐδὲ[57] τότε τοῦ καλοῦ ποιούμενοι λόγον· ἀλλὰ πλεονεξίας ἕνεκα, καὶ τῶν μὴ προσηκόντων ἐφιέμενοι, τὴν στρατείαν[58] πεποιῆσθαι. Ἑλένη δὲ, καὶ μοιχεία καὶ Πάρις, πρόφασις ἦν ἄλλως, καὶ μάτην ἐλέγετο. οἶμαι δὲ καὶ τοὺς ἐκεῖ τετελευτηκότας τῶν Ἑλλήνων, εἴ τις αἴσθησις, τὰ παρ' ἡμῶν ἐγνωκότας, ἡλίκον δακρῦσαι· εἰ ὑπὲρ ὧν ἀποθνήσκειν εἵλοντο μαχόμενοι τοῖς βαρβάροις, ταῦτα παρ' ἡμῖν ἀναίδην[59] ἐν μέσῃ πράττεται τῇ Ἑλλάδι· κἂν εἰσπράξηταί τις[60] δίκην, τοῦτον εὐθὺς εἰς μέσον ἄγουσι δικαστῶν· καὶ κατηγορεῖ[61] μὲν ὁ βουλόμενος· οἱ δὲ παρορῶσι· καίτοι οὐδ' ἀξία τῶν ἀδικημάτων τιμωρία δόξει τοῖς εὖ φρονοῦσι, λογιζομένοις, ἅπερ εἴποι τις, ἂν κἂν ἐγὼ σιωπήσω,[62] μοιχείαν καὶ φόνον κατὰ τοῦ συνοίκου, κατ' Ἀγαμέμνονος· οὐδὲ γὰρ τοῦτο μικρὸν εἰς προσθήκην, οἴκου τε τοῦ πρὶν εὐδαίμονος ἐρημίαν, καὶ παίδων ὕβριν, καὶ τὴν εἰς τὸν μέλλοντα χρόνον αἰσχύνην, πρὸς μίαν τῶν τηλικαῦτα τετολμηκότων ἀναίρεσιν· οἱ γὰρ τοιοῦτοι πολλάκις, εἴπερ ἦν, οὐχ ἅπαξ ἀπολωλότες, μόλις ἂν τύχοιεν τῆς ἀξίας. ποῦ δὲ φήσει τις, δίκαιον εἶναι φόνον τὸν

τοιοῦτον

54 ἠβούλοντο B. et W.
55 ἡγεῖσθαι B.
56 εἶτα νῦν W. εἰ deest B.
57 γὰρ οὐδὲ B.
58 στρατίαν B.
59 ἀνέδην B.
60 κἂν εἰσπράξηταί τις δίκην, (scil. τὸν μοιχὸν) τοῦτον (scil. τὸν εἰσπραττόμενον τὴν μοιχείας δίκην) sic recte Wolf. etiam B. dat. εἰσπράξηται, sed Mor. εἰσπράξεται, et omittit δίκην.
61 κατηγορεῖται B.
62 σιωπήσομαι B.

τοιοῦτον προσαγορεύειν, ἀλλ᾽ οὐ τιμωρίαν δικαίαν, καὶ τοῖς ἐφορῶσι ταῦτα[63] θεοῖς ἀντ᾽ ἄλλου τινος ἀνακειμένην· εἰ γὰρ ἀρετὴ τούτοις ἀρέσκει, καὶ τὰ πραττόμενα κόσμῳ· δῆλον ὡς[64] τοῖς ἐναντίοις ἀγανακτοῦσι· καὶ βούλοιντ᾽ ἂν μάλιστα μὲν μὴ γενέσθαι τι τῶν[65] οὐχ ὁσίων· εἰ δὲ μὴ, τοὺς γοῦν δεδρακότας τιμωρουμένους τῷ παραδείγματι σωφρονίζειν τοὺς ἄλλους, καὶ γνῶναι καλῶς, ὡς ἄρα δίκη τις θεῶν ἐν ἀφανεῖ κειμένη, κατοπτεύοι τ᾽ ἀνθρώπινα,[66] καὶ τοὺς λυποῦντας ἀμύνεται· ὅθεν καὶ τῶν πόλεων, αἷς[67] μάλιστα σωφροσύνη τιμᾶται καὶ οὐκ ἐν ἡδονῇ τὰ φαῦλα, πάντα[68] πρὸς εὐδαιμονίαν ὁρᾷ εἰρήνη καὶ γῆς εὐφορία, καὶ γένη διωρισμένα, καὶ παίδων γοναὶ τῇ παρ᾽ ἀλλήλων διαδοχῇ μέχρι παντὸς ἀκωλύτως[69] προιοῦσαι·[70] πόλεμοι δὲ καὶ νόσοι κοιναὶ, καὶ ὅσα τῇ[71] τῶν ἀνθρώπων φύσει λυμαίνεται, ἐκείνους ἔχει, εἴ τις πόλις τῇ τῶν ἐνοικούντων ἀσελγείᾳ, τὰ τῶν θεῶν τεμένη μὴ καθαρὰ διασώζει. καὶ μάρτυς Τροία,[72] πρὸς τῆς Ἀλεξάνδρου μοιχείας εὐδαίμων, καὶ πόλις, οὐ νῦν· οἴχεται γὰρ, καὶ ἦν ποτε ταῦτα, καὶ πρόσχημα τῆς Ἀσίας πρότερον οὖσα. ἐπειδὴ[73] ἑνὸς ἀνδρὸς ἀπήλαυσεν ἀτοπίας, ἀνήρπασται τοῖς δεινοῖς, καὶ κεῖται παράδειγμα δυστυχίας.[74] εἰ δὲ λαβόντες οἱ Τρῶες σώφρονα λογισμὸν τὸν μὲν ἀδικοῦντα διέφθειραν ὡς ἐναγῆ, καὶ ποινήν τινα συνεπαγόμενον τῇ πατρίδι, ἀποδεδώκασι δὲ τὴν Ἑλένην τοῖς ὑβρισμένοις ἀφοσιοῦντες πρὸς τοὺς θεοὺς, καὶ τὴν πόλιν, τὸ καθ᾽ αὐτοὺς, οὐδὲν ἂν ἐκώλυσε καὶ νῦν ἑστάναι τὴν Τροίαν. καίτοι μέχρι μοιχείας ἐκείνοις τὸ ἔγκλημα, καὶ φόνος τοῖς Ἀλεξάνδρου πλημμελήμασιν οὐ προσῆν·

[63] τὰ τοιαῦτα B.

[64] δηλονότι B.

[65] μηδέν τι τῶν B. μὴ γίγνεσθαί τι τῶν W.

[66] κατοπτεύει τ᾽ ἀνθρώπινα] sic codd. κατοπτεύοι ἀνθρ. Mor.

[67] ἐν αἷς B.

[68] πάντως B.

[69] ἀκωλύτως ἀεὶ πρ. B. et W.

[70] προιοῦσα W.

[71] τὴν et φύσιν B.

[72] ἡ Τροία B.

[73] post ἐπειδὴ omittunt codd. recte δ᾽.

[74] δυστυχέστερον B.

ἦν· ὧν ἀμφοτέρων ἡμῖν ὑπαρξάντων, εἰ μὴ δικαία τιμωρία τοῦ μύσους τὴν πόλιν ἀπήλλαξε· σκοπεῖτε[75] πρὸς Διὸς εἰς τί ποτ' ἂν ἦν[76] ἐλπὶς ἡμᾶς ἀφικέσθαι· ἆρ' οὐ μέχρι τῶν δεινοτάτων; καὶ χρησμὸς ἂν ἐπὶ τούτοις ἐκήρυττε τὴν αἰτίαν, ὡς κεῖται μὲν Ἀγαμέμνων· ὁ δὲ τιμωρῶν οὐδείς· εἶτα τούτων ἐπικειμένων, τίνι προσήκειν ἂν ἡγεῖσθε τὸ πρᾶγμα, καὶ τίνι ταῖς μέμψεσιν ἐπεφέρεσθε,[77] καλοῦντες ἄνανδρον, καὶ τὴν τιμωρίαν ἀνατιθέντες· οὐχ ὅτῳ[78] πατὴρ μὲν ὁ ταῦτα παθὼν, δυστυχὴς δὲ αὐτὸς ἐν αἰσχύνῃ μετ' ἐκεῖνον; ἡ δὲ μήτηρ, ἐγὼ μὲν αὖθις καὶ λέγειν ὀκνῶ, ἀλλ' οὕτως ἔδοξε τῷ κατηγόρῳ, καὶ τῆς ἀνάγκης πάλιν ὁ λόγος. αὕτη τοίνυν ὥσπερ οὐκ ἀρκουμένη[79] τοῖς προλαβοῦσιν, ἔτι πρὸς ἐκείνοις ἐβουλεύσατο μετ' Αἰγίσθου τὸν φόνον. αὕτη μονονουχὶ τὸ ξίφος ἐγύμνου· τὴν δεξίαν ἀνέσχεν· ἐπήνεγκε τὴν πληγήν· γύναιον ὦ θεοὶ κατ' ἀνδρὸς συνοικοῦντος αὐτῇ, νενικηκότος, μόλις ὀφθέντος, μόλις ἀπηλλαγμένου τῶν ἔξω κακῶν· οὐκ ἐλογίσατο παρὰ[80] τὴν πρᾶξιν· ἐγὼ τὸν ἄνδρα, τὸν ἐμαυτῆς, ὅς με παρθένον[81] ἠγάγετο, παίδων ὄντων, μηδὲν ἐγκαλεῖν ἔχουσα, παρὰ[82] τὴν πατρῴαν ἑστίαν, ἔνθα[83] μετ' ἐκείνου γαμήλιον εἶδον λαμπάδα· εἶτα νῦν ἀντὶ ταύτης αἰρόμενον ἴδω ξίφος, καὶ παρὰ τὴν παστάδα θεάσομαι πεπτωκότα; ποίοις ὄμμασιν ἴδω;[84] πῶς φέρει τὴν τόλμαν ἡ θέα; τούτων εἰς νοῦν οὐδὲν ἐπῆλθεν, ἀλλ' ἐτόλμα καὶ διεπράξατο· καὶ κεῖσαι νῦν, ὦ πάτερ οἰκτρῶς· ὡς ἀνομοίαν εἶδες ταύτην τὴν ἡμέραν, ἢ ὅτε τὴν ἐπὶ[85] Τροίας ἡγήσω· τότε βασιλεὺς ἀνηγορεύθης κοινὸς, καὶ ἀπεβλέπου, καὶ τὴν Ἑλλάδα ἦγες, καὶ περὶ σοῦ[86] πάντα κατεῖχεν ἡ φήμη.

[75] σκοπεῖν τε B.

[76] ποτ' ἂν ἦν] sic B. et W. ἂν deest Mor.

[77] ἐπιφέρεσθε B.

[78] οὐ τούτῳ ᾧ B.

[79] ἀρκουμένη] sic Wolf. ἀρνουμένη Mor.

[80] περὶ B.

[81] ὅς με παρθ.] sic B. et W. με deest M.

[82] περὶ B.

[83] ἐνταῦθα B. e W.

[84] εἴδω B.

[85] ἢ ὅτε τὴν ἐπὶ] sic B. et W. recte, scil. τὴν ὁδὸν, tametsi ego equidem τῆς malim, scil. ὁδοῦ vel στρατείας. τὴν deest Mor.

[86] malim καὶ ἡ περὶ σοῦ.

φήμη. ἦλθες εἰς Τροίαν, καὶ πολέμους εἶδες καὶ μάχας, καὶ τὴν Ἕκτορος ἐκ εὐτυχῶς διέφυγες δεξιάν· ἀλλ' ἐπανιόντι[87] ἐριννύες ἡγήσαντο· εἴθε σὲ μετ' Ὀδυσσέως ἀπήγαγον αὖραι, καὶ πανταχοῦ πλανώμενος πάντως[88] εὐτύχεις, ἢ τὴν οἰκίαν ἰδών. νῦν δὲ σὺ μὲν ἐπανῆλθες θᾶττον τοῦ δέοντος, ὥσπερ πρὸς τὸ παθεῖν ἠπειγμένος. ὁ δὲ Ὀδυσσεὺς, ὅσον ἐπὶ τῇ γυναικὶ κατ' οἶκον εὐτυχῶν, πόῤῥω ποι φέρεται· ἀλλ' ἐπανέλθοι ποτὲ, καὶ φανείη τῇ Πηνελόπῃ, καὶ θεάσαιτο πῶς οἱ[89] μνηστῆρες τὴν οἰκίαν κατειληφότες, γυναικὸς ἡττήθησαν σώφρονος. ἀλλὰ δακρύων μὲν ἴσως καὶ αὖθις[90] ἔσαι καιρός. ὑμεῖς δὲ, ὦ ἄνδρες, ὅσοι πατέρες ἐστὲ, καὶ παῖδας ἔχετε, καὶ γυναικῶν σωφροσύνης λόγος ὑμῖν· ὅσοι τε παῖδες εὐτυχῶν πατέρων, καὶ μητέρας ἔχετε σώφρονας, ἐπὶ λογισμοῦ[91] τὸν ἡμέτερον πατέρα λαβόντες, καὶ τὴν ἐμὴν ὑπὲρ ἐκείνου σπουδὴν, παρθένον τε ταύτην Ἠλέκτραν σὺν ἐμοὶ δυστυχοῦσαν, ἥτις ἔστηκεν ἀνακαλουμένη τὸν πατέρα, καὶ δακρύων οὐκ ἀπαλλάττεται· ταῦτα λογισάμενοι, καὶ ὡς οἰκτρὸν ταῖς ἡμετέραις περιπεσεῖν συμφοραῖς· καὶ δόξαντες ὑμῖν παρεστάναι τὸν Ἀπόλλω τὸν Πύθιον, καὶ κρίσιν ἐφορᾶν τὴν παροῦσαν, καὶ χαλεπαίνειν εἰκότως, εἰ τοῖς ἐκείνου πεισθεὶς ἐπιτάγμασι πείσομαί τι τῶν οὐχ ὁσίων, ψῆφον ἐνέγκατε σήμερον πρέπουσαν εὐσεβείᾳ, καὶ σωφροσύνῃ καὶ νόμοις.

87 ἐπανιόντι] sic B. et W. ἐπανιόντος Mor.

88 pro πάντως dat Bav. μᾶλλον. non male vtrumque copules πάντως μᾶλλον ἂν εὐτύχεις.

89 πῶς οἱ] πόσοι W.

90 καὶ αὖθις] sic P. et W καὶ deest Mor.

91 λογισμὸν B.

ΜΕΛΕΤΗ ΠΡΑΓΜΑΤΙΚΗ.

Δύσκολος γήμας λάλον γυναῖκα, ἑαυτὸν προσαγγέλλει.

ΕΔΕΙ μὲν, ὦ βουλὴ, τεθνᾶναί με πρὶν ἢ γῆμαι, καὶ μὴ[1] τοσαῦτα ἀκοῦσαι τῆς γυναικὸς λαλούσης, ὁπόσα ἀκήκοα· ἐπεὶ δὲ οὐ διέφυγον ἐκεῖνο, κακῷ δαίμονι χρησάμενος, εὐθὺς μετὰ τοὺς γάμους ἐλθεῖν εἰς ὑμᾶς, ἐφ᾽ οἷς περ ἥλω νῦν. τοῦτο δ᾽ ὑπὸ τῆς ἐμαυτοῦ βραδυτῆτος ἠδικημένος, δέομαι ὑμῶν, ἐπειδήπερ ὀψέ ποτε πρὸς τὸ συμφέρον εἶδον, κυρῶσαί μοι τὸ βούλημα τήμερον. εἰς τοσοῦτον γὰρ ἀφῖγμαι κακοῦ,[2] ὥστε μοι τὸ μηκέτ᾽ εἶναι, τοῦ μετὰ τῆς γυναικὸς εἶναι μετριώτερον. δότε μοι πρὸ τοῦ κωνείου μικρὰν ἑτέραν, ὦ βουλὴ, χάριν· μή με εἰς μακρολογίαν ἐμβάλλητε,[3] τούτων ἀνεχόμενοι[4] τῶν κομψῶν[5] ῥητόρων, οἷς ὁ βίος λέγειν τε καὶ ἀντιλέγειν. δέδοικα γὰρ μὴ διατριβῆς ἐν τῷ λόγῳ γιγνομένης, τὸ πρᾶγμα γυνὴ[6] πυθομένη, τὴν γλῶτταν ὑμῖν[7] ἐκείνην ἐπιστήσῃ, καὶ κατακλύσῃ καὶ ἐμὲ καὶ ὑμᾶς. ὅπως οὖν μὴ τοῦτο γένηται, γίνεσθε[8] ταχεῖς πρὸς τὴν χάριν· εἰ γὰρ[9] παρούσης ἐκείνης ἀποθνήσκοιμι, καὶ λεγούσης,[10] ἀναιρήσει τὴν ἡδονὴν τῆς τελευτῆς ἡ[11] φλυαρία τῆς γυναικός.

εἰ

[1] καὶ μὴ] ἢ Wolf.
[2] κακοῦ W. et m. Mor.
[3] ἐμβάλετε W.
[4] ἀνασχόμενοι W. et m. Mor.
[5] τῶν πολλῶν m. Mor.
[6] ἡ γυνὴ W.
[7] ἡμῖν W.
[8] γίνεσθε W.
[9] εἰ γὰρ δὴ παρ. W.
[10] λαλούσης W.
[11] ἀναιρήσει τὴν τελευτὴν ἡ W.

εἰ μὲν οὖν ὁ θεὶς τῇ πόλει τοὺς νόμους, μὴ περίεργός τις ἦν[12] καὶ περιττὸς ἐν τῷ γράφειν, οὐκ ἂν εἶχον πράγματα νῦν, πείθειν πειρώμενος, ὅτι μοι τελευτᾶν ἀναγκαῖον· ἀλλ᾽ οὑτωσὶ λάθρα λαβὼν ἀπὸ τῆς κλίνης σχοινίον, ἐλθὼν ἂν εἰς ἐρημίαν[13] ἐπί τι δένδρον, ἀπηγχόμην καθ᾽ ἡσυχίαν, οὐθ᾽ ὁρῶν ὄχλον, οὔτε πολλῶν ἀκούων.[14] ἐπειδὴ δ᾽ ὁ πάντα τρόπον ἐκεῖνος ἡμᾶς καταδουλωσάμενος,[15] οὐδὲ τῆς ἀπαλλαγῆς τοῦ βίου κύριον ἀφῆκεν ἕκαστον· ἀλλὰ καὶ τοῦτο ὑπὸ ψηφίσματι[16] ἤγαγε, καταρῶμαι μὲν αὐτῷ, πείθομαι δὲ, καὶ τοὺς ἐν τῷ βουλευτηρίῳ φέρω θορύβους, ἐπὶ τῷ μηδὲν ἔτι τῶν ὀχληρῶν ἐνεγκεῖν. οἱ μὲν οὖν εἰδότες τῆς γυναικὸς τὴν φύσιν, οἶδ᾽ ὅτι μοι συγγνώμην ἔχουσι, μηκέτι ζῆν δυναμένῳ· τοὺς δ᾽ ἄλλους οἶμαι δεῖν μαθεῖν, οἵᾳ συνοικῶ συμφορᾷ. καί μοι προσέχετε πρὸς Διὸς ὑμεῖς. τουτωνὶ δὲ τῶν περιεστηκότων καὶ γελώντων[17] καὶ καλούντων[18] με δύσκολον, βραχύ τι φροντίζω. τίνα[19] γὰρ ἂν καὶ ζητήσαι τις μείζω παρ᾽ αὐτῶν δίκην, ἧς νῦν ὑπέχουσιν, οὕτω ζῶντες διεφθαρμένοι καὶ διατεθρυμμένοι, καὶ διαρρέοντες, καὶ παίζοντες ἀεὶ, καὶ σπουδάζοντες οὐδέποτε καὶ καγχάζοντες[20] καὶ φλυαροῦντες ἀπερισκέπτως ὅ, τι τύχοι. ἐμοὶ δ᾽ ὁ πατὴρ, ὦ βουλὴ, παρῄνει, τὸν νοῦν ἀεὶ συνάγειν καὶ συνέχειν, καὶ μὴ συγχωρεῖν διαχεῖσθαι· διορᾶν τῶν ἐν τῷ βίῳ τά τε ἀναγκαῖα καὶ τὰ μὴ, καὶ τῶν μὲν ἔχεσθαι, τῶν δ᾽ ἀπέχεσθαι· τιμᾶν τὴν ἡσυχίαν, φεύγειν τὰς ταραχάς. ἃ καὶ ποιῶν, ὦ βουλὴ, διατελῶ. τῶν ἐκκλησιῶν οὐ μάλα κοινωνῶν,

οὐ

[12] *περιεργὸς τις ἦν*] ſic W. *τις* deeſt M.

[13] *ἐρημίαν*] ſic W. *ἐρημίαις* M.

[14] num *οὔτε λόγων πολλῶν ἀκούων* ?

[15] *καταδουλωσάμενος*] ſic W. recte; ſed quem deſignat? Num Diocletiannm? *καταδουλώμενος* M.

[16] *ψηφίσματος* W.

[17] *περιεστηκότων καὶ γελώντων*] ſic Wolf. Mor. dat *παρεστηκότων*, et omittit *καὶ γελώντων*.

[18] *λαλούντων* W.

[19] *τι* W.

[20] *καὶ καγχάζοντες*] ſic W. haec verba deſunt Mor.

οὐ διὰ τὸ τῶν κοινῇ συμφερόντων ἀμελεῖν, ἀλλὰ διὰ τὰς τῶν οὐ δυναμένων σιγῆσαι βοὰς ῥητόρων. εἰς ἀγορὰν οὐ σφόδρα ἐμβάλλων, διὰ τὰ πολλὰ ταῦτα τῶν δικῶν ὀνόματα, φάσις, ἔνδειξις, ἀπαγωγὴ, διαδικασία, γραφὴ, παραγραφὴ,[21] ἃ καὶ οἷς οὐδὲν ἔστι πρᾶγμα φιλοῦσιν ὀνομάζειν. ὁ δεῖνα τοῦ δεῖνος τὸν δεῖνα ἐγράψατο. σοὶ δὲ τί τούτων μήτε διώκοντι, μήτε φεύγοντι. καὶ μὴν ἐκεῖνο δεῖν[22] ἐξελάσαι τῆς ἀγορᾶς, τὸ τῆς προσρήσεως, οὐκ οἶδ' ὁπόθεν[23] εἰς τὸν βίον ἐπελθὸν, τὸν δεῖνα χαίρειν. οὐ γὰρ ἔγωγε μὰ τοὺς θεοὺς ὁρῶ τοῦ ῥήματος τὸ κέρδος· οὐ γὰρ ἄγε λύπης ἀξίως ἔχει τὰ πράγματα, βελτίω παρὰ τὸ χαίρειν ἀκοῦσαι γίγνεται. καὶ μὴν τῶν γε ἐργαστηρίων, ὅσα μὲν ἄκμονα καὶ σφῦραν ἔχει καὶ κτύπους, φυγῇ φεύγω, τὰ ἀργυροκοπεῖα, τὰ χαλκεῖα· πολλὰ ἕτερα. τὰς δὲ διὰ σιγῆς γιγνομένας[24] ἀσπάζομαι τῶν τεχνῶν. καίτοι καὶ ζωγράφους εἶδον[25] ἤδη μετ' ᾠδῆς γράφοντας. οὕτως ἡδύ τι τοῖς πολλοῖς τὸ λαλεῖν,[26] καὶ κατέχειν ἑαυτοὺς οὐ δύνανται. ἕως μὲν οὖν μόνος ἔζων, ἀπέλαυον[27] ἡσυχίας ἱκανῆς, τῶν οἰκετῶν πεπαιδευμένων μηδὲν ποιεῖν οἷς ἀνιῶμαι. ἐπεὶ δ' ἔδει μοί ποτε γενέσθαι κακῶς, πρόσεισί τις τῶν ἐπιτηδείων, καὶ κακίσας τὴν μοναυλίαν, καὶ τὴν συζυγίαν ἐπαινέσας· μὴ μόνος ἀτίμαζε τὸν γάμον, ἔφη, θεὸν ὄντα καὶ θεῶν μέγιστον. καὶ διηγεῖτο περὶ κόρης τινὸς γένει[28] διαφερούσης, ὥρᾳ λαμπρᾶς, τάλαντα πολλὰ κεκτημένης, σωφρονεῖν ἐπισταμένης, τὰ περὶ ἱστὸν πεπαιδευμένης· καὶ τελευταῖον ἐπέθηκεν,[29] ὡς ἀρκεῖ βουληθῆναι, καὶ ἐν χερσὶν ὁ γάμος. τὰ μὲν οὖν ἄλλα, ἔφην, ἔα. τοσοῦτον δέ μοι φράσον, ποδαπὴ τὴν γλῶτ-

ταν

21 γραφὴ, παραγραφὴ] sic W. γραφὴ deest Mor.

22 recte quidem W. κἀκεῖνο δεινὸν, sed tum adhuc addendum quod deest, ὑμᾶς, ὦ ἄνδρες, ἐκ ἐξελάσαι.

23 ὁπόθεν] sic W. ὅθεν M.

24 πληρουμένας W.

25 εὗρον W.

26 τὸ λαλεῖν] sic W. τὸ deest Mor.

27 ἀπέλαυον] sic W. ἀπήλαυον M.

28 τῷ γένει W.

29 προσέθηκεν W.

ταν ἡ παρθένος. οἶσθα[30] γάρ, ὦ ἑταῖρε, τὸν ἐμὸν τρόπον. ὡς οὔτε ῥέγχων ἄνθρωπος ἐμοὶ φορητὸς, οὔτε λύζων, οὔτε χρεμπτόμενος, οὔτε βηχὶ κατεχόμενος· ἀλλ' ἑλοίμην ἂν πρότερον πληγὰς λαβεῖν, ἢ ταῦτ' ἀναχέσθαι· λάλον δὲ οὐδ' ὄναρ ἐνέγκαιμι·[31] εἰ δὲ δεήσει με συζῆν τοιαύτῃ· πῶς οἴει πῶς βιώσομαι; θάῤῥει γε, φησίν·[32] οὐδὲν αὐτῇ[33] ὡς τοῦτο μεμελέτηται· πρότερον γάρ[34] ἐγκαλέσαις τοῖς λίθοις λαλεῖν, ἢ τῇ κόρῃ· ὥστε δέδοικα, ἔφη, μὴ τὸ πλεῖον ἢ δεῖ σιγᾶν, ἔγκλημα αὐτῇ γένηται. ἐπείσθην, ὦ βουλή. τί δ' οὐκ ἔμελλον, οὕτω προῖκα[35] θαυμαστὴν ἀκούσας[36] τὴν σιωπήν; ἀπ' ἐκείνης δ' ἄρα μοι τῆς ἡμέρας, εὐτρεπίζετο[37] τὸ κώνειον. ἦν μὲν γὰρ οὐδ' ἐκεῖνα μέτρια, κρότος πολὺς, γέλως σφοδρὸς, ὄρχησις ἀσχήμων, ὑμέναιος νοῦν οὐκ ἔχων· ἅπαντα πανταχόθεν, ἡνίκα ἠγόμην[38] ταύτην τὴν ἔριννυν, συνέῤῥει[39] κατὰ τοὺς χειμάῤῥους, ὅσοι συμπίπτοντες εἰς ἀλλήλους, ἐξαίσιον παρέχονται δοῦπον. ὥστε μικροῦ μὲν ῥίψας τὸν στέφανον, ἐκ μέσων τῶν γάμων ἀπέδρων. λογιζόμενος δὲ τῷ πράγματι τὴν δυσχέρειαν. οὐ τῷ τρόπῳ τῆς γυναικὸς, διεκαρτέρησα μέχρι τοῦ θαλάμου τοῖς θορύβοις βαλλόμενος. τὸ δὲ ἦν ἄρα πρὸς τὸν μέλλοντα πόλεμον εἰρήνη συχνή. πρὶν μὲν γὰρ μέσην φανῆναι νύκτα φθέγγεταί τι, μεμφομένη τὴν κλίνην. καί με τὸ σχῆμα οὐ μικρῶς ἐτάραξεν· οὐδὲ[40] γὰρ κατὰ νύμφην ἐδόκει. ἔπειτα ἤρετό[41] με, εἰ καθεύδοιμι. τούτῳ[42] μειζόνως ἤλγησα· τρίτον ἤρετό τι, καὶ τέταρτον ἕτερον. ἐγὼ δὲ ἀπεκρινάμην οὐδὲν, ἀλλ' ᾐσχυνόμην[43] πρὸς ἀναισχυντοῦσαν· καὶ τὸ πρᾶγμα ἀντέστραπτο· ὁ μὲν γὰρ ἀνὴρ ἐσίγα·[44] ἡ δὲ γυνὴ ἐλάλει. τηρή-

σας

30 οἶσθα] sic W. οἶσθας M.

31 ἐνέγκοιμι W. ἐνεγκέ μοι m. M.

32 ἔφη W.

33 γὰρ αὐτῇ W.

34 γάρ] ἂν W.

35 οὕτω προῖκα] sic W. οὕτω deest M.

36 ἀκούων W.

37 ηὐτρεπίζετο W.

38 ἠγόμην] sic W. ἠγόμην M.

39 ἔῤῥει W.

40 οὐδὲ] sic W. οὐ M.

41 ἤρετο] sic W. εἴρετο. M.

42 τούτῳ] sic W. τοῦτο M.

43 ᾐσχυνόμην] sic Wolf. ἠχθόμην M.

44 ἐσίγα] sic W. ἐσίγησα M.

σας δὲ τὸ περίορθρον,[45] ἀναςὰς ἄπειμι,[46] παρὰ τὴν προμνήςριαν.[47] καὶ τί τοῦτό ἐςιν ἠρώτων. νύμφη ῥήματα ἀφίησιν ἐπὶ τῆς πρώτης νυκτός.[48] ναί φησι, φίλτρου σημεῖον τοῦτό ἐςι, καὶ ἅμα τῆς φωνῆς ἐπίδειξις· σὺ δ' ἀγριώτερος εἶ· ἐχρῆν[49] δ' οὐχ οὕτως ἔχειν. πείθομαι πάλιν. καὶ μεθ' ἡμέραν μᾶλλον ἐμάνθανον τὴν ἐμὴν[50] συμφοράν· καὶ τῆς ὑςεραίας ἔτι μειζόνως· κελεύσασα γὰρ ἥκειν αὐτῇ τὰς θεραπαινίδας,[51] μανθάνειν ἑκάςης ἠξίου τοὔνομα καὶ πατέρων καὶ μητέρων, ἐμοῦ παρόντος, καὶ πόσα ἑκάςῃ παιδία γένοιτο, καὶ πόσα τεθνήκει. καὶ περὶ ςρωμάτων ἐπυνθάνετο,[52] καὶ χύτρας καὶ ἀξίνης καὶ τορύνης. καὶ ἀλεκτρυόνων ὁπόσους τρέφοιμεν.[53] οὐδένα ἔφην· οὐκ ἔςιν ἡμῖν ἀλεκτρυών· οὐδὲ γὰρ ἀνέχομαι[54] κοκκύζοντος· εἰ δὲ μὴ σιγᾷς,[55] οὐδὲ σου. ἡ δ' εὐθὺς ἐπέθηκεν[56] ἔπαινον μακρὸν τοῦ ὄρνιθος, καὶ ὅθεν εἰς ὄρνιν μεταβάλλοι,[57] καὶ ὡς ἦν ςρατιώτης, Ἄρεως ὀπαδὸς, καὶ ὡς μηνύει τοῦτο τῷ λόφῳ, τοῖς κέντροις, τῷ θυμῷ. ἔτι λέγουσαν τὸν ἔπαινον ἀφεὶς, ἐντυγχάνω τῷ ῥάψαντι τὸν καλὸν γάμον. καὶ ὦ βέλτιςε, ἔφην, τὸν σαυτοῦ φίλον ἀπολώλεκας, καὶ διηγούμην ἕκαςα. ὁ δ' ἐπηγγείλατο παύσειν αὐτὴν ὡς τάχιςα, καὶ οὐκ ἀεὶ[58] τοῦτο ἔσεσθαι. πάλιν ἔρχομαι οἴκαδε· καὶ ἀπῃτούμην εὐθύνας, πῇ[59] πεπόρευσαι, πόθεν ἀφῖξαι, τῷ διείλεξαι. τί καινὸν ἤγγελται;[60] γεγόνασιν ἐπιδόσεις; ἐγράφη τὶ ψήφισμα;

45 τηρήσας δὲ τὸ περίορθρον] sic Wolf. τηρ. ἂν τὰ περὶ ὄρθρον Mor.

46 εἶμι W.

47 νυμφεύτριαν W. et m. Mor.

48 post νυκτὸς add. W. καὶ τοσαῦτα.

49 χρὴ W.

50 ἐμαυτοῦ W.

51 θεραπαίνας W.

52 ἐπυνθάνετο] sic W. συνθάνετο M.

53 τρέφοιμεν] sic W. τράφοιμεν M.

54 οὐδὲ γὰρ ἀνέχομαι] sic W. οὐκ ἀνέχομεν M.

55 σιγήσεις W.

56 προσέθηκεν W.

57 μεταβάλοι W.

58 οὐκέτι W.

59 ποι W.

60 ἤγγελται] sic W. ἀπήγγ. M.

ψισμα; νόμον τίς ἔθηκεν; ἐπληρώθη δικαστήρια; γέγραπταί τις; ἥλωκέ τις; ἐμοὶ δὲ καὶ τὸ σιγῆσαι κακὸν, καὶ τὸ φθέγξασθαι[61] μεῖζον. τὸ μὲν γὰρ διαβάλλει, καὶ σκώμματα ἐξεύρηκεν εἰς σιγὴν ἀμύθητα ὅσα, καὶ λόγον ἐξεύρηκε μακρὸν· καὶ διέξεισι περὶ τοῦ δεῖν ἄνδρα ὄντα[62] λέγειν. εἰ δέ ποτε φθεγξαίμην, αἴρω τὴν φλόγα. εἶπόν ποτε ἐπανήκειν τὸν στρατηγόν· ἡ δ' ἁρπάσασα τὸν στρατηγὸν, ἐκ μεσημβρίας εἰς ἑσπέραν, οὐδὲν ἐπαύσατο πυνθανομένη. πόσους δὲ ἄγων ἐξῆλθε,[63] πόσους δ' ἀπέβαλε, πόσων δ' ἐκράτησε. τίνα δ' ἐκράτησε τρόπον· ταξίαρχοι δὲ τίνες· φύλαρχοι τίνες· τὰ λάφυρα δὲ πόσα· πῶς ἔχει τὸ ναυτικόν· τίνες[64] τριήραρχοι· τίνες κυβερνῆται, ναῦται[65] πόσοι. μεμψαμένου δέ μου καὶ φήσαντος ἔξω ταῦτα γυναικείας εἶναι φροντίδος. πάλιν[66] ἔφη, σὺ δέ μοι λέγε πῶς ἔχει τὰ τῶν ἀγρῶν· καὶ διεξέρχεται μέχρι τῶν θάμνων ἀνερωτῶσα,[67] καὶ σκιλλῶν[68] καὶ σκολύμων. καὶ πλείων αὐτῇ λόγος περὶ τῶν ἀλλοτρίων ἢ τῶν ἡμετέρων. ἔστι δ' οὐκ ἀσφαλὲς, οὔτε τὸ χεῖρον, οὔτε τὸ βέλτιον ἀγγεῖλαι. φύεται γὰρ ἐξ ἑκατέρου[69] λόγων σωρός· ἐντεῦθεν ἐπ' ἄλλο μεταπηδᾷ. πῶς ἄρα πεπράκασι τὸ τήμερον αἱ οἰνοπώλιδες· λέγεταί τις βλάβη τοῖς ἐλαιοκαπήλοις συμβῆναι. βελτίων ἡ προβατευτικὴ τέχνη· δέος μὴ τὰ φρύγανα τοὺς ἀρτοκόπους ἐπιλίπῃ·[70] τοὺς ἀργυρογνώμονας συκοφαντεῖσθαι λέγουσι. τοιαῦτα ἄττα θαλαττοκοπεῖ[71] καὶ φλυαρεῖ· καὶ ἐργάζεται μὲν ὡς ἥκιστα· λαλεῖ δ' ὡς μάλιστα. εἰ δὲ προσάψαιτό[72] τινος ἔργου, μείζων ἡ ζημία τῆς ἀργίας

61 φθέγξασθαι] sic recte W. (διαβάλλει redit ad vxorem garrulam.) φθέγξεσθαι Mor.

62 ὄντα] sic W. et m. M. ὄντινα t. M.

63 πόσους δὲ ἄγων ἐξῆλθε, πόσους δ' ἀπέβαλε, πόσων δ' ἐκράτησε] sic W.; πόσους μὲν ἀγῶνας ἐξῆλθε, π. δ' ἀπεβάλετο; πόσους δ' ἐκ. Mor.

64 τίνες δὲ W.

65 ναῦται δὲ W.

66 ἡ δὲ πάλιν W.

67 ἐρωτῶσα W.

68 σκυλλῶν W.

69 ἑκατέρου] sic W. ἑκατέρων M.

70 ἀρτοποιοὺς ἐπιλίποι W.

71 θαλαττοκοπεῖ] sic W. et m. Mor. θαλοκοπεῖ Mor.

72 καὶ προσάψαιτο W.

γίας αὐτῆς, ὁ περὶ τοῦ ἔργου λόγος. ἐκ βαλανείου δ' εἴποτε ἀναςρέψειε,[73] φεῦ τῆς ἐπομβρίας τῶν ῥημάτων! πόσα μὲν λέγει περὶ τῆς δεξαμενῆς· πόσα δὲ περὶ τῶν γυναικῶν! τίς ἦλθε, τίς ἄνευ παιδίων, τίς ἅμ' αὐτοῖς παιδίοις·[74] τίνι σπίλος ἦν ἐν τῷ σώματι· τίς ἐρρυμμένη[75] καλῶς ἀπῄει[76] τίνι ῥυτίδες ἐπὶ τῆς μορφῆς· τίνι τὸ πρόσωπον ἐψιμμυθίωτο·[77] τίς εὗρε νίτρον· τίς ἀπώλεσε σάνδαλον· τίς ἀνέτρεψε τῆς βαλανευτρίας τὴν ἐμβολήν· τὴν δοῦσαν ὀβολὸν τῷ βαλανεῖ, τὴν πλέον· τὴν ἔλαττον· τὴν οὐδέν· καὶ τὴν ἀπὸ τοῦ μὴ δοῦναι προςίθησι[78] μάχην. εἶθ' ὥσπερ ἐκλαθομένη τῶν μεγίςων, ἑαυτὴν εἰς ἀνάμνησιν κονδυλίζει. ἐγὼ δὲ φρίττω, ῥεῦμα ἕτερον ἐπερχόμενον ὁρῶν· καὶ κεντοῦμαι τοῖς φληνάφοις, καὶ κατὰ τοὺς μαςιγουμένους.[79] ἀναμένω τῆς[80] λαλιᾶς ἀνάπαυλαν, οἰμώζων καὶ καταρώμενος τῷ γάμῳ, καὶ τῷ πρώτως μνησθέντι πρός με γυναικός. ἡ δ' ἂν αἴσθηται ςένοντος· ἐπ' αὐτὸν ἐμὲ[81] κεκίνηκα[82] τὸν ἀνάγυρον· καὶ τί σοι, φησὶ, τῶν ἔνδον ἔχει κακῶς; καὶ κατάλογος ἐνταῦθα τῶν ἐπίπλων, μέχρι τῆς ληκύθου καὶ τῆς ἐτνηρύσεως· πάντα, ἔφην, ἔχει καλῶς, μόνον σιώπα. τὸ δὲ σιώπα τοῦτο σμήνη[83] λόγων ἑτέρων[84] φέρει. διὰ τί σοι σιωπῶ;[85] μὴ γὰρ ἐξ ἀτίμων γέγονα; καὶ λέγει τίτθας, καὶ τιτθίδας, πάππους, καὶ ἐπιπάππους·[86] εἶτα εἰς εἰκοςὸν καὶ τριακοςὸν ἀναβαίνει πρόγονον· τριηραρχίας προσ-

73 ἐπιςρέψαι W.

74 παιδισκαρίων τίς αὐτοῖς παιδισκαρίοις W.

75 ἐῤῥυμμ. W.

76 ἀπῄει] ſic W. ἀπείη M.

77 ἐψιμμυθίωτο] ſic W. ἐπεψιμμίθωτο W.

78 προςίθησι] ſic W. προτιθεῖσαν M.

79 καὶ κατὰ τοὺς μαςιγουμένους] ſic Wolf. καὶ καταμαςιγούμενος Mor.

80 τὴν τῆς W.

81 ἐπ' αὐτὸν ἐμὲ deſunt W.

82 κινῶ W.

83 σμήνη] ſic W. εἰς μνήμην M.

84 ἕτερα W.

85 τί σοὶ σιωπῶ] ſic W. cur tu vis me tacere? σοι deeſt M.

86 λέγει τίτθας, καὶ τιτθίδας, πάππους, καὶ ἐπιπ.] ſic Wolf. λέγει τοι τὰς τιτθίδας, πάπ. ἐπιπ. Mor.

προστιθεῖσα[87] καὶ χορηγίας. ἡ δὲ μνήμη τῶν χορηγιῶν, ἐπὶ τοὺς τραγῳδοὺς αὐτὴν παρέπεμψεν.[88] κἀνταῦθα ὕει ῥαγδαίως τοὺς πρώτους εὑρόντας τραγῳδίαν λέγουσα καὶ τοὺς ἐνδειξαμένους, καὶ ὅτῳ τρόπῳ τὸ σχῆμα ηὐξήθη, καὶ τί συνεισήνεγκεν ἕκαστος. ἐγὼ δὲ δεινότερα πάσχω τῶν ἐν ταῖς τραγῳδίαις κολαζομένων. μὴ γὰρ οἶδεν ἡ γυνὴ στῆναί ποι τοῦ λαλεῖν; οἱ ποταμοὶ πρότερον ἂν σταῖεν ἢ τὸ ταύτης στόμα. πᾶσα γὰρ πρόφασις, λόγων ἀφορμή. ἂν οἴκοι μένω· ἂν εἰς ἀγορὰν ἀπέλθω. βραδυτὴς οἰκετῶν, τάχος· σπάνις, εὐπορία· πάντα[89] μεμπτὰ, ἄμεμπτα, ὄμβρος, αἰθρία. ἐπειδὰν δὲ πάντα ἀναλώσῃ, τῇ ῥύμῃ[90] τῆς γλώττης, τὰ ἡμέτερα, πάλιν τὰ τῶν γειτόνων· κἂν μηδὲν ἔτι φαίνηται, ὀνείρατα διηγεῖται, πλάττουσα κἀκεῖνα, νὴ[91] τοὺς θεοὺς, ὡς ἔμοι γε δοκεῖ· οὐ γὰρ καθεύδει γε· ἀλλὰ καὶ ἡ νὺξ, εἰς νυκτηγορίαν αὐτῇ[92] πολλάκις ἀναλίσκεται.[93] κἂν βιασθεῖσά ποτε παραδέξηταί τι τοῖς ὀφθαλμοῖς ὕπνου,[94] πάντα αὐτῇ πλὴν τῆς γλώττης κοιμίζεται. ἡ δὲ, τὸ αὐτῆς ἐργάζεται·[95] καὶ γίνεταί μοι χαλεπωτέρα καὶ τῶν ἐμπίδων. ὁρᾶτέ με, ὦ βουλὴ, ἐκτετηκότα·[96] μεθ' ἡμέραν κόπτομαι· νυκτὸς διαφθείρομαι. μισῶ σιτία, μισῶ ποτά· τὸ πᾶσιν ἥδιστον φεύγω,[97] τὸ ζῆν· ἔναυλον ἔχω τὴν λαλιάν· ἐν τῇ ψυχῇ περιφέρω τὴν ἀηδίαν. ἀμύνατέ μοι πρὸς Διός. μεταδότε μοι τοῦ φαρμάκου. ῥύσασθέ με φωνῆς ἀπαύστου. καὶ τί, φησιν, ἀτυχεῖς τοσοῦτον, δι' ὃ καὶ τελευτᾶν ἀξιοῖς; ποίαν οὐσίαν ἀπολώλεκας; τί λελώβηταί σοι τοῦ σώματος; ποίᾳ συμφορᾶς ὑπερβολῇ ληφθεὶς,[98] οὐκ ἀνέχῃ[99] ζῆν; σὺ δὲ δὴ τίς ὢν ταῦτα πο-

λυ-

87 τριηρ. προσιθεῖσα] sic W. προσιθεῖσα deest M.

88 παραπέμπει W.

89 πάντα deest W. non male.

90 δριμύτης m. M.

91 νὴ] sic W. μὰ M.

92 αὐτῆς W.

93 παραναλίσκεται] sic W. ἀναλίσκεται M.

94 ὕπνον W.

95 ἀπεργάζεται W.

96 συντετηκότα W.

97 φεύγω] sic W. διαφεύγω M.

98 ληφθεὶς] sic W. καταληφθεὶς M.

99 ἀνέχῃ] sic W. ἀνέχεις M.

λυπραγμονεῖς. τί δέ σοι μέλει τῆς ἐμῆς τελευτῆς; πατὴρ ἐμός εἶ; ἀλλ᾽ ἀδελφὸς ἢ θεῖος; ἀνεψιὸς δέ; ἀλλὰ κοινωνὸς ἐμπορίας ἢ γεωργίας; χεῖρον δὲ τοῖς σαυτȣ͂[100] πράξεις παρὰ τὴν ἐμὴν τελευτήν; ψηφίσματι δὲ κατέστης[1] κωλυτὴς εἶναι τῶν ἐπιθυμούντων ἀποθανεῖν; ὦ τῆς περιεργείας! οὐδὲ ἀποθανεῖν ἔξεστιν ἄνευ πολλῶν λόγων ἐν τῇ πόλει. ἄνθρωπε, μὴ γὰρ σίτησιν αἰτήσων ἥκω; μὴ γὰρ στέφανον; ταῦτα δὴ τὰ τῶν ῥητόρων ὑμῶν τῶν καρπουμένων τὸν δῆμον; βαρύνομαι τὸ ζῆν· ἀπελθεῖν ἐπιθυμῶ. τί μοι φθονεῖς. εἶτά με ἐρωτᾷς, διὰ τί βούλομαι τελευτᾷν; διὰ σέ. οὐ δικαίως ὑμῖν, ὦ βουλή, δοκῶ χολᾷν καὶ παραφρονεῖν; ὃς ἐπὶ πρᾳότερόν τι τῆς οἰκίας εἰς[2] τὸ βουλευτήριον ἐπειχθεὶς, εὑρίσκω τοὺς τῇδε χαλεπωτέρους τῶν οἴκοι; ἐκ ἀπολώλεκας[3] τὴν οὐσίαν, λέγεις; τȣ͂το γὰρ οἴει μέγιστον κακόν· πόσοι δημεύσεις γενναίως ἐνηνόχασιν, ἀντελπίσαντες πλοῦτον ἕτερον;[4] καὶ τὴν παροῦσαν ἔνδειαν ἐπανορθούμενοι τῇ παρὰ τῶν ἐπιτηδείων ἐπικουρίᾳ. σῶον μέν ἐστί μοι τὸ σῶμα· τὴν δὲ[5] ψυχὴν, ὦ φίλτατοι, βέβλαμμαι, καὶ περὶ τὸ βέλτιον ἐζημίωμαι· μεστός εἰμι ῥημάτων ἀνοήτων; μήκεσιν ἀπείροις[6] λόγων βέβλημαι, ἀδολεσχίαις βεβάπτισμαι· πολλὴν δέδεγμαι γλωσσαλγίαν. καθάπερ πλοῖον θάλασσα, ὑπεράνεσχέ[7] με τῆς γυναικὸς ὁ κλύδων. ἐκ εἰμὶ φρενήρης, ἰλιγγιῶ, σκοτοδινιῶ. ταῦτ᾽ οὐχ ἱκαναὶ προφάσεις πρὸς[8] θάνατον; εἰ παῖς ἦν μοι τεθνεὼς, ἦν ἂν ἐκ τῶν τὰ αὐτὰ πεπονθότων ἡ παραμυθία, καὶ ταῖς ἐπιγιγνομέναις τέρψεσιν ὑπεχώρουν ἂν αἱ λῦπαι. τὸ κακὸν δὲ τȣ͂το, πρῶτον μὲν μόνῳ μοι συμβέβηκε, καὶ ἐκ ἔνι πρὸς παράδειγμα βλέψαντι, λαβεῖν παραμύθιόν τι τῆς ψυχῆς. ἔπειτα ἀεὶ σύνεστι, πάσαις ἡδοναῖς ἐναντιούμενον· πάσαις εὐη-

[100] τοῖς σαυτȣ͂] id est ἐν τοῖς σ. malim tamen τὰ σαυτȣ͂

[1] κατέστης] sic W. καθέστης M.

[2] ὡς W. et m. Mor.

[3] ἀπολώλεκα W.

[4] γ᾽ ἕτερον W.

[5] δέ γε W.

[6] ἀπείροις] sic W. ἀπείρων M.

[7] ὑπερέσχε W. et m. M.

[8] πρὸς sic W. εἰς M.

εὐημερίαις μαχόμενον, καὶ τὰ ἀπὸ τῆς τύχης τερπνὰ συνταράττον καὶ μεταςρέφον. εἰ οὖν δεῖ με λυπούμενον ζῆν, μὴ ζῆν μοι βέλτιον· εἰ δεῖ περιόντα[9] ςένειν, μεταςῆναι συμφερώτερον. ἄλλα ἄλλοις, ὦ βουλὴ, δεινὰ νομίζεται· τῷ μὲν χρημάτων ἀποβολὴ, τῷ δὲ παίδων· τῷ δὲ φυγὴ πατρίδος· τῷ δὲ σώματος νόσος· ἐμοὶ δὲ μακρολογία. τί οὖν θαυμαςὸν, εἰ τῦτο, ᾧ μάλιςα ἀλγύνομαι, μὴ φέρων, ἀποθανεῖν ἐθέλω; ὐκ ἔςιν ἡ γυνή μοι[10] μέθυσος. τῦτο γάρ ἐςι τὸ δεινόν; εἰ γὰρ ἐμέθυεν,[11] ἐκάθευδεν· εἰ δὲ ἐκάθευδεν, ἴσως ἐσίγα. πάντα μοι ταῦτα τῦ παρόντος ἐλάττω. πάντα μοι τῆς λαλιᾶς κουφότερα· ἤνεγκα ἂν γυναῖκα ὑπεραβελτέραν, αὐτὸ χρῆμα κακόν. ἤνεγκα σπαθῶσαν, ὀλεσίοικον. τουτὶ δὲ τὸ[12] διηνεκὲς τῶν λόγων, νενίκηκέ με, κατεπάλαισέ[13] με, καὶ πρὸς τὸ ζῆν ἐπολέμησεν.[14] εἰπὲ γάρ μοι· πότερον ἧττον εἰς συμφορὰν εἰσάπαξ[15] ἀποθανεῖν, ἢ πολλάκις ἐγγὺς ἰέναι τῦ θανάτυ; τὸ πρότερον φήσαις ἄν. ἔγωγε τοίνυν τὸ χαλεπώτερον ὐκ ὀλιγάκις πέπονθα· πολλάκις[16] ὠρακίασα,[17] μὰ τὸν Ἀπόλλωνα, βαλλόμενος, ὥσπερ χαλάζῃ, τοῖς ὕθλοις· πολλάκις ἐλιποψύχησα,[18] μεςὸς γενόμενος[19] τῶν λήρων ἐκείνων· οἴεσθε τὸ κακὸν[20] ἀνεκτὸν εἶναι; καὶ τοιοῦτον οἷον ἤδη τῳ συνέβῃ; ὐκ ἔςιν.[21] Ἀράβιος αὐλητὴς ἡ γυνή; μᾶλλον δὲ καὶ παρελήλυθε. τρυγόνος λαλιςέρα, κίττης, ἀηδόνος, κερκώπης.[22] τὸ δωδωναῖον ὑπερβαίνει χαλκεῖον· ἐκεῖνο μὲν γὰρ προσβαλούσης[23] αὐτῷ τῆς μάςιγος ὑπὸ τῶν ἀνέμων ἠχεῖ, νηνεμίας δὲ οὔσης σιγᾷ. ταύτης δὲ τὴν γλῶτταν, οὐδὲν καθεῖρξαι

9 malim περιϊόντα.
10 με W.
11 ἐμέθυεν] sic W. ἐμέθ[illegible] M.
12 δέ μοι τὸ W.
13 καὶ κατεπ. W. et m. M.
14 ἐπολέμωσεν] sic W. inimicum me vitae reddidit ἐπολέμησεν M.
15 ἅπαξ W.
16 πλειςάκις W. et m. M.
17 ὠράκισα m. M.
18 ἐλειποψύχησα W.
19 γιγνόμενος W.
20 δεινὸν m. M.
21 ὐκ ἔςιν· ὐκ ἔςιν. W. et m. Mor.
22 κέρκοπος W. et m. M.
23 προσβαλέσης] sic Wolf. προβαλ. M.

ξαι δύναται, οὐ χειμὼν, οὐ θέρος, οὐκ ἄνεμος, οὐ νηνεμία. τί δεῖ με ζῆν, ἄνθρωπον ὑπὲρ ἀλλοκότων εὐχῶν[24] προσιόντα τοῖς θεοῖς. τῶν μὲν γὰρ ἄλλων ἕκαστος εἰς ἱερὰ φοιτῶν, ἀντὶ τῶν θυσιῶν ὑγιαίνειν αἰτεῖ. ἐγὼ δὲ[25] ἆρα τί πείσαιμι λέγων; προσπεσὼν εἰς τὰ ἀγάλματα, κωφότητος ἐδεόμην τυχεῖν, ὡς τούτῳ μόνῳ τῆς παρούσης ἀηδίας ἀπαλλαξόμενος. εἰ δὲ μὴ τοῦτο δοκοίη,[26] κυψελλίδα παχεῖαν ἤτουν ἐν τοῖς ὠσὶ ἐντραφῆναι· τοῦ μὴ πάντ' ἀκριβῶς εἰσδύεσθαι τὰ ῥήματα. τῶν θεῶν δ' οὐ δόντων τὴν χάριν, ἀλλά μοι σεσωσμένης, ὡς οὐκ ὤφελε, τῆς ἀκοῆς, λοιπόν ἐστιν εἰς ἀπαλλαγὴν, ἀποθανεῖν. ἢ πῶς βιώσομαι· ποῦ ποιούμενος τὰς διατριβάς; ἐπ' ἀγορᾶς; ἀλλ' οἱ τῶν ὠνίων πρατῆρες ἐπαινοῦντες ἃ πωλοῦσι, καὶ βοῶντες ὑπὲρ τοὺς κήρυκας, ὥσπερ οὐκ ἀρκούσης τῆς χρείας ἄγειν πρὸς αὐτοὺς τὸν ὠνησόμενον, ἐξελαύνουσιν ἐκεῖθεν μᾶλλον, ἢ εἰ τοῖς λίθοις ἔβαλλον. ἀλλ' ἐν ἀγροῖς; ἔνι κἀκεῖ τὰ λυποῦντα· βοὴ βατράχων, οὐκ οἶδ' ἀνθ' ὅτου, ὄνοι βρωμώμενοι,[27] βόες μυκώμενοι, αἶγες μηκάζουσαι, πρόβατα βληχώμενα. ἀλλ' ἐν τοῖς δικαστηρίοις χείρους τῶν γυρίνων οἱ ῥήτορες. μίαν εἶχον καταφυγὴν, ἕνα λιμένα τὴν οἰκίαν. ἀλλὰ καὶ ταύτην ἐνέπλησέ μοι χειμῶνος ἡ γλῶττα τῆς γυναικός· καὶ τόπον ἔχοντα γαλήνην εὑρεῖν οὐκ ἔχω. τοῖς πολεμοῦσι[28] μεμηχάνηταί τις

[24] εὐχῶν] sic Wolf. qui templa deorum adeam, quo vota ibi faciam abhorrentia, vt scil. surdus fiam aliis omnibus, qui ad fana accedunt, rogantibus deos, vt prosperam sibi valetudinem reddant. ἠχῶν Mor.

[25] sic distinguo. ἐγὼ δὲ — ego vero — interpellatur oratio interrogatione interiecta. ἆρα τί πείσαιμι λέγων; — poterone vos ad credendum adducere, cùm dicam? (tam est incredibile id, quod dicturus sum.) tum pergit in oratione occoepta προσπεσὼν πρὸς τὰ ἀγάλματα. ego vero aduolutus ad genua simulacrorum — nam sic malim legi, tametsi εἰς in Wolf. quoque legatur.

[26] δοκοίη] subaudi τοῖς θεοῖς. In κυψελλίδα consentit W. vulgatae, malim tamen vnum λ detrahi.

[27] βρομώμενοι W.

[28] πολεμοῦσι] sic W. πολεμίοισι M.

τις ἀναψυχή· τὸ μεταξὺ σπείσασθαι τῆς ἐγχειρίας· ἐμοὶ δὲ ἀνάπαυλα τῆς κακοπαθείας οὐδαμόθεν· καὶ γὰρ ὁσάκις ἐνόσησεν ἡ γυνὴ, τὰ μὲν ἄλλα οἷς οὐκ ἀποκναίει με,[29] νενόσηκεν, ὀφθαλμοὺς, χεῖρας, γαστέρα, πόδας· ἡ δὲ μιαρὰ φωνὴ παντάπασιν ἄνοσος· κρείττων ὅλως ἢ καμεῖν· οὐ βράγχος τῇ φάρυγγι προσέπεσεν· οὐχ ἑλκώσεις τὴν γλῶσσαν κατέλαβεν. οὐ ῥεύματος προσβολὴ τὴν σταφυλὴν ἐξώγκωσεν· οὐδὲν τῶν ἀφαιρουμένων τὸ λαλεῖν ἐγκατέσκηψεν. ὦ τοίνυν μήτε ἔξω ζῆν ἐστιν, μήτ' εἴσω· τίς λόγος,[30] τίς λοιπὴ δίαιτα, οὐχ ἡ τοῦ Πλάτωνος; σὺ γὰρ, φησι, σαυτῷ αἴτιος τῶν δυσχερῶν, οὐ παιδεύσας τὸ γύναιον πράττειν, ἀφ' ὧν σοι χαριεῖται, οὐδὲ πρὸς τὸ σὸν ἦθος τὸν ἐκείνης καταστησάμενος τρόπον. ἐχρῆν δὲ διδάσκειν, παραινεῖν, νουθετεῖν. καὶ τίς οὕτως ἀνόητος, ὡς μὴ τὸ πρόχειρον τοῦτο καὶ ἰδεῖν καὶ ποιῆσαι; μίαν γὰρ ἡμέραν οὐ διέλιπον, ὥραν, ἡμιώριον. νόσημα τοῦτό ἐστιν· ἔλεγον, ὦ γύναι, γέλωτα παρέχεις τοῖς γείτοσιν· ἐν ὀνείδει μοι[31] προφέρουσι τὴν σὴν φλυαρίαν. ἐλευθέρα, φὴς εἶναι· μὴ πράττε τοίνυν τοῦ γένους ἀνάξια. μίμησαι τὸν ἐμὸν τρόπον· ἡσύχιον διώκω βίον. οὗτος[32] ἀρεσκέτω καὶ σοί. ταῦτα λέγων, πέτρας ἔσπειρον, οὐ γὰρ κατέλυε τὸν νόμον. ἀλλ' ἀμειβομένη τὸν λόγον, κατέσυρέ με τῷ ῥεύματι. γνοὺς δὲ ὅτι δεῖ συμμάχων, παρακαλέσας τοὺς γνωρίμους εἰσήγαγον ἐπαίνους σιγῆς μεμελετηκότας. ἡ δὲ κατὰ τοὺς ἐν τοῖς ὅπλοις ἀριστεύοντας μία πολλοὺς ἐτρέπετο· τῶν μὲν πολλῶν πλείω λέγουσα· τοῖς δὲ οὐδ' εἰπεῖν διδοῦσα. μόνη πάντας παριοῦσα, ἕως τὴν μὲν ἀποθαυμάσαντες, ἐμὲ δὲ οἰκτείραντες, αὐτοὶ δὲ ἀπειπόντες ἔφυγον. ἐνταῦθα γνοὺς, ὅτι τῶν μὲν ζώντων καταφρονεῖ, ταῖς δὲ τῶν παλαιῶν συμβουλίαις τάχ' ἂν εἴξει.[33] σὺ δὲ, εἶπον, εἰ μὴ ἐμὲ, ἀλ-

λὰ

[29] με] sic W. μὲν M.

[30] λόγος etiam in W. est, sed aut λόχος latebrae leg. aut certe τόπος.

[31] μοι] με W.

[32] οὕτως W.

[33] aut cum W. εἴξῃ malim aut εἴξειε in optat.

λαὶ κἂν τὸν σοφώτατον ποιητὴν αἰσχύνθητι λέγοντα,

Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.

ἡ δὲ εὐθὺς, καὶ τίς οὗτος ὁ ποιητὴς, καὶ τίνος πατρὸς, καὶ ποίου δήμου· καὶ πότε ποιεῖν ἤρξατο, καὶ πῶς ἐτελεύτησε· καὶ τὴν ἡμέραν ἐνταῦθα κατέτριψεν ἡ γυνή. καὶ περιέστατό μοι τοὐναντίον[34] ὁ ποιητής· ἀντὶ γὰρ τοῦ στῆσαι τὴν λαλιὰν, ἀνῆπτεν. ἀποπτύσας δ' οὖν ἐγὼ, καὶ τὴν πλησμονὴν ἀποστραφεὶς, ᾠχόμην τρέχων· εἶθ' ὕστερον ἡμέραιν δυοῖν, αὖθις εἰς παραίνεσιν καθιστάμην, καὶ ἔλεγον, ὅτι οὕτως ὑμῖν,[35] ὦ γύναι, πρέπει σιγᾶν· ὥστε καὶ τῶν τεττίγων, ὁ μὲν ἄῤῥην ᾄδει. βαρὺς[36] μὲν καὶ οὗτος ὅτι πέρα τοῦ μετρίου· θηλείας δὲ φθεγγομένης, οὐκ ἂν ἀκούσαις. ἡ δ' ἐπεισελθοῦσα[37] τὴν τελευταίαν συλλαβὴν, οὗτοι, φησὶν, εἰσὶν οἱ βέλτιστοι τέττιγες, οἱ ἐξ ἀνθρώπων τέττιγες, οἱ φίλοι ταῖς Μούσαις, οἷς τὸ λαλεῖν τοῦ ἐσθίειν ἥδιον. καὶ κυκλοῦσα τὸν περὶ τῶν τεττίγων μῦθον, εἰς ἑσπέραν αὐτὴν προὔβαινεν. ὥστε με ἀποπνιγόμενον, τὰς μὲν συμβουλὰς ἐᾶσαι χαίρειν, ἔργῳ δὲ πειρᾶσθαι παιδεύειν τὴν ἄμαχον, καὶ τοὺς κολοιοὺς καὶ ψᾶρας μικρὸν ἀποφαίνουσαν.[38] ἤδη τοίνυν ἐπῆγον αὐτῇ τὼ χεῖρε, καὶ πληγὰς ἠπείλουν. καὶ ὡς οὐκ ἐπαύετο, ἀλλ' ἐβόα, συστρέψας τὸ ἡμιτύμβιον, ἔβυσα τὸ στόμα. ὡς δὲ ἀνῆκά ποτε, δοκῶν αὐτὴν ἐπηνωρθῶσθαι, πῦρ ἐπὶ πῦρ ᾐσθόμην· τοῦτο δὴ τὸ σοφὸν ἐξευρηκώς. ὥσπερ γὰρ οἱ τοὺς κρουνοὺς ἐπισχόντες, εἶτ' ἀφελόντες τὸ κωλῦον, σφοδροτέραν εἰργάσαντο τὴν φοράν· οὕτως ἐγὼ μικρὸν ἀναστείλας τὴν φωνὴν, μεῖζον ἐπεσπασάμην τὸ ῥεῖθρον· ὡς μικροῦ τὴν οἰκίαν διέστησε βοῶσα, καὶ τῇ πυκνότητι τῶν ῥημάτων, τὰς νιφάδας συγκρύπτουσα.[39] ὡς οὖν πάντα δι'

ὢν

34 πρὸς τἀναντίον W.

35 malim cum W. ἡμῖν.

35 βαρὺς] sic W. est quidem ille ipse quoque molestus hactenus.

37 ἐπεισελθοῦσα in W. quoque est, sed non placet.

38 ἐπιφθάνουσαν m. M.

39 ἀποκρύπτουσα m. M.

ὢν πείσειν τε ᾤμην καὶ καταναγκάσειν πεποιηκώς, βέλτιον μὲν οὐκ ἀπέφηνα τὸ πρᾶγμα, χαλεπώτερον δὲ πολλῷ. τίς γένωμαι; ποῖ καταφύγω; τίνα λύσιν εὕρω τῆς συμφορᾶς; ἀλλ' ἐρεῖ τις τῶν πολιτῶν, ἔκβαλε τὸ γύναιον· οὐ γὰρ ἔτ' οὐδὲν ἀκούσῃ φθεγγομένης. σοφός γε τῆς ἀπαλλαγῆς ὁ τρόπος, καὶ φρενὸς ὀξυτέρας,[40] καὶ πολλοὺς λανθάνων. Ἄνθρωπε, σπουδάζων ἢ παίζων τοῦτο λέγεις; εἰ μὲν γὰρ ἐρεσχελῶν, οὐ παιδιᾶς ὁ καιρός, ἐν θανάτου λόγοις. εἰ δ' ἀπὸ σπουδῆς, ἴσθι τοῦ προσήκοντος ἁμαρτάνων. σκοπῶμεν δὲ ὡδί· νῦν ἐγὼ γνώμῃ τῆς βουλῆς ἀποθανεῖν ἀξιῶ· ἡ γυνὴ δὲ οἴκοι λαλεῖ πρὸς αὐτήν, ἢ τοὺς τοίχους, ἢ τὸν ἀέρα, ἢ πρὸς ὁντιναοῦν·[41] τοῦτο δὲ οὐδὲν ἐμοὶ τῷ γε ἀπόντι δεινόν· οὐδὲ γὰρ παρέστηκεν, οὐδὲ ὁρᾶται, οὐδὲ κέκραγεν, οὐδὲ φθέγγεται. οὐ γὰρ νόμος τοῖς περὶ τοῦ θανάτου λόγοις ἐκείνην παρεῖναι. εἰ δὲ δικαστήριον ταῦτ' ἦν, καὶ τῆς γυναικὸς ἐκβολή,[42] καὶ διδάσκειν ἔδει τοὺς καθημένους, ὡς ἀδικοῦμαι, κοινὸν ἂν ἦν ἐμοῦ κἀκείνης τὸ δικαστήριον. ἔχουσα δὲ πάροδον εἰς τὸ γρύζειν, παρώσασα ἄν, εὖ ἴσθι, τοὺς συνηγόρους, καὶ τὴν ἐκείνων τάξιν ἁρπάσασα, καὶ τοὐμὸν ὕδωρ αὐτῆς ποιησαμένη, τοσαῦτα ἂν διῆλθεν ἀπνευστί, συνείρουσα καὶ καταχέουσα πολὺν καὶ ἀθρόον τὸν λῆρον, ὥστε με ἀπόλλυσθαι, καὶ μόλις ἂν ἔμπνουν ἐντεῦθεν ἀποκομίζεσθαι. ἓν μὲν οὖν τοῦτο τοσοῦτον καὶ τηλικοῦτον διαφεύγω κακόν, οὕτως, ἀλλ' οὐκ ἐκείνως, ὑπὲρ ἐμαυτοῦ βεβουλευμένος. ἕτερον δὲ ἀκούσατε. εἰ γὰρ δὴ ψήφῳ καὶ δικαστηρίῳ διαστῆναί μοι τῆς γυναικὸς ὑπῆρξεν, οὐκ ἂν εὐτύχημα μᾶλλον ἢ ἀτύχημα τὸ πραχθέν. πῶς γὰρ ἂν ἤνεγκα τοὺς οἰκείους τῆς γυναικός, ἐγκαλοῦντας, ἐπιτιμῶντας, ἄλλους ἐπ' ἄλλοις αἰτιωμένους. τὸν μὲν ἔνθεν βρῶντα, τὸν δὲ ἔνθεν[43] κεκραγότα, περιεσταμένους, κυκλουμένους, διαβάλ-

40 ὀξύτερος W.

41 ὄντινα δὴ m. M.

42 si iudicium nunc haberetur, in quo ageretur de vxoris pulsione.

43 post ἔνθεν deleui καὶ ἔνθεν quae desunt W.

βάλλοντάς μου τὴν ἡσυχίαν, ἀπρόσοδον[44] καλοῦντας, ἀγέλαστον ὀνομάζοντας, ἰδιογνώμονά μου τὸν βίον προσαγορεύοντας· ἃ δὲ ἐποίησεν ἂν ἡ γυνή, τίς οὕτω σιδηροῦς, τίς οὕτως ἀδαμάντινος, ὅστις ἂν ὑπέμεινεν; ἠκολούθησεν ἂν ἐκ τοῦ δικαστηρίου λαβομένη θοιματίου, ἕλκουσα, ἐπιστρέφουσα, λέγουσα, θεοὺς ἐφεξῆς ὀνομαστὶ μαρτυρομένη· τοὺς Ἥρωας, καὶ τούτους ὀνομαστί· τὰ ἄστρα, τοὺς ἀνέμους, τοὺς κίονας, τοὺς θεμελίους· ἐμβάλλουσα δὲ εἰς τὸν στενωπὸν, ἀνεβόησεν ἂν διωλύγιον, τοὺς γείτονας εἰς κραυγὴν ἀνεγείρουσα,[45] ἔπειτα προσκαθημένη ταῖς θύραις, ἐπολιόρκησεν ἄν με διὰ πάσης ἀκριβείας, προελθεῖν οὐκ ἐῶσα· μένοντος εἴσω καταβοῶσα. ἐαρινήνγε ἡμέραν διήγαγον ἂν, τὴν τῆς ἐκβολῆς, συνεχῶς ἀκούων· ἡ θύρα ψοφεῖ.[46] παίει δὲ τίς; οἰκεῖος τῆς γυναικός· πτερῶν[47] ὡς ἔοικεν ἐδέησεν ἄν μοι εἰσπραττομένῳ[48] καὶ λόγον ἀπαιτουμένῳ περὶ τῶν πεπραγμένων. ἵνα δὴ μὴ ταῦτα γένοιτο, ἀποθνήσκω. καλείτω δ' ἡ γυνή, καὶ τῶν ἄλλων ὅς τις ἐθέλει, δύσκολον. δότε δὴ, δότε τὴν χάριν, ὦ βουλή, πέμψατέ με ταχέως εἰς τελείαν ἡσυχίαν· ἀναμίξατέ με τοῖς ἀπελθοῦσι, τοῖς μακαρίοις, τοῖς ἀναισθήτοις. πᾶς γὰρ οὐκ εὐδαίμων, ὅταν ὁ μὲν ἐπὶ κλίνης φέρηται, κόπτωνται δὲ αἱ γυναῖκες, οἱ δὲ προσήκοντες ὀλοφύρωνται. ὁ δὲ τούτων ἀκούῃ[49] μηδέν. εἰ γὰρ τὸ καθεύδειν ἀκριβῶς τῶν ἐν τῷ ζῆν ἀγαθὸν[50] μέγιστον, πῶς οὐ πολλῷ τιμιώτερον, ὃ μείζω φέρει τὴν ἀναισθησίαν. εὐτρεπιζέτω τις ἤδη τὸ φάρμακον, ἑτοιμαζέτω τὴν καλὴν φιλοτησίαν· ἀλλ' ἐκεῖνό μοι προσυπαρξάτω· σιγηλὸς ὁ τὸ κώνειον ὀρέγων ἔστω· μηδέν τι ἐπ' αὐτῷ λαλῶν, μὴ διαλεγόμενος περὶ τῆς φύσεως τοῦ φαρμάκου. ἔστω καθαρὸν

44 ἀπρόσιτον m. M.

45 διεγείρουσα W.

46 τίς δὲ ὁ παίων; οἰκεῖος τῆς γυναικὸς πάλιν ψοφεῖ m. Mor.

47 περῶν W. et in marg. παρ' ὧν, δεκῶ κρᾶττον.

48 ταραττομένῳ περὶ τῶν πραγμάτων W. et in marg. γρ. πεπραγμένων.

49 ἀκόῃ] sic W. ἀκούει M.

50 ἀγαθῶν W.

θαρὸν θορύβου καὶ ὄχλου τὸ δῶρον. κἀκεῖνό μοι πρὸς θεῶν μετὰ τοῦ θανάτου ψηφίσασθε, μὴ παρεῖναι τὴν γυναῖκα πίνοντι· μηδὲ δι᾽ ἣν εἱλόμην ἀποθνήσκειν, ταύτῃ θρηνεῖν ἐξεῖναι τὴν ἐμὴν τελευτήν. οὐδὲ γὰρ θρηνήσει νόμῳ γυναικῶν, οὐδὲ πενθήσει δάκρυσιν· ἀλλὰ λαλήσει καὶ ῥητορεύσει, καὶ κόψει, καὶ καταστήσει μοι τὴν εἰς τὸν θάνατον εἴσοδον ἀλγεινήν. ἀπέστω δὴ τῆς πόσεως· ἀπέστω. ζητείτω λίθινον ἄνδρα δυνάμενον ἐνεγκεῖν τὴν ἀηδίαν. ἐγὼ δὲ ἐν τῇ γῇ κείσομαι, πάσης φωνῆς ἀνήκοος. ἡδὺ μὲν, ὦ βουλὴ τῆς ἀκτῖνος ἀπολαύειν τε καὶ τρυφᾷν. ἀποστερεῖ δὲ μὲ τούτων ἡ γυνή· τοῦτο μὲν, οἷς ποιεῖ· τοῦτο δὲ, οἷς δράσει. λογίζομαι γὰρ τίς ἔσται τὴν γλῶτταν, ἐπίτεξ γενομένη, τίς ὠδίνουσα, τίς τεκοῦσα. εἰ δὲ καὶ πολλά μοι τέκοι, καὶ ταῦτα αὐτῇ παραπλήσια, καὶ δεικνύντα ἧς ἐστι, πῶς βιώσομαι, μέσος εἰλημμένος τοιούτου χοροῦ; διοίσει γὰρ οὐδέν μοι τὸ οἰκίδιον τῶν λειμώνων, ἐν οἷς τὰ ἔθνη τῶν ὀρνίθων μετὰ κλαγγῆς περιίπταται. ἰδοὺ πόσην βέβλαμμαι βλάβην· πολλὰ λαλῶ· τῆς γυναικὸς ἀπολέλαυκα, μακρὸν ἀποτέτακα λόγον. ἀλλ᾽ οὗτος ἔσται τελευταῖος· οὐ γὰρ ἔτ᾽ οὔτ᾽ ἐγώ τινος ἀκούσομαι, οὔτ᾽ ἄλλος ἐμοῦ. ὦ βελτίστης ἡμέρας! ὦ φερούσης ἐλευθερίαν! ἄπειμι παρὰ τοὺς κάτω, παρὰ τοὺς οὐ λαλοῦντας· καταλήψομαι χῶρον ἡσυχίας γέμοντα. ἀλλὰ καὶ ἐξαίφνης ἐνενόησα λόγον τινὰ περιφερόμενον, ᾧ ταράττομαι. λέγουσι κἀκεῖ θορύβους εἶναι, καὶ πράγματα, καὶ δικαστὰς καὶ δίκας τῶν οἰχομένων, καὶ βοὴν νεκρῶν, καὶ διαλόγους. δέδοικα δὴ, δέδοικα, μὴ φυγὼν ἐντεῦθεν τὴν γυναῖκα, μικρὸν ὕστερον αὐτῇ περιτύχοιμι κάτω, καὶ δέοι πάλιν ἀκούειν λαλούσης. ἀλλ᾽ ἐκεῖνα μὲν εἰκάζεται, τὰ παρόντα δὲ γινώσκεται. πρὸ οὖν τῶν φανερῶν αἱροῦμαι τἄδηλον.[51] ἀσφαλείας δ᾽ οὖν ἕνεκα βέλτιον εὔξασθαι. ὦ θεοὶ πάντες καὶ πᾶσαι, εἰ λόγου μέτεστι τοῖς ἀπελθοῦσι, δοίητε τῇ γυναικὶ πρὸς ἔσχατον γῆρως ἐλθεῖν, ὥστε με τυχεῖν ἐν ᾅδου πλείονος ἀναπαύσεως.[52]

αἴτιος

51 τἄδηλον] sic W. id est τὸ ἄδηλον.

52 ἀπολαύσεως W. et m. M.

Ἐκάλει μέ τις ἐπὶ δεῖπνον τῇ προτεραίᾳ τῶν γνωρίμων παρακελευσάμενος ὡς τάχιστα συμβάλλειν· ἐνεανιεύσατο γὰρ περὶ τῆς διαίτης. ἐγὼ δὲ καὶ ἄλλως ἐκ παιδὸς τὸ περισπούδαστον ἐκεῖνο μάθημα τοῖς περὶ τραπέζας πονουμένοις,[10] ἤμην πρὸς ἐμαυτὸν ἐκμανθάνων, οὐδέν τι παύομαι[11] τοῖς περὶ δεῖπνα πρώτοις ἀπηντηκόσιν·[12] ὅτε νοῦς σωφρονεῖ, καὶ ὁ τόπος εὐπρεπής. τότε δὲ ὡς ἐδεξάμην τὸ σύνθημα, πολλῷ πλέον εἰς ὀξύτητα διηγειρόμην. καὶ[13] πρῶτον κατεμεμφόμην τῇ φύσει, διότι με μὴ πτερωτὸν ἐποίησεν, ἵνα ἔχοιμι περιπέτεσθαι τὰς εὐωχίας εὐμερῶς· ἑτέραν δ' ἐτραπόμην τοῦ τάχους μηχανήν· ὡς μὲν ἤλπιζον ὁ δυστυχής, σωφρόνως· ὡς δὲ ἤλεγξε τὸ ἔργον, ἐπισφαλῶς. τὴν γὰρ διὰ τῶν ποδῶν ἀτιμάσας διακονίαν· καίτοιγε πολλάκις οἶδα πτηνῷ παρεικασθείς· ὅτε καιρὸς ἐπὶ δεῖπνον ἐκάλει, τρέχειν ἐπενόησα κατὰ τοὺς Μήδων ἀλαζόνας, ὁ πάντα περιττὸς καὶ ἐφ' ἵππου, στειλάμενος εὐπρεπῶς,[14] οὕτως ἐπείγεσθαι παρὰ τὸν κεκληκότα. τάχος γὰρ οὕτως ἡγησάμην[15] προσθήσειν τῷ σπουδάσματι, καὶ τοῖς ἐντυγχάνουσιν ἔσεσθαι περιφανέστερος· καὶ κρίνας οὕτως,[16] εἴγε δεῖ κρίσιν ταύτην, ἀλλ' οὐκ ἀλογίαν καλεῖν· τὸ μὲν παρά τινος τῶν γνωρίμων ἢ τῶν πολιτῶν ἵππον αἰτεῖν ἀπεδοκίμαζον· ᾔδειν γὰρ οὐκ ἀγαθοὺς ὄντας ἱπποτρόφους· παρ' οἷς οὐκ ἔλαττον ἐμοῦ[17] τὸ λιμώττειν οἱ ἵπποι παιδεύονται· τουτωνὶ δὲ περισκοπήσας τινὰ τῶν ἐξ ἱπποδρόμου καὶ γυμνασίων καὶ τῆς τοιαύτης ἀγωνίας ἠσκημένων.

10 ποιουμένοις B.

11 f. οὐδὲ νῦν ἔτι παύομαι (scil. ἐκμανθάνων] neque adhuc nunc desino memoriae imprimere, quod praeceptum sic habet, τοῖς πρὸς (sic puto leg, non περὶ) δεῖπνα πρώτοις ἀπηντηκόσι οὗ, τε νοῦς σωφρονεῖ, καὶ ὁ τόπος εὐτρεπὴς (sic puto leg. per τ, non per π.) qui primi ad conuiuia conueniunt, iis et mens recte sapit, et locus est paratus.

12 ἀπηντηκόσιν] sic B. ἀπαντηκὼς M.

13 διηγειρόμην] sic B. διεγειρ. Mor.

14 εὐπρεπῶς] sic B. indutus habitu decoro. εὐτρεπῶς M.

15 ἡγησάμην] sic B. ἡγησάμενον M.

16 ὁ κρίνας δ' οὕτως B.

17 ἐμοῦ] sic B. ἐμοὶ M.

ναν· εὐθὺς τῶν λουτρῶν ὁ μάταιος εἰχόμην. ὡς αὐτίκα[18] δὴ μάλα πάντας τῷ τε παραδόξῳ τῆς θέας καὶ τῇ ταχυτῆτι τῶν δρόμων ἐκπλήξων. Ἐλάνθανον δ' ὁ κακοδαίμων, ἀσιτίαν ἐμαυτῷ καὶ λιμὸν, οὐ φιλοτιμίαν περισκοπῶν, καὶ θάνατον, ἀλλ' οὐχ ἵππον αἰτήσας. ὡς γὰρ ἔδει λελουμένον οἴχεσθαι· τί λέγω λελουμένον; παρέδραμον μὲν οὖν καὶ τὸ λουτρόν. ὑπὸ γὰρ τῆς περιχαρείας, πάντα ἦν πάρεργα τὰ γινόμενα, ἐπέβην εὖ μάλα σεμνῶς· καὶ τὰ μὲν πρῶτα νὴ τοὺς ἄλας τούτους· ποῦ δὲ[19] ὁ δυστυχὴς παρατρέπομαι, συμπόσιον τὸ δικαστήριον οἰηθείς· ἀλλ' οὖν τάγε πρῶτα κατὰ γνώμην ὁ σκοπὸς ἐχώρει· καὶ τοσαύτῃ ταχυτῆτι τάστε ὁδοὺς καὶ τὰς ἀγυιὰς καθιπτάμην, ὥστε ἀκούειν ἐνίων μὲν[20] ἱπποκενταύρῳ παρεικαζόντων· ἑτέρων δὲ τὸν Βελλεροφόντην ἀποκαλούντων· τοὺς πλείους δὲ πρὶν ἀκριβῶς ὀφθῆναι παραδραμὼν οἶδα· καὶ προσρηθεὶς μὲν ὑφ' ἑτέρων, ἑτέροις δὲ ἀποκρινάμενος. οὕτω τι τὸ τάχος[21] ἀμήχανον ἦν. ἀλλὰ γὰρ πάλαι μὲν ἤκουον, ὡς παρομαρτεῖ τοῖς εὐτυχοῦσιν ὁ φθόνος. νυνὶ δ' ὑπὸ τῆς πείρας ἐδιδάχθην ἀκριβέστερον. ὁ γὰρ ζηλωτὸς ἐκεῖνος ὁ πτερωτὸς, ὁ πάντας εἰς ἑαυτὸν[22] ἀναγκάζων βλέπειν, ἀκούσατε οἷα καὶ πέπονθεν.[23] ἐτύγχανε μὲν πρὸ[24] τῆς τοῦ κεκληκότος ἑστίας[25] βωμός· βωμὸς λόγῳ·[26] τάφος οὖν ἐμοὶ καὶ μνῆμα καθιδρυμένον. ὡς δὲ δὴ πλησίον ἐγενόμην, καὶ μονονοὺ τῆς αὐλείου θύρας ἐπεβεβήκειν, ἤδη καὶ κνίσσης αἰσθόμενος· μικρὸν γάρ τι καὶ τῶν κρητικῶν[27] κυνῶν αἱ ῥινηλατοῦσαι πρὸς ἡμᾶς, ἤδη καὶ κτυπούντων ὀψοποιῶν ἀκού-

ων·

[18] ὡς αὐτίκα] sic B. ὡς deest M.

[19] τῇδε B. praefero aut πῇ aut ποῖ.

[20] μὲν] malim με.

[21] ἀποκρινάμενος οὕτω τι τὸ τάχος] sic B. Mor. dat ἀποκρινόμενος et omittit τό.

[22] ἐμαυτὸν B. et m. M.

[23] πέπονθα B.

[24] μὲν γὰρ πρὸ B.

[25] οἰκίας B. et m. M.

[26] λέγω B. et m. M.

[27] κρητικῶν] sic B. κρητῶν Mor.

ων· μικροῦ τὴν χεῖρα τοῖς οἰνοχόοις ὀρέγων· τὰς σιαγόνας κινῶν· τὰς γνάθους ἐξασκῶν· καὶ τί πλέον ἢ καταχεκλῖσθαι δόξας ἐξαίφνης ὥσπερ καταιγίδος προσπεσούσης ἢ μύωπος πλήξαντος, ὡς περὶ[28] νύσσαν τινὰ περὶ[29] τὸν βωμὸν ἐνεχθεὶς, μικρῦ μὲν τὰ λαιὰ παρεδρύφθην τῦ σώματος· οὕτως ἀκριβῶς περὶ τὸν βωμὸν ἐκάμπτετο· μικροῦ δὲ[30] καταπεσὼν ἐκείμην. ὡς εἴθε γε τῦτο ἦν πεπονθώς· ἦ[31] γὰρ ἂν με καταπεσόντα λαβόντες εἴσω, ῥαδίως ἀνεκτήσαντο. ἔςι δ' ἡμῖν ἀλεξιφάρμακον ἐν νόσοις, ἐν ἀηδίαις πάσαις, ἡ σιτίου δόσις. Νῦν δ' οὐκ ἐμαντευόμην τὸ γενησόμενον· τὴν δ' ἐμπειρίαν ἀωρὶ, τὴν περὶ τοὺς ἵππους, ἐπεδεικνύμην. ἐφερόμην αὖθις ἐπὶ τὴν αὐτὴν ὁδόν· ἡλίκον μὲν ὖν ἐκίνησα γέλωτα τοῖς βασκαίνουσιν, ἢ τοῖς ἀμφὶ τὰς αὐλείους[32] θύρας ἔκπληξιν, οὐδὲ εἰπεῖν ἔχω, φερόμενος ἀκαταχέτῳ τῇ ῥύμῃ. θεήλατον γάρ τι μήνιμα τὸ γινόμενον ἦν· ἐδεόμην τῶν προστυγχανόντων, ςήσατε βοῶν ἵππον ἄνθρωποι, μᾶλλον δὲ φιλάνθρωποι. ἐπίχετε τὴν ὀλεθρίαν ταύτην φοράν· πρὸς παίδων, πρὸς γυναικῶν. τὸ δὲ ἦν ἄρα κρεῖττον ἀνθρωπίνης ἐπικουρίας· ὅσῳ γὰρ βοῶντος ἤκουε, τοσούτῳ πλέον εἰς τάχος παρωξύνετο· σύνηθες δὲ οἶμαι, τούτοις[33] τοῖς περὶ τὰς ἁμίλλας καὶ τοὺς δρόμους ἀσκουμένοις,[34] ἐπειδὰν θορυβούντων τῶν θεατῶν ἀκούωσι, πάσῃ δυνάμει συντείνειν ἑαυτοὺς εἰς τάχος. καὶ γάρ τοι τοσοῦτον ἁρπάσας ᾤχετό με τὸν δείλαιον, ὥστε νύκτα με ἐπιλαβεῖν καὶ σκότους ἀωρίαν, καὶ[35] μηδὲ ἐνδιαςείλαντά με[36] τὴν φοράν, ὥσπερ ὑπερήμερόν με τῶν τῆς εὐωχίας χρόνων ἐκπεσεῖν. Ὦ βραδυτάτου τάχους! ὢ παραδόξου καὶ καινῆς ὀξύτητος! ὢ δεσμῶν, ἀλλ' οὐ δρόμων ἐκείνων! ἐπεπήγειν ἱπτάμενος· ἐπειχόμην ἐπείγεσθαι δοκῶν· ὑπερίζον

[28] ὡς περὶ] sic B. ὥσπερ M.
[29] παρὰ B.
[30] μικρῦ γε B.
[31] ἦ] sic B. profecto. ἢ M.
[32] ἀμφίας B.
[33] τῦτο B.
[34] ἠσκημένοις m. M.

[35] amplector quod B. subiicit, omittens καὶ; tum locum sic constituo: ἀωρίαν μηδὲν συςείλαντα τὴν φόραν, καὶ ὥσπερ ὑπερήμερον τῶν —
[36] ἐνςείλαντά με B.

ζον[37] φθάνων, εἰσήκειν ἐλαυνόμενος. ὦ πολύθρηνε βωμέ! πολύτιμον[38] γάρ οὐκ ἂν εἴποιμί σε. ὦ πρόθυρα ἀποτρόπαια· ὦ μισάνθρωπος ἑστία! Τοὺς Λωτοφάγους οἱ ποιηταὶ τραγῳδοῦσιν, ὅτι τοὺς ἐπιμιγνυμένους ἀπώλλυον· ἀλλ' εἰ ἐσθίοντας ἀπώλλυον, ὡς εὐτυχεῖς γε τῆς ἀπωλείας! τὰ Κίρκης ἄντρα μυθεύουσιν· ἀλλ' εἰ καὶ μετέβαλεν εἰς σύας καὶ ποικίλων θηρίων ὄψεις, ἤδη καὶ τροφὴν ἐχορήγει τὴν ἑκάστῳ πρόσφορον. ὑπὲρ τοὺς Λαιστρυγόνας, ὑπὲρ τὸ Κυκλώπων καταγώγιον, ἡ ἀποτρόπαιος ἐκείνη γέγονεν ἑστία. τοιγαροῦν, ἐξ ἀνθρώπων οἰχήσομαι· πέπονθα γὰρ ὑπὲρ ἄνθρωπον. ἑτέρῳ μὲν γὰρ[39] χρημάτων ἀποβολὴ ἀνιαρόν· ἑτέρῳ παίδων ἀποβολὴ πρὸς θάνατον ἡγήσατο. ἐμὲ δὲ ταῦτα μὲν οὐχ οὕτως ἀνιᾷν πέφυκεν· ἐπεὶ μηδὲν τὴν ἀρχὴν τούτων[40] παρ' ἡμῖν σπουδάζεται. θοίνης καὶ[41] διαίτης ἐκπεσεῖν ἀλλαχοῦ πληρουμένης, συμφορῶν ἡ[42] μεγίστη. νὴ Δία, φήσει τις, θάρσει, παραμυθήσεταί σοι τὸ συμβεβηκὸς ἑστίασις ἑτέρα τοῦ κεκληκότος· ἐλπίδες αὗται καλαὶ καὶ ψυχαγωγίαι λόγων· οἶδα πηλίκαι τοῖς καλοῦσιν ὀργαὶ προσιζάνουσιν· ἐπειδὰν τῶν κεκλημένων τις ἐκλίπῃ[43] τὴν σύνοδον· οἶδα πηλίκα βρενθύεσθαι σύνηθες αὐτοῖς· κἂν ἀνάγκην, κἂν συμφορὰν οἱ κεκλημένοι προβάλωνται.[44] τοῦτο γὰρ ἤδη καὶ τὸ[45] πάντων ἐστὶ δυστυχέστατον· οὓς γὰρ ἔδει παραμυθίας τυχεῖν, ἐφ' οἷς διήμαρτον· οὗτοι καὶ δίκην ὑπεροψίας φεύγουσι· κἂν ὀμόσωσι, κἂν δακρύσωσι παρεστῶτες,[46] οὐ δυστυχεῖς, ἀλλ' ἔτι πονηροὶ νομίζονται. οἰόμενοι γὰρ αὐτοῖς[47] ὀργίλως ἔχειν, ὥσπερ ἐκ προνοίας ἠδικημένοι, μηδὲ[48] συγγνώμης ἀπολειφθέντι

[37] ὑστερίζων B.

[38] πολυτίματον B. voluit πολυτίμητον.

[39] μὲν γὰρ] sic B. γὰρ deest Mor.

[40] τούτων τί B.

[41] θοίνης καὶ] malim δὲ interponi.

[42] συμφορῶν ἐστὶν ἡ B.

[43] ἐκλείπῃ et πηλίκον B.

[44] προβάλωνται] sic B. coniunctiuus h. l. praeferendus est. προβάλλονται M.

[45] ἤδη καὶ τὸ] sic B. καὶ deest M.

[46] προεστῶτες B. et m. M.

[47] αὐτὸν B. et m. M.

[48] ἠδικημένον καὶ μηδὲ B.

τι μεταδώσουσιν· ὅσῳ [49] καὶ τεχνίτην ἠπίςαντο τȣ͂ πράγματος. τί γὰρ αἰτιάσαιτ᾽ ἄν τις τὸ [50] συμβεβηκός; ἀσχολίαν; [51] ἀλλ᾽ ᾔδει πάντως [52] σχολάζοντά με πρὸς τȣ͂το· τῶν οἴκοι ἐπιμέλειαν; ᾧ μηδὲ οἶκός ἐςι; παῖδας ἢ γυναῖκα [53] βεβιᾶσθαι πρὸς ἑαυτούς; [54] ἀλλ᾽ ᾔδει καὶ μονήρη, καὶ μόλις ἀρκοῦντα. [55] ἀλλ᾽ ὅσῳ προφανὴς [56] ἡ πρόφασις, τοσούτῳ πλέον ἀποςραφήσεται [57] τῆς ἀκαίρου τρυφῆς, ὅτι καὶ βαδίζειν [58] ἀρκῶν· ὅτι καὶ τάχει τοὺς ἅπαντας, ἐν τοῖς περὶ δεῖπνα, [59] τοὺς ἐν ταῖς ἁμίλλαις [60] παριών, εἰ καὶ μηδὲν ἕτερον, βαίνειν γοῦν ἐπὶ γῆς ἔχων, ἑτέρων ἐδεήθην ποδῶν· ᾧ, εἰ καὶ πρὸς ἅπαντα πονηρῶς εἶχον οἱ πόδες· πρός γε τὰς εὐωχίας, πτερωτοῖς ἔδει παρεικάζεσθαι. ἡγοῦμαι οὖν ἀποςρέφεσθαι τῆς [61] ἐπινοίας ἡμᾶς. εἰ δὴ [62] καὶ μεγαλοψυχότερον ἀφήσει τὰς μέμψεις, καὶ πῶς ἂν [63] οἰκτείρας εἰς ἑσπέραν αὖθις ἐπαγγέλλοιτο τὴν κλῆσιν· [64] πόθεν μοι δεῖπνον οὕτω λιμὸν ὑπο-

[49] ὅσῳ] bene si locus hic habet, videtur haec eius esse sententia: τοσȣ́τῳ ἧττον, ὅσῳ καὶ μᾶλλον τεχνίτην.

[50] αἰτιάσαι τὸ caeteris omissis B.

[51] recte omittit B. δὲ post ἀσχολίαν. aut alias cum νὴ δί᾽ erit commutandum.

[52] πάντα B. πᾶς τις m. M.

[53] γυναῖκας B.

[54] ἑαυτὸν B.

[55] μόλις ἀρκȣ͂ντα] videtur ἐμαυτῷ interponendum. scil. πρὸς τὴν τροφήν. vel πρὸς τὴν τῶν ἐπιτηδείων χορηγίαν.

[56] f. προφανεςέρα. scil. ἐμοί ἐςιν ἡ πρόφασις τȣ͂ ἀπολαυσθῆναι τῆς ἑςιάσεως.

[57] ἀποςραφήσεται] ille qui me inuitauerat, hoc me magis auersabitur ob importunas meas delicias: h. e. quod delicatus et mollis non in loco fuissem.

[58] malim sic distingui et legi: βαδίζειν ἀρκῶν ἔτι, καὶ τάχει.

[59] ἐν τοῖς περὶ δεῖπνα] scil. ἁμιλλήμασι, vel σπȣδάσμασι vel δρόμοις. B. dat ἔν τε περί.

[60] τȣ̀ς ἐν ταῖς ἁμίλλαις] scil. ςρεφομένȣς vel ἀγωνιζομένȣς. B. dat τȣ́τȣς ταῖς ἁμ.

[61] τῆς] sic B. et m. M. subauditur ἕνεκα vel χάριν. τὰς t. M.

[62] malim εἰ δὲ δή. B. dat εἰ δεῖ.

[63] καί τοι ἂν m. M. καὶ τοῖον B.

[64] ἐπαγγέλλει κλῆσιν dat B. hactenus recte, quod actiuum subiicit pro medio. sed leg. ἐπαγγέλλοι (in optat. act.) τὴν κλῆσιν, ecqui rursus de-

ὑποστάντι,[65] πῶς δ' οὐκ οἰχήσομαι πρὸ τοῦ φιλανθρωπεύματος· πῶς δ' οὐκ ἂν ἀπαχθήσομαι πρὸ τῆς εὐτυχίας καὶ δευτέραν ὑποστήσομαι συμφορὰν ἤδη, καὶ πολλῷ μείζονα, ὅσῳ καὶ σφαλῆναι δεύτερον, καὶ τεθνάναι δὶς ἀποκείσεται. Μὴ ὤφελεν[66] ἵππου γένεσις εἰς ἀνθρώπους παρελθεῖν, ἢ παρελθοῦσα μεῖναι μέχρι παντὸς ἀχείρωτος ἀνθρώποις· οἷά με διέθηκεν ὁ παλαμναῖος ἐκεῖνος· οἵων ὄψων ἀφείλετο καὶ τρυφῆς. πάλαι πολέμιον ἀνθρώποις τὸ χρῆμα· πάλαι σκηνὰς τραγικὰς πεπληρώκασιν, αἱ δι' αὐτοὺς κινηθεῖσαι συμφοραί. Τὰς Ἀμαζόνας οὐχ οὗτοι[67] ψεύσασθαι τὴν οἰκείαν ἔπηραν φύσιν, ἀλλ' ἀρθεῖσαι γοῦν τούτοις, καὶ γυναῖκες ἠλέγχθησαν.[68] καὶ τῇ πρώτῃ πείρᾳ συγκατέλυσαν τὸ γένος·[69] τὰς Διομήδους ἐκτὸς[70] οὐκ ἀκούομεν ἀντὶ τῆς νομιζομένης τροφῆς, ἀνθρωπίνοις σιτεῖσθαι σώμασι; τὰς Τρωϊκὰς[71] συμφορὰς, καὶ τὴν Ἰλίου πόρθησιν οὐχ ἵππος ἦν[72] ὁ πορθήσας;

nuntiet inuitationem in vesperam?

65 ὑποστάντι] sic B. et m. M. sed et praeterea sic lego: οὕτω σφοδρὸν vel δεινὸν λιμὸν ὑποστάντι. vel sic: πόθεν μοι δεῖπνον, δεινὸν οὕτω λιμὸν ὑποστάντι. qui fiat, vt conuiuii dapibus fruar ego, qui famem tam diram sustinuerim? ὑποστῆναι t. Mor.

66 ὤφειλεν B.

67 οὕτως B.

68 ἀλλ' ἀρθεῖσαι γοῦν τούτοις, καὶ γυναῖκες ἠλέγχθησαν] sic B. haec verba desunt M. amplector supplementum, sed γοῦν non placet. Sententia potius ἐπὶ postulat. Sublatae tergoribus equorum ex illis pendentes, vel etiam inflatae robore et velocitate equorum suorum aut γοῦν delendum est, aut ἀλλὰ, aut denique latet in γοῦν exitus tertiae personae pluralis imperfecti actiui, nescio cuius verbi in εω.

69 post γένος addit B. et m. M. τὰς αἰτολικάς. verum equae Diomedis non fuerunt ex Aetolia, sed e Thracia oriundae; nam Diomedes ille Thrax erat, non ille Aetolus, Homero celebratus, seculo fere posterior illo Thrace; nam Thrax erat Herculis aequalis; Aetolus autem Diomedes Achillis et belli Troiani.

70 in ἐκτὸς videtur τοῦ Θρᾳκὸς latere; alias non intelligo, quid sibi velit.

71 τὰς δὲ τρ. B.

72 non satis placet dictio ἵππος ἦν ὁ πορθήσας τὰς τρωϊκὰς συμφορὰς et ἵππος ἦν ὁ πορθήσας τὴν ἰλίου πόρθησιν. Sine dubio pro πορθήσας aliud ve-

αἴτιος δὲ ἴσως ἐγὼ τῶν κακῶν ἐμαυτῷ. χρῆν γάρ με λαβόντα μάχαιραν, τὸ θρυλλούμενον ἐκεῖνο δρᾶσαι, τὴν γλῶτταν ἀποκόψαι. τάχα που, κἀκεῖνος[53] γυναῖκα λάλον οὐκ ἤνεγκεν.'

[53] κἀκεῖνος] ecquis ille? num Tereum designat?

ΠΑΡΑΣΙΤΟΣ ΕΠΙ ΔΕΙΠΝΟΝ ΚΛΗΘΕΙΣ ΒΟΥΛΟΜΕΝΟΣ ΘΑΤΤΟΝ ΑΠΑΝΤΗΣΑΙ, ΙΠΠΟΝ ΛΑΒΩΝ ΕΞ ΙΠΠΟΔΡΟΜΟΥ,[1] ἦλθεν εἰς τὴν οἰκίαν τοῦ κεκληκότος. βωμὸς δὲ ἦν πρὸ τῆς αὐλείου θύρας. νομίσας δὲ καμπτὸν εἶναι τὸν βωμὸν ὁ ἵππος, ἔκαμψε, καὶ συναρπάσας τὸν παράσιτον ἀπήγαγε· καὶ μείνας ἄδειπνος, τῇ ὑστεραίᾳ ἑαυτὸν προσαγγέλλει.

ΙΣΧΥΩ μὲν οὐδ' ἃ πέπονθα πρὸς ὑμᾶς εἰπεῖν· οὕτω δυστυχῶ τοῖς ἅπασιν. οὔτε γὰρ φωνὴ πάρεστί μοι λιμῷ προαπειρηκότι, καὶ τὸ τῆς μνήμης ὑπέῤῥει, μὴ ὕπνου τετυχηκότι. πῶς γὰρ ἂν ἐπὶ κενῇ τῇ γαστρὶ καθεύδειν ὑπῆρχε; τοσοῦτον δ' οὖν ὅμως ἤρκεσα πρὸς τὸν λιμὸν ἀντισχεῖν, ὅσον ἃ πέπονθα πρὸς ὑμᾶς εἰπὼν, καταλύσαι τὸν βίον. τί γάρ ἐστί μοι βιωτὸν εὐωχίας πολυτελοῦς ἐκπεπτωκότι; πῶς δ' οὐ προεπειχθῆναι πολλῷ βέλτιον, ἢ παρ' ἑτέρων ἀκοῦσαι διηγουμένων, οἵας μὲν αὐτοὶ διαίτης ἀπολελαύκασιν, οἵων δέ μοι διαμαρτεῖν ἀγαθῶν μόνῳ συμβέβηκεν; ᾧ καὶ πρῶτα τυγχάνειν, καὶ τοῖς ἄλλοις ἐξηγεῖσθαι τὰ τοιαῦτα, σύνηθες[2] ἦν· τοῖς μὲν οὖν ἄλλοις,

[1] τῶν ἐξ ἱπποδρόμου] sic Bau. τὸν ἐξ ἱπποδρομίου Mor. quod recte abest a. B. aut cum ἀεὶ mutandum est.

[2] post σύνηθες deleui ἄν,

λοις, ὦ ἄνδρες, τοῖς ταύτην ἡμῖν ἐπανηρημένοις τὴν τέχνην, τότε τοῦ ζῆν ὁ θάνατος αἱρετώτερος εἶναι δοκεῖ· ὅταν ἐπιλείπωσι μὲν οἱ δειπνίζοντες· οἴκοι δὲ τὴν ἀναγκαίαν τροφὴν ἐκφροντίζωσι.[3] καὶ καλῶς, οἶμαι, καὶ δικαίως ἀφειδοῦσι πρὸς τὴν τελευτήν. οἷς γὰρ οὐκ ἔστιν ἕτοιμον ἀζημίως παρατίθεσθαι τράπεζαν, τούτοις ἀνθ' ὅτου καὶ ζῆν αἱρετέον; ἐγὼ δὲ, ὁ δείλαιος, ἐν ἀκμῇ τῆς εὐτυχίας, ὅτε μοι τὸ παρὰ τῶν φίλων ἀφθονέστατον[4] ἐστρατήγησεν ἡ τύχη· τότε βασκανίᾳ δαίμονος, οὐκ οἶδ' ὅπως,[5] ὥσπερ ἐν πολιορκίᾳ, μεμένηκα ἄσιτος, καὶ διπλῇ τυχόμενος· ἀσιτίᾳ τεταλαιπώρημαι, τῆς τε γὰρ[6] προσδοκωμένης εὐωχίας ἐν παρασκευῇ γεγονώς· ὅλον[7] ἐμαυτὸν ἐκένωσα πρὸς ὑποδοχὴν τῆς ἐλπιζομένης πλησμονῆς· διαμαρτών τε ὧν ἤλπισα, τὴν συμφορὰν οὐκ ἔχον ἑτέρωθεν ἐπικουφίσαι. τί οὖν ἕτερον ἢ θάνατος ἔσται μοι τοῦ κακοῦ λύσις. τοσοῦτον δ' οὖν[8] ὅμως τὸ δυστύχημα συμβέβηκε χαλεπώτερον, ὅσον μηδὲ τὴν αἰτίαν ἐστὶν ἐφ' ἕτερον ἀγαγεῖν· ἀλλ' ἢ ἐμαυτοῦ ἀβουλίαν μόνην καταμέμψασθαι, οὐκ οἶδ' ὅτι πρῶτον ὀδύρομαι τῶν συμβεβηκότων· μᾶλλον δὲ οὐδ' αὐτὰ δίδωσιν ὀδύρεσθαι τὰ δάκρυα, πότερον τὴν ζηλωτὴν ἐκείνην καὶ μακαρίαν κλῆσιν, ἢ τὴν περίβλεπτον πορείαν· μᾶλλον δὲ πομπὴν ἣν ἐπὶ δεῖπνον αὐτὸς ὁ δείλαιος πομπεύων[9] ᾠχόμην· ἢ τὴν περὶ τὸ δεῖπνον αὐτὸ συμβᾶσαν ἀτυχίαν ἢ τὸ κατὰ τὴν οἰκίαν ὕστερον σκότος· καὶ τὴν ἑστίαν τὴν ἀφεγγῆ, καὶ τὸν ἀπολέσαντά με λιμὸν, ὃς οὐδ' ὀδύρεσθαι σαφῶς ἐπιτρέπει μοι τὸ συμβεβηκός. Βιαστέον δ' οὖν ὅμως ἃ πέπονθα πρὸς ὑμᾶς εἰπεῖν ἄνωθεν· ἐπεὶ καὶ τοῖς ἀλγοῦσι φέρει παραμυθίαν, ἃ πάσχουσι πρὸς ἑτέρους ἐξαγγέλλειν. Ἑκά-

[3] ἐκφροντίζωσι] sic Bau. ἐκφροντίσωσι M.

[4] ἀφθονέστερον B.

[5] post ὅπως deleui εἰπεῖν, quod recte abest a. B.

[6] τῆς τε γὰρ] sic B. γὰρ deest M.

[7] ὅλον] sic B. et m. M. ὅλως t. M.

[8] οὖν] malim ὂν, tantum quamuis sit hoc malum.

[9] πομπεύων] sic B. ὁδεύων M.

Ἐκάλει μέ τις ἐπὶ δεῖπνον τῇ προτεραίᾳ τῶν γνωρίμων παρακελευσάμενος ὡς τάχιςα συμβάλλειν· ἐνεανιεύσατο γὰρ περὶ τῆς διαίτης. ἐγὼ δὲ καὶ ἄλλως ἐκ παιδὸς τὸ περισπούδαςον ἐκεῖνο μάθημα τοῖς περὶ τραπέζας πονουμένοις,[10] ἤμην πρὸς ἐμαυτὸν ἐκμανθάνων, οὐδέν τι παύομαι[11] τοῖς περὶ δεῖπνα πρώτοις ἀπηντηκόσιν·[12] ὅτε νοῦς σωφρονεῖ, καὶ ὁ τόπος εὐπρεπής. τότε δὲ ὡς ἐδεξάμην τὸ σύνθημα, πολλῷ πλέον εἰς ὀξύτητα διηγειρόμην. καὶ[13] πρῶτον κατεμεμφόμην τῇ φύσει, διότι με μὴ πτερωτὸν ἐποίησεν, ἵνα ἔχοιμι περιπέτεσθαι τὰς εὐωχίας εὐμερῶς· ἑτέραν δ' ἐτραπόμην τοῦ τάχους μηχανήν· ὡς μὲν ἤλπιζον ὁ δυςυχής, σωφρόνως· ὡς δὲ ἤλεγξε τὸ ἔργον, ἐπισφαλῶς, τὴν γὰρ διὰ τῶν ποδῶν ἀτιμάσας διακονίαν· καί τοιγε πολλάκις οἶδα πτηνῷ παρεικασθείς· ὅτε καιρὸς ἐπὶ δεῖπνον ἐκάλει, τρέχειν ἐπενόησα κατὰ τοὺς Μήδων ἀλαζόνας, ὁ πάντα περιττὸς· καὶ ἐφ' ἵππου, ςειλάμενος εὐπρεπῶς,[14] οὕτως ἐπείγεσθαι παρὰ τὸν κεκληκότα. τάχος γὰρ οὕτως ἡγησάμην[15] προσθήσειν τῷ σπουδάσματι, καὶ τοῖς ἐντυγχάνουσιν ἔσεσθαι περιφανέςερος· καὶ κρίνας οὕτως,[16] εἴγε δεῖ κρίσιν ταύτην, ἀλλ' οὐκ ἀλογίαν καλεῖν· τὸ μὲν παρά τινος τῶν γνωρίμων ἢ τῶν πολιτῶν ἵππον αἰτεῖν ἀπεδοκίμαζον· ᾔδειν γὰρ οὐκ ἀγαθοὺς ὄντας ἱπποτρόφους· παρ' οἷς οὐκ ἔλαττον ἐμοῦ[17] τὸ λιμώττειν οἱ ἵπποι παιδεύονται· τουτωνὶ δὲ περισκοπήσας τινὰ τῶν ἐξ ἱπποδρόμου καὶ γυμνασίων καὶ τῆς τοιαύτης ἀγωνίας ἠσκημένων.

[10] πεινωμένοις B.

[11] f. οὐδὲ νῦν ἔτι παύομαι (scil. ἐκμανθάνων] neque adhuc nunc desino memoriae imprimere, quod praeceptum sic habet, τοῖς πρὸς (sic puto leg, non περὶ) δεῖπνα πρώτοις ἀπηντηκόσι ὅ, τε νοῦς σωφρονεῖ, καὶ ὁ τόπος εὐτρεπής (sic puto leg. per τ, non per π.) qui primi ad conuiuia conueniunt, iis et mens recte sapit, et locus est paratus.

[12] ἀπηντηκόσιν] sic B. ἀπαντηκὼς M.

[13] διηγειρόμην] sic B. διεγειρ. Mor.

[14] εὐπρεπῶς] sic B. indutus habitu decoro. εὐτρεπῶς M.

[15] ἡγησάμην] sic B. ἡγησάμενον M.

[16] ὁ κρίνας δ' οὕτως B.

[17] ἐμοῦ] sic B. ἐμοὶ M.

ναν· εὐθὺς τῶν λουτρῶν ὁ μάταιος εἰχόμην. ὡς αὐτίκα[18] δὴ μάλα πάντας τῷ τε παραδόξῳ τῆς θέας καὶ τῇ ταχυτῆτι τῶν δρόμων ἐκπλήξων. Ἐλάνθανον δ' ὁ κακοδαίμων, ἀσιτίαν ἐμαυτῷ καὶ λιμὸν, οὐ φιλοτιμίαν περισκοπῶν, καὶ θάνατον, ἀλλ' οὐχ ἵππον αἰτήσας. ὡς γὰρ ἔδει λελουμένον οἴχεσθαι· τί λέγω λελουμένον; παρέδραμον μὲν οὖν καὶ τὸ λουτρόν. ὑπὸ γὰρ τῆς περιχαρείας, πάντα ἦν πάρεργα τὰ γινόμενα, ἐπέβην εὖ μάλα σεμνῶς· καὶ τὰ μὲν πρῶτα νὴ τοὺς ἄλας τούτους· ποῦ δὲ[19] ὁ δυστυχὴς παρατρέπομαι, συμπόσιον τὸ δικαστήριον οἰηθείς· ἀλλ' οὖν τάγε πρῶτα κατὰ γνώμην ὁ σκοπὸς ἐχώρει· καὶ τοσαύτῃ ταχυτῆτι τάστε ὁδοὺς καὶ τὰς ἀγυιὰς καθιπτάμην, ὥστε ἀκούειν ἐνίων μὲν[20] ἱπποκενταύρῳ παρεικαζόντων· ἑτέρων δὲ τὸν Βελλεροφόντην ἀποκαλούντων· τοὺς πλείους δὲ πρὶν ἀκριβῶς ὀφθῆναι παραδραμὼν οἶδα· καὶ προσρηθεὶς μὲν ὑφ' ἑτέρων, ἑτέροις, δὲ ἀποκρινάμενος. οὕτω τι τὸ τάχος[21] ἀμήχανον ἦν. ἀλλὰ γὰρ πάλαι μὲν ἤκουον, ὡς παρομαρτεῖ τοῖς εὐτυχοῦσιν ὁ φθόνος. νυνὶ δ' ὑπὸ τῆς πείρας ἐδιδάχθην ἀκριβέστερον. ὁ γὰρ ζηλωτὸς ἐκεῖνος ὁ πτερωτὸς, ὁ πάντας εἰς ἑαυτὸν[22] ἀναγκάζων βλέπειν, ἀκούσατε οἷα καὶ πέπονθεν.[23] ἐτύγχανε μὲν πρὸ[24] τῆς τοῦ κεκληκότος ἑστίας[25] βωμός· βωμὸς λόγῳ·[26] τάφος οὖν ἐμοὶ καὶ μνῆμα καθιδρυμένον. ὡς δὲ δὴ πλησίον ἐγενόμην, καὶ μονονοὺ τῆς αὐλείου θύρας ἐπεβεβήκειν, ἤδη καὶ κνίσσης αἰσθόμενος· μικρὸν γάρ τι καὶ τῶν κρητικῶν[27] κυνῶν αἱ ῥινηλατοῦσαι πρὸς ἡμᾶς, ἤδη καὶ κτυπούντων ὀψοποιῶν ἀκού-

ων·

18 ὡς αὐτίκα] sic B. ὡς deest M.

19 τῇδε B. praefero aut πῇ aut ποῖ.

20 μὲν] malim με.

21 ἀποκρινάμενος οὕτω τι τὸ τάχος] sic B. Mor. dat ἀποκρινόμενος et omittit τό.

22 ἐμαυτὸν B. et m. M.

23 πέπονθα B.

24 μὲν γὰρ πρὸ B.

25 οἰκίας B. et m. M.

26 λέγω B. et m. M.

27 κρητικῶν] sic B. κρητῶν Mor.

ων· μικροῦ τὴν χεῖρα τοῖς οἰνοχόοις ὀρέγων· τὰς σιαγόνας κινῶν· τὰς γνάθους ἐξασκῶν· καὶ τί πλέον ἢ καταχεκλῖσθαι δόξας ἐξαίφνης ὥσπερ καταιγίδος προσπεσούσης ἢ μύωπος πλήξαντος, ὡς περὶ[28] νύσσαν τινὰ περὶ[29] τὸν βωμὸν ἐνεχθεὶς, μικροῦ μὲν τὰ λαιὰ παρεδρύφθην τοῦ σώματος· οὕτως ἀκριβῶς περὶ τὸν βωμὸν ἐκάμπτετο· μικροῦ δὲ[30] καταπεσὼν ἐκείμην. ὡς εἴθε γε τοῦτο ἦν πεπονθώς· ἦ[31] γὰρ ἂν με καταπεσόντα λαβόντες εἴσω, ῥαδίως ἀνεκτήσαντο. ἔστι δ' ἡμῖν ἀλεξιφάρμακον ἐν νόσοις, ἐν ἀηδίαις πάσαις, ἡ σιτίου δόσις. Νῦν δ' οὐκ ἐμαντευόμην τὸ γενησόμενον· τὴν δ' ἐμπειρίαν ἀωρὶ, τὴν περὶ τοὺς ἵππους, ἐπεδεικνύμην. ἐφερόμην αὖθις ἐπὶ τὴν αὐτὴν ὁδόν· ἡλίκον μὲν οὖν ἐκίνησα γέλωτα τοῖς βασκαίνουσιν, ἢ τοῖς ἀμφὶ τὰς αὐλείους[32] θύρας ἔκπληξιν, οὐδὲ εἰπεῖν ἔχω, φερόμενος ἀκατασχέτῳ τῇ ῥύμῃ. θεήλατον γάρ τι μήνιμα τὸ γινόμενον ἦν· ἐδεόμην τῶν προστυγχανόντων, στήσατε βοῶν ἵππον ἄνθρωποι, μᾶλλον δὲ φιλάνθρωποι. ἐπίχετε τὴν ὀλεθρίαν ταύτην φοράν· πρὸς παίδων, πρὸς γυναικῶν. τὸ δὲ ἦν ἄρα κρεῖττον ἀνθρωπίνης ἐπικουρίας· ὅσῳ γὰρ βοῶντος ἤκουε, τοσούτῳ πλέον εἰς τάχος παρωξύνετο· σύνηθες δὲ οἶμαι, τούτοις[33] τοῖς περὶ τὰς ἁμίλλας καὶ τοὺς δρόμους ἀσκουμένοις,[34] ἐπειδὰν θορυβούντων τῶν θεατῶν ἀκούωσι, πάσῃ δυνάμει συντείνειν ἑαυτοὺς εἰς τάχος. καὶ γάρ τοι τοσοῦτον ἁρπάσας ᾤχετό με τὸν δείλαιον, ὥστε νύκτα με ἐπιλαβεῖν καὶ σκότους ἀωρίαν, καὶ[35] μηδὲ ἐνδιαστείλαντά με[36] τὴν φοράν, ὥσπερ ὑπερήμερόν με τῶν τῆς εὐωχίας χρόνων ἐκπεσεῖν. Ὦ βραδυτάτου τάχους! ὢ παραδόξου καὶ καινῆς ὀξύτητος! ὢ δεσμῶν, ἀλλ' οὐ δρόμων ἐκείνων! ἐπεπήγειν ἱπτάμενος· ἐπειχόμην ἐπείγεσθαι δοκῶν· ὑπέρι-

ζον

[28] ὡς περὶ] sic B. ὥσπερ M.
[29] παρὰ B.
[30] μικροῦ γε B.
[31] ἦ] sic B. profecto. ἢ M.
[32] ἀμφίας B.
[33] τοῦτο B.
[34] ἠσκημένοις m. M.

[35] amplector quod B. subiicit, omittens καὶ; tum locum sic constituo: ἀωρίαν μηδὲν συστείλαντα τὴν φόραν, καὶ ὥσπερ ὑπερήμερον τῶν —
[36] ἐνστάλαντά με B.

ζον[37] Φθάνων, εἰσήκειν ἐλαυνόμενος. ὦ πολύθρηνε βωμέ! πολύτιμον[38] γὰρ οὐκ ἂν εἴποιμί σε. ὦ πρόθυρα ἀποτρόπαια· ὦ μισάνθρωπος ἑστία! Τοὺς Λωτοφάγους οἱ ποιηταὶ τραγῳδοῦσιν, ὅτι τοὺς ἐπιμιγνυμένους ἀπώλλυον· ἀλλ' εἰ ἐσθίοντας ἀπώλλυον, ὡς εὐτυχεῖς γε τῆς ἀπωλείας! τὰ Κίρκης ἄντρα μυθεύουσιν· ἀλλ' εἰ καὶ μετέβαλεν εἰς σύας καὶ ποικίλων θηρίων ὄψεις, ἤδη καὶ τροφὴν ἐχορήγει τὴν ἑκάστῳ πρόσφορον. ὑπὲρ τοὺς Λαιστρυγόνας, ὑπὲρ τὸ Κυκλώπων καταγώγιον, ἡ ἀποτρόπαιος ἐκείνη γέγονεν ἑστία. τοιγαροῦν, ἐξ ἀνθρώπων οἰχήσομαι· πέπονθα γὰρ ὑπὲρ ἄνθρωπον. ἑτέρῳ μὲν γὰρ[39] χρημάτων ἀποβολὴ ἀνιαρόν· ἑτέρῳ παίδων ἀποβολὴ πρὸς θάνατον ἡγήσατο. ἐμὲ δὲ ταῦτα μὲν οὐχ οὕτως ἀνιᾷν πέφυκεν· ἐπεὶ μηδὲν τὴν ἀρχὴν τούτων[40] παρ' ἡμῖν σπουδάζεται. θοίνης καὶ[41] διαίτης ἐκπεσεῖν ἀλλαχοῦ πληρουμένης, συμφορῶν ἡ[42] μεγίστη. νὴ Δία, φήσει τις, θάρσει, παραμυθήσεταί σοι τὸ συμβεβηκὸς ἑστίασις ἑτέρα τοῦ κεκληκότος· ἐλπίδες αὗται καλαὶ καὶ ψυχαγωγίαι λόγων· οἶδα πηλίκαι τοῖς καλοῦσιν ὀργαὶ προσιζάνουσιν· ἐπειδὰν τῶν κεκλημένων τις ἐκλίπῃ[43] τὴν σύνοδον· οἶδα πηλίκα βρενθύεσθαι σύνηθες αὐτοῖς· κἂν ἀνάγκην, κἂν συμφορὰν οἱ κεκλημένοι προβάλωνται.[44] τοῦτο γὰρ ἤδη καὶ τὸ[45] πάντων ἐστὶ δυστυχέστατον· οὓς γὰρ ἔδει παραμυθίας τυχεῖν, ἐφ' οἷς διήμαρτον· οὗτοι καὶ δίκην ὑπεροψίας φεύγουσι· κἂν ὀμόσωσι, κἂν δακρύσωσι παρεστῶτες,[46] οὐ δυστυχεῖς, ἀλλ' ἔτι πονηροὶ νομίζονται. οἰόμενοι γὰρ αὐτοῖς[47] ὀργίλως ἔχειν, ὥσπερ ἐκ προνοίας ἠδικημένοι, μηδὲ[48] συγγνώμης ἀπολειφθέντι

37 ὑστερίζων B.

38 πολυτίματον B. voluit πολυτίμητον.

39 μὲν γὰρ] sic B. γὰρ deest Mor.

40 τούτων τὶ B.

41 θοίνης καὶ] malim δὲ interponi.

42 συμφορῶν ἐστὶν ἡ B.

43 ἐκλείπῃ et πηλίκον B.

44 προβάλωνται] sic B. coniunctiuus h. l. praeferendus est. προβάλλονται M.

45 ἤδη καὶ τὸ] sic B. καὶ deest M.

46 προεστῶτες B. et m. M.

47 αὐτὸν B. et m. M.

48 ἠδικημένον καὶ μηδὲ B.

τι μεταδώσουσιν· ὅσῳ[49] καὶ τεχνίτην ἠπίςαντο τȣ̃ πράγματος. τί γὰρ αἰτιάσαιτ' ἄν τις τὸ[50] συμβεβηκός; ἀχολίαν;[51] ἀλλ' ᾔδει πάντως[52] σχολάζοντά με πρὸς τȣ̃το· τῶν οἴκοι ἐπιμέλειαν; ᾧ μηδὲ οἶκός ἐςι; παῖδας ἢ γυναῖκα[53] βεβιάσθαι πρὸς ἑαυτούς;[54] ἀλλ' ᾔδει καὶ μονήρη, καὶ μόλις ἀρκοῦντα.[55] ἀλλ' ὅσῳ προφανὴς[56] ἡ πρόφασις, τοσούτῳ πλέον ἀποςραφήσεται[57] τῆς ἀκαίρου τρυφῆς, ὅτι καὶ βαδίζειν[58] ἀρκῶν· ὅτι καὶ τάχει τοὺς ἅπαντας, ἐν τοῖς περὶ δεῖπνα,[59] τοὺς ἐν ταῖς ἁμίλλαις[60] παριών, εἰ καὶ μηδὲν ἕτερον, βαίνειν γοῦν ἐπὶ γῆς ἔχων, ἑτέρων ἐδεήθην ποδῶν· ᾧ, εἰ καὶ πρὸς ἅπαντα πονηρῶς εἶχον οἱ πόδες· πρός γε τὰς εὐωχίας, πτερωτοῖς ἔδει παρεικάζεσθαι. ἡγοῦμαι οὖν ἀποςρέφεσθαι τῆς[61] ἐπινοίας ἡμᾶς. εἰ δὴ[62] καὶ μεγαλοψυχότερον ἀφήσει τὰς μέμψεις, καὶ πῶς ἂν[63] οἰκτείρας εἰς ἑσπέραν αὖθις ἐπαγγέλλοιτο τὴν κλῆσιν·[64] πόθεν μοι δεῖπνον οὕτω λιμὸν ὑπο-

49 ὅσῳ] bene si locus hic habet, videtur haec eius esse sententia: τοσȣ́τῳ ἧττον, ὅσῳ καὶ μᾶλλον τεχνίτην.

50 αἰτιάσαι τὸ caeteris omissis B.

51 recte omittit B. δὲ post ἀχολίαν. aut alias cum νὴ δί' erit commutandum.

52 πάντα B. πᾶς τις m. M.

53 γυναῖκας B.

54 ἑαυτὸν B.

55 μόλις ἀρκȣ̃ντα] videtur ἐμαυτῷ interponendum. scil. πρὸς τὴν τροφήν. vel πρὸς τὴν τῶν ἐπιτηδείων χορηγίαν.

56 f. προφανεςέρα. scil. ἐμοί ἐςιν ἡ πρόφασις τȣ̃ ἀπολαυσθῆναι τῆς ἑςιάσεως.

57 ἀποςραφήσεται] ille qui me inuitauerat, hoc me magis auersabitur ob importunas meas delicias: h. e. quod delicatus et mollis non in loco fuissem.

58 malim sic distingui et legi: βαδίζειν ἀρκῶν ἔτι, καὶ τάχει.

59 ἐν τοῖς περὶ δεῖπνα] scil. ἁμιλλήμασι, vel σπȣδάσμασι vel δρόμοις. B. dat ἔν τε περί.

60 τὰς ἐν ταῖς ἁμίλλαις] scil. ςρεφομένȣς vel ἀγωνιζομένȣς. B. dat τȣ́τȣς ταῖς ἁμ.

61 τῆς] sic B. et m. M. subauditur ἕνεκα vel χάριν. τὰς t. M.

62 malim εἰ δὲ δή. B. dat εἰ δεῖ.

63 καί τοι ἂν m. M. καὶ τοῖον B.

64 ἐπαγγέλλει κλῆσιν dat B. hactenus recte, quod actiuum subiicit pro medio. sed leg. ἐπαγγέλλοι (in optat. act.) τὴν κλῆσιν, ecqui rursus de-

ὑποστάντι,[65] πῶς δ' οὐκ οἰχήσομαι πρὸ τοῦ φιλανθρωπεύματος· πῶς δ' οὐκ ἂν ἀπαχθήσομαι πρὸ τῆς εὐτυχίας καὶ δευτέραν ὑποστήσομαι συμφορὰν ἤδη, καὶ πολλῷ μείζονα, ὅσῳ καὶ σφαλῆναι δεύτερον, καὶ τεθνάναι δὶς ἀποκείσεται. Μὴ ὤφελεν[66] ἵππου γένεσις εἰς ἀνθρώπους παρελθεῖν, ἢ παρελθοῦσα μεῖναι μέχρι παντὸς ἀχείρωτος ἀνθρώποις· οἷά με διέθηκεν ὁ παλαμναῖος ἐκεῖνος· οἵων ὄψων ἀφείλετο καὶ τρυφῆς. πάλαι πολέμιον ἀνθρώποις τὸ χρῆμα· πάλαι σκηνὰς τραγικὰς πεπληρώκασιν, αἱ δι' αὐτοὺς κινηθεῖσαι συμφοραί. Τὰς Ἀμαζόνας οὐχ οὗτοι[67] ψεύσασθαι τὴν οἰκείαν ἐπῆραν φύσιν, ἀλλ' ἀρθεῖσαι γοῦν τούτοις, καὶ γυναῖκες ἠλέγχθησαν.[68] καὶ τῇ πρώτῃ πείρᾳ συγκατέλυσαν τὸ γένος·[69] τὰς Διομήδους ἐκτὸς[70] οὐκ ἀκούομεν ἀντὶ τῆς νομιζομένης τροφῆς, ἀνθρωπίνοις σιτεῖσθαι σώμασι; τὰς Τρωϊκὰς[71] συμφορὰς, καὶ τὴν Ἰλίου πόρθησιν οὐχ ἵππος ἦν[72] ὁ πορθήσας;

nuntiet inuitationem in vesperam?

[65] ὑποστάντι] sic B. et m. M. sed et praeterea sic lego: οὕτω σφοδρὸν vel δεινὸν λιμὸν ὑποστάντι. vel sic: πόθεν μοι δεῖπνον, δεινὸν οὕτω λιμὸν ὑποστάντι. qui fiat, vt conuiuii dapibus fruar ego, qui famem tam diram sustinuerim? ὑποστῆναι t. Mor.

[66] ὤφειλεν B.

[67] οὕτως B.

[68] ἀλλ' ἀρθεῖσαι γοῦν τούτοις, καὶ γυναῖκες ἠλέγχθησαν] sic B. haec verba desunt M. amplector supplementum, sed γοῦν non placet. Sententia potius ἐπεὶ postulat. Sublatae tergoribus equorum ex illis pendentes, vel etiam inflatae robore et velocitate equorum suorum aut γοῦν delendum est, aut ἀλλαὶ, aut denique latet in γοῦν exitus tertiae personae pluralis imperfecti actiui, nescio cuius verbi in εω.

[69] post γένος addit B. et m. M. τὰς αἰτολικάς. verum equae Diomedis non fuerunt ex Aetolia, sed e Thracia oriundae; nam Diomedes ille Thrax erat, non ille Aetolus, Homero celebratus, seculo fere posterior illo Thrace; nam Thrax erat Herculis aequalis; Aetolus autem Diomedes Achillis et belli Troiani.

[70] in ἐκτὸς videtur τοῦ θρᾳκὸς latere; alias non intelligo, quid sibi velit.

[71] τὰς δὲ τρ. B.

[72] non satis placet dictio ἵππος ἦν ὁ πορθήσας τὰς τρωϊκὰς συμφορὰς et ἵππος ἦν ὁ πορθήσας τὴν ἰλίου πόρθησιν. Sine dubio pro πορθήσας aliud va-

σας; ἀλλ' εἴθε μὲν οὖν[73] τῶν ἐπὶ Τροίαν ὀλωλότων ἐτύγχανον· ἐκεῖ μέθαι καὶ πλησμοναὶ, καὶ κῶμοι καὶ θάνατος ἀναίσθητος ἦν· ὁ δὲ ἐμὸς ἵππος ἄσιτον, ἄποτον, ἀκώμαστον, νήφοντα πρὸς τὴν συμφορὰν ἐκδέδωκεν. Ὦ θειότατε ποιητῶν Ὅμηρε, πάντα μέν σοι σὺν ἀληθείᾳ πεποίηται· τὸ γάρ,

Λιμῷ[74] δ' οἴκτιστον θανέειν καὶ πότμον ἐπισπεῖν,

ὅλην ἔχει τῆς ἀληθείας τὴν ἐπίνοιαν.[75] καί μοι δοκεῖς ἀντ' Ὀδυσσέως λιμώττων ταυτὶ πεποιηκέναι.[76] εὐδαιμόνως γὰρ εἴρηται καὶ σὺν ἀληθείᾳ. Μίαν αἰτῶ, ἄνδρες δικασταὶ, χάριν παρ' ὑμῶν· ἀλύω[77] γὰρ ἤδη, καὶ νάρκης αἰσθάνομαι· χοὰς ἐπαγαγεῖν ὁσημέραι τελευτήσαντί μοι· φασὶ γὰρ οὐκ ὀλίγην τὰ τοιαῦτα διδόναι τοῖς ἀπελθοῦσι παραμυθίαν. εἰ δὲ[78] βούλεσθε, δότε μοι λαβόντες[79] φέρειν· εἰ δὲ θελήσετε γραφῇ τὴν κατ' ἐμὲ κηρύξαι συμφορὰν, ἐπικουφιεῖτε πλέον ἐμοὶ τὸ δεινόν. γράφετε δ' αὐτόθι συμπότας καὶ δεῖπνα, καὶ συγκατακείμενον ἐμὲ, μὴ κἀκεῖ δυστυχοῦντα. Μή μοι τὸν ἵππον[80] ἡκέτω τις φέρων,[81] μηδὲ παρέστω τῷ μνήματι· μηδ' ἐποχούμενον αὐτῷ γραφέτω[82] μηδείς· ἀπολεῖ γάρ με κἀκεῖ.[83] φεύξεταί με λαβὼν ἄσιτον.[84] ἀλλ' ἔσω τις κἂν ἐν γραφῇ πλησμονὴ, καὶ αὐτόθι δείκνυτε σωφρονοῦντα.[85]

ΑΛΛΗΣ

cabulum requiritur, e. c. συσκευάσαι vel tale quid; num ποιήσας? proxime id quidem ad literarum vestigia accedit.

[73] μὲν οὖν] sententia potius postulat γάρ.

[74] λιμῷ] sic recte B. fame. λοιμῷ M.

[75] ἐπίνοιαν] videtur cernere veritatem. malim tamen ἐπίπνοιαν. ipsa veritas videtur tibi hanc sententiam in os indidisse.

[76] πεποιηκέναι τάδε m. M.

[77] ἀλύω] sic B. ἀλλοιῶ M.

[78] δὲ] sic B. δὴ M.

[79] λαβόντα B. et m. Mor.

[80] τῶν ἵππων B.

[81] ἀγαγέτω m. M.

[82] post γραφέτω videtur με deesse.

[83] ἀπολεῖ γάρ με κἀκεῖ] scil. ὁ οὕτω γράφων.

[84] φεύξεταί με λαβὼν ἄσιτον] video quidem sententiam, verum verba non expedio. Sententia haec est: caueto pictor, qui me pinget, me ostendere ieiunum.

[85] σωφρονοῦντα] ibi in illa pictura exhiberi, repraesentari me curate vt hominem sanae mentis. nunc enim ἀλύω (vt paulo ante dixerat) deliro.

ΑΛΛΗΣ ΜΕΛΕΤΗΣ ΘΕΩΡΙΑ.

ΦΘΟΝΕΡΟΣ,[1] τοῦ γείτονος αὐτοῦ[2] πλουτήσαντος ἐξαίφνης, ἑαυτὸν προσαγγέλλει.

Ἀλλ' εἰ καὶ καλῶς οἴεται τὸ δαιμόνιον εὑρηκέναι, δι' ὅτου ζῶν ἀνιάσομαι· τῷ γείτονι μὲν τοσοῦτον πλοῦτον δεδωκός· ἐμὲ δὲ ἐν τῇ πενίᾳ τετηρηκός· ὅμως ἐξεύρηταί μοι σοφώτερόν τι τῆς ἐκεῖθεν[3] μηχανῆς. κἂν ὑμεῖς[4] ἐθελήσητέ μοι συναγωνίσασθαι, καὶ δοῦναι τοῦτο ἐφ' ὅπερ ἥκω, λέλυταί μοι τὸ λυπηρὸν καὶ τὴν ἐπηρεάζειν βουλομένην τύχην νενίκηκα·[5] τὸ γὰρ ἐκ τοῦ νόμου κώνειον τοῖς πράττουσι κακῶς ὑμῶν διδόντων, εἰ πίοιμι μετὰ τῆς ἀθυμίας καὶ τοῦ βίου ἀπαλλάξομαι. οἶδα μὲν οὖν ὅτι κἂν μὴ[6] τύχω τοῦ φαρμάκου, τῇ λύπῃ γε ἀντὶ τοῦ φαρμάκου χρήσομαι. διαφέρει δὲ τοσοῦτον, ὅσον τὸ μὲν ταχὺ καὶ τήμερον ἀποθανεῖν παρέχει, καὶ τὸ λίαν ὀξέως χαρίζεται. τῆς δὲ ἀνέχεσθαι δεῖ τὸ σῶμα κατὰ μικρὸν δαπανώσης καὶ ποιούσης τὴν δυστυχίαν μακράν. ὥσπερ οὖν ἕκαστος ὑμῶν, εἰ τελευτᾶν ἀναγκαῖον εἴη, βούλοιτ' ἂν ὡς τάχιστα ἀφεῖναι τὴν ψυχήν, ἢ χρόνον ὡς πλεῖστον ἐν ἀλγηδόσι κατασαπεὶς,[7] ὀψέποτε ἀπελθεῖν· οὕτω καὶ[8] αὐτὸς τὴν διὰ τοῦ κωνείου προτίθημι τελευτήν, τῆς ἐκ τοῦ

[1] ὁ φθονερὸς dat M. sed Bau. omittit ὁ recte.

[2] αὐτὸ B.

[3] ἐκεῖνο m. M.

[4] ὑμεῖς] sic B. ἡμεῖς M.

[5] τύχην νενίκηκα] sic B. νενίκηκα deest M.

[6] μὴ] sic B. μὴν M.

[7] κατασαπῆναι B.

[8] οὕτω καὶ] sic B. οὕτω omittit M.

τοῦ λυπεῖσθαι συμβησομένης. ὑμεῖς δὲ μὴ[9] γένησθε[10] χαλεποὶ πρὸς τὴν δόσιν· ἀλλ' ἐπειδὴ τῷ γείτονι[11] γέγονεν ὁ πλοῦτος παρὰ τῆς τύχης· ἐμοὶ παρ' ὑμῶν, ὁ θάνατος. εἰ μὲν οὖν ἐσωφρόνουν ἅπαντες, οἱ πλήσιον οἰκοῦντες ἐκείνου, τοῦ πρώην[12] μὲν ἡμῖν ἐοικότος· νῦν δὲ ἐξαίφνης εὐδαίμονος, πολλοὺς ἂν ἑωρᾶτε ταυτὰ ποιοῦντας[13] ἐμοί, καὶ τῶν ἴσων χρήζοντας[14] τυχεῖν, καὶ δεομένους ἀποθανεῖν· ἐπεὶ δὲ λίαν ἀναισθήτως ἔχουσι, καὶ πρὸς γείτονος εὐτυχίαν οὐ μεμαθήκασιν ἀλγεῖν· ἀλλ' ἐν ἴσῳ τοῖς ἀνδραπόδοις στέργουσιν ὁρῶντες ἕτερον τοσαῦτα κεκτημένον, ἐγὼ πρόσειμι μόνος, ὃν οὐκ ἐᾷ τὸ φρόνημα τὰς τῶν πλησίον εὐπραξίας ἐνεγκεῖν. ἵν' ἐπειδὴ λείπομαι τοῦ πεπλουτηκότος χρήμασιν, ἀμείνων φανῶ τῶν ἄλλων, τῷ μὴ δύνασθαι ζῆν. ὁρῶ μὲν οὖν πολλοὺς τῶν περιεστηκότων κακίζοντάς μου τὴν φύσιν· καί τινος ἤκουσά που λέγοντος, τουτονδὲ[15] κηρύττειν τὸ νόσημα τῶν τρόπων· ὃν εἰ καί τις ἄλλος προὔφερεν,[16] ἀγανακτεῖν ἐχρῆν καὶ δοκεῖν ὑβρίζεσθαι.[17] περὶ ὧν ἐγὼ τοσοῦτον εἴποιμ' ἂν ὅτι τούτων οἱ μὲν ὄντως οὕτως ἔχοντες,[18] ἐλεεινοὶ τῆς νωθείας, καὶ νεκροῖς ἐοικότες· ἀκίνητοι τὴν γνώμην· οὐ πληττόμενοι τοῖς αὐτῶν[19] κακοῖς. ἀτεχνῶς λίθινοί τινες ὄντες, περὶ ὧν ἡ καλὴ παροιμία. βοῦς ἕβδομος· οὗτοι μὲν οὖν, ὅπερ ἔφην, ἄξιοι δακρύων. οἱ δὲ ἀγανακτοῦντες μέν, ὥσπερ ἐγώ, κρύπτοντες δὲ τὸν τρόπον, καὶ βουλόμενοι νομίζεσθαι μὲν ὅπερ οὐκ εἰσί, μὴ δοκεῖν δὲ ὅπερ εἰσίν, οὗτοι μισοῖντο μὲν ἄν, ὅτι μὴ συζῶσιν ἀδόλως, ἀλλ' ἐν πεπλασμένῳ τῷ σχήματι· καὶ αὐτοὶ δ' ἂν ἐλεοῖντο δικαίως, εἰ

9 μὴ] sic B. μὴν M.
10 γένοισθε B.
11 γείτονι μὲν B.
12 πρὶν B.
13 ποιοῦντας] sic B. ποιοῦντες Mor.
14 χρήζοντας] sic B. et m. M. χρήσοντας t. M.
15 τοῦτο δὲ B.
16 προὔφερεν] exprobrasset, scil. τοῦτο τὸ νόσημα αὐτῷ, hunc ei morbum.
17 ὑβρίσθαι B. et m. M.
18 οὕτως ἔχοντες] id est μὴ ἀλγούμενοι ταῖς τῶν πλησίον εὐπραγίαις.
19 ἑαυτῶν B.

εἰ τῷ γενναίῳ τῆς φύσεως αἰσχύνονται· δέον ἀγάλλεσθαι. ἐγὼ δὲ ἄδικος μὲν[20] ἐκ εἰμὶ, πόθεν; τοῖς θεοῖς δὲ ἀδικίαν ἐγκαλῶν ἐκ ἐπαυσάμην· οἳ καθάπερ ἀκρόπολιν τύραννοι κατειληφότες, οὐδὲν[21] ἴσον περὶ τῶν ἀνθρωπίνων φρονοῦσι· τοὺς μὲν ποιοῦντες[22] ἀθλίους, τοὺς δὲ εὐδαίμονας· ἔδει δὲ μὴ μόνον αὐτοὺς εἶναι κυρίους ἐξ οὐρανοῦ τὰ τῆδε στρέφειν[23] ἀλλὰ καὶ τοῖς ἠδικημένοις τῶν ἀνθρώπων, λόγον ἐν δικαστηρίοις ὑπέχειν· καὶ ἐκ ἂν ὥσπερ νῦν, ἐτόλμων τὸ παρασπᾶν· νῦν δὲ ἐν τοῖς ἡμετέροις τρυφῶσι κακοῖς, πᾶν τὸ δίκαιον ἀνελόντες. φέρε γὰρ εἴπως αὐτοὺς ἐδυνήθην δεῦρο καταγαγὼν διαλεχθῆναι βραχέα, τί ἂν ἀπεκρίναντο; ὑμεῖς οἱ τιμᾶσθαι βουλόμενοι, καὶ θυσιῶν ἀπολαύειν, ᾠήθητε χρῆναι[24] καὶ τὸ τῶν ἀνθρώπων ποιῆσαι γένος· εἴτε πηλῷ χρησάμενοι πρὸς τὴν ποίησιν, εἴθ' ὅτῳ δή ποτε· καλῶς. τί οὖν μαθόντες εὐθὺς ἠδικεῖτε περὶ τὰ πλαττόμενα· τὸν μὲν μείζω δημιουργοῦντες, τὸν δὲ ἐλάττω· τὸν μὲν ἰσχυρὸν, τὸν δὲ ἀσθενῆ· τὸν μὲν βραδύν· τὸν δὲ ποδώκη· τὸν μὲν ὡραῖ[25] λαμπρὸν, ἕτερον δὲ ἄμορφον; ἀλλ' ἀφίημι ταῦτα, καὶ μὴ ἔστωσαν εὔθυναι τῶν περὶ τὰ σώματα. τί οὖν ἐγκαλέσαι τις ἂν, ὦ βουλὴ, μάλιστα, καὶ τί τὴν πολλὴν ἀδικίαν ἔχει καὶ μέμψιν· ὅτι κατασκευάσαντες ὑμῖν ἔτω τά τε σώματα καὶ τὸν βίον, ὥστε καὶ χρημάτων δεῖν[26] εἰς σωτηρίαν, οἰκίας, ἐσθῆτος, διακόνων, ὑποζυγίων, σκευῶν, ἀργυρίε, χρυσίε· τοῖς μὲν πολλὰ ταῦτα καὶ μεγάλα νέμεσι· τοὺς[27] δ' ἐν ἀχρηματίᾳ ζῆν ἀναγκάζεσιν· εἶτ' ὄνομα[28] μὲν κοινὸν ἐλεύθεροι, τὰ δὲ ἔργα, τῶν μὲν ἃ δεσπότῳ ἐστί. τῶν δὲ, ἃ δούλων· διὰ τί; οὐ δύο[29] χεῖρες ἅπασιν, οὐ

[20] ἄδικος μὲν] sic B. μὲν deest M.
[21] ἐδὲν] sic B. ἐδὲ M.
[22] ποιῆσιν B.
[23] στρέφειν] sic B. τρέφειν Mor.
[24] χρῆναι] sic B. χρῆσθαι M.
[25] καὶ τὸν μὲν ὥρᾳ B.
[26] δεῖν] sic B. δεῖ M.
[27] τοῖς in. M.
[28] εἶτ' ὄνομα] sic B. ἢ τὸ νομα M.
[29] δύο] sic B. δύοι M.

οὐ πόδες δύο· οὐκ ὦτα καὶ ὀφθαλμοὶ τοσοῦτοι; τί ποτ᾽ οὖν μὴ μιᾷ φύσει μίαν ἐπέστησαν τύχην; ἆρ᾽ οὐ πολλῷ μετριώτερον κέχρηνται τοῖς θηρίοις, ἢ ἡμῖν; οὐ λέων λέοντος εὐπορώτερος; οὐ λύκου[30] λύκος; οὐ τῶν ἄλλων οὐδ᾽ ἓν οὐδενός· πάντα ἐν ὄρεσι καθεύδει· πάντα τοῖς αὐτοῖς τρέφεται. πάντα ὕδωρ πίνει· κοιναὶ μὲν πηγαί[31] κοινοὶ δὲ ποταμοί· πένεσθαι δὲ καὶ πλουτεῖν παρ᾽ ἐκείνοις οὐκ ἔστι· διόπερ οὐδὲ φθονεῖν.[32] τὰ δὲ ἡμέτερα πῶς; Ἡράκλεις τῆς ἀνωμαλίας· ὁ δεῖνα πλούσιος· καὶ χρυσὸς ἔνδον πολύς· ἕτερος ἐνδεής, καὶ περὶ τῶν ἀναγκαίων ἡ φροντίς. ἐπειθ᾽ οὗτος αὐτὸς ἐξαίφνης εὔπορος· ἄλλος δὲ πένης ἔτι·[33] διὰ τί; πολλάκις[34] γὰρ ἐρήσομαι. οὐ τὴν αὐτὴν οἰκοῦσι πόλιν; οὐκ ἐν τοῖς αὐτοῖς ζῶσι[35] νόμοις; οὐ τὴν αὐτὴν ἐπέρχονται γῆν; οὐ τοῦ αὐτοῦ μετέχουσιν ἀέρος; καὶ τί λέγω πολίτας; ἐν τοῖς γένεσιν ἡ τύχη τοιαῦτα νεανιεύεται· καὶ τὸ μὲν αἷμα ταυτόν· τὰ ὄντα δὲ οὐκ ἴσα· ἀλλ᾽ οὕτω τοὺς μὲν αἴρει· τοὺς δὲ καθαιροῦσα τέρπεται· ὥσθ᾽ οἱ τοῦ δεῖνος οἰκέται τῶν οἰκείων ἐκείνου σεμνότεροι· καὶ οἱ μὲν ἐπ᾽ ἄκρων πορεύονται δακτύλων· οἱ δὲ ἐπτήχασιν. ἡ δὲ δὴ τῶν δικαιοτάτων νομοθεσία θεῶν καὶ περὶ τὴν φύσιν τῆς γῆς τοιαῦτα πλημμελεῖ· ἡ μὲν γὰρ χρυσῖτις, ἄλλη δὲ ἀργυρῖτις· παρὰ δὲ τῆς, οὐδ᾽ ἂν σίδηρον λάβοις· ἡ μὲν πολύπυρος· ἡ δὲ πολύοινος· οἱ δέ τινες οἰκοῦσι πέτρας· οὐ τὴν γῆν. ἤδη[36] ἔμποροι δύο, μιᾶς ἐπιβάντες νεώς· ὁ μὲν ἐπανῆκεν εὐδαίμων· ὁ δὲ σὺν ἐλάττοσιν ἢ μεθ᾽ ὅσων ἐξέπλευσεν· ὅστις οὖν οὕτω κακοῖς κεχρημένος προστάταις οὐκ ἀγανακτεῖ, νοσεῖ τὴν ψυχὴν οὐ[37] λυπούμενος ἐφ᾽ οἷς ἄξιον; δοκιμασταὶ γάρ εἰσι τῶν πραττομένων οἱ θεοί· καὶ τοὺς χρηστοὺς ἀμείβονται πλούτῳ· τοὺς[38] δὲ πονηροὺς κολάζουσι πενίᾳ· καὶ μὴν ἐνταῦ-

[30] οὐ λύκου] ſic B. οὐ deeſt M.
[31] ὗλαι B.
[32] φθονεῖ B.
[33] ἔτι] ſic B. recte, adhuc, im poſterum quoque, vt ante fuerat. ἐστιν Mor.
[34] δὲ πολλάκις B.
[35] ζῶσι] ſic B. et m. M. ἔζων t. M.
[36] ἤδη τινὲς B.
[37] οὗτος οὐ B.
[38] καὶ τοὺς B.

ταῦθά γε ἐστὶ, τῆς ἀδικίας ὁ κολοφών· οὐχ ὁρᾶτε τοὺς πονηροὺς εὖ πράττοντας; οὐ τοὺς βελτίους[39] ἀτυχοῦντας; πόσοι μὲν ὑβρισταὶ καὶ μοιχοὶ, καὶ πατραλοῖαι, καὶ φονεῖς καὶ προδόται ζάπλουτοι; πόσοι δὲ μέτριοι καὶ χρηστοὶ καὶ δίκαιοι· καὶ θεοὺς φοβούμενοι, καὶ φίλους αἰσχυνόμενοι· καὶ νόμοις πειθόμενοι, καὶ πατρίδος κηδόμενοι, μόλις ἔχουσιν ὅσον ἀποζῆν; τί δεῖ πόῤῥωθεν ἀποδεικνῦναι τὸν λόγον· ἀλλ᾽ ὑμεῖς, ὦ πεντακόσιοι, φαίητ᾽ ἂν εἶναι πονηροί· καὶ πολλὰ ποιεῖν ὧν οἱ νόμοι κωλύουσι, καὶ δίκην ὀφείλειν τοῖς θεοῖς; οὐδ᾽ ὑμεῖς εἴποιτ᾽ ἂν, ἐγώ τε ὑμῖν οὐ σύνοιδα. τί οὖν ἀπὸ σεμνῶν ἅπαντες οἰκιῶν ἥκετε νῦν· καὶ πάλιν ἀναστάντες ἐπὶ τρυφὴν βαδιεῖσθε; ἀλλ᾽ ἔγωγε πολλοῖς[40] ὑμῶν οἶδα μίαν οὖσαν καταφυγὴν, τὸν ἐνθένδε μισθόν. πῶς οὖν τοῖς ἐπιεικέσι τὰ βελτίω, καὶ τοῖς μὴ τοιούτοις τὰ χείρω; πῶς δὲ οὐκ ἀνάγκη δυοῖν θάτερον, ἢ μὴ εἶναι τοὺς λεγομένους θεοὺς, κρατεῖν δὲ ἀντ᾽ ἐκείνων ταὐτόματον, ἢ τῆς ἐκείνων ἀρχῆς ἀπεῖναι τὸ τοῦ δικαίου μέρος; ἃ[41] παιδίον μὲν ὢν[42] ἔτι, καὶ ἐν γάλακτι, μήτ᾽ ἀκούων, μήτε μανθάνων, ἐκέρδαινον[43] τῇ διὰ τὸν χρόνον ἀγνοίᾳ· φοιτῶν δὲ εἰς διδασκάλους, καὶ συνεὶς ἤδη, τί πενία, τί πλοῦτος· καὶ πυνθανόμενος δαιμόνων γνώμῃ τὰ τῶν ἀνθρώπων ἄγεσθαι, τῆς λύπης ἐδεχόμην ἀρχήν. ἑώρων τοῖς συμφοιτηταῖς, ἐσθῆτα βελτίω, καὶ βιβλία λαμπρότερα· καὶ τὴν ψυχὴν ἀπῄειν πεπληγμένος· ἤκουον διηγουμένων[44] ἑστιάσεις πολυτελεῖς· καὶ πάλιν ἐπληττόμην. γάμου καιρὸς ἧκεν, ὡς οὐκ ὤφελεν·[45] ἐγάμουν ὡς οὐκ ἔδει· νομίζων γὰρ, ὥσπερ ἑτέροις, φορὰν ἀγαθῶν ἔσεσθαί μοι τὸ πρᾶγμα, συμφορὰν ᾐσθόμην προσθέμενος· λύσας δὲ οὐδὲν τῶν κακῶν· ἔδει γὰρ χωρὶς μὲν ἀλγεῖν ἐπὶ ταῖς τῶν ἀνδρῶν εὐτυχίαις· χωρὶς δὲ τῷ

τῆς

39 βελτίστους B.

40 πολλοῖς] sic B. πολλοὺς t. M.

41 ἃ deest m. M.

42 ὂν B.

43 ἐκέρδανον m. M.

44 ἐξηγουμένων B.

45 ὤφελεν] sic B. ὄφελεν Mor.

τῆς ἐμῆς γυναικὸς ἑτέρας εὐπορωτέρας ὁρᾶσθαι. πάλιν οὖν ἐνταῦθα τοῖς θεοῖς ἐνεκείμην· ὦ Ζεῦ καὶ ἥλιε καὶ γῆ καὶ Ἥρα, καὶ Δήμητερ, ὁ δεῖνα τῶν πολλῶν εἷς ὤν, πρὶν ἢ γαμεῖν, μετὰ τὸν ὑμέναιον ἐν τοῖς εὐπόροις· ἐγὼ δὲ οἷος πρίν.[46] τί τῶν περὶ τὸν γαμήλιον[47] ἐκλελοιπώς· οὐχ ἧψα δᾷδας; οὐκ ἐστεφανωσάμην; οὐκ ἔθυσα κατὰ δύναμιν; οὐχ εἱστίασα τοὺς φίλους; ποῖ δή μοι ταῦτα οἴχεται καὶ παρανάλωται; τοσαύταις τοίνυν, ὦ βουλή, βαλλόμενος καὶ τιτρωσκόμενος ἀχθηδόσιν, ἀντεῖχον ὅμως[48] καὶ διεκαρτέρουν, ἐξ ἑνός μοι μόνου παραμυθίου. τί δὲ τοῦτο ἦν; ἦν μοι γείτων· ἐοικὼς μὲν κατὰ τοὺς τρόπους· οὐ διεστηκὼς[49] δὲ κατὰ τὴν τύχην· ταυτὰ λυπούμενος, ἀπὸ τῶν αὐτῶν ἀγανακτῶν· ἐγενόμεθα[50] δὴ συνήθεις, τοῖς τε ἄλλοις,[51] καὶ τῷ πλησίον οἰκεῖν· κοιναὶ μὲν ἡμῖν πρόσοδοι· κοιναὶ δὲ διατριβαί· κοινὰ δὲ λουτρά· κοιναὶ τράπεζαι· καὶ σὺν ἀλλήλοις εἰς ἀγορὰν ἐνεβάλλομεν· εἰς ἐκκλησίαν ἐφοιτῶμεν· ἀνεστρέφομεν οἴκαδε· ταῖς νουμηνίαις, νόμῳ μὲν πόλεως ἐθύομεν· νοῦν[52] δὲ οὐκ ἔχειν ἠπιστάμεθα τὴν θεραπείαν· ἐπὶ δεῖπνον ἄκλητοι παρ' ἀλλήλους ἐχωροῦμεν· νοσοῦντι παρεκαθήμην· τῶν αὐτῶν ἀρρωστῶν ἀπήλαυον· ἤδη λόγος ἦν ἐν τῇ πόλει τῆς ἡμετέρας συνηθείας· εἰς τοσοῦτον ἀφῖκτο. δι' ἐκεῖνον ἐγὼ τὸν ἄνθρωπον οὐ πάλαι τὸ κώνειον ᾔτησα· ἐπειδὴ γὰρ ἀπηλλάγημεν ἐκ τῶν ἐκκλησιῶν καὶ τῆς ἀγορᾶς· ἰδόντες τὸν μὲν στρατηγὸν ᾑρημένον· τὸν δὲ πρεσβευτὴν κεχειροτονημένον· τὸν δὲ σιτώνην· τὸν δὲ βοώνην· τὸν δὲ ἐστεφαναμένον· τὸν δὲ εἰκόνος τετυχηκότα· ἀνθρώπους ἀπ' ἐργαστηρίων ἐκπεπηδηκότας, γναφέας[53] καὶ[54] βυρσοδέψας καὶ τέκτονας· στένοντες μὲν ἀνεχωροῦμεν·[55] μεμφόμενοι τῷ δήμῳ· καταρώμενοι τοῖς λέγουσιν αὐτοῖς οἷς[56] εὐδαιμονίζομεν

τοὺς

46 πρὶν] πρὸ τοῦ B.
47 περὶ τὸν γαμήλιον] scil. διαγίγνεσθαι νομιζομένων. B. dat τί τῶν γαμηλίων sine περὶ τόν.
48 ὅλως m. M.
49 διεστηκὼς] sic B. διεστηκὸς M.
50 γινόμεθα B
51 τῇτε ἄλλῃ B.
52 νῦν B.
53 γναφέας] sic B. fullones γραφέας M.
54 τε καὶ B.
55 ἀπεχωρ. B.
56 εὖ οἷς B.

τοὺς παρὰ τὴν ἀξίαν εὖ πράττοντας, ἀγχόμενοι πολὺν δὲ χρόνον ἄφωνοι μένοντες· καὶ κρατοῦντες τοῦ μηδὲ ἐσθίειν· ὀψέ ποτε βλέποντες εἰς ἀλλήλους ἀνεφέρομεν· καὶ ἐμὲ μὲν ἔπειθε ζῆν ἡ ἐκείνου ταπεινότης· ἐκεῖνον δὲ τὸ[57] μὴ τῶν ἐκείνου τἀμὰ γεγονέναι βελτίω· καὶ φθειρόμενοι τοῖς ἑτέρων ἀγαθοῖς ἀμφότεροι,[58] τοῖς ἀλλήλων ἐσωζόμεθα κακοῖς· ἐγγύθεν γὰρ ἦν τὸ κουφίζον[59] πενία[60] γείτονος. ἔστιν ἀργύριόν σοι, πολλάκις ἠρόμην· ὁ δὲ ἀπέφησε· τοῦτό με εὔφρανε·[61] σοὶ δέ ἐστι, πάλιν ἐκεῖνος ἤρετο· μόλις, ἔφην, ὀβολός. κἀκείνῳ τοῦτο ἥδιστον· ἤδει μὲν[62] γὰρ ὡς ἕως ἂν ὦμεν ὅμοιοι τὴν τύχην καὶ φίλοι·[63] πλοῦτος δὲ ὑπεροψίαν ἐμποιῶν κινεῖν φιλίας πέφυκε· καὶ τοῦτ' ἄρ' ἦν τὸ λεγόμενον, ἰσότης, φιλότης, τὸ μηδαμῆ τὸν ἕτερον ὑπεραίρειν θατέρου. μέχρι μὲν οὖν ἐδόκει τοῖς θεοῖς περιεῖναί με, καὶ τῷ γείτονι τὸν ἔμπροσθεν ἐτήρουν βίον. ἐπεὶ δὲ περὶ τἀκείνου καινοτομοῦσιν, ἐμοὶ παραινοῦσιν ἀποθανεῖν· χωρούντων γὰρ ἡμῖν, ὡς ἔφην, τῶν πραγμάτων, πρώην, ὦ βουλὴ, τῷ πένητι καὶ φίλῳ· πῶς εἴπω; πῶς διεξέλθω; πῶς ἀρκέσω διηγήσει πικρᾷ; τρόμῳ κατείλημμαι, καὶ λειποψυχῶ, καὶ κατατείνομαι, καὶ πάσχω δεινότατα ἀνθρώπων. ὧν γὰρ ὅπως ἔξω γενοίμην ἀποθανεῖν βούλομαι, ταῦθ' ὅπως ἀποθανεῖν μοι γένηται,[64] λέγειν ἀναγκάζομαι· πρώην τοίνυν· δεῖ γάρ με καὶ τοῦτο ὑπομεῖναι, διηγεῖσθαι ταῦτα, ἃ μηδὲ ἀκούων ἤνεγκα. ἐξελθὼν ἕωθεν, καὶ κεκλεισμένας ἰδὼν τὰς τοῦ γείτονος θύρας, οὐκ εἰωθὸς ὄν· προσελθὼν, κρούσας ἐκάλουν· ὡς δὲ οὐδεὶς ὑπήκουε, πάνυ σφόδρα κόπτων, καὶ βοῶν, μόλις ἤκουσα παρά του τῶν ἔνδον ἀπιέναι· δεῖν γὰρ ἐκεῖνον εἴσω[65] μένειν. τί τοῦτο, ἔφην, ἀῤῥωστεῖ; πῶς οὖν οὐκ εἰσκαλεῖ; χαλεπόν τι συμβέβηκεν ἕτερον;

οὐκοῦν

[57] τὸν B.
[58] ἀμφοτέροις B.
[59] κουφίζοι B.
[60] πενία] sic B. πενίαν M.
[61] μοι ηὖφ. m. M.
[62] leg. ἤδειμεν, uno vocabulo.
[63] φίλοι] scil. ἐσοίμεθα.
[64] γένοιτο B. et m. M.
[65] ἔνδον B.

ἐκοῦν ὁ καιρὸς φίλου; τὴν γυναῖκα πλημμελήσασαν ἐπανορθοῖ[66] πληγαῖς; πολλάκις τοῦτο ἐν ὀφθαλμοῖς ἡμῶν πέπρακται· κρεῖττον ἦν τὸ πρᾶγμα λογισμῶν. καὶ ἀπιὼν ᾠχόμην. ὁ δὲ ἔνδον ὁ μακάριος, ἐδέχετο τὰ δῶρα τῆς τύχης· καὶ τοῦτ᾽ ἦν πολλὰς ἐφεξῆς ἡμέρας· ὥστε με ἀπορεῖν καὶ σπαράττεσθαι, πανταχῆ τῇ γνώμῃ στρεφόμενον·[67] ὡς δὲ ἐξῆλθέ ποτε φαιδρὸς[68] καὶ μειδιῶν, καὶ φέρων ἐπὶ τοῦ προσώπου τῶν ἔνδον ἀγαθῶν σύμβολον· προσδραμὼν ἐγὼ, καὶ ζητῶν ἐφ᾽ ὅτῳ κρύψειεν ἑαυτὸν, σαφὲς μὲν ἤκουον, οὐδὲν οὐδέπω· τὸν δὲ ἄνθρωπον, πολλοῖς εὕρισκον τεκμηρίοις, ἄλλον γεγενημένον. ἐνταῦθά τις ἐξελάλησεν, ὡς πεπλούτηκεν ὁ γείτων, καὶ οὐκ ἐψεύσατο. καθάπερ γὰρ αὐτῷ τῆς γῆς χρυσοῦ πηγὰς ἀναδούσης, πάντα πολλὰ καὶ μέγαλα, καὶ τῶν ὑποκριτῶν ὀξύτερον τὸ σχῆμα μεταβέβληκεν· ὁ κεκυφὼς ὤρθωται· ὁ σκυθρωπάζων γελᾷ· ὁ τῆς τύχης κατήγορος, νῦν ἐπαινέτης· ὁ πρώην ἐν ῥακίοις, τὴν ἱερὰν ἐσθῆτα φορεῖ· νῖκαι, στέφανοι, περὶ τὰς θύρας, οἰκέται διαθέουσιν, ὀσφρῶνται[69] τῆς εὐδαιμονίας οἱ κόλακες· μετὰ πολλῶν βαδίζει· παρέωσμαι· καταπεφρόνημαι· μόλις τυγχάνω προσρήσεως. ἐδεήθην μαθεῖν, ὅθεν ἥκει τὸ ῥεῦμα τῶν χρημάτων· ὁ δὲ νεύσας τι πρὸς τὸν οἰκέτην, ἀφῆκεν οἴκαδε τρέχειν· ἀπεκρίνατο δὲ πρὸς ἡμᾶς οὐδὲ γρύ. δακνόμενος δὲ[70] τοῖς ἔξωθεν[71] φαινομένοις, ἐβουλήθην ὁ δυστυχὴς ἐγὼ καὶ τὴν εἴσω θυρῶν εὐδαιμονίαν ἰδεῖν· καὶ τὰ πρῶτα φεύγων αὐτῷ συνδειπνεῖν· ἐν γὰρ δὴ τοῖς πολλοῖς καὶ αὐτὸς ἐκαλούμην, ὁ πρότερον μόνος μόνῳ συζῶν, ὑπήκουσα, καὶ κακὸν ἑκὼν ἐπεσπασάμην· ὡς γὰρ εἰσῆλθον, πολλοῖς τοξεύμασιν ἐβαλλόμην τὴν ψυχὴν διὰ τῶν ὀφθαλμῶν· ἑώρων ἡμικύκλιον ἠσκημένον· τάπητας[72] ἐπὶ βάθρων

66 ἐπανορθᾶν B.

67 στρεφόμενον] sic B. στρεφόμενος M.

68 φαιδρῶς B.

69 ὤσφροντο B. et m. M. malim ὥσφροντο, quia circumstant tot alia praesentia.

70 δὴ B.

71 ἔξωθεν] sic B. ἔξω M.

72 δάπιδας m. M.

θρων· τράπεζαν ἐξ ἀργύρου, ὀψοποιὸν,[73] οἰνοχόους, χρυσίδας, πινακίσκους, ὄψα[74] ποικίλα. Θάσιον οἶνον· πλῆθος διακόνων· σπουδὴν μετὰ σιγῆς· τὰ δὲ αὐτὰ βλέπειν τε ἐπειρώμην ἀκριβῶς, καὶ βλέπων ἠνιώμην· ἐπὶ πάντα μὲν εἱλκόμην· πανταχόθεν δὲ ἐπληττόμην· μὴ θεάσασθαι[75] μὲν οὐκ ἠνειχόμην·[76] θεώμενος δ' ἀπωλλύμην. οἱ μὲν οὖν ἄλλοι διαιτυμόνες ἤσθιόν τε καὶ ἔπινον· ἐγὼ δὲ ἴδιον, ἐκαλινδούμην· ἔτριβον τὴν κεφαλήν· οὐ μετεῖχον ἐδωδῆς· ἀπεωθούμην ἐκπώματα· καί που καὶ σφοδρότερον ἀναστένων, ἤλεγξα[77] τὸ πάθος· ὥστε καὶ γέλωτα παρεῖχον τοῖς συμπόταις ἤδη μεθύουσιν. ἦν γὰρ δὴ παρὰ τῷ γείτονι τοσοῦτος οἶνος,[78] ὅσον περ ὕδωρ. αὐλητρίδες τὸ ἐντεῦθεν, καὶ ηὐλούμεθα μέχρι πόῤῥω που τῶν νυκτῶν· ἐμοὶ δὲ μικρὸν ἔτι μετῆν ψυχῆς· καὶ πρὸς ἐμαυτὸν ἔλεγον· οὗτος ἐκεῖνος; οὗτος ὁ γείτων; οὗτος ὁ πένης· οὑμὸς ἑταῖρος; ἀπάτη ταῦτα, καὶ θαυματοποιῶν τέχνη· καὶ παράκρουσις ὀμμάτων· ἢ τὰ ὄντα ὁρᾶται·[79] ηὐξάμην, ὦ βουλὴ, τῷ Ποσειδῶνι, σεῖσαι, καὶ τὴν οἰκίαν καταβαλεῖν· καὶ ποιῆσαι τὸν ἀνδρῶνα τοῖς πίνουσι τάφον· αὐτὸς ἂν ἡδέως πρῶτος κατεχωννύμην, ἑψομένου μοι τοῦ πλουσίου· βεβαπτισμένων δ' ἤδη[80] τῶν δαιτυμόνων, καὶ οὐδὲ ὀρθοῦσθαι δυναμένων, ἀπῄειν αὐτὸς θεατὴς δείπνου γεγενημένος· καὶ ῥίψας ἐμαυτὸν εἰς τὸν σκίμποδα τὸν οὐκ ἀμειφθέντα παρὰ τῆς τύχης, τὰ πολλὰ μὲν ἄυπνος[81] ἐκείμην οἰμώζων· βραχὺ δέ τι δεξάμενος ὕπνου, τὴν τοῦ γείτονος ὀνειροπόλουν κατασκευήν· ὥςε ἐξηγειρόμην[82] σὺν βοῇ· ὢ δεινῆς ἀγρυπνίας ἐκείνης· ὢ πικροτέρων ὀνειράτων. ἠρώτα τὸ γύναιον, ὅ, τι πέπονθα· κακόδαιμον, ἀπεκρινάμην· ἀγνοεῖς τὰ τοῦ γείτονος; ὑπερ-

73 ἀργύρου τραπεζοποιὸς ὀψοποιὸς E.

74 πινακίσκους· δίσκους ὄψα B.

75 θεᾶσθαι B.

76 ἠνεχόμην B.

77 ἐξήλεγξα B.

78 οἶκος B.

79 ἴσ. τὰ οὐκ ὄντα, ὡς ἔντα ὁρ. M.

80 δ' ἤδη] ſic B. δ' deeſt M.

81 ἄγρυπνος B.

82 ἐξεγειρ. B.

ὑπερβαίνει τὰ ἔργα τὸν λογισμόν· οὐ φέρω τὴν μετάστασιν· δότω τίς ξίφος· ἐμαυτὸν ἀποκτείνω· μᾶλλον δὲ οὐχ οὕτως· ἔστιν ἀντὶ τοῦ ξίφους φάρμακον, δημοσίᾳ πινόμενον. τοῦτ' αἰτήσειν ἔφην· τοῦτ' αἰτῶ νῦν· δότε δή, καὶ λύσατέ με τῆς χαλεπῆς θέας τῶν τοῦ γείτονος ἀγαθῶν· οὕτω δή μοι πολιορκουμένῳ παρελθών τις τῶν κομψῶν ῥητόρων, διαλέξεται, καὶ φιλοσοφήσει περὶ τῶν ἀνθρωπίνων κακῶν· καὶ ὡς τὰ μὲν ἀφόρητα, καὶ δεῖ φαρμάκου· τὰ δ' ἀνεκτά, καὶ πολλῆς ἀνοίας ἀντὶ τοῦ φέρειν, ἐπὶ τὸ κώνειον τρέχειν· οἷος λελώβηταί σοι τὸ σῶμα, καὶ οὐκ ἂν ἔχοις αὐτῷ κεχρῆσθαι· προσιὼν ἀπόθνησκε· λόγον ὁ θάνατος ἔχει· πλῆθός σοι παίδων ἀπήνεγκε νόσος, καὶ πέπτωκας[83] εἰς ἀπαιδίαν; πάλιν βουλομένῳ τελευτᾶν, ἐναντιοῦσθαι περίεργον· εἰ δέ τις πλουτεῖ, μηδὲν[84] τῶν σῶν ἀφῃρημένος, ποῦ σῶφρον[85] ἐπὶ τούτῳ θανατᾶν,[86] εἰπέ μοι· σὺ δὲ ποτέρων ὢν ταῦτά μοι νουθετεῖς;[87] τῶν ἐξαίφνης καὶ αὐτὸς πεπλουτηκότων; εἰκότως ἄρα σεμνολογῇ, τῆς ἐμῆς πληγῆς ἀφεστηκώς. ἐν γὰρ ἀλλοτρίοις κακοῖς, οὐ χαλεπὸν πορίσασθαι λόγους εὐπρεπεῖς. ἀλλὰ καὶ αὐτὸς εἰ πένης, καὶ τῶν ἑτέρους[88] μακαριζόντων; τὸ λαβεῖν οὖν κώνειον ζητεῖν ἀφεὶς, ὅπως τὸν βουλόμενον κωλύσῃς λαβεῖν, μηχανᾷ; καὶ δέον προτρέπειν ἀνείργεις; καὶ δέον μιμεῖσθαι μεταπείθεις; ἀργότατε ἀνθρώπων, οὐ κοινωνήσεις τῆς ἀποδημίας; οὐκ ἔσῃ μοι συμπότης; οὐκ ἀπαλλάξεις[89] τούτων[90] τῶν ἀποβλεπομένων; μηδεὶς οὖν ὑμῶν, ὦ βουλή, λεγέτω περὶ τῶν ἐθελόντων ἀποθανεῖν· οὗτος εἰκότως· οὗτος οὐκ εἰκότως. ἑκάστῳ γὰρ ἐφ' ᾧ[91] λυπεῖται, τοῦτο βαρύ· καὶ διαφερόμεν γε τῇ περὶ ταῦτα δόξῃ πλέον, ἢ τῷ τύπῳ τῶν μορφῶν· οὔτε τῶν[92] αὐτῶν ὡς καλῶν ἐπιθυμοῦντες,[93] οὔτε τοῖς αὐτοῖς ὡς δεινοῖς ἀνιώμενοι· οἷος ὁ μὲν ἐρᾷ τοῦ δύνασθαι

83 πέπτωκεν B.
84 μηδέν τι B.
85 σώφρων B.
86 θανατᾷ B.
87 νομοθετεῖς B. et m. M.
86 ἕτερον m. M.
89 ἀπαλλάξῃ B.
90 τουτωνὶ B.
91 ὅτῳ B.
92 τῶν] sic B. τούτων M.
93 θυμοῦντες B.

θαι λέγειν, καὶ τὰ ἄλλα αὐτῷ μικρά· τῷ δὲ, τὸ κρατεῖν ἐν μάχαις μέγα, καὶ τῶν ἄλλων οὐδεὶς λόγος· ὁ μὲν ἐπιθυμεῖ τῶν ἐκ γῆς καρπῶν, καὶ φρίττει τὴν θάλασσαν· τῷ δὲ τὸ πλεῖν ἥδιον τοῦ περὶ τὴν γῆν ταλαιπωρεῖν· ἕτερος ἥττων χρημάτων, καὶ τὰ λοιπὰ γέλως· τῷ δὲ μία σπουδὴ, στέφανον ἐξ Ὀλυμπίας λαβεῖν, καὶ πᾶς αὐτῷ χρυσὸς, εἰ πρὸς τὸν κότινον ἐξετάζοιτο, φαῦλος. οὕτω δὲ[94] καὶ πρὸς τὰ δυσχερέστερα τῶν πραγμάτων ἔχουσιν ἄνθρωποι· τοῖς μὲν δεινότατον εἶναι δοκεῖ φυγή· τοῖς δὲ ἀτιμία· τοῖς δὲ δήμευσις· τοῖς δὲ τὸ δεδέσθαι· τοῖς δὲ παίδων θάνατοι· τοῖς δὲ τὸ πεπηρῶσθαι· καὶ ταῦτα τοὺς μὲν ἔπεισεν ὡς οὐκ ἄξιον ζῆν· τοῖς[95] δὲ ὡς ἐπὶ κούφοις μὴ τεταράχθαι. σοὶ δεινὸν ἀποβολὴ παίδων; ἐμοὶ δὲ γείτονος εὐτυχία. ἑτέρῳ χεῖρα ἀποτετμῆσθαι· ἐμοὶ παροικεῖν εὐδαίμονι. μή μοι νομοθέτει τίσιν ἀλγεῖν ἄξιον· ἀλλ' εὑρὼν ἐφ' ὅτῳ οὖν ἀλγοῦντα, μετάδος τῆς βοηθείας. ἢ πῶς οὐ σχέτλιον, ἐμὲ μὲν τῷ πάθει πιέζεσθαι· τὸ δὲ τῷ πεπονθότι μέγα, μικρὸν τοῖς ἀκούουσι δοκεῖν. ὥσπερ ἂν εἴ τις τὸν ὑπ' ἔχεως δεδηγμένον ἀφέντα βοᾶν, κελεύει[96] γελᾶν. οὐκ ἂν ἴδοις με νικώμενον ὑπ' ἄλλης συμφορᾶς· οὐδ' ἂν αἰτοῦντα κώνειον ἐπ' ἐκείνοις, οἷς σὺ τραγῳδεῖς κακοῖς. παίδων στερηθεὶς, ἤνεγκα ἄν· καὶ συνήσθην ἀπηλλαγμένοις[97] τῆς τῶν θεῶν ἀκρισίας· χειρῶν καὶ ποδῶν ἀποκοπεὶς, οὐκ ἂν ἀπεῖπον· εἶχε γάρ τι[98] τὸ ἀτύχημα καὶ τερπνὸν, μὴ πολλοῖς ἐντυγχάνειν ἐπ' ἀγορᾶς πλουσίοις· ἔδειξα ἂν ἀνδρείαν καὶ τυφλωθεὶς, ἐν πενίᾳ κατεχομένου τοῦ γείτονος·[99] οὐ φέ-

ρω

94 δὴ et δυσχερέστατα m. M.

95 τοῖς] imo vero τὰς vt modo praecessit hoc ipso versu. scil. ἔπεισε. alios istaec movent, vel hortantur, nil animo commoueri, vel perterreri.

96 malim κελεύοι, aut κελεύῃ.

97 ἀπηλλαγμένοις] sic recte B. (in datiuo plur.) ad genitiuum τῆς ἀκρισίας. Subauditur ἕνεκα, vel ἐπὶ προφάσει M. dat ἀπηλλαγμένος.

98 ἔχειν ἄν τι B.

99 post γείτονος deesse videtur πλεονεκτοῦντας δέ.

ρω τὸ παρὸν, οὐ φέρω. μεῖζόν ἐστι τῆς ἐμῆς ψυχῆς τὸ φορτίον· πένητες ἦμεν ἄμφω· νῦν δὲ τἀκείνου μεθέστηκε· μεταστήσομαι δὲ[100] καὶ αὐτὸς εἰς βέλτιον· πολλοὶ πολλάκις τεθνᾶσι παρ' ὑμῖν, δεηθέντες ἀπελθεῖν· ἀναμνήσθητε δὴ τῶν ῥημάτων οἷς χρησάμενοι τὴν βουλὴν ἔπειθον· ἀτυχῶ, δυστυχῶ· δυσμενοῦς[1] πεπείραμαι τύχης· πονηρῷ συμπέπλεγμαι δαίμονι· ταῦτα δὴ καὶ αὐτὸς ἔχω λέγειν· ἀτυχῶ, δυστυχῶ· μισεῖ με καὶ ποιεῖ κακῶς ὁ δαίμων· ἡ καταλαβοῦσα τύχη τῶν χρημάτων τὰς πηγὰς οὐκ ἐπαντλεῖ. εἰ μὲν οὖν εὐτυχεῖν με φήσει τις, ψεύσεται. δυστυχεῖν δὲ ὁμολογῶν, τί ζῆν ἀτυχοῦντα βούλεται; λύπη τοὺς ἄλλους ἠνάγκαζεν ἐπιθυμῆσαι τελευτῆς. ὑπὸ λύπης ἥκω δεῦρο καὶ αὐτός· ἀλλὰ ζῆν παραινεῖ τις; οὐ δυνάμενον νουθετεῖ. τί φῄς; ἐγὼ βιώσομαι, τῆς πλησίον οἰκίας οὕτω πραττούσης; ὀφθαλμοὺς ἔχων; ὦτα ἔχων; ὁρῶν ἐκεῖνα; περὶ αὐτῶν ἀκούων; καὶ τί διοίσω τῶν ἐν ᾅδου κολαζομένων; οὐ τὸ ζῆν αὐτὸ[2] καλόν ἐστι, ὦ βουλή· τὸ δὲ σὺν εὐθυμίᾳ ζῆν ἐξεῖναι, τοῦτο καὶ τὸ ζῆν ἐν τοῖς καλοῖς τίθησι· τὴν δὲ εὐφροσύνην ἂν ἀφέλῃς, ζημία τὸ μὴ τεθνάναι· μὴ τοίνυν με τηρήσητε[3] πένθει καὶ πολυημέρῳ κατηφείᾳ καὶ δάκρυσι, μηδ' ἀφ' ὧν ἥκω, πάλιν ἐπὶ ταῦτα ἀποπέμψητε. λίθινος γὰρ ἂν ἀνάσχοιτο[4] τῆς θέας ἐκείνης. ἕωθεν ὀψώνης πρόεισι σὺν ἀδρῷ τῷ βαλαντίῳ· τοῦτο δὲ κενώσας, σπυρίδας ἐμπλησάμενος ἀναστρέφει τῶν ὠνίων τὸ πλέον ἄγων·[5] ἔπειτ' ἐφ' ἕτερον ἔξεισι, καὶ πάλιν τὶ φέρων ἐπάνεισι· πολλοὺς διαύλους κατ' ἐμοῦ τοῦ κακοδαίμονος τρέχων· μικρὸν δὲ πρὸ μεσημ-

100 δὲ] malim δὴ *itaque*.

1 δεδυσμενοῦς B.

2 οὐ τὸ ζῆν αὐτὸ] sic B. solum et merum viuere non est res praeclara. Bloss und allein leben, an sich betrachtet, ist nichts sonderbares.

3 τηρήσητε] sic B. in coni. et statim in seq. ἀποπέμψητε. M. dat τηρήσετε.

4 γὰρ ἂν ἀνάσχοιτο] sic B. ἂν deest M.

5 τὸ πλέον ἄγων] sic B. secum auferens et domum referens rerum esculentarum in foro venum expositarum partem longe maximam. ἄγων deest M.

μεσημβρίας ὁ γείτων λελουμένος ἔρχεται, στρατοπέδῳ κολάκων παραπεμπόμενος· καὶ κτύπος βαδιζόντων, καὶ γέλως ἐπὶ τοῖς παρ' ἐκείνου σκώμμασιν. ἐγὼ δὲ καταδὺς ὑπὸ τὴν κλίνην, φεύγω τὸ γύναιον αἰσχυνόμενος·[6] ἔπειθ' οἱ μὲν ἀριστῶσι σὺν λαμπροτέρῳ τῷ γέλωτι· καὶ πίνοντες ᾄδουσι ὕμνους τινας, ὥσπερ εἰς θεὸν τὸν γείτονα συντεθεικότες. ἐγὼ δὲ παρατίθεμαι τράπεζαν, ἥλιε, τὴν ἀρχαίαν, δείλης ὀψίας ὀρνιθοθῆραι.[7] καὶ[8] κυνηγέται· πολλοὶ μὲν ἵπποι· πολλοὶ δὲ κύνες, καὶ πανταχόθεν ἡ τρυφὴ καὶ τὸ δεῖπνον ἔπεισι, συχνὴν ἄγον τὴν πανήγυριν· ἐφ' ὃ[9] καλούμενος κρύπτομαι· τῆς ὑστεραίας ταυτὰ πάλιν, ὁ μὲν σκοπεῖται περὶ τῶν δαιτυμόνων· ἐγὼ δὲ περὶ τῶν ἀναγκαίων· ὁ μὲν φαιδρὸς ἐν φαιδροῖς οἰκέταις· ἐγὼ δὲ κατηφὴς ἐν συνεσταλμένοις· ὁ μὲν ἐν πολλοῖς νεωνήτοις, ἐγὼ δὲ ἐν πατρῴοιν[10] δυοῖν. ἔξεισιν ἐκεῖνος; καὶ πᾶς τις ὑποχωρεῖ καθάπερ τυράννῳ· ἔξειμι καὶ αὐτὸς, καὶ πᾶς τις ἐμβάλλει[11] καθάπερ ἀτίμῳ· εἶτά μοί τις παραινεῖ ζῆν, οὐκ ἔχων σβεννύναι[12] τὸν πλοῦτον τοῦ γείτονος· οὐ ζῆν οὗτός μοι παραινεῖ πόθεν[13] ἀλλὰ στένειν, ὀδύρεσθαι, πενθεῖν,[14] μαραίνεσθαι, τήκεσθαι, κατατέμνεσθαι, λυττᾶν· ἐμαυτὸν ἐσθίειν· ἃ[15] νῦν ποιῶ καὶ δι' ἃ πρόσειμι νῦν, ὅπως αὐτῶν λυθείην· ἡμιμανής εἰμι· καὶ τῶν φρενῶν διέφθαρται τὸ πλεῖον·[16] ἐπὶ τελέαν πορεύομαι μανίαν· πρὶν τοῦτο γένηται, βοηθήσατε· τίς οὕτω μακρὰ νόσος τὸν ἀσθενοῦντα διέθηκεν, ὡς ἡ τοῦ γείτονος ἐμὲ περιουσία.

6 αἰδούμενος m. M.

7 ὀρνιθοθῆραι] sic recte B. a nominat. ὀρνιθοθήρης. nam ὀρνιθοθηρατὴς dici haud arbitror. ὀρνιθοθηραταὶ M.

8 καὶ] θηραταὶ κυνηγέται B.

9 ἐφ' ὃ] sic B. scil. δεῖπνον. ἐφ' ᾧ M.

10 ἐν πατρῴοιν δυοῖν] sic B. (scil. seruis, vel mancipiis) ἐν πατρῴοις δυοῖν M.

11 ἐμβάλλει] incurrit, illiditur in me, rennet wider mich an.

12 σβέσαι B.

13 πόθεν] sic B. μόνον M.

14 ὀδύρεσθαι πενθεῖν] sic B. πενθεῖν deest M.

15 ἃ] ἂν B.

16 πλέον B.

ουσία. οὐχ ὁρᾶτε τὴν ῥῖνα, ὡς ὀξεῖα; οὐ τὸ ὄμμα ὡς ὕφαιμον; οὐ τὰς γνάθους ὡς συμπεπτώκασιν; οὐχ ὡς διερῤύην πᾶς; οὐχ ὡς εἴδωλον περιέρχομαι; τολμᾷ τις οὖν εἰπεῖν, ζῆσον οἰκτρὸς ὤν; ζῆσον ἐλεούμενος; ζῆσον ἀτυχῶν; ζῆσον[17] γείτονος εὐδαιμονοῦντος;[18] εἰ τόξα λαβόντα βέλος ἐστὶν ἀφεῖναι κατὰ τῆς τύχης, καὶ τυχεῖν; δειξάτω τις, καὶ κουφιεῖ τὴν λύπην, ὦ βουλή.[19] εἰ δ' ἀμήχανον, ἔα με τὸν θυμὸν εἰς ἐμαυτὸν ἀφεῖναι. πῶς γὰρ οἴσω· ποίοις λογισμοῖς; εἰ πονῶν ἐκεῖνος καὶ πλωτήρων[20] ἔργον μετιὼν, συνείλεκτο χρήματα κατὰ μικρὸν ἀγείρων, ἦν μὲν ἂν[21] καὶ τοῦτο ἀλγεινόν. διὰ τί γὰρ εἶδε[22] τὴν ἐπὶ τὸν πλοῦτον ἄγουσαν· ἴσως δὲ ἠνειχόμην. ἐπεὶ δὲ καθεύδοντος[23] κατέχεέ τις[24] εὐδαιμονίαν, οὐ φέρω· πόσος[25] οἴεσθε μεταξὺ τῆς ἐκείνου τε εἶναι καὶ τῆς ἐμῆς οἰκίας, στενωπός· ὡς[26] τοίνυν ἧκε φερόμενα τὰ παρὰ τῆς τύχης, τί μὴ παρ' ἡμᾶς εἰσέπεσεν οὕτως[27] ἐγγύς; οὐκ ἦν εἴσοδος; οὐκ ἦν ὁ δεξόμενος; κεκλεισμέναις ἐνέτυχε ταῖς θύραις; οὐκ ἔστιν. ἀλλ' οὐκ οἶδα τί δεδρακὼς ἠδίκημαι· χαρίζομαι δὲ[28] καὶ τοῦτο τοῖς θεοῖς· ἀπέρχομαι τὸ πάντων ἥδιστον μισεῖν ἠναγκασμένος φῶς.[29] σὺ γὰρ, φησι, μόνος ἐκείνῳ γείτων; ἄλλοι δὲ οὐκ εἰσὶν, ὧν οὐδεὶς ἀποθανεῖν βούλεται; εἰσί γε, ὦ βουλὴ, καὶ πολλοί. καὶ πρὸς τοσοῦτόν γε ἥκουσιν εὐηθείας, ὥστε[30] καὶ συγχαίρουσι καὶ συνεύχονται, καὶ κολακεύουσι· καὶ προσιόντες σαίνουσιν· ἀγεννεῖς καὶ καταπεπτωκότες, καὶ σπερμολό-

[17] ἀτυχῶν; ζῆσον desunt B.

[18] εὐδαιμονοῦντος τοῦ γείτονος B.

[19] ἡ βουλή B.

[20] πλουτηρὸν B. et m. M.

[21] ἂν] sic B. et m. M. ἂν t. M.

[22] οἶδε B.

[23] καθεύδοντι B. et m. M.

[24] κατέχεέ τις videtur θεῶν esse interponendum.

[25] πόσος] aut εἶναι delendum est, aut leg. cum B. et m. M. πόσον — et deinde in responsione στενωπός ἐστι στενώτατος.

[26] ὡς] sic B. ᾧ M.

[27] τοὺς οὕτως B.

[28] δή.

[29] ἥδιστον μισεῖν ἠναγκασμένος φῶς] sic B ἥδιστον τὸ ζῆν μισεῖν ἠναγκασμένος M.

[30] ὥστε] sic B. ὥστε γε M.

μολόγοι· καὶ δοῦλοι τὰς φύσεις, ἀλλὰ τί τοῦτο πρὸς ἐμέ; καὶ γὰρ ὑβρίζονται πολλοὶ καὶ παίονται, καὶ προπηλακίζονται, καὶ διαλύονται[31] ῥᾳδίως. τί οὖν θαυμαστὸν, εἰ τοιαύτης οὔσης τῆς πόλεως, οἱ μὲν ταπεινοί τινές εἰσιν· οἱ δὲ μεγαλόφρονες· οὐδὲ γὰρ τῇ νεότητι πάντες ὁμοίως, ἀλλ᾽ οἱ μὲν χρῶνται κακῶς· οἱ δὲ οὔ. τοὺς οὖν σωφρονοῦντας ἀξιώσειέ[32] τις πωλεῖν τὴν ὥραν διὰ τοὺς ἤδη πεπρακότας; οὐδὲ γὰρ ἐν ταῖς μάχαις πάντες ὁμοίους παρέχουσιν ἑαυτούς· ἀλλ᾽ οἱ μὲν τοῦ δρᾶσαι τί γίγνονται· τοῖς δὲ, τοῦ μὴ παθεῖν τι, μέλει· καὶ οἱ μὲν τύπτουσιν ἐμπηδήσαντες, ἀφειδῶς αὐτῶν[33] ἔχοντες[34] οἱ δ᾽ ἀπολώλασι τῷ φόβῳ, καὶ σκοποῦσιν ὅπως ἀποδράσονται. καὶ νῦν ἐκ ἔξω τῆς ἀνθρωπείας φύσεως τῶν ἐκείνου[35] γειτόνων· τὸν[36] μὲν εὖ φρονεῖν· τοὺς[37] δὲ ἀναισθήτως ἔχειν· καὶ τὸν μὲν ἄνδρα ὡς ἀληθῶς εἶναι· τοὺς δὲ βοσκήματα. τί δὲ εἰ λυποῦνται μὲν, φιλοψυχοῦσι δὲ· δειλῶν ἐγὼ μιμητὴς γένωμαι; μᾶλλον δὲ ὁπότερον[38] βούλει, θές· εἰ μὲν γὰρ οὐκ ἄχθονται τῷ γεγονότι, τοῖς ἀψύχοις ἐοίκασι. τί οὖν δεῖ μεμνῆσθαι[39] τούτων; εἰ δ᾽ ἀξιοῦσι καὶ λυπούμενοι ζῆν τῷ δεδιέναι τὸν θάνατον, μηδεὶς μοὶ μεμνήσθω δειλῶν ἐν παραδείγματι· πολὺ γὰρ οἶμαι σωφρονέστερον, ἐκείνων θαυμάζειν ὅτι μὴ τοῖς ἐμοὶ δόξασιν ἀκολουθοῦσιν, ἢ τὸ μὴ τὴν ἐκείνων ἐμὲ ζηλῶσαι κακίαν, ἐν αἰτίᾳ ποιεῖσθαι· ὧν τις ἀνοητότερος; τίς ἀβελτερώτερος;[40] μᾶλλον δὲ τίς ἐλεεινότερος[41] ἐπὶ τῇ τῶν ὀρνίθων

[31] διαλύονται] sic B. διαλύσονται M.
[32] ἀξιώσει B.
[33] ἀφειδῶς αὐτῶν] sic B. καὶ ἀφ. τὰ αὐτῶν M.
[34] ἔχουσιν m. M.
[35] ἐκείνου] sic B. ἐκείνῳ M.
[36] τὸν] τὰς B.
[37] τὸν δὲ m. M.
[38] ὁποτέρων B.
[39] μνησθῆναι m. M.
[40] ἀβελτερώτερος] sic B. ἀβέλτερος M.
[41] aut desunt nonnulla post ἐλεεινότερος, aut transpositus hic locus et luxatus est, aut sic distingu. et leg. ἐλεεινότερος; ἐπὶ τῇ τῶν ὀρνίθων ἀκροάσει γαυριῶν, efferens sese, quod fruatur oblectatione ea, quae capitur e cantu auium musicarum, τούτων ἐώνηται πολλὰς, magnum numerum harum auium vocalium coemit vicinus.

νίθων ἀκροάσει· ποίων τούτων; ἐώνηται πολλοὺς ὁ γείτων, ἐν ᾠδαῖς εὐδοκιμοῦντας· τούτων τοὺς οἰκίσκους ἀποκρεμάσας τοῦ τέγους, παρέχει τοῖς παριοῦσιν ἀκούειν τῶν ᾀσμάτων. ἐμοὶ μὲν οὖν εἰσὶν[42] ὀχληρότεροι κολοιῶν· ὥστ' ἥδιστ' ἂν ἀπέπνιξα λαβών· οἱ δ' ἄθλιοι συνθέουσιν ὡς ἐπ' εὐφροσύνῃ, καὶ μετὰ τῶν ᾀδόντων ἐπαινοῦσι τὸν ἐωνημένον· λοιπὸν οὖν ἕνα κἀμὲ[43] τῶν τερπομένων εἶναι καὶ τὴν ἄχρι νῦν πικρὰν ἀκοὴν ἡδίστην ἄγειν; ἀλλ' οὐκ ἂν δυναίμην. τί δ' οὐ πολλούς φησι, πρὸ τοῦδε ζῶντας ἐν ἀφθόνοις ἑώρας; πῶς οὖν ἐνηνοχὼς ἐκεῖνα,[44] τοῦτο οὐ φέρεις· τοὺς ἀρχαιοπλούτους μοι λέγεις, καὶ διαδόχους ἀρχαίας εὐδαιμονίας. ἔδει μὲν οὖν κἀκείνους, ἴσα κεκτῆσθαι τοῖς πολλοῖς· λυποῦσι δὲ οὐχ οὕτω τῷ[45] πάλαι πλουτεῖν. τὸ γὰρ ἐν συνηθείᾳ δυσχερὲς κουφότερον ὦ βουλή, τῶν ἐξαίφνης. παῖς ὢν ἔτι, πλουτοῦντας ᾔδειν· ἐκ παίδων ἐξελθών, ἑώρων ἃ πρότερον ᾔδειν. ἀνὴρ γενόμενος, οὐδὲν καινὸν ἐθεώμην.[46] πεπαίδευμαι φέρειν ἐκεῖνο τὸ λυπηρόν, τῷ μήκει τοῦ χρόνου. ὁρᾶτε τοὺς ποταμοὺς παροικοῦντας ἐκ παλαιοῦ βιαίοις· οἱ τὰς ὄχθας ὑπεραίροντες λυμαίνονται τὰς ἀρούρας, κατασύροντες τῶν γεωργῶν τοὺς πόνους; τούτοις τὸ[47] τὴν συμφορὰν ἄνωθεν[48] συμπροελθεῖν,[49] εἰς παραμυθίαν ἀρκεῖ καὶ τὸ τὰ εἰωθότα πεπονθέναι, νουθεσία πρὸς τὸ καρτερεῖν καθίσταται· ὅταν δὲ πρᾶος καὶ μέτριος ποταμὸς καὶ μηδὲ πώποτε ἐξυβρίσας, ὑπερβὰς τὸν τεταγμένον δρόμον, ἐπικλύσῃ γῆν,[50] ἣν οὐ πρότερον ἔφθειρεν, ἡ καινότης ἔχει τὴν ταραχήν· καὶ τοῖς παθοῦσι τὸ τῆς προσβολῆς ἀηθὲς, σείει[51] τὰς γνώμας. βαρὺ τῇ φύσει τὸ τυραννεῖσθαι.

42 οὖν εἰσὶν] οὗτοι B.

43 ἕνεκα μὲ B.

44 ἐκεῖνο B. malim ἐκείνους, τοῦτον ——

45 οὕτω τῷ] ὅτῳ B.

46 ἐθεώρουν B.

47 τὸ] sic B. τῷ M.

48 ἄνωθεν] id est ἐκ παίδων a pueritia.

49 συμπροελθεῖν] id est μέχρι τοῦ γήρως vel εἰς τοσοῦτο τῆς ἡλικίας.

50 τὸ τεταγμ. ὅρον ἐπικλύσει τὴν γῆν B.

51 ταράσσει B.

νεῖσθαι· ταύτην δὲ τὴν βαρύτητα, ταῖς[52] πόλεσι ποιεῖ μετριωτέραν· ὅταν τις ἐκ προπατόρων εἰς αὐτὸν[53] κατελθοῦσαν ἐξουσίαν παραλαβὼν, ἄρχῃ καὶ τυραννεύῃ. τὸ γὰρ ἐν τῷ κρατεῖσθαι πάλαι βεβιωκέναι, καὶ τὸ τυράννων ἀπόγονον τὸν ἐπιτάττοντα φαίνεσθαι, τῆς τῶν ὑπακουόντων ἀγανακτήσεως ἀφαιρεῖ· ὅταν δὲ ὑπηρέτης ὤν τις, καὶ μηδεὶς μηδαμόθεν, ἄδοξος ἐξ ἀδόξων· ἀνελὼν τοὺς νόμους, ἐλαύνῃ[54] τοὺς αὐτοῦ βελτίονας,[55] τοῦτ' ἤδη πᾶσαν ὀργὴν ἀπαιτεῖ καὶ λύπην· καὶ ὅστις[56] ἐλευθερίας ἐπιθυμητὴς, οὗτος καὶ τελευτῆς. τοιοῦτον δή τι[57] καὶ τὸ τῶν πλουσίων· οἰκίαν τὶς εὖ φερομένην παρείληφεν; οὐκ ἀφόρητόν μοι τοῦτο γέγονε. πεπλούτηκέ τις ὑπὲρ τοὺς πολλοὺς ἐξαίφνης; τίς ἀνέξεται;[58] μεῖζον τοίνυν ἑτέραν εἰς τὸ δεῖν ἀπελθεῖν; εὐπορεῖ τις ἐξαίφνης; πόῤῥω που κατοικείτω· μακρὰν εὐπαθείτω·[59] μὴ γείτων ἔστω· μὴ πλησίον τρυφάτω· μή μου τοὺς ὀφθαλμοὺς ὁ πλοῦτος εἰς ἑαυτὸν[60] ἑλκέτω· ὁ δεῖνα πολλὰ κεκτημένος, μακρῷ τῳ[61] διέστηκεν ἐμοί· κοῦφον· δεῖ τινα τὸν ἀγγέλλοντα γενέσθαι, καὶ διδάξαι, καὶ διηγήσασθαι τὴν περιουσίαν; ἀμυδρὰν ἔχει τὰ ὦτα τὴν λύπην· διὰ δὲ τῶν ὀμμάτων, ὀξεῖα τὶς ὀδύνη κάτεισιν εἰς τὴν καρδίαν. ὁρᾷν δὲ καὶ μὴ βουλόμενον ἀνάγκη· τριώροφον γὰρ ἑκάτερος ἡμῶν οἰκίαν οἰκεῖ. κἂν ἀφυπνισθῶ, θέαμα πρῶτον ἡ τοῦ γείτονος χλιδή· καὶ προαπαντᾷ τῶν ἄλλων,[62] τὸ πικρὸν ἐκεῖνο βέλος· καὶ ἢ καθίσαι[63] δεῖ συγκλείσαντα τοὺς ὀφθαλμοὺς, ἢ βάλλεσθαι βλέποντα. φασὶ δὲ αὐτὸν διανοεῖσθαι μεταπλάττειν τὴν οἰκίαν· καὶ ποιεῖν τῶν παρόντων ἀξί-

αν

[52] δὲ τὴν βαρ. ταῖς] sic B. δὴ τὴν βάρ· τί ταῖς M.
[53] ἑαυτὸν B.
[54] ἐλαύνῃ] sic B. ἐλαύνει M.
[55] καλλίονας B.
[56] ὃς B.
[57] δή τι] sic B. *tale quid.* δήτοι M.
[58] οὐκ ἀνέξομαι m. M.
[59] non contemnenda B. lectio μακρὰν (scil. ἀπ' ἐμοῦ in longinquitate a me, procul a me, procul a me dissitus) σπαθάτω.
[60] πρὸς ἑαυτὸν W.
[61] μακρῷ τῳ (enclitice) id est τινι, subaudi διαστήματι m. M. dat μακροτάτῳ.
[62] πάντων B.
[63] καθίσασθαι m. M.

αν· καὶ πρὸς αὐτὸν αἴρειν αἰθέρα· ὥσθ᾽ ἡμῖν τοῖς πλησίον, νύκτ᾽ εἶναι καὶ τὴν ἡμέραν. πρὶν οὖν ταύτης γεύσομαι τῆς χειροποιήτου νυκτὸς, εἰς ἐκείνην ἄπειμι τὴν ὑπὸ γῆν, τὴν ἄλυπον.[64] ἐκοῦν ἑτέρωσέ φησιν βέλτιον μεταβῆναι[65] ἢ τεθνάναι· καλή γε τῶν ἀτυχημάτων ἴασις· αὐτὰ τὰ ὄντα πωλεῖν καὶ περιόντα[66] κηρύττειν, εἴ τις ὠνεῖσθαι βούλεται τὴν τοῦ πένητος οἰκίαν· καὶ δὴ πρόσεισι τίς· οὐκ ἂν οὖν οἴεσθε, τὸ πλούσιον ἐκεῖνον εὐθὺς αὐτὸν φοβήσειν καὶ λίθοις ἐξελᾶν; σὺ δὲ ὦ κάθαρμα, πλησίον οἰκοῦντος ἐμοῦ, τολμᾷς ὠνεῖσθαι; πλέον ἕτοιμος καταβάλλειν[67] ἐγὼ, ἐπεὶ μικρά μοι φροντὶς δαπάνης· λοιπὸν οὖν τὸν οὐδέν μου πρότερον ἀμείνω, τάμὰ πριάμενον ἔχειν, καὶ λόγον ἐν τοῖς ἐργαστηρίοις εἶναι πολύν· ὁ δεῖνα ἀπέδοτο. ὁ δεῖνα ἐπρίατο. ὁ μὲν εὐδαίμων ὠνεῖσθαι δυνάμενος· ὁ δ᾽ ἄθλιος πωλεῖν βεβιασμένος. τί δ᾽ ἂν εἰς ἑτέραν μεταστάντι φυλὴν ἐπιστῇ πάλιν, καὶ πλησίον οἰκοδομῇ, τὴν πενίαν ἐπεγγελῶν τὴν ἐμήν; δύναται δὲ ὅτῳ περ ἂν ἐθέλῃ πλησίον οἰκεῖν· πωλεῖν δεήσει πάλιν, καὶ μεταπηδᾶν ἄλλοσε, καὶ πάλιν ἄλλοσε, καὶ τελευτῶντα φεύγειν τὴν ἐμαυτοῦ; τί δ᾽ ἂν οὗτος μὲν μένῃ κατὰ χώραν, ἑτέρῳ δὲ πένητι παροικήσας, πλούσιον αὐτὸν ἐξαίφνης ἴδω; (δυσμενοῦς δὲ πεπείραμαι τῆς τύχης, ὦ βουλή·) καὶ δεινόν τινα τοῦτον πόλεμον ἐξευρηκώς[68] μοι· πάλιν τὴν οἰκίαν ἀποδώσομαι, καὶ πάλιν σκευαγωγήσω, καὶ περίειμι τὴν πόλιν διὰ τῆς ἐμαυτοῦ κακοδαιμονίας πλουτίζων πάντας, φιλῶ μὲν ὑμᾶς, ὦ πολῖται, φιλῶ τοὺς πολλούς. πένητες γὰρ οἱ πολλοὶ, καὶ ἥδιστοι συγγενέσθαι· καὶ θεοῖς σωτῆρσι πολλάκις ἔθυσα, καὶ διαφυγεῖν νόσον ηὐξάμην· νῦν δ᾽ ὁ μεμνημένος πρὸς ἐμὲ σωτηρίας ἐχθρὸς, δυσμε-

[64] μετὰ ζ. με δεῖ τὴν ὑπὸ γῆς, καὶ ἄλ.] ἄπειμι τὴν ὑπὸ γῆν. τὴν ἄλ. B.

[65] παραστῆναι B. μεταβῆναι m. M.

[66] περιόντα B.

[67] καταβάλλειν] sic B. καταβαλεῖν M.

[68] ἐξεύρηκε B.

δυσμενὴς, τῶν πολεμίων χαλεπώτερος. καὶ τί, φησὶν, ἐπείγῃ; τάχ᾽ ἴσως γὰρ ἂν πλουτήσαις[69] καὶ αὐτός. πότε; ὅτε[70] τὸ γῆρας ἐπελθὸν, ἀφέληται τὸ δύνασθαι χρῆσθαι πρὸς ἡδονήν· πόθεν δὲ καὶ τοῦτο προλέγεις; ἐκ ποίων ἥκων χρηστηρίων; ποῖον κομίζων λόγιον; ἐντετύχηκας τῇ τύχῃ, καὶ κατὰ μόνας συνεγένου, καὶ λεγούσης ἀκήκοας; οὐ παύσῃ κενὴν πλάττων παραμυθίαν; οὐ ποιήσεις τὰ ὁρώμενα τῶν ἀφανῶν ἰσχυρότερα; δώσει μετὰ ταῦτα ἡ τύχη· διὰ τί γὰρ μὴ πάλαι δέδωκεν; οὐκ ἦν αὐτῇ χρήματα πάντα ἐχούσῃ; οὐκ ἦσάν μοι χεῖρες αἱ δυνάμεναι[71] λαβεῖν· οὐχ ἑώρα με μετὰ τοῦ γείτονος περινοστοῦντα; οὐκοῦν φιλοῦσα μὲν, ἤδη ἂν ἔδωκε· μισοῦντα δὲ οὐδὲ εἰσαῦθις δώσει· πολλοὺς ἐλπίδες ἀγαθαὶ πρὸς γῆρας κατὰ πενίας παρέπεμψαν. καὶ οὔτε τῆς ἐνδείας ἀπηλλάγησαν, οὔτε τῆς προσδοκίας ἀπέστησαν· ἀλλ᾽ οὐκ ἐγὼ τούτων τῶν ἐξηρτημένων ἐλπίσιν[72] ἔχειν βούλομαι, προσδέχεσθαι δὲ οὐκ οἶδα. καὶ δῆτα δώσει μὲν ἐμοὶ χρόνοις ὕστερον· δέδωκε δὲ ἤδη τῷ γείτονι· τῷ χρόνῳ τοίνυν ἠδίκημαι· ποῦ γὰρ ἴσον τῷ δεδωκέναι[73] τὸ μέλλειν;[74] τοῦτ᾽, οὖν ἄξιον θανάτου, τὸ μετ᾽ ἐκεῖνον ἕξειν. ἔδει γὰρ ἢ κἀκείνῳ τὸν πλοῦτον ἀναβεβλῆσθαι, ἢ καὶ ἐμοὶ δεδόσθαι· ἀλλ᾽ ἐγὼ καθεδοῦμαι περιμένων καὶ κεχηνὼς, καὶ πειθόμενος τούτοις τοῖς ἀπατεῶσι μάντεσι, καὶ σκιαῖς ὀνειράτων δελεαζόμενος; ἐγὼ καθεδοῦμαι βοσκόμενος ἐλπίσι τοῦ γείτονος ἔργα καρπουμένου; τῶν φρενῶν ὅταν ἐξενεχθῶ, σωφρονῶν δὲ οὐκ ἀνέξομαι;[75] τί μέλλετε πεντακόσιοι.

69 ἐπήγῃ. τάχα γὰρ ἂ ἴσως. πλουτίσεις B.

70 ὅταν et ἀπελθὸν B.

71 δυνάμαι B.

72 post ἐλπίσιν punctum pono. Non ego fum in numero eorum, qui pendent et ducitantur vanae fpei ludibriis. quafi integre dixiffet οὐκ εἰμὶ εἷς τῶν ἐλπίσιν ἠρτημένων. Sed ἔχειν βούλομαι habere, tenere manibus volo fcil. τὰ ἐλπιζόμενα.

73 γεγονέναι B. et m. M.

74 τὸ μέλλειν] fcil. δώσειν.

75 malim ἀνέξωμαι, ob praecedens ἐξενεχθῶ.

τί μὴ ψηφίζεσθε; τί μάχεσθε φιλανθρώπῳ νόμῳ πάντα καλῶς ὁ τοῦτον τεθεικὼς, διελὼν τὰ περὶ τοὺς θεοὺς· τὰ περὶ τῶν φόνων, τὰ περὶ τῶν γάμων, κλοπῆς, αἰκίας, ὕβρεως, βίας, ἀστρατείας, ἀνυποταξίου· συμφορώτατον ἁπάντων τοῦτον ἔγραψεν, ὃν νῦν ἔχων ἀφῖγμαι σύμμαχον. ὅστις, φησὶ, βαρύνῃ τῷ[76] ζῆν, ἀπόθνησκε. περικλίζῃ κακοῖς, πίνε κώνειον. πιέζῃ συμφοραῖς, ἄπιθι· λεγέτω μὲν ὁ δυστυχῶν τὰ πάθη· διδότω[77] δὲ ἡ βουλὴ τὸ φάρμακον,[78] λυέσθω δὲ ἡ λύπη τῷ θανάτῳ. κατὰ τοῦτον ὑμῖν, ὦ βουλὴ, πρόσειμι τὸν νόμον· καί με ἐνταῦθα πεπόμφασιν οἰκίαι δύο· πράττουσα μὲν κακῶς[79] ἡ ἐμή· πλουτοῦσα δὲ καλῶς ἡ τοῦ γείτονος. μὴ τοίνυν ἄπρακτον ἀποπέμψητέ με, τῇ μὲν ἐνοικήσαντα,[80] τὴν δὲ ἐγγύθεν ὀψόμενον. ἀλλ' ἐπιστομίζετε τοὺς ἀντιλέγοντας· μηδ' ἐᾶτε τοῖς πεπτωκόσιν ἐπεμβαίνειν. πρὸς οὓς ἐγὼ βραχέα διαλέξομαι· ἄνδρες δεινοὶ λέγειν, καὶ βοᾶν, καὶ καρπούμενοι τὸ βῆμα, καὶ πλουτοῦντες ἀπὸ τῆς φωνῆς, τῷ ποτε κεκίνησθε[81] πρὸς ἀντιλογίαν· βλάβη τίς ὑμῖν τῆς ἐμῆς τελευτῆς;[82] οὐδεμία. ἀλλ' ἐμοὶ κέρδος περιεῖναι; ζημία μὲν οὖν ἐσχάτη. ἀλλ' ἡ πόλις ἀνδρὸς στερήσεται σπουδαίου; πάσας μὲν, ὦ βουλὴ, τὰς στρατείας ἐξῆλθον, καὶ πανταχοῦ τὴν τάξιν ἐτήρησα, καὶ τὴν πόλιν οὐδαμοῦ κατῄσχυνα, καὶ δικάζων οὐ διεφθάρην· καὶ ὅσα προσετάττετε, προθύμως ὑπηρέτουν ταῦθ', ἕως οὐδέν μ' ἀπώλλυε. νυνὶ δὲ τί καὶ χρήσιμος ἂν ὑμῖν γείην ἄνθρωπος τετηκὼς, ἐκνενευρισμένος, μόλις ἐμπνέων, μόλις ὀρθούμενος, ὑπὸ τῶν ἔνδον ἀναλουμένος,[83] τραυμάτων. τί τοῦ-

το

76 τῷ ζῆν] sic B. τὸ ζῆν M.

77 μεταδιδότω B.

78 τοῦ φαρμάκου B.

79 κακῶς abest a Bau. ego vero seruandum arbitror, accipiens pro οὐ δικαίως, *praeter ius et fas.*

80 malim ἐνοικήσοντα, inhabitaturum.

81 κεκινῆσθαι B. κεκινῆσθε M.

82 ἐμὴν τελευτὴν B.

83 τῶν ἄλλων ἔνδοθεν ἀνηλωμ. B. ἔνδοθεν dat etiam m. M.

το[84] τῇ πόλει, κεῖσθαί με νοσοῦντα καὶ δαπανώμενον; ἤδη τὶς ἔγραψε προβούλευμα, τῷ δεῖνι τῶν πολιτῶν πενομένῳ γενέσθαι παρὰ τοῦ κοινοῦ πλέθρα γῆς· ἀργυρίου μνᾶς· ἕτερα τοιαῦτα, ἐφ' οἷς οἱ κακοήθεις ἠγανάκτουν, ἀπὸ τῶν τοιούτων ψηφισμάτων ἡ πόλις ἀπορεῖ· καὶ διὰ τὰς τοιαύτας χάριτας ἡ διοίκησις[85] καταβλάπτεται. νῦν τοίνυν τί τοιοῦτόν ἐστιν εἰπεῖν; οὐ γῆν αἰτῶ παρ' ὑμῶν, οὐκ ἀργύριον· οὐ σίτησιν· οὐδ' ἀξιῶ τὴν ὑμετέραν φιλανθρωπίαν, ἴσα δυνηθῆναι τῇ τοῦ γείτονος τύχῃ. φάρμακον αἰτῶ· κώνειον ζητῶ. τελευτῆς ἐρῶ· δότε χάριν, ἧς πολλοὶ μετ' ἐμὲ δεήσονται· πολλοῖς ἔσομαι τοιούτου θανάτου διδάσκαλος, οἱ νῦν λυποῦνται μὲν, ἐφ' οἷς περ ἐγώ, λείπονται δὲ τῆς ἐμῆς ἀνδρείας. ἀλλ' ἂν ἴδωσί με πίνοντα θαῤῥοῦντως, ἀποθήσονται τὴν δειλίαν· καὶ τὸ βουλευτήριον ὄψεσθε, μεστὸν ἐπειγομένων[86] ἀποθανεῖν. ἀνοιγνύτω τὶς τοῖς πένησι τὴν ὁδόν· καλείτω τὶς δι' ἐμοῦ πολλοὺς ἐπὶ τὸ κώνειον. δούλοις μὲν ἐπιεικέσι δεσπότης χρηστὸς ἀναιρεῖ τὴν δουλείαν· ἐλευθέροις δὲ δυστυχοῦσιν ἀληθὴς ἐλευθερία ὁ θάνατος.[87] παραινῶ δὲ καὶ τῇ πόλει, μὴ μετρίως φέρειν τὴν τῶν ὁμόρων εὐδαιμονίαν· ἀλλ' ἢ ταπεινοτέρους ἔχειν, ἢ μέγα δυναμένων ἀλγεῖν· φαίην δ' ἂν ὅτι καὶ κατασκευάσαι[88] πόλει βέλτιον, ἢ παροικεῖν ἀμείνοσιν. οὐκ ἔτ' οὖν ὄψει, φησὶ, τουτὶ τὸ βουλευτήριον; ἴδω δὲ τὴν[89] οἰκίαν τοῦ γείτονος; οὐκ ἔτ' ὄψει τὴν ἐκκλησίαν; ἴδω δὲ ἐν ἐκκλησίᾳ τὸν πλούσιον; στερήσῃ δὲ ταύτης τῆς ἀκτῖνος; τῆς δὲ ἀκτῖνος ἀνέξομαι τοῦ πλουσίου; καὶ δὴ πρόσεισιν αὐτὸς οὗτος· βαβαὶ τῶν κολάκων! ὁρᾶτε τὸ πλῆθος τῶν περὶ αὐτὸν φερομένων; ὦ φίλτατε σὺ καὶ μόνος ἀπολαβὼν τὴν τύχην· καὶ πάλαι μὲν ἑταῖρε· νῦν δὲ πλούσιε· σὲ μὲν οὐδὲν εἴρηκα παρὰ τοῖς-

84 num *τί μέγα τοῦτο* quid hoc magnum interest reip. vt iaceam?

85 *ἡ διοίκησις*] sic recte B. *aerarium*. *ἡ πόλις* M.

86 *βουλομένων* m. M.

87 *ὁ θάνατος*] sic B. *ὁ* deest M.

88 *κατασκευάσαι* B.

89 *δέ τι τὴν* B.

τοῖσδε κακόν· τὴν δὲ τύχην οὐκ ἔστιν εἰπεῖν ὅσα. περὶ μὲν τῶν σῶν ταλάντων οὐδὲν εἴρηται κακόηθες· ἀλλὰ κἂν ἄλλον κωλύσαιμι. μηδεὶς οἰέσθω τοῦτον ἱερὰ σεσυληκότα πλουτεῖν· ἢ διορύξαντα τοίχους· ἢ κεκινηκότα τάφους· ἢ προσθέμενον τοῖς πολεμίοις. ἄπεστιν αἰτία φαύλη τῆς εὐπορίας· ἀλλ᾽ ὥσπερ οὐκ ἐπιλαμβάνομαι τῶν τρόπων, οὕτω λοιδοροῦμαι τῷ δαίμονι. δι᾽ ὅν,[90] ὦ γειτόνων εὐδαιμονέστατε, πίνω κώνειον.[91] σὺ δὲ σύναγε τοὺς φιλοσκώμμονας, τοὺς φιλοπαίγμονας, τοὺς ἀπλήστους, τοὺς κρεωφάγους, τοὺς πότας. μὴ παύσῃ μισθούμενος αὐλητρίδας· καὶ μίμους γελοίων· καὶ κρότον ἀγείρων, καὶ τῇ γαστρὶ χαριζόμενος. κείσομαι τῶν σῶν ἀναίσθητος. εἰ βούλει καὶ παρὰ[92] τὸν τάφον τὸν ἐμὸν σκηνωσάμενος πίνε, καὶ σκῶπτε καὶ ἐπορχοῦ καὶ καταγέλα· οὐ μᾶλλον ἐμοί τι μελήσει τούτων, ἢ ταῖς στήλαις καὶ τῷ σήματι· τοσόνδε μέν τοι παραινῶ σοι. μὴ τοῖς πότοις ὅριζε τὴν φιλοτιμίαν· μὴ δ᾽ ἀρκεῖν ἡγοῦ πολυτελεῖς ἑταίρας· κοινώνησον[93] εἰς ἅπαντας τὴν τύχην· μεταλαβέτω τῶν χρημάτων ὁ δῆμος· χορήγησον ἐθελοντής· ἐπίδος τριήρεις· ἐπίδος τάλαντα· χρῆσαι τοῖς οὖσιν εἰς δέον· ἂν μὴ ταῦτα ποιῇς, ἔστιν ὁ δημεύσων. ὃ μόνον ἔγωγε δημοκρατίας ἐπῄνεσα. τί γὰρ δεῖ τοῖς πολλοῖς ἐφεστάναι πλούσιον, ῥώμην ἔχοντα τῶν νόμων δυνατωτέραν. ἀλλ᾽ ὑμεῖς μὲν ἐξισοῦτε καὶ τὰς πολιτείας,[94] καὶ τὰς ὑπεροχὰς πάσῃ τέχνῃ κωλύετε.[95] ἐγὼ δὲ ἄπειμι πρὸς τοὺς πλείους· παρ᾽ οἷς οὐκ ἔστι χρυσὸς, οὐδ᾽ ἄργυρος· οὐδὲ γείτων, εὐπορώτερος γείτονος.

TIMΩN

90 δι᾽ ὃν] sic B. δι᾽ ὧν M.
91 τὸ κώνειον B.
92 περὶ B.
93 malim. *κοίνωσον communica.* a κοινοῦν.
94 τὰς πολιτείας] iura civilia modosque, quibus cives inter se mutuo viuunt et alii aliis vtuntur.
95 κωλύετε non improbo; est tamen hac in re vsitatius κολούετε.

ΤΙΜΩΝ ΕΡΩΝ ΑΛΚΙΒΙΑΔΟΥ ΕΑΥΤΟΝ ΠΡΟΣΑΓΓΕΛΛΕΙ.

ΠΡΟΘΕΩΡΙΑ.

Χαλεπὸν τὸ ζήτημα· δύο γὰρ ἐναντία ἀλλήλοις ἤθη ὑποκρίνεσθαι δεῖ, μισάνθρωπον καὶ ἐρῶντα. καὶ ὁρᾶν χρὴ, εἰ δι' ἑκατέρων πρόεισιν ὁ λόγος, τῆς τῶν νοημάτων εἰσαγωγῆς οὐκ ἐλεγχούσης τὴν ἐναντίωσιν, τὴν ἐν τοῖς ἤθεσιν. δεῖ δὲ τὸν μισάνθρωπον πλεονάζεσθαι. δεῖ δὲ καὶ τὰ τῆς εἰσαγγελίας δοκεῖν χώραν ἔχειν. τὸ δὲ ἅψασθαι Ἀλκιβιάδου, καὶ τὸν ἐκείνου βίον καλῶς εἰπεῖν πανταχοῦ, καὶ ἐρῶντος ἂν εἴη, καὶ μισανθρώπου.

Η ΜΕΛΕΤΗ.

ΠΑΛΙΝ ὑμῖν Τίμων εἰς βουλευτήριον, οὐχ ὑπὲρ ὑμῶν τι διαπραξόμενος· οὐ γὰρ οὕτω μαίνομαι, οὐδ' ἐπιλέλησμαί γε παντάπασιν ἐμαυτοῦ· μήποτε τοσοῦτον Ἀλκιβιάδης ἰσχύσειε καθ' ἡμῶν, ὡς ἀποστῆσαί με δυνηθῆναι τοῦ τρόπου, καὶ τῆς ἐξ ἀρχῆς προθέσεως ἐκείνης, ἣν ἐνεστησάμην· ἀλλ' ἐμαυτῷ τι χρήζων παρ' ὑμῶν ἐπαγγεῖλαι. τοῦτο δέ ἐστιν, ὃ πάντως που καὶ ὑμῖν πρὸς ἡδονῆς· δοθῆναί μοι τήμερον ἀποθανεῖν παρ' ὑμῶν, ἵνα μὴ Ἀλκιβιάδην ἴδω τὸν καλὸν, μήθ' ὑμῖν δι' ἐκεῖνον ἀναγκάζωμαι προσομιλεῖν. ὡς ἕως μὲν ἐξῆν ἐπὶ τῆς ἐσχατιᾶς οἰκεῖν, καὶ πόῤῥω τῆς ἀνθρώπων ὄψεως τυγχάνειν, τὸ

ζῆν ἠδυνάμην καρτερεῖν. ἐπεὶ δὲ ἀπάγει τῆς ἐρημίας ἡμᾶς Ἀλκιβιάδης· καὶ κινδυνεύω μηκέτ' εἶναι Τίμων, ἢ μισάνθρωπος·[1] ἐπὶ τὸν θάνατον καταφεύγω, καὶ τὴν καλὴν ἐρημίαν τοῦ σκότους, εἰ γὰρ καὶ ἐξέστηκα διὰ τὸν ἔρωτα, καὶ παρῆκταί μοι τὰ τῶν λογισμῶν· ἀλλὰ τοσοῦτον γοῦν μοι καταλείπεται ἐπιγινώσκειν δύνασθαι τὴν συμφορὰν, καὶ τὴν ἀπαλλαγὴν, ἥ τις ἔσται, ζητεῖν. ἐρῶν δὲ Ἀλκιβιάδου, διὰ τὴν ὥραν τοῦ σώματος, καὶ μαινόμενος ἐπὶ τῷ μειρακίῳ· πολὺν γὰρ εἰς ἡμᾶς ἀνῆψε τὸν πυρσόν· καὶ διὰ τοῦτο μάλιστα φιλεῖν αὐτὸν ἀναγκάζομαι, ὅτι μοι παρέσχε θανάτου πρόφασιν, καὶ βαδίζειν ἐνταυθοῖ κατηνάγκασε, μήτ' αὐτὸν ἔτι, μήτ' Ἀθηναίων μηδένα, μήτ' ἄλλων τινὰ ἀνθρώπων ὀψόμενον. εὔχομαι δὲ καὶ τοῖς ἄλλοις ἅπασιν ἐρασταῖς Ἀλκιβιάδου, τὸν αὐτὸν παραστῆναι λογισμόν· καὶ λῦσαι ἅπαντας ἐθελῆσαι τὸν ἔρωτα τῷ θανάτῳ· καὶ τὸ κώνειον ἀνταλλάξασθαι, τῶν παρ' ἐκείνου προσόδων. οὐδὲν γὰρ ἐμοὶ προτιμότερον τοῦ μετὰ τῶν ἀντεραστῶν ἀπολωλέναι. ἐμακάριζον οὖν πρότερον ἐμαυτὸν ἐπὶ τῇ μισανθρωπίᾳ. καὶ μέγα μοι τοῦτο ἐνόμιζον ὑπάρχειν ἀγαθὸν, τὸ τὴν ἀνθρώπων φύσιν, ἥ τις ἐστιν, ἐπιγινώσκειν, καὶ ὡς κακῶν[2] ἀνώτατον ἁπάντων τυγχάνει. πολὺ δ' εὐτυχέστερος ἡμῶν Ἀλκιβιάδης ἀναπέφηνεν.[3] ἐμοὶ μὲν γὰρ ἐκ τοῦ μισεῖν οὐδὲν ἦν πλέον, πλὴν αὐτὸ τοῦτο μόνον, τὸ φεύγειν ἀνθρώπους· βλάπτειν δ' ἠδυνάμην οὐδένα· Ἀλκιβιάδῃ δὲ τὸ κάλλος πρὸς ὄλεθρον ἀνθρώπων ἀρκεῖ· καὶ τοσοῦτον δύναται μόνον ὀφθεὶς, ὅσον τὴν Γοργόνα φασὶν οἱ μῦθοι. διαφέρει δ' οὐδὲν, ἢ λίθον τινὰ γεγονέναι, ἢ παρὰ τοῦ δημίου δέξασθαι τὸ κακόν. ἓν γὰρ καὶ ταυτὸν ἀφ' ἑκατέρου τούτου, θάνατος γίνεται. ἀτυχῶ δ' οὐ νῦν πρῶτον, ὦ πεντακόσιοι, θανάτου καὶ προσαγγελίας ἄξια. οὐδ' ἐντεῦθεν, ὅθεν τις οἴεταί μοι τὰ τῶν συμφορῶν ἐστιν· ἀλλ' ἀπ' ἐκείνης δυστυχῶ τῆς ἡμέρας, ἀφ' ἧς παρελ-

[1] verba ἢ μισάνθρωπος ſunt etiam in Wolf. ſuſpicor tamen, a ſcholium eſſe, aut certe leg. ὁ μισάνθρωπος.

[2] κακῶν] ſic W. κακὸν M.

[3] ἀναπέφηνεν] ſic W. ἐναπέφ. M.

ελθὼν εἰς ἀνθρώπους, ἔτυχον τῆς φύσεως καὶ τῆς προσηγορίας ὡς εὐτυχέστερόν γε ἦν μηδὲ τὴν ἀρχὴν γενέσθαι ἢ ἐπειδή περ ἀναγκαῖον ἦν τὸ τοιοῦτον εἰς φῶς παρελθεῖν, ἕτερόν τι ζῶον, ἀλλ' οὐκ ἄνθρωπον εἶναι. τί γὰρ ἀνθρώπου μιαρώτερον; τί δὲ, οὐχ ἥμερον μὲν τὸ ζῶον ἄχρι ῥήματος, ἄγριον δὲ καὶ ἀπηνὲς τοῖς ἔργοις; ποία γὰρ λεόντων ἐπ' ἀλλήλους στρατεία; τίς πόλεμος τοῖς ὁμογενέσι τῶν θηρίων πρὸς ἄλληλα; τίς ἐπιορκία παρ' ἐκείνοις, εἰπέ μοι. τίς συνθηκῶν παράβασις; τίς ἀπιστία τοσαύτη, καὶ πλεονεξία; τίς χρυσὸς παρ' ἐκείνοις καὶ πλοῦτος, καὶ χρημάτων ἐπιθυμία; τίνας κώμους, ἢ μέθας, τίνας ἴσασι μοιχείας; πάντων ἐλεύθερον τῶν τοιούτων κακῶν, τὸ τῶν θηρίων γένος. τὸ δ' ὑμέτερον, θησαυρὸς, ὡς ἂν εἴποι τὶς, τῶν χειρίστων ἐστί. θεοὺς μὲν γινώσκειν καὶ προσκυνεῖν ὑποκρίνεσθε. ἐπιορκεῖτε δὲ ῥᾶον ἢ φθέγγεσθε. καὶ θυσίας μὲν προσάγετε τοῖς βωμοῖς· ἀνατρέπετε δὲ αὐτοὺς ὀλίγον ὕστερον. τὸν δὲ βίον ἅπαντα τὸν ὑμέτερον, πολέμων μεστὸν καὶ κακῶν ἐποιήσασθε. ἀρξάμενοι δὲ ἀπὸ τῶν αἰσχίστων, καταλύετε τὸν βίον ἐν τοῖς δεινοτάτοις ἐπιτηδεύμασι. τὰ πρῶτα τῆς ἡλικίας ὑμῖν, πορνεῖαι, καὶ μοιχεῖαι, καὶ τὰ αἴσχιστα πληροῦσι. τὰ δ' ἐν ἀκμῇ, φόνοι, λῃστεῖαι, ἱεροσυλίαι, πᾶν ὅ, τι τὶς ἂν[4] εἴποι, κακόν. τὰ δὲ τοῦ γήρως, εἰρηνικὰ μὲν, ὑπερβολὴν δ' οὐκ ἔχοντα συμφορῶν. διαδέχεται γὰρ ὑμᾶς τὰ δικαστήρια· κἀνταῦτα[5] ἔχοντες, συκοφαντοῦντες διαῤῥήγνυσθε. δραχμῶν ἐλαχίστων, τοὺς θεοὺς, τοὺς νόμους, τὴν ὁσίαν, πάντα ἀποδιδόμενοι. λέγω δὲ οὐ καθ' ὑμῶν ταῦτα μόνον; κατὰ δὲ πάντων ἀνθρώπων ἁπλῶς, καὶ τῆς κοινῆς φύσεως. ὥσπερ γὰρ τινος ἐμπλησθέντες κακοῦ, ταυτὰ νοσεῖτε πάντες. φαίνεταί τις δυσειδής; ὀνειδίζεται τὴν ὄψιν. εὐπρεπὴς ἐστί; πορνεύει,[6] μοιχεύει. πάλιν ἕτερος ὡραῖος τυγχάνων,

[4] ἄν τις m. M.

[5] καὶ ταῦτα W. et m. M. malim κἀνταῦθα ἑκόντες. sponte vestra, data opera rumpimini. nam ἑκόντες cohaeret cum διαῤῥήγνυσθε et συκοφαντοῦντες, idem est atque ἐν τῷ συκοφαντεῖν vel διὰ τοῦ συκοφαντεῖν.

[6] πορνεύει et πορνεύεται mihi

ἑταιρεῖ, πορνεύεται. ἀνδρεῖος τίς ἐϛι;[7] πρὸς λῃϛείαν ἀποχρῆται τῇ φύσει. δεινὸς εἰπεῖν; συκοφαντεῖν. δικάζειν,[8] δωροδοκεῖν. τὰ εἰς ἐπιορκίας ἕπεται. φιλοσοφεῖν ἐπιχειρεῖ;[9] γόης ἐϛὶ, καὶ τὰ οὐράνια πολυπραγμονεῖ. Τίμων μισάνθρωπος· ἀλλ᾽ Ἀλκιβιάδης οὐκ ἐᾷ σωφρονεῖν· ταύτης ἐγενόμην τῆς φύσεως· τοῦτον ἐπλήρωσα τὸν κατάλογον. ἐν τούτοις ἐξητάσθην τοῖς κακοῖς· ἆρ᾽ οὖν οὐχ, ὅπερ ἔφην, ἐκ πρώτης ἡλικίας θανάτου καὶ προσαγγελίας ἔπραττον ἄξια; ἆρ᾽ οὐ δικαίως μισάνθρωπος ἐγενόμην; νυκτὸς, λῃϛεῖαι· μεθ᾽ ἡμέραν τὰ δικαϛήρια. μοιχεῖαι, καὶ κῶμοι πάλιν ἀπὸ τῆς ἑσπέρας. Ἡράκλεις, τῆς διαδοχῆς τῶν κακῶν, καὶ τῆς συνεχείας ἀλλ᾽ ἐπειδὴ θεῶν τις ἀφείλετό μου τὴν ἀχλὺν, καὶ τὴν ψυχὴν ἐκάθηρε τὴν ἐμὴν, καὶ κατὰ τὸ Δελφικὸν ἔγνων ἐμαυτόν· καὶ τί ποτ᾽ ἐϛὶν ἄνθρωπος, καὶ ὅσον κακὸν ἐϛι, συνεῖδον, ὥσπερ φυγῆς σύνθημα λαβὼν, πόῤῥω μὲν τῆς πρὸς ἀνθρώπους ὁμιλίας ἐγενόμην· τὴν δὲ ἐσχατιὰν καταλαβὼν, καὶ τὴν ἐρημίαν ἀσπασάμενος, ἥμην ἐπ᾽ ἐμαυτοῦ· τὴν ἐκκλησίαν, καὶ τὸ βῆμα, καὶ τοὺς ἐνταυθοῖ θορύβους, ἄϛροις, τοῦτο δὴ τὸ τοῦ λόγου, τολοιπὸν τεκμαιρόμενος. πόλεμον δ᾽ ἄσπονδον πρὸς τὴν φύσιν ἀναδεξάμενος, ζηλωτόν τινα καὶ μακάριον διῆγον βίον· οὐ θεώμενος ἄνθρωπον. οὐκ ἀκούων οὐδενὸς, οὐ προσομιλῶν· ὀλίγα τῷ κυνὶ διαλεγόμενος· καὶ τοῦ πυρὸς εἴ τις προσίοι μεταχεῖν ἐθέλων, κἀκείνου φθονῶν, συϛέλλων τὰς ὄψεις. πάλιν ἐπιβάλλων τὰς χεῖρας ταῖς ἀκοαῖς, εἴ που τὶς ἀνθρώπων κτύπος προσιόντων ἠκούετο. καὶ τὸν τοῖχον δ᾽ ἐξώρυττον, εἴπου τινὰ γεγραμμένον ἴδοιμι ἄνθρωπον· καὶ τὴν ἐμαυτοῦ σκιὰν συνεχῶς ἀπεδίδρα-

ſcholia videntur ideoque delenda; illud ſcholium verbi μοιχεύει, ſtuprat, hoc verbi ἑταιρεῖ ſtupratur.

[7] ἀνδρεῖός ἐϛι m. M.

[8] num δεινὸς εἰπεῖν; συκοφαντεῖν. δικάζειν; (ſcil. ἐϛί τις δεινὸς ſi quis valet facultate ius dicendi) δωροδοκεῖ. τῷ δὲ δωροδοκεῖν τὰ τῆς ἐπιορκίας ἕπεται. corruptelam autem, per largitiones admiſſam, ſequentur dedecora et mala periurii.

[9] ἐγχειρεῖσθαι m. M

διδάσκον, ὅτι δὴ πολλάκις ἐφιστάμενος [10] τοῖς νάμασιν, ἄνθρωπον ἐμαυτὸν ἑώρων διὰ τῆς εἰκόνος. ἐμίσουν δὲ καὶ τῶν ὀνείρων ἐκείνους, οἳ πρὸς τὴν τῶν ἀνθρώπων ὁμιλίαν ἡμᾶς ἦγον· καὶ συνεχῶς ἐκ μέσων ἀνεπήδων τῶν ὕπνων, οὐ φέρων τὴν θέαν· καὶ ἐμαυτὸν δ' ἐμίσουν πολλάκις, ὅτι δὴ τὴν φύσιν ἄνθρωπος ἦν. ἐλύπει δέ με κἀκεῖνο νὴ τοὺς θεοὺς, εἴποτ' ἐνθυμηθείην, ὡς ἄρα μνήμην τινὰ ἔχουσι παρ' ὑμῖν τινές. οὐδὲ γὰρ οὐδ' ἄχρι ῥήματος καὶ ψιλῆς ὑπονοίας ἠβουλόμην παρ' ὑμῖν μνημονεύεσθαι. τοσοῦτον δέ μοι περιῆν τοῦ φίλτρου τοῦ πρὸς ἀνθρώπους, ὥστε καὶ μέχρι θεῶν καὶ τῶν ἀγαλμάτων ἐξετείνετό μοι τὸ μῖσος· ὅτι δὴ τούτους οἱ κατάρατοι πρὸς τὴν αὐτῶν μορφὴν ἐξετύπουν ἄνθρωποι· καὶ τοὺς Αἰγυπτίους ἐμίσουν μέν· [11] τί γὰρ οὐκ ἔμελλον, ἀνθρώπους ὄντας; καθ' ἓν δὲ τοῦτο ἀπεδεχόμην, ὅτι δὴ τὰ τῶν θεῶν ἀγάλματα οὐκ ἀνθρωποειδῆ, θηριωδέστερον δέ τινα τὸν τύπον ἔχοντα κατεσκεύαζον· πολὺ πρότερον τῶν ἀνθρώπων τοὺς κύνας πρέπειν θεοῖς πρὸς τὴν εἰκασίαν πιστεύσαντες. ηὐχόμην δὲ τὴν Φαέθοντος διφρείαν ἐπιστῆναί ποτε; καὶ τὸν πολὺν κατακλυσμὸν ἐκεῖνον, ὃν οἱ ποιηταὶ θρυλλοῦσιν. οὐδὲν γὰρ ἂν ἦν εὐτυχέστερον, ἢ τὸ σύμπαν τῶν ἀνθρώπων γένος ἀφανισθῆναι πυρὶ, καὶ σιδήρῳ, καὶ ὕδατι καὶ τὴν γῆν ὥσπερ τινὸς νοσήματος ἀπαλλαγῆναι, καθαρθεῖσαν τῷ πυρί. ταῦτα ἐλογιζόμην. τοῦτον ἔζων τὸν βίον· ἐπὶ τοσαύτης διῆγον εὐδαιμονίας· καὶ τὸ καλὸν πρόσρημα, μισάνθρωπος ὠνομαζόμην, ἀλλ' οὐ Τίμων ἔτι, τὴν προσηγορίαν ἀπὸ τοῦ τρόπου μεταλαμβάνων. ἀλλ' ὁ φθόνος καθ' ἡμῶν ἴσχυσε, καὶ δαίμων τὶς πονηρὸς ἀνέτρεψέ μου τὸν βίον. καὶ κρείττων ἐγένετο τῆς ἐμῆς προθέσεως. καὶ θεῖόν τι φάντασμα, καὶ κάλλος οὐράνιον, τὴν Ἀλκιβιάδου μορφὴν ὑπελθὸν, εἰς ἡμᾶς ἐκώμασε. καὶ ταυτὸ πέπονθα ταῖς Βάκχαις, αἳ τῷ Διονύσῳ πληγεῖσαι, οὐ δύνανται μένειν ἐφ' ἑαυτῶν. Τίμων εἰς ἄστυ· Τίμων εἰς ἐκκλησίαν; πολ-

[10] ἐφίσταμεν W.

[11] ἐμίσουν μὲν] sic W. ἐμισοῦμεν M.

πολλῶν ἀκούων, πάντας ὁρῶν· θορύβου καὶ κραυγῆς ἀνεχόμενος. τῆς ἀπιστίας, Ἄπολλον, καὶ τῆς ἐξαίφνης μεταβολῆς. ἐσχατιὰ μὲν ἡ φιλτάτη, καὶ ἡ συνήθης ἐρημία, καὶ τὸ στερρὸν τοῦ τρόπου, καὶ ὁ μισάνθρωπος· καὶ πάντα ἐκποδών. κινδυνεύω δὲ ἀνθίνας ἤδη φορεῖν, καὶ στεφανοῦσθαι, καὶ κωμάζειν, καὶ ταινίας ἀναδεῖσθαι, καὶ πίνειν ἄκρατον, καὶ μεθύειν, μισάνθρωπος ὤν. οὐκ ἦν ἄρα τὸ περὶ Ἡρακλέους λεγόμενον μῦθος ἄλλως, καὶ ποιητῶν τις ἐξουσία. ἀλλὰ κἀκεῖνον βάρβαρός τις γυνὴ, καὶ Λυδὴ, τὴν λεοντῆν περιείλετο. καὶ δουλεύειν ἠνάγκασεν ἑαυτῇ, τῷ κάλλει δέσμιον ἔχουσα. ἀλλ' ἐκεῖνος μὲν σωφρονῶν, ἐπὶ τὴν πυρὰν ἐκεῖθεν ὥρμησεν· ἐγὼ δὲ ἐπί τι βάραθρον, ὅσον οὐδέπω· οὐ γὰρ ἐλάττων ὁ τοῦ Κλεινίου τῆς Ὀμφάλης εἰς τὸ διαφθείρειν ἐστίν. ἕως οὖν ἔτι σωφρονῶ, καὶ τῶν ὀφθαλμῶν ἄπεστιν Ἀλκιβιάδης τῶν ἐμῶν, ἐπινεύσατε πρὸς τὴν χάριν. ὡς εἴγε ὀφθείη μόνον, οὐδ' ἂν βούλησθε κατακρίνειν, ἀνέξομαι. δύο γὰρ ἔχω ψυχάς· τὴν μὲν τοῦ τρόπου· τὴν δὲ ὅλην Ἀλκιβιάδου, καὶ τοῦ κακοῦ. ὅταν γὰρ τὸ κάλλος ἐνθυμηθῶ καὶ τὴν ὥραν Ἀλκιβιάδου, καὶ τὸ βλέμμα, καὶ τὸ βάδισμα, καὶ τοὺς πολλοὺς κόλακας, καὶ τοὺς ἀντεραστὰς τοὺς ἐμοὺς, ἐξανδραποδίζομαι, καὶ παραδίδωμι δέσμιον ἐμαυτόν·[12] καὶ πάντων προτιμώτατον ἡγοῦμαι τὸ συνεῖναι τῷ μειρακίῳ. τὴν φύσιν δὲ ὅταν λογίσωμαι πάλιν, καὶ τὸ κακὸν ὅσον ἐστὶν[13] ἐπ' ἐμαυτὸν, καὶ ὡς ἄνθρωπος Ἀλκιβιάδης. καὶ ὡς ἀνθρώπου Τίμων, ἐρῶ· μισεῖν μὲν Ἀλκιβιάδην οὐδὲ οὕτω δύναμαι, μὰ τοὺς θεούς. κατ' ἐμαυτοῦ δὲ χρώμενος τῷ τρόπῳ, καὶ τὸν δήμιον ἤδη καὶ τὸ κώνειον, ὥσπερ ὤνιόν τι φάρμακον, καὶ ἀλεξίκακον προσδοκῶ. ὅθεν δ' εἰς τοῦτο ἤχθην, γελάσετε μὲν οἶδ' ὅτι πάντες ἀκούσαντες· λέξω δὲ ὅμως. τί γὰρ δεῖ τῷ λόγῳ παραιτεῖσθαι[14] νῦν, ἃ τοῖς ἔργοις ὑπέστην

ὁ

[12] ἑαυτὸν m. M.

[13] ἐστὶν] sic etiam W. num εἶσιν *vadat*, *accedat*? an deest aliquid?

[14] δὴ τ. λ. παραιτεῖσθε W. et m. M. sc. δὴ τ. λ. δεῖ παραιτεῖσθαι m. M.

ὁ κακοδαίμων. ἦν ἐπ' ἐρημίας ἐμαυτῷ διαλεγόμενος, καὶ τῆς ἡσυχίας ἀπολαύων, καὶ πολλὰ καταρώμενος τῇ τύχῃ, διότι μὴ πρὸ πολλοῦ ταύτην κατέστησέ [15] μοι τὴν γνώμην, καὶ τὸ μῖσος τὸ πρὸς ἀνθρώπους. ἤδη δὲ τῆς ὥρας οὔσης πρὸς ἑσπέραν, ἐπέστη μεθύων Ἀλκιβιάδης, καὶ μισάνθρωπον εἰπὼν, καὶ Τίμωνα χαίρειν, καὶ τὰ τοιαῦτα, περὶ τὴν [16] ἐσχατιὰν βαλλόμενος ὑπ' ἐμοῦ τοῖς βώλοις, καὶ τὰς προσηκούσας αὐτῷ βλασφημίας ἀκούων, ἕως ἦλθε πάλιν. καὶ παρῆν Ἀλκιβιάδης σεμνὸς ἀφ' [17] ἱματίου, ὥσπερ πάγην τινὰ καθ' ἡμῶν τὸ κάλλος προβεβλημένος. καὶ τί φησιν; ὁμότροπός σοι, Τίμων, ἔφη, καὶ κοινωνὸς τῆς ἐσχατιᾶς ἥκω. μὴ δὴ μισάνθρωπος ἄγαν καὶ πρὸς τοὺς ὁμοίους. καὶ τὰ τοιαῦτα, πρὸς ἡμᾶς διελέγετο, μειδιῶν. ἀλλ' ἔτι γὰρ ἐγὼ ἐσωφρόνουν [18] ἔτι κρείττων ἦν ὁ λογισμὸς τοῦ κακοῦ, καὶ πρὸς τὴν θέαν ἄτρωτος ἦν, οὐκ ἠνεσχόμην. οὐκ ἐκφθαρήσῃ [19] δὲ, ἔφην, οὐκ εἰς σαυτὸν, οὐκ εἰς τὸ βάραθρον χωρήσεις; μαλακιζόμενος πολίτης [20] Τίμωνος ἥκεις; ἢ ἐν τοῖς Καλλίου κωμάζειν νομίζεις· ἢ πρὸς Σωκράτην ἀφῖχθαι, καί τινι τῶν ἐραστῶν διαλέγεσθαι. πολὺ τὸ καθ' ἡμᾶς Ἀλκιβιάδη τῶν σῶν ἐπιτηδευμάτων κεχώρισται· ἡ πενία, τοῦ πλούτου· τῆς μέθης, ἡ σωφροσύνη. τῶν κώμων καὶ τῆς ἀσελγείας, ἡ παρ' ἐμοὶ καρτερία. τῆς πόλεως ἐν ᾗ κωμάζεις, ἡ κακοδαίμων ἐσχατιὰ, διὰ τὴν σὴν ἔφοδον. σὺ μὲν Ἀγάθωνα καὶ Σωκράτην, μᾶλλον δὲ τὸν δῆμον ὅλον, ἐραστὴν αὐχεῖς· ἐμοὶ δὲ ἀπεναντίον ὁ τρόπος. μισῶ γὰρ οὐκ Ἀθηναίους μόνον, ἀλλὰ καὶ πάντας ὅσοι τοιαύτης εἰσὶ φύσεως. τί δὲ τὴν Ταυρέου [21] παλαίστραν καταλι-

πὼν

[15] κατέστησε] sic etiam W. sed malim παρέστησε.

[16] περὶ τὴν] consentit etiam hic W. cum vulg. num περιιὼν τὴν ἐσχατιὰν, ἀπήει βαλλόμενος?

[17] ἐφ' W. et m. M.

[18] ἐφρόνουν· ἔτι καὶ κρ. m. M.

[19] num οὐκ ἀποφθαρήσῃ δὲ, ἔφην, οὐκ εἰς σκότον, οὐκ εἰς τὸ βάραθρον χωρήσεις μαλακιζόμενος; tum nova interrogatio. πολίτης τίμωνος ἥκεις; quamquam pro πολίτης mallem ὁμιλητής.

[20] εἰς πολὺ; τίμ. m. M.

[21] ταυρέα m. M.

πὼν, καὶ τὸ πολὺ τῶν ἐραστῶν σύνταγμα, ἥκεις εἰς ἐρημίαν, οἷ[22] μηδείς σε ὄψεται. τί δ' ἐραστόν σοι παρ' ἐμοί. τί δέ σε ἤγαγεν ἐνταυθοῖ πρὸς θεῶν. οὐ γὰρ παῖδας Δωριεῖς, ἢ παρθένους ἐξ Ἰωνίας, ἢ πολὺν ἄκρατον εὑρήσεις παρ' ἐμοί. τί οὖν ἐνοχλεῖς δωρεὰν Τίμωνα; τί δὲ τὸν ἐμὸν τρόπον ἐκφέρεις εἰς τοὺς πολλούς; τί δ' ἐξορχῇ τὸν ἡμέτερον βίον; οὐκ ἀρκεῖ τὰ μυστήρια; ταῦτα βοήσας, καὶ διαῤῥαγείς, ὡς ἀπηλλάττετο τὸ μειράκιον, μετοικίζεσθαι διενοούμην. καὶ τὴν ἀποικίαν ποῤῥωτάτω στέλλειν τῆς ἐρημίας· ὁ δ' ἐγγύθεν ἐφειστήκει πάλιν, καιρὸν ἀναχωρήσεως οὐκ ἐνδιδούς· πολλὰς ἐφόδους ἤνεγκα· πολλὰς Ἀλκιβιάδου προσβολὰς ἀπεωσάμην. τὸ τελευταῖον δὲ μεγάλῳ τινὶ μηχανήματι τοῦ κάλλους κατασεισθεὶς κατηνέχθην. καὶ τρόπαιον καθ' ἡμῶν ἔστησεν Ἀλκιβιάδης· καὶ τὸν ἐμὸν ἤλεγξε τρόπον, καὶ τὴν φύσιν ἀσθενεστέραν τὴν ἐμὴν τῆς τοῦ σώματος ὥρας ἔδειξε. δέσμιος δὲ διὰ τὸν ἔρωτα. οἰκτρὸς, αἰχμάλωτος ἀπὸ τῆς ἐσχατιᾶς ἐπὶ τὴν πόλιν ἤχθην, ὁ μισάνθρωπος, καὶ οὐχ ἑνὸς, τρισμυρίων δὲ θανάτων ἄξιος. τίς κακοδαιμονέστερος Τίμωνος ἕτερος γέγονε;[23] βοῶν, ὦ κακὴ κεφαλή! λοιδορούμενος, μισάνθρωπος ὢν, ἀπελαύνων τοῖς λίθοις, μισῶν, καὶ μέχρι ῥήματος, Ἀλκιβιάδην, τὸν ἔρωτα ἐδέξω, καὶ πρὸς ἀνθρώπους ἐσπείσω, καὶ πρὸς τὰ χείριστα ηὐτομόλησας ἀπὸ τῆς γενναίας ἐκείνης τάξεως τοῦ βίου; μαίνομαι καὶ παραπαίω, νὴ τοὺς θεούς· καὶ τὰ παρόντα ὄναρ εἶναι δοκεῖ.[24] ἄνθρωπον τινὰ ἄγω; στέργω δὲ τινὰ ταύτης ὄντα τῆς προσηγορίας; ἀλλ' οὐχ οὕτω ταῦτ' ἔχει. οὐκ[25] ἔστιν Ἀλκιβιάδης Ἀθηναῖος, οὐδ' ἄνθρωπος· μὴ τοῦτο ὑπολάβητε. θεῖόν δέ τι φάντασμα ἐξ οὐρανόθεν ἧκον ἐν ἡμῖν πλανᾶται· καὶ κάλλους τὶς ἀρχέτυπος εἰκὼν ἐν τοιούτῳ[26] φαίνεται τῷ σχήματι. πάλιν ἐπιδημία θεῶν. πάλιν ἐπιφοίτησις εἰς τὴν Ἀττικὴν τῶν κρειττόνων. Ἀπόλλων τὶς ἕτερος ἐκ Δήλου πάλιν πρὸς ἡμᾶς ἀφι-

22 οἷ] ᾗ W. malim ᾗ ubi.
23 ἂν γένοιτο m. M.
24 δοκῶ m. M.
25 ἀλλ' οὐκ m. M.
26 τούτῳ m. M.

ἀφῖκται. Διόνυσός τις οὗτος ἐκ Θηβῶν εἰς τὴν Ἀττικὴν κωμάζει πλεῖστα φέρων τῆς θείας φύσεως γνωρίσματα, καὶ τῆς πρὸς τὸν θεὸν ὁμοιότητος. κόμαι μὲν αὐτῷ τοῖς κροτάφοις ἐπισείονται Βακχικαὶ, τοῖς στεφάνοις ἤδη καὶ τοῖς ἄνθεσι πρὸς κόσμον,[27] ἀνθοῦσαι· ὀφθαλμοὶ δὲ ἀφιᾶσι βολὰς, ταῖς ἡλίου μαρμαρυγαῖς ἁμιλλώμενοι,[28] μεγάλαυχον ἤδη καὶ γαῦρον καὶ προσηνὲς ὁρῶντες. καταλάμπονται δὲ παρειαὶ ταῖς γλήναις αὐτῷ· τὸ δ' ἐρύθημα τοῦ προσώπου, τῷ τῶν λαμπάδων ἀντιστράπτει πυρί· γέλως δὲ τοῖς χείλεσιν ἐπανθεῖ· χορεύει δὲ ἴσα τῷ θεῷ· διάδετος μὲν ταινίαις καὶ τοῖς στεφάνοις τὰς κόμας· ποδήρει καὶ ἀστράπτων χιτῶνι, καὶ καταπάστοις ἀλουργήμασιν[29] ἐμπρέπων. καὶ πολὺν ἄκρατον ἐπιχέων πανταχοῦ. ὁ δὲ καὶ τοὺς κόλακας ἀντὶ τῶν Σατύρων ἔχει· καὶ τὸν αὐλὸν ἐπάγεται πρὸς τὸν θίασον, καὶ τὴν σύριγγα τὴν Πανικήν. καὶ γυναῖκες ἀντὶ τῶν Βακχῶν αὐτῷ πρὸς τὴν χορείαν ἀρκοῦσιν. ὁ δὲ εὐδαίμων Σειληνὸς, ὁ τὸν Διόνυσον πολλάκις ὑπὸ τῷ τρίβωνι περιπτυξάμενος, παρακολουθεῖ κωμάζων ὁ σοφὸς Σωκράτης·[30] πολὺς δὲ καὶ πανταχοῦ τῆς Ἑλλάδος ὁ θεός· καὶ τὸν Ὀλύμπιον δὲ καὶ οὗτος δυστυχεῖς[31] πρὸς γένους καὶ πολιτειῶν, ὥσπερ φασι πρότερον τὸν θεὸν τὸν μυστικὸν βακχεύοντα, καὶ δᾳδουχοῦντα, καὶ τὰς ἐξ ἀνακτόρου λαμπάδας αἰωροῦντα. ἀλλ' οὐ θεὸς, ἀλλ' ἄνθρωπος Ἀλκιβιάδης· ἀλλ' Ἀλκμαιωνίδης· ἀλλ' ἐξ Ἱππονίκου, καὶ τῆς μεγάλης οἰκίας· καὶ Μεγακλέα, καὶ Κλεινίαν καὶ τὸν πρὸς μητρὸς Περικλέα, καὶ τὴν Δεινομάχην αὐχῶν. τί οὖν βούλομαι ἀποθανεῖν; ἐρῶ δικαιότερον[32] ἔρωτα, πρέποντα

[27] κόσμον] sic et W. sed malim κῶμον.

[28] malim ἁμιλλωμένας, vt ad βολὰς referatur.

[29] ἀλουργίδι m. M.

[30] σοφιστὴς σωκρ. m. Mor. Schol. τὸν ὀλύμπιον] ὁ περικλῆς γὰρ, ὃς διὰ τὰ ἔργα ὑπ' ἀθηναίων ὀλύμπιος ἐκλήθη, συγγενὴς ἀλκιβιάδου ἦν. in m. W.

[31] nihil aliud h. l. mutat W. praeterquam δυστυχεῖ in tertia perſ. ſing. ego locum hunc non intelligo.

[32] malim δικαιότερον ἔρωτα ἔρωτα μᾶλλον πρέποντα ἐμοί. deſignat.

τα ἐμαυτῷ. τῦ μὲν γὰρ Κλεινίȣ παιδὸς, διὰ τὴν συμφορὰν ἐρῶ· τῦ θανάτου δὲ διὰ τὸν τρόπον. εἰ γὰρ καὶ ἱπποτρόφος Ἀλκιβιάδης, καὶ τὸν κότινον τῆς ἱππικῆς πολλάκις νίκαις ἀναδησάμενος. καὶ ῥήτωρ ἄριστος, καὶ δημαγωγὸς, καὶ στρατηγός· παρευδοκιμῶν ἤδη καὶ τὸν Νικίαν, καὶ μείζω Περικλέους ἀξιῶν φρονεῖν· καὶ τὸν Ὀλύμπιον δεύτερον ἀποφαίνων τῷ μεγέθει τῶν ἐπιχειρημάτων; καὶ κάλλιστος ὑπὲρ τὸν Νιρέα, καὶ τὸν ἐκ Θετταλίας ἐκεῖνον, ὃν Ὅμηρος εἰς ὥραν τὰ πρῶτα ἐπαινεῖ. ἀλλ᾽ ἄνθρωπος Ἀλκιβιάδης, ὦ κακόδαιμον Τίμων, δυσμενὴς ἐκ προσηγορίας·[33] σὺ δ᾽ ἐξέστηκας, καὶ μελαγχολᾷς· δεῖσοι τῦ κωνείου. καταφεύγω δὴ πρὸς τὸν νόμον, ὃς τοῖς βουλομένοις ἀποθνήσκειν δίδωσι ῥᾳστώνην· καὶ τοῖς λίθοις ἤδη βάλλεσθαι ἀφ᾽ ὑμῶν ἀξιῶ. δυστυχῶ δὲ θανάτου καὶ προσαγγελίας ἄξια. καὶ πάντων δικαιότερος ἀπολαύειν τούτου τῦ νόμȣ, ὃν πάντων παρ᾽ ὑμῖν μᾶλλον ἐπαινῶ τῶν νόμων, ὅτι τοὺς ἀνθρώπȣς ἀποθνήσκειν βούλεται. εἶεν· ἀλλ᾽ ἀντιλαμβάνεταί τις συκοφάντης σωτηρίας τῆς ἐμῆς. καὶ τί πέπονθας θανάτου ἄξιον, ἐρωτᾷ. καὶ τὸν νόμον ἐφ᾽ ἑτέροις κεῖσθαι ἀτυχήμασί φησιν. εἶτα ȣκ εἰκότως μισάνθρωπος ἐγενόμην; εἶτ᾽ οὐ δικαίως ἀποθνήσκειν βούλομαι, καὶ τῆς μετ᾽ ἀνθρώπων ἀπαλλάττεσθαι κοινωνίας; βασκαίνεις ἀποθανεῖν βουλομένῳ; φθονεῖς μοι τῦ θανάτου; μὴ γὰρ στέφανον ἢ δωρεὰν αἰτῶ παρὰ τῦ δήμου; μὴ γὰρ σιτήσεως, ἢ τιμῆς τινος βούλομαι τυχεῖν; σὺ δὲ ἀπόθνησκε παρελθὼν, καὶ συνήγορον ἕξεις Τίμωνα· καὶ τὸ κώνειον, εἰ βούλει παρ᾽ ἐμοῦ λαμβάνειν. καὶ δήμιον ἐπιγράφεσθαι Τίμωνα. ἧκον οἷς[34] ἀντὶ παντὸς ἔσαι μοι. τί δ᾽ εὐνοίας ἔχων

[33] δυσμενὴς ἐκ προσηγορίας] videtur significari infestus, si nullam aliam ob causam, vel ob hanc solam, quod Alcibiades te appellauit oratione, vel, quem si tu compelles, odio dignus sis et exsecratione. er muss dir feindselig seyn, auch selbst biss zur Anrede.

[34] ἧκον οἷς] sic etiam W. nil h. l. iuvat. ἴσ. ἧκεν εἰς m. M.

ἔχων πρός με τεκμήριον; τί δὲ Φιλίας δίκαιον; τί δὲ, ὦ κακὴ κεφαλὴ, κερδαίνων, περιεῖναι Τίμωνα βούλει; συγγενής εἰμί σοι; ἀδελφός; ἐξιάσεως ἐκοινώνησά σοι; θυσιῶν; πανηγύρεων; οὐκ ἄνθρωπος μὲν ὑπάρχεις, μισάνθρωπος δ' ἐγώ; μὰ τοὺς θεοὺς, οὐδ' εἰ Ἀλκιβιάδης ἀντελαμβάνετο παρὼν, ἠνεχόμην ἂν τὸ πρᾶγμα. προτιμότερα γάρ μοι τοῦ Κλεινίου παιδὸς, τὰ τοῦ θανάτου παιδικὰ φαίνεται. ἀλλὰ ποῖον ἀπολώλεκα παῖδα; ἐρωτᾷ πάλιν. τίς μοι τέθνηκε τῶν Φιλτάτων; τί μέρος ἠκρωτηρίασμαι τοῦ σώματος; τίς ἐξάγει με τοῦ βίου συμφορά; τίς δὲ πρόφασις τοῦ θανάτου; τὸ δὲ ζυγομαχεῖν σοι νῦν, ὦ κακόδαιμον, καὶ διαλέγεσθαι, πρὸς θεῶν, οὐ προσαγγελίας καὶ θανάτου ἄξιον εἶναι σοι δοκεῖ; τὸ δὲ εἰς ἄστυ κατελθεῖν ὅλως. τὸ δὲ εἰς ἐκκλησίαν παρελθεῖν ὅλως, καὶ τοσούτους ὁρᾶν ἀνθρώπους, καὶ τοσούτων ἀνέχεσθαι, οὐ μυρίων ἂν μοι πρόφασιν παράσχοι θανάτων; αὐτὸ δὲ τὸ δεῖσθαι προσαγγελίας, καὶ τὸ μηδὲ αὐτόν τινα κύριον ἑαυτοῦ τυγχάνειν, οὐκ ἀγχόνης ἄξιον τῷ σωφρονοῦντι; ἐπιλέλησαι δὲ ὧν ἀρτίως ἔλεγον, ὡς[35] ἔναγχος ὠδυρόμην; ἐρωτᾷς τὴν συμφορὰν, εἴ τις[36] ἐστί; τάξιν ἔλιπον τοῦ βίου γενναίαν, καὶ λογισμὸν σώφρονα δι' ἔρωτα, οὐκ ἠδυνήθην Φυλάξαι. καὶ τὴν μισανθρωπίαν, ὥσπερ τινὰ προβεβλημένος ἀσπίδα τοῦ βίου, ταύτην ἀφῆκα, καὶ παρεχώρησα τῆς νίκης Ἀλκιβιάδῃ. Φιλοτιμίας μὲν ἐκράτησα· καὶ πλούτου κρείττων ἐγενόμην, ὦ θεοί· καὶ δόξης ὑπερεῖδον. κατεφρόνησα δὲ καὶ τῶν παρ' ὑμῖν ἐπαίνων καὶ τιμῶν οὐ πανηγύρεων, οὐ πομπῆς τινος, οὐκ ἀγῶνος ἡττήθην. ἀνάλωτος δὲ πρὸς πάντα μείνας τἀνθρώπινα, ἔρωτι δουλεύω μειρακίου. καὶ ὥσπερ ἐν Εὐρίπῳ, τὰ τῆς γνώμης ἐκ μεταβολῆς ἀνεστράφη[37] μοι. πάλιν μειδιῶν ὁρῶμαι, καὶ διαλεγόμενος ἀνθρώποις, καὶ κωμάζων, καὶ στεφανούμενος, καὶ θεραπεύων Ἀλκιβιάδην· καὶ πρὸς τοὺς κόλακας ἁμιλλώμενος τῇ θεραπείᾳ· καὶ γέλωτα παρέχων

[35] ὢς etiam in W. est sed malim ὢν.

[36] etiam hic consentit W. vulgatae in εἴτις. malim ἤτις.

[37] ἀναστρέφει m. M.

χων ἀνθρώποις ἐπ' ἐμαυτῷ, τῶν ἀνθρωπίνων πρότερον ἁπάντων καταγελῶν. ὑπὲρ τὸ μειράκιον τὸ Θετταλὸν τὰ τῆς μεταβολῆς ἐστί μοι, ὃ τὸ Πύλιον καταλιπὸν, καὶ τὴν μελίαν[38] ἐπὶ τὴν Σκύρον ᾔει καὶ τὸν παρθενῶνα· καὶ τῇ προσηγορίᾳ, καὶ τῷ βλέμματι, καὶ τῇ στολῇ πρὸς τὸ θῆλυ τὴν φύσιν ἐξεβιάζετο. ἐγὼ δ' ἐκ τῆς ἐρημίας, ἐπὶ τὴν πόλιν· ἐκ τῆς ἐσχατιᾶς, ἐπὶ τὰς θύρας Ἀλκιβιάδου· καὶ κώμοις, καὶ μέθαις ἐγκαλινδοῦμαι· τὸν μονήρη βίον ἐκεῖνον ἀποθέμενος. καὶ τὰς χείρους ἀνταλάττομαι προσηγορίας τῶν φιλτάτων· κόλαξ ἀντὶ Τίμωνος ἀκούων. ἐραστὴς ἀντὶ μισανθρώπου. ἐμπομπεύει δ' Ἀλκιβιάδης τῇ ἐμῇ συμφορᾷ. καὶ πᾶσιν ἐπιδείκνυται ἀνθρώποις, οἷον ἐραστὴν ἐκ τῆς ἐρημίας ἀναστήσας, δέσμιον ἔχει παρακολουθοῦντα. καὶ τὸ κεφάλαιον τῶν συμφορῶν, τὸ τῶν ἐραστῶν πλῆθος, τὸ μειράκιον ὑπεροπτικὸν πρὸς ἡμᾶς ἀπεργάζεται. πάντας γὰρ πανταχόθεν Ἀλκιβιάδης ἀναδησάμενος τῷ κάλλει, καθάπερ τὴν Διὸς σειρὰν φησιν ὁ λόγος, μετεώρους ἔχει. καὶ βίον οὐκ ἀνθρώπινον ζῆν ἀναγκάζει τοὺς ὑπὸ τῇ τυραννίδι ταύτῃ κατεχομένους. τίς γὰρ Ἱππίας, ἢ Πεισίστρατος, τίς Ἵππαρχος χαλεπὸς οὕτως τοῖς ὑπηκόοις, ὡς Ἀλκιβιάδης τοῖς ἐρασταῖς ἡμῖν; ἕωθεν ἐπὶ τὰς θύρας ἀπαντᾶν δεῖ, τὰς προόδους καιροφυλακήσοντας, καὶ δορυφορήσοντας τὸ μειράκιον, καὶ προσκυνήσοντας ἂν ὀφθῇ μόνον· ἐκεῖθεν ἕπεσθαι τοῖς νεύμασι, καὶ ταῖς ὁρμαῖς ἀκολουθοῦντας ἐς Λύκειον, ἐς Ἀκαδημίαν, ἐπὶ τὰς παλαίστρας πάλιν, εἰς ἐκκλησίαν, εἰς βουλευτήριον, ἐπὶ τὸ θέατρον· πανταχοῦ παραγίνεσθαι. ἀγωνιζόμενον ἐπαινεῖν, δημηγοροῦντα θαυμάζειν. ἤδη δὲ καὶ τοὺς προγόνους, καὶ τὰ σεμνὰ θρυλλεῖν διηγήματα, ἃ κέρδος ἦν σιωπᾶν· τοὺς Ἀλκμαιωνίδας, τὴν τῶν τυράννων κατάλυσιν, τὸν μυστικὸν ὁπλίτην, τὸν Καλλίαν· τὰς δᾳδουχίας αὐτοῦ, τὸν μετὰ τῶν λαμπάδων εἰς Μαραθῶνα δρόμον· τὴν ἐν Σαλαμῖνι Κλεινίου ναυμαχίαν ἐπαινεῖν. τὴν Ξανθίππου παρὰ Μυκάλην στρατηγίαν θαυμάζειν. τὴν Διαρίστην ἐκπλήττεσθαι. τὴν

Δεινο-

[38] post μελίαν deleui ὅτε, nam recte abest a W.

Δεινομάχην μακαρίζειν, οἷον ἄγαλμα εἰς φῶς ἤγαγε τὸν Ὀλύμπιον προσκυνεῖν. καὶ οὐκ ἀρκεῖ τιμᾶν δὲ ἤδη καὶ Ἀσπασίαν μετὰ Σωκράτους, τὴν ἐκ Μιλήτου· τὴν ἐξ οἰκήματος Διοτίμαν ἐπαινεῖν τὴν σοφήν. ταῦτα γὰρ Ἀλκιβιάδης ἀπαιτεῖ παρ' ἡμῶν, καὶ τοιούτοις ἥδεται. τὰ δὲ ἀπὸ τῆς ἑσπέρας, ἀποτρόπαιοι δαίμονες, τῆς συμφορᾶς. κολάκων μὲν ἐκεῖ πλῆθος εἰσρεῖ πανταχόθεν. ἐραστῶν δὲ ἕτερον σύνταγμα ἐπεισέρχεται, αὐλητρίδες, ὀψοποιοί, μαγείρων πλῆθος, οἰνοχόων. πάντα δ' ἐπίσης μοίρας καὶ τάξεως μιᾶς, σοφισταί, κόλακες, φιλόσοφοι, μαστροποί, πόρνοι, μισάνθρωποι.[39] διαφορὰ δ' οὐ μία παρ' αὐτῷ, οὐδ' ἐξαίρετος τιμή. πᾶσι δ' ὡς δούλοις ἐρασταῖς[40] ἐπιτάττει. πολὺς δ' ὁ ζῆλος τοῖς κακοδαίμοσι πρὸς ἑαυτούς. τῷ δεῖνι προσεκολλήθη. μακάριος. ὑπεμειδίασεν ἑτέρῳ, ζηλωτὸς ἐκεῖνος. προὔπιε τῷ δεῖνι τὸ ἔκπωμα, οὐδ' ἀθάνατος, διὰ τὴν τιμήν. ἐγὼ δ' ἐν πᾶσι καὶ πανταχοῦ δεύτερος τυγχάνων ἄχθομαι, καὶ παρευδοκιμούμενος οὐ φέρω. οὐ ταῦτά με ἐδίδαξεν ὁ τρόπος, ἐρᾶν, μεθύειν, αὐλητρίδι προσανακεῖσθαι, κωμάζειν· ἀλλὰ βιάζεται ἡ συμφορά· καὶ ὁ ἔρως ἄγει με πρὸς τὰ χείριστα. καὶ ταυτὸν πέπονθεν ἡ ψυχή, τὸν λογισμὸν ἀφαιρεθεῖσα, τῶν ἁρμάτων ἐκείνοις, ἃ τὸν ἡνίοχον οὐκ ἔχοντα, ἀτάκτως φέρεται τῷ δρόμῳ πανταχοῦ. εἰς οἵαν ἦλθον ὁ κακοδαίμων μεταβολήν· οἷα ὑπέστην ὁ δυστυχής· κολάκων ἀνέχομαι, καὶ συγκατακλίνομαι τοῖς ἡταιρηκόσι· καὶ αὐλητρὶς μοι πρόσεισι, καὶ ὀρχουμένους θεῶμαι· καὶ τῷ Κλεινίου παρακολουθῶ κωμά-

39 μισάνθρωποι suspectum; tametsi in W. quoque est. verum bene habet. recte appellatur totum hoc hominum genus μισάνθρωπον, quia nulli alii rei studet, quam pesti hominum. nil agit aliud, quam vt eos corrumpat et perdat. quapropter etiam paulo post ait: Cupidinem a se amari ob odium quo genus humanum prosequatur. Nil aliud laceret magis genus humanum quam mala, ex amore funesto enascentia.

40 ὡς δούλοις τοῖς ἐρασταῖς.

κωμάζοντι, καὶ μεθύοντι, τῶν νυκτῶν ἀωρὶ καὶ ταῖς ἐπιθυμίαις δουλεύω ταῖς Ἀλκιβιάδου. νῦν μὲν εἰς Ἀγάθωνος εἰσέρχεται κωμάσων· αὖθις ἐπικρούει Σωκράτην. πρὸς Καλλίαν ἀφικνεῖται μεθ' Ἱππονίκου· μεθύει πάλιν. τὴν φύσιν δ' οὐδέπω καὶ τήμερον δύναμαι τῶν παιδικῶν κατιδεῖν, οὐδὲ τὸν τρόπον. ἐπαινῶ τὸ κάλλος, καὶ θαυμάζω τὴν ὥραν. ὁ δὲ ὑπερορᾷ καὶ καταφρονεῖ τῶν ἐγκωμίων τῶν ἐμῶν. τὴν ἀνδρείαν, τοὺς λόγους ἐκπλήττομαι· ὁ δὲ ὑπενόησεν εἰρωνεύεσθαί με τὴν ἡσυχίαν. τῷ τρόπῳ χρῶμαι· καὶ τὸν μισάνθρωπον ὑποκρίνομαι, καὶ λοιδορῶν αὐτὸν διαῤῥήγνυμαι. ὁ δ' ἐνταῦθα ἐγέλασε. πάλιν σεμνὸς ἐν Λυκείῳ φαίνεται· καὶ Πρωταγόρου μᾶλλον καὶ Γοργίου τὰς ὀφρῦς ἀνεσπακώς· αὐθάδης ἐν ἐκκλησίαις· καὶ δημηγόρος ὑπὲρ τὸν Ὀλύμπιον. πόρνος ἐν συμποσίοις, καὶ κατεαγὼς ἐν ταῖς μέθαις· ἀνδρόγυνος ἐπὶ τῆς ἑσπέρας. ὑπὲρ τὸν Πρωτέα τὴν φύσιν ἀμείβων. τίς δὴ γένωμαι; ἢ τίνα εὕρω τῶν κακῶν μεταβολήν; φεύγοντά με τὰς ἐμαυτοῦ [41] διατριβὰς μεταδιώκει. ἐγκείμενον δὲ ὁρῶν, καὶ ἀπολωλότα, εἰρωνευόμενος ἐρωτᾷ· τί δὲ, οὐ μισάνθρωπος ἦσθα; τί δὲ, οὐκ ἐπὶ τῆς ἐσχατιᾶς ᾤκεις; τί δὲ οὐκ ἔβαλλες ταῖς βώλοις προσιόντα με; πῶς οὖν ἑάλως, εἰπέ μοι; ἢ τί δὴ πέπονθας; ἢ τίς σε ἤγαγεν ἐνταυθοῖ. ἆρα ὑποκρίνῃ τὸν ἔρωτα, καὶ φιλεῖν Ἀλκιβιάδην προσποιῇ, πεπονθὼς οὐδέν; ἀποπνίγομαι, νὴ τοὺς θεοὺς, καὶ παραῤῥιπτοῦμαι. τὴν χλεύην οὐ φέρων καὶ τὸν γέλωτα ἐκείνου τὸν πολύν. ἐκκόψατε δὴ τοὺς καταράτους ὀφθαλμοὺς, ὦ πεντακόσιοι, τοὺς ἐμοὺς, τοὺς προδότας τῆς ἐμῆς ἀνδρείας γενομένους. οὗτοι γὰρ πρῶτοι τὸ κακὸν ἐδέξαντο· καὶ τὸ κάλλος δι' αὐτῶν εἰσρυὲν, τὸν λογισμὸν τὸν ἐμὸν κατεδουλώσατο. [42]

πάλαι

[41] f. πρὸς τὰς ἐμαυτοῦ. me, confugientem ad conſueta mea ſtudia, perſequitur. vulgata ſi ſeruatur, τὰς ἐ. δ. non erit cum φεύγοντα copulandum, ſed cum μεταδιώκει. affectatur loca, in quibus ego commorari ſoleo, tametſi ego ipſum fugiam.

[42] κατεδουλώσαντο dat Mor. et ſic etiam in W. eſt, ſed male. leg. in ſingulari.

πάλαι μὲν δι' ἔρωτα γυναικὸς καὶ κάλλος, τὴν Ἑλλάδα κατὰ τῆς Ἀσίας ὁπλισθῆναι τῶν ποιητῶν ἀκούων, μῦθον τὸν λόγον ἡγούμην· καὶ τὴν ὑπόθεσιν οὐκ ἀξιόχρεων εἶναι τοῦ πολέμου. καὶ τῶν Τρωϊκῶν[43] κατεγέλων συμφορῶν, εἰ δι' ἔρωτα συνέβησαν τοῖς τότε. νυνὶ δὲ πείθομαι[44] τῷ λόγῳ· καὶ τὸν θεὸν μέγαν, καὶ φύσεως ἀνθρωπίνης κρείττονα, διὰ τῆς ἐμαυτοῦ συμφορᾶς ἐπιγινώσκω· καὶ φιλῶ γε αὐτὸν τῆς μισανθρωπίας. καὶ τὰ ἔργα θαυμάζω, οἷα ἔδρασεν ἐξ ἀρχῆς· πολὺν ἐπὶ Τροίαν φόνον Ἡρωϊκὸν εἰργάσατο· πολλὰς Ἑλλήνων καὶ βαρβάρων σφαγάς· πολλὰς κατήνεγκε πόλεις· πολλὰ κατέσκαψε τείχη· πολλὰς ἀκροπόλεις παρέδωκε πυρί· πολυτρόπως ἀνέτρεψε τὸν ἡμέτερον βίον. οὗτος ἐπὶ κρημνοὺς ἄγει· οὗτος ἀναγκάζει βαπτίζειν εἰς ἑαυτοὺς τὰ ξίφη· ἀγχόνῃ παραδίδωσιν· ἐπὶ τὸ βάραθρον ὠθεῖ Τίμωνα· καλὴν παρ' ἐμοῦ λαμβάνει τῆς ὑπερηφανίας τὴν δίκην. ἀσθένειαν κατεγίνωσκον τῶν ἡττωμένων Ἀλκιβιάδου πρότερον· πολλὰς ἐποιούμην κατηγορίας· καὶ τῶν εἰς ἔρωτα ὑπαγομένων αὐτοῦ κατεγίνωσκον· καὶ τὸν Σωκράτην πολὺς ἦν χλευάζων ἐπὶ τοῖς παιδικοῖς.[45] πίνει δέ τις[46] δι' ὅλης ἡμέρας· μειρακίου δὲ ἀνέχεται κωμάζοντος, φιλοσοφεῖν προσποιούμενος ἄνθρωπος, καὶ τρίβωνα ἔχων στεφανοῦται; καὶ τὸν ἔρωτα φησὶν εἶναι θεόν; ἀλλὰ νῦν κακήν τινα ταύτην, ὦ θεοί, παλινῳδίαν ἀναγκάζομαι ᾄδειν. Οὐ νέμεσις Σωκράτην, οὐδὲ Ἀγάθωνα, οὐδὲ Ἀθηναίους ἅπαντας ἀμφὶ τοιῷδε μειρακίῳ κόπτεσθαι, καὶ πάσχειν κακῶς, μετὰ τὸ ἆθλον τῆς κολακείας, καὶ τὸν κῶμον τὸν οὐκ ἀγεννῆ[47] ὑπὲρ Νικίαν· ὑπὲρ τὸν Ἀμοκλαῖον ἐκεῖνον, ἔφηβος Ἀλκιβιάδης· ὑπὲρ τὸν Ἡρακλέους ἐρώμενον, τὴν ὥραν. ἀλλ' ἐκεῖνοι μὲν προῦ-

[43] ἡρωϊκῶν m. M.

[44] νυνὶ δὲ πείθομαι] sic lego. νυνὶ δὲ τί. πείθομαι M.

[45] πολεμικοῖς m. M.

[46] πίνει δέ τις] itane vero? est ne qui potet de die? Socratem pungit.

[47] ἀγεννῆ] sic dedi. ἀγεννῆ M.

προὔλαβον τοὺς ἐραστὰς τῷ θανάτῳ· ἐγὼ δὲ ἀντιστρόφου πειρῶμαι τῆς τύχης. τοσοῦτον δέ μοι περίεστι τοῦ πρὸς αὐτὸν ἔρωτος, ὥστε ἕτεροι μὲν τοὺς ὁρῶντας αὐτὸν μακαρίζουσιν· ἐγὼ δὲ καὶ Ἀγαθάρχῳ φθονῶ τῆς ὕβρεως. καὶ Ταυρέαν ζηλῶ τῆς πληγῆς, ἣν ἐπὶ κόῤῥης ἐδέξατο. ἔπαισε χορηγὸς ὤν,[48] καὶ στεφανούμενος. καὶ τὸν Ὀλύμπιον ἐπὶ τούτῳ[49] μᾶλλον ἢ τῇ προσηγορίᾳ μακαρίζω. μέγα δὲ καὶ τοῦτο ἐμαυτῷ πρὸς φιλοτιμίαν ἡγοῦμαι, τὸ δι' Ἀλκιβιάδην ἀπόλλυσθαι τήμερον, καὶ πρόφασιν ἔχειν τοῦ θανάτου τὸν ἔρωτα. ἄγε δή, ὦ γενναία κεφαλή· τῶν καλλίστων γὰρ ἄρχεις, εἰς τοὺς ἐραστάς·[50] πολλοὺς ἐπὶ τὸ βάραθρον· πολλοὺς ἐπὶ τὸ κώνειον Ἀθηναίους.[51] ἐπὶ τὸ Τίμωνος παράδειγμα, τοὺς σοὺς ἐραστὰς ἄγε. ζήλωσον τὸν ἡμέτερον βίον. μισάνθρωπον σαυτόν, καὶ Τίμωνος ἐρώμενον γνήσιον ἀνάδειξον.[52] ἅλις ἐχέτω σοι τὰ τῆς πορνείας, καὶ τῆς πρὸς ἀνθρώπους ὁμιλίας. μηδενὶ τῶν ἐραστῶν ἐπινεύσῃς, μηκέτι, μηδ' ἂν σοφώτατός τις ἀπάντων[53] τυγχάνῃ, καὶ τὴν παρὰ τοῦ Πυθίου μαρτυρίαν προσειληφώς· μηδ' ἂν τοῦ Διὸς ἔχῃ τὴν προσηγορίαν. ἐπὶ τὰς γυναῖκας τῶν Ἀθηναίων τῇ ὥρᾳ,[54] ἐπὶ τὰς μοιχείας ἀπόχρησαι τῇ φύσει. πάντας Ἀλκμαιωνίδας ἀπόφηνον τοὺς Ἀθηναίων παῖδας. ὅλου μοι γενοῦ τοῦ δήμου πατήρ· καὶ τοὺς Λακεδαιμονίων βασιλεῖς εἰς τὸ Ἀττικὸν μετάστησον. γνοῦ ἀνθ' Ἡρακλέους, αὐτῶν Ἀλκμαίωνα[55] ἐπιστήσας προστάτην. ἀντὶ σκηπτοῦ τινος καὶ λοιμοῦ, καὶ θείας προσβολῆς, ὀφθητι τῷ τῶν ἀνθρώπων γένει· δύνασαι δὲ ἀρκέσαι πρὸς τὴν Τίμω-

[48] ἐδέξατο. ἔπαισε χορηγὸς ὤν] sic etiam W. sed tolle v. ἔπαισε vna cum puncto. nam χορηγὸς ὢν et στεφανούμενος non ad Alcibiadem, sed ad Tauream redeunt.

[49] ἐπὶ τούτῳ] sic dedi, nam recte admonuit Morellus, sic leg. esse. sed ἐπὶ τοῦτο t. M.

[50] malim ἄρχεις τοῖς ἐρασταῖς.

[51] ἀθηναίων m. M.

[52] ἀπόδειξον m. M.

[53] ἀνθρώπων ἀπ. m. M.

[54] τὴν ὥραν m. M.

[55] f. μετάστησον γένος ἀνθ' ἡρακλέους αὐτοῖς Ἀλκμ.

Τίμωνος ἐπιθυμίαν. στοχάζομαί σου τὴν πολιτείαν,[56] τὴν φύσιν ἐπιγινώσκω τὴν σὴν Ἀλκιβιάδη. μείζω φρονεῖς τῶν νόμων· ταπεινὴν ἡγῇ τὴν δημοκρατίαν, καὶ τοὺς νόμους τοῦ Σόλωνος, μικρὸν Περικλέα, καὶ φαῦλον νομίζεις τὸ Θεμιστοκλέους παράδειγμα· τὴν ἀκρόπολιν περινοεῖς, τὴν ζῆλον ἄγεις πρὸς Πεισίστρατον, τυραννίδος ἐραστὴς τυγχάνεις. τὰς Λακεδαιμονίων περιμένεις εἰσβολάς. ἀλλὰ μικρὸν τὸ ἐνθύμημα, μίαν ἀπολέσαι πόλιν, ἕνα διαφθεῖραι δῆμον; σὺ δὲ ἐπὶ τὴν στρατηγίαν παρελθὼν, καὶ τριήρων, ὅπλων, καταλόγων, ἱππέων, χρημάτων καταστὰς κύριος, δυνάμεως τοσαύτης, συμμαχίας, τῆς κατὰ θάλατταν ἀρχῆς· κατὰ πάντων ἀνθρώπων ὄφθητι γενναῖος, καὶ πρὸς ἅπαντας μισάνθρωπος. μή μοι μέχρι τῶν ὅρων τῆς Ἑλλάδος τὰς πράξεις, μηδὲ εἴσω Πελοποννήσου τὴν Ἀλκιβιάδου καθείρξῃς δυναστείαν. ὑπὲρ τὸν Αἰγαῖον πόντον, ὑπὲρ τὸν Ἰόνιον, Ἀλκιβιάδης στόλον ἐξαγαγέτω,[57] ἐπὶ τὴν ἑσπέραν. πολλὰς κατὰ Σικελίαν, πολλὰς ἐν Ἑλλησπόντῳ φυγὰς, καὶ πόλεων ἀναιρέσεις, σφαγὰς[59] πανταχοῦ τῆς οἰκουμένης ἀπεργασάμενος. ἅπαντας ἀνάστησον· κοινὸν ἅπασιν ἀπόδειξον τὸν πόλεμον, βασιλεῖ, Λακεδαιμονίοις, Ἀθηναίοις, τοῖς ἐκ Σικελίας, τοῖς ἀπὸ τῆς Ἀσίας, Σατράπαις, βαρβάροις, Ἕλλησι, πᾶσιν ἀνθρώποις. μίμησαι τὴν ἔριν ἐκείνην τὴν Ὁμηρικὴν, ἣ τὰ πρῶτα ἐκ φαύλων ὁρμηθεῖσα, πᾶν τὸ μέσον οὐρανοῦ τε καὶ γῆς προϊοῦσα ἐπλήρωσε. τοῦτόν μοι τὸν κῶμον κατὰ τῆς οἰκουμένης ἁπάσης Ἀλκιβιάδη κώμασον. ταῦτα ἔχε Τίμωνος τὰ συν-

56 f. τῆς πολιτείας. nam στοχάζεσθαι cum genitiuo construitur. auguror, tua reip. administratio qualis sit aliquando futura.

57 ἐξήγαγεν m. M.

58 consentit hic W. cum vulg. ego vero φυγὰς cum σφαγὰς mutandum censeo, quod ex emendatione lectoris alicuius solertis in versum inferiorem irrepsit, vnde tollendum est. vt sic procedat locus: ἐν Ἑλλησπόντῳ σφαγὰς καὶ πόλεων ἀναιρέσεις πανταχοῦ.

συνθήματα· τούτων μέμνησο τῶν λόγων. παραχωρῶ σοι τῆς μισανθρώπου προσηγορίας. καὶ σὲ μὲν ἐντεῦθεν θεοὶ φυλάττοιεν ταῖς μελλούσαις ἀνθρώπων συμφοραῖς· ἐμὲ δὲ ἤδη τὶς ἐπὶ τὸν ἕτερον ἐρώμενον ἀγέτω, τὸν θάνατον.



ΑΛΛΗ.

ΠΡΟΘΕΩΡΙΑ.

Νόμος τὸν εὑρόντα θησαυρὸν, χιλίας τῇ πόλει διδόναι δραχμάς. Φιλάργυρος εὑρὼν θησαυρὸν, πεντακοσίας δραχμὰς,[1] καὶ ἀπαιτηθεὶς χιλίας, ἀποθανεῖν ἀξιοῖ.[2]

Η ΜΕΛΕΤΗ.

ΕΧΕΤΕ, ὦ βουλὴ, τὰς πεντακοσίας δραχμὰς, τὸν θαυμαστὸν θησαυρόν· καὶ τοσαύτας ἑτέρας ἀπὸ τῆς προτέρας οὐσίας τῆς ἐμῆς, τῆς[3] δυστυχοῦς οἰκίας.[4] προσαφέλεσθε δή τι καὶ τρίτον, εἰ βούλεσθε, τὴν ἐμὴν ψυχὴν, μικροῦ μοι μεταδόντες κωνείου. δεῖ γὰρ ὑμᾶς μὲν καὶ χαίρειν καὶ ζῆν ἐθέλειν, ἔχοντας τὰ ἀλλότρια· τὸν δὲ ἠναγκασμένον[5] τοσαύτας δραχμὰς ἀποδοῦναι ἐμὲ, τὰς μὲν, ἄρτι κτησάμενον, τὰς δὲ, πάλαι, τελευτᾶν. τί γὰρ δεῖ ζῆν ἄνθρωπον νοῦν ἔχοντα τοσούτου τῆς οἰκίας ἐξεληλυθότος ἀργυρίου; μικροῦ μὲν οὖν ἔτι τῶν χρημάτων

[1] καὶ δρ. m. M.
[2] ἡ στάσις κατὰ ῥητὸν καὶ διάνοιαν in marg. Wolf.
[3] ἀπὸ τῆς m. M.
[4] οἰκίας non male abest a W. et m. M.
[5] post ἠναγκασμένον addunt W. et m. M. διδόναι, et omittunt paulo post ἀποδοῦναι.

μάτων ἀριθμουμένων λειποψυχήσας, ἀπέθανον. καὶ ἔδει γε οὕτω τοῦτο γενέσθαι· καὶ πρὶν ἰδεῖν με τἀργύριον εἰς ὑμᾶς ἐλθὸν. ἀπὸ πρώτων[6] δραχμῶν κατενεχθέντα κεῖσθαι. ἐπεὶ δὲ οὐκ οἶδ᾽ ὅπως τοσοῦτον ἤνεγκα κακὸν καὶ οὐδὲ τοῦτο κεκέρδακα, ὁ πάντα ἐγὼ ζημιούμενος, ὃ μὴ συνέβη τότε, γενέσθω νῦν· καὶ οὗ τὸν οἶκον ἐσθίετε, τούτῳ δότε μικρὰν χάριν φάρμακον ὀλίγον μεγάλων κακῶν ἀπαλλαγήν· ἢ πάντων δεινότατον πράξοιτε,[7] τοῦτον ζῆν καταναγκάζοντες, ᾧ, δι᾽ ὧν ἀφείλεσθε χρημάτων, ἀφόρητον κατεστήσατε τὴν ζωήν· ἔστι μὲν οὖν μοι ἀνιαρὸν, καὶ τῷ θανάτῳ τῆς λοιπῆς οὐσίας ἀποστερεῖσθαι· καὶ ἐμὲ μὲν σήπεσθαι κατορωρυγμένον· τὰ δὲ ὑπ᾽ ἐμοῦ συνειλεγμένα μετὰ πολλῶν ἱδρώτων, ἐν ἄλλων εἶναι χερσίν· ἀλλ᾽ εἰ μὲν οἷόν τε ἦν λύσαι τὴν συμφορὰν, καὶ πάλιν εἰσενεγκεῖν οἴκαδε τὰς χιλίας, οὐκ ἂν ταῦτα ἔλεγον, ἅπερ νῦν· οὐδὲ ἠπειγόμην πρὸς θάνατον. ἐπειδὴ[8] δὲ οὐκ ἔστι μοι τοῦτο οὐδὲ ἐλπίσαι· τίς γὰρ ἂν λαβὼν ἀποδοίη ῥαδίως, ἐξὸν ἔχειν· ἧττον, ἡγοῦμαι κακὸν ἀποθανόντα μηδὲν ἐπαισθάνεσθαι τῶν ὕστερον· ἢ ζῶντα τῇ λύπῃ τήκεσθαι τῶν ὁρωμένων κακῶν· ὡς τοίνυν ταύτην εἰκότως φέρω κατ᾽ ἐμαυτοῦ τὴν ψῆφον· μᾶλλον δὲ ἕπομαι τῇ τύχῃ ταύτην ἐνεγκούσῃ κατ᾽ ἐμοῦ· πειράσομαι διδάσκειν ὑμᾶς· ἀλλ᾽ ὅπως μὴ γέλωτα ποιήσησθε[9] τὴν ἐμὴν δυστυχίαν· μηδ᾽ ἂν οἱ σκώπτειν οὗτοι εἰωθότες ῥήτορες, τὸ αὐτὸ καὶ νῦν ποιῶσιν, ἀνάσχοισθε.[10] δεινὸν γὰρ ἕτερον μὲν στένειν, ἑτέρῳ δὲ τοῦτο ἡδονὴν εἶναι. ἐμοὶ πατὴρ ἦν, ὦ βουλὴ, φειδόμενος, καὶ οἰόμενος δεῖν τὰ ἑαυτοῦ[11] πλείω ποιεῖν·

οὐ

[6] με τἀργύριον εἰς ὑμᾶς ἐλθὸν ἀπὸ πρώτων] sic Wolf. gleich mit Aufzählung derer Drachmen, die zuerst aufgezählet wurden. μετ᾽ ἀργύρ. εἰς ὑμᾶς ἐλθόντα, πρὸ τῶν M. sed etiam m. M. dat ἀπὸ πρώτων.

[7] πράξετε W.

[8] ἐπεὶ W.

[9] ποιήσεσθε W.

[10] ἀνάσχησθε W. ἀνάσχητε m. M.

[11] ἑαυτοῦ] ὄντα W. et m. M.

οὐ τῷ τὰ τῶν ἄλλων ἁρπάζειν, τῷδε[12] μηδὲν εἰκῇ τῶν αὐτοῦ προΐεσθαι. τρέφων δέ με ἐν τοῖς αὐτοῦ[13] ἤθεσι, παρῄνει λέγων· ὦ παῖ, μέχρις ἂν εὐπορῇς[14] ἀνήρ τε εἶναι τοῖς σαυτοῦ πολίταις δόξῃς, καὶ γιγνώσκειν ἅπερ χρή, καὶ τὰ δέοντα λέγειν, ἡνίκ' ἂν τινι παραινῇς· ἂν δ' ἀναλώσας λάθῃς, ἡ πενία σου βλάψει τὴν φρόνησιν· καὶ οὐδὲ τὰ ἄριστα λέγων ἕξεις ποτὲ τὸν πειθόμενον. κοινὸν γὰρ τοῦτο ἀνθρώπων, τοῖς εὐποροῦσι προσέχειν· τῷ γὰρ ἃ βούλονται δύνασθαι, καὶ τὸ βέλτιστον ὁρᾶν δοκοῦσι τοῖς ἄλλοις δύνασθαι. ἠξίου δέ με καὶ παρὰ τῶν ποιητῶν μαρτυρίας λαμβάνειν τῆς τῶν χρημάτων ἰσχύος· καὶ οὐχ εὕρισκον αὐτὸν ψευδόμενον· μεγάλων γὰρ ὡς ἀληθῶς ἐγκωμίων τὸ πρᾶγμα παρ' αὐτοῖς τετύχηκεν· οἳ καὶ τῶν θεῶν τὰ ἐκπώματα, χρυσᾶ φασὶν εἶναι, καὶ τοσοῦτον αὐτοῖς ἐν οὐρανῷ κεῖσθαι χρυσίον. ὥστε καὶ πόλεις[15] ὅλας εὐδαίμονας ποιεῖν ὑετῷ χρυσίου, πρὸς ταῦτα τοίνυν, ὦ παῖ, βλέπων ἔλεγεν, ἐπειδὰν παραλάβῃς τὸν κλῆρον, πειρῶ μάλιστα παῖς ἐμὸς εἶναι. τοῦτο δὲ ἐν τῷ κατὰ τὴν γνώμην ἐοικέναι ποιήσεις. ὁ μὲν ἐτελεύτησεν, ὦ βουλή, τὸν βίον, πολλὰ τοιαῦτα εἰπών· ἐγὼ δὲ οὐκ ἠμνημόνουν τῶν λόγων·[16] ἀλλ' ἦν κληρονόμος ἀκριβὴς τῆς ἐκείνου προαιρέσεως, καὶ διῃτάμην τε ὅπερ ἐκεῖνος· καὶ ὅπως τί καθ' ἡμέραν, ἢ μικρόν, ἢ μεῖζον προσθῶ τοῖς οὖσι μάλιστα ἐφρόντιζον· καὶ γυναῖκά τε ἠγαγόμην, πλείω μᾶλλον κεκτημένην, ἢ καλήν. ᾔδειν γὰρ οὐδεμίαν οὖσαν ἐκ τοῦ[17] κάλλους πρόσοδον· ἀλλὰ τὰ χρήματα μὲν τοῦ χρόνου προϊόντος ἐπιδιδόντα. τὴν ὥραν δὲ ἀναλισκομένην, ὥσπερ ὑπὸ τῶν ἀσώτων τὴν οὐσίαν. ἐν δὲ τοῖς γάμοις αὐτοῖς ἑωρᾶτέ με τοῦ πατρὸς μεμνημένον· ἀριθμῷ δᾴδων· ἀριθμῷ δαιτυμόνων· τῷ μέτρῳ τῆς ἐδωδῆς· τί γὰρ ἔδει πολλοῦ πυρός, ἀρκοῦντος ἐλάττονος; τί δὲ εἰς δεῖπνα

μέρος

[12] τῷ δὲ W. καὶ μηδὲν m. M.

[13] αὐτοῖς W.

[14] εὐπορῇς] sic W. εὐπορᾷς Mor.

[15] πόλεις] scholion in marg. W. τοῦτο λέγει διὰ τὴν ῥόδον, περὶ ἧς φησὶ Πίνδαρος.

[16] τὸν λόγον W.

[17] ἀπὸ τοῦ W. et m. M.

μέρος τῆς προικὸς ἐκ ὀλίγου δαπανᾶν; καὶ τοὺς μὲν ἀποπέμπειν ἐμπεπλησμένους, αὐτὸν δὲ ὕστερον λογιζόμενον ἀλγεῖν. ἐνῆγον δὲ καὶ τὴν γυναῖκα πρὸς ταῦτα,[18] καὶ τῶν μὲν οἴκοθεν ἔπειθον ἐπιλανθάνεσθαι τρόπων· μιμεῖσθαι δὲ τὰ τοῦ γεγαμηκότος. ταῦτα δὲ ἦν, μέγα ἀγαθὸν νομίζειν ἄργυρον· καὶ μήτε περὶ τὰς τρίχας, μήτε περὶ τὸ πρόσωπον, μήτ' αὖ περὶ τὰς ἐσθῆτας μηδὲν ποιεῖσθαι μάταιον ἀνάλωμα· χρυσοφορεῖν δὲ ἐπέτρεπον· καὶ ταύτῃ καλλωπίζειν καὶ δέρην, καὶ χεῖρας καὶ πόδας. τὸ μὲν γὰρ ψιμμίθιον, ἔφην, καὶ τὰ τοιαῦτα, περιπλύνεται· καὶ δεῖ πάλιν ἑτέρου, καὶ δαπάνης ἑτέρας· τὰ δὲ χρυσία, οἷάπερ ἦν μένει· καὶ οὐδὲ τὰ τῶν ἱματίων ταῦτά γε δεῖ πάσχειν, οὐδὲ τρίβεσθαι, τὰ τούτοις συμβαίνοντα· καὶ τὰς θεραπαίνας δὲ τὰς αὐτῆς ἐπαίδευον· αἱ μὲν γὰρ τοῦ πατρὸς, ὑπ' ἐκείνου[19] βέλτισται ἐγεγένηντο. πάντες[20] οὖν ἦσαν ἐν ἔργοις συνεχῶς· χειμῶνος μὲν, προστιθεμένου ταῖς ἡμέραις μέρους τῆς νυκτὸς οὐ μικροῦ· τοῦ θέρους δὲ, οὐδενὸς[21] ὕπνῳ δεδομένου. καὶ τὸ πρᾶγμα κοῦφον ἦν τοῖς οἰκέταις, τῷ καὶ ἡμᾶς κοινωνεῖν τῶν πόνων· ταῦτα δὲ ἐφέρομεν ῥᾳδίως, τῷ μὴ βαρύνεσθαι κρέασί τε καὶ πότοις καὶ μαγείρων τέχναις· ἤρκει γὰρ τὰ ἀπὸ γῆς καὶ δένδρων, σῦκα, βότρυες, λάχανα, οἶνος ὀλίγος, ὕδωρ πολύ. τὸ δὲ ἀπ' αὐτῶν γιγνόμενον ἦν ἀργύριον. καλὸς τῆς ἐγκρατείας μισθός. ἤδη δέ τινος τῶν φίλων πέμψαντος ἰχθὺν καὶ ὄρνιν, ἥσθην μὲν φαγών· ἦν δὲ τὸ πλέον τῆς ἡδονῆς, ἐν τῷ μὴ πριάμενον ἔχειν ἐσθίειν. εἶτ' ἐπὶ τούτοις ἤκουσα[22] κακῶς ὑπὸ τῶν τρυφώντων, καὶ κραιπαλώντων, καὶ μηδὲ ὀρθοῦσθαι δυναμένων· καὶ φυλάξαι μὲν ἃ παρέλαβον οὐ βουληθέντων, τοῖς δὲ τὰ αὐτῶν ηὐξηκόσι φθονούντων. καί τις εἶπέ που λέγων· τοῦτον δεῖ[23] πλουτεῖν καὶ κεκτῆσθαι τοσαῦτα τοῦ-

18 τὰ αὐτὰ W.
19 ἀπ' ἐκ. m. M.
20 πάντως m. M.
21 οὐδενὸς] scil. μέρους τῆς ἡμέρας.
22 ἤκουον W.
23 pro δεῖ leg. videtur δέ.

τούτῳ δὲ [24] ἑκάστην ἡμέραν ἀργύριον φέρειν; τί τὴν πόλιν ἀδικοῦντι [25] βέλτιστε. πρόσθες γάρ, εἴπερ ἔχεις· ἀλλ' οὐκ ἂν ἔχοις· οὐδὲ γὰρ ἱεροσυλῶν· οὐδὲ νεκροὺς ἀδικῶν· οὐδὲ τοίχους ὀρύττων· οὐδὲ τὰ κοινὰ κλέπτων, οὐδὲ κατὰ τῆς πατρίδος λαμβάνων· οὐδ' ἀπ' ἄλλου [26] πονηροῦ λήμματος οὐδενός, ταῦτ' ἐφ' οἷς ῥήγνυσθε ὑμεῖς, ἐκτησάμην· ἀλλ' ὀβολὸν ὀβολῷ προστιθείς, καὶ δραχμῇ δραχμήν· καὶ ταῖς τοῦ σώματος ἡδοναῖς οὐδαμοῦ χαριζόμενος· μαίνεσθαι μὲν νομίζων τοὺς κυβεύοντας· μαίνεσθαι δὲ τοὺς ἑταίρας τρέφοντας, μαίνεσθαι δὲ τοὺς ὑπερεσθίοντας· καὶ οὐ [27] λογιζομένους, [28] ὅτι κρεῖττον ἐν βαλαντίῳ φρουρεῖσθαι τὸ χρυσίον, ἢ διὰ τῆς γαστρὸς ἐξιὸν [29] ἀπολωλέναι· ἃ πολλάκις ἐγκατέλιπε τῷ σώματι μέγα τι καὶ ἀνίατον κακόν· ταῦτα πολλοὺς ἐξέβαλε τῶν πατρῴων· ταῦτα πτωχοὺς [30] οὐκ ὀλίγους ἔδειξεν. οὓς νόμος ἀφαιρεῖται τὴν παρρησίαν δέον τὰς ψυχάς, ὥσπερ τοὺς τῶν πατρίδων προδότας· καὶ γὰρ οὗτοι τῶν οἰκείων προδόται. Θαυμαστὸν εἴ τῳ φαίνεται, χρήματα εἶναί μοι, καὶ ἀποπνίγεται; τί οὖν οὐκ ἐμιμήσατο; καὶ ἦν ἂν τῶν εὐπόρων μᾶλλον, ἢ τῶν λειπομένων· ὅτ' ἀπεδήμουν [31] οὗτοι θεασόμενοι τοὺς ἀγῶνας, καὶ συνῆγον θεωροὺς ἐπὶ δεῖπνα, καὶ ἐδόκουν εἶναι καὶ ἐκαλοῦντο λαμπροί, τότ' ἐγὼ καθήμενος οἴκοι, φακῇ καὶ κρομμύοις ἄριστον ἐμέτρησα πολλάκις. εἶθ' οἱ μέν, ἐπανῄεσαν ἀντ' ἀργυρίου πολλὴν διήγησιν φέροντες ἄκαρπον [32] πυγμῆς τινὸς ἢ πάλης. ἐγὼ δὲ ἀντὶ ματαίας θέας, εἶχον ὀβολούς· ὅθ'

οὗτοι

[24] τούτῳ δὲ] sic W. estne ferendum, vnamquamque diem huic pecuniam afferre? τοῦτον δεῖ M.

[25] ἀδικοῦντι] sic W. ἀδικοῦντα M.

[26] οὐδ' ἀπ' ἄλλου] sic; W. ἀπ' deest M.

[27] οὐ deest W. et m. M.

[28] λογιζόμενος m. M

[29] ἐξιὸν] sic W. ἀξιοῦν M.

[30] πτωχοὺς πολλοὺς m. M.

[31] ἀπεδήμουν] sic W. *domo abessent*, ludos spectatum profecti ad Olympiam et principes legationis nomine reip. illuc missos ad epulandum secum inuitarent. οὗτοι sunt, qui oratorem exagitarent ob sordes et cupiditatem.

[32] malim ἀκάρπου in genitiuo.

οὗτοι παρ' ἡμῖν[33] κόλακας εἰσὶν· τότ' ἐγὼ μετὰ τῆς γυναικὸς καὶ τῶν παίδων[34] μόνα ἐδείπνουν ἃ ἐκώλυε μὴ τελευτᾷν. τί δ' ἄν τις τούτου σωφρονῶν ζητήσειε πλέον; οὐ γὰρ δὴ τοῖς μὲν ἐκείνως διαιτωμένοις ἐστὶν εἰς γῆρας ἐλθεῖν, τούτοις δὲ ἀνάγκη προαπελθεῖν· ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον,[35] τούτων[36] μᾶλλον ἢ ἐκείνων[37] τὸ πρὸς γῆρας ἥκειν ἐστίν. ἔτι τοίνυν οἱ μὲν τὰκ τῶν ἀγρῶν ἃ δίδωσιν ἐνιαυτὸς μόλις, ἐν ἀκαρεῖ χρόνῳ διαῤῥίπτουσι· κἂν ἐπαινέσῃ τις ἐξαπατῶν, ἀπῆλθε λαβὼν ὁπόσον ἠθέλησεν. ἐγὼ δὲ ἐμαυτὸν πλέον ἢ τοὺς ἀπατεῶνας[38] φιλῶ καὶ ἀξιῶ[39] γε κερδαίνειν οὐκ ἀπὸ τῶν ἄλλων μόνων, ἀλλὰ καὶ ῥόδων ὀλίγων,[40] καὶ ἴων, καὶ κρίνων. οὐ γὰρ περὶ τὴν ῥῖνα αὐτὰ μαραίνω[41] τὴν ἐμαυτοῦ· οὐδὲ ἐπιῤῥίπτω τραπέζαις[42] καὶ φιάλαις· ἀλλὰ ἀπολαύω μὲν τῆς εὐωδίας, ἣν ἐπὶ τῆς γῆς ἑστῶτα παρέχεται τὰ ἄνθη· κείρας δὲ κελεύω φέρειν εἰς ἀγορὰν, γενησόμενά μοι χρήματα· οἱ δὲ, καταπατοῦσιν οἱ ἠλίθιοι,[43] ἃ πωλεῖν ἔξον. οἱ μὲν ἄλλοι ζεύγη τρέφουσιν ἵππων ἀδδηφαγούντων· ἀφ' ὧν αὐτοῖς κότινος, καὶ μικρὸν ὕστερον λιμός· ἐγὼ δ' οὐδ' εἰς ἀγρὸν ἐφ' ἵππου κομίζομαι. τί γὰρ δεῖ πράγματα ἔχειν μαχόμενον πολλάκις ἑτερογνάθῳ καὶ κυφαγωγοῦντι καὶ ἀποσειομένῳ τὸν δεσπότην; ὁ δὲ, ἐπὶ τοσούτοις κακοῖς καὶ τρυφᾷν ἀξιοῖ· ἀλλ' ὁ βέλτιστος ὄνος ἀρκεῖ μοι, φέρων αὐτὸν, καὶ στρώματα, καὶ μετ' ἐκείνων παι-

33 ἡμῖν] sic W. in vrbe nostra. ὑμῖν M.

34 παιδίων W.

35 ἐπὶ πλῆθος W. et m. M.

36 τούτων] qui parce et sobrie atque frugaliter victitant, vt ego.

37 ἐκείνων] qui luxurie et intemperantia rem et famam decoquunt, et aetatem abrumpunt ante tempus.

38 ἀπατῶντας m. M.

39 ἀξιῶ] sic W. et m. M. ἀγαπῶ t. M.

40 ὀλίγων dele. insunt in eo vestigia vocum insequentium καὶ ἴων, quarum illud vocabulum est corruptela.

41 μαραίνω] efficio, vt marcescant. quae significatio transitiua si negabitur inesse huic verbo, leg. erit μαραίνει in tert. pers. marcescunt.

42 τραπέζῃ W.

43 οἱ ἠλίθιοι] sic W. οἱ deest M.

παιδίον, καὶ τὰ αὐτοῦ πονήσας οὐκ ἀπαιτεῖ κριθὰς οὐδὲ ὀλύρας· ἀλλ᾽ ἀπέχρησεν ἄχυρα οὐ πολλά, καὶ πόα που φανεῖσα· καὶ ἀπέρχομαι τῶν ἀγρῶν, οὐ προσαψάμενος, οὐκ αἰπολίων, οὐ ποιμνίων, οὐ συβοσίων[44] οὐδὲ κωλύσας δελφάκιον ἐς ἀκμὴν ἐλθεῖν· ὑμῶν δέ, ὦ πεντακόσιοι,[45] τινὲς ἀντὶ λύκων γίγνονται τοῖς βοσκήμασιν, εἰς ἀγρὸν ἰόντες· καὶ τὰ τῶν λῃστῶν αὐτοὶ σφᾶς αὐτοὺς ἐργάζονται· τά τε ἄλλα καὶ ζεύγεσιν ὀρικοῖς, πληροῦσι τὰς ἐκεῖ φάτνας. εἶτα λοιδορεῖτε[46] τοὺς ἀγρούς, ὡς οὐδὲν διδόντας· ἀφέντες ἡμᾶς[47] αὐτούς, τοὺς οὐκ εἰδότας σώζειν· ἐγὼ δὲ οἶδα· καὶ τῆς[48] περὶ ταῦτα τέχνης, τὰ μὲν ἀκηκόατε· τὰ δέ, ἀκούσεσθε. ὁπότε γάρ, ὦ βουλή, γένοιντο εἰσφοραί, μεγάλων πολέμων ἀναγκαζόντων, κατηρώμην[49] μὲν καὶ τοῖς πολεμίοις, καὶ τοῖς ῥήτορσιν, οὓς ὠφελοῦσιν οἱ πολέμιοι. τὸ δὲ ἐπιβάλλον εἰσφέρων, ἀηδῶς μέν· δεῖ γάρ με[50] τἀληθῆ λέγειν· οὐ μὴν ἔφυγόν γε πώποτε τῶν ἐφ᾽ ὑμῖν[51] ἐψηφισμένων οὐδέν· τοῦτο δή[52] τὸ ἀναλισκόμενον ἐπλήρουν, τῆς[53] εἰωθυίας ἀφαιρούμενος[54] τροφῆς· οὔσης μὲν οὐ πολλῆς οὐδὲ ἐκείνης, ὅμως δὲ ἐπειρώμην διὰ τῆς γαστρὸς τὸ ἀναλισκόμενον κομίζεσθαι· μήτ᾽ αὐτὸς καθ᾽ ἡμέραν ἐσθίων μήτε τὴν γυναῖκα, καὶ τοὺς θεράποντας συγχωρῶν· ἀχθεσθείσης δέ ποτε τῆς γυναικὸς ἐπὶ τούτοις, καὶ θαυμαζούσης τὴν πολυτέλειαν τοῦ γείτονος, καὶ προσειπούσης μακάριον, διὰ τί; ἔφην· διὰ τὴν ἡδονήν; πάνυ γε, ἔφησεν. εἶτ᾽ οἴει τὴν ἡδονήν, ἔφην, ἐκείνην ἐγγὺς εἶναι τῆς ἡμετέρας; καὶ οὐχ ὁρᾷς, ὡς ἡ μέν, ἐφήμερος, ἡ δὲ διηνεκής

[44] συβωσίων W. et m. M.

[45] ὦ πενταχ.] ὅσοι m. M.

[46] λοιδορεῖτε] ſic W. et m. M. λοιδοροῦσι t. M.

[47] ὑμᾶς] ſic W. ἡμᾶς M.

[48] τῆς γε W.

[49] κατηρώμην] ſic W. et m. M. καταρῶμαι t. M.

[50] facile patiar, με abeſſe, vt abeſt a W.

[51] aut ἐφ᾽ ἡμῖν leg. in nos, in damnum rei noſtrae familiaris, aut ὑφ᾽ ὑμῶν a nobis.

[52] δὴ] malim δέ.

[53] ἐκ τῆς m. M.

[54] ἀφαιρούμενος] ſic W. et m. M. ἀφαιρῶν t. M.

κὴς, ἀργύριον[55] ἔχοντα ζῆν; ἐπήνεσε τὸ ῥητὸν καὶ συνεχώρησε τοῦτο,[56] καὶ ἕτερόν τι πρὸς τούτῳ, τὰς παρ' ἐμοὶ πλίνθους, καὶ τὸν πηλὸν τῶν ἑτέρωθι καὶ λίθων καὶ γραφῶν εἶναι βελτίω· εἰ μὲν γὰρ εἰς ἐκεῖνα[57] βλέποντες, πολλάκις, ἔφην, ὑπὸ τοῖς δανείζουσι κεῖνται· καὶ οὐ τέρπονται τούτοις μᾶλλον, ἢ ἐκείνους πεφρίκασιν. ἡμῖν δὲ τὸ χρυσίον ἐν κιβωτίοις κατακείμενον, τὴν ἐκ τῶν πλίνθων ἀηδίαν ἀφαιρεῖται. ὅσῳ τοίνυν βέλτιον χρυσίῳ ἢ γραφαῖς καὶ λίθοις τέρπεσθαι· τοσούτῳ ἡμεῖς ἐκείνων μᾶλλον τερπόμεθα. κατένευσεν καὶ πάλιν ἡ γυνὴ, καὶ τοῖς ἐμοῖς οὐδὲν ἐμέμφετο τρόποις. ἀλλ' ἐμοὶ, ὦ ἄνδρες, τοῦτο μόνον δεινὸν ἐφαίνετο καὶ παγχάλεπον· ὡς ἄλλοις μὲν αὐτομάτως ἐπιρρεῖ τὰ τοῦ πλούτου καλά· ἐμοὶ δὲ τὴν γαστέρα στενοῦντι, καὶ τὴν γυναῖκα θλίβοντι, καὶ τοὺς οἰκέτας λιμῷ ταλαιπωροῦντι. διὰ[58] ταῦτα τοίνυν ἠδημόνουν, καὶ ἔστενον, οὐκ ὢν εἷς καὶ αὐτὸς ἐκείνων· καὶ τὸν ἐμαυτοῦ δαίμονα ἐκάκιζον, ὡς ῥᾴθυμον προστάτην· εἰ τοῖς μὲν ἄλλοις ἀπόνως ἀφικνεῖται τὰ ἀγαθά· ὁ δὲ περιορᾷ με γλίσχρως καὶ μόλις καὶ ταλαιπώρως, ἀγείροντα[59] χρυσίον. λαβὼν δὲ λιβανωτὸν καὶ στεφάνους αὐτοφυῶν ἀνθέων, ἦλθον εἰς Διὸς Κτησίου καὶ Ἑρμοῦ κερδῴου, καὶ θεραπεύσας οἷς ἔφην· οὐ γὰρ δὴ βοῦν γε,[60] οὐδὲ κριὸν, οὐδὲ κάπρον ἔθυσα· οὐδὲ χρυσίδα[61] ἀνέθηκα φέρων. ἀνάξιον νομίζων τῶν θεῶν, τηλικαύτης βλάβης αἰτίους καθίστασθαι τοῖς ἀνθρώποις· καὶ ἐν τιμῆς σχήματι φανερῶς λαμβάνειν, ἃ τοῖς κλέπτουσιν ὀργιζόμεθα· καὶ τὸ πᾶν διδόντας, τοσοῦτον[62] ζητεῖν μέρος. βλέπων τοίνυν εἰς τὰ ἀγάλματα, καὶ τοὺς ἐκ θησαυρῶν πεπλουτηκότας ἀριθμήσας, ηὐχόμην· ἐδεόμην· ἱκέτευον τῶν

ἴσων

[55] ἀργύριον] sic W. τἀργ. M.
[56] ἐχώρησε καὶ τοῦτο W.
[57] εἰς ἐκεῖνα] sic W. εἰς deest M.
[58] καὶ ante διὰ delevi, quod recte abest a W.
[59] ταλαιπώρως ἀγείροντα] sic W. ταλαιπωρῶν ἀγείροντι M.
[60] βοῦς γε W. et m. M.
[61] χρυσίδα] sic W. χρυσίον M.
[62] τὸ τοῦτο W.

ἴσων καὶ αὐτὸς τυχεῖν. ἀπῆλθον ἡγούμενος πεπεικέναι τοὺς θεούς. καὶ πρώτη νὺξ, καὶ ὀνείρων ὄψις ἀσαφὴς οὔθ' ὅλως ἀφεστηκυῖα θησαυρῶν, οὔτε διδοῦσα παντελῶς. πάλιν οὖν ἐγὼ περὶ τοὺς βωμοὺς ἅμα λιβανωτῷ· τοῦτο γὰρ ἦν τὸ δεινόν· καὶ ᾔτουν σαφῶς μηνυθῆναι τὸ κέρδος· ἡ νὺξ ἡ δευτέρα, πλέον[63] μέν τι[64] τῆς προτέρας εἶχεν· οὔπω δὲ ἐδίδου καθαρῶς οὐδὲν οὐδὲ αὕτη· εἵμαρτο γάρ με, ὡς ἔοικε, καὶ τρὶς ἐνεγκεῖν λιβανωτόν· γίνεται δὴ τελεία τις ὄψις, καὶ ἐκέλευσεν ὁ φανεὶς θεὸς, ἐλθόντα εἰς τὸν ἀγρὸν ὀρύττειν χωρίον· εἰπὼν ὅ, τι τοῦτο ἦν· ὡς ἐκεῖθεν με κερδανοῦντα. ἐγείρομαι περιχαρὴς, καὶ οὐδὲ ὑποδησάμενος εἶπον τοῖς οἰκέταις, ἅμας τε καὶ θυλακοὺς ὡς πλείστους λαβόντας ἀκολουθεῖν. ἡγούμην τρέχων. ὡς δὲ ἥκων ἐπέγνων τὸ χωρίον, πρῶτον μὲν αὐτό τε ἐκεῖνο, καὶ τὸν πέμψαντα ἐκεῖσε προσεκύνησα δαίμονα· ἔπειτα ὤρυττον, προσπεσὼν αὐτός τε ταῖς ἐμαυτοῦ χερσί, καὶ ταῖς τῶν θεραπόντων. πολὺς μὲν ὁ πόνος· οὔπω δὲ δῆλον οὐδέν· ἀπειπεῖν[65] δὲ οὐκ ἐνῆν. ἡ γὰρ ἐλπὶς ἐπεῤῥώννυε. καὶ ἐδόκει δὴ ἐς πᾶν βάθος ἰέναι, καὶ εἰδέναι κερδαίνειν· ὡς δὲ ἦσαν ὀργυιαὶ πολλαὶ τὸ ὀρωρυγμένον, ἐνδείκνυταί τι μόλις ἀγγεῖον μικρὸν κεραμεοῦν[66] καὶ εὐθὺς μὲν ἠθύμησα τῇ σμικρότητι, καὶ τὸν κατορύξαντα ἐμεμφόμην, ὅτι μὴ μεῖζον. παρεμυθούμην δ' οὖν ἐμαυτὸν, μεστὸν εἶναι[67] χρυσίου τὸ φαινόμενον πειθόμενος. ὡς δὲ ἀνελόμενος εἶχον ἐν χερσὶ, καὶ μέλλειν οὐκ ἠδυνάμην, ἀλλ' ἐγύμνουν τὸ φρουρούμενον, σκεδάννυνται πεντακόσιαι δραχμαί. καὶ τοῦ πολλοῦ πόνου[68], καὶ τῆς μεγάλης ἐλπίδος, τοῦτο ἦν τὸ πέρας. οὐ μὴν ὑπεριδὼν, ἀφεὶς ἀπῆλθον· ἀλλ' ἀνάξιον μὲν ἡγούμην θεοῦ τὸ δῶρον, δῶρον δὲ ὅμως· καὶ λαβὼν, φαιδρότερος[69] ᾔειν οἴκαδε. πεντακόσιαι γὰρ

ἕξω

63 πείω m. M.

64 μέντοι W.

65 ἀπειπεῖν] ſic W. et m. M. deſiſtere a labore defatigatum. ἀπιστεῖν t. M.

66 κεραμεοῦν] ſic W. κεραμεῶν M.

67 μεστὸν εἶναι] ſic W. εἶναι omittit M.

68 πόνου] ſic W. χρόνου M.

69 φαιδρότερος] ſic W. φαιδρότερον M.

ἔξω τόκων προσεγεγένητό μοι. καὶ παραγγέλλω δὴ τοῖς οἰκέταις· ὁμολογῶ γάρ· σιγᾶν· καὶ μηδὲ πρὸς ἀλλήλους μηδὲν τούτων[70] λέγειν. τῶν δὲ ἄρα ἦν τις τῆς γλώττης ἀκρατὴς, καὶ ὡς εἰκὸς ἐξελάλησεν. ὡς δ' ᾔσθετό τις τῶν φθονερῶν, ἀγγέλλει πρὸς τὴν ἀρχήν· καὶ παραχρῆμα ἐφειστήκει τίς συνάγων τὸ πρόσωπον· καὶ, ὦ φίλτατε, φησὶ, γνώριζε τὸν νόμον· καὶ θησαυρὸν εὑρηκώς· ἀκούω γὰρ καὶ ποῦ καὶ ὅπως·[71] κατάβαλε τὰς χιλίας. ἐξεπήδησέ μου μικροῦ πρὸς τὰ ῥηθέντα ἡ καρδία. πάντα ἐκεῖνος[72] διηγεῖτο σαφῶς, ὡς ἂν σὺν ἡμῖν παρών· καὶ οὐκ ἦν ἄρνησις. μόλις οὖν ἐμαυτοῦ γενόμενος, κομίζειν ἐκέλευον τὸν οἰκέτην, τὰς ἀπὸ τῆς γῆς τὰς ἐμὰς, εἴ τ' οὐκ ἐμάς. ὡς δὲ εἶχε[73] ταχύ φησιν ἑτέρας τοσαύτας τίθει. πάλιν ἐκέλευον μικρᾷ τῇ φωνῇ καὶ τρεμούσῃ· ὁ δὲ, ἐξέφερε πεντακοσίας παλαιὰς ἀποσπῶν, ὥσπερ ἀπὸ τοῦ σώματος μέλος.[74] ἐγὼ δὲ ταῦτα ἑώρων· μᾶλλον δὲ οὐκ ἀκριβῶς ἑώρων. οὕτω πολλή τις ἀχλὺς ἐπεκέχυτο[75] τοῖς ὀφθαλμοῖς. τούτων δὲ πεπραγμένων, ἐσθίειν ἐπιχειρῶν,[76] οὐχ οἷός τε ἦν. καθεύδειν βουλόμενος, οὐκ ἠδυνάμην. φίλων ἀκούων παραμυθουμένων, οὐ γίνομαι ῥᾴων· πολλὰ βουλευσάμενος ὑπὲρ ἀπαλλαγῆς μίαν εὗρον μόνην τὸ κώνειον· οὗ μετάδοτέ μοι πρὸς θεῶν. καὶ μή με ἀναγκάσητε ζῆν οὐ δυνάμενον. δεῖξον, φησὶ, τὸ σῶμα λελωβημένον, ἢ ὅ, τι νόσημά σε κατέχον ἰατρικῆς μεῖζον, ἢ τοὺς παῖδας ἀπολωλεκὼς, ἢ τὴν οὐσίαν ὅλην. ταῦτα γὰρ οἴει[77] με βέλτιστε, μόνα πείθειν ἐρᾶν θανάτου, τ' ἄλλα δὲ εἶναι πάντα τοῖς ἀνθρώποις φορητά; οὐκ οἶσθ' ἄρ' ὅτι καὶ[78] τούτων αὐτῶν, τὸ μὲν, ὁ δεινά γε ἤνεγκεν· ἄλλο δὲ ἄλλος; καὶ πάλιν ὅ, τι περ ἑτέρῳ δεινόν,

70 τοιοῦτον W. et m. M.

71 καὶ πῶς m. M.

72 f. πάντα γὰρ ἐκεῖνος aut οὕτω πάντα ἐκεῖνος.

73 οἶδε m. M.

74 τὸ μέλος M, recte omittit W. articulum.

75 ἐπεκέχυτο] sic W. ἀπεκ. M.

76 ἐγχειρῶν m. M.

77 δὲ ἔοικε β. m. M.

78 οἶδα δὲ καὶ W. et m. M.

νὸν, τοῦτο τῷ δεῖνι κοῦφον. οἷος ὁ μὲν, παῖδας ἀποβαλλὼν ἧκεν ἐπὶ τὸ κώνειον· οὐδὲν τοιοῦτον πεποιηκὼς πρὸς τὰς τοῦ σώματος τύχας. ὁ δὲ, παίδων στερηθεὶς, εἵλετο μὲν ζῆν· κρατουμένου δὲ αὐτῷ τοῦ σώματος ὑπὸ νοσημάτων, κωνείου τὸν καιρὸν ἐνόμισεν. ἀλλ' ἄλλοις, ὦ βουλή, μεγάλα κέκριται. κἂν περὶ ταῦτα ζημιωθῶσιν, οὐκ ἀνέχονται ζῆν. τοῦθ' ἕκαστος νομίζων ἀνιαρώτατον,[79] ὅ, τι δυστυχεῖ περὶ ὃ μάλιστα[80] ἐσπούδακεν· ὁ ἀθλητὴς οὐ τυχὼν τοῦ στεφάνου, βούλοιτ' ἂν ἀποθανεῖν· ὁ στρατηγὸς αἰχμαλώτων αὐτὸν[81] διαφυγόντων. ὁ ῥήτωρ εἰπὼν μὲν τὰ βέλτιστα, τοῦ τέλους δὲ ἁμαρτών· ὁ ζῶν ἐν οἷπερ ἐγὼ, καὶ φροντίζων ἀργυρίου, περὶ τοῦτο[82] βλαβείς. ἐγὼ δὲ βουλοίμην ἂν καὶ τὸ σῶμα ἐρρῶσθαι, καὶ τὰ ἐμαυτοῦ κεκτῆσθαι. εἰ δ' ἀναγκαῖον εἴη περὶ θάτερον γίνεσθαι[83] βλάβην, νοσῶν εὐπορεῖν ἑλοίμην ἂν, ἢ μὴ νοσῶν ἀπορεῖν. τὴν μὲν γὰρ νόσον δύναιτ' ἂν ἐλαφρὰν ποιεῖν τὸ χρυσίον· ὁ δ' ὑγιαίνων ἐν πενίᾳ στένει τῶν ἀρρώστων πλέον· καὶ ἡ τῆς ὑγείας χάρις τῇ τῶν χρημάτων ἀπουσίᾳ διαφθείρεται. πάλιν τοὺς παῖδας εὐξαίμην ἂν ζῆν ὄντων χρημάτων·[84] εἰ δ' ἡ τύχη θάτερον νέμει, βούλεσθέ με εἰπεῖν ἃ φρονῶ;[85] τὸ πλουτεῖν παίδων οὐκ ὄντων, τοῦ πένεσθαι μετὰ παίδων προτιμότερον· τί γὰρ δεῖ βλέποντας εἰς ἀλλήλους δακρύειν, ὃ πενία ποιεῖν πέφυκε; καὶ νῦν εἰ μὲν οὐδείς με οὐδὲν ἀφῄρηται τῶν ἐμῶν· ἀλλὰ μένει μὲν[86] τὸ πολλοῖς πόνοις συνειλεγμένον, μένει δὲ τὸ παρὰ τῶν θεῶν δοθὲν, φεύγω τὸν θάνατον· ἐπιθυμῶ ζῆν· εὐεργέτης ὁ κωλύων τελευτᾶν. εἰ δὲ ἔχετε τὰ ἐμὰ, καὶ γέγονέ μοι χεῖρω τὰ ἔνδον, καὶ πενέστερος ἐγὼ

79 ἀνιαρώτατον] malim per omicron, quia α medium producitur.

80 ὅτι δυστ. περὶ ἃ μ. W.

81 αὐτὸν] sic W. αὐτῷ M.

82 τοῦτα W.

83 γενέσθαι W.

84 ἡμῖν χρημ. W.

85 θάτερον νέμει· βούλεσθέ με εἰπεῖν ἃ φρονῶ;] sic W. θάτερον διδοῦσα, εἰπεῖν με ἃ φρονῶ βούλοιτο, M.

86 μέν μοι W.

ἐγὼ ἀντὶ πεντακοσίων χιλίας ἀποβαλὼν, τί θαυμαστὸν,[87] εἰ γλυκὺν νομίζω τὸν θάνατον; ἢ ὅτι μὴ ὅλης τῆς οὐσίας ἐκβέβλημαι; τότε δὲ οὐκ ἂν ὑμῖν ὑπὲρ κωνείου διελεγόμην· οὐδ' ἂν ἔδει με δεῦρο καταφυγόντα πείθειν ὑμᾶς ἀποκτεῖναί με. τὸ γὰρ τῆς συμφορᾶς μέγεθος, ἀπέχρησεν ἂν ὀξύτερόν με σιδήρου κατενεγκεῖν. δήμευσις μὲν οὖν τῶν ὄντων, ἐκεῖνο ἂν ἐποίει· αἱ δὲ χίλιαι, οὐ τοῦτο; ἀλλ' εἰς τὸ βουλευτήριον ἐλθὼν, λέγω λόγον·[88] μόλις μέν· καὶ γὰρ τὸ πλέον τῆς ψυχῆς ἀπελήλυθε· λέγω δὲ ὅμως. τί οὖν λέγω; ὅτι δημεύσεως μὲν τὸ[89] παρὸν ἧττον· θανάτου δὲ ἄξιον. ἐπεὶ καὶ πλέων, ὦ βουλὴ, κατ' ἐμπορίαν, εἰ τῶν ἀγωγίμων ἐδέησεν ἐκβαλεῖν τι, τοῦ κλύδωνος ἀναγκάζοντος, κἂν ἐπὶ σμικρῷ μέρει· ἐπὶ σμικρῷ λέγω; τριῶν μὲν οὖν ἢ τεττάρων κεραμίων ἐκριπτουμένων, εἰπόμην ἂν καὶ[90] ἐπαπωλλύμην. μὴ γὰρ ἀπολλύσθω μηδὲν τῷ μέλλοντι δυσχεραίνειν τῷ[91] ζῆν. ἐγὼ δὲ καὶ δοίδυκος οἴκοθεν κλαπέντος, ὡρακιῶ· κἂν χύτρα[92] συντριβῇ, πλήττομαι τὴν ψυχήν· κἂν ἔκπωμα τοῦτο πάθῃ, τῷ παραπεσόντι βέλει χρῶμαι κατὰ τῶν διακόνων· καὶ οὐδὲν ὅλως ἐξαίρει μου τὴν λύπην. τὸ γὰρ ζωμοῦ[93] τὸ γὰρ ἀλῶν ὑφελέσθαι τινὰ, καὶ εἴ τι τοῦδε φαυλότερον, οὐκ ἐν ζημίᾳ θετέον; ἢ οὐ καὶ τῶν ἀλῶν καὶ τῶν τοιούτων ἁπάντων τιμὴν καταβάλλομεν; χιλίων οὖν[94] δραχμῶν ἀπὸ τῆς ἐμῆς οἰκίας ἡρπασμένων, ζῆν μοι παραινεῖς; εἰ γὰρ ἐνείμασθε πρός με τὸν θησαυρὸν, οὐκ ἐχρῆν

87 ἐγὼ χιλίας τι θαυμαστὸν cæteris omissis W. πενέστερος χιλίας· τι in. M.

88 τοῦτο. ἦλθον εἰς τὸ βουλευτήριον λέγων λόγον W.

89 μὲν τὸ] sic W. μὲν deest M.

90 καὶ] sic W. ἢ M.

91 τῷ] τὸ W. et in. M.

92 ὡρακιῶ, κἂν χύτρα] sic W. ὡρακειῶ, cum Schol. ὡρακιῶ λέγεται κυρίως τὸ ἐν βαλανείοις ἐκλύομαι καὶ λειποψυχῶ, καὶ σκοτοῦμαι καὶ ὠχριῶ. χύτρα ἂν M.

93 ζωμοῦ sic W. ζωμοῖς M.

94 οὖν] sic W. δὲ M.

ἐχρῆν ἀποθνήσκειν· νῦν δὲ ὅλον ἔχοντες, ἀπέχεσθε[95] οὐδὲ τῶν ἄλλων· ἀλλ' ἐπορθήσατέ μου τὸ κιβώτιον·[96] ναί φησι· νόμος γὰρ ἦν. τοῦτο δὲ εἰ μὲν κατηγόρουν ὑμῶν ἐν δικασταῖς, ἦν ἄν τις ἀπολογία. καίτοι καὶ εἶπον[97] ἄν· κακῶς, ὦ πολῖται, χρῆσθε τῷ νόμῳ· καὶ τῶν μὲν γραμμάτων ἔχεσθε· τὴν διάνοιαν δὲ τοῦ θέντος,[98] οὐ βούλεσθε ἰδεῖν. τίς οὖν αὕτη; ἐκεῖνος ἀπὸ τῶν μεγάλων θησαυρῶν ὠφελεῖ τὸ κοινόν· ὧν μέρος πολλοστὸν αἱ χίλιαι· καὶ ποιεῖ τοῦθ' ὅπερ ἐπὶ τῶν τελῶν.[99] ὥσπερ γὰρ ἐκεῖ παρὰ τῶν ἐμπόρων ἀξιοῖ τὶ κερδαίνειν τὴν πόλιν· οὕτω κἀνταῦθα περὶ τῶν εὑρηκότων κείμενά που χρήματα μεγάλα. καὶ εἶναι[100] βούλεται, τολοιπὸν πολὺ μὲν τῶν ἐπιτυχόντων· ὀλίγον δέ τι μέρος τοῦ δήμου· καὶ εἰ μὲν καὶ τοῦτο ὀρθῶς, ἢ μή, νῦν οὐ καιρὸς ἐξετάζειν. ὃδ' οὖν ἐβούλετο, τοῦτό ἐστιν· ὅπου δὲ ὁ θησαυρὸς πεντακόσιαι, τίν' ἔχει λόγον ἀπὸ τῶν πεντακοσίων τούτων χιλίας γενέσθαι τῇ πόλει· ὥσπερ ἂν εἴ τις γεωργὸν λαβόντα παρὰ τῆς γῆς ἑκατὸν μεδίμνους σίτου, διακοσίους ἀναγκάζει[1] καταβαλεῖν ἀντὶ τῶν[2] ἑκατὸν τῇ πόλει. ταῦτα καὶ πλείω τούτων ἔλεγον ἂν εἰ πρὸς ὑμᾶς ἐδικαζόμην· καὶ νὴ Δία γ' ἐλθὼν ἐπὶ τὸν τοῦ νομοθέτου τάφον, ἐβόων, ὦ τιμῶν σὺ πολλῶν παρ' ἡμῶν τετυχηκὼς διὰ τοὺς νόμους οὓς ἔγραψας, πρὸς τοσοῦτον ἀτοπίας ἦλθες, εἰπέ μοι, καὶ ἀποπληξίας, ὥστ' ἀπὸ τοσούτων τῇ πόλει τοιαῦτα διδόναι, ὁ δὲ μοι δοκεῖ κἂν ῥῆξαι φωνήν, εἴπερ οἷός τε ἦν, ὡς οὐ ταῦτα ἐφρόνουν· ἀλλ' ὁρῶν τινας θησαυροὺς ὑπερφυεῖς οὐκ ὀλίγους εὑρημένους,[3] οὕτω ταῦτα ἐτίθην· θησαυρὸν δὲ πεντακοσίας δραχμὰς, οὐκ ἤλπιζον ἔσε-

[95] ἀπέχεσθε] sic W. abstinetis vos. ἀπέχεσθαι M.

[96] τὴν κιβωτὸν W.

[97] καί τοι καὶ εἶπον] sic W. καὶ τις τότε εἶπεν M.

[98] θέντος] sic W. τιθέντος M.

[99] τῶν φόρων τελῶν W. et m. M.

[100] καὶ εἶναι] sic W. καὶ deest M.

[1] malim ἀναγκάζοι,

[2] ἀπὸ τῶν W. et m. M.

[3] malim verba sic strui: ἀλλ' ὁρῶν οὐκ ὀλίγους τινας θησαυροὺς ὑπερφυεῖς εὑρημένους.

ἔσεσθαι· νοῦν δὲ ὁ δῆμος ἔχει· καὶ τὸ ἐκφυγόν με εἴσεται. τοιαῦτα μὲν, εἰ ὅπως μὴ δοίην ἠγωνιζομένην,[4] ἔλεγον ἀν. δεδομένων δὲ καὶ κειμένων τῶν δραχμῶν, καὶ τελευτῆς ἐπιθυμοῦντος αὐτοῦ μου,[5] τίς ὁ καιρὸς ἢ τούτους[6] πρὸς ἐμὲ τοῦ νόμου μεμνῆσθαι, ἢ ἐμὲ ζητεῖν τίς ὁ νοῦς τῶν γραμμάτων. τιμαῖς ἀντιλεγέτω τις[7] ἐπιλαμβανόμενος τῶν αἰτήσεων, ὡς οὐδὲν ἀγαθὸν εἰργασμένος ὁ ἄνθρωπος οὗτος, ἐπὶ δωρεὰν ἧκε τὴν τῶν ἀγαθῶν ἀνδρῶν, δεικνύτω.[8] τῷ δὲ ζῆν οὐ βουλομένῳ συμπραττέτωσαν ἅπαντες, εἰς τὸ μηκέτ' εἶναι· πολλῆς γὰρ ἐπηρείας κωλύειν, ὃ τὸν μὲν λαβόντα εὐφραίνει· βλάπτει δὲ τῶν ἄλλων οὐδὲν οὐδένα.[9] οὐχ ἱκετεύω τήμερον ἀπολαβεῖν τὰς χιλίας, ἢ εἰ μὴ τοῦτο ῥᾴδιον τὰς πεντακοσίας. ἀλλ' ἔξω μὲν τῇ πόλει ἅπαν τοῦτο, εἰ δοκεῖ. γενέσθω[10] δὲ τῷ τῶν χρημάτων[11] ἀφαιρεθέντι τὸ φάρμακον καλὸν, ὦ βουλή· ζῆν καλὸν τὸν τῆς τύχης ἔχοντα τὴν ῥοπήν. πολεμούσης δὲ ἐκείνης ἐν τῷ δοκεῖν βοηθεῖν, εἰκτέον, καὶ οὐ δοτέον αὐτῇ κακῶς αὖθις ποιεῖν. ἐν μόνοις γὰρ ἐκείνη δυναστεύει τοῖς ζῶσι· νεκρὸν δὲ λυπεῖν οὐκ ἔχει. τὰ καινὰ, ὦ βουλή, πανταχοῦ μεγάλα· κἂν ἀγαθὰ ᾖ, κἂν τἀναντία.[12] τὸ γὰρ μηδὲν εἶναι τοῦ πεπραγμένου παράδειγμα, τὴν ὑπερβολὴν ἑκάτερον λαμβάνει. καινὸν δὴ καὶ τὸ νῦν· κατ' αὐτὸ τοῦτο τῷ μόνῳ μοι τῶν ἁπάντων[13] συμβεβηκέναι. ἐν εὐτυχήμασιν ἠτύχηκα· ἐν κέρδεσιν ἐζημίωμαι· ἐν οἷς εὗρον, ἀπολώλεκα· μόνον με τῶν πάντων θησαυρὸς[14] ἔδειξεν ἄθλιον· καὶ δι' εὐφροσύνης εἰς πένθος παρεπέμφθην, ὁ κακοδαίμων. πόσης, ὦ βουλὴ

[4] ἠγωνιζόμην W.
[5] ἐμοῦ sine αὐτοῦ W.
[6] τούτους] sic W. τούτου M.
[7] ἀντιλεγέτω τις] sic W. et m. M. ἀντιλέγω; τίς t. M.
[8] δεικνύτω deest W. et m. M.
[9] οὐδὲν οὐδένα] sic W. οὐδὲν deest M.
[10] γενέσθαι W.
[11] τῷ τῶν χρ.] sic W. τῶν deest M.
[12] θάτερα W. et m. M.
[13] πραγμάτων W.
[14] συμφορά. γρ. θησαυροῦ συμφορὰ m. M.

λὴ δυστυχίας γέμει τὸ πρᾶγμα. ἐπὶ μὲν γὰρ τῶν ἄλλων ἀνθρώπων, χωρὶς μέν ἐστι τὸ εὖ πράττειν· χωρὶς δὲ τὸ κακῶς· καὶ ἐν μὲν τῷ, χαίρουσιν· ἐν δὲ τῷ στένουσι· καὶ κειμένοις αὐτοῖς ἐν συμφοραῖς, ἡ τῶν βελτιόνων ἐλπὶς ἔχει παραμυθίαν. ὅτῳ δὲ τὰ βελτίω γέγονε χείρω, καὶ τὰ χρηστὰ πονηρά· καὶ τὸ δοκοῦν τῆς τύχης εὐμενὲς πικρόν·[15] πῶς ἂν οὗτος αἱροῖτο ζῆν· ᾧ κίνδυνος τὸ εὐτυχεῖν· ἀλλ' εὔξασθαι ἔξεστι, φησὶ, πάλιν· καὶ ῥᾴδιον τῇ τύχῃ δοῦναι δεύτερα. καλῶς.[16] τί οὖν ἂν παραπλήσια, καὶ πάλιν ἡ μὲν δῷ πεντακοσίας· ὑμεῖς δὲ ἀφέλησθε χιλίας. δύναται μὲν γὰρ δοῦναι καὶ μείζω·[17] τί δ' ἂν μὴ βούληται μείζω; τί δ' ἂν τῶν νῦν ἐλάττω; δι' εὐχῶν καὶ θησαυρῶν ὑμῖν ἀποστήσομαι τῶν ἐμαυτοῦ; καὶ ἡ μὲν εὐφημία τοῦ ῥήματος ἐμή· τὰ χρήματα δὲ, ὑμέτερα; εἴθε μηδὲ πρότερον ηὐξάμην· μηδὲ ἔχον ἐπινεύσαν[18] τὴν τύχην, μᾶλλον δὲ εἰρωνευομένην· ἄμεινον δὲ εἰπεῖν ἐνεδρεύουσαν. ἤρκει μοι τὰ πρὸ τοῦ θησαυροῦ. ἐγὼ δὲ κατὰ τὴν ἐν τῷ μύθῳ κάμηλον, ζητῶν[19] τὸ πλέον, ἐν οἷς εἶχον ἐβλάβην·[20] φοβοῦμαι ταύτην ἐγὼ τὴν θεὸν[21] ἢ γέλωτα ἐξ ἐμοῦ πεπόρισται. καὶ οἱ πλωτῆρες φεύγουσιν, ὦ βουλὴ, θάλατταν, ἐν ᾗ τὸ πλοῖον αὐτοῖς περὶ τὰς ὑφάλους ἐῤῥάγη· δέδοικα κἀγὼ τὰς ὑφάλους τῆς τύχης.[22] ἴσως πού με παιδιὰν τέθεικε τοῖς ἄλλοις θεοῖς· ὅ, τι μὲν γὰρ τοῖς[23] ἀνθρώποις,

[15] πονηρόν m. M.

[16] δεύτερα. καλῶς.] sic W. recte. est haec responsio, exordium refutationis. videtur tamen adhuc aliquid deesse loco et leg. esse καλλίω δοῦναι τὰ δεύτερα. hactenus hypophora. καλῶς respondet actor. δεύτερα καλῶς. M.

[17] γὰρ δοῦναι καὶ μείζω] sic W. et m. M. δοῦναι καὶ desunt t. M.

[18] ἐπινεύσασαν] sic W. ἐπιδοῦσαν M.

[19] ζηλῶν m. M.

[20] ἐβλάβην] sic W. ἐβλάβη M.

[21] θεὸν] sic W. θεὰν M.

[22] διακινδυνεύει, τῆς τύχης παραπεμπούσης. ἤπου m. M.

[23] ἐν τοῖς Mor. sed recte abest ἐν a W. in quo locus hic sic distinctus est, vt statim liquida sit sententia. ὅτι μὲν γὰρ τοῖς ἀνθρώποις, ὁρᾶτε. (scil. ἡ τύχη με παιδιὰν τέθεικε) nam quod hominibus recte fortuna me ludibrio exposuerit, id vide-

ποις, ὁρᾶτε, γελῶντες οὐ γοῦν[24] διαλελοίπατε. εἰ μὲν οὖν εἰσελθοῦσα εἰς τουτὶ τὸ βουλευτήριον, λέγει μὴ ταῦτά με δράσειν, καὶ καθίστησι τῶν θεῶν τινὰς ἐγγυητὰς, ὡς δώσει πλῆθος ταλάντων, ἀναμένω θησαυρὸν ἕτερον, βεβαιοῦντα τοὔνομα τῷ μέτρῳ· εἰ δὲ ἔνι τοῦτο τῶν ἀμηχάνων, καὶ οὐδὲ ἐκεῖνο δυνατὸν ἀδικοῦσαν αὐτὴν ἐν δικαστηρίῳ λαβεῖν· ἀλλὰ πράττουσα ἃ βούλεται, κρείττων ἐστὶν ἢ παθεῖν. τί με τηρεῖτε κακοῖς δευτέροις, ἵν᾽ ὑμεῖς διὰ τῶν ἐμῶν θησαυρῶν εὑρίσκητε χρήματα; εἰ μὲν γὰρ οἷός τε ἦν φανέντος ὀνείρατος, δηλοῦντος θησαυροῦ τι χωρίον, καταχεῖν ἐμαυτὸν καὶ μὴ δραμεῖν ἧπερ πρότερον, ἀπῆν ἂν ζημίας δευτέρας φόβος· εἰδ᾽ ἕλκομαι μὲν ὑπὸ τῶν ἐνυπνίων, καὶ τῆς ἀμείνονος γίνομαι προσδοκίας· τὰ δ᾽ ἴσως ἂν ἐπιβουλεύσηται πάλιν, ὁποῖα δὴ καὶ τὰ νῦν· πῶς οὐκ ἐσχάτης ἀνοίας κακῷ τὸ κακὸν ἐπιχειρεῖν ἰάσασθαι; καὶ περιμένειν ἐχθρούς τε ὀνείρους, καὶ πολέμιον νόμον. καὶ γὰρ εἰ μὲν ἐμέλλετε λύσειν τουτονὶ τὸν νόμον, οἷα πολλὰ περὶ τοὺς παλαιοὺς πεποιήκατε πολλάκις ἔργῳ πονηροὺς ἐλεγχθέντας,[25] ἴσως ἄν τι λέγειν ὁ πείθων[26] ζῆν ἐδόκει. εἰ δὲ δὴ κύριος καὶ ταῦτα οὐχὶ δίκαια ποιῶν[27] εἴη, ἐρῶ γὰρ, οὐδὲν φοβηθείς. ποῦ ἐστὶ δίκαιον, ὦ βουλὴ, τὴν ἑτέρων εὐτυχίαν ἁρπάζειν· καὶ τῶν μὲν χαλεπωτέρων μηδένα ἰέναι[28] μεθέξοντα, τῶν χρηστῶν δὲ ἀποτέμνεσθαι· καὶ μὴν οὐδὲ ἐκεῖνό γε ἴσον, τῶν μὲν θησαυρῶν αὐτῶν, τοὺς μὲν, εἶναι μείζους, τοὺς δὲ ἐλάττους, καὶ πολὺ διαφέρειν κατὰ τὸ μέτρον ἀλλήλων·[29] ἐφ᾽ ἑκάστου δὲ γίνεσθαι τῇ πόλει τὰς χιλίας· κἂν[30] ἑκατὸν τάλαντα θησαυρὸς ᾖ, κἂν πεντήκοντα· κἂν δέ-

videtis. γελῶντες γὰρ οὐ διαλελοίπατε. vos quidem per totam hanc actionem meam non desiistis ridere.

24 γὰρ οὐ W.

25 δειχθέντας m. M.

26 πείθων] sic W. πείσων M.

27 post ποιῶν addit W. comma. fortasse leg. ποιῶν, οὐδὲν ἂν λέγων εἴη. frustra garriet. deest profecto aliquid.

28 ἰέναι] sic W. εἶναι M.

29 Wolf. iterat πολὺ post ἀλλήλων, non sine vi et elegantia.

30 κἂν μὲν W.

δέκα· κἂν τε ἄργυρος, κἂν τε χρυσός· κἂν πέντε μναῖ, τοῦτο δὴ τοὐμὸν τὸ δυστυχές.[31] καίτοι πῶς εὔλογον τὰς μὲν εἰσφορὰς κατὰ τὴν οὐσίαν ἑκάστῳ προστίθεσθαι·[32] τῶν θησαυρῶν δὲ τοῦτο ἐκβεβλῆσθαι τὸ δίκαιον; ἀλλὰ γὰρ κατηγορῆσαι μὲν τοῦ νόμου ῥᾴδιον· πεῖσαι δὲ ὑμᾶς ἀποστῆναι τοῦ κέρδους οὐκ ἔστιν· ἀλλ᾽ ἀποθανεῖν γ᾽ ἐστὶ[33] τῷ μὴ δυναμένῳ πεῖσαι. καὶ γὰρ εἰ μέλλει[34] μοι ἔσεσθαι πόθ᾽ ὕστερον θησαυρός τις· ἀλλὰ τὸν πρὸ τοῦ γε θησαυροῦ χρόνον, πῶς ἂν βιώην, τοῦ μὲν κέρδους, οὔπω φαινομένου· τῆς δὲ ζημίας ὁρωμένης; ποῖος γὰρ ἰατρὸς παῦσαι δύναιτ᾽ ἂν τὴν λύπην; τί δὲ τῶν πάντων οὐχ ὑπόμνημα δή μοι τοῦ πράγματος; ἂν ἐπ᾽ ἀγορᾶς διατρίψω, τοὺς εἰληφότας ὑμᾶς θεωρῶν, ἀνιάσομαι. ἂν οἴκοι, τὸ κεκενωμένον κιβώτιον· ἂν ἐν ἀγρῷ τὸν προδότην τόπον· ἂν μηδαμόθεν ἀργύριον γένηταί[35] μοι, μᾶλλον ἐκεῖνο ζητήσω· ἂν φανῇ ποθὲν πρόσοδος, ὅτι μὴ προστίθεται[36] ταῖς χιλίαις, ἀγανακτήσω. τὸν οὖν ἐν μέσῳ τοσούτων[37] βελῶν, τί ῥύσεται; θάνατος.[38] ὦ τράπεζαι καὶ τραπεζῖται, καὶ ἐμπορίαι καὶ ἔμποροι, καὶ ναύκληροι καὶ ὁλκάδες,[39] ὁ πολλὰ ἤδη πολλάκις ὑμῖν ἐγὼ χρησάμενος, καὶ συμβαλὼν καὶ προέμενος[40] καὶ κομισάμενος· καὶ[41] τῇ χειρὶ φέρων ἐπιεικῶς χρυσίον, ἀπέρχομαι· τοῖς μὲν ἀφ᾽ ὑμῶν καρποῖς, εἰδὼς χάριν· ὑπὸ θησαυροῦ δὲ

31 κἂν πέντε μναῖ, τοῦτο δὴ τοὐμὸν τὸ δυστυχές.] sic recte W. sed tum deesse videtur εὕρεμα. Mor. dat κἂν τε πέντε μναῖ. caeteris omissis.

32 τίθεσθαι W.

33 μ᾽ ἐστὶ m. M.

34 καὶ γὰρ εἰ μ. W. et m. M.

35 γίνηται W.

36 προστίθεται] sic W. προστίθεσθαι M.

37 τοσούτων] sic W. τοιούτων M.

38 τί ῥύσεται; θάνατος.] sic W. possit quoque sic legi: τί ἄλλο ῥύσεται ἢ ὁ θάνατος; Mor. dat τί ῥύσεται ἢ θάνατος;

39 ὦ τράπεζαι καὶ τραπεζῖται, καὶ ἐμπορίαι καὶ ἔμποροι· καὶ ναύκληροι καὶ ὁλκάδες, ὁ πολλὰ ἤδη πολλ.] sic W. καὶ δὴ ὁ πολλὰ ἤδη πολλ. caeteris omissis M.

40 καὶ προέμενος] sic W. haec verba desunt M.

41 καὶ] sic W. κἂν M.

δὲ πεσών. καλείτω μοι τὶς τοὺς παῖδας. τί κλαίετε; τί ὀδύρεσθε; εἰ μὲν διὰ τὰς χιλίας, καλῶς ποιεῖτε· καὶ τῆς παρ' ἐμοῦ παιδείας ἀξίως. εἰ δὲ ὅτι οἰχήσομαι, κακῶς βεβούλευσθε. καὶ γὰρ καὶ ὑμεῖς ἤν τι τοιοῦτον καταλαμβάνῃ, ταῦτα περὶ τούτων[42] αἰτεῖτε· καὶ μὴ τῷ* φέρειν ῥᾳδίως ζημίας ἐλέγχετε, τὰς γονάς. ἔτι μέν τοι καὶ θεραπεύσει[43] τί τῶν οἴκοι κακῶν ὑμῖν ἡ ἐμὴ τελευτή. ἃ γὰρ ἂν ἥδιον ζῶν, ἀργύριον ὑμῖν ἀποθανόντος γενήσεται. τί οὖν ἐπισκήπτω; ταῦτα ἅπερ παρῄνουν,[44] καὶ οὐδὲν καινόν· ἄρτον καὶ[45] ὕδωρ ἱκανὴν ἡγεῖσθε τροφὴν λαμβάνοντες χαίρετε· διδόντες δακρύετε· μὴ διαβάλλητέ μοι τὸν βίον, τῷ τὸν ζῆλον φυγεῖν· βραχὺ φροντίζετε τῶν καταγελώντων, ὄντων ὑμῖν χρημάτων· ὁ τάφος ἔξω μοι χῶμα μικρόν· ἐντάφια δὲ, ταῦτα ἃ φορῶν νυνὶ λέγω. κοσμούντων δ' ἕτεροι τοὺς νεκροὺς ὑπὲρ τοὺς νυμφίους· οὕτως οἰκεῖτε τὴν οἰκίαν, ὡς ἐμοῦ ζῶντος, καὶ παρόντος, καὶ πάντ' ἀκούοντος καὶ πάντα ὁρῶντος· καὶ μηδαμῶς ἐκφέρεσθε τῶν ἰχνῶν. καὶ σοὶ δὲ, ὦ γύναι, παραινῶ, μενούσῃ μὲν ἔνδον, τηρεῖν ἃ μεμάθηκας· εἰ δ' ἑτέρῳ δέοι συνοικεῖν, ζητεῖν ἄνδρα ἐμοὶ προσόμοιον· καὶ ἴσως οὐκ ἀπορήσεις. ἐγὼ δὲ ἐλπίζω βελτίω τινὰ χώραν ἕξειν παρὰ τοῖς κάτωθεν, ἀδικήσας μὲν οὐδένα· ταμαυτοῦ δὲ φυλάξας. τῆς δ' ἐκεῖ διαίτης καὶ τῶν πραγμάτων, τὸ μὲν, ἐπαινῶ· τὸ δὲ, οὔ. καλόν μοι[46] φαίνεται· τὸ μήτε εἰσφέρειν, μήτε χορηγεῖν· μήτε ὠνεῖσθαι μηδέν. ἀηδὲς δὲ τὸ μὴ εἶναι παρὰ τοῖς τεθνεῶσιν ἀργύριον· ἔδει γὰρ, οἶμαι, καὶ κεκτῆσθαι καὶ

42 sine dubio leg. ταῦτα παρὰ τούτων. eadem, quae ego nunc ab his rogo, vos quoque olim ab iisdem rogate.

* καὶ μὴ τῷ] sic recte W. nam μὴ cohaeret non cum φέρειν, sed cum ἐλέγχετε. ne prodite, vos ex adulterio procreatos esse, non a me, eo, quod aequo animo damna feratis; καὶ τῷ μὴ Morell.

43 θεραπεύσει] sic W. θεραπεύει M.

44 f. ἅπερ ἀεὶ παρῄνουν.

45 οἶνον m. M.

46 καλὸν εἶναί μοι W. et m. M.

καὶ μὴ δαπανᾶσθαι. καὶ ἦν ἂν τοῦτο[47] τῶν ἐν μακάρων νήσοις κεφάλαιον. ἀλλ' ὅμως βέλτιον μήτ' ἔχειν, μήτε κόπτεσθαι ἢ τὸ μὲν ἔχειν, τὸ δὲ, ὁρᾷν ἑτέρους ἀφαιρουμένους.

[47] post ἂν delevi καὶ quod deest W.

Α Λ Λ Η.

Παράσιτος, τοῦ τρέφοντος αὐτὸν φιλοσοφήσαντος, ἑαυτὸν [1] προσαγγέλλει.

Μ Ε Λ Ε Τ Η.

Ἐὰν μὴ προλαβόντες ἐπινεύσητέ μοι πρὸς τὴν αἴτησιν, ὦ βουλὴ, καὶ συνδράμητε τῷ κηρύγματι, δώσει τὴν χάριν ὁ λιμός· κἀκεῖνος πληρώσει τῆς προσαγγελίας τὴν αἴτησιν. καὶ γὰρ ἀπόλωλα τῷ πλείστῳ μέρει· καὶ τοσοῦτόν μοι καταλέλειπται ἐμπνεῖν[2] ὅσον δηλῶσαι τὴν συμφορὰν, καὶ τὸν εὐπρεπῆ δέξασθαι θάνατον. ὁ μὲν οὖν τρόφιμος ἡμῶν, καινόν τινα τρόπον καὶ αὐτὸς ἀπόλωλε· λιμὸν μελετῶν, καὶ χολῇ μετιὼν τὸν θάνατον. ἐμοὶ μὲν οὖν καιρὸς κατατήκεσθαι· ἀλλ' ἐπειδή τις δαίμων που προσεβάσκηνέ μοι τῆς τροφῆς καὶ παρείλετό μου τὴν ἀφορμὴν τοῦ βίου τὴν καθ' ἡδονὴν, ἐπὶ τὸ κώνειόν μοι βαδιστέον· διότι τῶν περιδεῖπνον, οὐδεὶς ἡγεῖται. εἰ μὲν οὖν οἷός τε ἦν τὸν τρόφιμον ἐπανελθεῖν ἐκ τῆς ἄγαν μανίας ἐπὶ τὸν πρότερον καὶ συνήθη βίον, ἔδει καρτερεῖν, καὶ τὴν μεταβολὴν εὐτρεπίζειν. ἐπειδὰν δ' ἀνιάτως ἔχει, καὶ οὐδεὶς ἡμῖν ἀντ' ἐκείνου φαίνεται ἐπιτή-

[1] προσαγγέλλει] sic W. ἀπαγγέλλει. M.

[2] ἐμπνεῖν] sic dedi. respirare ἐμπεσεῖν M. et m. W. ἐκπεσεῖν.

τήδειος, πῶς ἔςι βιωτέον ἐμοί; ἀλλ᾽ ἀφέντες, πρὸς θεῶν, τὸν ἐπ᾽ ἐμοὶ γέλωτα νῦν, καὶ συνειδότες,[3] τὴν κατ᾽ ἐμὲ τύχην ᾗ περιπέπτωκα, δότε μοι τῶν λυπούντων τὴν ἀπαλλαγὴν τῷ θανάτῳ λαβεῖν· πάλαι μὲν οὖν ἐγέλων ἀκούων, ὅτι βούλεταί τις ἀποθανεῖν, καὶ σπεύδει προλαβεῖν τὸ πάντως ἀποκείμενον· καὶ περὶ τούτου πρόσεισι τῇ βουλῇ, καὶ χάριν αἰτεῖ κατὰ τοὺς νόμους τοιαῦτα γίγνεσθαι· καὶ μανίαν τὸ πρᾶγμα ἡγούμην, εἰ ζῆν ἐξὸν, αἱρεῖταί τις ἀποθανεῖν· καὶ ὃ τοῖς κακούργοις εἰς τιμωρίαν ὥρισαι, τοῦτο κέρδος ἡγεῖται[4] λαβεῖν. πάλαι μὲν οὖν οὕτως ταῦτ᾽ ἐδόξαζον. νυνὶ δὲ ὡς ἔγνων[5] (ὡς μήποτε ὤφελον) ὅτι τοῦτο τὸ τοῦ θανάτου περισπούδαςον, καὶ ἀναγκαῖον αἰτῆσαι, καὶ λαβεῖν εὐτυχές. καὶ τὴν κατ᾽ ἐμαυτοῦ τύχην οὐ φέρω. εἰ γὰρ καὶ μὴ ζῆν[6] ἔξεςιν ὁπωσοῦν, τὸ τοῦ θανάτου καταλείπεταί μοι μόνον· μυρίαι δ᾽ ἀτυχημάτων ὁδοὶ, ὧν ἄν τις ἕλοιτο ἀποθανεῖν. ἐγὼ δὲ καινήν τινα ἦλθον τοῦ θανάτου ὁδόν· καὶ πρὸς θεῶν ἀφέντες τὸν γέλωτα, τὸ καθ᾽ ἡμᾶς ἀνθρωπίνως ἐπακούσατε. νέμουσιν οἱ θεοὶ τὰ ἀγαθὰ τοῖς ἀνθρώποις ἄλλοις ἄλλα διδόντες· ἃ τέως μὲν ἂν ἔχῃ[7] τις, κέρδος τὸ ζῆν· εἰ δ᾽ ἐκπέσῃ,[8] βέλτιον ἀποθανεῖν· εἰ γὰρ δεῖ ζῆν τῆς ἡδονῆς χάριν, ταύτην δ᾽ οὐκ ἔςι δίχα ἀγαθῶν ἔχειν· πῶς οὐκ εἴ τις ἐκπέσῃ τῶν ὑπαρχόντων, καὶ τὸ ζῆν προσαπολώλεκε. πλούσιός τίς ἐςιν, ἐκ προγόνων πολὺν κλῆρον παρειληφώς· εὐδαίμων οὗτος, ἀκοπητὶ τρυφῶν· ὕςερον[9] γυναῖκα ἠγάγετο πλουσίαν; δεύτερον εἰς εὐδαιμονίαν τοῦτο· οἴκοθεν οὐκ ἔχων, ἢ πατέρων[10] οὐκ ἔχων, θησαυρῷ τις περιπέπτωκε; θεοῦ τὸ δῶρον ἄντικρυς· καὶ φθόνος οὐδεὶς ἀπολαύειν τῶν παρὰ τῆς τύχης. φίλον τὶς ἐκληρονό-

[3] malim συνειδότας.
[4] τις ἡγεῖται W.
[5] f. νυνὶ δὲ πως ἔγνων.
[6] εἰ γὰρ καὶ μὴ ζῆν] ſic et W. ſed deeſt aliquid.
[7] ἔχῃ] ſic W. ἔχει M.
[8] ἐκπέσοι W. et ſic paulo poſt.
[9] ὕςερον] num ἕτερος?
[10] aut varians lectio, aut ſcholion ſunt iſta ἢ πατέρων οὐκ ἔχων.

ρονόμησεν ἢ συγγενῆ; τὰ χρυσᾶ δάκρυα ταῦτα ἂν εἴη, ἀφ' ὧν ἐστι δακρύσαντα τὸν πλοῦτον ἔχειν· παρὰ γυναικὸς πλουτεῖν· καὶ κλῆρον ἕτερον διαδέξασθαι, ἑρμαίῳ περιπεσεῖν ἐστὶ δευτέρα λῆξις ἀγαθῶν, ἐμπορίᾳ χρησάμενον πλούσιον ἐπανελθεῖν· ἀπὸ γεωργίας, εὔπορον· καλὰ μὲν καὶ ταῦτα·[11] ἔχει γὰρ προηγουμένως τοὺς πόνους· καὶ τοὺς στρατιώτας δὲ πλουσίους ζηλοῦμεν οἱ πολλοί· ἀλλ' ὅτι γε μετὰ πόνων καὶ τῶν ὅπλων καὶ τῶν φόνων· οὐ καθ' ἡδονὴν ἔμοι γε δοκεῖ, τὸ τοιοῦτον· τρίτη δὲ λῆξις ἀγαθῶν, αἱ τέχναι, καὶ τὸ ὑπ' αὐτῶν εὐπορεῖν. ἀλλ' οὐδὲ τοῦτο καθ' ἡδονήν, ὅτι δὴ πανταχοῦ τὰ τῶν πόνων συνέζευκται· καὶ μαθεῖν δεῖ καὶ τεχνίτην γενέσθαι, καὶ κατὰ λόγον εὐπορεῖν.[12] ἀλλὰ καὶ μουσικοὶ τὴν τέχνην, πορισταὶ τῆς εὐπορίας· καὶ τοὺς στεφανίτας ἀγῶνας οἱ μετιόντες, πολλὰ μὲν ἐσθίουσι· καὶ τοῦτό ἐστι τὸ δέλεαρ τῶν ἀγαθῶν. ὅταν[13] ἀποδύσωνται καὶ κονίσωνται ταῦτα, Ἡράκλεις, τῆς συμφορᾶς, πράγματα παρέχειν ἑτέροις, καὶ μηδενὸς παροξύνοντος τοιούτου, διαπληκτίζεσθαι. ἔμπειρος ἐγενόμην καὶ αὐτὸς τῆς τῶν ἀγαθῶν λήξεως· καινοτάτην ἀκούσεσθε, καὶ οὐχ' οἵαν ὁ λόγος προείρηκεν. οὐ πατρὸς ἐγενόμην πλουσίου, ἢ οἵων ἂν τις ἐπεύξαιτο παῖδα ἰδεῖν. οὐ πλουσίαν ἠγαγόμην γυναῖκα· οὐ κληρονομίαν συγγενοῦς ἢ φίλου διεδεξάμην, οὐ τῶν εὐπόρων[14] οὐδ' ὁτιοῦν· καὶ γὰρ ἤμην ἀργὸς φύσει καὶ δυσμαθής, καὶ πρὸς τὸ πονεῖν ἀνεπιτήδειος· εἰς φιλίαν δὲ καὶ εὐφροσύνην ἦν μάλιστα εὐφυής· ἱκανὸς[15] παρα-

[11] post καλὰ μὲν καὶ ταῦτα videtur deesse ἧττον δὲ. sunt quidem et istaec praeclara, minus tamen; scil. quam priora illa. malim quoque προηγουμένως.

[12] f. καὶ κατ' ὀλίγον εὐπορεῖν.

[13] καὶ ὅταν W. leg. videtur ἀλλ' ὅταν vel ὅταν δ'.

[14] f. οὐ τῶν ἐμπόρων ἦν, οὐδὲ τῶν τεχνῶν ἐπιτήδειον οὐδ' ὁτιοῦν.

[15] videtur hic locus scholiis inquinatus, et male distinctus, quibus sublatis expeditius legatur sic: ἱκανὸς παραστατεῖν τῷ λυπουμένῳ, συνησθῆναι δὲ πράττοντι καλῶς, καὶ ἐπιτεῖναι τὴν εὐφροσύνην. ἐπὶ τὰ κάλλιστα τοῦ βίου προάγειν. ὑπηρετή-

παραμυθήσασθαι, παραγαγεῖν, τῷ λυπουμένῳ μὲν, συνηθῆναι· πράττοντι δὲ καλῶς, ἐπιτεῖναι τὴν εὐφροσύνην· ἐπὶ τὰ κάλλιστα τοῦ βίου προάγειν ὑπηρετήσασθαι. τὰ μέτρια ταῦτα δ᾽ ἦν πρὸς τὴν ἔνστασιν· ἐπιτήδειος δὲ σκώμματα εἰπεῖν καὶ ᾆσαι μέλος· ὡς ὀλίγοι. καὶ ὀρχήσασθαι ὡς ὀλίγοι,[16] καὶ μιμήσασθαι· καὶ τοιοῦτος ὢν, ἔχον ἃ ἐβουλόμην· καὶ ἐμοὶ ὁ δαίμων ἐχαρίσατο, οἷος μηδὲ τοῖς ἐν τυραννίδι[17] καὶ δυναστείαις.[18] ἐκεῖνοι μέν γε φραξάμενοι τοῖς ὅπλοις τρυφῶσι· καὶ πλείων καιρὸς αὐτοῖς τοῦ δρᾶσαί τι κακὸν, ἢ τοῦ ζῆσαι μεθ᾽ ἡδονῆς. ἐμοὶ δ᾽ ἄφοβος ἡ τρυφὴ, καὶ γυμνὴ[19] δορυφόρων ἦν· καὶ δρᾶσαι μὲν οὐδὲν οὐδὲ ἐνθυμηθῆναι δεινὸν ἦν· λογίζεσθαί τε καὶ πράττειν ἀγαθόν. εἶδον τὸν νεανίσκον ἐκεῖνον, ἐκ προγόνων λαμπρόν τε καὶ πλούσιον. φιλότιμον μὲν περὶ τὰ δημόσια ἐν ταῖς λειτουργίαις. φιλάνθρωπον δὲ, πρὸς τοὺς δεομένους· καὶ κατὰ τὸν βίον ἥδιστον. φιλόγελών τε καὶ φιλόπονον, καὶ πολυτελῆ τὴν δίαιταν. ἐκείνῳ συνήφθην θεοῦ τινὸς τὰ κάλλιστά μοι προξενοῦντος καὶ πάντων ἥδιστα παρεχομένου· ᾧ καὶ φίλος ἐγενόμην καὶ συνήθης. καὶ οὐ μέχρι τούτου,[20] ἀλλὰ καὶ συνέστιος, καὶ συμπότης, καὶ βίον ἔχων εὐδαίμονα καὶ μακάριον· καὶ πολλοὶ[21] τὰ καθ᾽ ἡμᾶς ἐζήλουν. πατρὸς γὰρ καὶ μητρὸς ἦν ἐκεῖνος πολὺ φέρτερος. παρ᾽ ἐκείνων μὲν γὰρ οὐδὲν ἔχον λαβών· ὁ δὲ κοινὰ τὰ παρ᾽[22] αὐτοῦ προὐτίθη τῶν ἡδονῶν, οὐδὲν εἶχον λυπηρὸν, οὐδὲν ἔργον ἐπίπονον. πάν-

ρετήσασθαι τὰ μέτρια. ταῦτα δὲ (haec autem mediocria, quae ego amicis famulabar, erant haec, quae nunc dicam exempli causa) ἦν πρὸς ἔνστασιν. ἐπιτήδειος ἦν σκώμματα —

[16] καὶ ὀρχήσασθαι ὡς ὀλίγοι. sic W. in marg. καὶ ὡς ὀρχ. ὀλίγοι M. et m. M. ἴσ. ὡς ὀλίγοι ὀρχ.

[17] malim ἐν τυραννίσι, ob insequentem pluralem

[18] καὶ δυναστείαις] sic W. καὶ deest M. ἴσ. δυνάσταις m. M.

[19] γυμνὴ] sic W. γυμνὸς M.

[20] post τούτου videtur μόνον deesse.

[21] πολλοὶ] sic W. et confirmat coniect. Mor. πολὺ t. M.

[22] κοινὰ τὰ παρ᾽] sic W. τὰ deest M.

πάντα δ' ἦν ἥδιστά μοι καὶ τὰ παρόντα, καὶ ὅσα δὴ ἤλπιζον, καὶ πολλὴ ῥαστώνη τοῦ βίου. ἐτρύφων γὰρ, οὐδὲν ἀναλίσκων, οὐδὲ προϊέμενος, οὐδ' ὅθεν εὐπορήσω ζητῶν, ἀλλ' ἕτερος ἦν μοι κηδεστής. καὶ φροντὶς ἑτέρῳ ἦν τῆς καθ' ἡμᾶς τροφῆς. ἐπλούτουν, οὐδὲν κεκτημένος. ἐτρύφων, οὐδὲν ἀναλίσκων. ἔπινον, ἐμέθυον· ἐν μύροις[23] ἤμην, καὶ πότοις, καὶ ὀρχήμασι· καὶ πάντα ἐπανηγύριζον τὸν ἐμαυτοῦ βίον. οὐ τῶν ἐπ' ἀγορᾶς ἤμην, οὐ τῶν ἐρανιζομένων, οὐ τῶν ἐπὶ βήματος, ἑτέροις πράγματα παρέχων·[24] οὐ τῶν γεωργῶν, οἷς ἐν πόνοις ὁ βίος· οὐκ ἔμπορος ἐγενόμην καὶ τῶν πλεόντων τὴν θάλατταν. τοὺς λιμένας εἶδον, μέχρι τῶν ἰχθύων μόνον. οὐ στρατιώτης ἦν τὸν βίον, πρᾶγμα κινδύνων μεστὸν καὶ ξιφῶν· ἀλλ' εὐδαίμων ἄνθρωπος, ῥᾴθυμος, ἀργὸς, παράσιτος, τοῦτο δὴ τὸ φίλτατον ἐμοὶ μὲν ἀκοῦσαι· ἄλλος δ' ὀνειδιζέτω λέγων. ἡ γῆ μὲν ἔφερε τὰ παρ' αὐτῆς, ὀπώραν καὶ τὸν πολὺν ἄκρατον· ἡ θάλαττα δὲ τοὺς ἰχθύας πολλούς. καὶ ξύμπαντες ἐμοὶ μὲν ἐθήρων οἱ θηρεύοντες καὶ πτηνὰ καὶ χερσαῖα· μάγειροί τε καὶ ὀψοποιοὶ τὰ παρὰ τῆς τέχνης ἔφερον· ἓν ἔργον ἦν ἐμοὶ, τὸν[25] τρόφιμον προσαγορεύειν· καὶ εἴ τι πολὺ χάριεν ἦν τῶν ἐδωδίμων, ἐπ' ἀγορᾶς, καταμηνύειν τοῖς ὀψοποιοῖς τε, καὶ μαγείροις, ἐπιέναι.[26] τῶν οἴνων ἀπογεύεσθαι, δοκιμάζειν τοὺς ὀψοποιοὺς, τοὺς ἀρίστους ἐπαινεῖν· καὶ παρακαλεῖν φιλοτιμότερον χρῆσθαι τῷ πράγματι. πάντα ἐπαινεῖν· πάντα θαυμάζειν· πάντα τῷ τροφίμῳ χαρίζεσθαι· τοὺς μαγείρους οἰκειοῦσθαι· τοῖς οἰνοχόοις προσμειδιᾶν. τοὺς τρέφοντας ἡδοναῖς θεραπεύειν. μόνος ὄρθρος ἦν,[27] ἐγὼ δὲ ἐπὶ τὸν τρόφιμον ἔσπευδον τὰ πρὸς ἡδονὴν ἀπαγγεῖλαι· καὶ μετὰ ταῦτα, ὁ μὲν ἔπραττέ τι κατ' ἀγοράν. ἐμοὶ δ' ἔργον ἦν ἐπὶ

[23] μύροις] sic W. rursus confirmat coniect. M. μυρίοις t. M.

[24] malim παρεχόντων.

[25] τὸ τὸν W.

[26] ἐπιέναι] Sententia postulat περὶ τὰς ἀποθήκας περιιέναι per cellas ambulare. *in den Kellern umhergehen.*

[27] num μόγις ὄρθρος ἦν. *kaum war es Morgen, oder Tag, so lief ich schon.*

ἐπὶ[28] τὸ ἄριςον ὅπως ἕξει καλῶς ἡμῖν προνοεῖν, καὶ τὴν ὥραν ἀπήγγελον· ἐπιταχύνειν ἔπειθον. καὶ μετὰ ταῦτα ἐνεπιμπλάμην·[29] ἁπάντων ἁπτόμενος· πάντα ἐπαινῶν· τὰ δεύτερα μᾶλλον ἀεὶ τῶν πρώτων ἀποδεχόμενος· καὶ ἤδη διατηρήσων εἰς ἑσπέραν τὰ προϊόντα ἐταμιευόμην. ὕπνος ἦν ἐπὶ τούτοις ἥδιςος· καὶ τὴν ἑςίασιν ὠνειροπόλουν·[30] καὶ λουτρῶν καιρός· ἐγὼ δ᾽ ἔσπευδον, καὶ λαμπρὸς ἐκεῖθεν ἐπανελθὼν, ἐπὶ τὴν μακαρίαν ἐπανίην τράπεζαν. πάντα θαυμάζων, πάντα ἐπαινῶν, ἀνιώμενος ὅτι μηδὲ διπλῆν μοι καὶ τριπλῆν τὴν γαςέρα ἔχειν ἐξῆν. ἦν γὰρ πάντα ἄφθονα, καὶ διεῤῥηγνύμην ἐμπιπλάμενος. ἑσπέρα πάλιν, καὶ ὕπνος ἀφρόντιςος. οὔτε γὰρ ἀποδόσθαι τὶ ἐξῆν, οὔτε ὠνήσασθαι· ἀλλὰ καὶ μέχρι τῆς εὐνῆς, ἄλλος ἦν ὁ φροντίζων τοῦ πράγματος. ἄριςον αἱρεῖσθαι, δειπνεῖν πολυτελῶς· πενίαν οὐκ ἐδεδοίκειν· τοῦ πλουτεῖν οὐδὲν ἐδεόμην· πᾶσιν ἡδόμην τοῖς καιροῖς· ἔαρ ἦν ἥδιςον ἐμοί. καὶ γὰρ ἦν ὁ πότος ἐν ῥόδοις· τὸ θέρος[31] τοιοῦτον ἕτερον· πάντων μὲν εὔφορον[32] τῶν καλῶν· ἐκτεινόμενον δὲ ταῖς ἡμέραις· καὶ πολλὴν ἀρίςου[33] σχολὴν εἶναι, καὶ δείπνου πλείςην διατριβήν. τὸ φθινόπωρον ἔχει τὰς ὥρας εὐκραεῖς, καὶ θᾶττον ἦν τὰ σιτία καταπέττειν,[34] καὶ μᾶλλον ἐσθίειν. ὁ χειμὼν ἐπεγίνετο, καὶ πρὸς τὸ φαγεῖν ἐπεῤῥώννυε μᾶλλον· καὶ τῶν μὲν ἔξωθεν πόνων καὶ πραγμάτων, ἡσυχίαν ἄγειν, οἴκοι δὲ μένειν ἔπειθεν. ἔν με[35] ἐδόκει λυπεῖν, ἡ τῶν νυκτῶν πρότασις· ἀλλ᾽ εὐθὺς ἂν ἑωθινὸν ἄριςον[36] ἔδει, καὶ οὐδεὶς ἂν ἐπετίμησε. καὶ εἰς ἑσπέραν[37] δὲ βαθεῖαν τὸν πότον

[28] ἐπὶ aut prorsus delendum, aut cum ἐν est mutandum.

[29] ἐνεπιμπλάμην] sic W. ἐνεμπιπλάμην M.

[30] ὠνειροπόλουν] sic W. ὀνειρ. M.

[31] τὸ δὲ θέρος W.

[32] εὔφορον] sic W. et confirmat coniect. M. εὔφρον t. M.

[33] πολλὴν ἀρίςου] sic W. πολλὴν ἀχρήςου M. et m. ἰσ. ἀρίςου.

[34] καταπέττειν] sic W. πέττειν M.

[35] με] sic W. μοι M.

[36] f. ἑωθινῶν ἀρίςων. *Da muste man gleich frühe frühstücken.*

[37] ἑσπέραν] sic W. ἀσπέραν M.

πότον παρατείνειν,[38] ὅτι καιρὸς ἀπέκειτο καὶ ὕπνου.[39] ἀλλ' ἀληθὲς ἦν τὸ λεγόμενον, ὅτι φθόνος ἀνθίσταται τοῖς καλοῖς, καὶ νεμεσᾷ τὸ δαιμόνιον ταῖς εὐπραγίαις ταῖς ἄγαν· καὶ τὰ ἀνθρώπινα ἐν μεταβολαῖς ἐπιεικῶς ὀφείλει γίνεσθαι. λέγω δὲ ταῦτα, οὐ τὰ ἑτέρων σκοπῶν, ἀλλὰ τὰ κατ' ἐμαυτὸν λογιζόμενος. τρόφιμος ἐκεῖνος πάντων ἐμοί.[40] καὶ ἀντὶ πάντων, ὁ τὸν βίον ἐμοὶ ἥδιστον ἐπιδεικνὺς, ὁ πλούσιος, ὁ πολίτης, ὁ πλουτῶν οὐχ ἧττον ἐμοὶ, ὅλην[41] τὴν τύχην οἰκείαν ἔχων· ἀλλ' οὐκ ἔχω ὅ, τί ποτε φῶ περὶ αὐτοῦ· ἐμοὶ μὲν γὰρ οἴχεται. ἐμπνεῖ δὲ αὐτῷ μόνῳ. καὶ δοκεῖ ζῆν καὶ περιεῖναι, ἔξω δὲ τοῦ βίου παντὸς ἐστίν· οὐ γυμνάσια τοῦτον ἔχει· ἀπόλωλεν, ἤρετό τις. τοῦτο μὲν γεγονὸς ἂν εἴποι τις μή ποτε, ὦ θεοί· οὐ[42] μὲν καὶ λουτρά. οὐδὲ ἐν πότοις ἄνθρωπος ἔτι, οὐδ' ἐν ἑστιάσεσιν· ἀλλὰ τοῦ βίου παντὸς[43] ἔξω τυγχάνων ὡς ἂν εἴποι τις· καὶ γυμνὸς ἁπάσης περιβολῆς·[44] εἰ καὶ πλουτῶν ἦν ἄλλους, κεκτημένος νόσον χαλεπωτάτην· καὶ οὐδὲ τὸ τῆς συμφορᾶς προσιδέσθαι μοι δοκεῖ. ἀλλ' ὑπῆκται[45] νόσον ἢ μανίαν, ἢ οὐκ οἶδ' ὅ, τι φῶ περὶ τοῦ πράγματος. δοκεῖ[46] εὐδαιμονεῖν ἑαυτῷ· καὶ

[38] παρατείνειν] subaudi a communi repetendum ἔδει.

[39] καιρὸς post ὕπνου deleui, et sic distinxi: ὅτι καιρὸς ἀπέκειτο καὶ ὕπνου. ἀλλ' — *quoniam tempus somni supererat.* ἀπέκειτο, καὶ ὕπνου καιρός. ἀλλ' — M.

[40] f. πάντων ἄριστος ἐμοί. Mor. coni. πάντα ἦν.

[41] f. ὁ πολίταις πλουτῶν, οὐχ ἧττον δὲ καὶ ἐμοὶ ὅλην —

[42] οὐ sic coniecit in marg. verum non satis hoc est, sed οὐ μέντοι καὶ λουτρά, scil. τοῦτον ἔχει. nescio etiam, an μήπω leg. sit versu hoc, pro μήποτε. *nondum quidem hoc factum esse, sit qui aiat, odii.* hoc *odii* ingemiscentis est conditioni miserae hominis, qui superstes quamvis esset, tamen peiore loco esset, quam si mortuus. t. M. dat σὺ μὲν —

[43] οὐδ' ἐν πότοις ἄνθρωπος ἔτι, οὐδὲ ἐν ἑστιάσεσιν· ἀλλὰ τοῦ βίου παντὸς] sic Wolf. ὁ παντὸς caeteris omissis Mor.

[44] f. περιβολῆς, εἰκῆ πλουτῶν, νόσῳ ἀλοὺς χαλεπωτάτῃ (deleto scholio κεκτημένος νόσον.) ὑφ' ἧς οὐδὲ τὸ τῆς συμφορᾶς (scil. δεινὸν, ᾗ συνέχεται) προϊδέσθαι μοι δοκεῖ.

[45] f. ἀλλ' ἐπῆκται ipse sibi consciuit, contraxit morbum.

[46] f. ὑφ' οὗ δοκεῖ, aut ἥττω δοκεῖν.

καὶ οὕτως οἴεται· πράττει δὲ κάκιον, ὡς ἂν [47] καταρώμενος ἑαυτῷ. [48] μισεῖ τὸν πλοῦτον· ἀποστρέφεται τὴν τρυφήν· τὴν προτέραν εὐδαιμονίαν, συμφορὰν ἡγεῖται· τῶν δὲ παρόντων κακῶν, ἐραστής ἐστιν· αὐχμηρός ἐστι τὴν κόμην, ὠχρὸς τὴν χρόαν· κατηφὴς τὸ βλέμμα, ῥυπῶν τὸ σῶμα· καὶ μέχρι ἱματίου, τοιοῦτος· ὑπαίθριος ταλαιπωρῶν. χαμευνῶν, ἀνέχεται· τὸν ἥλιον φέρει, πρὸς κρύος ἀποδύεται. κατείληπται [49] δὲ καὶ τὸ αὔταρκες σίτου μεταλαβεῖν αὐτόν· [50] καὶ ὕδατος εἰς κόρον ἐλθεῖν, καὶ βραχὺ καταδαρθεῖν. τὰ πολλὰ τῆς νυκτὸς διαγρυπνῶν μελαγχολᾷ. τὸ δὲ ὅπως εἰς τοῦτο ἦλθε· [51] δεινοί τινες εἰσὶ παρ᾽ ὑμῖν ἑτέρους [52] διαφθείροντες, κακοδαίμονες αὐτοὶ [53] τὴν τύχην. οἷς ἔργον οὐδὲν, ἢ τὸ τιμωρεῖσθαι σφᾶς αὐτοὺς, ὡς ἀδικοῦντας, καὶ πιέζειν ἀγρυπνίᾳ· καὶ λιμῷ, καὶ πόνοις· τοὺς ὠχριῶντάς γε. [54] τους ἀνυποδέτους, τοὺς γυμνοὺς ἐξ ἡμισείας· οἷς ἀπεύξαιτο ἄν τις καὶ περιτυχεῖν· ἐκεῖνοι τὸν τρόφιμον λαβόντες, κατεγοήτευσαν πολλοῖς ῥήμασι· παθόντες [55] μὲν οὐδὲν δυσχερές. ὅτι δ᾽ εὐδαιμόνει, [56] φθονήσαντες· καὶ σπεύδοντες αὐτοὶ μὴ μόνον [57] ζῆν ἐλεεινῶς, ἀλλ᾽ ἔτι [58] καὶ τοὺς ἄλλους

[47] f. κάκιον, ἢ ὡς ἂν *peius. quam si ipse sibi diras fuisset imprecatus.*

[48] καταρώμενος ἑαυτῷ] sic W. ἑαυτῷ deest M,

[49] κατείληπται] mente comprehendit, h. e. menti infixit hoc scitum, quod ipse sibi verum et certum esse persuasit, atque tenendum esse tuendumque.

[50] f. αὐτάρκους σίτου μεταλαβεῖν αὐτὸν (scil. δεῖν) *se oportere capere* cibi quod satis sit.

[51] τὸ δὲ ὅπως εἰς τοῦτο ἦλθε] subaudi εἰ βούλεσθε πυθέσθαι, ἐρῶ.

[52] f. ἑτέροις διαφθείρειν, ὄντες κακοδαίμονες αὐτοὶ, τὴν τύχην. cohaerent inter se διαφθείρειν et τὴν τύχην. *qui cum ipsi sint infelices, egregie norunt aliis* (id est *aliorum*) *prosperam fortunam corrumpere.*

[53] αὐτῇ W.

[54] γε] τε W. tolle vtrumque.

[55] παθόντες] scil. ὑπ᾽ αὐτοῦ nulla quidem ab eo laesi iniuria, cuius vindicta hoc facerent.

[56] ὅτι δ᾽ εὐδ.] sic W. et sic etiam coniecit M. in marg. sed t. M. δ᾽ omittit.

[57] malim μόνοι *non soli.*

[58] ἔτι] sic W. et m. M. ὅτι t. M,

λους ὁρᾷν ἐν τοῖς ἴσοις. γόητες ἄνθρωποι καὶ πονηροὶ, καὶ πάντα πείσειν[59] δυνάμενοι, ὧν καλῶς ἡ τύχη[60] κατεψηφίσατο ταῦτα, ἐν οἷς εἰσὶ, πενίαν, παράνοιαν, λιμόν· τό, τε θνήσκοντας ἐν ἀνθρώποις[61] εἶναι· οὗτοί μοι τὸν τρόφιμον ἀπολωλέκασι. καί μοι τὸ κώνειον παρ' ὑμῖν προπίνοντι,[62] αὐτοὶ πιόντες[63] ἂν εἰκότως. εἴ γε ἐσωφρόνουν. ἀρίστου καιρὸς ἦν, ὁ τρόφιμος δ' οὐδαμοῦ. δειπνεῖν ἔδει, καὶ πάντα ηὐτρέπιστο, ὃδ' ἦν ἔτι παρ' ἐκείνοις μελαγχολῶν. ἑσπέρα καὶ περαιτέρω τῆς ὥρας, ὃδ' ἐπάνεισι λιμοῦ μετέχων. καὶ ὅτε κατέλαβεν, οὐκ ἐπὶ σκίμποδος· ἀλλ' ἐπὶ τῆς γῆς, καὶ φαύλην εὐνὴν ὑποθεὶς αὐτῷ, μετάδοτε, φησίν·[64] ἀρκεῖ δέ μοι καὶ ὕδωρ πίνειν. κἂν ὕπνον ᾑρεῖτο ἐπὶ τοῦ σχήματος.[65] ἑωθινὸς δ' ἀναστὰς, καὶ φυγὰς τῆς οἰκίας γενόμενος ἦν παρ'[66] ἐκείνοις πανημέριος· ἑσπέρα πάλιν, ὃδ' ἐπὶ τὴν οἰκίαν ᾔει, τὸν κυνῶν δεῖπνον αἱρούμενος τρίτη περίοδος, καὶ τὸ αὐτὸ δρᾶμα ἀνεδιδάσκετο τῷ κακῷ τῷ ἐμῷ. τετάρτη καὶ πέμπτη ἡμέρα πάλιν, καὶ ἡ συνήθεια τῶν κακῶν ἐκράτει. ἐγὼ δ' ὡς τα[67] λείψανα ἦν τῆς πάλαι παρασκευῆς, ἐνεφορούμην, οὔπω τὸ καθ' ἑαυτὸν αἰσθανόμενος. πολλὰ γὰρ ἔνδον ἦν· ὡς δ' ὑπανήλωτο, ἡ χρεία γνωρίζειν ἐποίει με τοῦ τροφίμου τὴν συμφοράν. τί πέπονθεν ὁ ἄνθρωπος ἐσκόπουν, καὶ συμβαλεῖν οὐκ εἶχον τὸ δεινόν. μανία γὰρ τὸ πρᾶγμα ἦν· καὶ μὴν ἔτι γ' ἐσωφρόνει. ἀλλὰ

νόσημα

[59] malim πεῖθειν.

[60] f. καλῶς ποιοῦσα ἡ τύχη.

[61] f. τὸ τεθνηκότας ἐν ἀνθρ. vt inter homines versentur, tametsi iam defuncti.

[62] lege προπιοῦσιν.

[63] ἴσ. πίοιντο m. M.

[64] f. ὑποθεὶς, ἄρτου μετάδοτε, φησίν. *vilem culcitam sibi cum supposuisset ipse, panem merum porrigite, ait,* (ad seruos conuersus.)

[65] ἐπὶ τοῦ σχήματος] id est, vel ἐπὶ τούτου τοῦ σχήματος hoc in habitu, vel, ἐν τῷ τῶν φιλοσόφων σχήματι. Gestamen enim philosophorum κατ' ἐξοχὴν appellabatur σχῆμα.

[66] παρ'] sic dedi. erat apud eos, philosophos puta. γὰρ M.

[67] f. ἐγὼ δ' ἕως τὰ *donec superant reliquiae.*

νόσημα τὸ συμβεβηκός; ἀλλ' ὑγιαίνειν ἐδόκει· καὶ κληρήρης οὐκ ἦν. ἠρώτων τοὺς ἐντυγχάνοντας περὶ αὐτοῦ, ποῖ γῆς ἐστι; τί πέπονθε; τί βούλεται ὁ βίος αὐτῷ; πονηροὶ οἱ πλεῖστοι. καὶ οὐδεὶς ἂν συναχθεσθείη τῷ παρόντι κακῷ ἀλλ'. ὁ φθόνος μὲν ἐπὶ τοῖς εὖ πράττουσιν· ἔλεον δ' οὐδεὶς οἶδεν ἐπὶ τοῖς ἀτυχοῦσιν. οὐκ ἐκεῖνον τὶς ἐπέστρεψεν[68] ἐπὶ τὸ βέλτιον· οὐδ' ἀπήγαγε τῆς ἀπάτης. οὐδὲ πρὸς ἐμὲ φιλάνθρωπόν τινα[69] εἶπε, πολυπραγμονοῦντα ἰδὼν τὰ κατ' ἐκεῖνον· ἀλλ' ὁ μὲν σιωπῇ παρῆλθεν. ὁ δὲ ἐγέλασε. μᾶλλον δὲ κατεγέλασε τῆς κατ' ἐμὲ τύχης. ὁ δ' οὐκ οἰμώζει,[70] φήσας καὶ τί[71] τῶν ἐκείνου μέλει. καὶ μονονοὺ, πληγὰς ἐντείνας, ἀπῆλθεν. ἐγὼ δὲ μετῄειν τὸν τρόφιμον, καὶ τὰ ἐκείνου μεταβάλλεσθαι ἀξιῶν. πείθων σωφρονεῖν, ὁπότε ὀλίγον ῥαΐσας, ἦν ἐφ' ἑαυτοῦ. ὡς δὲ καὶ δεύτερον προσοιμώζειν ἔλεγε,[72] καὶ τρίτον προσιόντα χαλεπῶς ἑώρα· οὐκ ἔχων ἐγὼ τί χρήσομαι ἑαυτῷ, πρὸς ὑμᾶς ἀπήντηκα· μηδέ μοι λεγέτω τις, ἐφ' ἑτέροις[73] ἡ προσαγγελία. μηδ' ἐρωτάτω τις, τί πέπονθα. πέπονθα γὰρ ἃ οὐδείς· ἐκπέπτωκα τῆς μεγάλης ἐκείνης εὐδαιμονίας· τῆς πολλῆς ἀπεστέρημαι τρυφῆς· τοῦ ῥᾴστου βίου καὶ πρὸς ἡδονῆς[74] μάλιστα ἐμοί· οὐδεὶς φιλάνθρωπος· οὐδεὶς ἕτερος τοιοῦτος, οἷος ἐκεῖνος πρός με. φεῦ τῆς μεταβολῆς ἀπὸ τῆς πλησμονῆς ἐκείνης, ἀπὸ τῆς μέθης. ὁ τοὺς στεφάνους περικείμενος, ὁ τὸν ἄκρατον πίνων

[68] ἐπέστρεψεν] sic W. ἐπιτρέψειν M.

[69] τινα] imo vero τι in neutro.

[70] f. οἰμώζει. quod accipio, pro secunda persona futuri I. in medio attice, pro οἰμώξῃ. *non plorabis*? h. e. abi in malam rem. aut ego vero cur non protinus tibi malum do? cur me contineo, quominus tibi baculo caput commulceam.

[71] καὶ τί δέ μοι] sic W. δὲ deest M.

[72] sic distinguo et lego: ἔλεγε καὶ τρίτον, iterum atque iterum me plorare cum iussisset, h. e. mala mihi esset imprecatus, καὶ προσιόντα χ. ἑ.

[73] ἐφ' ἑτέροις] scil. τέτακται ὑπὸ τοῦ νομοθέτου.

[74] ἡδονῆς] sic W. ἡδονὴν M.

πίνων εἰς κόρον, καὶ προπίνων ἑτέροις, ἐνδεὴς τῶν ἀναγκαίων εἰμί. καὶ καταλαμβάνει μὲν ἡ νὺξ τὴν παλαιὰν τρυφὴν ὀνειροπολοῦντα. κατηφὴς δὲ ἑσπέρα καὶ νύξ.[75] κἂν ἑτέρους ἴδω μεθύοντας ἐκ πότου, διαῤῥήγνυμαι τῷ φθόνῳ, καὶ τὰς ἐμαυτοῦ στένω συμφοράς. οὐδεὶς φιλάνθρωπος, οὐδεὶς ἐλεήμων. ὁ μὲν ἐγέλασεν ἰδών· ὁ δὲ ἐπανέβη πράττοντι κακῶς. εἰ δέ τις δεξιὸς τὸν τρόπον,[76] ἄχρι τοῦ φιλανθρωπεύεσθαι τῷ ῥήματι. φιλανθρώπια δὲ, οἰκτεῖραι πράττοντι[77] κακῶς. ἐπὶ πότον δὲ καλέσαι ἢ ἑστίασιν οὐδεὶς ἐπιτήδειος. δότε μοι τὴν χάριν δότε· ὀρέξατε τὸ κώνειον· ταύτην μοι προπίνει[78] φιλοτησίαν ἡ τύχη. ἐμοὶ μήτηρ οὐκ ἔστιν· οὐδ' ὁ γεννήσας ἔτι καταλείπεται. οὐ συγγενὴς οὐδεὶς ἔτι φίλος ἐστὶ λιπών.[79] ὃν δ' ἀντὶ πάντων εἶχον, φιλοσοφεῖ. τὸ δ' ἴσον εἰπεῖν, οὗτος καὶ τέθνηκέ μοι. τίς δὴ γένωμαι, τῆς παλαιᾶς συνηθείας ἑαλωκώς. πῶς ἐπαρκέσω πρὸς[80] τὴν χρείαν ἐμαυτῷ τρυφᾷν μεμαθηκώς· ἐσθίειν εἰς κόρον· πίνειν εἰς μέθην. ἡ γαστὴρ μὲν ἀπαιτεῖ τὴν συνήθειαν. ὁ δώσων δ' οὐκ ἔστι. τέχνην δ' οὐκ ἔχω· οὐδὲ γὰρ ἔμαθον τὴν ἀρχήν. πονεῖν οὐκ ἔτι δύναμαι τῷ σώματι, διεφθαρμένος ὑπὸ τῆς πολλῆς ἐκείνης τρυφῆς· βαρὺ ἐμοὶ, καὶ τὸ μέχρι τῶν ἀναγκαίων εὐπορεῖν· ἀλλ' οὐδὲ ταῦτα ῥᾴδιον ἔχω.[81] μηδέ με πολυχρονίῳ δῶτε νοσήματι. ἀλλ' ἐπιτέμετέ μοι τὴν συμφοράν. πάντες μὲν στυγηροὶ θάνατοι. οἴκτιστον δὲ, τὸ λιμώττοντα ἀποθανεῖν.[82] τέως

δ'

75 f. κατηφὴς δὲ καὶ ἡμέρα, καὶ ἑσπέρα καὶ νύξ.

76 τὸν τρόπον] subaudi δέξιός ἐστιν.

77 lege πράττοντα.

78 δότε μοι τὴν χάριν, δότε. ὀρέξατε τὸ κώνειον. ταύτην μοι προπίνει] sic W. δότε μοι, προτείνει caeteris omissis M. προτάνειν φιλ. τῇ τύχῃ m. M.

79 λυπῶν W. et m. M. ἴσ. λοιπὸν coni. M. f. leg. οὐ συγγενής. οὐδ' εἷς ἔτι φίλος ἐστι λοιπός, ne nuus quidem amicus superest.

80 πρὸς] sic W. πρὸ M.

81 malim ἔχειν. et tum desunt pauca quaedam: ἐπικαρεῖτε ἄν, ὦ ἄνδρες, ὡς τάχιστα, vel simile quid.

82 f. — ἀποθανεῖν. ἥδιως δ' ἂν ἐκφύγῃ τις (id est ἐκφύγοιμι ἂν ἐγὼ) τὸν οἴκτιστον εἰ τὸ κωνείου τοσοῦτον ἐκπίω, ὅσον ποιήσειε μηκέτι —

δ' ἂν ἐκφύγῃ τις τὸν οἴκτιςον, εἰ τὸ κώνειον τοσοῦτον ἐκπιὼν, μηκέτι δεῖσθαί με τινὸς παρασκευῆς.

Α Δ Λ Η.

Πλούσιος ἐν λιμῷ θρέψειν ὑπισχνεῖτο τὴν πόλιν, εἰ ἐκδοίη[1] τὸν ἐχθρὸν αὐτῷ. ἡ μὲν ὀκ ἔδωκεν. ὁ δὲ ἀξιοῖ ἀποθανεῖν κατὰ τὸν τῦτο διδόντα νόμον.

ΜΕΛΕΤΗ ΠΡΑΓΜΑΤΙΚΗ.

Τῷ μὲν δήμῳ πολλὴ χάρις, ὦ βουλὴ, μηδ' ὑπὸ τῆς παρούσης συμφορᾶς ἀμνημονῆσαι βιασθέντι[2] τῆς ἐμῆς εἰς τὴν πόλιν παρὰ πάντα τὸν χρόνον εὐνοίας· οὐ γὰρ ἐδέξατο σῖτον ἐπ' ἐμοὶ, τῦ πλουσίου διδόντος. ἀλλ' ἐνὸν αὐτῷ σῶμα ἐνπρεσέμενον ἀπηλλάχθαι τῆς δυσκολίας, μᾶλλον εἵλετο πεινῆν, ἢ ποιῆσαί τι τῶν οὐ καλῶν. ἐγὼ δὲ οὔτε τότε ἀντερῶν ἀνέςην τῷ πλουσίῳ· καί τοι λόγους ἔχων ἀφθόνυς·[3] ἀλλ' ἀνέμενον καθήμενος τὰ δόξαντα[4] τῷ δήμῳ, φέρειν ἐγνωκὼς ὅτι ἂν ᾖ, ποιεῖν·[5] νῦν τε ἥκω πρὸς ὑμᾶς αἰτήσων τὸν διὰ κωνείου θάνατον· παρὰ μὲν τῦ δήμου[6] τετυχηκὼς ἀμοιβῆς οὐ μικρᾶς, τῷ τὸν ἐχθρὸν ἰδεῖν ἁμαρτόντα τε τῆς πείρας, καὶ καταβάντα μετ' αἰσχύνης ἀπὸ τῦ βήματος, νομίζων[7] δὲ ἐμαυτῷ πρέπειν τελευτὴν ἑκούσιον· οὕτω γὰρ ἂν εἴην δύο κερδάνας· ἐπὶ μὲν τῆς ἐκκλησίας, τοῖς ἐκεῖ δόξασι κοσμηθείς. ἐν δὲ τῷ βουλευτηρίῳ, λύων ἐμαυτῷ τὴν ἐπὶ τοῖς παρελθοῦσι λύπην. δεῖ γάρ με σώζεσθαι μὲν ὑπὸ τῆς πολέως πανταχοῦ,

[1] ἐκδιδοίης Bau.
[2] βιασώντι B.
[3] ἀφθόνυς] aut sic cum B. leg. aut πλείςυς. M. dat πλυσίυς.
[4] malim τὰ δόξοντα.
[5] malim ποιεῖν abesse.
[6] θεῖα B.
[7] νομίζον B.

ταχοῦ, αὐτὸν δὲ μὴ δύναϑαι ζῆν ἐν οὕτω πραττούσῃ τῇ πόλει. ἦν μὲν οὖν τύχης ἀμείνονος, πρινὴ[8] συμβῆναι τῇ πόλει δυχερές τι, κεῖϑαί με, μηδενὸς τῶν νῦν ἐπαιϑανόμενον ἀηδῶν. ἐπεὶ δὲ εἵμαρτό με πολύν τινα χρόνον εὐδαιμονήσαντα μεϑ᾽ ὑμῶν ἐπιδεῖν ἃ μή ποτε ὤφειλον, τὸν μὲν δῆμον ἐν ἀπορίᾳ τροφῆς, τὸν πλούσιον δὲ ἐν τῇ τῦ πάντα αἰτεῖν ἐξουσίᾳ· τοσοῦτον γοῦν ἐμαυτῷ χαριοῦμαι, τὸ μὴ μακρὰν ἐάσαι μοι γενέϑαι τὴν δυςυχίαν. καὶ οἶδα μὲν ὡς τὸ αὐτὸ τὴν μὲν ἀναιρεῖ συμφοράν· τὴν δὲ ποιεῖ. τὸ μὲν γὰρ μὴ καϑορᾷν τὸν λιμὸν, κακόν τι διαφυγόντος ἂν εἴη. τὸ δὲ μὴ καϑορᾷν τὸν δῆμον, μηδὲ τὴν προτέραν ἐκείνην πολιτεύεϑαι πολιτείαν, οὐδεμιᾶς ἐλάττω ζημία δημαγωγῷ. ἐκ οὖν ἐπεὶ[9] δυοῖν ἀϑυμίαιν ἐκ ἔνι ϑατέρᾳ μὴ πάντως[10] περιπεσεῖν, αἱρήσομαι τοὔλαττον κακόν. ἔςι γὰρ ἐμοὶ βαρύτερον τῦ μηκέϑ᾽ ἅπτεϑαι[11] τῶν κοινῶν, τὸ οὕτως ἐχόντων ὡς ἔχει προεςάναι. ϑαυμαςὸν μὲν οὖν οὐδὲν, ὦ βουλὴ, τὸ μηϑ᾽ ὑμᾶς ἀδακρυτὶ τοιούτων ἀκούειν λόγων, μήτε τοὺς πολλοὺς τουτουσὶ πένητας, οἳ δεῦρ᾽ ἥκασιν.[12] ἑτέραν μὲν ἀκούσεϑαι[13] προσδοκῶντες γνώμην[14] ἴσως τινὰ περὶ τῶν παρόντων δυχερῶν, ἑτέραν δὲ ἀκούοντες, δεήσεις[15] περὶ ϑανάτου. καὶ τῦ δεῖν ταύτην μοι τὴν ἡμέραν πέρας γενέϑαι τῦ βίου. τὸ γὰρ πολλοὺς μέν μοι συνειδέναι πόνους, πολλὰς δὲ φροντίδας, πολλοὺς[16] δὲ ἀγῶνας ὑπὲρ σωτηρίας τῶν ὅλων, τῦτ᾽, οἶμαι, ποιεῖ μὴ μετρίως φέρειν, εἰ γνώμης οὐ φαύλης ςερήσεϑε·[17] ἐμὲ δὲ καὶ δι᾽ αὐτὸ τῦτο δεῖ τελευτᾷν

[8] πρὶν ἢ B.

[9] ἐπειδὴ B.

[10] πάντα B.

[11] μὴ καϑάπτεϑαι B.

[12] f. ἥκεσιν.

[13] ἀκῦσαϑαι B.

[14] post γνώμην videtur adiectiuum aliquod deeſſe, e. c. εὔελπιν. niſi vtroque loco pro ἑτέραν legamus ἕτερα in neutro plur. id quod etiam malim.

[15] id eſt δεήσεις παρ᾽ ὑμῶν, ὥςε συγχωρεῖν ὑμᾶς ἐμοὶ τῦ ϑανάτε τὴν ἐξεσίαν.

[16] μυρίας B.

[17] ςερήσεϑε] ſic B. ςερήσεϑαι M.

τᾶν, ὅτι μηδὲ τῶν λόγων τῆς ἐμῆς ὑμεῖς ἀνέχεσθε τελευτῆς. πῶς γὰρ ἂν ὑμῶν τὴν εὔνοιαν ἀμειψαίμην ἱκανῶς,[18] εἰ μὴ θνήσκειν ἐπιθυμοίην, τῶν περὶ τὸν σῖτον χεῖρον ἐχόντων ὑμῖν. ἵνα δὲ μηδεὶς, ἐμοῦ τετελευτηκότος, τολμᾷ λέγειν, ὡς ἦν μὲν εὔνους τοῖς πράγμασιν ἀνὴρ ἐκεῖνος, περὶ ἐμοῦ δὴ λέγων, πικρὸς[19] δὲ ἄλλως καὶ φιλαπεχθήμων καὶ τοῖς πλουτοῦσι φθονῶν, καὶ τὰ οὐκ ὄντα διαβάλλων, ἐντεῦθεν ἄξιον ποιήσασθαι τὴν ἀρχήν. ἐμοὶ γὰρ ἦν, ὦ βουλὴ, πατὴρ καὶ πένης, καὶ δημοτικός· ἄγων δὲ μὲ ἐπὶ τὴν αὐτὴν ὁδὸν, ἔλεγε καὶ παρῄνει πολλάκις, μήτε γῆν, μήτε βοσκήματα, μήτε ναυκληρίαν, μὴ χρυσὸν, μὴ ἄργυρον, μὴ τὸν βασιλέως πλοῦτον μείζω ποτὲ νομίσαι τῆς ἀπὸ τοῦ τὸν δῆμον ἀγαπᾶν τε καὶ φιλεῖν εὐκλείας. τοῦτο δὲ ἔφασκεν ἔσεσθαι καλῶς,[20] εἰ τοῖς εὐποροῦσι καὶ τὴν[21] ἰσηγορίαν οὐ φέρουσι προσκρούειν ὑπὲρ τῶν κοινῶν ἐθέλοιμι[22] μᾶλλον, ἢ μετ' ἐκείνων κακουργεῖν τὴν πολιτείαν. γενόμενος δὴ[23] τοιαύτης κληρονόμος τάξεως, ἐπειρώμην μὴ χείρων τῆς παιδείας ἣν ἐπαιδεύθην φαίνεσθαι. καὶ τὰ μὲν ὄντα μοι τὰ μικρὰ, μένειν εἴων ἐν ᾧπερ ἦν. καὶ οὐδὲ πώποτε κατεμεμψάμην τὴν πενίαν. τῶν δὲ πλουσίων, τοὺς μὲν ἐν δημοκρατίᾳ δυναμένους πλουτεῖν, ἐπῄνουν· καὶ πολλοὺς ἂν αὐτῶν ἀριθμῆσαι δυναίμην ἐμαυτοῦ φίλους. τὸν δὲ ἄνθρωπον τοῦτον τὸν μόνον ἔχοντα σῖτον, αἰσθανόμενος κρείττονα εἶναι τῶν καθεστώτων βουλόμενον, ἠχθόμην ὁμολογῶ. καὶ νὴ Δία γε ἐφοβούμην μὴ τὸν δῆμον τοῦ κρατεῖν ἐκβαλὼν αὐτὸς ἡμῖν ἀντ' ἐκείνου γένηται·[24] καὶ διετέλουν παρατηρῶν, τί πράττει, τί μέλει, τί λέγει, τί γράφει. προσπέμπων τε αὐτῷ τῶν ἐπιτηδείων τινὰς,

18 ἱκανῶς B. καλῶς M.

19 πικρῶς B.

20 f. ἱκανῶς sic satis id mihi futurum esse, h. e. euenturum.

21 τὴν τῶν νόμων m. M.

22 προσκρούειν ὑπὲρ τῶν κοινῶν ἐθέλ.] sic B. προσκάειν ἐθελ. caeteris omissis M.

23 δὴ] sic B. δὲ M.

24 circa γένηται deesse videtur δεσπότης.

τινὰς, ἐκέλευον σωφρονεῖν. ὁ δὲ ἠγανάκτει καὶ μισθούμενος τοὺς κακῶς με ποιήσοντας, εἰσήγγελλε δι' ἐκείνων· ἐγράφετο· ἔκρινε. κἀγὼ μὲν ὑπό τε τῆς ἀληθείας καὶ τῶν νόμων ἐσωζόμην. τῷ δὲ ὁ μισθὸς ἀπώλλυτο. γνοὺς τοίνυν ὡς οὐδαμοῦ τοσούτους εὑρήσει συκοφάντας, ὅσοι δύναιντ' ἂν γενέσθαι τῶν πραγμάτων ἰσχυρότεροι, εἶδεν ὡς μία μόνη λείπεται πρὸς τοῦτο μηχανὴ, τῇ πόλει μὲν ἀκαιρίαν περιστῆσαι, τὸ δὲ πρὸς ταύτην δύνασθαι βοηθεῖν, αὐτοῦ ποιῆσαι, ἵν' ὁ δῆμος τῷ χρῄζειν τῆς ὠφελείας, ἀντιδῷ τι τῶν ἐκείνῳ δοκούντων. τί οὖν ποιεῖ; χρήματα πολλὰ ἔχων, συνεωνεῖτο σῖτον παρά τε τῶν ἐμπόρων, καὶ τῶν ἐν τῷ γεωργεῖν, ὅσον πλεῖστον. καὶ οὐκ ἦν ὡς εἰπεῖν οὐδὲ τὸ σμικρότατον ἑτέρῳ πρίασθαι. ἀλλ' οἱ τοῦ πλουσίου τούτου πανταχοῦ, ἐν τοῖς λιμέσιν, ἐν τοῖς ἀγροῖς, ἐν μέσῃ τῇ πόλει τρέχοντες, ἐπριῶντο[25] τὸ[26] φαινόμενον πᾶν, οὐδὲ μέδιμνον παριέντες.[27] ὡς δὲ ἦν αὐτῷ μεστὰ πυρῶν τὰ ταμεῖα, καί τι παρὰ[28] τῶν ὡρῶν ἀντέκρουσεν, ἐνταῦθα ἤδη διακαλύπτει τὸ σόφισμα, καὶ ἐφ' ὅτῳ πάντ' ἐκεῖνα ἔπραττεν, ὡμολόγει. συνειλεγμένων γὰρ ὑμῶν εἰς ἐκκλησίαν, καὶ περὶ τούτων σκοπουμένων, φθάσας οὐδέν πω τοὺς ῥήτορας ἡμᾶς προειμένους,[29] τί ζητεῖτε, φησι, τροφάς; ποῦ νῦν εἰσιν οἱ δημαγωγοὶ, καὶ κακῶς ἡμᾶς λέγοντες τοὺς πλουσίους. λυσάτωσαν τοῖς πολλοῖς λόγοις αὐτῶν τὴν συμφοράν. ἀθύμως δὲ ἡμῶν πρὸς τοῦτο διατεθέντων· ἀλλ' οὐδὲν δεῖ δεδιέναι, φησίν. ἐγὼ γὰρ ἐκεῖνος ὁ μισόδημος, σίτου τήμερον ἡμῖν[30] ἐμπλήσω τὴν ἀγοράν. ἐπὶ τούτοις ἐκρότουν ἐγὼ· καὶ βελτίω τὸν ἄνθρωπον ἡγούμην γεγονέναι, καὶ φιλότιμον

[25] f. ἐπρίαντο.

[26] πᾶν τὸ B.

[27] μεθιέντες m. M.

[28] malim καὶ τὰ παρά. B. dat καί τοι καὶ παρά.

[29] e lectione B. efficio hanc sententiam: τὰς οὐδεπώποτε ὑμᾶς, ὦ βουλὴ, προεμένους ῥήτορας. loco ad dicendum occupato, praeueniens et excludens nos oratores, qui numquam commisimus, vt vestra commoda, senatores, proderemus —

[30] ὑμῖν B. et m. M.

μον αὐτὸν ἔμελλον καὶ μεγαλόψυχον προσερεῖν. εἰ γὰρ καὶ τιμωρίας ἦν ἄξιος τῷ τὸν λιμὸν εἰσαγαγεῖν· ἀλλ᾽ ὅμως ᾤμην δεῖν τὴν ἐπ᾽ ἐκείνοις αἰτίαν ἀφιέναι, τουτοισὶ τοῖς ὕστερον. ὁ δὲ ἦν ὁ αὐτὸς ἢ καὶ χαλεπώτερος. ἡγουμένων γὰρ ἡμῶν ἐπίδοσιν εἶναι τὸ πρᾶγμα, καὶ ψυχῆς ἐπισταμένης εὖ ποιεῖν τὴν ἑαυτοῦ, τιμῆς εὐθὺς, ὥσπερ τις κάπηλος ἐμέμνητο πρὸς ἡμᾶς· ὡς μὲν αὐτὸς ᾤετο, μικρᾶς, σώματος ἑνὸς τῶν πολιτῶν· ὡς δὲ ὑμεῖς ἐδείξατε, μεγάλης. οὔκουν ἠνέχεσθε· ἀλλὰ καὶ αὐτοὶ πεινῆν, καὶ γυναῖκας καὶ παῖδας ὁρᾶν, καὶ πάνθ᾽ ὅσα πέφυκε λιμὸς ποιεῖν, φέρειν ᾑρεῖσθε μᾶλλον, ἢ δοῦναι ἐχθρὸν ἐχθρῷ ποιεῖν[31] ὅ, τι βούλοιτο. ἆρ᾽ ὑμῖν, ὦ βουλὴ, πονηρὸς ἐγὼ καὶ ἄδικος ἄνθρωπος εἰς τοῦτον γεγονέναι δοκῶ· ἢ πονηρὸν καὶ ἄδικον εἰς τὴν πόλιν ἄνθρωπον οὐκ ἐῶν, ὧν ἤθελε τυγχάνειν, παρωξυγκέναι; ἀλλ᾽ οὐ τοῦ λοιποῦ ταῦτα· οὐδὲ ἐξαιτήσει με παρ᾽ ὑμῶν ὁ πλούσιος οὗτος, πλὴν τὸν[32] ἐμὸν νεκρόν· καί τινες[33] ἐναντιοῦνται· καὶ προσιόντες ἐρωτῶσι, τί τὸ καταναγκάζον ἀποθανεῖν. ᾔδειν ὡς οὐκ ἄνευ πραγμάτων ἀποθανοῦμαι, τῶν κοινωνῶν μοι τῆς πολιτείας μαχουμένων· οἷς συγγινώσκω μὲν ἀλγοῦσιν, εἰ τὸν αὐτῶν ἑταῖρον ὄψονται πίνοντα τοῦ κωνείου. παραινέσαιμι δ᾽ ἂν ἐπιτρέψαι μοι χρῆσθαι[34] τοῖς παρὰ τοῦ νόμου, ὅστις φησὶ τὸν οὐκ ἐθέλοντα ζῆν, πρὸς τὴν βουλὴν τοῦτο εἰπόντα, τυχόντα τῆς χάριτος, ἀπελθεῖν, πρότερον[35] πείσας ἐμαυτὸν, ὡς οὐκ εἴη μοι βιωτέον. ἀλλὰ δεῖ με καὶ τὰς αἰτίας λαμπρᾷ τῇ φωνῇ πρὸς ἅπαντας διελθεῖν; ἐγὼ δὲ καὶ τοῦτο ποιήσω. δυστυχοῦσαν[36] ὁρῶ τὴν πόλιν· τοῦτό με πρῶτον ἀνιᾷ· λύπης δὲ μέγιστον ὁ θάνατος φάρμακον. ἤδη τις ἐρωμένου[37] μὴ φέρων ὑπερ-

31 ἐχθρὸν ἐχθρῷ ποιεῖν] sic B. ἐχθρῷ deest M.

32 πλὴν εἰ τὸν B.

33 καί τινες] malim καί τοι τινες.

34 χρήσασθαι B.

35 τὸν νόμον B.

36 δυστυχεῖναι B.

37 ἐρωμένου] sic B. ἐρομένου M.

ὑπεροψίαν, οὐκ ἠξίωσε[38] ζῆν. ἤδη τις γεωργὸς, ἀφθέντος αὐτῷ τοῦ ληΐου.[39] ἤδη τις στρατηγὸς, νίκης ἁμαρτὼν ὑπὸ τύχης ἀδίκου· ἄλλος παῖδας ἀποβαλών· ἕτερος τὴν οὐσίαν. τὸν δὲ καὶ νόσος ἀνίατος ἐπὶ τοῦτο ἤγαγεν. ἄγει τοίνυν καὶ ἐμὲ πρὸς τὸν θάνατον ἡ τοῦ σίτου σπάνις. εἰ γὰρ καὶ κοινὸν τοῦτο πόλεων, καὶ ἄλλοτ᾽ ἄλλως ἐπιὸν, καὶ οὐ τοῦτό γε μόνον, ἀλλὰ καὶ λοιμοὶ, καὶ σεισμοὶ, καὶ θαλάττης ἐπικλύσεις, καὶ τούτων ἔτι πλείω προσβάλλειν ἀνθρώποις εἴωθεν. ἀλλ᾽ ὑμᾶς γοῦν ἐβουλόμην ἴσον θεοῖς εὐτυχεῖν. ὑμεῖς γὰρ ἐμοὶ πάντα, παῖδες, περιουσία, ψυχή· τί οὖν φημί; βραδέως ἐπὶ τὸν θάνατον ἥκω· βραδέως ἀνεμνήσθην τοῦ φαρμάκου. οὐ γὰρ ἐχρῆν εὐθὺς ἐπιτιμωμένου τοῦ σίτου; ταῦτ᾽ ἂν ἔπρεπε τῷ μῷ περὶ ὑμᾶς[40] ἔρωτι· ἐγὼ δὲ ὁ μελλητὴς, ἀνέμεινα τὴν τοῦ πλουσίου μέθην. ἐμέθυε γὰρ, ἐμέθυεν ἐν τοῖς ἡμετέροις κακοῖς, ἐπ᾽ ἐκκλησίας μέσης· καὶ ὥσπερ οὐκ ἐπὶ τοῦ βήματος ἑστηκὼς, ἀλλ᾽ ἐν ἀκροπόλει καθήμενος, οὕτως ἐπὶ τὸν ἐχθρὸν μετὰ τοῦ ξίφους ᾔει. καὶ τὸ ἐμοὶ τοῦδε βαρύτερον, μόνος σίτου τοσούτου δεσπότης ἠδυνήθη γενέσθαι· ἤκουσα φωνῆς, ἣν οὐδ᾽ ἂν τῶν μάντεων προλεγόντων ἤλπισα· πωλῶ τροφὰς ὑμῖν τῆς τοῦ πένητος σφαγῆς·[41] ὁ μὲν θνησκέτω· ὑμεῖς δὲ ἐσθίετε. ναί φησι, ᾔτησε μὲν· λαβεῖν δὲ οὐκ ἠδυνήθη. καὶ πῶς οὐκ ἄλογον ἀθυμεῖν ὑπὸ τοῦ δήμου φρουρούμενον; ἐγὼ δὲ τὸν μὲν δῆμον, ὅπερ ἀρχόμενος εἶπον τοῦ λόγου, πάσης ἄξιον εὐφημίας ἡγοῦμαι. τὴν δ᾽ ἀπὸ τοῦ τὸν ἐχθρὸν τολμῆσαι ταῦτ᾽ ἐν ὑμῖν εἰπεῖν ἀθυμίαν, οὐδὲν ἂν μου τῆς ψυχῆς ἐξέλοι. τοῖς μὲν γὰρ ἄλλοις δεινότατον εἶναι δοκεῖ, πληγὰς ὑπὸ τῶν δυσμενῶν λαβεῖν, καὶ εἰς τὸ σῶμα ὑβρισθῆναι· ἐμοὶ δὲ ἀφόρητον, εἰ προπηλακίζοιτο νόμος, ὥσπερ αὖ μέγιστον[42] εἰς εὐφροσύνην,

38 οὐκέτ᾽ ἠξίωσε B.

39 ἡλίου B.

40 ὑμᾶς] sic B. ἡμᾶς M. sed et loco περὶ legi malim πρός.

41 σφαγῆς] sic B. φαγῆς M.

42 ὥσπερ αὖ μέγιστον] sic B. scil. ἐμοί ἐστι, vt rursus vel e contraria parte maximae mihi cedit hilaritati, h. e. sum-

σύνην,[43] ἰσχὺν ἔχειν τοὺς νόμους. οὐχ εἷς προπεπηλάκισαι· ἀλλ' ἅπας θεσμὸς ὕβρισαι· μᾶλλον δὲ ὅλον τὸ σχῆμα τῆς πολιτείας[44] τετάρακται· οὐ γὰρ ὅτι μὴ δεδώκατε τὸν φόνον, οὐδὲν τούτῳ[45] κατὰ τῶν νόμων[46] τετόλμηται· ἀλλ' αὐτὸ δὴ τὸ μὴ δεδόσθαι, τοῦ ταῦτα ἃ μὴ προσῆκεν ᾐτῆσθαι,[47] μαρτύριον γίγνεται. ὑφ' ὑμῶν μὲν οὖν οἱ νόμοι τετήρηνται· ὑπὸ τούτου δὲ κεκίνηνται. λόγους εἰσήνεγκεν εἰς ἐκκλησίαν ἀκροπόλει πρέποντας· λόγους εἰς δῆμον κρατοῦντα,[48] κεκρατημένῳ προσήκοντας[49] ἀκούειν. καὶ γέγονεν ἐφυβριστότερος τῶν ὄντων ἐν τυραννίσιν[50] ὁ πλούσιος, ἐκεῖνοι μέν γε καταδουλωσάμενοι τοὺς δήμους, αὐτοῖς διδόασιν ἅττ' ἂν ἐθέλωσιν· οὗτος δὲ παρ' ὑμῶν, οὔπω τῆς ἀρχῆς ἐκβεβλημένων, ἐπήγγελλε ταῦτα, ἃ τύραννος μόνῳ τυράννῳ[51] χαρίζεται· οὐδὲν ἕτερον ἢ δεῖξαι βουλόμενος,[52] ὡς τῷ δήμῳ κατ' αὐτοῦ[53] δορυφόρῳ χρήσεται. καὶ οὐκ ἐξισώσει[54] τὸ βῆμα

summam mihi creat hilaritatem, leges obtinere. αὖ deest M.

[43] σωφροσύνην B.

[44] πόλεως B.

[45] τούτῳ] sic B. recte, neque enim affirmare licet, in leges ab hoc homine peccatum nihil esse. τοῦτο M.

[46] τὸν νόμον B.

[47] αἰτῆσθαι B.

[48] κρατοῦντα] sic B. recte. possit εἰς δῆμον accipi pro ἐν δήμῳ. solebat εἰς acta Libanii sic vsurpari. malim tamen legi πρὸς δῆμον κρ. Mor. dat κρατοῦντας.

[49] προσήκοντας] sic B. recte, nam redit ad λόγους. M. dat. προσήκοντα.

[50] τῶν ὄντων ἐν τυραννίσιν] id est τῶν τυραννησάντων.

[51] τυράννῳ] id est ἑαυτῷ.

[52] βουλόμενος] non redit hoc ad proximum τύραννος, sed ad remotius ὁ πλούσιος, ad quem ἐπήγγελλε redit.

[53] κατ' αὐτοῦ] scil. τοῦ δήμου sensurum esse opera plebis, veluti satellitis cuiusdam, adversus ipsam plebem, vt pars vna plebis partem alteram destruat.

[54] οὐκ ἐξισώσει] sic B. recte. neque se commissurum, vt eodem penes se loco sit suggestus oratorius atque loca vrbis editiora, seu arces et castella, h. e. se non passurum, vt arces, a se occupatae et militaribus praesidiis infessae, non plus valeant, quam suggestus. aut aliis verbis, vt ipse, arce fretus, nihilo plus

βῆμα μὲν τοῖς μετεώροις, τὴν δημηγορίαν[55] δὲ τοῖς ἐπιτάγμασιν. οὐκ ἔλαβε, λέγεις, ἀλλ' ἐζήτησεν. ἐν δὲ τῷ ζητεῖν, παρέβαινε τοὺς νόμους. μηδεὶς γὰρ ἃ γενέσθαι δεινὸν ἐν δημοκρατίᾳ, μηδὲ λεγέσθω. τῶν γὰρ δὴ φοβερῶν ἔργων, μισεῖσθαι δεῖ καὶ τὰ ῥήματα. ὃ δ' οὐδὲ χάριν οἶδεν ἔτι ζῶν,[56] ἀλλ' ἠδικῆσθαί[57] φησιν, οὐ λαβών. καί τοι τὸ μὲν σῶμα, οὐκ ἔλαβεν· ἕτερον δὲ οὐκ ἔλαττον, εἰ μὴ καὶ μεῖζον τοῦ σώματος ἔλαβε. τί τοῦτο; συνείθισε τὸν δῆμον τοιούτων ἀκροᾶσθαι λόγων· καὶ αὐτός τε αὐτῷ, καὶ ἑτέροις οὐκ ὀλίγοις τοῖς τὰ αὐτὰ ζηλοῦν[58] ἐθέλουσιν, εὐρεῖαν ἀνέῳξεν[59] ὁδόν. ἐχθρὸς δὲ οὐχ' οὗτος ἐμοὶ μόνον, ἀλλὰ καὶ ἄλλοι πολλοὶ πολλοῖς. οἳ οὐκ ἂν ἀδήλως[60] τοιούτους ποιήσαιντο περὶ τῶν διαφόρων αὐτοῖς ἐν ἐκκλησίᾳ λόγους. τούτων δὲ εἰς ἔθος καταστάντων, ἴσως πού τι καὶ πεπράξεται. ἀλλ' οὐδέποτε τοῦτ' ἔσται. μηδὲ γὰρ γένοιτο, ὦ Ζεῦ. ἀλλὰ κἂν τὸ ἔργον ἀπῇ, ψιλός γε ὁ λόγος, πονηρόν. οὐ γὰρ εἰλικρινοῦς ταῦτα δημοκρατίας. ἐγὼ δὲ ζῆν ἐν τοιαύτῃ δύναμαι μόνῃ·[61] μεταποιουμένης δὲ αὐτῆς καὶ τῶν νόμων,[62] οὐκέτι. τοῦ καιροῦ ταῦτα, νὴ Δία. τοῦ αὐτοῦ τοίνυν ἔστω καιροῦ καὶ τὸ ἐμὲ τεθνάναι. εἰ γὰρ ὁ λιμὸς μὴ λιμός ἐστι μόνον, ἀλλ' ἔχει τι καὶ τυραννίδος, αὐτὸς ὁ καιρός μου καταψηφίζεται θάνατον. ἢ βούλεσθε[63] πάλιν ἐφ' ἑτέρας

plus in rep. poſſit, quam orator, e ſuggeſtu concionans; aut vt minus efficacia ſint imperia ſua, h. e. exactiones imperioſae cum minis coniunctae, quam ſuaſiones oratoris concionantis. οὐκ deeſt Mor.

55 δημικογίαν B.

56 ζῶν] ſic B. non ſatis habet, neque gratias vobis habet, quod ſe adhuc in viuis ſupereſſe patiamini; qui tam tyrannica flagitatione ſupplicium extremum eſſet meritus: neque ictus conſcientia tantae inſolentiae atque importunitatis, conquieſcit nunc, ſed queritur de iniuria, ſibi in eo facta, quod poſtulatis haud eſſet potitus. ζητῶν Mor.

57 ἠδικῆσθαι] ſic B. ἠδικεῖσθαι M.

58 ζηλοῦν] ſic B. ζητοῦν M.

59 ἀνέῳξεν] aut ſic cum B. pro ἂν ἔδειξεν M. leg. aut ἂν prorſus delendum eſt.

60 ἀδήλως] ſic B. εὐδήλως M.

61 μόνῃ] πόλει B.

62 τοῦ νόμου B.

63 βούλεσθαι B.

ρας ἀκαιρίας (ἄδηλον δὲ οἶμαι[64] τὸ μέλλον, καὶ πάντα χρὴ προσδοκᾷν ἄνθρωπον·) λόγους τοῖς νῦν ὁμοίους ἀκοῦσαι παρὰ τοῦ πλουσίου; οἷον, εἰ πολεμίων ἐπιόντων, ὑμεῖς[65] μὲν οἴεσθε χρημάτων πρὸς ὑμᾶς μεμνῆσθαι· τὸν πένητα δὲ οὗτος αἰτήσει. τί δέ; ὅπλων δεομένοις οὐ[66] τὰ μὲν δώσει, τὸν πένητα δὲ αἰτήσει. κοῦφον οὖν ὑμῖν πρὸς Διὸς, πολλὰ τοιαῦτα ἀκούειν; ἐμοὶ δὲ καλὸν τὸ παρὰ ἀνδρὸς δυνατοῦ δι' ἐμὲ πολεμεῖσθαι τὴν πόλιν ἀφορήτως; ὧν ὑμῖν τε, καὶ ἐμοὶ ἀπαλλαγὴν οἴσει* τὸ κώνειον. ἀλλὰ ζημία, φησὶ, τῇ πόλει, χρήσιμον ἄνδρα ἀποθανεῖν. κἀνταῦθα μεμνήσονται[67] λόγων, καὶ πρεσβειῶν, καὶ ψηφισμάτων ἐμῶν. ἐγὼ δὲ ἄχρηστος μὲν ὑμῖν οὐκ ἂν φαίην γεγονέναι· ψεύσομαι γάρ· καὶ ἐμὲ ἐξελέγξουσι πολλοὶ μὲν νόμοι, πολλαὶ δὲ γνῶμαι, πολλαὶ δὲ πρεσβεῖαι· ὧν οὐδεμία τὴν ἐμὴν ἐπηνώρθωσε[68] πενίαν. καί τοι γε βουλομένῳ ῥᾴδιον ἦν, ἀλλ' εἰ καὶ τἆλλα μοι πάντα φιλοπόνως ὑπὲρ ὑμῶν πέπρακται καὶ παρὰ τοῖς ἄλλοις Ἕλλησι καὶ τῇ πόλει, καὶ μελλούσας[69] ἔτι, καὶ συνισταμένας τὰς τούτου κακοτεχνίας, καὶ κατεῖδον, καὶ διεκώ-

λυσα

64 οἶμαι] sic B. εἶναι M.

65 ὑμεῖς δὲ οἴεσθε χρημάτων μὲν πρὸς ὑ. μ. τ. π. δὲ αἰτήσειν Bau. e lectione B. conficio hanc vtcumque tolerabilem. οἱονεὶ, [vno vocabulo, e. c.] πολ. ἐπ. ὑμᾶς μὲν [scil. βούλεσθε, quod e praemissis tacite repetendum est] δεῖσθαι χρημάτων, τοῦτον δὲ χρημάτων μὲν πρὸς ὑμᾶς μεμνῆσθαι, τὸν πεν. δὲ αἰτήσειν. vultisne, hostibus e. c. vestros fines inuadentibus, vos eo necessitatis redigi, vt hic, videns, vos aeris egere, recipiat quidem aes praestandum, contra autem, in compensationem velut, hominem egenum sibi dedi postulet, vobis aequo animo ferentibus?

66 οὐ] malim ἆρ' οὖν.

* τίσει B.

67 μεμνήσονται] scil. meus aduersarius, qui me abducere a petitione mortis laborabit, ejusque reliqui aduocati,

68 ἐπηνώρθωσε] sic B, recte. nam in hoc verbo geminum augmentum vsurpatur. ἐπηνόρθωσε M.

69 post μελλούσας deleui γε, quod abest a B. constructio haec est: καὶ κατεῖδον καὶ διεκώλυσα πολλάκις, καὶ παρὰ τοῖς ἄλλοις Ἕλλησι, καὶ ἐν αὐτῇ τῇ πόλει, τὰς τούτου κακοτεχνίας,

λυσα πολλάκις· ἀλλ᾽ ἐξεῦρέ[70] τι τοιοῦτον, πρὸς ὃ μόνον οὐκ ἐνῆν μάχεσθαι.[71] τί γὰρ ἄν τις καὶ λέγων ἐπεῖχεν ἄνθρωπον ἀγορᾶς νόμῳ σῖτον ὠνούμενον; τί οὖν δεῖ ζῆν τὸν εἰωθότα κρατεῖν, νενικημένον; ἔτι τοίνυν, ὦ βουλὴ, τοὺς οὐκ ἐκδεδωκότας μὲν ἐμὲ, τὴν σιτοδείαν δὲ ὁρῶντας, οὐ ῥᾴδιον μὴ οὐ καὶ φθέγξασθαί[72] τι τοιοῦτον, ὁποῖον εἰκὸς τοὺς ἀποροῦντας τροφῆς, δι᾽ ἕνα ἄνθρωπον ἀπολλύμεθα, δι᾽ ἕνα πένητα[73] φθειρόμεθα. καὶ γὰρ εἰ[74] λίαν ἐστὲ γενναῖοι καὶ καλοὶ καὶ ἀγαθοὶ, καὶ τιμᾶτε τοὺς νόμους, ἀλλ᾽ αἱ συμφοραὶ[75] καὶ τὸν ἄγαν σώφρονα πολλάκις ἐξήγαγον ἀφεῖναί τι ῥῆμα τῶν αὐτοῦ τρόπων ἀνάξιον. δεινὸν ἐμοῦ παριόντος[76] ἕτερον ἑτέρῳ δεικνύντα λέγειν, οὗτός ἐστι, δι᾽ ὃν ὁ λιμὸς οὐ πέπαυται· γέγονε μὲν γὰρ ὑπ᾽ ἄλλου. μένει δὲ διὰ τοῦτον. ὁ δὲ τρώσας ἐκεῖνος, ἕτοιμος ἦν ἰάσασθαι. τίνα ταῦτα οὐχ ὑπερβάλλει θάνατον; ἀλλ᾽ οὐδεὶς οὐδὲν ἐρεῖ τοιοῦτον, οὐ παῖς, οὐκ ἀνὴρ, οὐ γύναιον, οὐ γέρων; ἴσως. ἀλλ᾽ ἔστιν, ὦ βουλὴ, καὶ σιωπῶντα στένειν. αἴτιον οὖν ἐμὲ δεῖ τοῦ στένειν εἶναί τισι, τὸν αἴτιον τῶν μεγίστων ἀγαθῶν ἐν τοῖς ἔμπροσθεν χρόνοις; σβεσθήτω τοίνυν τὸ παρὸν κακὸν ἑνὸς πολίτου θανάτῳ. τί δέ; ζῶν, φησιν, οὐκ ἂν δύναιο[77] λύσιν εὑρεῖν; οὐκ οἶδα καὶ παρ᾽ ἄλλοις ἐν ὁμοίοις καιροῖς ὑπ᾽ ἀνδρῶν ῥητόρων ἐπικουρίας εὑρημένας; οἶδα, ὡς οἱ μὲν πολιτείαν[78] ἐμπόροις ἐπαγγειλάμενοι, καί τινας ἑτέρας δωρεὰς, παρ᾽ αὐτοὺς καταπλεῖν ἔπεισαν. εἰ δὲ πρεσβευσάμενοι παρὰ τοὺς

ας, καὶ μεθελκύσας ἔτι, καὶ ἤδη συνεσταμένας.

[70] post ἐξεῦρε collocari possit γε, si eo nullo modo careri queat.

[71] μάχεσθαι] sic B. μαχέσασθαι M.

[72] μὴ οὐ καὶ φθέγξ.] sic B. facile non est, homines, alimentis carentes, ab huiusmodi voculis abstinere.

[73] πένητα] per contemtum dictum, hominem nauci, nullius faciendum, nullo in loco habendum.

[74] καὶ γὰρ εἰ] sic B. εἰ γὰρ M.

[75] post συμφοραὶ addi velim γε.

[76] δεινὸν ἦν ἐμοῦ παρόντος B.

[77] δύναιον et οἶδαι B.

[78] πολιτείαν] ius ciuitatis.

τοὺς ἄμεινον πράττοντας, ἔχον ὑπακούοντας· εἰδότας ὡς τὰ τοιαῦτα ἄλλοτε ἐπ' ἄλλους ἔρχεται, νοῦν[79] ἐχόντων ἐςὶ δοῦναι χάριν, ἣν ἐςιν ἐν ἴσοις κακοῖς κομίσασθαι. εἰσὶ δὲ, οἳ καὶ τὰς τῶν πλουσίων οἰκίας διερευνησάμενοι, τὸ κοινὸν ἐκεῖθεν διέσωσαν, διδάσκοντες αὐτοὺς, μὴ χαλεπαίνειν, εἰ λήψεταί τις ἀκόντων, ἃ βελτίους ἂν ἦσαν ἑκόντες διανείμαντες. τούτων οὐδὲν ἀγνοῶ τῶν φαρμάκων. ἀλλὰ καὶ λέγειν ἂν ἔχοιμι πόλεις ὀνομαςὰς οὕτω σεσωσμένας. ἀλλ' ὁρῶ τὰ μὲν ἄλλα, ἡμερῶν τινων χρήζοντα· τὸ δὲ τελευταῖον, ἕτοιμον μέν· καὶ πολλαχοῦ δὴ καὶ αὐτὸ πεπραγμένον, ἔχον δέ τινα ὄκνον ἐμοί· τί γάρ με βούλει παρελθόντα εἰπεῖν, ἴωμεν ἐπὶ τὰς οἰκίας τῶν πλουσίων; ἐξάγωμεν εἰς[80] μέσον τοὺς πυρούς; μᾶλλον δὲ τὰς μὲν τῶν ἄλλων ἐῶμεν· τὸν δὲ ὁμολογοῦντα κεκτῆσθαι πλείους τῆς ἡμετέρας χρείας, ποιῶμεν σωτῆρα τῆς πόλεως; ἀλλ' οὔτε ἄλλοτε πώποτε οὐδ' ὁτιοῦν[81] ἐπὶ τούτῳ γράφων ἐφάνην, νῦν τε ἐκ ἂν φανείην. μὴ γάρ εἴποι τις ὡς ἐγώ ποτε δι' ἔχθραν ἢ λόγον τινὰ εἶπον, ἢ ψήφισμα ἔγραψα. καλείτω μηδὲν ὑποςελλόμενος, οὓς ἂν ἐθέλῃ τῶν πολιτῶν· ἐμοὶ δὲ φυλακτέον τὴν τάξιν τὴν ἐμαυτῦ· ὥστ' ἐπὶ θανάτου τὰ τῦ ψηφίσματος[82] γένοιτ' ἄν. ἐκεῖνο[83] μὲν γὰρ ἂν ὑμᾶς ἦγεν ἐπὶ τὸν σῖτον· τῦτο δὲ,[84] τῦτον ὑμῖν ἐκκομίσαι τὸν σῖτον. ἀναπείσει[85] γὰρ ἂν, εἴπερ ἔλαβεν ὃν ᾔτησεν· θεάσεται γὰρ

[79] νῦν] νῦν B. malim καὶ νῦν.

[80] post εἰς add. M. τὸ, sed hoc verbnm recte abest a B.

[81] post ὁτιοῦν videtur τοιοῦτον deesse.

[82] τὰ τῦ ψηφίσματος] sic recte B. sed illa ὥστ' ἐπὶ θανάτῳ corrupta relinquit idem. num fort. leg. ὥςε παρὰ τῦ θανάτῳ vel ὥστε παρὰ τῦ ἐμῦ θανάτῳ. quo fiet, vt per mortem idem consequamini, ac si ego plebiscitum scripsissem, de effringendis huius diuitis horreis, indeque extrahendis et diripiendis copiis granariis. τὰ ψηφίσματα M.

[83] ἐκεῖνο] scil. ψήφισμά τι. τοιῦτον ὑπ' ἐμῦ γεγραμμένον.

[84] τῦτο δὲ] scil. τὸ ἐμὲ ἀποθανεῖν τὸ κώνειον.

[85] ἀναπείσει] sic B. f. ἐκκομίσαι τὸν σῖτον ἀναπείσει, τί γὰρ ἐκ ἄν; et vt vltro grana sua efferat, cum permouebit; ecquid

γὰρ τεθνεῶτα[86] τὸν ἐχθρὸν τὸν ἑαυτοῦ· καὶ τί ἂν ζητοίη πλέον; ἀλλ', ὦ βέλτιστε, καὶ στήσας[87] ἀπ' ἐμοῦ[88] τρόπαιον, ἀναστὰς ἐνταῦθά μοι πάντων ἀκουόντων, ὁμολόγησον[89] ἦ μὴν[90], ἐμοῦ πιόντος τὸ κώνειον, εὐθὺς οἴσειν τὰς τροφάς. δέδοικα γὰρ, ὦ βουλὴ, δέδοικα, μὴ ἐμοῦ κειμένου ζυγομαχῇ[91] πρὸς ὑμᾶς οὗτος ὡς οὐδὲν ὀφείλων τῇ πόλει· οὐ γὰρ αἰτήσας τυχεῖν. ἀλλὰ, μὴ πρὸς θεῶν, ὦ πλούσιε, μὴ ζητήσῃς[92] διαδύσεις, μηδὲ ἐκτείνῃς τὸ[93] κακόν· πρῶτον μὲν ἐνθυμούμενος, ὡς εἰ καὶ σφόδρα τὸν δῆμον ἐμίσεις, ἱκανήν σοι δέδωκεν δίκην.[94] ἔπειτα, ὁπόσον ἐξουσίας[95] σοι, τὸ μηκέτι τῆς ἐμῆς ἀκούειν φωνῆς τὴν πόλιν. ἐρεῖς ὅ, τι ἐθέλεις. γράψεις ὅ, τι βούλει. θήσεις νόμους ἀρέσκοντας. τῶν νῦν ἐμὲ, καὶ τὰ ἐμὰ μιμουμένων, ἐρημίαν θεάσῃ πολλήν. μεγάλους ὄψει τοὺς σαυτοῦ κόλακας, τοὺς δὲ πένητας μικροὺς, καὶ τοὺς μὲν ἀγορεύοντας, τοὺς δὲ ἐγκεκαλυμμένους. ἆρ' οὐκ ἂν, εἰ καὶ σὸς ἦν πᾶς ὁ πανταχοῦ καὶ παρὰ πᾶσι σῖτος. ἐλείπετ' ἂν τῶν τοσούτων ἀγαθῶν; εἰ γάρ τις ὑπισχνεῖτό σοι δείξειν ἐμὲ τοιαῦτα αἰτοῦντα ἐν τῷ βουλευτηρίῳ, οὐκ ἂν[96] ἡδέως ἐπὶ τούτοις καὶ πάσης ἀπέστης τοῦ

δήμου

ecquid enim non permoueat? εἰ παρέλαβεν ὃν ᾔτησεν. vbi traditum sibi nactus fuerit eum, quem postulasset? ἀναπηδήσει M.

86 ἑώρα τεθνεῶτα B.

87 ἐπ' ἐμοῦ B.

88 στήσας hic loci non est nominatiuus, sed vocatiuus.

89 ὁμολόγησον] sic B. *recipe, promitte.* ὁμολόγησαν M.

90 ἦ μὴν] sic dedi. *profecto.* ἦ μὴν — οἴσειν. te sine vllo dubio — esse prolaturum. ἡμῖν M.

91 ζυγομαχῇ] sic B. ζυγομαχῆ M.

92 ζητήσεις B.

93 εἰς τὸ B.

94 δέδωκε δίκην] odium tuum in eo satis expleuisti, quod famen tolerauit eam, quam tua cupiditas ipsi consciuisset, et tu id inulto tulisti.

95 ὁπόσον ἐξουσίας] id est ὁπόσην ἐξουσίαν. Sed tum videtur οἴσει deesse; deinde vide, quantam libertatem allaturum tibi hoc sit, quod negatum erit ciuitati vocem meam concionantis audire.

96 οὐκ ἂν] sic B. οὐχ ἂν M.

δήμῳ τῆς οὐσίας; μὴ τοίνυν ζητήσῃς ὅπως τούτους ἀποστερήσεις[97] τῆς ἀμοιβῆς· μηδ' αὖ δύο, ἢ τρεῖς ἡμέρας μεταδοὺς τῶν ὄντων, εἶτ' αὖθις εἰς τὰ αὐτὰ φέρων ἐμβάλλῃς τὴν πόλιν· ἀλλ' ἕως ἂν ὑπάρξῃ θερίζειν, τρέφε, λογιζόμενος πρὸς αὐτὸν, ὅτι εἰ καὶ σῖφος ἐστὶ σοι μέγα, τὸ μὲν κολάκων, τὸ δ' οἰκετῶν,[98] οὔπω ταῦτα δυνατώτερα δήμου πεινῶντος. ὦ δικαίως ἂν εἰδείης χάριν, ὅτι καὶ πόδας, καὶ χεῖρας ἔχοντες, κάθηνται[99] ἀκροώμενοι λόγων.[100] ταῦτ' εἰ καὶ δυσμενὴς ἄνθρωπος, ἀλλὰ πολλῷ σοι λυσιτελέστερα παραινεῖ τῶν παρὰ τῶν συμποτῶν εἰωθότων[1] λέγεσθαι. δέχου δὲ[2] καὶ συμβουλὴν ἑτέραν, οὐδὲν ταύτης ἀτιμοτέραν. ἡ τυραννὶς, ὦ πλούσιε, πρὶν μὲν κτηθῆναι, μέγιστον εἶναι δοκεῖ τοῖς ἐπιθυμοῦσιν ἀγαθόν· κτηθεῖσα δὲ, πικρὸν εὐθὺς τῷ κατειργασμένῳ δείκνυται. ὧν γὰρ ἂν αὐτὸς ἑτέρους δράσῃ κακῶς, φοβεῖται μὴ πάθῃ πολλῷ χαλεπώτερα· τὸν φόβον δὲ αὐτὸς ὁμολογεῖ, τῇ παρὰ τῶν δορυφορούντων φρουρᾷ. οἱ δὲ οὐ τὸν παρ' ἑτέρων παύουσι μᾶλλον φόβον, ἢ παρέχουσι τὸν παρ' αὐτῶν· ὁ γὰρ ἵνα μή τις ἐπελθὼν[3] ἀποκτείνῃ μισθωθεὶς, αὐτὸς ἀντ' ἐκείνων[4] τῷ μισθωσαμένῳ γεγένηται[5] πολλάκις. τίς οὖν ἡ τέρψις, τρέμοντα ζῆν; πλούσιος δὲ ἐν δημοκρατίᾳ μόνῃ δύναιτ' ἂν εὐδαιμονεῖν· οὐδεὶς γὰρ αὐτὸν ἀφαιρεῖται τὸ τρυφᾶν. μὴ τοίνυν ἀντ' ἀσφαλείας ἐπιθύμει κινδύνων· μήτ' ἀγανάκτει πολιτευομένων πενήτων. πολλοῖς γὰρ αἱ γνῶμαι τῆς τύχης βελτίονες. ἀνέχου τοίνυν καὶ παρευδοκιμούμενος· καὶ μὴ διὰ[6] τὴν πρὸς τὸν δεῖνα φιλονεικίαν, λιμοὺς ἐργάζου, καὶ τηλικαῦτα κακά· μηδέ γ' ἐπιτρέψῃς τῷ θυμῷ τοιαῦτα αἰτῆσαι

97 ἀποστερήσῃς B.

98 δ' οἰκ.] sic B. δι' οἰκ. M.

99 κάθηνται] neque currunt ad expilanda et diripienda tua granaria.

100 λόγων] sic B. λόγον M.

1 τῶν συμποτῶν εἰωθ.] sic B. συμποτῶν deest M.

2 δὲ] sic B. δὴ M.

3 ἐπελθὼν] sic B. ἀπελθὼν M.

4 ἐκείνῳ est in B. vnde ἐκείνων efficiam, scil. τοῦ ἐπελθόντος ἂν τῷ τυράννῳ μετὰ ξίφους ἐπὶ φόνῳ.

5 γένηται B.

6 μὴ διὰ] sic B. νὴ διὰ M.

σαι πάλιν. δεινὸν γὰρ ἐπισπάσασθαι τὸν ἐκ λίθων θάνατον, δημηγορίαν πονηράν[7] ἐγὼ μὲν οὖν ἄπειμι, κάλλιστον ἔχων ἐντάφιον, τὸ προκεκρίσθαι τῆς ἐν λιμῷ προτεινομένης εὐετηρίας. ταῦτά[8] που τις καὶ ἐπιγράψει μοι κειμένῳ. τοὺς υἱεῖς δὲ ὑμῖν, ὦ βουλή, τοὺς ἐμαυτοῦ παρακατατίθεμαι, μεμαθηκότας θαυμάζειν ἅπερ ἐγώ. καὶ δέομαι καὶ ἱκετεύω μὴ περιιδεῖν ὑπὸ τῆς τούτου περιουσίας ἐλαυνομένους. ἴσως γὰρ ἂν ἐκ παίδων αὐτοὶ ἀντίπαλοι γένοιντο τοῖς τοῦδε[9] παισίν, ἀντεξάγοντες καὶ αὐτοὶ πλούτῳ καὶ ὕβρει πατρῴαν πρὸς τὸν δῆμον εὔνοιαν.

7 δημηγορίᾳ πονηρᾷ malim. concione mala ſibi ſupplicium lapidationis conſciſcere.

8 τάχα B.

9 τούτου B.

ΑΛΛΗ ΜΕΛΕΤΗ.

Μετὰ τὰ ἐν Χαιρωνείᾳ Φίλιππος ἐξῄτησε Δημοσθένην. ὁ δῆμος ᾔτησε πέντε ἡμέρας σκέψεως· ἐν ταύταις ὁ Δημοσθένης ἀποθνήσκειν ἀξιοῖ.

ΔΗΜΟΣΘΕΝΗΣ.

ΜΑΤΗΝ, ὦ ἄνδρες, τὰς πέντε ταύτας ἡμέρας ᾐτήσατε παρὰ τῶν ἐκ Μακεδονίας ἡκόντων. ὡς ἂν ἐν αὐταῖς ἄμεινόν τι βουλευσόμενοι περὶ τοῦ μοῦ σώματος. ἐγὼ γὰρ ὑμῖν τὸν μακρὸν τοῦτον συντέμνω χρόνον· ἵνα μήτε τούτου χάριν ἔχητε μηδεμίαν τοῖς τοῦ Φιλίππου πρέσβεσι καὶ τὰς ἀποκρίσεις ἀνθ' ὑμῶν, ἔργῳ δίδωμι. δέομαι δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, μεταδοῦναί μοι τοῦ κανείου, καὶ τοὺς πρέσβεις ἐκπέμπειν, τὸν ἥδιστον τῷ

δεσπότῃ

δεσπότῃ φέροντας λόγον, ὅτι τέθνηκε Δημοσθένης. ἃ μὲν οὖν ἤλπιζον, ὦ φιλανθρωπότατοι πάντων, ὑμεῖς ἐποιήσατε, περὶ τῆς τελευτῆς ἀκούσαντες ἠθυμήσατε. τοιοῦτος γὰρ ὁ ὑμέτερος δῆμος ἐλεεῖν τοὺς ἀτυχοῦντας, κἂν πρότερον ὦσί τι λελυπηκότες, μή τοι γε συνεχῆ τὴν εὔνοιαν πρὸς δῆμον, ἐπιδεδειγμένοι. ἐγὼ δὲ ἄνευ τῶν ἄλλων λογισμῶν, καὶ δι' αὐτὸν τὸν νῦν ἡμῶν ἐπὶ τοῖς εἰρημένοις οἶκτον, οἶμαι δεῖν ἀποθανεῖν. πολὺ γὰρ βέλτιον ἐνταῦθά με τελευτῶντος κλαῦσαι τὸν δῆμον, ἢ διὰ τῶν πρέσβεων ἐμοῦ τε καὶ ὑμῶν παρὰ τὸν ἐχθρὸν ἑλκομένου.[1] εἰ γὰρ οὐδὲ τοῦτο φέρετε μετριώτερον· οὐ γὰρ μικρὰ παραμυθία ταφῆς οἴκοι τυχεῖν· πῶς ἐκεῖνό γε οἴσετε τὸ πάντων ἐλεεινότερον; μηδεὶς ὑμῶν, ἂν μεταξύ μου λέγοντος ἐπεισέλθῃ δάκρυα τοῖς λόγοις, φιλοψυχοῦντά με καὶ δεδοικότα τὸν θάνατον, ἡγείσθω τοῦτο πεπονθέναι. πᾶν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ δεινότατον ἂν ὑπὲρ ὑμῶν δέῃ παθεῖν, κοῦφον ἐμοί. ἀλλ' ἀπ' ἐκείνης τῆς ἡμέρας ἐν ᾗ κακῶς ἔκρινεν ὁ δαίμων τὴν μάχην, οὔτε νυκτός, οὔθ' ἡμέρας ὀδυρόμενος πέπαυμαι· θαυμάζων τε τὴν τῶν παραταξαμένων ἀρετήν, καὶ μεμφόμενος τῇ τύχῃ. καὶ νῦν ἀπό τε δακρύων καὶ βουλῆς τῆς ὑπὲρ τῶν ἠτυχηκότων ἥκω· ἐβουλευόμην γάρ, εὖ ἴστε, τίς ἂν ἐπανόρθωσις τοῖς συμβᾶσι γένοιτο· θαυμαστὸν οὐδὲν εἰ μνησθεὶς Χαιρωνείας, πάθοιμί τι παραπλήσιον. ὅτε μὲν οὖν εὐθὺς ἤκουσα πρεσβείαν ἐκ Μακεδονίας ἀφῖχθαι, τοιοῦτος μέν τις παρίσταται λογισμὸς ὅτι Φίλιππος οὐ σφόδρα ὢν ἀναίσθητος ἄνθρωπος, ἀπιστεῖ τοῖς πεπραγμένοις· καὶ τοιαῦτα ὡς εἰκὸς διείλεκται· ἐγὼ παῖς ὢν Ἀμύντου, φόρους Ἀθηναίοις φέροντος, καὶ μόλις σωθεὶς ὑπὸ τῆς Ἰφικράτους, τοῦ ἐκείνων στρατηγοῦ, φιλανθρωπίας, μικρὸς ὢν καὶ ταπεινός, καὶ δεδιὼς τοὺς πέριξ βαρβάρους. καὶ μετὰ μὲν Θηβαίων ἐλπίζων Ἀθηναίους λυπήσειν, ἄνευ δὲ ἐκείνων πείσεσθαί τι κακόν. οὐ μικρὸν νῦν Ἀθηναίους ὁμοῦ καὶ Θη-

[1] ἴσ. πρὸς τὸν ἐχθρὸν ἐμοῦ τε καὶ ὑμῶν ἑλ. m. M.

Θηβαίους ἐνίκων· πληγεὶς μὲν τῇ προτέρᾳ μάχῃ· πληγεὶς δὲ τῇ δευτέρᾳ. τῇ τύχῃ δὲ περὶ τὴν τρίτην χρησάμενος. τί οὖν εὖ φρονοῦντος ἐστί; μὴ βέβαιον ἡγεῖσθαι τὴν ταύτης συμμαχίαν. ἧς ἔργον μεταπηδᾷν ἐπὶ τοὺς ἡττημένους ἀπὸ τῶν κεκρατηκότων. καὶ τοὺς αὐτοὺς αὔξειν καὶ καθαιρεῖν. δέος γὰρ μὴ ὧν νῦν αἰχμαλώτους ἔχω, τούτους ἴδω μικρὸν ὕστερον τὴν Μακεδονίαν ἔχοντας. ἤκουε γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τῆς ἡμετέρας πόλεως, καὶ οὐ λέληθεν αὐτόν, ὡς οὐδὲν πταῖσμα αὐτὴν, οὐδεπώποτε τελείως κατήνεγκεν, ἀλλ᾽ ἐξ αὐτῶν τῶν ἐναντιωμάτων ἀνέδραμε. πολλάκις ἤκουσεν Ἀμφίπολιν καὶ τοὺς ἐκεῖ νεκρούς· ἤκουε Δῆλον, καὶ τοὺς ἐκεῖ πεσόντας. τὸ μέγιστον ἤκουε Σικελίαν, καὶ τέσσαρας μυριάδας· αὐτὸν ἤκουε τὸν Ἑλλήσποντον, καὶ τοὺς τριάκοντα τυράννους· μεθ᾽ οὓς Κνίδος καὶ ναυμαχία, καὶ πάλιν τείχη τὰ Κόνωνος. ταῦτ᾽ αὐτὸν ἡγούμην ἐγὼ καὶ πεπυσμένον καὶ μεμνημένον ἐθέλειν τὴν εὐημερίαν, φιλίᾳ κατακλεῖσαι καὶ μὴ βούλεσθαι δευτέρᾳ πείρᾳ παραδοῦναι τὰ πεπραγμένα, καὶ τοὺς πρέσβεις ἥκειν ἡμῖν διαλεξομένους τι συμβατικόν· ὡς δὲ εἶπέ μοι τις παραστὰς Ἀθηναίων, τινὰ τοὺς[2] ἐκεῖθεν ἥκειν ἀπάξοντας· οὐκ ἐμοῦ γε, ἔφην, ζῶντος· παρελθὼν γάρ, ἀναγνώσομαι μὲν τοὺς νόμους τοῦ Σόλωνος, οἳ τὸν Ἀθηναῖον, Ἀθήνησι κρίνουσιν· οὐκ ἄκριτον ἐγχειρίζουσιν ἀνομίᾳ τυράννων. διαλέξομαι δὲ περὶ τοῦ τῆς πόλεως ἤθους· ὅτι τοῦτον μέν τοι τὸν δῆμον, οὐ καιροῦ χαλεπότης, οὐδὲ Θηβαίων ἰσχύς, οὐ ῥώμη Λακεδαιμονίων· οὐχ ἡ πάντα κινήσασα τοῦ βαρβάρου στρατιὰ, καὶ πεζεύσασα μὲν διὰ γῆς. πεζεύσασα δὲ διὰ θαλάττης, ἣν ἔδησεν.[3] ἐκβαλοῦσα δὲ καὶ πόλεως καὶ χώρας τοὺς Ἀθηναίους καὶ [4] τοῦ μηδὲν ἀνάξιον ὑπομεῖναι τῆς δόξης· καὶ ταῦτα ἤδη καλῶς ὁ τούτου πρόγονος Ἀλέξανδρος· ὃ τοσοῦτον ἀπέχε τοῦ λαβεῖν τι παρ᾽ ὑμῶν, ὥς τε φέρων τὰς μεγάλας βασιλέως

δωρεὰς

[2] ἴσ. τῶν ἐκ. m. M.
[3] ἔδειξεν m. M.
[4] ἴσ. καί τοι m. M.

δωρεὰς μόλις ἐσώζετο. τοιούτοις καὶ πολλοῖς ἑτέροις διενοούμην λόγοις, τῷ κινδυνεύοντι συνειπεῖν· ᾤμην γὰρ ὁ μάταιος ἐγὼ τὸ κακὸν ἐφ' ἕτερον φέρεσθαι. καί τοι μ' ἐχρῆν εὐθὺς ἀκούσαντα, τί ποτ' ἔσθ' ὃ ζητοῦντες ἥκουσιν, ἐμαυτὸν ἐλπίσαι. πολλὰ γὰρ ἦν τὰ ποιοῦντα ταύτην τὴν ἐλπίδα· πόλεμος ῥήτορος καὶ τυράννου· μακροὶ λόγοι καὶ ληπηροί. ψηφίσματα μαχόμενα ταῖς ἐπιβουλαῖς· πρεσβεῖαι πολλαί· χρυσίον ὑπεροφθέν. τῶν εἰληφότων κρίσεις, δημηγορίαι, δῆμον ἀεργοῦντα ἐπεγείρουσαι. πῶς οὖν ἐμὲ παραλιπὼν ἐκεῖνος ἐπ' ἄλλον ἧκε; τί δεῖ τὰ πολλὰ λέγειν; εἶπον οἱ πρέσβεις πρὸς ὑμᾶς· ἥκομεν, ὦ ἄνδρες Ἀθηναῖοι, Δημοσθένην τὸν ἐχθρὸν τοῦ Φιλίππου ληψόμενοι παρ' ὑμῶν. δότε. ταῦτ' ἀκούσας ἐγὼ, τοῖς μὲν λόγοις οἷς ἂν ἄλλον ἔσωζον, ἀφθόνους ὄντας, εἴων, φορτικὸν ἡγούμενος ὑπὲρ ἐμαυτοῦ με λέγειν. σιγῇ δ' ἐκαθήμην ἀναμένων ὅ, τι τῷ δήμῳ δόξοι. νομίζων ἐξεῖναι πρεπούσας ἐλευθέροις ποιεῖσθαι τὰς ἀποκρίσεις. πῶς οὖν ὑμεῖς, ὦ Χαιρώνεια, πονηρὸν χωρίον, ὡς γενναῖόν τε δῆμον καὶ δεινὸν ἀκαιρίας ἐνεγκεῖν ἐθορύβησας; τῆς ἐκεῖ δυστυχίας ἦν καὶ τὰ νῦν. ᾐτήσατε πέντε ἡμέρας εἰς βουλήν. καὶ οἱ Μακεδόνες, μόλις μὲν, ἐπένευσαν δέ. ἀλλ' ὦ βέλτιστοι πρέσβεων, οὐδὲν δεῖ διατριβῆς οὐδὲ δεῖται τοιαύτης ὁ δῆμος χάριτος. οὐκ ἐῶ τοσοῦτον αὐτοὺς κατατρίψαι χρόνον. τήμερον τόγε ἐμὸν ἀναστρέψατε μέρος· οὗτοι μὲν γὰρ παρ' ὑμῶν πέντε ᾔτησαν ἡμέρας· ἐγὼ παρ' ὑμῶν φάρμακον. νόμος δ' ἐστὶ παρ' ἡμῖν τὸν οὐ βουλόμενον ζῆν, ἀποθνήσκειν· ὃν οὔπω λέλυκε Φίλιππος· ἕως οὐ κρατῇ, τοῦδε τῆς βοηθείας ἀπολαύσω. τοῖς ἀνίατόν τι νοσοῦσι, φησὶ, τὴν ἐπὶ τὸν νόμον εἶναι καταφυγήν· καὶ τοῖς τέκνα ἀποβαλοῦσιν, ἢ τὴν οὐσίαν ἤ τι τοιοῦτον ἕτερον πεπονθόσιν. εἰ δὲ ὁ δῆμος δεῖται μακροτέρας περὶ σοῦ βουλῆς, πῶς τοῦτ' ἄξιον θανάτου; τοῖς ἰδιώταις ταῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, λεγέτω· ὧν αἱ τύχαι τοῖς ἰδίοις κρίνονται πράγμασι. ῥήτορα δὲ, καὶ τοῦτον Δημοσθένην, τὸν ζηλωτὸν Ἀριστείδου καὶ Νικίου καὶ Περικλέους, μὴ πρὸς τὸ σῶμα, καὶ τὴν οὐσίαν βλέπων ἔταζε. οὐ γὰρ

τούτων ἐπιμελούμενος, οὐ δ' ὑπὲρ τούτων εὐχόμενος διαγέγονε τοῖς θεοῖς· ἀλλ' ἀπολέσθαι μὲν τὸν ἐπίορκον Φίλιππον ὃ πάντως ἔσαι, κἂν ἀποθάνῃ Δημοσθένης· τὸν δῆμον δὲ εἰς ὕψος ἆραι τῶν Ἀθηναίων καὶ νίκαις καὶ τροπαίοις οὐδὲν ἐλάττοσι τῶν θαυμαστῶν ἐκείνων, ὧν τὸ μὲν ἔστηκεν ἡμῖν Μαραθῶνι, τὸ δὲ Πλαταιᾶσι, τὰ δὲ, ἐν ταῖς πλησίον ταυταισὶ νήσοις, Εὐβοίᾳ καὶ Σαλαμῖνι. ταῦτ' εὐχόμενος, τούτων ἐπεθύμουν, κληρονόμους τοῦ ὑμᾶς ὁρᾷν τοῦ προγονικοῦ φρονήματος. ἡ μὲν οὖν προαίρεσις καλὴ, καὶ τῇ τῶν εἰς Μαραθῶνα δραμόντων ἴση. ἐδράμετε καὶ ὑμεῖς πρὸς τὰ τέρματα τῆς Βοιωτίας ὑπὲρ τῆς κοινῆς τῶν Ἑλλήνων ἐλευθερίας· ἔπεσόν τινες ὑμῶν, ὡς ὁ Κυναίγειρος ἐκεῖνος, ὡς ὁ Καλλίμαχος, ὡς οἱ τὸν ἐκεῖ πεπληρωκότες τάφον. τὰ δὲ ἐπὶ τῆς ἐκκλησίας ταύτης, σμικρὰ καὶ ταπεινὰ, καὶ ἀνάξια τῆς ἐξόδου· δεδυστυχήκαμεν γὰρ, ὁμολογῶ. τί οὖν θαυμαστὸν, εἰ οὓς ἐβουλόμην εὐτυχεῖν, ἀτυχοῦντας ὁρῶν, οὐ φέρω. ἐπὶ τῆς Ἀττικῆς ἐκκλησίας, ὦ Ζεῦ, Μακεδόνων ἐδεήθησαν οἱ Ἀθηναῖοι, μὴ ταχείας δοῦναι τὰς ἀποκρίσεις· ἐν τούτοις, ὦ ἄνδρες δικασταὶ, τοῖς ὀλίγοις ῥήμασιν ἐν οἷς ἐκείνους ἀνεβάλεσθε, Δημοσθένει συνεβουλεύσατε θνήσκειν. εἶδον τὸν φοβοῦντα δῆμον Ἕλληνας, καὶ βαρβάρους, συνεσταλμένον, οὗ τοὐναντίον εὐχόμην, ὦ γῆ καὶ ἥλιε· σπουδῆς μεγάλης καὶ καλῆς διήμαρτον. οὐ δύναμαι ζῆν οὕτως ὑμῶν ἐκκλησιαζόντων. πολλοὶ πολλάκις αὐτοὺς ἐπαπέκτειναν ἐρωμένοις. ὁρῶ κἀγὼ τὸν ἐρώμενον τὸν ἐμαυτοῦ τὸν δῆμον τῶν Ἀθηναίων, οὐκέθ' ὁμοίως ἀνθοῦντα· ἵν' οὖν ἀπαλλαγῶ τοιαύτας ὁρᾷν ἐκκλησίας, ἄπειμι τήμερον· καλὸν τέλος ἐπιθεὶς τοῖς πεπολιτευμένοις. οὐ κέκομμαι τὼ ὀφθαλμὼ, λέγεις. εἴθε τοῦτο ἐπεπόνθειν, ὑμῶν ὄντων μεγάλων. οὐκ ἀποκέκομμαι σκέλος. εἴθε ἀμφότερα, τοῦ προσήκοντος ὑμῖν φυλαττομένου. οὐ καταῤῥεῖ μοι τὸ σῶμα; μικρὸν τὸ κακὸν τῆς ὑμετέρας ἐῤῥωμένης τάξεως· ὁρᾶτε καὶ τὸν Φίλιππον οὐ φεύγοντα τὴν τοιαύτων εἰσφορὰν, ἀλλὰ τοῖς μέρεσι τοῦ σώματος τὴν δόξαν ὠνούμενον. ἐβουλόμην χρῆσαι τὸν θεὸν ἀπολέσθαι Φίλιππον, εἰ Δη-

μοσθένης

μοσθένης ὑπὲρ τῆς πόλεως ἐπιδοίη τὴν παῖδα. οὐ γὰρ ἂν ἴδητέ με ζητοῦντα τότε φάρμακον· ἀλλὰ τὸν Ἐρεχθέα μιμούμενον. νῦν δὲ ὃ πολλάκις ὑμῖν εἶπον, οὐ φέρω. καὶ ἅμα σκοπῶ, πῶς ἂν ὑμᾶς ἐκ τῶν παρόντων ὀνήσαιμεν· δεῖ γάρ μου καὶ τὴν τελευτὴν ὥσπερ καὶ τὸν βίον, κέρδος γενέσθαι τῇ πόλει. πῶς οὖν τοῦτο ἔσται, θεωρήσατε. νῦν δεδέησθε πέντε ἡμερῶν εἰς βουλήν· οὐκοῦν ἐν ταύταις, ἢ δώσετε, ἢ οὔ. ἐὰν μὲν τοίνυν ἐκδῶτε, καὶ παρὰ τῆς ὑμετέρας με γνώμης λαβόντες ἀπάγωσι, πολλοὺς μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, παραβήσεσθε νόμους· ἀλλότριοι δὲ τῶν παρόντων φανεῖσθε· διδάξετε δὲ τὸν Φίλιππον, ἄλλον μετ' ἐμὲ ζητεῖν, καὶ μετ' ἐκεῖνον ἕτερον. καὶ πάντας ἑξῆς τοὺς τῆς ἐμῆς τάξεως, ἕως ἂν μόνον γένηται τὸ βῆμα τῶν ὑπὲρ ἐκείνου λεγόντων. οἳ δὲ γράψουσι ῥαδίως, πλεῖν τε [5] Φιλίππῳ τὰς τριήρεις, καὶ στρατιώτας ἀκολουθεῖν, καὶ στρατηγὸν ὑμέτερον ἕπεσθαι. ταυτὶ μὲν εἰς βλάβην τηλικαῦτα. ἕτερον δὲ διαβέβλησθε πρὸς ἅπαντας ἀνθρώπους, ὡς οὐ καλῶς τοῖς εὔνοις ἀποδιδόντες τὰς χάριτας. ἀτύχημα δὲ ὡς ἐν τοῖς παροῦσιν οὐ μικρὸν, τὸ πάνυ γνώριμον εἶναι τὸν δῆμον. διὰ γὰρ τὰς πολλὰς, ὦ ἄνδρες Ἀθηναῖοι, πρεσβείας οὐ μόνον ἐν τοῖς Ἕλλησιν, ἀλλὰ καὶ τῶν βαρβάρων οὐκ ὀλίγοις ἐγνώσθητε. πρὸς οὓς εἰ πέμποιτε πρεσβείας, παρακαλοῦντες ἐπὶ τὸν Φίλιππον· ἥξει γὰρ, ἥξει καὶ τούτου καιρός· οὐκ οἴεσθε πάντως εὐθέως ἐρεῖν, θαυμαστοί γε ἐστὲ, φιλίας μεμνημένοι πρὸς ἡμᾶς. ὑμεῖς Δημοσθένην ῥήτορα ἄυπνον καὶ φιλόπονον καὶ τοῦ Φιλίππου παρ' ἡμῖν ἀεὶ κεκρατηκότα πρέσβεων, ἐξέδοτε τοῖς ἐχθροῖς· οὐ θεοὺς δείσαντες· οὐκ ἀνθρώπους αἰσχυνθέντες· οὐκ αὐτὸ τὸ βῆμα τὸ παρ' ὑμῖν· ἐφ' οὗ τοὺς πολλοὺς ἐκείνους καὶ καλοὺς διεξῄει λόγους. τί οὖν χρὴ παρ' ὑμῶν προσδοκᾶν· ὑμῖν συμπολεμήσομεν, ἀνθρώποις οὐκ εἰδόσι χάριν; ὁρᾶθ' ὅπως ὑμῖν κλείει τὰς πόλεις, τὸ παρ' ὑμῶν ἐμὲ τοῖς Μακεδόσι

[5] πλεῖν δὲ m. M.

κεδόσι δοθῆναι; ποιεῖ δὲ καὶ τῶν πολιτευομένων τοὺς βελτίους, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς βελτίστους, ἀφώνους. τίς γὰρ ἀναστήσεται τοῦ κήρυκος καλοῦντος; τίς ἐρεῖ λόγους, ὑμῖν μὲν συμφέροντας, αὐτῷ δὲ ἐπιζημίους; τίς εὑρήσει πόρους χρημάτων; τίς ξένους, τίς συμμάχους αὐτοὺς γράψοντας, εἶναι χρείαν;[6] αἰτίαν, ἂν καθαρεύητε, ἕξητε. διὰ τοῦτο ἐπ' ἐμαυτὸν ἀφ' ὑμῶν μεθίστημι τὴν μέμψιν. μᾶλλον δὲ ὑμᾶς μὲν ἀπαλλάττω μέμψεως· ἐμαυτῷ δὲ κτῶμαι δόξαν ἀθάνατον, ἐκ τοῦ μηδὲν ὑμᾶς ἁμαρτεῖν ἐάσαι. μὴ γὰρ ἐχέτω τοῦτο Φίλιππος λέγειν, μήτε πίνων,[7] μήτε σπουδάζων, μήτε πρὸς τοὺς ὡς αὐτὸν ἐρχομένους, μήτε πρὸς τοὺς Ἕλληνας διὰ πρέσβεων, Ἀθηναῖοί μοι τὸν δημαγωγὸν ἐξέδωκαν. οὐ βούλομαι τοιούτων τὸν ἄνθρωπον ἐκεῖνον εὐπορῆσαι ῥημάτων. εἰ γὰρ καὶ νῦν συκοφαντῶν τὴν πόλιν, οὐκ ὀλίγα παρέσπατο, τίς ἔσται κατηγορῶν ἀληθῆ; λέγεσθε[8] πανταχοῦ τῆς οἰκουμένης, ὑπὲρ τῆς κοινῆς δόξης ἐπέδωκεν, ὡς ὁ λεὼς τὰς θυγατέρας· ὡς ὁ Κόδρος αὐτόν· ὡς πάλαι ποτὲ τὴν χορηγίαν· οὕτως ἐπέδωκε Δημοσθένης τὴν ψυχήν· εἶεν. ἐκδοθέντος μέν μου παρ' ἡμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τοσαῦτα καὶ ἔτι πλείω κακὰ περιστήσεται τὴν πόλιν, ἄν τε δόξῃ βουλευομένοις ὑμῖν ἀντειπεῖν τῷ Φιλίππῳ, καὶ τὸ δίκαιον δεῖσαι μᾶλλον, ἢ τὸ πταῖσμα τὸ συμβάν. πάλιν αὐτὸ τοῦτο ἄξιόν μοι θανάτου, τὸ δεῖν μὲν μακρὰν οὕτως ἀναμεῖναι βουλήν· ἐπὶ τί γὰρ δεῖσθε τῶν πέντε τούτων ἡμερῶν; εἰπέ μοι, ἵνα πύθησθε παρὰ τοῦ δεῖνος, ὡς χρήσιμος οὑτοσὶ Δημοσθένης· καὶ σωτηρίας Ἀθηναίοις ἄξιος; καὶ τί ζῶ, μετὰ πολλὴν οὕτω πολιτείαν ἀγνοούμενος; οὐκ ἔστι κωλύω πονηρὰς ἐκκλησίας, θανάτῳ καλῷ· οὐ δώσω κατηγορίας ἀφορμὰς, ὡς ὁ δῆμος Ἀθηναίων, ὁ πάντων ὀξύτατος εὑρεῖν τὸ δέον, πέντε ἡμέρας ἐν τοῖς τοιούτοις προδήλοις ἀνήλωσεν·

6 ἴσ. γράψει τὰ εἰς χρ. m. M.
7 παίζων m. M.
8 ἴσως λεγέσθω m. M.

λωσεν· ἔτι τοίνυν ἐνθυμεῖσθε οἷον ἐστι τὸ πρᾶγμα· πληρώσετε τὴν ἐκκλησίαν καθ' ἑκάστην ἡμέραν. παρελθόντες δὲ οἱ τῆς Φιλίππου προαιρέσεως, τὸν πολεμοποιὸν, τὸν ταράττοντα τὴν πόλιν· τὰ τοιαῦτα ἐροῦσι, καὶ κελεύσουσιν ἐκδοῦναι· οὐκ οὖν ἐπὶ τούτοις οἱ δημοτικοὶ βοήσονται, ψευδῆ[9] Δημοσθένης ἔλυσε τὴν εἰρήνην. ναὶ· τί ποιῶν; σώζων Χερρόνησον, Πέρινθον, Βυζάντιον. τὴν σιτοπομπίαν κωλύων· διορύττεσθαι Πελοπόννησον, μεμφόμενος τὸν τὰ πλοῖα συλῶντα· τὸ δὲ, ἐχρῆν ἐᾶν. θαυμαστή γε εἰρήνη, τὸν μὲν τὰ τῆς πόλεως ἁρπάζειν, τὴν πόλιν δὲ συνθήκας ἔχειν. οὐδεὶς εἰρήνην ἄγει ἀμυνόμενος· λύει δὲ ὁ ταῦτα ποιῶν ἀφ' ὧν ἕξει τοὺς ἀμυνομένους. τοιαῦτα ἀπολογούμενοι. μετὰ ταῦτα πολλά μου ψηφίσματα φέροντες ἐν ταῖς χερσὶν, ἀνθ' ἱκετηρίας ἀναγνώσονται· καθ' ἃ πρέσβεις ἐξῆλθον· καθ' ἃ τριήρεις ἔπλευσαν· καθ' ἃ τῶν μὲν, οὐκ ἐξεπέσετε· τὰ δὲ ἐκομίσασθε. ταῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, καθ' ἑκάστην ἡμέραν· ταῦτα πεντάκις· ταῦτα ὡς ἐπιτρέπουσιν οἱ πρέσβεις· καὶ ἔτι πρὸς τούτοις, θρῆνος δημοτῶν, δάκρυα φυλετῶν, οἰκείων, συγγενῶν, τῶν ἐκ Μακεδονίας ὑπ' ἐμοῦ λελυμένων, οἷς τὸ χρέος ἐποίησα δωρεάν· ἄξουσι καὶ τὴν θυγατέρα πρὸς ταῖς ἐκκλησίαις δεηθησομένην ὑμῶν· σώσατε, ἐλεήσατέ μου τὸν πατέρα. τί οὖν ὁ δῆμος; καμφθήσεται, καὶ ποιήσει τοῦτο πρὸς ἐμὲ, ὃ πρὸς Ἄδραστον οἱ πρόγονοι, καὶ Οἰδίπουν τὸν Θηβαῖον, καὶ τὸ Εὐριπίδου δρᾶμα πρὸς Ἡρακλείδας, καὶ τὸ Φρυνίχου τὴν Μιλήτου· καὶ ἀποκρινεῖτε πρέσβεσι[10] θορυβῶν ὁμοῦ, καὶ δακρύων· οὐκ ἐκδίδομεν Δημοσθένην· οὔπω πεπτώκαμεν,[11] οὔπω τοσοῦτον οὐδὲν πεπόνθαμεν, ἀλλ' ἴσως κρατήσομεν. τότε λήψεται Δημοσθένης, ὅτε τὴν πόλιν· ἂν οὕτως, ὦ ἄνδρες Ἀθηναῖοι, σωθῶ, τῶν μὲν ἐμῶν φίλων ἱκετευόντων,

9 ψεύδει m. M.
10 ἀποκρινεῖται πρέσβεις m. M.
11 πεπώκαμεν m. M.

των, ὑμῶν δὲ ἐλεούντων· τίς ὁ λοιπὸς ἔσαι μοι βίος; τί διατελέσω ποιῶν; ἀργὸς καθεδοῦμαι λεγόντων ἑτέρων ἀκούων, μετὰ τοσαύτην, ὦ ἄνδρες Ἀθηναῖοι, πολιτείαν, καὶ τοῦθ' ὑμῖν καλόν; ἀλλ' ἐρῶ καὶ γράψω· καὶ πάλιν ἐκεῖνα τὰ συνήθη, ἐξίωμεν, εἰσφέρωμεν, νουθετῶ μὲν τοὺς Ἕλληνας, ἀναμαχώμεθα τὴν ἧτταν· ἀντεχώμεθα τῆς ἀρχῆς· ὑμεῖς τούτου τοῦ καλοῦ κληρονόμοι; καὶ τίς οὐχὶ τούτων ἐμοὶ προσκεκρουκότων οὓς ἀνιῶ λέγων, ἐπαναςὰς ὑβριςικῶς ἐκβάλῃ με τοῦ βήματος. τόνδε ἔκδοτον, τόνδε ἄτιμον, τὸν ἐλέῳ σεσωσμένον, τὸν δοῦλον τῶν ὑπὲρ αὐτοῦ δεδακρυκότων· τοῦτον δεῖνα ἀναβαίνειν ἐπὶ τὸ βῆμα, καὶ σεμνότερον εἶναι τοῦ δέοντος; πάλιν σὺ θρασύς; ἐπιθυμεῖν ἔοικε δευτέρων κακῶν. μή με, ὦ ἄνδρες Ἀθηναῖοι, τοιούτοις φυλάξητε λόγοις· ἀλλ' ἕως ἐπὶ τῆς ἔμπροσθεν ἑςήκατε δόξης, ἀποκτείνατε· καὶ πῶς, φησιν, οὐ μανικὸν ἤδη βούλεσθαι τελευτᾶν, ἐξὸν ἀναμεῖναι τὴν Φιλίππου γνώμην, ἂν ἄρα λάβῃ· ὁ δ' ἴσως φείσεται λαβὼν, οἷα πολλὰ πρὸς πολλοὺς ἐφιλανθρωπεύσατο. φείσεται Φίλιππος Δημοσθένους, οὐκ ἀποκτενεῖ; καὶ τίνος ἀναμνησθεὶς τῶν ὑπὲρ Ὀλυνθίων λόγων; ποιῶν τῶν πρώτων, ἢ τῶν δευτέρων, ἢ τῶν τρίτων, ἀλλὰ τῶν ὑπὲρ Φωκέων, ὧν τοὺς μὲν, ὁ δῆμος ἤκουσε, τοὺς δὲ, τὸ δικαςήριον, οὓς οἶδεν ὅτι[12] τὸ μὲν ἐμὸν μέρος, εἰσὶ μὲν ἐπὶ Θρᾴκης. Χαλκίδος·[13] σώζεται δὲ Φωκεῦσιν αἱ πόλεις. διὰ δὲ τοὺς λαμπροὺς τούτους οὐκ ἀνέξεται Φίλιππος ἠδικῆσθαι; ταῦτα πρῶτα παροξύνει τὸν ἄνθρωπον· ἔπειτα οἷς ἐλέγχων αὐτὸν οὐκ ἐπαυσάμην, τοὺς ξένους, τοὺς πεζαιτέρους. περὶ ὧν τὴν αὐτὴν ἔχων δόξαν, εἰ καὶ νενικήκασιν, εὑρηκέναι μοι δοκῶ δι' ἃ ἐμοῦ φείδεται τῷ Πύθωνι ῥέοντι, καὶ θυμὸν συναντιφέροντι, πρὸς τὸ πῦρ συνηγώνισμαι· τὸ ναυτικὸν νόμῳ κατέλυσα· κατειλημμένης Ἐλατείας, τὴν ἡσυχίαν ἐπῄνουν. οὐκ οἴεσθέ με, ὦ ἄνδρες Ἀθηναῖοι, καθ' ἕκαςον τούτων ὀφείλειν αὐτῷ θάνατον; οὐκ οἴεσθε πολ-

[12] εἶδεν ὅτι τὸ m. M.

[13] χολ. τοὐναντίον δῆλον m. M.

πολλάκις αὐτὸν εἰρηκέναι πρὸς αὐτὸν, ἆρά γε λάβω τὸν καλοῦντά με βάρβαρον, τὸν λοιδοροῦντα τὴν Πέλλην; τὸν νενικηκότα μου τὰς πρὸς Θηβαίους εὐεργεσίας τοῖς λόγοις; ἐγὼ μὲν αὐτοὺς ἀπήλλαξα πολέμου· Δημοσθένης δέ μοι τὴν πόλιν ἐπήγαγε, καὶ διὰ ταῦτα Χαιρώνεια τὴν μάχην, ἀντ' Ἐλευσῖνος ἐδόξατο. τί οὖν; στεφανώσει με λαβὼν, καὶ ἐπὶ δεῖπνον καλέσει; πάνυγε. οὕτω μικρὰ πέπονθεν. οὐ γὰρ ἐπινίκια θύσει Δημοσθένην ἔχων. οὐ γὰρ φρονήσει μεῖζον ἢ τῇ περὶ τὴν μάχην τύχῃ. οὐ γὰρ ἀθρήσει τοὺς προδόντας, τὸν Δόαχον, τὸν Ἱερώνυμον, τὸν Μνασέαν, τὸν Εὐξίθεον; Δημάδης μὲν γὰρ ὄψεταί με ἀγόμενον· ἀλλ' ἐκείνοις τέ γε ὀυκ ἐπιστελεῖ, ἥκατε θεασόμενοι τὸν ἀδιάφθορον, τὸν ἀνάλωτον; εἴληπται, καὶ γέγονεν ἐμὸς, ὀυκ ἐκ παρατάξεως, ἀλλ' ἀπὸ τῆς ἐκκλησίας· περίστητε, πατάξατε, πλήξατε, μαστιγώσατε, νείμασθε τὰ μέλη, γεύσασθε τῶν σαρκῶν· οὗτος ὑμᾶς ἐκάλει τοὺς ἐμοὺς φίλους, κακοδαίμονας. διασπάσασθαι τὸν εὐδαίμονα ὑμεῖς οἱ κακοδαίμονες. βούλεσθε ὦ ἄνδρες Ἀθηναῖοι, φείσασθαί μου τὸν ἄνθρωπον, πρᾶγμα ἀμήχανον; ἔστω, δοκείτω· βούλεσθε θῶ καὶ τιμὰς ἔσεσθαί μοι παρ' αὐτοῦ. ἔστω δὲ καὶ τοῦτο. καὶ τί γένοιτ' ἄν μοι τῆς Φιλίππου φιλανθρωπίας, ὅταν ἀποκτεῖναι κύριος ὢν, πολλὰ ὀνειδίσας ζῆν ἀφῇ; οὐ φοβερόν μοι τὸ κώνειον τῆς παρ' ἐκείνης φιλοτησίας. εἰ γὰρ τὰ βασιλέως πρὸς Θεμιστοκλέα μιμήσαιτο, γῆν διδοὺς πολλὴν περὶ τὴν Βόλβην· οὐ γὰρ πᾶσαν τὴν Μυγδονίαν. εἰ γὰρ Ἀνθεμοῦντα ὅλον, τὸ, τῶν ταλαιπώρων Ὀλυνθίων δέλεαρ, ἐνέγκαιμ' ἂν, ἢ ζῆν ἐν Μακεδονίᾳ, τοῖς Μακεδόνων ἔθεσι καὶ νόμοις, μετὰ τοὺς Δράκοντος, ὦ θεοὶ, καὶ Σόλωνος. μετὰ δημοκρατίαν ἐν τυραννίδι, μετὰ τῶν ἀσελγῶν καὶ μεθυόντων, μετὰ τῶν μίμων καὶ τῶν κακῶς[14] ὀρχουμένων σκωπτόμενος, καὶ τωθαζόμενος; οὗτος Δημοσθένης ὁ δύσκολος, ὁ δύστροπος, ὁ τὸ ὕδωρ πίνων,

[14] ἴσ. καλῶς m. M.

πίνων, ὁ διακωμωδῶν τὴν ἡμετέραν εὐπάθειαν. ἐγὼ καὶ τέμνεσθαι καὶ καίεσθαι, μᾶλλον ἂν καθ᾽ ἡμέραν δεξαίμην, ἢ τῷ Φιλίππῳ συνειπεῖν ἐν ταῖς τιμαῖς Παρμενίωνος. τί δ᾽ ἂν κελεύῃ με πρεσβεύειν εἰς τὰς πόλεις, καὶ παλινῳδίαν ᾄδειν. ὅτι ἐκεῖνα μὲν ἦν, ἃ πρότερον ὑμῖν ἔλεγον, συκοφάντου· ταυτὶ δὲ ἀπὸ τῆς ἀληθείας· Φίλιππος, ἀπόγονος μέν ἐστιν αὐτοῦ τοῦ Διός· χρηστὸς δὲ τὸν τρόπον, τὴν δὲ δύναμιν ἀνυπόστατος· δίκαιος πρὸς τοὺς φίλους, θεῶν ἐπιμελής. ταύτας ἀφήσει Δημοσθένης τὰς φωνὰς ἐν Ἀργείοις καὶ Μεσσηνίοις, καὶ τοῖς ἄλλοις Ἕλλησι; μὴ εἴη μοι σώζεσθαι καθ᾽ ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι· μηδ᾽ οὕτω ποτὲ μέγα ἡγησαίμην τὴν ψυχὴν, ὥστε πόθῳ τοῦ ζῆν βλάψαι τὴν ἐνέγκασαν· βλάψαιμι δ᾽ ἄν, εἰ ψήφισμα τοιοῦτο νικήσειε παρ᾽ ὑμῖν. ἀλλ᾽ οὐ νικήσειε, μέχρις ἂν ᾖ κώνειον. οὐδὲ γράψειέ τις Ἀθήνησι, ἔδοξε τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν Ἀθηναίων, Δημοσθένη Παιανιέα Φιλίππῳ τῷ Μακεδόνι δεδόσθαι, ὅ τι βούληται χρῆσθαι. μὴ γὰρ δέξοιτο τοιαῦτα τὸ μητρῷον γράμματα· μηδὲ ἀναμιχθείη τοῖς Ὑπερίδει, καὶ δήμῳ μέλει περὶ ἐμοῦ ἕτερα, ἐκείνοις ἐναντία· αἰσχρὸν γὰρ, αἰσχρὸν ἐν τοιαύτῃ πόλει, τὸν ἄνθρωπον, νῦν μὲν ἀρετῆς ἕνεκα ἐστεφανῶσθαι, μικρὸν δὲ ὕστερον τοῖς ἐχθροῖς ἐκδίδοσθαι· ἀλλ᾽ ἔστω τὸ τελευταῖον σύμφωνον τοῖς προλαβοῦσι ψηφίσμασιν· ἐστεφανώθη ὁ Δημοσθένης ὑπὸ Ἀθηναίων. ταῦτα κρατείτω· καὶ τριβέτω τις τὸ φάρμακον. ἀλλ᾽ ὀργιεῖται Φίλιππος, ἐρεῖ τις τῶν παρ᾽ ἐκείνου πλουτούντων, οὕτως ἀποθανόντος ἐμοῦ· βούλεται γὰρ αὐτὸς τῆς ψυχῆς καταστῆναι κύριος. ἥδιον μὲν ἐκείνως τῷ Φιλίππῳ, καὶ αὐτὸς οὐκ ἀγνοῶ. μικρὸν δὲ οὐδὲ τοῦτο· καὶ γὰρ εἰ νόσῳ με τελευτῆσαι συνέβη, μέγα ἂν ἦν ἐκείνῳ· καὶ νῦν μὲν ἐπιθυμεῖ με κατακόψαι λαβών· ἡσθήσεται δὲ καὶ τεθνεῶτος πυθόμενος. καὶ γὰρ οὐδ᾽ οὕτω τῶν ἔμπροσθέν μοι δίκην ἐθέλει λαβεῖν, ὡς ἀπηλλάχθαι πρὸς τὸν ἔπειτα χρόνον τῆς ἐμῆς πολιτείας. τρία γὰρ ταῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, μάλιστα Φίλιππος δέδοικε, τὰς τῶν θεῶν ὑπὲρ τῆς πόλεως μαντείας, τὴν ἔμφυτον ὑμῶν πρὸς τοὺς κινδύνους ἀνδρείαν.

δρείαν· τὴν ἐμὴν ἐπὶ τοῦ βήματος παῤῥησίαν. ἀκούει μὲν γὰρ τῶν χρησμῶν ἀσκὸν ἀβάπτιστον καλούντων τὴν πόλιν. ἔγνω δὲ τὰς ὑμετέρας φύσεις, ἐν τοῖς πεσοῦσι καλῶς· οἶδε[15] δὲ τὴν ἐμὴν προθυμίαν, οὐκ ἐνδιδοῦσαν καιρῷ δυσκόλῳ· βούλεται οὖν μετεθνάναι, καὶ μὴ τὴν εὐτυχίαν ὑμῶν, καὶ τὴν τύχην, ἔχειν. τὸ τρίτον τὴν Δημοσθένους εὔνοιαν· τοῦτο μὲν, ἀκούων Θεμιστοκλέα γνώμῃ κρατήσαντα τῆς τοῦ δήμου δυνάμεως ἐκείνης· τοῦτο δὲ Κόνωνα ἄνδρα φυγάδα, Λακεδαιμονίους ἐξελάσαντα τῆς θαλάσσης. οὐκ οὖν ἃ ἐζήτ[illegible], μάλιστα τοῦτο ἕξει. Δημοσθένης οἴχεται. εἰ δ' οὐ ξίφει Μακεδονικῷ, κατὰ δὲ τὸν παρ' ὑμῖν νόμον· τὸ μὲν, ἐκείνῳ χαρίσασθαι τὸ μηκέτ' εἶναι· τὸ δὲ, ὑμῖν αὐτοῖς, τὸ, μὴ παρ' ἐκείνου με πεσεῖν· ἢ εἰ βούλεσθε τοῦτό γε καὶ ἐμοὶ χαρίσασθε. πάντως γε ἄξιος ὑμῖν ταύτης ἐγὼ τῆς χάριτος. ἄλλως θ' ὅτι καὶ διὰ πρεσβείας ἔξεστιν αὐτὸν πραῦναι, λέγοντας, ὅτι τὸν ἄνθρωπον ὃν ἐμίσεις, οὐ σπουδαῖον ἐν τοῖς ἡμετέροις ἡμεῖς εὑρήκαμεν. καὶ οὐχ' οἷοί τε γεγενήμεθα μὴ τοσοῦτον αὐτῷ χαρίσασθαι συγγνώμην αὖν ἔχειν οἱ τὸ πρᾶγμα τεμόντες· σὲ μὲν ἐτίμησαν τῷ θανάτῳ· τὸν δὲ, τῷ ἐνταῦθ' ἀρκέσειν[16] πρὸς ἐκεῖνον.[17] ἄλλως τε δὲ καὶ Δημάδης ἐλθὼν παραιτεῖται· καὶ πείθει φίλος αὐτῷ καὶ συνήθης ἄνθρωπος. μέλλων δὲ τελευτᾷν, ἐρῶ πρὸς ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, τίσι τε λυπούμενος, καὶ τίσι χαίρων ἀπέρχομαι. χαίρω μὲν ὅτι πολλῶν ἐμὲ συστάντων, καὶ κατὰ τὴν ἡμέραν ἑκάστην κρινόντων, εἰσαγγελλόντων, γραφομένων, ζῶ καὶ πολιτεύομαι, καὶ κατήγορος ἅπας ἀπῆλθεν ἐρυθριῶν. ἀλγῶ δὲ ὅτι τοὺς τῶν ἀστῶν ἐν Χαιρωνείᾳ πεσόντων, οὐκ ἔχον ὡς ἐβουλόμην παραμυθήσασθαι. ἐγὼ μὲν γὰρ, ὦ πατέρες παίδων γενναίων, ἐσκόπουν, πῶς ἂν ἐκπέμψαιμι νῦν· πῶς ἂν δείξαιμι Μακεδόνων πλείους μὲν νεκρούς· πλείους δὲ αἰχμαλώτους· κωλύει δὲ ἑσπέρα, ὡς ὁρᾶτε, ταῦτα ὑπ' ἐμοῦ πραχθῆναι· ἀλλ' ὑμεῖς γε,

ὑμῖν

[15] εἶδε m. M.
[16] ταῦτ' ἀρκ. m. M.
[17] χολ. τὸν θάνατον m. M.

ὑμῖν αὐτοῖς ἀντ' ἐμοῦ γένεσθε· καὶ τοῦ μὲν πένθους ὕφετε· σωτῆρες δὲ τῶν παίδων γεγεννημένοι τῆς πόλεως, τουτὶ δέομαι, καὶ τὸν ἐπ' ἐκείνοις ῥηθησόμενον λόγον ὑμνήσειν· εἰ χειροτονεῖτε τὸν ἐροῦντα ἐκ τῶν ὡς ἀληθῶς λυπουμένων, ἀλλὰ μὴ τῶν προσποιουμένων. ἐπειδὰν δὲ ἀπολοφύρησθε τοὺς ἀγαθοὺς ἐκείνους, ζητεῖτε τιμωρίαν, ὧν πεπόνθατε· λόγους γενναίους· ψήφισμα καλόν· πρᾶξιν ὠφέλιμον. Ὑπερίδη, καὶ Πολύευκτε, καὶ Μυρόκλεις, μηδὲν ὑμᾶς τὸ πρᾶγμα τοῦτο τὸ κατ' ἐμὲ ποιείτω χείρονας. ἀλλ' ἕως μὲν ἂν ἐξῇ, πολιτεύεσθε τὴν πολιτείαν ταύτην, τὴν ἐπικίνδυνον· καλὴ γὰρ, εἰ καὶ κινδύνους ἔχει μεγάλους. ἣν δὲ αἴσθησθε πρέσβεις ἐφ' ὑμᾶς ἐκ Μακεδονίας ἐφ' ὁμοίοις τρέχοντας, φθάσατε τοὺς λόγους αὐτῶν τῷ θανάτῳ· καὶ πλέον τί μου τῇ πόλει χαρίσασθε, τὸ, μὴ ῥηθῆναι παρ' Ἀθηναίοις, ὑπὲρ ἐκδόσεως λόγους. περὶ δὲ τῆς θυγατρὸς κἂν μηδὲν ἐπισκήψω, θαῤῥῶ· πολλοὺς αὐτῇ καταλείπω πατέρας, τοὺς ἐνταυθοῖ, τοὺς παρὰ τοῖς ἄλλοις ἔθνεσιν. οὐ γὰρ δὴ τὸν μὲν πατέρα αὐτῆς ἐστεφάνουν, αὐτῆς δὲ ἀμελήσουσι· καὶ τί δεῖ λέγειν τοὺς καθ' ἕκαστον; ὁ δῆμος ἅπας ἐπιμελήσεται τροφῆς, νυμφίου, γάμων· κἂν ἄῤῥεν τέκοι, Δημοσθένης ἴσως ὄνομα αὐτῷ τεθήσεται· θυγατριδοῦς δὲ εἰ γένοιτο, τύχῃ μὲν, ὦ θεοὶ, διενέγκοι τοῦ πάππου· τὰ δ' ἄλλα ὅμοιος γένοιτο. ἆρ' ἔστι τι ὑπόλοιπον ἄξιον [18] εἰρῆσθαι· ναί. μικρά γε δεῖ τοὺς πρέσβεις ἀκούσαντας ἀπελθεῖν. ὦ διάκονοι τυράννου παρὰ τὴν ἀξίαν εὖ πράξαντος, ὡς μεγάλης τε καὶ λαμπρᾶς ἐλπίδος ἡμάρτετε. ὑμεῖς μὲν οἴεσθέ με δεδεμένον ἄξειν παρὰ τοῦ δήμου λαβόντες, διὰ τῆς ἀγορᾶς, διὰ τῆς Ἐλευσῖνος, διὰ Πλαταιέων, διὰ Θηβαίων, διὰ Φωκέων, διὰ Πυλῶν, διὰ Λαρίσσης· ἐλέγχοντες ἐν ἐμοὶ τοῦ δήμου τὸν τρόπον· ἄπιτε δὲ, κὲν χερσὶν ἰδόντες εὐψυχίαν ῥήτορος· ἀγγέλλετε δὴ τῷ δεσπότῃ τἀληθῆ, ὅτι ὁ μὲν δῆμος οὔπω δῆλος ἦν ὃ ποιήσει· σκέψασθαι γὰρ ἔφησεν. ὁ δὲ Δημοσθένης τηρῶν ἐκείνῳ

[18] τις ὑπόλοιπος ἄξιος m. M.

ἐκείνῳ τὴν δόξαν πιὼν κώνειον ἀπέθανε. τοιούτοις ἴσῳ πολεμῶν ἀνδράσιν, οἷς πᾶν αἰσχρὸν, θανάτου φοβερώτερον.

ΕΤΕΡΑ ΜΕΛΕΤΗ.

ΠΡΟΘΕΩΡΙΑ.

Ἐξήτησεν ὁ Φίλιππος τὸν Δημοσθένην· καὶ κατέφυγεν ἐπὶ τὸ τοῦ ἐλέου βωμὸν ὁ Δημοσθένης. ἀποσπασθεὶς ἐξεδόθη. καὶ ἀφεθεὶς ὑπὸ τοῦ Φιλίππου, γράφει παρ᾽ Ἀθηναίοις ἀνελεῖν τὸν βωμόν.

ΔΗΜΟΣΘΕΝΗΣ.

Καινότατα, ὦ Ἀθηναῖοι, τῶν πώποτε πεπονθὼς, ἐκδοθεὶς μὲν ὑπὸ τούτων, ὑφ᾽ ὧν ἤλπιζον σωθήσεσθαι· σωθεὶς δὲ ὑπ᾽ ἐκείνων, οὓς ἅπαντα διετέλουν λυπῶν τὸν χρόνον· ἥκω, τὴν ἐμαυτοῦ πατρίδα φιλῶν, ὥσπερ πρότερον· οὐδὲ γὰρ εἰ τούτων ἔτι δεινότερα πάθοιμι, δυναίμην τοῦτο ποτὲ καταλῦσαι. γνώμην δὲ ἔχων, ἀφεστάναι τῆς ὑμῖν τε ἴσως ὀχληρᾶς, ἐμοί τε ἐπικινδύνου πολιτείας· οὕτω δὲ ἐγνωκὼς, ὅμως ὑπὲρ τοῦ ἑνὸς τούτου μόνου καὶ τελευταίου παρῆλθον ἐν ὑμῖν ἐρῶν· ᾧ πεισθέντες μὲν, μεγάλα εἰς δόξαν ὠφεληθήσεσθε· μὴ δεξάμενοι δὲ, πολλὴν καὶ μεγάλην αἰσχύνην, ἣ νῦν γέγονε, βέβαιον τηρήσετε τῇ πόλει. τοῦτο δὲ ἐστὶν ἀνῃρῆσθαι τουτονὶ τὸν βωμόν. ὃν ἐκ τῶν πρὸς ἐμὲ πεπραγμένων, ἀπεφήνατε μάταιον. εἰ μὲν οὖν ἐφρόντιζον τῶν τῷ δήμῳ συμφερόντων οἱ φάσκοντες ὑμᾶς οὗτοι φιλεῖν, εὐθὺς ἂν μετὰ τὴν ἐμὴν παράδοσιν, ἣν πεποίησθε, τὴν πρὸς τὸν βωμὸν αἰδῶ ῥᾳδίως ἀνελόντες ἔλεγον ἂν τούτους τοὺς λόγους,

οὓς

οὓς νῦν ἀκούσεσθε παρ' ἐμοῦ, καὶ τὸν βωμὸν ἀνασπᾶν ἐκέλευον. ὡς ἂν οὐ καλῶς ἔχον ὑμῖν, τὸν αὐτὸν θυσίαις μὲν τιμᾶν. τῷ δὲ τοὺς ἱκέτας ἀποσπᾶν, ἀτιμάζειν· ἐπεὶ δὲ τουτὶ μὲν ὑπὸ τούτων τῶν χρηστῶν ὀλιγώρηται, τῶν μεγάλας ὑμῖν ὀφειλόντων χάριτας, ἀνθ' ὧν αὐτοῖς ὅ, τι βούλονται ποιεῖν ἐπετρέψατε, καὶ ζῆν ἐπ' ἐξουσίας ἁπάσης. ἔδει δὲ καὶ τὴν ὑπὲρ τούτου γνώμην μετὰ πολλῶν, ὧν πρότερον δέδωκα, καὶ παρ' ἐμοῦ προστεθῆναι,[1] οὐχ ἡδέως μὲν ἐπὶ τὸ βῆμα τοῦτο ἀναβάς, τὸ πολλὴν μέν μου[2] δεξάμενον καὶ συνεχῆ πολιτείαν, ἀμοιβὴν δέ μοι τοιαύτην ἐνηνοχός, ὁποίαν ἴστε. τοσοῦτον δ' οὖν ὑπομενῶ δημηγορῆσαι καὶ διδάξαι τὴν πόλιν, ὡς ἀμείνων ἂν εἴη, τὸν βωμὸν ἀνελοῦσα καί τοι, μὰ τὴν Ἀθηνᾶν, οὐδ' εἰ πάντες οἱ μάντεις προὔλεγον, ὡς ἐγώ ποτε ταῦτα ἐν Ἀθηναίοις φθέγξομαι. καὶ τοιαῦτα ἀφήσει[3] ῥήματα Δημοσθένης, οὐκ ἄν ποτε ἐπίστευσα λέγουσι. διὰ τί; ὅτι οὐ τῆς ἐμῆς, ὦ Ἀθηναῖοι, προαιρέσεως οἱ λόγοι· ἀλλ' ἑτέρων μὲν ἦν ἐκεῖνα, τὸ μὴ μεμνῆσθαι τῶν προγόνων, μηδὲ μεμνῆσθαι τοῦ φρονήματος· μηδὲ μιμεῖσθαι τοὺς πατέρας· ἑτέρους[4] δὲ γενέσθαι. ἐγὼ δὲ πᾶν τοὐναντίον, εἰς ἐκείνους βλέπειν ἠξίουν· κἀκείνους ποιεῖσθαι παράδειγμα τοῦ βίου, καὶ μὴ λιπεῖν τὴν παραδοθεῖσαν τάξιν. καί που καὶ ἐπιπλήττων ὑμῖν ὁ πάντα ἐγὼ θρασύς, εἶπόν τι καὶ τοιοῦτον. ἐξέστητε, ὦ Ἀθηναῖοι, τῆς ὑποθέσεως· καὶ προσέθηκα τὴν περὶ τὰς ἐξόδους ὑμῶν ἀργίαν. τουτὶ γὰρ ἑώρων οὐχ ἥκιστα τὸ μέρος τῇ πόλει ἠμελημένον. ὑπὲρ δὲ τῶν εἰς τὸν βωμὸν τουτονὶ τιμῶν, ὡς κατερρᾳθυμημένων, οὐδὲ πώποτε ἐπιτιμήσας οἶδα. οὐδὲ γὰρ ἑώρων τοιοῦτον οὐδὲν[5] περὶ αὐτὸν συμβαῖνον. ἀλλά, καίτοι τἄλλα πολὺ τοῦ τῶν προγόνων ἀφεστηκότες τρόπου. καὶ τὴν ἐν τοῖς θεάτροις ἡδονὴν ἔμπροσθεν τῆς ὑπὲρ τῶν

Ἑλλήνων

[1] malim προτεθῆναι ſine σ et tum deeſt aliquid c. c. ἐρῶ ἄν.

[2] μὲν οὐ Wolf.

[3] καί τοι ταῦτα W. ſ. καὶ τοιαῦτα ἀφήσω.

[4] ἑτέρου W.

[5] οὐδὲν] ſic W.

Ἑλλήνων προνοίας πεποιημένοι, τοὺς περὶ τούτων νόμους ἀκριβῶς ἐτηρήσατε. καλῶς εἰδότες, ὅτι τῇ πόλει δόξαν, οὐ τὸ τοὺς ἐχθροὺς ἐν γῇ καὶ θαλάττῃ δύνασθαι νικᾷν, ἤνεγκε μᾶλλον, ἢ τὸ φιλάνθρωπος διακεῖσθαι τῇ γνώμῃ[6] καὶ πρὸς οἶκτον ἔχειν ἑτοίμως· καὶ τὸν Ἔλεον ἐν τοῖς θεοῖς ἀριθμεῖν. πόθεν οὖν ἐπὶ τοὺς παρόντας ἀφῖγμαι λόγους, ἔπεμψε Φίλιππος, βουλόμενός με παρ' ὑμῶν λαβεῖν. πρᾶγμα εἰκὸς ποιῶν τὸν ὑπὲρ ὑμῶν ἀντιτεταγμένον αὐτῷ, καὶ πολλῶν αὐτὸν ἐκκεκρουκότα, λιμένων, πόλεων, τόπων. καὶ τὸν δῆμον οὐκ ἐῶντα καθεύδειν, ὑποχείριον ἐπιθυμῶν ἔχειν· τῷ μὲν οὖν τοιαύτας ὡς ὑμᾶς φοιτᾷν πρεσβείας, θαυμαστῶς ὡς ἤλγουν.[7] εἶχον δὲ ἔτω καὶ ἠθείην ἂν παρ' αὐτῶν. μαρτυρία γὰρ δήπου[8] τούτου γε σαφὴς, ἐμὲ μάλιστα τῶν ἐν τῇ πόλει ταῖς ἐπιθυμίαις ἐμποδίζειν ἐκείνου. τὸ γὰρ μόνον ἐξαιτεῖν, δηλοῦντος ἦν, ὡς οἱ μὲν αὐτῷ συμπράττουσιν· οἱ δ' οὐ σφόδρα λυποῦσι· Δημοσθένης δέ ἐστιν ὁ μεγάλων καὶ πολλῶν ὀφείλων δίκην Μακεδόσιν. ἐλογιζόμην δὲ πρὸς ἐμαυτόν· ὦ Δημόσθενες, τὸν μὲν κίνδυνον ὁρᾷς, καὶ ἐπὶ τὸ σῶμα τὸ σὸν ἥκουσιν οὗτοι. τί δὴ διανοῇ[9]; δρᾷν λόγων μὲν ἀφθόνων εὐπορεῖς· ἐπεὶ καὶ τοῖς ἰδιώταις περὶ μόνου τούτου τοῦ πράγματος. ῥᾴδιον ὡς πλεῖστα καὶ δίκαια[10] λέγειν. ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι. εἰ μὲν ἴστε ποτὲ τοῦτο ἐν τῇ[11] πόλει γεγονὸς, καί τις ἔχει[12] ψήφισμα ἀναγνῶναι, καθ' ὃ πολίτης, ἢ ξένος, ἢ μέτοικος ἐξεδόθη παρ' ὑμῶν, τοῖς ἐξαιτοῦσιν ἐχθροῖς, οὐ καλὸν μὲν πονηροῖς παραδείγμασιν ἀκολουθεῖν. γραφέσθω δὲ καὶ πραττέσθω καὶ νῦν παραπλήσια, καὶ μηδεμία βοήθεια τοῖς κινδυνεύουσιν ἔστω. εἰ δὲ νόμον παρειλήφατε

[6] τὴν γνώμην m. M.

[7] malim θαυμαστὸν ὡς ἤλγουν.

[8] δήπου] subaudi εἰσὶν αὗται αἱ πρεσβεῖαι hae legationes documento sunt τούτου huius rei quam mox dicam. scil, τὸ ἐμὲ μάλιστα —

[9] τί δὴ διανοῇ sic W. δὴ deest M.

[10] malim δικαιότατα, aut καὶ πάνυ δίκαια.

[11] τῇδε τῇ. W.

[12] ἔχει] sic W. ἔχοι M.

λήψατε παρὰ τῶν πατέρων ἔργῳ κεκυρωμένον. διὰ μηδένα φόβον προέσθαι τὸ δίκαιον, μηδὲ ἐμὲ νῦν ἐκδῶτε. εἶχεν ἄν τις λέγειν καὶ τὰς ὑπὲρ τῶν ἠδικηκότων ὑμᾶς στρατείας. τὰς μὲν, ναυτικάς· τὰς δὲ, πεζῇ. τοῦτο μὲν τὴν ὑπὲρ Θηβαίων εἰς Ἁλίαρτον· τοῦτο δὲ τὴν ὑπὲρ Κορινθίων εἰς Κόρινθον· οἱ μεγίστων ὑμῖν ὀφείλοντες δίκας, τοῖς ὑμετέροις κινδύνοις ἐσώζοντο. πολὺ τοίνυν τούτου λαμπρότερον, τὸ καὶ Λακεδαιμονίους τῶν αὐτῶν τυχεῖν, δι' οὓς ἐδουλεύσατε μὲν τυράννοις τριάκοντα· τὰς δὲ ναῦς ἀφῃρέθητε· τὰ τείχη δὲ κατηνέγκατε. τί δὴ τὸ πεῖσαν ὑμᾶς τοιούτοις βοηθεῖν; οὐδὲν, πλὴν τὸ ἐλεεῖν ἐπίστασθαι. τοῦ γὰρ ἱκετεύοντος ἀφέντες ἐξετάζειν τὸν τρόπον, αὐτὸ ψιλὸν ᾐδεῖσθε τὸ σχῆμα. ἐμοὶ τοίνυν, ὦ Ἀθηναῖοι, καὶ ταῦτα καὶ πλείω τούτων πολλῶ[13] δικαιότερα λέγειν ὑπῆρξεν ἄν, ἐξετάζοντι τίς ποτε ἐγενόμην πρὸς ὑμᾶς τε καὶ τὸν ἐξαιτοῦντα. τίνος οὖν ποτε ἕνεκα τοῦτο οὐκ ἐποίουν; οὐδὲ τῇ συνήθει παῤῥησίᾳ πρὸς τὸν δῆμον ἐχρώμην, δεικνὺς ἐμαυτὸν αἰτίας τε καθαρὸν ἁπάσης, καὶ σωτηρίας ἄξιον. ὅτι κἀνταῦθα περὶ πολλοῦ τὸ τῆς πόλεως ἐποιούμην. ἵνα γὰρ μὴ δοκῆτε λόγοις πεισθέντες ῥήτορος, ἀλλὰ φόβῳ τῶν θεῶν κωλυθέντες ἄπρακτον ἀποπέμψαι τὴν πρεσβείαν· μηδ' ὑπολίπητε μηδεμίαν τῷ Φιλίππῳ πρόφασιν εἰς τὸ μέμφεσθαι τὸν δῆμον· τὸν βωμὸν ἀντέταξα τοῖς Μακεδόνων λόγοις. καὶ μᾶλλον εἰλόμην ἀνάξιον ἐμαυτοῦ σχῆμα περιθέσθαι, καὶ καθῆσθαι πρὸς ἱεροῖς ἱκέτης, ἢ δοῦναι τοῖς τἀκείνου φρονοῦσιν ἐπιτιμᾶν ὑμῖν. ἐγὼ μὲν δὴ τούτοις τοῖς λογισμοῖς ἐπὶ τὸν βωμὸν ἔδραμον. καὶ παραχρῆμα πολλοὶ περιεστήκεισαν ἐπιτήδειοι καὶ συγγενεῖς. πάντες, ὦ Ἀθηναῖοι, δακρύοντες, ὁρῶντες οἵῳ τρόπῳ Δημοσθένης Ἀθήνησιν ἐχθρῶν διαφεύγει χεῖρας. ἔμελλον δὲ ἄρα μηδὲ οὕτω διαφεύξεσθαι. τοσαύτη τις ἦν ὑπερβολὴ τῆς ἐμῆς δυστυχίας. ὡς γὰρ εἶπον μὲν οἱ πρέσβεις ὑπὲρ ὧν ἧκον· συνεῖπον δὲ αὐτοῖς οἱ πολλὰ δὴ συνειρηκότες Μακεδόσι· τῶν δὲ ταῦτά μοι

13 f. καὶ πολλῷ.

μοι φρονούντων ὁ φόβος ἀφῃρεῖτο τὴν φωνήν. ἤγγελε δέ τις εἰς τὸν δῆμον Δημοσθένην τὸν Παιανιέα καταπεφευγέναι πρὸς τὸν Ἐλέου βωμόν. ἐψηφίσασθε, ὦ Ἀθηναῖοι, τὸ γενναῖον ἐκεῖνο ψήφισμα· μάταιον εἶναι τὴν ἱκετείαν· λῆρον τὴν τοιαύτην ἐπικουρίαν. γέλωτα τὸν περὶ[14] τοῦ βωμοῦ νόμον· ταῦτα γὰρ πάντα ἐνῆν ἐν τῷ δεῖν ἀποσπᾷν καὶ διδόναι τοῖς βουλομένοις λαβεῖν. ἦλθον οἱ τοξόται τρέχοντες ἀπὸ τῆς[15] ἐκκλησίας. εἶδόν με ἐπὶ τοῦ βωμοῦ καθήμενον. ἔκλαυσαν πρότερον, εἶτ' ἀπήγγειλαν, ἃ οὐκ ἂν ἠβούλοντο. ἀνάστα, ὦ Δημόσθενες, καὶ τοῖς πρέσβεσι δεδεμένος ἕπου· ταυτὶ γὰρ Ἀθηναίοις ἔδοξεν. ἀνέστην, ὑπήκουσα, στένων ὑπ' ἐμαυτὸν[16] πολλά. τὸν οὐκ ἔτ' ὠφελεῖν τοὺς ἱκετεύοντας ἔχοντα βωμόν. οἱ δὲ περιβαλόντες δεσμοῖς ἀπῆγον ἐγκεκαλυμμένον· οὐ γὰρ ἔφερον βλέπειν εἰς τὰς Ἁρμοδίου καὶ Ἀριστογείτονος εἰκόνας, οὐδ' εἰς τὸ βουλευτήριον, οὐδ' εἰς τὸ Μητρῷον, τὰ χωρία τῶν ἐμῶν λόγων, καὶ ψηφισμάτων. τοῦ λόγου δὲ προεκδραμόντος μὲν τοῦ περὶ τῆς ἱκετείας, οὔπω δὲ ἱκανῶς πεπιστευμένου, προσιόντες μοι Θεσπιέων τινὲς, καὶ Πλαταιέων, δι' ὧν ἐπορευόμην, ὀδυρόμενοί τε, καὶ προπέμποντες, καὶ τἄλλα δὴ τὰ τῶν φίλων ποιοῦντες, τελευτῶντες ἠρώτων, εἰ ταῦτα ὄντως ἀπὸ τοῦ βωμοῦ.[17] ἐγὼ δὲ ἀρνεῖσθαι μὲν οὐκ εἶχον· ὁμολογεῖν δὲ οὐκ ἤθελον. ἤκουσά τι καὶ τοιοῦτον παρὰ[18] Φωκέων γερόντων. οὗτοι γὰρ ἐν Φωκίδι μόνοι[19] διὰ τοὺς ἐν ταῖς ὑποσχέσεσι λαμπροὺς οὓς ἐγὼ διελέγχων, ἐλύπουν, τοὺς ἡδέως ἐξαπατωμένους. Θετταλοὶ

[14] παρὰ m. M.

[15] ἐκ τῆς m. M.

[16] f. στένων καὶ μεμφόμενος πρὸς ἐμαυτόν.

[17] ἀπὸ τοῦ βωμοῦ] fcil. ἐμοὶ προσγίγονε. id eft εἰ ταῦτα ἀπείλευσα τοῦ βωμοῦ. ob ich das, (diefe Bande und Gefangenfchaft) von meiner Zuflucht zum Altare davon getragen hätte.

[18] περὶ W.

[19] μόνοι] fubandi περίεισι, aut εἰσὶ περίλοιποι funt adhuc fuperftites. nam iuuentus omnis periit; quae clades imputari debet Aefchini eiusque fimilibus.

λοί γε μὴν καὶ κατεγέλων, ὡς ἂν ὑπ' ἐμοῦ πολλάκις κακῶς ἀκηκοότες ἀντὶ τῆς προδοσίας, ἣν[20] προὔδοσαν τὴν τῶν Ἑλλήνων ἐλευθερίαν. ἐγὼ δὲ, τοῖς μὲν φίλοις συνωδυρόμην, τοὺς δυσμενεῖς δ' ὁρῶν κατεδυόμην· οὐχ ὡς ἄν τις ἀδικῶν· ποῖον γὰρ ἀδίκημα πολιτεύεσθαι μετ' ἀνδρείας· ἀλλ' ὡς ὑμῶν οὐκέθ' ὁμοίων ὄντων. ἐπεὶ δὲ ὡς τὸν Φίλιππον ἤλθομεν, ἃ μὲν πρὸ τῶν βασιλείων ἤκουσα[21] παρὰ τῶν ξένων καὶ πεζαιτέρων, τωθαζόντων, καὶ[22] κροτούντων, καὶ γεγηθότων· ὡς ἂν αὐτὰς ἐχόντων τὰς Ἀθήνας· τίς ἂν διηγήσασθαι δύναιτο. ἀλλ' ἐπειδὴ σεμνῶς ἐκάθητο Φίλιππος, γέμων χαρᾶς, καὶ δοῦλον ἔχων ὃν οὐκ ἠδυνήθη πρίασθαι· καὶ διὰ δορυφόρων εἰσηγόμην· τοὺς μὲν ἀπέστησέ μου τοῦ σώματος τοὺς ἐπικειμένους· ἐμὲ δὲ εἰς αὐτὸν βλέψαι κελεύσας, ἤρετο, τί παθὼν ἐγὼ δεινὸν ὑπὸ τῆς οἰκίας τῆς αὐτοῦ, τοσαῦτα αὐτὸν ἀνιάσαιμι, παροξύνων τὸν δῆμον, καὶ δυνάμεις ἐκπέμπων, καὶ παραινῶν τὴν Μακεδονίαν λῃστεύειν. ἐγὼ δὲ οὐδὲν ὑποπτήξας, οὐδ' ὑπὸ τοῦ καιροῦ ταπεινωθεὶς, οὐχ ὡς ἐκδεδομένος, ἀλλ' ὡς ἄν τις πρεσβεύων, ἀπὸ τῆς συνήθους διελεγόμην παῤῥησίας· ὅτι πᾶς εὖ φρονῶν, ὦ Φίλιππε, καὶ τὰ δίκαια ποιῶν, τὴν αὐτοῦ πατρίδα φιλεῖ· καὶ ὥσπερ σὺ ζῇς ἐν τοῖς ὅπλοις ἐπὶ τῷ μείζω ποιῆσαι τὴν βασιλείαν· οὕτως οὐδὲν θαυμαστὸν, τὰς Ἀθήνας τὸν Ἀθηναῖον φρουρεῖν· οὐδὲ γὰρ ἐκεῖνό γ' ἂν εἴποις, ὅτι μικρὸν φρονοῦσαν[23] τὴν πόλιν παραλαβὼν, ἔπειθον τάξεως οὐ προσηκούσης ὀρέγεσθαι· ἀλλ' οἶσθα δήπου μαθὼν τὸν Μαραθῶνα, τὴν Σαλαμῖνα, τὸ Ἀρτεμίσιον· τὰς Πλαταιὰς, τὴν Μυκάλην, τὴν Κύπρον· οὓς ἔστησεν ὅρους βασιλεῖ. καὶ μυρία ἂν ἔχοιμί σοι, διελθεῖν, ὦ Φίλιππε· μεστὸς ὢν ἐγὼ[24] διηγήσεων· καὶ διαδεξάμενος βῆμα σεμνῶν καὶ καλῶν λόγων, ἐπειρώμην, ὁμολογῶ,[25] μὴ λείπεσθαι τῶν παλαι-

20 ᾗ m. M.
21 ἤκουον W. et m. M.
22 δὲ καὶ m. M.
23 φρουροῦσαν W.
24 μεστὸς ὢν ἐγὼ καλλίστων διηγήσεων. ὧν ἐχόμενος, καὶ διαδεξάμενος ζῆμα λαμπρότατον, διὰ σεμνῶν καὶ καλῶν λόγων.
25 ὁμολογῶν W.

παλαιῶν ῥητόρων. καὶ περὶ τῆς αἰτίας δὲ, ὦ Ἀθηναῖοι, τῆς πολλῆς ταύτης, ὡς ἄρα ἐγὼ πόλεμον ἐποίουν, ἐξὸν εἰρήνην ἄγειν, εἶπον· καὶ τὰ πράγματα ἐξήτασα [26] καὶ διορίσας τὸν ἀμυνόμενον ἀπὸ τοῦ κινοῦντος πόλεμον, οὐδαμοῦ λύων εἰρήνην ἐφάνην· ἀλλ᾽ Εὔβοια, Πελοπόννησος, τὰ πλοῖα, Μέγαρα, Ἑλλήσποντος, μικρὰ, μείζω, πάντα με ταύτης ἐλεύθερον ἐποίει τῆς μέμψεως. ἐγὼ μὲν οὖν σιωπήσας, ἤλπιζον μάστιγας καὶ κέντρα καὶ πῦρ· καὶ τὸ τελευταῖον σφαγήν. ὁ δὲ μικρὸν ἐπισχὼν, ἀφίημί σε φησὶ, καὶ ποιῶ κύριον τῆς ὅποι βούλει πορείας. καὶ σώζου καὶ μένε μὲν εἰ τοῦθ᾽ ἥδιον ἐν ταῖς ἐμαῖς πόλεσι. βάδιζε δὲ Ἀθήναζε, καὶ κομίζου τὴν οἰκείαν, [27] εἰ τοῦτό σοι κατὰ νοῦν. καὶ μειδιῶν ἅμα καὶ βλέπων εἰς τοὺς παρόντας, ἐπιμελοῦ δὲ, φησι, καὶ τοῦ Ἐλέου βωμοῦ. παρ᾽ ὑμῖν γάρ ἐστι. τοῖς ἡμέροις· [28] ἡμεῖς δὲ ὠμοί τε καὶ βάρβαροι. τί δὴ τὸ τῆς μεταβολῆς αἴτιον. καὶ τοῦ χάριν, ὃν ἔσπευσε λαβεῖν, ἔχων ἀφῆκε. τὸ μὲν ἀκριβὲς αὐτὸς ἂν εἰδείη, καὶ πρὸς ἄλλον ἂν εἴποι τεκμαιρομένῳ δὲ, πολλὰ, ὦ Ἀθηναῖοι φανείη. καὶ γὰρ ὡς ἀπέχρησεν αὐτῷ γενέσθαι κυρίῳ καὶ ὡς ἡττήθη τῶν δικαίων, καὶ ὡς ἠλέησε τὴν τύχην. καὶ ὡς ἔδεισε τὸ τοῦ μέλλοντος ἀφανὲς, καὶ ὡς δόξαν μεγαλοψυχίας ἔδειξεν [29] ἐχθροῦ φειδόμενος· καὶ ὡς ἐζήτησε [30] φιλανθρωπότερος νομισθῆναι τοῦ δήμου τῶν Ἀθηναίων, ζητῶν. [31] ἀκούομεν δὲ αὐτὸν καὶ πρὸς τὰς Ἀπολλοφάνους θυγατέρας ποιῆσαί τι παραπλήσιον· ἀφεῖναι γὰρ αὐτὰς Σατύρῳ τῷ τῆς κωμῳδίας ὑποκριτῇ τοῦ πατρὸς τῶν κορῶν ἀπεκτονότος [32] αὐτῷ τὸν ἀδελφόν. περὶ μὲν οὖν τῆς ἐμῆς σωτηρίας, ταῦτα ἄν τις ὑπολάβοι· λελυμένος δὲ ἤδη, καὶ τετυχηκὼς ἀδείας, οὐκ ἂν φαίην ὡς ἐβουλευσάμην ὅποι χρὴ τραπέσθαι.

[26] ἐζήτασα W.

[27] οἰκείαν] sic W. et m. M. οἰκίαν t M.

[28] ἐλευθέροις W. et m. M.

[29] aut λήψεσθαι ἔδοξεν, aut ἐθήρασεν.

[30] ἐζήτησε] sic dedi a ζητεῖν. ἐξήτησε M.

[31] ζητῶν abesse malim.

[32] ἀποκτανόντος W.

σθαι. καί τοι παρὰ πολλοῖς τῶν Ἑλλήνων ἦσαν εὐεργεσίαι μοι κείμεναι· καὶ μετέδωκαν ἀσμένως ἂν μοι καὶ πολιτείας, καὶ γῆς, καὶ τῶν ἄλλων ἀγαθῶν. ἀλλ' οὐκ ἦν ταῦτα τῆς ἐμῆς ψυχῆς· ἀλλ' εὐθὺς οἴκαδε ἠπειγόμην. οὕτως ἰσχυρὸς ἔρως ἐντέτηκέ μοι τῆς πατρίδος· καὶ οὐδὲ ἔκδοσις αὐτὸν καταπαῦσαι δύναται. τὴν τοίνυν πορείαν ὡς μάλιστα λανθάνων ἐποιούμην, τοῦ μὴ πάλιν ὁρᾶσθαι παρὰ τῶν Ἑλλήνων, μηδὲ ἀναγκάζεσθαι πικρῶν[33] ἀκούειν καθ' ὑμῶν ῥημάτων· ἦσαν γὰρ ἤπερ οἱ παραβάλλοντες τὴν ἔκδοσιν, τὴν ἄφεσιν, τοὺς Ἀθηναίους, τὸν Φίλιππον, τοὺς πολίτας, τὸν ἐχθρόν. ἃ καὶ νῦν μὲν ἀνάγκη πολλαχοῦ λέγεσθαι τῆς Ἑλλάδος. ἐγνωσμένων γάρ, οἶμαι, καὶ τούτων κἀκείνων, εἰκὸς ἑκατέρῳ[34] γίνεσθαι τοὺς προσήκοντας λόγους. ὅπως οὖν μὴ πολλοῖς ἐντεύξωμαι τοῦ βωμοῦ μεμνημένοις, εἰς ὅσον οἷός τ' ἦν, κρύπτων ἐμαυτὸν ἐχώρουν. ἥκων τοίνυν, ἐν τούτῳ,[35] ὅπερ ἔφην, πολιτεύομαι πολίτευμα· καὶ γράφω τὸν ἑστηκότα τηνάλλως ἀνατρέπειν. εἶτα σὺ τολμᾷς, φησί τις, βωμὸν ἀρχαῖον καὶ τίμιον, καὶ δόξαν ἀγαθὴν ἐννηνοχότα τῇ πόλει, τῆς εἰωθυίας τιμῆς ἐκβάλλειν; ἐγὼ γάρ εἰμι ὁ τοῦτο ποιῶν, Ἀθηναῖοι; ἐγὼ καταλύω τιμὴν κρατοῦσαν· ὁ τῇ[36] πρὸς αὐτὸν καταφυγῇ βεβαιώσας αὐτῷ τὸν νόμον; εἰρωνεία ταῦτά ἐστι, καὶ παιδιὰ τῶν οὐ βουλομένων εἰδέναι δοκεῖν, ὡς ἃ τοῖς ἔργοις ἤδη πέπρακται, ταῦτα νυνὶ τυγχάνει λόγου. τίς γὰρ οὐκ οἶδεν ὡς ἀπ' ἐκείνης ἀπέρριπται τῆς ἡμέρας ὁ βωμός, ἐν ᾗ τὸν ἱκέτην οὐκέτ' ἔχει[37] ἐξελέσθαι. φέρε γάρ· τίς ἡ τιμὴ τοῦ βωμοῦ. τὸν ἀδικούμενον ὡς αὐτὸν ἥκοντα σῶσαι. τί οὖν; ἤρκεσέ με ῥύσασθαι; πόθεν; οὐκοῦν ὁ μὲν λίθος ἕστηκεν· τὸ γέρας δὲ πέπαυται. καὶ τῷ μὲν δοκεῖν, μένει· τῇ δ' ἀληθείᾳ κεκίνηται. τὴν γὰρ ἐκ τῶν νόμων αἰδῶ τοῖς βωμοῖς ὑπάρχουσαν ἂν ἀφέλῃς, οἴχεται ὁ βωμός· καὶ τοῦτ' ἔστιν, ὃ πρὶν ἢ βωμὸς νομι-

33 μικρῶν W. et m. M.
34 ἑτέρῳ m. M.
35 ἧκον τοίνυν ἐν δὲ τούτῳ W.
36 ὅτι W.
37 ἔχειν W.

νομισθῆναι. καὶ γὰρ καὶ τὰ τῶν θεῶν ἕδη, τῶν ἄλλων τύπων αἰδεσιμώτερα τούτων ταῖς τιμαῖς[38] ἄνευ δὲ τούτων οὐδὲν ἀμείνω τῶν λοιπῶν ἀνδριάντων. οὐδέ γε τῶν οὔπω ξεσθέντων λίθων. οὐδεὶς ἐτόλμα πρότερον ἅπτεσθαι τῶν ἐκεῖσε καταφευγόντων· οὐδεὶς ἤκουσέ μου[39] λέγοντος ὅτι χρὴ τοῦτον ἀνελεῖν. ἀνῄρηται τοῖς εἰς ἐμὲ πραχθεῖσιν ἡ παρ' αὐτοῦ συμμαχία. μηδ' ὁράσθω τοίνυν ὁ βωμός, μέχρις ἂν θεραπεύηται Παναθηναίοις[40] μὲν Ἀθηνᾶ μυστηρίοις δὲ Δημήτηρ· τῇ λαμπάδι δὲ ὁ Πὰν καὶ τῶν ἄλλων ἕκαστος θεῶν τοῖς παλαιοῖς νομίμοις. καλῶς αὐτοῖς ἑστήκασιν οἱ βωμοί· τῶν ἑορτῶν δὲ καὶ τῶν ἄλλων αὐτοῖς ἁγιστειῶν ἀπολλυμένων, μωρία τοὺς βωμοὺς διαφυλάττειν. ἑορτὴ τοίνυν εἰς τὸν ἔλεον[41] καὶ θεραπεία μία, τοῖς ἐκεῖσε καταφεύγουσιν εἶναι σωθῆναι. τούτου δὲ οὐκ ὄντος· τί δεῖ βωμοῦ; ὥσπερ ἂν εἴ τινες ἀφελόμενοι τὴν ἀρχὴν τὸν στρατηγόν, εἶτ' αὐτὸν ἀξιοῖεν[42] στρατηγὸν καλεῖν· ἀλλ' οὐδὲν ἡ προσηγορία τῶν ἔργων χωρίς. τί οὖν κερδανοῦμεν, φησίν, ἀνελόντες τὸν βωμόν. διαφεύξεσθε, ὦ Ἀθηναῖοι, τὰς νυνὶ κατηγορίας,[43] ἃς ἐκ τοῦ μὲν θεὸν ἡγεῖσθαι τὸν ἔλεον, ἀποσπᾶν δὲ τοὺς ἱκετεύοντας, ἔχετε. τουτὶ γάρ ἐστιν αὐτῶν αὐτοῖς ἐναντία ποιούντων καὶ μαχομένων, ὃ μέγιστον ἔγωγε ὀνειδῶν ἡγοῦμαι. τὸ[44] μὲν γὰρ οὓς τις οὐχ ἡγεῖται τιμῶν ἀξίους, μηδὲ θαυμάζειν, ἀγνοίας ἂν αἰτίαν λάβοι. τὸ[45] δ' εἴ τις ἐν θεῶν ἄγει τάξει, πρὸς ταῦτα ἀναισχυντεῖν· οὐδὲν ἀσεβείας ἐλλείπει. οὐκοῦν ἐν μὲν τῷ καθάπαξ ἀνελεῖν, τὸ μὴ νομίζειν ἐστὶ θεόν. ἐν δὲ τῷ βωμῷ[46] ἐᾶν,

τὸ

[38] f. τούτῳ, ταῖς τιμαῖς. hoc sunt venerabiliora, scil. honoribus, quibus afficiuntur.

[39] f. ἤκουσέ του (id est τινος), λέγοντος.

[40] παρ' ἀθην W. et m. M.

[41] εἰς τὸν (subaudi ναὸν) ἐλέου festum in fano Misericordiae hoc agatur solummodo, et hoc solo modo numen eius colatur.

[42] αὐτοῖς ἀξιοῖ W.

[43] προσηγορίας m. M.

[44] τῷ W. et m. M.

[45] τῷ W. et m. M. f. τὸ δ', ἅ τις.

[46] τῷ τὸν βωμὸν m. M. f. τῷ τοὺς βωμοὺς —

τὸ μήδ᾽, ἃ βωμῶν ἠξιώσατε,[47] ταῦτα ὑβρίζειν ἐκεῖν. ὁρᾶτε γὰρ τὸ γιγνόμενον. ἥξουσι παρ᾽ ὑμᾶς τινές. ὄψονται τὸν βωμόν· εἴσονται τὰ γιγνόμενα. τί τούτους βούλεσθε περὶ ὑμῶν φρονεῖν; ὡς Ἀθηναῖοι ψεύδονται καὶ φενακίζουσι πάντας ἀνθρώπους· καὶ τοὺς ἀτυχοῦντας ἐνεδρεύουσι. καὶ τὸν ἐλέου βωμὸν, ἀντὶ θηρατῶν[48] ἔχουσιν· οἷς ἐξῆν φεύγουσι σωθῆναι, τούτους διὰ τῆς ἐλπίδος τοῦ βωμοῦ λαμβάνοντες. καὶ γὰρ εἰ μὲν οὐδεὶς ἐπ᾽ αὐτὸν ἥξει τῶν ἐμῶν μεμνημένος, ἐπὶ τί καὶ φυλάττοιτο ἄν; εἰ δὲ ἥξουσι καὶ κερδανοῦσι,[49] καὶ σωτῆρα ἀξιόχρεων εὑρήσουσι, τίς ἂν ὑμῖν ὑπάρχοι λόγος περὶ τῆς ἐμῆς ἐκδόσεως; ὅτι νὴ Δία πονηρότατος ἐγώ τις. καὶ ἥκιστα φιλανθρωπίας ἄξιος; ἢ πονηρὸς μὲν οὐ λίαν, ἄχρηστος δέ; ὁ βοῶν ὑπὲρ Ὀλυνθίων, ὦ Ἀθηναῖοι, καὶ πρεσβεύων ὑγιῶς; καὶ φιλοτιμίᾳ χορηγῶν, καὶ τριηραρχῶν ἐθελοντής· καὶ ὁ λυόμενος αἰχμαλώτους; καὶ ὁ θυγατέρας συνεκδιδούς; ὁ πολλοὺς μὲν ἐλεῶν, ἐλέους δὲ οὐ τετυχηκώς; ὁ νόμοις ὠφελῶν τὸ ναυτικόν; ὁ τὰς προσόδους αὔξων; ὁ τῇ συμμαχίᾳ προστιθείς; ὁ τῆς σιτοπομπείας φύλαξ; ὁ κηρυττόμενος; ὁ στεφανούμενος;[50] εἴπω τί τούτων ἄμεινον; ὁ ἐξαιτούμενος; ἃ τίνι τῶν πώποτε τῷ βωμῷ χρησαμένων ὑπῆρχεν; ἃ οὐδέν με ὀνῆσαι δεδύνηται. τοῦτον οὖν ὑπεριδόντες, ἄλλον ἐλεήσετε; καὶ πῶς οὐ πολλῆς ἐμπληξίας; πολεμεῖν γὰρ ἀνάγκη, φησὶ, μηδὲ[51] τοῦτο πεποιηκόσιν. ἐγὼ δὲ εἶχον μὲν δεικνύειν, ὡς πάτριον ὑμῖν ὑπὲρ τῶν τοιούτων πολεμεῖν, καὶ πολλοὺς ἂν ἀγῶνας, εἴπερ ἐβουλόμην, ἐξηρίθμουν, ἐφ᾽ οἷς ἐν ταῖς τραγῳδίαις ἐπαινούμενοι χαίρετε. τοῦτο μὲν, τὸν ὑπὲρ τῶν Ἡρακλειδῶν πρὸς Πελοπόννησον ὅλην ἧκεν ἄγων[52]

Εὐρυ-

47 ἠξιώσετε W.

48 malim θηράτρων. *pro decipula habent*

49 f. καὶ σωτηρίαν κερδανοῦσι.

50 ὁ στεφανούμενος] sic B. haec verba delent M.

51 malim μὴ simplex. Necesse scilicet fuisset, (hic occurrit aduersarius) bellum aduersus Philippum suscipere. ni hoc fuissemus, quod Philippus imperabat, vt te scil. ab ara auelleremus.

52 f. ὅλην, ἣν ἧκεν ἄγων.

Εὐρυσθεὺς, ὃς αὐτῷ πράγματα παρεῖχεν Ἡρακλεῖ. τοῦτο δὲ, τὸν ὑπὲρ τῶν νεκρῶν πρὸς Θηβαίους, ἄνδρας ἐπηρμένους τῇ νίκῃ. καὶ διὰ τὴν παροῦσαν τύχην τοιαῦτα ὑβρίζοντας. καί τοι καὶ εἰ σεμνὸς Ἡρακλῆς·[53] ἀλλὰ τοῖς ἐκείνου παισὶν, οὐδὲν περὶ ὑμᾶς οὔτε μικρὸν οὔτε μεῖζον ἐπεπόνητο. Ἄδραστος δὲ οὔτ' αὐτὸς, οὔθ' ὁ τούτου πατὴρ Ταλαὸς χάριν ἦσαν οὐδεμίαν τῇ πόλει προεισενεγκόντες. ἀλλ' ἦν ταῦτα ἐλέου ψιλοῦ· καὶ φιλανθρωπίας, καὶ τοῦ πάσχειν τι πρὸς τοὺς ἱκετεύοντας. τί δ' Ἴναρως[54] ὁ Λίβυς· τί δὲ Νικίας ὁ Κρής· Ὀρέστης ὁ Θετταλός; οὐ νεῶν ἔτυχον ἐνθένδε καὶ στρατοπέδων, ἵνα ἄρχωσιν ἄνθρωποι ξένοι, καὶ μηδὲν ὑμῖν προσήκοντες; τί δ' ἦν δεινὸν ὑπὲρ Ἀθηναίου ῥήτορος, ἀδόλως πεπολιτευμένου. δι' ὑμᾶς μισουμένου, τῶν εἰωθότων τι δρᾶσαι. καὶ πράξει μιᾷ τὸν δῆμον ἐξελέσθαι τοιούτων ἐπιταγμάτων· διδάξαντας ὡς οὐκ ἴστε τὰ τοιαῦτα διδόναι. ταυτὶ μὲν εἶπον ἄν, εἰ δῆλον ἦν ὡς πόλεμον ἤνεγκεν ἂν τὸ τὰ δίκαια ποιεῖν.[55] νῦν δέ μοι δοκεῖ Φίλιππος οὐκ ἂν εἰς τοσοῦτον ἀτοπίας ἐλθεῖν, ὥστε πολέμου ποιήσασθαι πρόφασιν τὴν τοῦ δήμου πρὸς τὸ δαιμόνιον εὐλάβειαν. τί γὰρ ἂν καὶ πέμψας ᾐτιᾶτο; ὅτι ἀδικεῖτε, ὦ Ἀθηναῖοι, οὐ μᾶλλον ἐμὲ δεδοικότες, ἢ τοὺς θεούς· οὐδὲ τὴν πρὸς ἐμὲ χάριν πρὸ τῶν βωμῶν θεραπεύοντες; ἀλλ' οὐκ ἂν τὸ οὕτω ποτὲ μανικὸν[56] ἐφθέγξατο ῥῆμα. δύο ἐντεῦθεν ὁρῶν ζημίας· τὴν μὲν, γέλωτα παρὰ τοῖς ἀνθρώποις ὀφείλειν· τὴν δὲ χαλεποὺς ἀνταγωνιστὰς ἐπισπᾶσθαι τοὺς ὑβριζομένους θεοὺς, οὓς ᾔδει μεθ' ἡμῶν ἐπ' αὐτὸν ἥξοντας ἐν τῷ τοιούτῳ πολέμῳ. ἀλλ' οὐχ οὕτως ἔκφρων οὐδὲ ἀνόητος ἀνὴρ, εἰδὼς χρήσασθαι πράγμασιν. ὥστε ἑλέσθαι παραπαίειν τε δοκεῖν, καὶ κινεῖν[57] ἐφ' ἑαυτὸν τοὺς κρείττονας.

ἀλλ'

[53] σεμνὸν ἡρακλείδης in t. W. sed in marg. vulg. est.

[54] Ἴναρος W.

[55] ποιεῖν] sic lego. ποθεῖν M.

[56] f. ἀλλ' οὐκ ἂν πώποτε οὕτω μανικόν.

[57] καὶ τῷ κιν. m. M.

ἀλλ' ἀπέχρησεν ἂν αὐτῷ καὶ λοιδορούμενον.[58] καὶ μέγαν[59] μὲν παρ' ὑμῖν· μέγαν δὲ παρὰ τοῖς ἄλλοις Ἕλλησιν, ἐλέῳ σώζεσθαι καὶ δάκρυσι, καὶ τῷ τῶν ἱκετευόντων κλάδῳ. αἱ γὰρ τῶν χαλεπαινόντων πρὸς τοὺς λελυπηκότας ὀργαὶ, τῇ τῶν παροξυνάντων δυστυχίᾳ λύονται. τεκμήριον δὲ ὑμῖν ἔστω ταῦτα, ἃ νῦν δέδρακε· λαβὼν γὰρ ἤδη καὶ ἔχων, καὶ ὁρῶν, καὶ κύριος ὢν κατακρημνίσαι, καὶ κατακόψαι, καὶ ὅ, τι βούλοιτο χρήσασθαι, στήσας εἰς ἐμὲ τοὺς ὀφθαλμοὺς, καί τι πρὸς αὐτὸν ἐνθυμηθεὶς, ἀφῆκεν· ὅ μοι δοκεῖ καὶ πρὸς τὴν ἱκετείαν, εἴ τις ἀπήγγειλε, δρᾶσαι. τί γὰρ ἂν πλέον ἐζήτησεν ἥττης ἐχθροῦ; ὅλως δὲ ὁ τοῦ πολέμου καὶ τοῦ φόβου λόγος, τὴν μὲν αἰτίαν ἔχει. τοῦ δὲ τὸν βωμὸν ἐν τοῖς ἔμπροσθεν μένειν, οὐκ ἔστιν ἀπόδειξις. δεῖ δὲ νῦν οὐ τοῦτο ζητεῖν, τί τὰ πεῖσαν ἀμελῆσαι τῆς τιμῆς· ἀλλ' εἰ μὴ[60] λυσιτελεῖ καθάπαξ ἠφανίσθαι τὸν οὐδενὸς ἄξιον. τί οὖν μέλλετε, ὦ Ἀθηναῖοι; τί μὴ τὴν ταχίστην ἐπ' αὐτὸν φέρεσθε; τί μὴ λακτίζοντες ἀνατρέπετε; μᾶλλον δὲ τί μὴ καταποντίζετε; τίνων δεῖ χειρῶν γενέσθαι τὸ ἔργον; ἐκείνων αἳ τοῦ βωμοῦ τὸ σῶμα τοὐμὸν ἀφελκύσασαι,[61] τοῖς ἐχθροῖς παρέδωκαν· μᾶλλον δὲ, κοινὸν ὑμῶν ἁπάντων γενέσθω. πάντες ἐχειροτονήσατε· πάντες ἀνεσπάσατε. ἢ, εἰ βούλεσθε, οἱ μὲν, ἀνασπώντων· οἱ δὲ παρακαλούντων· ἀκολουθήσατε[62] τοῖς ὑμετέροις[63] αὐτῶν· ἐπειδὴ μὴ τοῖς τῶν προγόνων, οἳ τοὺς σφαγέας τῷ Κύλωνι[64] συγκαταχόντων τὴν ἀκρόπολιν ἐξήλασαν· ἐναγεῖς τε νομίσαντες, καὶ τῆς Ἀθηνᾶς ἀλιτηρίους. καίτοι μεῖζόν τι ἠδίκησαν τὴν πόλιν, ἢ τύραννον[65] ἐπάγοντες τοῖς νόμοις. ἀλλ' ὅμως

καὶ

58 λοιδορούμενον] desunt hic quaedam; sed W. plura non habet.

59 μέγα -- μέγα] sic W. μέγαν —— μέγαν M.

60 μὴ] sic W. μὲν M.

61 ἀφελκύσασθαι W.

62 ἀκολουθήσετε W.

63 post ὑμετέροις videtur παραδάγμασι deesse.

64 τῶν τῷ κύκλῳ W. etiam m. M. dat κύκλῳ.

65 f. καίτοι μέγιστον ἠδίκησαν τὴν πόλιν, τύραννον (sine ἢ) quamquam hi socii Cylonis facinus commiserant in remp. atrocissimum, tyrannum aequitati legum opponentes.

καὶ τοῖς τὰ τηλικαῦτα τολμῶσι, δοκεῖν εἰς[66] σωτηρίαν τοὺς θεούς. τότε μὲν οὖν εἰκότως οὐδὲν ἐγράφετο τοιοῦτον, τιμωμένων τῶν βωμῶν. νῦν δὲ τί φείδεσθε λίθων, ὧν ἐξηλείψατε τὴν ἰσχύν. τί στένεις Ὑπερίδη καὶ Πολύευκτε, καὶ Λυκοῦργε, καὶ πάντες οἱ τῆς ἐμῆς μιμηταὶ πολιτείας; οὐκ ἀφαιροῦμαι καταφυγῆς ὑμᾶς. οὐ. ἀλλ᾽ οὐκ ἐῶ κεναῖς ἐλπίσιν ἀπατᾶσθαι. τίς γὰρ ὑμῶν ἀνθέξεται, Δημοσθένους οὐκ ἀντιλαβόμενος;[67] τίς ὑμᾶς ἐλεήσει, τοὺς ἐμοὺς πόνους οὐκ αἰσχυνθείς; τίς ἀποδώσει τῷ βωμῷ τὴν ῥώμην, ἐν ὑμετέροις κινδύνοις, ἣν ἐν τοῖς ἐμοῖς ἀφείλετο; προσδοκῶντες μὲν οὖν ὁμοίας καθ᾽ ὑμῶν αὐτῶν πρεσβείας, νοῦν ἔχειν μοι δοκεῖτε. ὥρα δὲ ὑμῖν ζητεῖν ἑτέραν ἀποστροφήν. ἐγὼ μὲν γὰρ ὅπως ἂν σωζοίμην εὗρον. χαιρέτω μὲν τὸ φίλτατόν μοι χωρίον, ἐν ᾧ τὸν δῆμον ἐνουθέτουν. χαιρέτω δὴ βουλευτήριον καὶ προβούλευμα,[68] καὶ ψηφίσματα, καὶ πρεσβεῖαι, καὶ ταλαιπωρίαι, τοὺς μὲν ἄλλους ὠφελοῦσαι· τὸν δὲ λέγοντα ζημιοῦσαι. καί τοι Φίλιππος τοῦτό γε οὐκ ἐπέταττεν· ἀλλ᾽ ὑπὸ τῶν παθῶν παιδεύομαι σιωπᾶν. ὑμεῖς δὲ μένετε ἐπὶ τῆς τάξεως εἰ δοκεῖ. περισκοπεῖτε δὲ ἤδη λιμένα ἕτερον. ὡς ὅ γε τοῦ βωμοῦ κέκλεισαι· ἂν δ᾽ ἄρα ποτὲ, Ἀθηναῖοι, γίνωνται φιλάνθρωποι, καὶ δείξωσι πάλιν ὡς ἔχουσιν ἐν ταῖς φύσεσιν οἶκτον, καὶ τοῖς ἔργοις ἀνανεώσονται τὸν ἔλεον, ἔσται τις γράφων ἱδρῦσθαι πάλιν τὸν βωμόν.

66 f. τολμῶσιν ἐνόμιζον (vel ἡγοῦντο) ἀρκεῖν εἰς σ.

67 ἀντιλαμβανόμενος W. et m. W.

68 f. προβουλεύματα.

ΑΛΛΗ ΜΕΛΕΤΗ.

ΘΕΩΡΙΑ.

Μετὰ τὰ ἐν Χαιρωνείᾳ ἔπεμψε Φίλιππος ὑπισχνούμενος τοὺς χιλίους αἰχμαλώτους, εἰ λάβοι Δημοσθένην· ἀξιοῖ Δημοσθένης ἐκδίδοσθαι.

ΔΗΜΟΣΘΕΝΗΣ.

ΤΩΝ πρέσβεων ἡκόντων, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ λόγου διαδοθέντος ὅτι Φίλιππος, τὰ μὲν δοῦναι βούλεται τῇ πόλει, τάδ᾽ ἀντὶ τούτων παρ᾽ ἐκείνης λαβεῖν, παρεσκευαζόμην εὐθὺς, ὡς συμβουλεύσων ὑμῖν λαβεῖν μὲν,[2] καὶ θεραπεύοντα τὴν πόλιν ἐκεῖνον προσιέσθαι. πάτριον γὰρ ἡμῖν Μακεδόνας ὑποπεπτωκότας ἔχειν· οὐ μέν τοι καὶ δοῦναί γε τῶν ἡμετέρων οὐδέν· οὐ γὰρ ταῦτα παρὰ τῶν προγόνων δεδιδάχθαι τὸν δῆμον. τῆς δὲ ἐπιστολῆς ἀνεγνωσμένης, καὶ τῶν ἐκεῖθεν ἀκόλουθα τοῖς γεγραμμένοις εἰρηκότων, ὡς γένοιτ᾽ ἂν ὑμῖν τοὺς αἰχμαλώτους κομίσασθαι, Φιλίππῳ παραδόντας ἐμὲ, τῆς μὲν γνώμης ἐκείνης ἀπέστην, ἐπαινῶ δὲ ἄμφω, καὶ ἃ δίδωσιν, καὶ ἃ λαβεῖν ἀξιοῖ· καὶ γὰρ ἂν εἴη δεινὸν, πάντα τὸν χρόνον τὰ τῇ πόλει συμφέροντα περὶ πλείονος τῆς ἐμαυτοῦ[3] πεποιημένον[4] σωτηρίας, νῦν ἐξαίφνης μεταβεβλημένον ὁρᾶσθαι. τοῖς μὲν οὖν αἰχμαλώτοις, ὦ ἄνδρες Ἀθηναῖοι, συγχαίρω τῆς[5] μὲν Μακεδόνος δεσποτείας ἀπαλλαττομένοις

[1] δισχιλίους B.
[2] λαβεῖν μὲν] scil. ὑμᾶς τὰ παρ᾽ αὐτοῦ δοθέντα.
[3] ἐμαυτοῦ] aut sic cum B. leg. aut ἐμῆς. M. dat ἐμαυτῆς.
[4] post πεποιημένον addendum videtur ἐμέ. B. d. πεποιημένου.
[5] τῆς] sic B. τοῖς M.

μένοις, καὶ τοῦ κυρίους αὐτῶν ὁρᾶν τοὺς ἐχθροὺς, ὃ δοκεῖ πάντων εἶναι πικρότατον, ἀπολαμβάνουσι δὲ τὴν πατρίδα, καὶ τὰ αὐτῶν ἴδια, καὶ συγγενεῖς, καὶ τὰ ἄλλα ὧν ἀπολαύειν[6] ἐζήτουν. εὐδαίμων[7] ἐγὼ δὲ,[8] εἰ καὶ τοῖς ἄλλοις δοκῶ πάντων ἀθλιώτατος εἶναι, τῶν μὲν παρ' ὑμῖν ἀγαθῶν ἀποστερῶν ἐμαυτὸν, ἑκὼν δ' ὑπὸ τὰς χεῖρας τῶν ἐχθίστων ἐμοὶ πορευόμενος· ὅμως ἔχω πρὸς παραμυθίαν ἀρκοῦν, τὸ, τῶν ὑμετέρων τι πρὸς τὸ βέλτιον ἄγων, ταῦτα πάσχειν[9] ἐθέλειν. ὥσπερ γὰρ ἐκείνοις ἡδὺ τὸ κομίζεσθαι τὴν οἰκίαν·[10] οὕτως ἐμοὶ τὸ, διὰ τῆς ἐμῆς ψυχῆς, ἐκείνοις ἀποδοθῆναι[11] τὰς Ἀθήνας. εἵμαρται δὲ ὡς ἔοικεν ἅπαν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ πρᾶγμα τοῦτο τὸ μετὰ τὴν ἐν τῇ Πυλαίᾳ ταραχὴν, ἣν ὁ κεκινηκὼς, Φαιδρὸς ἐν[12] τῇ πόλει περιέρχεται, τῶν ἄλλων λυπουμένων, δι' ἐμοῦ, καὶ τῶν ἐμῶν λόγων, καὶ τῶν ἐμῶν ψηφισμάτων καὶ τοῦ μοῦ σώματος, διοικηθῆναι τῇ πόλει· οὔτε γὰρ ὅθ' ἧκεν ὁ καταλελῆφθαι[13] τὴν Ἐλάτειαν λέγων,[14] καὶ τοὺς δειπνοῦντας ἀπὸ τῶν τραπεζῶν ὁ φόβος ἀνίστη, καὶ τὸν δῆμον ὀξύτερον τῆς βουλῆς ξυνελθεῖν ἠνάγκασεν, ἄλλος τις πλὴν ἐμοῦ παρελθεῖν ἐτόλμησε. τὴν μὲν γὰρ ἐμὴν εὔνοιαν, ἴσως ἄν τις καὶ παρ' ἑτέροις εὗρεν· ᾔδει δ' οὐδεὶς ὁμοίως τὸν Φίλιππον. διόπερ ἐσίγων ἅπαντες. ἐπειδὴ δὲ Θηβαίους ἐδόκει λυσιτελεῖν ἡμετέρους γενέσθαι· τὸ δ' ἦν, ὦ ἄνδρες Ἀθηναῖοι, χαλεπὸν, διὰ τοὺς ἐρεθίζοντας ἐπ' ἀλλήλας τὰς πόλεις· οὕτως[15] ἧκων ἐκεῖσε κατὰ πρεσβείαν, ὃ μηδεὶς[16] ἂν ποτ' ἤλπισε, τῶν Φιλίππου πρέσβεων[17] παρὰ Θηβαίοις ἐκράτησα λέγων.

καὶ

[6] ἀπολαύειν] sic B. ἀπολαβεῖν M.

[7] lege εὐδαιμονῶν.

[8] ἔγωγε m. M.

[9] ἄγον τῷ πάσχειν B.

[10] malim οἰκείαν. patriam

[11] ἀποδοθῆναι] sic B. scil. ἐμοὶ ἀποδοῦναι M.

[12] ὡς ἐν B.

[13] pro καταλελῆφθαι, quod ab vsu abhorret, malim καταλῆφθαι.

[14] ἀγγέλλων B. non male.

[15] οὕτως] aut sic cum B. leg. est, aut ὅμως. M. dat ἔτος.

[16] ὃ μηδεὶς] vestrum puta.

[17] τῶν Φιλ. πρ. cohaeret non cum μηδεὶς, (nam ad id quidem voc. subauditur ὑμῶν) sed cum ἐκράτησα.

καὶ πρὸ τοῦ πολλὰ κεχαρισμένου Φιλίππου, τοὺς οὐκ ὀλίγα λελυπηκότας ὑμᾶς ἑλέσθαι, τὴν Θηβαίων ἔπεισα πόλιν· καὶ οὐκ ἂν ἐμαυτὸν ἐμεμψάμην. εἰ γὰρ καὶ τὰ μάλιστα τὸ μῖσος ἐκεῖθεν ηὐξήθη τὸ πρὸς ἐμὲ, τῷ νῦν τούτῳ με βουλομένῳ λαβεῖν· ἀλλ᾽ ἐστεφανούμην παρ᾽ ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι· τοῖς δὲ φθόνῳ γραψαμένοις, αἰσχύνεσθαι περιῆν ἡττωμένοις, ἔτι τοίνυν τῆς μὲν ἀρετῆς ὑμῶν ἐν οἷς πολλάκις ἐκρατήσατε τῶν πολεμίων φανείσης,[18] τοῦ τέλους δὲ οὐ προσλαβόντος[19] τὴν τύχην, διὰ τῆς ἐμῆς φωνῆς ἐκοσμήσατε τοὺς ἐν τῇ μάχῃ καλῶς ἀποθανόντας· ᾔδειτε γὰρ ἐμὲ πλεῖστα ὑπὲρ ἐκείνων εὐξάμενον. γενομένου τοίνυν τοῦ τάφου, καὶ τοῦ περιδείπνου παρ᾽ ἐμοί· καὶ γὰρ τοῦτο τετίμηνται παρὰ τῶν τοῖς πεσοῦσιν οἰκείων· ἐπὶ τὰς[20] ὑπὲρ τῶν αἰχμαλώτων, εὐθὺς ἐτρεπόμην φροντίδας· νομίζων καὶ τούτους οὐδὲν ἧττον ἀγαθοὺς, καὶ οὐδεμιᾷ κακίᾳ ταύτην ὑπομεῖναι τὴν τύχην· ἀλλ᾽ εἶναι τῆς ἀνδρείας αὐτῶν, οὐ μικρὸν καὶ τοῦτο σύμβολον, τὸ μαχομένους ἁλῶναι. οἱ μὲν γὰρ δειλοὶ καὶ φοβούμενοι τὰ τραύματα, συμπίπτειν μὲν οὐ τολμῶσιν· ἀρχομένης δὲ τῆς μάχης τὰ ὅπλα ῥίψαντες, ἑαυτοὺς εἰώθασι σώζειν. οἱ δ᾽ ἀξιοῦντές τι δρᾷν, καὶ συμβάλλοντες τὰς ἀσπίδας, καὶ σφῶν αὐτῶν ἀφειδοῦντες, οὗτοι καὶ λαμβάνονται. διὰ ταῦτα ἐσκόπουν πρὸς ἐμαυτὸν, πῶς ἂν αὐτοὶ ταχέως ἀνασωθεῖεν· καὶ δὴ καὶ ἔμελλον[21] ἐρεῖν ἐν ὑμῖν, ὅπως τοῦτο γένοιτο ἄν· οὐδὲ τὸν γὰρ Φίλιππον εὕρισκον ἡδέως ἂν ἔχοντα τοσούτους Ἀθηναίων ἐπὶ τῆς αὐτοῦ χώρας ἐχθρούς· οἷς οὔτε στρατιώταις ἔμελλε δήπου χρήσεσθαι[22] σφαλερὸν γάρ· οὔτε συνάγων εἴς τι χωρίον κατέχειν, ὅθεν οὐκ ἦν ἀποδράναι ῥάδιον. τό, τε ἄλλως ἔχειν ἐν δεσμοῖς, οὔτε ἀνθρώπινον, οὔτε κερδαλέον. ἦν οὖν δῆλον, ὡς ἡμῶν ἀποστειλάντων τοὺς περὶ τούτων αὐ-

τῷ

[18] φανάσαν B.
[19] προσλαβόντος] sic B. προσλαβόντες M.
[20] τὰς sic B. τοῖς M.
[21] καὶ δὴ καὶ ἔμ.] sic B. καὶ deest M.
[22] χρήσεσθαι] sic B. χρήσασθαι M.

τῷ διαλεξομένους· καὶ τῷ παλαιῷ περὶ τοὺς αἰχμαλώτους[23] χρησαμένους νόμῳ, ποιήσει τοῦτο, ὃ πολλοὶ πολλάκις· καὶ οὕτως[24] αὐτὸς ἀφήσει καὶ ἀποπέμψει, βουλόμενος καὶ ἄλλως αὐτῷ χάριν τινὰ κεῖσθαι παρ' ἡμῖν· ὅπως εἰ μεταπέσοι τὰ παρὰ τοῦ δαιμονίου, δύνηταί τινος ἀναμιμνήσκειν τὸν δῆμον. ᾔδει γὰρ, ᾔδει καὶ νῦν[25] οὐκ ἀρετῇ νενικηκὼς, τῇ δὲ τύχῃ πλέον ἐσχηκώς. ὅθεν αὐτὸν ἀκούω μηδὲ στεφανώσασθαι· λογιζόμενον[26] τίς ὢν, τίνων ἐφάνη κρείττων. ταῦτα δή μου[27] σπουδάζοντος, καὶ τοὺς περὶ τούτων ἐν χεροῖν ἔχοντος λόγους· ἔφθη τὴν ἐμὴν περὶ ταῦτα πρόνοιαν, ἡ Φιλίππου[28] πρεσβεία. διὰ τί δὴ ταῦθ' οὕτως εἶχεν. ἐκεῖνος οὐκ ἐλπίσας ἕνα Ἀθηναῖον[29] λήψεσθαι παρὰ Ἀθηναίων· ἀρκεῖ γάρ μοι τοσοῦτον εἰπεῖν·[30] τοὺς τοῦτο[31] αἰτήσοντας ἔπεμψεν; οὐχ οὕτως ὑμᾶς[32] ἀλλοτρίους ἡγεῖται τῶν πατέρων, οὐδ' ἀνήκοος ἐστι τῶν παλαιῶν πολέμων, ἐν οἷς πολλῶν πολιτῶν εἰς τοὺς πολεμίους ἁλόντων, οὐδεὶς τοιαύτην εὕρατο λύσιν· ἀλλ' ἐνεθυμήθη πρὸς αὐτὸν, ὡς αἰτήσω μὲν ἐγὼ τὸν Δημοσθένην· ὁ δὲ ἀντερεῖ παρελθών. καὶ ὁ μὲν δῆμος οὐ δώσει,

23 τῶν αἰχμαλώτων B.

24 οὗτος B. non male. quod ſi probatur, diſtinguendum erit ſic: ποιήσει τοῦτο, ὃ πολλοὶ πολλάκις, (ſcil. ἐποίησαν) καὶ οὗτος, quod multi multories fecerunt, idem hunc quoque facturum eſſe; tum ſubiungit expoſitionis ergo, per aſyndeton, αὐτὸς ἀφήσει vltro eſſe dimiſſurum.

25 νῦν cohaeret cum νενικηκὼς, ſe non ſolummodo aliis in pugnis, ſed nunc quoque, in hac poſtrema, nobiſcum ad Chaeroneam commiſſa, viciſſe quidem, at non virtute ſua.

26 λογιζόμενον] ſic B. recte, redit enim ad αὐτόν. λογιζόμενος M.

27 δή μου] ſic B. duobus diviſis vocabulis. δήμου M.

28 ἡ Φιλ. πρ.] ſic B. ἡ deeſt M.

29 ἕνα Ἀθην.] orator ipſe ſeſe deſignat.

30 ἀρκεῖ γάρ μοι τοσοῦτον εἰπεῖν] nam plura de me praedicare poteram et dicere, *principem et columen Athenarum.*

31 malim τοῦτον in maſculino; illum vnum e ciuibus Athenienſibus.

32 f. οὐχ ὅτι πως (enclitice) ὑμᾶς non eo quod vos, neſcio qui et vnde, exiſtimet — aut οὐχ ὅτι παντελῶς ὑμᾶς.

δώσει, λυπήσει δὲ τοῦτο τοὺς τῶν αἰχμαλώτων[33] οἰκείους· παραιρήσεται δὲ τὸ πρᾶγμα τῆς τοῦ ῥήτορος παῤῥησίας, καὶ τοὺς ἀντιδίκους[34] ἕξει πολλούς, ὁπόταν ἐπιχειρῇ τι λέγειν. τοιαύταις αὐτὸν ὁ βέλτιστος ἐψυχαγώγησεν ἐλπίσιν; οὐ μὴν τά γε ἡμέτερα τοιαῦτα· πόθεν; ὡς γὰρ ἤκουσα τῆς ἐπιστολῆς, οὐδεὶς τῶν ἐκείνοις ἐγγύτατα γένει· πολλοὺς δὲ ὁρῶ καθημένους· οὔτ᾽ ἐβόησεν οὔτ᾽ ἐθορύβησεν, ὡς δεῖ καὶ δοῦναι[35] καὶ λαβεῖν· ἀλλὰ καὶ δακρύοντας ἔγωγε εἶδόν τινας ἐπ᾽ ἐμοὶ μᾶλλον, ἢ τοῖς ἑαλωκόσιν. ἐλογίζοντο γάρ, οἶμαι, τοῦθ᾽, ὅτι τὸ μὲν ἐκείνων,[36] ἐκ πολλῶν παραδειγμάτων ἔχει παραμυθίαν, καὶ νόμῳ πολέμου συμβέβηκε· τὸ δ᾽ ἐμὸν καινὸν ἄν, καὶ οὔπω πρόσθεν γεγενημένον, καὶ μόνῳ[37] τῶν πάντων συμβεβηκός. οὕτως ἐστε ὦ ἄνδρες,[38] χρηστοί, καὶ φιλάνθρωποι καὶ πρὸ τῶν ὑμετέρων ἰδίων τὴν κοινὴν δόξαν ποιούμενοι. καὶ τὰ μὲν παρ᾽ ὑμῶν, οὕτω καλά, καὶ τοῦ τῆς πόλεως ἤθους· τὰ παρ᾽ ἐμοῦ δὲ ἴσως, οὐ χείρω. δίδωμι γὰρ ἐμαυτὸν τοῖς ἥκουσι, καὶ βαδίζειν εἰς Μακεδονίαν ἕτοιμος.[39] καὶ ὃ μηδὲ τῶν παρ᾽ ἐκείνου πλουτούντων, μηδὲ εἷς ἐτόλμησεν εἰπεῖν, τοῦτο ἐγὼ[40] καὶ λέγω καὶ γράφω, καὶ εἶμι πεισόμενος, ὅ, τι ἂν τῷ Φιλίππῳ δοκῇ·[41] καὶ τῶν ἡδίστων ἅπασι καὶ τιμιωτάτων, δήμου, φυλῆς, οἰκίας, ἱερῶν, ὁσίων, τάφων πατρῴων, πολλῶν ἑτέρων, βραχὺς ἔμοι γε λόγος, διὰ τὴν πρὸς ὑμᾶς εὔνοιαν· ἔστι γάρ, οἶμαι, καὶ δίκαιον καὶ προσῆκον οὕτως ἑκατέρους φρονεῖν, καὶ ὑμᾶς μὲν ἔχεσθαι τῶν πολιτικῶν, καὶ μηδὲν ἡγεῖσθαι τηλικοῦτον, δι᾽ ὃ δεῖ[42] ἐκδοῦναί τινα τοῖς

ἐχθροῖς·

33 τῶν αἰχμαλώτων] qui sic in captiuitate manebunt, cum Demosthenes non traditur.

34 post ἀντιδίκους addit B. ὄντας vnde efficio, οὕτως, hoc pacto.

35 καὶ δοῦναι] scil. ἐμέ. καὶ λαβεῖν] scil. ἀντ᾽ ἐμοῦ τοὺς αἰχμαλώτους.

36 τὸ μὲν ἐκείνων] acerba sors captiuorum, dura seruitus ab ipsis toleranda.

37 μόνῳ] scil. ἐμοί.

38 οὕτως ἐστὲ ὦ ἄνδρες] sic B. ἐστὲ deest M.

39 ἀνέτοιμος. B.

40 τοῦτο καὶ ἐγὼ B.

41 δοκεῖ B.

42 διὸ δὴ B.

θεοῖς· μηδὲ κέρδος, μηδὲ φόβον, μηδὲ[43] καιροῦ δυσκολίαν· ἡμῶν δὲ ἕκαστον ὑπὲρ τῶν ὑμῖν συμφερόντων, μηδὲν ὀκνεῖν, ἀλλ' ἐναντία,[44] φησὶν, πείθειν ἐπιχειρεῖς τὸν δῆμον, τοῖς τε νόμοις ἅμα καὶ τοῖς παρὰ πάντα τὸν χρόνον βεβιωμένοις τῇ πόλει· καὶ ποίοις ὀφθαλμοῖς ὀψόμεθα τοὺς Ἕλληνας, καὶ τίνα καλὴν ἐροῦμεν τοῖς ἐρωτῶσι πρόφασιν· καὶ τοιαῦτα ἐροῦσί τινες. ἐγὼ δὲ εἰ μὲν ἔμελλε τοῦ δήμου τὸ ἔργον ἔσεσθαι, καὶ ὑμεῖς ἐμοῦ κεκραγότος, καὶ τοὺς νόμους ἀναγινώσκοντος, καὶ λέγοντος, Ἀδικεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Σόλωνα. καὶ τὸν Δράκοντα, καὶ τοὺς παραδεδομένους ὑμῖν ὑπὸ τῶν προγόνων νόμους τε, καὶ κανόνας. ἐν οἷς[45] ἐκεῖνοι μένοντες ἐστράτευον ὑπὲρ ἀνθρώπων μηδὲν αὐτοῖς προσηκόντων, μηδὲ ἐσχηκότων ἄλλο πρὸς αὐτοὺς δίκαιον, πλὴν ἱκετείας[46] μηδέν. καὶ τί δεῖ τοὺς Ἡρακλείδας, ἢ τὸν Ἄδραστον λέγειν. ἀλλ' ἐκεῖνοί γε καὶ βαρβάροις βοηθοῦντες, ἐπλήρωσαν ναῦς, ὅπως μὴ ἐξῇ τοῖς ἰσχυροτέροις ἀδικεῖν· ἐγὼ δὲ εἰ μηδὲν ἄλλο, Ἀθηναῖός εἰμι καὶ γεννητὰς ὑμῖν παρασχοίμην, ἂν καὶ[47] φράτορας· καὶ μετέχω τοῦ ληξιαρχικοῦ γραμματείου. καὶ ταῦτα πάντες ἂν μοι μαρτυρήσαιεν παιδείαν· οἷς[48] καὶ πλείω τούτων ἴσως φέροντά τινα φιλοτιμίαν. ἀλλ' ἐμοί γε ἀρκεῖ τὸ γένος εἰπεῖν· τοιαῦτα ἂν ἐν ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, διελέχθην εἴ τι ταπεινὸν ἑώρων ποιοῦντας, καὶ ἀνάξιον τοῦ τῆς πόλεως ὀνόματος. ὃς γὰρ οὐδὲ τῶν ἄλλων Ἑλλήνων

οὐδένα

43 μὴ B.

44 ἀλλ' ἐναντία] sic B. ἀλλ' οἷς ἐν. M.

45 καὶ κανόνας. ἐν οἷς] sic B, et explet lacunulam, nam κανόνας deest M.

46 τῆς ἱκετείας B.

47 ἂν καὶ] sic B. ἂν deest M.

48 pro οἷς leg. esse δὲ, videor mihi cernere. reliquas huius loci mendas non valeo eluere; nisi sic accipias παιδείαν δὲ — cum aposiopesi, scil. λέγοιμι ἂν τὴν ἐμὴν καὶ πλείω τούτων (scil. λέγοιμι ἂν) literas autem meas, aliasque plures laudes praeter istas nonnullam fortassis praebentes gloriationis materiam, scil. praedicarem.

οὐδένα ἐῶν τῷ Φιλίππῳ προΐεσθαι, ἀλλὰ καὶ χρήματα καὶ σώματα ἀναλίσκειν παρῄνουν, ὡς ταύτης ὑμῖν ὑπὸ[49] τῶν πατέρων παραδεδομένης τῆς τάξεως· χολῇ γ' ἄν τινα περιεῖδον ἀπὸ τῆς ἐκκλησίας ὑμᾶν διδόντων[50] εἰς τοὺς βαρβάρους ἀγόμενον· ἀλλὰ νῦν καθαροὶ μὲν ὑμεῖς αἰτίας, καὶ ἄμεμπτοι πανταχῇ· καὶ οὐδὲν ἀσεβείας ἔγκλημα παρ' οὐδενὸς ἐπὶ τὸν δῆμον ἥξει. τὸ πᾶν δὲ ἐμὸν ἐσαι· αὐτοῦ μὲν διδόντος, αὐτοῦ δὲ ἐκδιδομένου. οὐ γὰρ γεγράψεται ψήφισμα, ἔδοξε[51] τῷ δήμῳ τῶν Ἀθηναίων· ἀλλ', ἔδοξε Δημοσθένει περὶ[52] Δημοσθένους· τοῦτο δέ ἐστιν ὑμᾶς μὲν οὐδὲν εἶναι χείρους·[53] ἐμὲ δὲ τὸν αὐτὸν τῷ πάλαι περὶ ὑμᾶς. ἐγὼ γὰρ τοῖς κοινοῖς προσιὼν, καὶ μιμούμενος οὐκ Αἰσχίνην, οὐδὲ Φρύνωνα τὸν ἀνδρεῖον, καὶ οὐδὲν αἰσχυνόμενον, οὐδὲ Δημάδην, οὐδὲ Φιλοκράτην· ἀλλ' Ἀριστείδην καὶ Περικλέα, καὶ Νικίαν,[54] τοὺς οὐκ[55] εὐνουστέρους μὲν ἴσως[56] ἐμοῦ περὶ τὸν δῆμον· λέγοντας δὲ ἐν εὐτυχεστέροις τοῖς τότε. ἐπιθυμῶν δὲ[57] τοῦ τύπου τῆς ἐκείνων τῶν ἀνδρῶν πολιτείας, καὶ λυπῶν ὑμᾶς ἐν οἷς ὠφέλουν, πολὺ πλέον ἐλύπουν τὸν βουλόμενον ὑμᾶς πραγμάτων ἐκβαλεῖν· καὶ αὐτὸν μὲν περιεῖναι[58] μεθ' ὅπλων, ὑμᾶς δὲ καθῆσθαι. ταῦτ' οὖν οὐκ ἀκίνδυνα ᾔδειν πολιτευόμενος· ἀλλ' ὅμως μᾶλλον ἡγούμην δεῖν, εἰ συμβαίη, τελευτᾶν, ἢ λείπειν ἣν[59] ἔταξα τάξιν ἐμαυτόν.[60] νῦν οὖν ἀπαιτοῦντος τοῦ καιροῦ προθυμίαν, δειλὸς φανῶ;[61] καὶ ποῦ δίκαιον; αἰσχύνομαι[62] τοὺς παρ' ὑμῶν, ὦ ἄνδρες Ἀθη-

[49] παρὰ B.

[50] διδόντων] sic B. διδόντα M.

[51] ἔδοξαι B.

[52] παρὰ B.

[53] χάρας] subaudi τῶν πρὶν γεγονότων πρὸς ἐμε.

[54] νικίδην B.

[55] οὐκ] ὀλίγα B.

[56] ἴσως] εἴς τι B.

[57] δὲ] δὴ B.

[58] lege περιϊέναι, circumire.

[59] si ἣν accipitur pro καθ' ἣν, vel ἐν ᾗ, bene poteſt locus hic habere et habet. v. p. 445. 33 ed. Mor.

[60] ἐμαυτῷ B. et m. M.

[61] poſt φανῶ addit Bau. καὶ πῶς φανῶ.

[62] pro ter iterato αἰσχύνομαι (cuius loco B. dat αἰσχύνομεν) toties leg. mihi videtur αἰσχύνειν, ita tamen, vt primo loco αἰσχύνειν με legatur, duobus

Ἀθηναῖοι, στεφάνους· αἰσχύνομαι πολλοὺς καὶ καλοὺς λόγους. πολλὰ καὶ συμφέροντα ψηφίσματα· αἰσχύνομαι νόμους· ἄλλους τε οὐκ ὀλίγους, καὶ δι᾽ οὗ τὸν ναυτικὸν ὑμῖν σέσωσται. ἀλλ᾽ ὁ τὸν Ἀντιφῶντα μὲν κωλύσας ἐμπρῆσαι τὰ νεώρια, καὶ παραδοῦναι Φιλίππῳ τὴν θάλατταν,[63] τὴν δεινότητα δὲ τοῦ Βυζαντίου ῥήτορος ἀσθενεστέραν[64] ἀποφήνας τῶν τῆς πόλεως δικαίων. μισῶν δὲ συμπρέσβεις πονηροὺς, καὶ οὐδὲν τῶν ἰδίων αἰδούμενος κατὰ τῶν[65] ὑμῖν συμφερόντων, νῦν ἀποστῶ τῆς ἀρχαίας εὐνοίας. τίνα μέλλων τῶν Ἑλλήνων λανθάνειν· οὐδὲ γὰρ αὖ τοῦτό γε ἔνεστιν εἰπεῖν, ὡς οὐκ εἰς πολλοὺς ἥξει τῆς ἐμῆς ῥαθυμίας ὁ λόγος· οὐδ᾽ ὡς ἐν τοῖς[66] περιχώροις τούτοις, Εὐβοεῦσι λέγω, καὶ Θηβαίοις, καὶ Μεγαρεῦσι, στήσεται[67] τὸ τῆς αἰσχύνης. ἀλλὰ καὶ τοῦτο ἐμοὶ μεγάλη ζημία, τὸ βεβοῆσθαι τὴν ἐμὴν πολιτείαν. τὸ δ᾽ αἴτιον, ἔδωκα τοῖς Ἑλληνικοῖς ἐμαυτόν. καὶ αἱ πολλαὶ[68] πρεσβεῖαι μὲν[69] παντὶ[70] τῷ γένει τῶν Ἑλλήνων ἔδειξαν. καὶ οὐ τοῖς Ἕλλησι μόνον, ἀλλ᾽ ἤδη καὶ πολλοῖς τῶν βαρβάρων. ὡς βασιλέα δὲ αὐτὸς[71] μὲν οὐχ᾽ ἧκον. λέγεται δὲ ἀφῖχθαί τις[72] ὑπὲρ τῶν ἐμῶν ταλαιπωριῶν λόγος. ταύτην οὖν ἅπασαν τὴν γῆν ἀνέξομαι τὰ χείρω περὶ ἐμοῦ δοξάζειν; καὶ τῶν ἐμοὶ παρ᾽ ὑμῖν φθονούντων ἐνίους ἔχειν εἰπεῖν, ἀνεῖλε πολλὴν καὶ μεγάλην Δημοσθένης εὔκλειαν· ἣν ἐν μακρῷ μὲν χρόνῳ, διὰ πολλῶν δὲ πόνων συνήγα-

bus autem posterioribus με omittatur. qui aequum sit, me maculam adspergere coronis aureis, quibus ornatus a vobis fui; me dedecorare atque infamare tot a me habitas orationes.

[63] τὴν θάλατταν] scil. ἐλευθέραν.

[64] ἀσθενεστέραν] sic B. ἀσθενεστάτην M.

[65] f. οὐδὲν τῶν ἠδίων (vel ἠδίστων) αἱρούμενος πρὸ τῶν ——

[66] ὡς ἐν τοῖς] sic B. ἐν omittit M.

[67] συστήσεται B. συστήσασθαι m. M.

[68] post πολλαὶ deleui μὲν, quod deest B.

[69] malim με.

[70] παντὶ] sic B. πάντα M.

[71] αὐτὸς] sic B. egomet ipse quidem. αὐτὸ M.

[72] τις] sic B. τῆς M.

ἤγαγεν, ὁ χορηγῶν ἐκεῖνος ἐθελοντὴς, καὶ τριήρεις ἐπιδιδούς. ὁ τὴν Εὔβοιαν ἐλευθερῶν. ὁ τὸν Ἑλλήσποντον ῥυόμενος· ὁ Χεῤῥόνησον σώζων· δι᾽ ὃν ἔπλεον πανταχόθεν[73] οἱ στεφανώσαντες[74] τὸν δῆμον. ὁ πᾶσι τοῖς ἐπείγουσιν αὐτὸν ἀφειδῶς δεδωκὼς, νῦν ἐξ αὐτῆ φιλοτιμήσασθαι τῆ[75] σώματος ἔχων, ὐκ ἠθέλησε. διὰ τί γάρ, φησὶν, οὓς εὑρηκέναι φὴς λύσεως ἑτέρους τρόπους, οὐ λέγεις, ὦ Δημόσθενες; ὅτι εἰσὶ μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ καλοὶ καὶ εἰωθότες· οὐ γὰρ ἀρνησαίμην· χρόνου δὲ τινὸς δέονται·[76] δεῖ δὲ οἶμαι τάχους. οἷος ἂν εἴπω, χρήματα δεῖν εἰσφέρειν, πείσω μέν· οὐδεὶς γὰρ οὕτως Ἀθηναίων οὔτ᾽ ὠμὸς οὔτ᾽ ἄπειρος τῆς ὑπὲρ τῶν δικαίων δαπάνης, ὅστις ἂν τολμήσειε τὸ ἀνάλωμα φυγεῖν. εἰ γὰρ ὑπὲρ τῶν ἠδικηκότων ὑμᾶς[77] εἰς κίνδυνον εἰκότως εἰσηνέγκατε[78] προθύμως, πῶς ἂν οὐχ ὑπὲρ τῶν πολιτῶν ἡ σπουδή· τί[79] δοῦναι μικρὸν ἕκαστον[80] ἀργύριον, ζημίαν ἡγεῖσθε· ἀλλ᾽, ὁρᾷς; δεῖ[81] μὲν νικῆσαι ψήφισμα.[82] δεῖ δὲ τοὺς εἰσπράττοντας, τοῖς ὀφείλουσι προσελθεῖν, πρέσβεις ἑλέσθαι[83] τὸν δῆμον, τοὺς διαλεξομένους Φιλίππῳ περὶ τῆς ἀνίσης[84] τύχης. ἡμερῶν ταῦτ᾽ ἢ πέντε, ἢ δέκα, ἢ καὶ πλειόνων. βαρὺ δὲ οἶμαι τῦτο, τοῖς ποθοῦσι τοὺς αὐτῶν. ἀλλ᾽ εἴπω τρόπον ἕτερον, ὃς[85] καὶ παρ᾽ ἄκοντος τῆ Φιλίππου τὰ σώματα λήψεται; καλεῖν τοὺς Ἕλληνας ἅπαντας· ἐπίστανται δὲ τὴν πλεονεξίαν αὐτῆ.

[73] πάντες B.

[74] malim in futuro στεφανώσοντες. legati, qui coronat aureas secum ferrent quas nomine suae quisque reip populo Atheniensi donarent.

[75] τῆ] sic B. τὸν M.

[76] δέονται] sic B. δεόντων M.

[77] f. ἠδικηκότων ὑμᾶς, ἢ εἰς κινδύνες καθεικότων, εἰσηνέγκατε προθύμως, πῶς ἂν ὐχ (scil. εἰσοίσετε προθύμως) ὑπὲρ τῆ τῶν πολιτῶν ὅσης τῆς σπυδῆς. ἢ τὸ δῦναι — ἡγεῖσθε; cum signo interrogationis.

[78] ἴσ. ἥκατε m. M.

[79] τὸ B.

[80] ἕκαστος B.

[81] νῦν B.

[82] ψηφίσματα B.

[83] ἑλέσθαι B.

[84] ἀνίσης] sic dedi iniquitate et mutabilitate atque perfidia fortunae. ἀνάσης M. ἀνθρωπίνας B.

[85] πῶς ὃς B.

αὐτοῦ, καὶ ὡς ἠγάπα[86] μὲν οὐδένα· καθ' αὐτὸν δὲ τοὺς ἐλπίζοντας ἐκολάκευε· καὶ οἱ μὲν, ἠπάτηνται, ὁ δὲ, γελᾷ. ταῦτ' εἴπω. καὶ τὸ δεῖν ὑμᾶς τριήρεις καθέλκειν· εἰσὶ δὲ πολλαὶ καὶ εὐτρεπεῖς, καὶ οὐδὲν λελύμανται Χαιρώνεια τοῖς κατὰ θάλατταν πράγμασιν· οὐδ' ἂν ἐνέγκαι Φίλιππος ἡμᾶς κακῶς ποιοῦντας τὴν ἑαυτοῦ, ἀλλ' ἀποδώσει πιεζόμενος, πρὸς τοῖς αἰχμαλώτοις, καὶ χωρία καὶ πόλεις. ἀλλὰ πάλιν χρόνος καὶ πλείους ἡμέραι τῶν ἐπὶ τὰς εἰσφοράς.[87] ἐγὼ δὲ τὰ ὑμῖν ἥδιστα τήμερον ἂν γενέσθαι βουλοίμην, καὶ μηδεμίαν παρ' ἐμὲ περὶ ταῦτα συμβαίνειν ἀναβολήν. εἰ μὲν οὖν ἦν μοι τοσαῦτα χρήματα, ὦ ἄνδρες Ἀθηναῖοι, δι' ὅσων ἂν ἐλυσάμην τοσούτους, ἐποίουν ἂν ταυτὸν τοῖς ἐπὶ τῆς πρεσβείας. τί δ' ἦν[88] ὃ τότε ἐποίησα; τῶν ἄλλων πρέσβεων ἐκεῖθεν δεῦρο κομιζόντων χρυσίον, αὐτὸς[89] ἐνθένδε ἐκεῖσε φέρων, ἐπανῆγον τῶν αἰχμαλώτων, ὅσους οἷός τε ἦν. καὶ νῦν οὐκ ἂν ὤκνησα τὸν αὐτὸν τρόπον ἀπαλλάξαι χείρονος τοὺς πολίτας τύχης, εἰ παρῆν μοι τοσοῦτον ἀργύριον· ἀλλ' οὐκ ἔστι τοσοῦτον.[90] τοσοῦτον λέγω; μικρὸν μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, πάνυ μικρόν. ἄνευ γὰρ τοῦ μηδὲ πολλοστὸν μέρος τῶν πατρῴων ἀπολαβεῖν, αὐτὸ τοῦτο εἰς ὑμᾶς ἀνήλωται· κέρδος δὲ πονηρὸν, οὐδαμόθεν οὐδέν. τί λοιπόν; ἀντὶ χρημάτων, εἰσενεγκεῖν τὴν ψυχήν. τί οὖν, φησὶν, ἂν οἱ μὲν[91] ὦσι παρ' ἡμῖν, ὁ δὲ δι-

δάσκων

86 ὡς οὐκ ἠγάπα B.

87 τῶν ἐπὶ τὰς εἰσφοράς] scil. ἀναγκαίων. multo plures dies, quam requirebantur in priore exemplo, vbi solummodo pecuniae proponebantur exigendae; id quod opus erat haud paucorum dierum.

88 δ' ἦν] δηναῖς B. f. voluit τί δῆτα ἦν.

89 post αὐτὸς recte abest δὲ s. B. quod deleui. οἷον B.

90 τοσοῦτον. τοσοῦτον] sic B. sed et alterum expungendum est. vnum sufficit, et sic leg. ἀλλ' οὐκ ἔστι *sed non est.* τοσοῦτον λέγω. tantum aes nempe. wohl zu verstehen. non nego, mihi nummorum quid esse, sed nego esse tantum. τοσοῦτο. τοσοῦτο M.

91 οἱ μὲν] scil. αἰχμάλωτοι. m. M. dat. φησίν· ἀναιμένον ὦσι.

δάσκων τὰ λυσιτελέστερα τὸν δῆμον ἀπίῃ. δεινὸν μέν, ὦ ἄνδρες Ἀθηναῖοι, δεινόν, καὶ οὐκ ἔξω ζημίας. δεῖ δὲ ὅμως φέρειν ἀντιτιθέντας τὸ κέρδος τῇ βλάβῃ· οὐχ ἕξετε ῥήτορα φιλόπονον· ἀλλ' ἕξετε[92] στρατιώτας πλείους· οὐκ ἀκούσεσθε λόγων καλῶν, ἀλλ' ὄψεσθε[93] τοὺς νῦν ἑτέρωθι. ἀλλὰ γὰρ ἠδίκηκα τοῖς λόγοις, τοῦτον Ὑπερίδην τὸν βέλτιστον καὶ δημοτικόν[94] καὶ εἴ τις ἄλλος ταυτά μοι διαγέγονε φρονῶν. παρὰ τούτων ἄρ'[95] ἀπαιτήσετε[96] γνώμας καὶ ψηφίσματα· κἂν φύγωσι τὸ βῆμα καὶ κρύπτωσιν ἑαυτούς, καὶ ὀνειδίζωσιν ὑμῖν, ὅτι ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, Δημοσθένην ἐκεῖνον τὸν ἀμελήσαντα μὲν τῶν ἑαυτοῦ, ὑπὲρ δὲ τῶν ὑμετέρων πάντα μεριμνήσαντα τὸν βίον, τὸν ἄγρυπνον, τὸν ταλαίπωρον, τὸν οὐδὲ μικρὸν ἡμέρας ἀναπνεύσαντα μέρος, τὸν κρείττονα τοῦ Μακεδονικοῦ πλούτου, τοῦτον παραδεδώκατε Μακεδόσι· καὶ εἶδε τὸν πρεσβεύσαντα πρότερον Φίλιππος δεδεμένον. τί οὖν ὑμᾶς[97] ἐπὶ τὸ βάραθρον καλεῖτε; ἢ ἵνα καὶ ἡμεῖς τὴν ὁμοίαν ἔλθωμεν ὁδόν; καλοί γε οἱ μισθοὶ τῆς εὐνοίας· ἂν ταῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, λέγωσι κλαίοντες, οὐκ ἀπορήσετε πρὸς αὐτοὺς ἀπολογίας τινός. ἃ γὰρ ἄρτι πρὸς ὑμᾶς εἶπον ἐγώ, ταῦτ' ἐρεῖτε ὑπὲρ ὑμῶν αὐτῶν, ὅτι οὐχ ἡμεῖς ἐξέδομεν τὸν Δημοσθένην, ἀλλ' ἐκπεπληγμένων ἡμῶν, καὶ χαλεπῶς ἐχόντων, καὶ διανοουμένων ἀποκρίνασθαι τοῖς ἥκουσιν, ἃ τὸν Φίλιππον ἂν εὐλαβέστερον ἐποίησεν, αὐτὸς ἃ τὸν ἔπεισεν, ὡς ἄρα αὐτῷ καλῶς ἔχοι,[98] παθεῖν ταῦτα· κἂν ἐπιτιμῶσι πάλιν[99] ὅτι ταῦτα ἐπετρέψατε τῷ Δημοσθένει, καὶ συνεχωρήσατε, καὶ οὐκ ἐκωλύσατε, οὐδ' ἀντελάβεσθε, οὐδ' ἠμείψασθε τὴν ἄγαν αὐτοῦ προθυμίαν, τῷ μὴ ταῦτα ἐᾶσαι γενέσθαι· πάλιν ἕξετε πιθανὸν

92 ἕξεται B.
93 ὄψεσθαι B.
94 num δημοτικώτατον?
95 ἄρ'] malim γάρ.
96 ἀπατήσεται B.
97 ὑμᾶς] imo vero ἡμᾶς. est enim haec oratio ficta Hyperidis aliorumque popularium, cum Demosthene facientium.
98 ἔχει B.
99 πάλιν] ταῦτα B.

πιθανὸν εἰπεῖν, ὡς ὑμεῖς[100] μὲν ἠλγεῖτε ἀπιέναι θέλοντος,[1] καὶ ἐβοᾶτε μένειν· ἐγὼ δὲ ἰσχυρότερος ἐγενόμην τοῦ δήμου παντός. τούτοις τε οὖν αὐτοῖς[2] θαῤῥύνετε καὶ ἅμα ὑποσχεθήσεσθε. πρὸς τὰ δεύτερα ἔσεσθε βελτίους.[3] οἱ δὲ, πιστεύσουσι[4] λεγόντων. ἐᾶτε δή με πρὸς τῶν τροπαίων, πρὸς τῆς γῆς, ἣν αὐχοῦμεν ἔχειν μητέρα, ποιεῖν ἅπερ ἔγνωκα· καὶ μή με ἀναγκαζέτω μηδεὶς μηδὲν ὑπομεῖναι τῆς ἐμῆς γνώμης ἀνάξιον. βούλομαι δὲ ἀπιὼν παραμυθήσασθε[5] καὶ ὑμᾶς καὶ ἐμαυτόν· ὑμῖν μὲν τοίνυν ἐκ τῶν ἐμῶν ἔσω παραμυθία· ὁρᾶτε γὰρ τὴν μεταβολήν· Δημοσθένης ὁ πολὺς κατὰ Φιλίππου[6] ῥέων ἐπὶ τῆς ἐκκλησίας, ἀπ' αὐτῆς ἀχθήσεται τῆς ἐκκλησίας. καὶ ὃν οὐκ ἔδωκεν ἡ μάχη τοῖς νενικηκόσιν, οὗτος αὐτὸν ἐγχειριεῖ τῷ δυσμενεστάτῳ. λαβὼν δὲ ἐκεῖνος, μαστιγώσει, στρεβλώσει, σιδήρῳ καὶ πυρὶ δαπανήσει τὸ σῶμα· μὴ γὰρ δὴ ἐκεῖνο δείσητε, ὡς ἐγὼ ποτὲ ἐμαυτὸν εἰς τἀκείνου δώσω πράγματα. ὁ μὲν γὰρ ἴσως ἐθελήσει,[7] πανοῦργος ὤν, καὶ δώσει καὶ χώραν, καὶ οἰκίαν, καὶ χρημάτων πλῆθος· ἀντὶ δὲ τούτων ἀξιώσει με περιελθόντα τὴν Ἑλλάδα, παλινῳδίαν ᾆσαι. ὅτι Φίλιππος, εὐσεβὴς, πιστὸς, δίκαιος, Ἑλληνικώτατος, καὶ οὐδὲν ἡ πολλὰ τῶν Ἀθηναίων ἐλάττων. βούλοιτο γὰρ ἂν αὐτῷ τούτους ὑπάρξαι[8] παρὰ τῆς ἐμῆς γλώττης τοὺς λόγους, ἢ μυρίους αὐτῷ Πύθωνας γενέσθαι· οἶδε[9] γὰρ ὡς ὁ μάλιστα. αὐτὸν διαβεβληκὼς, οὗτος[10] ἂν μόνος καὶ μεταπεῖσαι δύναιτο. Φίλιππον μὲν οὖν εἰκὸς οὐδὲ ταύτης ἀφέξεσθαι τῆς

[100] ὑμεῖς] sic B. ἡμεῖς M.
[1] θέλοντας B.
[2] malim αὐτός.
[3] videtur vtique lectio B. ὑποσχήσεσθε πρὸς τὰ δεύτερα εἶναι βελτίους vulgatae praestare, Sed eam nondum satis intelligo.
[4] πιστεύουσι B.
[5] lege παραμυθήσασθαι.
[6] τοῦ Φιλ. B.
[7] ἐθελήσει] sic B. ἐθελήσοι M.
[8] ὑπάρξαι] sic B. ὑπάρξειν M.
[9] οἶδε] sic B. το. οὐδεὶς m M. οὐδὲν t. M.
[10] οὗτος] sic B. et m. M. recte. quod οὗτος ibi eleganter redundat. οὕτως t. M.

τῆς πείρας· ἐγὼ δὲ αὐτὸν οἷς ἐρῶ, πρὸς ταχεῖαν ὀργὴν ἐπισπάσομαι· πάλιν ὄλεθρον καλῶν· πάλιν βάρβαρον· καὶ λέγων ὡς ἀθάνατος ἡ τῶν Ἀθηναίων πόλις· καὶ ὡς ἀμήχανον ψευδεῖς ἐλεγχθῆναι τὰς ὑπὲρ αὐτῆς μαντείας· καὶ ὡς ἐγὼ μὲν αὐτῇ τοὺς αἰχμαλώτους ἀνασῶσαι δι' ἐμαυτȣ̃ προσήκειν ὑπέλαβον· ἡ δὲ, καὶ ἄνευ τούτων ἔῤῥωτο· καὶ οἶδεν[11] ὅτι με νενίκηκας. πρὸς ταῦτά με κατακοπτέτω, καὶ τῶν σπλάγχνων, εἰ βȣ́λεται, γενέσθω· ῥαδίως οἴσω τὰ χαλεπώτατα. τί λογιζόμενος; ὅτι κἂν νῦν μυριάκις ἀποθάνω, τήν γε δόξαν, ἣν ἔχον παρὰ τοῖς Ἕλλησιν, οὐδεὶς ἐξαλείψει χρόνος. εἰ δ' ἄρα καὶ τῶν ἄλλων τὶς τȣ̃το Ἑλλήνων πάθοι·[12] ἀλλ' οὐ τῆς γε πόλεως τȣ̃τό ποτε ἔξεισιν. ἀλλ' ἕως ἂν μένῃ τουτὶ τὸ βουλευτήριον, καὶ ἡ Πνὺξ αὕτη καὶ τὰ δικαστήρια, καὶ τὸ Μητρῷον· ἀεὶ δὲ μένει[13] ταῦτα γὰρ οἱ θεοὶ λέγουσιν· ἔσται τις μνήμη τῶν ἐμοὶ πεπονημένων. εἰ δὲ οὖν καὶ ἄλλων ἀμνημονήσειέ τις, πῶς ἂν τȣ̃ γε τελευταίου δύναιτο;[14] τὰ καινὰ γὰρ ἥκιστα ὑπὸ λήθης ἀφανίζεται. τοιοῦτον δ' οἶμαι τὸ παρόν. ἀνὴρ πολέμιος ἄκων ἐπαινῇ τὸν ἐχθρὸν ἐμέ· καὶ ἔγωγε ἐνεθυμήθην, ὡς τὸ παρ' ἀξίαν εὐτυχεῖν ἐξίστησι πολλάκις τȣ̃ φρονεῖν. ὁ γοῦν Φίλιππος ȣ̓κ οἶδεν[15] ὡς ἐν αὐτῷ τῷ ζητεῖν με λαβεῖν, μάρτυς γίνεται τῆς ἐμῆς εἰς ὑμᾶς εὐνοίας, καὶ μόνον οὐ κηρύττει πρὸς ἅπαντας, ὅτι διὰ τȣ̃τον μέντοι τὸν ἄνθρωπον ȣ̓κ ἐκράτησα τῆς Ἀττικῆς· ἀλλ' ἔτι μοχθῶ καὶ στρατεύομαι, πάλαι πάντα δυνάμενος ἔχειν. τί οὖν ἔτι δεῖ με μεῖζον παραμύθιον ζητεῖν, ἢ τίνων οὐ στεφάνων τὸ πρᾶγμα ἐντιμότερον; ὅταν γὰρ ἐμὲ μόνον ἐκεῖνος οὕτω μισεῖ, καί με πάντας[16] ὑπερβεβληκέναι τῷ

μίσει

[11] f. καὶ ȣ̓δένα (subaudi ἄλλον) ἢ ἐμὲ νενίκηκας. Solum me vicisti, neminem alium.

[12] τȣ̃το πάθοι] vt rerum a me gestarum memoria ex ipsorum animis effluat.

[13] μένει] sic B. recte. quod praesens h. l. vice futuri fungitur; indicatiuum autem hic requiri, docent insequentia. μένοι Mor.

[14] τȣ̃τȣ δύναιτο B.

[15] εἶδεν B.

[16] ȣ̃τως μισῇ, καί με πάντων B.

μίσει τῷ πρὸς αὐτὸν ὁμολογεῖ. ὥσπερ οὖν εἴ με φιλεῖν ἔφασκεν, ᾐσχυνόμην ἄν· οὕτω φιλοτιμοῦμαι μισούμενος· ἢ τῶν μὲν πολιτῶν τοὺς ἐχθροὺς εἰ παρειχόμην τὰ βελτίω μοι μαρτυροῦντας, μέγα ἂν ἦν, καὶ δεῖγμα τῆς ἐσχάτης ἀρετῆς, τὸ, τοὺς ἡδέως ἂν λοιδορήσαντας ἐπαινεῖν ἠναγκάσθαι. τοῦ δ' ἀλλοφύλου καὶ πολεμίου τοῦτ' αὐτὸ ποιοῦντος, οὐκ ἄρα σεμνύνεσθαί μοι προσήκει· καὶ καλὸν ἐντάφιον ἔχειν νομίζειν, τὴν τοῦ λίαν ἀποκτεῖναί με ἐπιθυμοῦντος ἐπιστολήν;[17] ταῦτα πρὸς ἐμαυτὸν κατὰ τὴν ὁδὸν λέγων, οὐκ ἀνιάσομαι ὅτι με ὡμολόγηκε Φίλιππος δισχιλίων Ἀθηναίων εἶναι τιμιώτερον· οὐ γὰρ φησὶ μείζω μὲν ἐθέλειν[18] δοῦναι, λαβεῖν δὲ ἐλάττω· ἀλλ' ὅπερ οὐδὲ πώποτε ὑπὲρ ἐμαυτοῦ πρὸς ὑμᾶς εἰπεῖν ἐτόλμησα ἐγὼ, τοῦτ' ἐν ἑτέροις ῥήμασιν ὁ πολέμιος[19] διδάσκει· τοῦτο οὖν, ὅπερ ἔφην,[20] οἴσει μοι παραμυθίαν. ὥρα δὴ πορεύεσθαι τοσοῦτον εὐξάμενον· Ἄπολλον πατρῷε, καὶ δέσποινα Ἀθηνᾶ, καὶ Δημήτηρ καὶ Κόρη, καὶ Ἴακχε καὶ θεοὶ πάντες καὶ Ἥρωες, μεθ' ὧν οἱ πρόγονοι τὸν Μῆδον ἐνίκησαν, ἀνυπόστατον εἶναι δοκοῦντα· δοίητε τὸν ἄνθρωπον τοῦτον, ἁπλῶς καὶ ἀδόλως, ταύτην τὴν ἀλλαγὴν ποιήσασθαι πρὸς τὴν Ἀθηναίων πόλιν· καὶ μηδὲν φενακισμοῦ, μηδ' ὧν εἴωθε μηδὲν,[21] τῆς αὐτοῦ φύσεως, πρὸς τὸ πρᾶγμα τοῦτο προσενεγκεῖν. εἰκότως δὲ αὐτὸν, οἶμαι, δέδοικα τὸν ἐν ταῖς συνθήκαις. ἢ τοῖς ὅπλοις ἀδικήσαντα πλείω.

[17] ἐπιστολὴν] qua ſcil. me ſibi dedi poſtulauit.

[18] ἐθέλειν] ſic B. recte, qui infinitiuus aptus eſt e φησί, quod redit ad Philippum, non autem ad fictitium oblocutorem Demoſthenis. Sententia haec eſt: Philippus enim, me depoſcens, non hoc ait: date vos mihi minus; ego vobis eius loco maius dabo: ſed id docet — ἐθέλει M.

[19] πολέμιος] ſic B. πόλεμος M.

[20] τοῦτο οὖν, ὅπερ ἔφην] ſic B. οὖν deeſt M.

[21] poſt μηδὲν videtur ἀπὸ vel παρὰ deeſſe.

ΑΛΛΗ ΜΕΛΕΤΗ.

ΘΕΩΡΙΑ.

Ἐκδοθεὶς Φιλίππῳ Δημοσθένης, ἀφεθεὶς καὶ μὴ πολιτευόμενος, κρίνεται δημοσίᾳ.

ΔΗΜΟΣΘΕΝΟΥΣ ΑΠΟΛΟΓΙΑ.

ΩΜΗΝ μὲν ἔγωγε, ὦ ἄνδρες Ἀθηναῖοι, τῷ διὰ τὴν πολυπραγμοσύνην τὴν ἐπὶ τῷ λέγειν τῶν ἐσχάτων κινδύνων πεπειραμένῳ μηδὲν ἀσφαλέστερον εἶναι σιωπῆς. ἐμοὶ δὲ οὐδαμόθεν ἦν ἀφαμαρτεῖν αἰτίας, εἰ μὴ μόνον πολιτευόμενος ἐξεδόθην ὑφ' ὑμῶν· ἀλλὰ καὶ τούτου[1] παυσάμενος, κρίνομαι· ὥστε μοι καινοῦ τινος, εἴ τις ἦν, καὶ τρίτου δεῖν[2] βίου παρὰ τοὺς[3] τῶν ἰδιωτῶν καὶ ῥητόρων· ἐν οἷς ἀμφοτέροις δυστυχῶ. ἄκων μὲν οὖν καὶ νῦν[4] σφόδρα ἀχθόμενος λόγων ἅπτομαι. τῶν μὲν γὰρ ἀνιῶμαι μνημονεύων· τὰ δὲ φοβοῦμαι,[5] τὰ δὲ λογίζομαι· μή τι μοι[6] τῶν ἐκ εἰρῆσθαι νῦν προσηκόντων ὑπ' ἔθους τῶν παλαιῶν λόγων ἐκφυγῇ. ἀλλ' οὔ τί μοι τῶν παρόντων

[1] τούτου] sic B. τοῦτο M.

[2] δεῖν] δ' ἦν B. nescio an recte. quod si ita est, ita sit legendus hic locus: καὶ τρίτου δ' ἦν χρεία βίου.

[3] παρὰ τοὺς] sic B, secunda quadam, si qua sit, et tertia ad eo vita opus sit praeter illas vitas, quas homines priuati degunt. παρ' αὐτοὺς M.

[4] νῦν delendum videtur et deducendum in versum penult. atque ibi pone γὰρ, aut ἀνιῶμαι collocandum.

[5] l. φοβοῦμαι λογιζόμενος, μή τι με τῶν εἰρῆσθαι — partim metuo, mecum reputans, ne quid eorum me dicentem fugiat, quae dici ex oratorum vetusto ritu hoc tempore et hoc e loco fas est.

[6] ἀλλ' οὔ τι μοι] corruptum h. l. non reperio qui sanem, hoc video, pro οὔτι leg. esse οὔτε cui respondet insequens οὔτε paulo post.

των λείπεται Φίλιππος· τὴν ἀνάγκην αὐτῶν πυθόμενος· οὐ γὰρ ἀγνοήσει· οὔτ᾽[7] ἂν εἰ τὸ πλέον βιασθείην εἰς τὸ μηδὲν σιωπῶν[8] ἐν καιροῖς πράγμασιν[9] ἀξίοις[10] σιωπῆς καὶ[11] τῆς τε ἰδίας καὶ τῆς ἁπάντων συνιεὶς τύχης. παρὰ Φιλίππῳ μὲν οὖν[12] οὐδὲν δεινὸν ἔπαθον. καί τοι πάνυ μὲν δείσας καὶ προσδοκήσας, ἄξιος[13] δὲ ἴσως ἂν ἐκείνῳ τιμωρίας· δέομαι δὲ, καὶ νῦν ἁπάντων[14] οὐδὲν μέγα καὶ δύσκολον· ἀλλὰ παράδοξον μὲν, ἀληθὲς δὲ ὅμως. μηδὲν[15] χείρους μηδὲ σκαιοτέρους ὑμᾶς γενέσθαι Φιλίππου· μηδὲ ἀπολέσαι με νῦν· ὅτε μηδ᾽ ἐκείνῳ τοῦτο ἔσεσθε κεχαρισμένοι.[16] ἀπόρως δὲ ἔχει μοι[17] καὶ τὰ τῶν παρόντων λόγων, διὰ τὸν συκοφάντην. εἰς μὲν γὰρ τοὺς περὶ τῆς πολιτείας λόγους ἐμβαλὼν, πολλῶν ἀκαίρως μνημονεύειν ἀναγκασθήσομαι· εἰ δὲ τοῦτο ὀκνήσας σιωπήσομαι, παραλείψω ταῦτα ἐφ᾽ οἷς ἦν καὶ πάλαι μοι πεπαῦσθαι[18] καλόν. ὡς οὖν οἷός τε, μηδένα λυπῶν γε πειράσομαι τοῦτο ποιεῖν· εἰ δὲ χεῖρόν τι τοῦ ποτὲ[19] συνήθους φανείην ἐμαυτοῦ

7 οὔτ᾽] ὄντες B.

8 malim σιωπᾶν c. m. M.

9 καὶ πράγμ.] sic B. καὶ deest M.

10 ἄξιος B.

11 καὶ abesse malim.

12 νῦν οὖν B.

13 ἀξίως B. f. προσδοκήσας, ἀναξίας μὲν ἐμοῦ καὶ ὑμῶν, ἀξίας δὲ ἴσως ἐκείνου τιμωρίας exspectans poenas, me quidem vobisque indignas. verum illo forsitan haud indignas.

14 post ἁπάντων videtur ὑμῶν deesse.

15 μηδὲν] sic B. μηδὲ M.

16 κεχαρισμένον ποιοῦντες B. verum vulgata cum idem dicit, cum est tersior.

17 δ᾽ ἔχοιμι B.

18 πεπαῦσθαι] post quas res gestas decorum mihi fuisset, si iam dudum me a negotiis in otium recepissem, a gerenda rep secessissem. Hac enim oratione hoc agitur, recte ne, an secus, Demosthenes quiescat.

19 ποτε an τότε praestet, ambigo. post φανείην autem καὶ addere nullus equidem dubitem. Si fiat, vt vobis segnius et abiectius dicere, quam illam meam pristinam vehementiam, cui tum temporis adnueratis, meamque ipsius personam deceat.

τοῦ λέγειν· δεῖ μοι συγγνώμην ἔχειν, πολλοῦ γὰρ χρόνου σιωπῶ. εἰσῆλθον[20] εἰς τὴν πολιτείαν μετ' Εὔβουλον καὶ Ἀριστοφῶντα, καὶ τοὺς εὐδοκιμοῦντας τότε·[21] εἴτε ὑπ' εὐνοίας[22] τῆς πρὸς τὴν πόλιν, εἴ τε ὑπὸ περιεργίας καὶ φιλοτιμίας ἀναπεισθεὶς τινος, εἰ μὴ μανίαν χρὴ καλεῖν. εἰ δέ τις καὶ[23] τῶν ἔμπροσθε πεπολιτευμένων, καὶ ἐγὼ δυστυχής· ὡς[24] πολλῶν ὄντων[25] καὶ φοβερῶν παραδειγμάτων τῆς ἀκράτου πρὸς τὸν δῆμον εὐνοίας· ὅμως ἅπαντα παριδὼν, ἐθρασυνόμην. οὐχ ὅσα τοῖς πολιτευομένοις εἴωθεν ὀχλεῖν,[26] ὑποψίαι, ζῆλος, φθόνος, διαβολὴ, κίνδυνοι, κρίσεις, ἐξαιτήσεις· οὐ ταῦτα ἀγνοῶν, ἀλλὰ, ὅτι περ ἂν καὶ συμβῇ μοι παθεῖν, ἀσμένως τοῦτο ὑπὲρ Ἀθηναίων δεχόμενος· ἐπεπείσμην δ' ἐκεῖνο. τυχὸν μὲν, ἀναισθητῶν ὅμως δ' ἐπεπείσμην ἔγωγε· μηδ', εἴ τισι τῶν πρὸ ἐμοῦ συνέβη τινὸς ἀπολαῦσαι κακοῦ, διὰ τὴν ἐπὶ τοῖς κοινοῖς διαβολὴν, τούτων ἄν τι γενέσθαι· τοσοῦτον ἔμοι γε περιῆν πρὸς[27] ὑμᾶς πίστεως. ἴσως μὲν οὖν κρεῖττον ἢ κατ' ἐμὲ τὸ[28] Δημοσθένους τοῦ Παιανιέως. ἐπειδὴ δὲ ἅπαξ ἐπὶ τὸ βῆμα ἀνέβην, πολλῶν οὐσῶν ἐν τῇ πολιτεία τάξεων, οὔτε πρὸς τὴν τῶν χρημάτων διοίκησιν ἀπέκλινα, καὶ τὰς ἐν αὐτῇ πλεονεξίας, οὔτε πρὸς τὰς εἰσαγγελίας καὶ φάσεις· καὶ τὰ τῶν[29] ἄλλων δημεύων καὶ νέμων τῷ δήμῳ τὶ δοκεῖν χαρίζεσθαι· οὔτε ἄλλο τι τῶν

[20] εἰσῆλθον] hinc incipit tractatio. priora sunt praefatio quasi.

[21] τότε] sic B. ποτὲ M.

[22] εὔνοιαν B.

[23] post καὶ addendum videtur esse ἄλλος. quod si autem olim fuit alius quoque quis, a suo erga remp. studio pessumdatus, ego certe miser ideo factus sum.

[24] ὡς] imo vero ὅς. *qui*

[25] ὄντων] sic B. *cum essent.* ὄντως M.

[26] leg. εἴωθεν ἐνοχλεῖν.

[27] περιῆν πρὸς] interponendum videtur τῆς.

[28] τὸ] imo vero τόν. fortasse magis arduus et excelsior erat suggestus, quam pro fortunis eius, qui filius esset Demosthenis Paeaniensis, noti fabri cultrarii. Nam in κρεῖττον ἦν subauditur τὸ βῆμα.

[29] fort. καὶ τὸ τὰ τῶν — illud τὸ cohaeret cum insequente δοκεῖν. in τὰ τῶν ἄλλων subauditur χρήματα vel ὄντα.

τῶν ἰδίων καὶ τῶν ἔξω φθόνου πραγμάτων· ἀλλ' αὐτῶν τῶν Ἑλληνικῶν ῥήτωρ ἐγενόμην· μεῖζον μὲν ἢ κατ' ἐμαυτὸν ἀράμενος φορτίον· καὶ τυχὸν καὶ τὴν πόλιν αὐτὴν παρὰ δύναμιν φιλοτιμεῖσθαι παρακαλῶν· οὐ μὴν ἠξίουν πρὸς ἄλλο τι τὸν Ἀθηναίων δῆμον ἀφορᾷν, ἢ[30] τὸν τούτων[31] σύμβουλον ἀπευθύνειν ἑαυτὸν, ἢ[32] τὴν ἐλευθερίαν καὶ τὴν τῶν Ἑλλήνων ἡγεμονίαν, καὶ τὴν δόξαν τὴν ἀγαθὴν, ἐφ' ἧς ἡμᾶς οἱ πρόγονοι κατέλιπον, ὅπως ἂν σώσωμεν. καὶ γὰρ ἴσως ἦν ὅτε καὶ πᾶσιν ὑμῖν ἐδόκει καλά. παραφροσύνη μὲν οὖν ἦν καὶ τὸ, πρὸς ἄλλον τινὰ πολέμου καὶ ἀγῶνος συνεστηκότος, αὐτὸν εἰς τὰ κοινὰ διδόναι. ἐγὼ δ' ὁ πάντων ῥᾷστος[33] καὶ Φιλίππῳ διαφέρεσθαι καὶ πολεμεῖν ἐπήρθην, καὶ τὸν δῆμον ἔπειθον, ὁπότε τι τῶν κοινῶν ἢ τῶν Ἑλληνικῶν ὅρων ἦν ἐλαττούμενον, τολμᾷν ἐναντία πράττειν τῷ βασιλεῖ τῷ καλῷ καὶ ἀγαθῷ καὶ παντὸς μᾶλλον Ἕλληνι καὶ δικαίῳ Φιλίππῳ· Ἕλλην γὰρ, Ἕλλην· Ἀργεῖος ὡς ἀληθῶς. Τημενίδης, Ἡρακλείδης[34] ἔργῳ ταῦτα δηλοῖ. πολλὰ μὲν οὖν ὑπὸ τῆς τόλμης καὶ προπετείας εἶπον, οὐχ' ἡδέα ἐκείνῳ· ἄλλου καὶ ῥήτορος καὶ[35] ἀνθρώπου πεπονθὼς πάθος. ὁ δ' ἦν ἑλεῖν μὲν οἷς ἐπιχειρήσειε,[36] καὶ κρατήσειν,[37] πάντων δεινότατος· ἑλὼν δὲ καὶ ἔχων, ἐπιεικέστατος. καὶ πρόχειρος ἐλέῳ δοῦναι καὶ φιλανθρωπίᾳ. ἐμὲ γ' οὖν ἐξαιτήσας μὲν, οὐκ ἐξήμαρτε παρ' ὑμῶν· λαβὼν δὲ ἀφῆκεν εἰς ὑμᾶς. ἀδόκητον[38] δέ μοι συμβέβηκεν ἑκάτερον· οὔτε γὰρ ἐκδοθήσεσθαι

30 ἢ] significat *aut.*

32 ἢ] sig. *quam.*

31 τούτων] scil. τῶν Ἀθηναίων Codex B. dat τούτου. scil. τοῦ δήμου. nil admodum interest.

33 ῥᾷστος] si bene habet, tantundem erit atque κουφότατος leuissimus animi.

34 ὁ Ἡρακλ. B.

35 posterius καὶ deest B. vnde colligo, sic fort. esse legendum: ἐκείνῳ, ἀνθρώπου, καὶ ῥήτορος ἀνθρώπου πεπ. passus eo, quae homini, et quod maius est, homini euenire solet, oratorem publicum, concionatorem, agenti.

36 ἐπιχειρήσειε B.

37 malim κρατεῖν in praesenti.

38 ἀδόκητον pro ἀπροσδόκητον si vitiosum non est, est certe haud solitum. verum tamen etiam p. 455. 29. et 30. ed. M. legitur.

σεσθαι πᾶν ὅτι δόξειε[39] Φιλίππῳ πεισόμενος ἡγησάμην ἄν ποτε· οὔτ' εἴ μου Φίλιππος γένοιτο ἐγκρατὴς, εὑρήσεσθαί τινα σωτηρίαν προσεδόκων. ἐγὼ μὲν οὖν ᾠχόμην ὡς ἀπολούμενος, καὶ παρεδόθην ὑφ' ὑμῶν τοῖς παροῦσι Μακεδόνων. ἐλεηθεὶς δὲ ὑπὸ Φιλίππου καὶ παραδόξου τυχὼν τῆς ἐκείνου χρηστότητος, ἐν Μακεδονίᾳ μὲν οὐκ ἔμεινα. καί τοι παρὸν, καὶ Φιλίππου μένειν παρακαλοῦντος· ὡς ὤφελον· τῷ δὲ ἔρωτι τῶν Ἀθηναίων καὶ τῆσδε τῆς γῆς,[40] ἀποθανεῖν τε ἐν αὐτῇ, καὶ τάφου τυχεῖν Ἀττικοῦ, δεῦρο ἐπανήκω παρὰ τὰς πάντων ἐλπίδας. καὶ χαίρειν μὲν ἴσως ἀφεθέντα[41] με δεῖ· σιγᾶν δὲ πάντες οἱ λογισμοὶ κελεύουσι τὴν πρέπουσαν σιωπὴν τοῖς ἡλωκόσι,[42] τοῖς ἐκδεδομένοις. ὡς ἔγωγε ἀπάγεσθαι καὶ νῦν ἐκδίδοσθαι δοκῶ καὶ Φίλιππον βλέπειν, καὶ ἐπ' ἐκείνου λέγειν. οὐ γὰρ ἀνείθην γέ πως τῆς ἀπὸ τῶν συμβάντων ἐκπλήξεως· οὐδὲ Ἀθήνησιν εἶναι δοκῶ· ἀλλὰ τὰς μὲν Ἀθήνας, τοῦ[43] Φιλίππου· κἀκεῖ τὸν ἔλεον καὶ τὸν βωμὸν αὐτοῦ.[44] τὸ δὲ βῆμά μοι, τῆς Σκυθῶν ἐρημίας οὐδὲν διαφέρειν δοκεῖ, καὶ τῶν ἱερείων τῶν ἐκεῖ ἐφ' οὗ τὸν λέγοντα χρυσόκερων καὶ κατεστεμμένον δεῖ τὸν οἴσοντα[45] περιμένειν, ὁπότε πρόσεισι. ταῦτα μὲν οὖν φιλοτιμεῖσθαι χρὴ τὸν βουλόμενον καὶ τὸν δυνάμενον. ἐγὼ δὲ τοσοῦτον δέω πρὸς τὸ λέγειν καὶ γράφειν[46] ἐντεῦθεν ἀρξάμενος· καὶ εἰς πολιτείαν δεύτερον[47] ἐπιτήδειος[48] εἶναί τις· ὥς τε μοι καὶ τῶν πρότερον[49] μεταμέλει. τὰ δὲ δὴ νῦν καὶ πάντων ἕνεκεν ἀδυνά-

δυνά-

[39] δόξαιεν B.

[40] post γῆς deesse videtur καὶ τοῦ. aut alias post ἀττικοῦ deest γλιχόμενος vel βουλόμενος vel tale quid.

[41] ἀφεθέντα] sic B. ἀφεθέτα M.

[42] ἑαλωκόσι B.

[43] τοῦ] malim τὴν scil. γῆν vel χώραν. Athenae quidem mihi videntur ditio Philippi esse.

[44] αὐτοῦ] scil. τοῦ ἐλέου.

[45] f. τὸν θύσοντα. Sacrificulum, a cuius secespita tu sis iugulandus. τὸν ἴσοντα B.

[46] post γράφειν videtur ὁρμᾶν vel ἐπανιέναι vel tale quid esse.

[47] δεύτερος B. malim δευτέραν, vt ad πολιτείαν redeat.

[48] post ἐπιτήδειος deesse videtur μοι δοκῶν.

[49] προτέρων B.

δυνάτως μοι κομιδῇ πάντα ἔχει·[50] μᾶλλον δὲ, οὐδ' ἂν τις εἴην ἔτι· οὐδ' ἂν εἶναι δοκοίην τοῖς εὖ φρονοῦσι. τί γάρ; ἐγὼ Δημοσθένης; ἢ ποῖος Παιανιεύς;[51] ἢ τίς ῥήτωρ; ἢ τίς Ἀθηναῖος; ἢ τίς, μετὰ τὴν ἔκδοσιν καὶ πομπήν;[52] ὡς ἐκεῖνος μὲν τέθνηκεν ὁ Δημοσθένης, ὁ καὶ μὴ καλούντων καὶ μὴ[53] δεομένων γράφων καὶ λέγων. ἐγὼ δὲ εἴδωλόν εἰμι παυσαμένου ῥήτορος, καὶ κῆρυξ φιλανθρωπίας Μακεδονικῆς· καὶ Δημοσθένους ἐκείνου σκιά· τοσαύτην μόνον[54] φωνὴν ἔχων, ὅσον Φίλιππον ἐπαινέσαι. οὕτω δὲ πάντων παραδόξων τυγχάνω, ὥς τε ὑπὸ Φιλίππου μὲν, σώζομαι· παρ' ὑμῖν δὲ κινδυνεύω. κἂν ὁτιοῦν ποιῶ ἢ λέγω καὶ πολιτεύομαι,[55] διὰ τοῦτο Μακεδόσι ἐκδίδομαι· σωφρονῶ, καὶ τὴν ἡσυχίαν ἄγω. καὶ πάλιν[56] εἰσαγγέλλομαι καὶ κρίνομαι. ἐπειδὴ γὰρ οὐκ ἐβουλήθη Φίλιππος,[57] οὗτοί με ἀπολλύουσιν. ποῦ τοίνυν ἀναπτῶ; ποῖ καταφύγω; παρὰ[58] τίνα τράπωμαι; τοσούτοις πανταχόθεν περιτοιχιζόμενος κακοῖς. παρὰ Φίλιππον ἔοικα βαδιεῖσθαι νῦν ἑκών· οὕτω δὲ[59] ἐπιβούλῳ καὶ[60] κακοήθει περιπίπτω καὶ κατηγόρῳ καὶ συκοφάντῃ· ὥστε καὶ μόνος με τῶν πώποτε κατηγόρων ἐπαινῶν, ἀπολέσαι βούλεται.

50 ἔχειν B.

51 hoc quidam satis perspicue mihi videor cernere, sic esse distinguendum: παιανιεύς, ἢ τίς; ῥήτωρ, ἢ τίς; ἀθηναῖος, ἢ τίς; verum quae sententia et quae vis insit illi dictioni ἢ τίς; haud satis cerno.

52 πομπήν] scil. ad Philippum.

53 καὶ μὴ] μὴ δὲ B.

54 f. ἐς τοσοῦτο μόνον. B. et M. dant μόνην.

55 malim πολιτεύωμαι. nescio quoque, an ἢ delendum sit; quod si sit, tum πολιτεύομαι recte habet. tum enim sic procedet oratio: κἂν ὁτιοῦν ποιῶ. quodcunque tandem egero. λέγω καὶ πολιτεύομαι, διὰ τοῦτο Μακεδόσιν ἐκδίδομαι. quodsi ore atque opera rem tracto publicam, trador ideo Macedonibus. σωφρονῶ, καὶ τὴν ἡσυχίαν ἄγω, sin autem quietem et otium sapiens ago. καὶ πάλιν eo modo quo καὶ πᾶς, καὶ μόνος dicitur.

56 καὶ πάλιν] sic B. καὶ deest M.

57 ἐβουλήθη Φίλιππος] scil. με ἀπολλύναι.

58 ποῦ καταφ. περὶ B.

59 δὲ] malim γάρ.

60 recte videtur B. καὶ omittere.

λεται, πολίτην ἀγαθὸν, καὶ γενναῖον σύμβουλον, καὶ ῥήτορα θαυμαστόν τινα· καὶ μόνον μὲν ἄνδρα καὶ τῇ πόλει καὶ τοῖς πράγμασι καὶ πᾶσιν[61] Ἕλλησιν εὔνουν μόνον δὲ παρηκολουθηκότα τοῖς πράγμασιν, ἀποκαλῶν· ὥσπερ οὐκ εἰσηγγελκὼς με νῦν, ἀλλὰ χρυσοῦ[62] στέφανον γεγραφώς. καὶ ταῦτα ἐν τῷδε[63] διὰ τὴν ἀρετὴν ὑμᾶς ἐμοῦ καταψηφίσασθαι κελεύει· ὥσπερ ἂν εἰ τὸν κάκιστον τῶν προδοτῶν τῆς Ἑλλάδος ἔκρινε λαβών· οἴεται γὰρ τοῖς παραδόξοις ἐπαίνοις πιστὸς γενόμενος, οὐκ ἔχθρᾳ δόξειν τοῦτο ποιεῖν. πῶς γὰρ ὅς τις μοι τηλικαῦτα μαρτυρεῖ, δικαιοσύνῃ δὲ[64] τ' ἄλλα[65] κατηγορεῖν.[66] ἐγὼ δὲ μηδέτερα πιστεύειν ὑμᾶς ἀξιῶ· μηδὲ τοὺς ὑπερόγκοις τούτους ἐπαίνους καθ' ἡμῶν προσιέσθαι· ἢ νὴ δία, εἴ τις με τοιοῦτον νομίζει πολίτην καὶ σύμβουλον γεγενῆσθαι τῇ πόλει, καὶ πιστεύειν[67] ὑμᾶς αὐτῷ, φησὶ, δεῖν πιστεύσαντας, εἶτα συλλογίζεσθαι τοῦτο, ὅτι ὁ χθὲς χρηστὸς, οὐκ ἂν δή που[68] πονηρὸς γένοιτο· οὐδὲ ὁ δοὺς ὑπ' εὐνοίας τῆς πρὸς ὑμᾶς αὑτὸν ἀπροφασίστως εἰς τὰ κοινά· οὗτος ἑκὼν ἐκ τούτων ἀπῆλθεν ἐκ μηδενὸς εἰκότος· ἀλλ' ἀδύνατος ἤδη γεγενημένος, ἢ μηδὲ λυσιτελήσειν ἔτι τῇ πολιτείᾳ νομίζων, ἢ μηδένα καιρὸν ἔτι αὐτοῦ τοῖς πράγμασιν εἶναι δοκῶν. ἢ τί πάντως δι' ἄλλο τῶν δικαίων, ἀπὸ τῶν κοινῶν ἀπιὼν ᾤχετο· ταῦτα γὰρ εἰκὸς καὶ δίκαιον ὑπολαμβάνειν κατ' ἀνδρὸς πολὺν χρόνον πεπολιτευομένου.[69] καὶ τὴν πρὸς τὸν δῆμον εὔνοιαν, πολλοῖς καὶ μεγάλοις ἔργοις ἐπιδεδειγμένου· εἴπερ ὁ αὐτὸς ἀληθῆ λέγει. οἴομαι δὲ, ὦ ἄνδρες Ἀθη-

[61] τοῖς πᾶσιν B.

[62] χρυσοῦν B. f. χρυσῷ στεφάνῳ στεφανοῦν γεγραφὼς καὶ τοιαῦτα.

[63] ἐν τῷδε] hoc ipsum agens διὰ τὴν ἀρετὴν] τὴν ἐμὴν puta.

[64] δὲ] sic B. δὴ M.

[65] τἄλλα B. bene habeat, an secus, haud dixerim. ἴσ. δικαιοσύνην διὰ ι. m. M.

[66] κατηγορεῖν] sic dedi. κατηγορεῖ M.

[67] non expedio locum hunc, misere impeditum. interim sic quodammodo constituamus: καὶ πιστεύει, οἷς ὑμᾶς οὗτος φησὶ δεῖν πιστεύειν, εἶτα —

[68] post δήπου videtur τήμερον aut παραχρῆμα deesse.

[69] χρόνος πολιτευομένου B.

Ἀθηναῖοι, καὶ ἀπ' αὐτῆς τῆς εἰσαγγελίας εἶναι φανερὸν, ὅτι μὴ δικαίως κρίνομαι. εἰσήγγελμαι γὰρ, ὡς οἱ μέγιστα τῶν κακῶν πεποιηκότες, καὶ τὴν τῶν στρατηγῶν ἢ ῥητόρων, ἢ πάντως ἄλλο τι κοινὸν διοικούντων, κρίσιν κρίνομαι· κατηγοροῦμαι δὲ οὐδὲν ἄλλο, ἢ τοῦτο ὅτι τῆς πολιτείας ἀφέστηκα, καὶ τῶν κοινῶν οὐδὲν περιεργάζομαι. πῶς οὖν οἷός τε τὸν δῆμον ἀδικεῖν, ὃς ὑπὸ τῶν λεγόντων καὶ πολιτευομένων ἀδικεῖται, μόνον ἐμὲ τοῦτον, ἰδιώτην ὄντα τινά· καὶ μήτε δυνάμεις τινὰς παρειληφότα· μήτε χρήματα, μήτε καιροὺς, μήτε πράγματα[70] πεπιστευμένον· τὸ δὲ ὕστατον, μηδὲ λέγοντά τι. τεκμήριον δέ· χωρὶς γὰρ τοῦ φύσει καὶ δικαίως μὴ τῶν ἰδιωτῶν εἶναι τὰς τοιαύτας αἰτίας· ἀλλὰ τῶν ἐν τοῖς κοινοῖς δυναμένων, πάντες ὅσοι πώποτε ἐκρίθησαν, ὡς τὴν πόλιν ἀδικοῦντες, ῥήτορες οὗτοι καὶ στρατηγοὶ καὶ πρέσβεις εἰσήχθησαν εἰς ὑμᾶς, Ἀριστοφῶν, Ἰφικράτης, Περικλῆς, Καλλίστρατος· ὅτι παράνομά τις εἶπεν· ἢ τὸν δῆμον ἐξηπάτησεν, ἢ γνώμην ἀσύμφορον ἀπεφήνατο· ὅτι ναῦς ἀπέβαλεν·[71] ὅτι προσόδους τινὰς ἡ πόλις ἀπώλεσεν· ἢ τοὺς συμμάχους ἐκ πλειόνων ἐλάττους ἐποίησεν, ἡγουμένους;[72] ὅτι μὴ πρὸς ψηφίσματα[73] ἄλλος ἐπρέσβευσεν· ἢ καιροὺς μεγάλων ἢ συμφερόντων πραγμάτων προήκατο· ἢ συνθήκας ἀδόξους ἕτερος ἐποιήσατο. ὧν ἕκαστος[74] ἐπὶ τοῖς πολιτευομένοις καὶ τὰ τοῦ δήμου πράττουσιν ἐστίν. ἐγὼ δὲ[75] ὅτι μὴ λέγω, μὴ γράφω, μὴ πράττω, δι' ἃ κἂν ἀδι-

[70] μήτε καιροὺς, μήτε πράγματα] sic B. haec vocabula omittit M.

[71] ἀσύμφερον ἀπεφ. ὅτι ναῦς ἀπέλαβεν B.

[72] ἡγουμένους] nisi si quid deest, referendus erit hic accusatiuus ad ὑμᾶς post εἰσήχθησαν εἰς, paulo ante.

[73] B. dat κατὰ ψηφ. perinde est; eadem sententia, vtram praepositionem praeferas. fort. leg. ὅτι τις μὴ πρὸς (vel κατὰ) τὰ ὑμέτερα ψηφίσματα ἐπρέσβευσεν, ἢ ἄλλος καιρὰς. etc.

[74] lege ἕκαστον. quorum vnumquodque penes viros est, remp. gerentes.

[75] ἐγὼ δὲ] subaudi e praemissis aut κρίνομαι aut εἰσήχθην. malim tamen alterutrum, aut simile quid aliud additum et expressum esse.

ἀδικήσειέ τις· οὐκοῦν οὐ μόνον τῷ μὴ ταυτὰ μηδὲ ὅμοια ἐγκαλεῖσθαι τοῖς δημοσίᾳ φεύγειν εἰωθόσι· δῆλός εἰμι συκοφαντούμενος· ἀλλὰ καὶ τῷ τῆς ἐναντίας προαιρέσεως διώκεσθαι τοῖς κακῶς ὑμᾶς ποιεῖν δυναμένοις. μόνος γὰρ τῶν πώποτε, οὐχ ὑπὲρ ὧν ἀδικῶ κρίνομαι· ἀλλ᾽ ἐξ ὧν οὐδὲν ἀδικῶ· ὅτι ταῦτα προειλόμην, ἀφ᾽ ὧν οὐδὲ τοῖς θέλουσιν[76] οἷός τέ ἐστιν ἀδικεῖν.[77] καί τοι Σόλων ὁ σοφώτατος τῶν Ἑλλήνων, καὶ δημοτικώτατος τῶν Ἀθηναίων, οὐκ ἐπάναγκες τοῦτό τε[78] ὥσπερ τὰ ἄλλα λειτουργεῖν μὲν ἀπὸ τῆς οὐσίας, καὶ στρατεύεσθαι τῷ σώματι, καὶ τὰ ἄλλα, ὅσα ἐν δημοκρατίᾳ πολιτευομένους ὀφείλειν ὑπελάμβανεν· ἐκεῖνα μὲν γὰρ[79] ἑκάστῳ προείρηκε[80] ποιεῖν· τὸ λέγειν δὲ ἐφ᾽ ἑκάστῳ κατέλιπεν· ὥσπερ ἄν τις πρὸς τοῦτο γνώμης καὶ δυνάμεως ἔχῃ·[81] εἰκότως. καὶ γὰρ ἠπίστατο, ὅτι τριήραρχος μὲν καὶ στρατηγὸς ἄκων καὶ στρατιώτης κελευόμενος, οὐδὲν ἂν βλάψειεν ὑπὸ τῆς ἀνάγκης. ὁ δὲ παρὰ γνώμην λέγων, καὶ γράφων· εἴτε ἀδύνατος ὤν, εἴτε ἀπεστραμμένος[82] ἐπὶ[83] τοῦτ᾽ ἀχθείη, πάντως ὑπ᾽ ἀγνοίας ἢ χωρὶς εὐνοίας πολιτευόμενος ἀδικήσειεν ἢ βλάψειεν ἄν. πρὸς δὲ τούτοις μόνους τούτους τῶν ἐν τῇ[84] πόλει πραγμάτων, καὶ πλέους[85] τῶν ἱκανῶν

[76] τοῖς θέλουσιν] scil. ἀδικεῖν.

[77] οἷόν τέ ἐστιν ἀδικεῖν] sic dedi. B. omittit τε, et ἐστιν deest M.

[78] τοῦτό τε] sic B. sed pro τε malim γε. verum supersunt adhuc alia huius loci vitia, quem sic ferme constituam: οὐκ ἐπάναγκες τοῦτό γε (scil. τὸ λέγειν καὶ γράφειν καὶ πολιτεύεσθαι) ἐποίησεν, ὥσπερ τὰ ἄλλα, οἷον, λειτουργεῖν. M. dat τοῦ τότε. —

[79] ἐκεῖνα μὲν γὰρ] sic dedi. B. omittit μὲν, et M. γάρ.

[80] προείρηκε] sic B. προειρηκέναι M. videtur in vulgata latere προείρηκεν ἀεὶ ποιεῖν. non sine vi τὸ ἀεί. non enim vno tantum anno aut duobus circumscribebantur ista munia largitionum et functionum castrensium, sed per totam vitam porrigebantur.

[81] ἔχει B.

[82] γρ. καὶ εἰς τοὔπισω τραπόμενος m. M.

[83] εἰ ἐπὶ B.

[84] ἐν τε B.

[85] πλέους] sic B. et m. M. idem est ac si pinguius, sed planius dixisset τούτους μόνους ἠπίστατο τῶν ἐν τῇ πόλει, πραγμάτων

νῶν ἐπιθυμοῦντας, ἠπίςατο· ὥστε οὐχ ὅπως καὶ τοὺς ἄκοντας ἐρῶντας, ἠξίου συγκαλεῖν· ἀλλ᾽ εἴπερ ἦν καὶ τούτων[86] ἀφελεῖν, ἄμεινον ἡγεῖτο· καὶ μὴν καὶ δεομένους[87] αὐτούς· ἀλλ᾽ οὐχ ὑφ᾽ ὑμῶν παρακληθέντας, ἀγορεύειν ᾤετο δεῖν· οὐ γὰρ αὐτοὺς τῷ δήμῳ τὶ πολιτευομένους χαρίζεσθαι· ὃς οὔτε ἀπορεῖ που πολιτευομένων καὶ πρὸς αὐτὸν φιλοτιμουμένων· κἂν[88] αὐτός ποτε μὴ παρ᾽ αὐτοῦ τὰ δέοντα ἔχοι ποιεῖν καὶ φρονεῖν· ἀλλὰ τὸν δῆμον αὐτοῖς μεταδιδόντα παῤῥησίας αἱρεῖν·[89] καὶ μεγάλους ἐκ μικρῶν καὶ φανεροὺς ἐξ ἀφανῶν ἐκείνους ποιεῖν, συμβούλοις χρώμενον. διόπερ κηρύττει τὸ δημοτικώτατον τῶν κηρυγμάτων, τίς ἀγορεύειν βούλεται, δηλῶν[90] ὡς ὅστις οὐ βούλεται, μηδεμίαν ἀνάγκην οὖσαν αὐτῷ; ὅπου γὰρ τὸν ἐκ τῆς αὐτοῦ γνώμης ὡρμημένον ὁ νόμος καλεῖ, τὸ βούλεσθαι θέμενος ὅρον τοῦ λέγειν, αὐτὸς[91] ἀφεῖται τοῦ λέγειν, ὅτῳ μὴ μετείη τοῦ θέλειν. ὁ Σόλων μὲν οὖν οὕτως· οὑτοσὶ δὲ, ἄκοντα κελεύει λέγειν· καὶ ἀντικηρύττει τῷ παλαιῷ κηρύγματι. καί τοι τίς νόμος, ὥσπερ κατὰ τῶν ἀςρατεύτων, οὕτω καὶ κατὰ τῶν οὐ λεγόντων ἐςὶ γεγραμμένος. οὐδὲ εἷς. ἀλλὰ μὴν εἰ καὶ μὴ βουλομένους[92] ἔδει πολιτεύεσθαι, καὶ κρίσεις ἔμελλον ἔσεσθαι τοῖς οὐ λέγουσιν· ἦν ἄν τις καὶ τιμωρία προειρημένη τῷ σεσιωπηκότι. ὅτε τοίνυν οὐχ οὕτως ἔχει·[93] κύριος ἕκαςος ἀφεῖται τοῦ λέγειν ἢ μή.

γμάτων ἐπιθυμοῦντας, καὶ πλείους ὄντας ἀριθμῷ, ἢ ὅσοι ἂν ἱκανοὶ ἦσαν. r. M. dat πλέω.

86 τούτων] scil. τῶν ἀκόντων, ἐρώντων.

87 δεομένους] qui veniam dicendi postularent, quorum e re esset, vt ipsis liceret cum populo agere. denen was daran gelegen wäre, daſs sie dürften öffentlich auftreten und ſprechen.

88 κἂν — φρονεῖν] tota haec ſententia deeſt B. f. κἂν αὐτὸς, ὁπότε δέῃ, παρ᾽ αὐτοῦ. et ipſe per ſemet, ſi quando neceſſe ſit, cernere ſalutaria atque agere poſſit. ποτὲ παρ᾽ αὐ. m. M.

89 ἐρᾶν B

90 δηλῶν abeſſe malim, vt redundans et conſtructionem turbans.

91 αὐτὸς] malim αὖθις e contrario, aut οὕτως hoc pacto.

92 βουλομένους] ſic B. βουλομένοις M.

93 ἔχειν B.

μή· ἃ γὰρ οὐ κεκέλευσταί τις[94] ποιεῖν, ταῦτα οὐδὲ μὴ ποιεῖν κεκώλυται. ἔτι τοίνυν, τίς οὐκ οἶδεν, ὡς Ἀθηναίων δισμυρίων ὄντων, σιωπῶσι μὲν οἱ πλείους, καὶ τῶν πολιτικῶν ἀφεστᾶσι· προΐασι δὲ ἀεὶ πρὸς τὰ κοινὰ σφόδρα ὀλίγοι. ὥστε εἰ τοῦτο ἔγκλημα δίκαιόν ἐστιν,[95] οὐκ ἂν τις φθάνοι πᾶσαν διώκων τὴν πόλιν; ἀλλὰ γὰρ εἰ τοῖς πλείστοις ἔξεστι σιωπᾶν, καὶ οὐδένα ὑμεῖς τῶν μὴ βουλομένων πράττειν τὰ κοινὰ, ἀλλὰ ἰδίᾳ τὴν ἡσυχίαν ἄγειν, ἄκοντα καὶ βιαζόμενον, εἰς τοῦτο ἕλκετε. τί δήποτε μόνῳ πάντων Ἀθηναίων ἐμοὶ ταύτης οὐ μεταδώσετε τῆς ἀδείας καὶ τῆς ἐπιεικείας τῆς πᾶσι κοινῆς; πολλῶν δὲ ἔμπειρος ποτὲ πραγμάτων ὢν, ὅτι μὲν ἐπολιτεύσαντό τινες οὐ δέον, ἀγῶνας καὶ κρίσεις οἶδα τούτοις γεγενημένας· ἡσυχίας δὲ οὐδεμιᾶς τοῖς ἰδιώταις γραφήν· ἀλλὰ[96] τοὐναντίον ὁπότε τις καὶ ἐκείνων βίον ἐπαινούμενον, καὶ τὰς μὲν τιμὰς καὶ δυνάμεις, ὥσπερ καὶ τοὺς κινδύνους, σὺν τοῖς πολιτευομένοις ὑπαρχούσας. τοῖς δ' ἰδιώταις καὶ σιωπῶσιν, ἀμφοτέρων τούτων[97] οὖσαν ἀπαλλαγήν· καὶ πολλὴν τοῦ λανθάνειν ἀσφάλειαν. ἧς δέομαι μηδὲ ἐμοὶ φθονῆσαί τινα γεγενημένῳ τῶν πολλῶν ἑνί· ἡδέως δ' ἂν ἐροίμην τὸν κατήγορον, ὅτε ἐπολιτευόμην ἔτι, ὑπό του κελευσθεὶς ταῦτ' ἔπραττον· οὐκ αὐταιρέτως;[98] ἀλλ' οὐκ ἔστιν εἰπεῖν. οὐκοῦν ὥσπερ ἔλεγον ἐμαυτῷ δοκοῦν, τῷ τοῖς ἐθέλουσιν ἐφεῖσθαι λέγειν, οὑτωσὶ καὶ λέγων καὶ πολιτευόμενος πέπαυμαι· καὶ τούτων[99] ἀθῶός εἰμι, τῷ καὶ σιωπᾶν πᾶσιν ἐξεῖναι. ἔτι τοίνυν οὓς μὲν ἂν ἀτιμάσητε, σιωπᾶν αὐτοῖς ἐπιτάττετε. εἰπεῖν δ' οὐδὲ τῶν ἀδικούντων οὐδενὶ παρὰ γνώμην κελεύετε. καὶ τὸ θαυμαστὸν,[100] ἐπεὶ

[94] κεκελεύσταί τις B.

[95] ἐστιν] sic B. τι M.

[96] fort. ἀλλὰ (scil. οἶδα) τοὐναντίον ἐνίοτέ τισι (id est ὑπό τινῶν) καὶ τὸν ἐκείνων (scil. τῶν ἰδιωτῶν) βίον ἐπαινούμενον.

[97] ἀμφοτέρων τούτων] scil. honorum atque imperiorum, et ex altera parte discriminum.

[98] αὐθαίρετος B.

[99] τούτων] pro τούτου h. l. id est τοῦ πεπαῦσθαι. possit quoque legi καὶ τοῦτο ποιῶν ἀθῶός εἰμι.

[100] τὸ θαυμαστὸν] scil. ὁρᾶτε, et videte modo id, quod hic in re mirandum est.

ἐπεὶ μηδὲ τυραννίδες, μηδὲ οἱ τριάκοντα, Κριτίας οὖν,[1] σιωπᾶν μὲν ἐκέλευε Σωκράτει· λέγειν δὲ οὐδενί ἔςι δὲ καὶ τῶν ποιητῶν ἀκούειν ποτὲ λεγόντων, ὡς ἀκίνδυνον γέρας εἴη τὸ τῆς σιωπῆς. νὴ Δία· ἀλλ' ᾧ μὲν οὐδὲ τὴν ἀρχὴν ἐπῆλθε λέγειν, οὐδὲ δυνατὸς τοῦτο ποιεῖν, οὐδὲ ἐπολιτεύσατο, συγγνώμην ἔχειν ὁ δῆμος εἴωθεν· ἐγὼ δὲ καὶ ῥήτωρ ὤν, καὶ τάξας ἐμαυτὸν[2] ταύτην τὴν τάξιν, ἀναχωρῶν τῆς πολιτείας, ἀδικεῖν τοῦτό[3] με. ὥσπερ,[4] εἰ πράξεώς τις ἥψατο καὶ προσῆλθέ τῳ τῶν ἐπιτηδευμάτων, ἀναγκαῖον ὂν ἐν[5] τούτῳ καταβιοῦν· ἀλλ' οὐ μέχρι τις βούλεται[6] καὶ ἐγχωρεῖ.[7] ταῦτα προκείμενα τοῖς ἐλευθέροις· καὶ πολλοὺς μὲν[8] ἐκ φιλοσοφίας ἐπελθόντας τῷ δήμῳ δημηγορεῖν· ὥσπερ φασὶν ἐκεῖνον Ἀλκιβιάδην. τοὺς δὲ ἀπαλλαγέντας ἐκ μέσης τῆς πολιτείας, οἵους πολλοὺς ἔχων εἰπεῖν, ἀρκεῖν αὐτὸν[9] ὑπολαμβάνω τὸν Σόλωνα. ἐκεῖνος γὰρ οὐχ ὥσπερ τις ἄλλος τῆς πολιτείας μετασχών· ἀλλ' αὐτὸς αὐτὴν καταςήσας καὶ τοὺς νόμους αὐτὸς αὐτὴν καταςήσας· καὶ τοὺς νόμους αὐτὸς θεὶς τῇ πόλει, καὶ μανεὶς ὑπὲρ ὑμῶν. ἐμάνη γὰρ καὶ ὁ Σόλων ὡς ἐγώ, ὅτ' ἔδοξεν αὐτῷ παυσάμενος[10] τούτου τοῦ βίου, ἀπελθὼν ἐπλανᾶτο, καὶ πράγματα ἄλλα ἔπραττε. τίς οὖν[11] ἔκρινεν αὐτὸν ἐξιόντα τῆς πολιτείας;

οὐδὲ

[1] malim γοῦν. Critias quidem.
[2] ἐμαυτῷ B.
[3] ἴσ. κρίνομαι m. M.
[4] ὥσπερ cohaeret cum ἀναγκαῖον ὄν, *quasi necesse sit.* et cum ταῦτα προκείμενα et quasi non potius istaec hominibus liberis proposita sint. ad πράξεως subauditur τινος.
[5] οὖν ἐν B. ἴσ. ἢ ἐν m. M.
[6] μέχρι τις βούλεται] pro μέχρις.
[7] ἐγχωρεῖ] sic B. recte, *datum est*, licet, συγχωρεῖ M.
[8] videtur sic leg. καί τοι πολλοὺς ἴσμεν, τοὺς μὲν ἐκ φιλοσοφίας ἀπελθόντας ἐπὶ τῷ ἐν τῷ δήμῳ δημηγορεῖν. atqui multos nouimus, alios, aut ἐξελθόντας omisisse philosophiam, quo concionarentur alios e media vita ciuili excessisse.
[9] ad αὐτὸν tacite repete e praemissis εἰπεῖν. Sufficere arbitror, si vnum nominem Solonem.
[10] f. καὶ παυσάμενος. m. M. dat ἴσ. παύσασθαι τ. τοῦ β. καὶ ἀπε.
[11] f. τί ἄν; (scil. φής, vel γέγονεν) ἔκρινεν αὐτόν τις ἐξιόντα.

οὐδὲ εἷς. τίς δὲ ὢν ἑκὼν ἤρξατο, διατελεῖν τὸν αὐτοῦ βίον ἐν τούτοις ἐκέλευε πάντα; οὐδὲν γὰρ ἂν εἴη δουλότερον πολιτείας· εἰ μηδὲ ἀπαλλαγῆναι ταύτης τοῖς ἁψαμένοις ὑπάρξειε ποτέ· ἀλλ' ὥσπερ τοῖς ἐμπεσοῦσιν εἰς δεσμωτήριον, ἐν αὐτῷ μένειν· καί τοι εἰ καὶ τοῖς δεσμώταις λύσις ποτὲ, καὶ τοῖς οἰκέταις ἄφεσίς τις ἐστιν. ἤ που[12] τοῖς πολιτευομένοις ἀνάγκη τῆς αἰδίου προεστάναι διατριβῆς. καλὸν δ' ὥσπερ καὶ μυστηρίων μετασχόντα ἀπελθεῖν· καὶ τελεσθέντα τὰ τοῦ δήμου μυστήρια, παρέχειν μετ' αὐτὸν ἄλλοις τισὶν, εἰς τὴν τελετὴν παρεῖναι.[13] ὁρῶ δ' ἔγωγε καὶ τοῖς ἀθληταῖς τοῖς Ὀλύμπια ἢ τινα ἄλλον τῶν στεφανιτῶν ἀγώνων ἠγωνισμένοις,[14] οὐχ ὅτι καὶ πρόσθεν ἠγωνίζοντο, προσγινομένην ἀνάγκην τοῦ τὸν ἀεὶ χρόνον ἀγωνιζομένους διαμένειν· ἀλλὰ καὶ ὁ Μίλων ἐπαύσατο, καὶ ὁ Πολυδάμας τὴν ἄσκησιν κατελύσατο. παυέτω δὴ καὶ τοὺς τῆς πόλεως ἀθλητὰς, γῆρας καὶ μεταβολὴ,[15] καὶ μεγάλα πταίσματα. καθόλου μὲν οὖν οὐδὲν χρήσιμον ὑμῖν περὶ τῶν ῥητόρων ἅπαντα. οὐ γὰρ οὗτοί γε τὴν γῆν ὑμῖν ἐργάζονται καὶ τὴν θάλατταν πλέουσιν· οὐδὲ τὰς ἀναγκαίας πρὸς τὸν βίον τέχνας ἐκπονοῦσιν οὗτοι· οὐδὲ ταῖς τούτων εἰσφοραῖς καὶ χορηγίαις ἡ πόλις λαμπρύνεται· οὐδὲ ἐν τοῖς τούτων ὅπλοις σώζεται. ἀργὸν ἔθνος καὶ περίεργον, καὶ λάλον, καὶ ἀστράτευτον· καὶ δειλοὶ, καὶ ἀλαζόνες, καὶ φιλόνεικοι, καὶ φιλοπόλεμοι, κραυγῆς καὶ θορύβου πάντα πληροῦντες· ἔρημοι δὲ νοῦ, καὶ τῶν ἀναγκαίων λογισμῶν· γλῶτται μόνον, ἃς ὥσπερ αὐλὸν εἴ τις αὐτοὺς[16] ἀφέλοι, τἄλλα οὐδέν εἰσιν ἢ ῥήματα καὶ σκιαί. τί δὲ ἐκ τῶν ἐμῶν ἢ ἄλλου τινὸς ῥήτορος λόγων χρηστὸν περιγίγνεται; ἀνα-

τα. et sic quoque post τί δέ; ὢν ἑκὼν — ἐκέλευέ τις πάντα; οὐδείς. οὐδὲν γὰρ ἂν εἴη δ.

[12] ἤ που] multo magis τοῖς πολ. οὐδεμία ἀνάγκη remp. gerentibus nulla est necessitas praeesse muneri perpetuo et finem nullum habenti.

[13] malim παριέναι.

[14] ἀγωνισαμένοις B.

[15] μεταβολὴ] scil. τῆς τύχης. nisi hoc potius addendum sit.

[16] αὐτῶν B. αὐτὸν m. M.

ἀναβάντες ὁπόταν τύχωσιν, ὑμῖν ἐπετίμησαν· τοὺς προγόνους ἐπῄνεσαν· ἄραντες ὑμᾶς καὶ φυσήσαντες, κατέβησαν· ὁπότε[17] τὰ βέλτιστα καὶ μὴ δωροδοκήσαντες· ἢ πρὸς ἔχθραν ἢ χάριν εἰπόντες τι, καὶ μεῖζον κακὸν εἰργάσαντο. ταῦτα οἱ ῥήτορες· ὑγιὲς δὲ ἢ χρηστὸν οὐδέν· οὐδὲ βουλεύσασθαι τὰ δέοντα ἕνεκεν· τίς ἡ[18] πολλὴ χρεία τῶν ῥητόρων. ὁ γὰρ δῆμος αὐτὸς ἄριστα τούτου τυγχάνει· τῷ δὲ οὐ μέτεστι τοῦ δύνασθαι λέγειν Ἀθηναίων, ἕως ἂν ᾖ καλόν· ἀλλ' οὐκ ἀρχὴ ἐργολαβίας καὶ τέχνη τις. οὐ[19] ῥήτωρ Ἀθηναίους· τοὺς δὲ λέγοντας, αὐτοὺς οὐχ ὑμεῖς παιδοτριβοῦντες, καὶ προσιέμενοι ποιεῖτε. τί βλαβερώτερον καὶ πονηρότερον ἂν εἴη ῥητόρων τῇ πόλει; οὐ γὰρ καὶ ὑμεῖς πρῴην οὕτως ἔγνωτε, ἐκδόντες τὸν εἶναι δοκοῦντα κορυφαῖον αὐτῶν, καὶ ῥίψαντες ἀπ' αὐτῶν ἄσμενοι; ἀνθ' ὅστις ῥήτωρ πολιτεύεται[20] κακόνους οὗτος ὤν, τῶν κοινῶν ἐφίεται· καὶ τῆς ὑμετέρας κρίσεως οὐ συνίησιν, ἧς ἤδη καὶ τοῖς ἄλλοις ῥήτορσιν αἰσθομένοις καιρὸς ἦν παύσασθαι πολὺν χρόνον ὑμᾶς ἠνοχληκόσιν. εἰ δέ τις οὐχ οὕτω ταῦτα ἔχειν ὑπολαμβάνει· ὅτι καὶ χρήσιμον καὶ καλὸν ὁ δυνάμενος λέγειν, καὶ πολιτευόμενος τῇ πόλει, τοῦτ' αὐτὸ φαίνεται, καὶ πείθει λέγων. ἀλλὰ δὴ[21] καὶ ταύτης τῆς πείρας ὑμᾶς ἱκανῶς παρ' ἐμοῦ χρῆν, φημὶ ἐγώ. γέγονα παρ' ὑμῖν καὶ ἐπὶ τῆς πολιτείας ἀγαθός, ἡνίκα ταύτης ἠνέχεσθε, μακρῷ χρόνῳ· διαναπαύειν καὶ εἰκὸς, καὶ τοὺς πολιτευομένους ἐν τῷ μέρει, καθάπερ τοὺς λειτουργοῦντας καὶ εἰσφέροντας καὶ στρατευομένους· οὓς οὐκ ἀεὶ διαπονεῖτε. ἀλλ' εἰσενεγκών τις, εἶτα ἐπαναπαύσατο λειτουργήσας· καὶ οὐκ ἔτι ταῦτα παρ' ὑμῶν ἀπαιτεῖται· στρατευσάμενός τις τὰς ἐφ' ἡλικίας στρατείας[22] ἀφεῖται

[17] ὁπότε] scil. εἴπωσι.

[18] f. ἕνεκεν ἡ — sine puncto interiecto et sine τις. aut alias leg. ἕνεκέν ἐστί τις ἡ πολλή.

[19] οὐ] ἢ B. iterum locus corruptus, quem non perspicio, neque sano.

[20] ἔγνωτε ἐκ ῥητόρων πολιτεύεται caeteris omissis B.

[21] δεῖ B.

[22] ἡλικίας στρατείας] sic B. ἡλικίαν στρατιᾶς M.

ἀφεῖται τοῦ λοίπου τῶν καταλόγων. οὕτω δὴ δεῖ καὶ τοὺς συμβούλους καὶ ῥήτορας εἰπόντας πολιτευσαμένους[23] ἱκανῶς, εἶτα ἀνιέναι. εἴρηται, γέγραπται, πεπρέσβευται, νενομοθέτηται, δεδημηγόρηται, πεπολίτευται, εἰσενήνεκται· μέχρι τίνος ταῦτά με δεῖ ποιεῖν; ὤφελον μὲν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Ἰσοκράτους, ἢ τὸν Ἰσαίου τῶν διδασκάλων τῶν ἐμῶν ἢ τινὸς ἄλλου τῶν μακαρίων σοφιστῶν ἄνωθεν ἑλέσθαι βίον,[24] ἵν' ἐν ἡσυχίᾳ καὶ γαλήνῃ καὶ τὸν ἔμπροσθεν ἐβίουν χρόνον ἐπ' ἐμαυτοῦ φιλοσοφῶν, καὶ τὸν βίον φυσιογνωμονῶν· ὡς[25] πρᾶγμά ἐστιν ἀσταθμητότατον ἁπάντων, ἐοικὲς θαλάττῃ, φύσει ἄστατον· ὑπὸ πάντων τῶν ἐμπιπτόντων πνευμάτων κινούμενον.[26] ἐπειδὴ δὲ[27] ἑτέρως με εἴτε δαίμων, εἴτε ποινή τις εἰς ταῦτα παρήγαγεν· οὐδὲ ἔδεισα τὸν Πλάτωνος φόβον, ἀλλ' ἀποχρώντως[28] ἐν ὑμῖν ἐπολιτευσάμην, γεγήρακα, πεπόνηκα, ὦ βῆμα καὶ πόνοι, καὶ πλάναι, καὶ δρόμοι καὶ μακραὶ φροντίδες, καὶ Ἀρκαδία καὶ Βοιωτία καὶ Θετταλία, καὶ Πύλαι, καὶ φυλακαὶ τῆς Ἑλλάδος· ἐφ' οἷς ἐκ νέου, μέχρι τῆς παρούσης ἡλικίας τεταλαιπωρήκαμεν. τί οὖν ἀδικῶ πρὸς τῶν θεῶν, εἰ τὸν ὀλίγον τοῦτον καὶ λοιπὸν χρόνον, κατ' ἐμαυτὸν βιῶναι βούλομαι; οὐδὲ Χάρης ἀεὶ στρατηγεῖ. οὐδὲ Διοπείθης ἀεὶ ἐπιπλεῖ· οὐδὲ Μενέλαος ἱππαρχεῖ. ἀλλὰ ταῦτα ἐκ διαδοχῆς· καὶ τὴν πολιτείαν οὕτως ἔχειν ἄξιον. καὶ γὰρ εἰ μὲν λειτουργίᾳ τινὶ τὸ πρᾶγμα ἔοικεν, οὐκ ἀεὶ τὸν αὐτὸν ἐπιτρίβειν ἐπιεικές ἐστιν. εἰ δὲ τιμὴ, καὶ μὴ δυναστεία, δίκαιον ὥσπερ ἐν ταῖς ἀρχαῖς ἄλλους[29] ἄλλοις ἐπεξιέναι·[30] τοῦ πάντας ἐν

23 εἰπόντας πολιτευσ.] id est ἐν τῷ εἰπεῖν, vel διὰ τῆς ῥητορείας postquam concionando, in concione et in populo dicendo remp. gesserunt.

24 βίον] f. δῆμον.

25 ὡς] f. ὃς.

26 κινούμενον] sic B. ὑποκινούμενον M.

27 δὲ] sic B. καὶ M.

28 ἀποχρώντως] sic B. ἀποχρῶν τῶν M.

29 ἄλλοι B.

30 malim ὑπεξιέναι. de via decedere, locum facere. nam ἐπεξιέναι est adoriri, infesto animo aggredi.

ἐν κύκλῳ ταύτης ἀπολαῦσαι τῆς πλεονεξίας. εἰκότως ἂν οὖν ὁμοίως τοῖς κωμικοῖς καὶ τραγικοῖς ποιηταῖς, ὡς[31] παραιτησαμένοις καὶ μὴ βουλομένοις δέξασθαι, χρόνον[32] ἀφίετε· καὶ ἐμοὶ συγχωρήσατε τὴν ἡσυχίαν ἄγειν. καὶ ταῦτα ἐπὶ ὑπογείῳ[33] τόπῳ,[34] τῷ μακρῷ καὶ μεγάλῳ δράματι· καὶ γὰρ ἀεὶ καὶ τοῦτόν ἐστιν ἔμοιγε δικαίως εἰπεῖν πρὸς ὑμᾶς τὸν λόγον· ὡς εἰ μὲν ἀνόνητον[35] ἢ ἄχρηστον, ἢ κακοῦργον ἢ βλαβερὰν πολιτείαν ἐπολιτευσάμην, ἱκανῶς ὑμῖν τῆς ἐμῆς ἀγνοίας εἴτε βλάβης, εἴθ᾽ ὅπως ἔχει. καὶ οὐχ ὃν ἀφέστηκα χρόνον λυπῶ τοῦτον,[36] ἀλλ᾽ ὃν ἐπολιτευόμην, ἠδίκουν. εἰ δὲ δικαίαν καὶ συμφέρουσαν ἐκείνην ἐπεδειξάμην, ἱκανῶς μου τῆς σπουδῆς ἀπελαύσατε. πρὸς δὲ τούτοις οὐχ ἑνὸς ἐχόμενος[37] τρόπου, ὥσπερ οἱ πρὸ[38] ἐμοῦ πεπολιτευμένοι,[39] πρόθυμον ἐπὶ τούτου μόνου παρέχον[40] ὑμῖν ἐμαυτόν· λέγων μέν, οὐ γράφων δέ· ἢ γράφων[41] μέν· οὐ πρεσβεύων δέ· ἵν᾽ εἴ τι σφαλείητέ που, εἰς τὰ λοιπὰ ὧν μὴ μετάσχοιμι, ποιοίμην τὴν ἀναφοράν, καὶ ἐπ᾽ ἐκείνων[42] τῶν μερῶν τῆς πολιτείας

31 ὡς videtur delendum.

32 pro χρόνον malim χορὸν legi. et nolentibus chorum sibi delatum accipere. chorum alicui deferre, est, ni fallor, postulare, vt fabulam conscribat; et chorum recusare, est: hanc prouinciam defugere.

33 ὑπογύῳ m. M.

34 τόπος h. l. est locus rhetoricus, seu argumentum, materia disputandi, colligendi. τόπος ὑπόγειος est argumentum in promtu positum, seu longo et continuo vsu contritum. quis autem ille locus communis sit, protinus ipse docet, fabula longa puta, per omnem vitam acta.

35 malim ἀνόητον *stultam, temerariam.* nam vulgata ἀνόνητον idem diceret cum proximo ἄχρηστον.

36 f. λυπῶ τοσοῦτον, ὅσον ἄν, ὃν ἐπολ.

37 ἐχόμενος] sic B. cohaeret cum παρέχον. M. dat ἐχομένου.

38 πρὸς m. M.

39 πολιτευόμενοι B.

40 τούτου μόνου παρέχον] sic B. μόνου deest M.

41 ἢ γράφων] sic B. ἢ omittit M.

42 f. καὶ τοὺς ἐπ᾽ ἐκείνων τ. μ. τῆς π. (scil. τεταγμένους) αἰτιώμην. nam λέγων, quamquam locum tueri vtique potest, conuenientius tamen paulo post inter πολιτείας et γράφων legatur.

τείας λέγων αἰτιώμην· ἀλλὰ διὰ πάσης ἐξήτασμαι τῆς πολιτείας, γράφων. πρεσβεύων· ἅπερ οὖν δή με[43] καὶ σαφῶς ἀπολώλεκεν. ἀλλ' οὖν οὐδέν ἐστιν ἀργὸν καὶ ἀπείρατον τῆς πολιτείας μοι μέρος, ἢ εἶδος,[44] ὡς ἔτι καὶ τοῦτο[45] ὀφείλειν μὴ δυνάμενος, ἢ οὐ πεφυκὼς πρὸς αὐτά, δικαίως ἂν[46] δοκοίην[47] πάντα ἀπολωλεκέναι τῷ δήμῳ. μεστὸν γὰρ τὸ Μητρῷον τῶν ἐμῶν ψηφισμάτων καὶ νόμων· μεστοὶ δὲ οἱ λιμένες τῶν τριηράρχων[48] καὶ νεῶν· πλήρης δὲ ἡ τῆς Ἀθηνᾶς ἀκρόπολις τῶν ἐμῶν στεφάνων, οἷς ὑμᾶς ἐστεφάνωσαν ἐκ τῆς ἐμῆς πολιτείας οἱ σύμμαχοι. ἡ δὲ Ἑλλὰς καὶ βάρβαρος[49] τῶν ἀποστόλων μου καὶ τῶν πρεσβειῶν καὶ τῶν πράξεων ἤδη γέμει. τί γάρ ἐστιν ὑπὲρ ὑμῶν, ὃ ἐμοὶ μὴ λέλεκται; τί δ' ὃ μὴ γέγραπται δι' ὑμᾶς; εἰς Ἀρκαδίαν ἔδει δραμεῖν, ἔδραμον. εἰς Θήβας πρευβεῦσαι; πεπρέσβευται τοῖς ἐπὶ Θράκης[50] Ἕλλησι βοηθῆσαι;[51] γέγραφα. ῥύεσθαι[52] τοὺς ἐν Χεῤῥονήσῳ; λέλεκται.[53] σῶσαι Βυζάντιον καὶ Πέρινθον; εἴργασμαι. Ἀμφίπολιν ἀπαιτῆσαι καὶ τὴν Ἀλόνησον. συμμάχους[54] συστῆσαι μέχρι Λευκαδίων καὶ Κερκυραίων καὶ Πελοποννησίων; ἀφικόμην ἕως αὐτοῦ βασιλέως. ὑπὲρ Θεσσαλίας εἰπεῖν, ὑπὲρ Εὐβοίας, ὑπὲρ Φωκέων καὶ τῆς παρόδου καὶ Πυλῶν. οὐ δίκαια μέν, οὐδ' ὑγιαίνοντος ἀνθρώπου, ἀλλὰ

43 f. ἅπερ νῦν δή με.

44 εἰδὼς m. M. f. μέρος, ὡς εἰδώς, ὅτι κἂν τούτῳ ὠφελεῖν (scil. ὑμᾶς) μὴ δυνάμενος, ἢ μὴ πεφυκὼς πρὸς αὐτό.

45 τούτων R.

46 μὲν τ' ἂν m. M.

47 δοκείην B.

48 τριηραρχῶν] num τριηρῶν? verum poteſt vulgata quoque ſenſum bonum reddere. Demoſthenes enim leges tulit περὶ τῶν συμμοριῶν, quibus vices trierarchorum ſapientius et tolerabilius atque aequius ordinauit.

49 malim καὶ ἡ βάρβαρος.

50 Θράκης] ſic B. Θράκην M.

51 poſt βοηθῆσαι videtur γράφειν deeſſe.

52 λύεσθαι B.

53 ſσ. λέλυνται m. M.

54 ſic malim diſtingui: συμμάχους συστῆσαι; reſpondet μέχρι λευκαδίων — ἀφικόμην, ἕως αὐτοῦ βασιλέως (ſcil. ἀφικόμην)

ἀλλὰ πολλῆς ἀπονοίας ἐχόμενα· βεβοήθηται[55] δὲ καὶ ταῦτα ἐν ὑμῖν. ἀλλ' Ἑλλησπόντῳ φυλακὴν ἐπιστῆσαι, καὶ προνοῆσαι ἐμποριῶν καὶ τῆς σιτοπομπίας; πεπραγμάτευται καὶ ταῦτά μοι. ἀλλ' ὑπὲρ τῶν[56] πρὸς βασιλέα διελθεῖν; μνημονεῦσαι περὶ συντάξεως[57] ἢ πόρων. πάντα ταῦτα διελήλυθα. περὶ τῆς εἰρήνης;[58] ἴστε. περὶ τῶν ἐν Ἀμφικτύοσι δογμάτων; ἠκούσατε· περὶ τῶν ἀπὸ Θράκης; περὶ βασιλέως; ἀλλ' ὑπὲρ τῶν ἐν Χεῤῥονήσῳ γραμμάτων·[59] ἀλλὰ τῶν νήσων· ἀλλὰ τῶν τριηραρχιῶν καὶ τῆς συντελείας; λέλεκται· γέγραπται, πεπολίτευται· περὶ γῆς· περὶ θαλάσσης; ἐμοὶ μὲν ὅλην δοκῶ συντετελεκέναι τὴν πολιτείαν· καὶ μηδένα ἔχειν καινὸν λόγον εἰπεῖν· ἔτι δὲ εἰ κἀκεῖνα πολιτείας ἦν μέρη, ἃ τοῦ λέγειν μὲν καὶ γράφειν ἐκτός ἐστιν· ἐπιλαμπρύνει δὲ τὸν δημαγωγόν, καὶ τὴν εὔνοιαν αὐτοῦ δείκνυσιν· ἑστιάσεις, κρεανομίαι, διανομαί,[60] χορηγίαι, τριηραρχίαι, συνεκδόσεις θυγατέρων, αἰχμαλώτων λύσεις. καὶ ταῦτ' οὐδενὸς ἧττον τῶν μετρίων ἐπεδειξάμην· ἐχέτω δὴ τέλος. καὶ καθάπερ ἀνθρώπου βίος θανάτῳ πέπαυται, τὸν αὐτόν, ὦ ἄνδρες Ἀθηναῖοι, τρόπον καὶ τὸ τῆς πολιτείας τῆς ἐμῆς

[55] malim βεβόηται. etiam his de Philippi insanis conatibus questus sum. nam alias superuacaneum esset addi ἐν ὑμῖν.

[56] τῶν] sic B. recte, scil. ὄντων ἡμῖν πραγμάτων Sin autem vulg. τῆς tueri malis, addendum erit συμμαχίας pone βασιλέα. Mor. coniecit: ἴσ. γῆς vel τῆς πρεσβείας.

[57] τῆς συντάξεως B.

[58] περὶ τῆς εἰρήνης;] sic B. scil. ἔδει με διελθεῖν; respondet ἴστε. scil. ταῦτα, vel τὰ περὶ ταύτης ὑπ' ἐμοῦ λεχθέντα.) περὶ τῶν ἐν ἀμφ. δογμάτων; rursus interrogat, et rursus respondet sic: ἠκούσατε (scil. περὶ τούτων παρ' ἐμοῦ) pergit interrogare περὶ τῶν ἐπὶ Θράκης βασιλέων de regibus in Thracia? scil. volebatis audire? de Chersoblepte, Borysade, Amyntore, Simone. v. orat. Aristrocrateam. τῆς deest M.

[59] γραμμάτων] imo vero πραγμάτων.

[60] διανομαί] scil. τοῦ θεωρικοῦ seu pecuniarum, quocunque tandem nomine.

ἐμῆς πέρας ὡρίσθω τῷ τῆς ἐκδόσεως ψηφίσματι. ἢ πάντων ἀναισχυντότατος ἂν γενοίμην εἰς[61] τοὺς κατεψηφισμένους παριὼν ἔτι· καὶ τολμῶν ἀποβλέπειν εἰς τὸ τοῦ δήμου πρόσωπον· ὥσπερ μανδραγόραν πεπωκὼς, καὶ πολὺν ἐπὶ τοῖς γεγενημένοις ὕπνον κεκοιμημένος. ἐγὼ δὲ τὰ ἄλλα μὲν ἑτέρου χείρων τὶς ὑμῖν[62] ἐγενόμην ἴσως· ἐκεῖνο δὲ οὐκ ἂν με ἀφέλοιτό τις, τὸ τῆς τοῦ δήμου τύχης συνιέναι.[63] ἔγνων μεμισημένος, κατεγνωσμένος.[64] οὐ γὰρ ἐπαινοῦντές γε ὑμεῖς οὐδὲ φιλοῦντες ἐξεδώκατε τῷ Φιλίππῳ. οὐδὲ ὅτι χρηστὸς ἦν σύμβουλος ἀπωλλύμην·[65] ἀλλ' ὅτι περίεργος, ἄκαιρος, θρασὺς, καὶ τοὺς προγόνους κακοήθως ἐπαινῶν· ὅτι πόλεμον ποιῶν, ὅτι τὴν ἡσυχίαν ἄγειν οὐκ ἐῶν· ὅτι τῇ μὲν εἰρήνῃ καὶ τοῖς καλῶς περὶ ταύτης δόγμασιν[66] ἠναντιούμην. στάσεως δὲ ἦν καὶ κινδύνων καὶ πολέμων ὑπόθεσις, ὅτι τῶν ἄλλων εὐφημούντων, καὶ ἐκ τῶν ὑμετέρων ὑμᾶς ἑστιώντων,[67] καὶ παρεχόντων ὑμῖν οἴκοι καθῆσθαι· κελευόντων μηδὲ ἄλλῳ τῳ τῶν Ἑλλήνων βοηθεῖν, ὅστις μὴ πρότερον ὑμῖν βεβοήθηκε. τὰ πρόπαια[68] δὲ καὶ τὰς ναυμαχίας κελευόντων χαίρειν ἐᾶν, καὶ λήρους καὶ μύθους εἶναι λεγόντων, ἐλύπουν ἐγὼ, καὶ παρεῖχον πράγματα· καταβοῶν[69] τοῦ δήμου· ἐξέστητε, λέγων

61 εἰς] ſic B. εἰ M.

62 aut ὑμῖν accipiendum erit pro πρὸς ὑμᾶς, aut leg. ἐν ὑμῖν.

63 quod ſenſerim quae populi eſſet, me remp. gerente fortuna. h. e. quamdiu ego praeeſſem rebus, Athenienſium remp. cum aduerſa fortuna conflictari, nullam rem, cuius ego ei auctor eſſem, proſpere ſuccedere, ſed omnia mea conſilia ipſi peſtem arceſſere; qua propter conſultum duxerim aduerſare meae forti quae propter me reip. quoque noceret, de via decedere.

64 id eſt διὰ τοῦ κατεγνῶσθαι vel ἐκ τοῦ κατ. ἔγνων ὅτι παρ' ὑμῶν μεμίσημαι. alias malim ſic legi. ἔγνων μεμισημένος, ἔγνων κατεγνωσμένος.

65 ἀπωλλύμην] ſcil. διὰ τοῦτο.

66 fort. δόξασιν.

67 ἑστιώντων] ſic B. αἰτιώντων M. ſed in marg. ἴσ. αἰτούντων.

68 βοηθεῖν, ὅστις μὴ πρότερον ὑμῖν βεβοήθηκε. τὰ τρόπαια] ſic recte B. explet lacunam, nam haec verba deſunt Mor.

69 καταβοῶν] ſic B. καταβοῶ M.

λέγων, ἐξέςητε, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς τάξεως, ἐφ᾽ ἧς ὑμᾶς οἱ πρόγονοι κατέλιπον, καὶ τὴν Δολόπων καὶ Θετταλῶν τάξιν ἀντὶ τῆς Ἀθηναίων μετειλήφατε· ἀρχὴν καὶ δυναςείαν συγκατακτώμενοι τοῖς βαρβάροις, καὶ παρέχοντες ἁρπάζειν, περικόπτειν, τοιχωρυχεῖν ἀκρωτηριάζειν τὸ σῶμα τῆς Ἑλλάδος. εἰκότως τοίνυν ἐξεδόθην· δικαίως Φίλιππος Ὄλυνθον ἐλάμβανεν, καὶ δύο καὶ τριάκοντα ἐξ ἀνθρώπων ἀνῄρει[70] πόλεις. τί οὖν ὑμῖν ἔμελλε[71] τοῖς εἴσω Πυλῶν; πῶς δὲ οὐ περιεργία, περὶ ὧν Εὐθυκράτης καὶ Λασθένης συνεχώρουν, ὄντες Ὀλύνθιοι, περὶ τούτων ἀγανακτεῖν ἐμέ. Ἀμφίπολις ἀπώλλυτο· ἀλλ᾽ Ὠρωπὸς ἀντεδίδοτο· Ἀλόννησον ἐδίδου· ἐγὼ δὲ ὁ μικρόψυχος ἐκέλευον ἀποδιδόναι. τοιγαροῦν ἠσθόμην, οἷόν ἐςι τὸ πολεμεῖν περὶ συλλαβῶν. Χεῤῥόνησον κατέθει· ὃ γὰρ ἐκείνῳ μᾶλλον προσήκει;[73] ἔκσπονδος ἐγένετο Χερσοβλέπτης.[73] ὑπὲρ τῶν Θρακῶν οὖν ἔδει ταλαιπωρεῖν Ἀθηναίους· Σέρῥιον καὶ Δορίσκον, καὶ Μυρτῖνον[74] καὶ Γάνος,[75] καὶ Σανίδα χώραν. εἶθ᾽ ὑπὲρ τούτων, ὧν οὐδὲ τὰ ὀνόματα ἴσμεν, ἐξανιςάμεθα. Λαομέδοντα μὲν ἔλαβεν, ἀλλ᾽ ἀφῆκε. γεγόνασιν ἐν Ἤλιδι σφαγαί· ἀλλ᾽ ἐκ Ἀθήνησιν ἀνῄρηκε Φωκέας· Ὀνομάρχῳ δεῖ μέλειν, Φατάλῳ μέλειν.[76] ἀπὸ τριῶν ἢ τεττάρων[77] ἡμερῶν ἀφέςηκε τῆς Ἀττικῆς· Ἐλάτειαν κατείληφε· ἀλλ᾽ οὐ Πάνακτον, οὐδὲ Δεκέλειαν· οὐδὲ Οἰνοὴν[78] τὴν ἱερὰν ἐκ Μαραθῶνος, τριήρη λαβὼν ᾤχετο. μηδεμίαν οὖν τριήρη Φίλιππος λάβῃ·[79] Μεγά-

[70] ἀνῄρει] aut ſic cum B. leg. eſt, aut ἀνῄρηκε. M. dat ἀνῆρε.

[71] lege ἔμελε.

[72] malim προσῆκεν in imperf. ad μᾶλλον ſubauditur ἡμῶν.

[73] κερσοβλ. B.

[74] σέῤῥιον καὶ δωρίσκον, καὶ μῦτινον B.

[75] in vulgaribus Demoſthenis libris γάνος appellatur.

[76] Φαττάλῳ μέλλει B. imo vero Φαλαίκῳ.

[77] τεττάρων] ſic B. τετάρτων M.

[78] poſt οἰνόην addendum videtur οὐδὲ τὴν neque triremen ſacram e Marathone abduxit. nam ἱερὰν non cum οἰόην cohaeret, ſed cum τριήρη. B. dat οἰόνην.

[79] age ergo interdicamus Philippo, vt in poſterum nullam triremium noſtrarum capiat.

Μεγάροις ἐπιχειρεῖ· ἄξιοι[80] Μεγαρεῖς ἀπολωλέναι. Βυζάντιον πολιορκεῖ· ἄξιοι πάντα παθεῖν Βυζάντιοι· ἀλλ' οὐκ εἴων οὐδ' ἐπέτρεπον τὴν ἡσυχίαν ἄγειν, οὔθ' ὑμῖν, οὔτε τοῖς ἄλλοις Ἕλλησι. τοιγαροῦν ὅσων μὲν δυσχερῶν[81] ἀπηλαύσατε[82] ἐκ τῆς ἐμῆς πολιτείας, τί χρὴ λέγειν;[83] εἰσφέροντες, ἐξιόντες, ἐμβαίνοντες. ἐγὼ δὲ αὐτὸς[84] ἔμελλον τῆς πάνυ ταύτης πολυπραγμοσύνης δώσειν δίκην· οὐ γὰρ ἐξοστρακισθεὶς ἐξέπεσον ὡς Ἀριστείδης· οὐδὲ ἐδέθην,[85] ὡς Μιλτιάδης· οὐδὲ ἐζημιώθην, ὡς Περικλῆς· οὐδὲ ἐδιώχθην, ὡς Ἀλκιβιάδης· οὐδὲ ἑάλων,[86] ὡς Θεμιστοκλῆς· οὐδὲ ἔφυγον ὡς Καλλίστρατος. ἀτυχήματα μὲν[87] ἄλλοτε κακὰ[88] συμβέβηκε τοῖς πρὸ ἐμοῦ πεπολιτευμένοις·[89] ὧν οὐδὲν ἀγνοῶ. ἀλλ' ὥσπερ οἱ πολλὰ ἑωρακότες ναυάγια τῶν παραπλεόντων,[90] εἰς τὰς ἠιόνας[91] ἐκβεβρασμένα,[92] καὶ τοὺς λιμένας, ἐξ ὧν ἀνάγεσθαι δεήσει, τολμῶσι πλεῖν ὅμως. οὕτω κἀγὼ· τὰ τῶν προπεπολιτευμένων[93] εἰδὼς πταίσματα, ἄρας ἀφῆκα[94] ἐμαυτὸν εἰς τὴν τῆς πολιτείας θάλασσαν· ἀλλ' ἐξεδόθην δυστυχής· βοῶν τὸν Σόλωνα, καὶ μαρτυρόμενος τοὺς νόμους. καὶ καλῶν τοὺς θεούς· εἰς τὴν ἀκρόπολιν βλέπων. παρεδόθην τοῖς ἥκουσιν ἐκ Μακεδονίας· καταχθεὶς[95] ἀπὸ τοῦ βήματος·[96] ἐφ'

piat. Est oratio cauillatoria. quasi Philippus is esset, qui mera verba, interdicta, minas recassas, armis haud confirmatas, curaret.

[80] ἄξιον — ἄξιον B.

[81] δυσχερῶς m. M.

[82] leg. ἀπελαύσατε.

[83] καὶ λέγειν B.

[84] num αὖτις in posterum. in der Foge der Zeit?

[85] ἐδέθην] sic B. ἐδεήθην M.

[86] ἑάλων] mallem ἠλώμην (ab ἀλᾶσθαι) vagabar, errabam hac illac.

[87] μὲν] sic B. μοι M.

[88] pro κακὰ leg. arbitror ἄλλα.

[89] πολιτευομένοις B.

[90] recte τῶν post παραπλ. abest a B.

[91] ἠιόνας] sic leg. est *ripas, litora*. μόνας M.

[92] ἐκβεβρασμένα] sic B. ἐκβεβρασμένων M.

[93] πολιτευομένων B.

[94] ἀφῆκα] sic B. ἐφῆκα M.

[95] καταχθεὶς] sic recte B. mallem tamen καταραχθείς. M. dat καταχεθείς.

[96] ἴσ. τοῦ βωμοῦ m. M.

ἐφ᾽ οἷς ὁ μὲν δῆμος οὐκ ἐνεκαλύψατο[97] ἐγὼ δὲ καταδὺς ᾠχόμην. ὑμᾶς μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, πάντων ἕνεκεν ἐπαινῶ· καὶ τοῦ τὴν ἀξίαν θέσθαι ψῆφον περὶ τῶν ἐμοὶ πεπολιτευμένων· καὶ τοῦ τῶν καιρῶν συνιέντας[98] εἶξαι καὶ παραχωρῆσαι τῷ διὰ πάντων ὑμῶν κρείττονι. ἔτι[99] δὲ τῷ χάριτος[100] καὶ τιμῆς ἁπάσης ἀξίῳ δι᾽ ἀρετὴν καὶ φιλανθρωπίαν ὄντι, μηδὲν ἀντειπεῖν. ἐγὼ δὲ ἀμαθέστατος ἂν τις εἴην, ἐμαυτὸν καὶ νῦν ἀγνοῶν. τοῖς ἀτίμοις οὐκ ἔξεστι λέγειν· τίς οὖν ἀτιμότερος τοῦ κατεψηφισμένου, τοῦ τοῖς αἰτήσασιν ἐκδεδομένου.[1] τοῖς δούλοις οὐκ ἔστι μετουσία πολιτείας.[2] ἀλλὰ καὶ τοῦ Φιλίππου δοῦλός εἰμι· καὶ δοῦλος μὲν[3] ὤν, οὐκ αἰσχύνομαι μεγάλου δεσπότου πόλεις μεγάλας ὁμοδούλους ἔχων· καὶ μετ᾽ ἐθνῶν ὅλων ὑποκύπτων[4] δεσπότῃ· μετὰ Χαλκιδέων· μετὰ Ὀλυνθίων· μετὰ Θηβαίων· μετὰ Θετταλῶν· καὶ ἔτι κρειττόνων. ὁμόδουλός εἰμι τῆς Ἑλλάδος. ἀλλ᾽ ὅμως τῶν ὑμετέρων νόμων, ὥσπερ ἐνυπνίων μνημονεύω· τὸν οὖν ἀτιμότερον Πιτταλάκου καὶ Μακεδόνι κεχαρισμένον δεσπότῃ, πῶς τολμᾶν δεῖ δημηγορεῖν· ὑμεῖς οὐδὲ τοὺς ὀφείλοντας τῷ δημοσίῳ

97 ἐνεκαλύψατο] sic B. ἀνεκαλ. M.

98 συνιέντας] sic B. συνέντας M.

99 ἔτι] sic recte B. nam cohaeret τῷ — μηδὲν ἀντειπεῖν cum ὑμᾶς ἐπαινῶ. ego vos laudo 1) propterea, quod de meis in rep. coeptis et institutis ita iudicastis, vt par erat vos iudicare. 2) quod intelligentes fortunae aduersitatem, mihi meisque conatibus refragantis, ei concedendum iudicastis. ἔτι δὲ καὶ sed et adhuc. 3) quod Philippo nulla in re repugnetis; nam is designatur illis verbis τῷ πάσης χάριτος ἀξίῳ. Mor. dat ἐπεί.

100 τῆς χάριτος B.

1 αἰτήμασιν ἐδεδομένου B.

2 post πολιτείας deesse videtur ἐγὼ δὲ οὐ μόνον τῆς τύχης. ego vero non fortunae solum seruus sum, sed Philippo quoque.

3 μὲν coharet non cum ὢν sed cum αἰσχύνομαι, *non me quidem pudet seruum esse* — verumtamen — oppositum est paulo post ἀλλ᾽ ὅμως τῶν ὑμετέρων νόμων ἔτι μνημονεύω verum tamen adhuc nihilominus memor sum vestrarum legum.

4 ὑποκύπτων] sic recte B. pendet enim ex οὐκ αἰσχύνομαι. M. dat ὑποκύπτω.

σιῶ λέγειν ἐᾶτε· ἀλλὰ καὶ αὐτοὺς ἀποσχοινίσαντες,[5] σιωπᾶν κελεύετε, καὶ στηλιτεύετε. ἐγὼ δὲ ἐστηλίτευμαι μὲν οὐ μόνον ἐν τοῖς ὑμετέροις ψηφίσμασιν, ἀλλὰ καὶ τῇ παρὰ πᾶσι δόξῃ,[6] τοῖς κἀμὲ καὶ τὸν[7] Ἀθηναίων δῆμον εἰδόσιν· ὀφείλω δ' ὑμῖν ὄφλημα, οὐχ οἷος Ἀριστογείτων· οὐδὲ ἄλλος τῶν ἐγγεγραμμένων·[8] ἀλλὰ δεσμὰ καὶ τραύματα· καὶ τὰς ἐσχάτας αἰκίας τοῦ σώματος· αἵ τινές εἰσι καὶ θανάτου βαρύτεραι. ταῦτα γάρ ἐστι, καὶ τὰ τοιαῦτα, ἃ πεισόμενος μὲν ἐξεδόθην ὑφ' ὑμῶν. οὐ παθὼν δὲ παρὰ τὰς πάντων ἐλπίδας, ἀλλ' ἀφεθεὶς, ὀφείλοιμ' ἂν, τοῖς ὧν ἠξίουν καὶ προσεδόκησαν, μὴ τετυχηκόσιν; εἴργει δή με λέγειν καὶ ὁ τῶν ὀφειλόντων νόμος. ὡς δ' ἁπλῶς εἰπεῖν, εἰ μὲν ἀδικῶν καὶ πονηρὸς σύμβουλος ὢν, ἐξεδόθην, ἐγὼ μὲν ἔχω τὴν δίκην· ὑμῖν δὲ πάλιν τί δεῖ τοιούτου ῥήτορος; εἰ δ' ἠτύχησα, πῶς δεῖ θρασύνεσθαι, καὶ τύχης ἐξαγαγούσης με τοῦ βήματος φιλονεικεῖν[9] τῷ δαίμονι; πρὸς γὰρ αὖ τοῖς ἄλλοις, καὶ τοῦτο μοι συμβέβηκεν. ἄλλης μὲν πολιτείας οὐδὲ[10] ἐμπείρως ἔχω· οἷον τῆς περὶ τὴν δίκην· ἢ τῆς περὶ τὰ δικαστήρια·[11] ἀλλ' ἀεὶ τούτων ἑτέροις παρακεχώρηκα τῶν διατριβῶν· ἐφ' ἧς δὲ μόνης ἐτάχθην τῆς Ἑλληνικῆς, διὰ ταύτην ἀπωλλύμην οὔτε οὖν[12] ἑτέραν, τινὰ μετὰ τάδε[13] πολιτευοίμην· οὐ γὰρ οἶδα ἐκείνην,[14] οὔτε τὴν αὐτήν· ἣ μήτε ἐμοὶ[15] λελυσιτέληκε. τῇδε γὰρ ἂν[16] σκέψασθε, ὦ ἄνδρες Ἀθηναῖοι·

ὡς

[5] ἀποσχοινίσαντες] sic B. ὑποσχοιν. M.

[6] δόξει B.

[7] τὸν] sic B. τῶν M.

[8] γεγραμμ. B.

[9] ἐξαγαγούσης με τοῦ βήματος φιλονεικ.] sic B. ἐξαγούσης με φιλον. caeteris omissis M.

[10] οὐδὲ] malim οὐδεμιᾶς.

[11] vocabula ἢ τῆς περὶ τὰ δικαστήρια sunt Scholium illorum τῆς περὶ τὴν δίκην, ideoque amputanda.

[12] ἀπωλλύμην. οὔτε οὖν] sic B. ἀπολοίμην. οὔτε γὰρ M.

[13] μετὰ τάδε] μεταστὰς B. ambigo vtrum praeferam.

[14] ἐκείνην] illam nouam artem, vel illud nouum vitae genus.

[15] f. ἢ μήθ' ὑμῖν, μήτ' ἐμοί.

[16] τῇδε γὰρ ἂν] τί γὰρ ἂν B. quod si probetur, leg. sic τί γὰρ ἂν καὶ σκήψαισθε (in optatiuo verbi σκήπτεσθαι,) ecquid tandem excusabitis vel excusetis?

ὡς εὔνουν ὄντα με ἐξεδίδοτε, καὶ συμφέροντα σύμβουλον ἀπώλλυτε· ἀχάριστος οὖν καὶ πονηρὸς ὁ δῆμος. ἀλλ᾽ οὐκ ἔστι, μήτε γένοιτο τοιοῦτος. ἀλλ᾽ ἄξιος ὢν ἡγόμην [17] πῶς οὖν οἷός τ᾽ ἐστὶ τὸν αὐτὸν ἐκδόσεως καὶ πολιτείας ἀξιοῦν; ἀλλ᾽ οὐχ᾽ οὕτως ἔχει· μεγάλων δὲ ὡς εἰκὸς ὑπερβολὴν ἀδικημάτων, καὶ πολλήν τινα πονηρίαν ἢ βλάβην ἐν τοῖς ἐμοῖς πολιτεύμασιν, ὑμεῖς ἰδόντες, οὐδὲν ἐπισχόντες, ἀγώγιμον εὐθὺς ἐψηφίσασθέ με παραδοθῆναι. ταῦτα οἱ χρηστοί, οἱ τοὺς ξένους οἰκτείρειν εἰωθότες· οἱ τοὺς οἰκέτας [18] αἰδούμενοι· παρ᾽ οἷς βωμὸς ἐλέου [19] οἱ τὰς ἄλλων κλαίοντες συμφοράς· μηδὲ τὰ τοιαῦτα τῶν δραμάτων ἀνεχόμενοι, ἐν οἷς Ἕλληνες ὑπὸ βαρβάρων ἁλίσκονται. ἐμὲ δὲ ἀδακρυτὶ παρεδώκατε ὀδυρόμενον. ὑμεῖς με ἀποκτείνατε· [20] τῆς Ἀττικῆς μοὶ μετάδοτε [21] μετὰ τῶν ἐν Χαιρωνείᾳ με νεκρῶν

[17] ἡγόμην] sic B. abducebar a Macedonibus ad Philippum ei dedendus ad supplicium. ἠγάμην M. verum tota sententia ἀλλ᾽ ἄξιος ὢν (scil. τοῦ ἄγεσθαι) ἡγόμην ad οὕτως ἔχει idem prorsus dicit insequentibus μεγάλων δὲ ad παραδοθῆναι. Quid ita? Libanius nempe solet, id quod saepe animaduerti ab eo his in declamationibus factum, easdem sententias, sed aliis verbis expressas proponere ad demonstrandam aut vbertatem linguae graecae, aut copiam ingenii sui, aut denique docendi ergo per exempla iuuenes eloquentiae studiosos, quomodo in dictione variandum sit.

[18] οἰκέτας] sic B. notus ille locus demosthenicus est de lenitate dominorum Athenis erga mancipia e Scythia et alivnde illuc deportata. οἰκείας M.

[19] ἐλέου] sic B. ἐλέους M. sed vt B. dat, in hac re est vsitatius.

[20] ὑμεῖς με ἀποκτείνατε est prosopopoeia, seu recitatio orationis, qua se tum simulat vsum, cum Macedonibus deposcentibus traderetur; nam post ὀδυρόμενον subaudiendum est οὕτωσὶ me lamentantem hoc modo —— lamentabar autem sic, quia Philippi aequitatem et clementiam nondum vsu cognitam habebam. quam si habuissem, non fuissem ita miserabiliter lamentatus. et vos tamen nihilominus me tam flebiliter eiulantem Macedonibus, a quibus extrema quaeque exspectabam, tradebatis.

[21] μετάδοτε γῆς B.

νεκρῶν θάψατε. οὐ γὰρ ᾔδειν οἷος ὁ τρόπος ἐςὶ[22] Μακεδόνων. ἀλλὰ τὸν ἀγαθὸν ἐφοβούμην Φίλιππον. ὑπεροφθεὶς οὖν καὶ μηδενὸς ἐλέου τυχὼν, οὐ τῇ ἡμῶν ἀναλγησίᾳ ταῦτα,[23] τῇ δὲ ἐμῇ λογίζομαι φρενοβλαβείᾳ, καὶ κακοδαιμονίᾳ δικαίως. ἡμεῖς μὲν οὖν ἴσως ὑπ' εὐκολίας καὶ φιλανθρωπίας, ἐπελάθεσθε τῶν ἐμοὶ δεδογμένων[24] καὶ γάρ ἐςιν ἡμῖν τὸ μὴ μνησικακεῖν πάτριον· ἐμοῦ δὲ ἐγγέγραπται ταῦτα τῇ ψυχῇ· καὶ ἀκριβῶς ταῖς μνήμαις τῶν ἐμαυτȣ̃ κακῶν ἐγκεχαλινωμένος σιωπῶ. οὐ γὰρ ἐκείνων γέ τις εἰμὶ τῶν ἐκ μεταβολῆς[25] ῥητόρων· τῶν εἰ μέν τι[26] γένηται[27] χρηςὸν ἀπόντων· εἰ δέ τι συμβῇ[28] κακὸν, πάλιν παρόντων, ὥσπερ τὰ ῥήγματα καὶ τὰ σπάσματα. οὐδὲ εὖ μὲν πραττούσῃ[29] σιωπῶ, καὶ φωνασκῶ[30] τῇ πόλει· περιμείνας δὲ τινὰ ἀγγελθῆναι συμφορὰν, ὥσπερ πνεῦμα, ἀνίςαμαι· οὐ γὰρ ὔτε ἡμεῖς ἐν ἀγαθοῖς τισὶν ἐςὲ νῦν, οὔτε ἐγὼ τῶν ἐκ τῆς τοιαύτης περιόδου πολιτευομένων εἰμί τις. ἀλλ' αἰσχρὸν καὶ ἄτιμον τῷ δήμῳ λέγειν τοὺς ἀτίμους, τοὺς αἰχμαλώτους, τοὺς Μακεδόνων· ἀδύνατον δὲ ἐμοὶ εἰς τὸ λοιπόν· καί τοι γε

[22] ἐςὶ] ἦν B.

[23] ταῦτα] id eſt τὸ μηδενὸς ἐλέȣ ἐμὲ τυχεῖν, ἀλλ' ὑπεροφθῆναι. vel etiam τὸ ἐμὲ ὕτως ὀδύρεσθαι. Bau. dat. τυχὼν ὑφ' ὑμῶν. τίνα γὰρ ἂν καὶ συναλγῆσαι τῇ ἐμῇ λογ. Poſſit e vulgata et B. lectione haec nova haud inconcinna concinnari. καὶ μηδενὸς ἐλέȣ τυχὼν ὑφ' ὑμῶν, εἰκότως, (τίνα γὰρ ἂν καὶ ἄλλον εἰκὸς ἐμοὶ συναλγῆσαι;) ȣ̓ τῇ ὑμῶν ἀναλγησίᾳ ταῦτα τῇ δ' ἐμῇ φρενοβλ.

[24] num δεδειγμένων verborum, factorum, a me veſtro in conſpectu editorum, τῶν ὑπ' ἐμȣ̃ ἐν ὑμῖν λεχθέντων τε καὶ πραχθέντων.

[25] μεταβολῆς] ſic B. μεταβαλῆς M.

[26] τῶν εἰ μέν τι] ſic B. τῶν ȣ̓ μέν τοι M.

[27] γένοιτο B.

[28] συμβαίη B.

[29] f. ȣ̓δ' ἐν εὖ μὲν πρ.

[30] φωνασκεῖν aliter Libanius vſurpauit, atque Demoſthenes et Aeſchines. hi enim de oratore vſurparunt ſtentoreum vociferante in concione. noſter autem vſurpat de rhetore, clam, nemine coram, in vmbra ſcholaſtica, meditante orationem in publico habendam, eique ſeſe praeparante.

γε καὶ πλείω τοῦ δέοντος εἰρηκὼς φθάνω· ὥστε καὶ δέκα βίοις ἀνδρὸς ῥήτορος ἀρκέσαι. καί ποτε καὶ πάντων σιωπώντων μετ᾽ ἐκείνην τὴν φοβερὰν ἑσπέραν, καὶ τὸν ἐκ Φωκέων ἄγγελον· πάντας μὲν τοῦ καιροῦ καὶ τοῦ κινδύνου καλοῦντος· τοῦ κήρυκος δὲ διερωτῶντος,[31] τίς ἀγορεύειν βούλεται· βουλομένου δὲ καὶ τολμῶντος οὐδενὸς,[32] μόνος εἶπον, ὁ μόνος ἐκδοθείς· οὐκ ὀρθῶς μὲν, οὐδὲ νουνεχόντως[33] οὐδ᾽ ἐκεῖνα· λέλεκται δ᾽ ὅμως· ἀνθ᾽ ὧν τοσούτων εἰρημένων[34] ἀποδοθῆναί μοι τὴν νῦν ἡσυχίαν ἀξιῶ. καὶ γὰρ κατὰ μὲν τὸ ὑμέτερον, ἐκποδών εἰμι· τῇ δὲ Φιλίππου χάριτι καὶ φιλανθρωπίᾳ ζῶ καὶ περιέρχομαι. οὐ μὴν ἐπείπερ εἰς τὴν αὐτὴν πόλιν ἐπανήκω, τὸν αὐτὸν[35] εἶναι νομιστέον. οὐδὲ ἐκεῖνό μοι τις εἴπῃ·[36] ἐστρατήγησεν Ἀριστείδης κατελθών· οὐ γὰρ Ἀριστείδην ἐξεδώκατε· ἐπολιτεύσατο παρ᾽ ὑμῖν Ἀλκιβιάδης· οὐ γὰρ Ἀλκιβιάδη ὑμεῖς εἰς Σπάρτην ἐπέμψατε. ἐστρατήγει καὶ Κίμων μετὰ τὴν φυγήν· οὐδὲ γὰρ ἐκεῖνον ἀφῆκε Φίλιππος. ἐγὼ δὲ ἀδοκήτως μὲν ἐκδοθεὶς, ἀδοκητότερον δὲ ἀφεθεὶς, ἂν μὴ σωφρονῶ, θᾶττον οἰμώξαιμι[37] νῦν, ἢ πάλαι. μὴ τοίνυν, ὥσπερ ἐξ ἀποδημίας ἢ στρατηγίας, ἢ τινὸς ἄλλης φυγῆς, ἐπανελθόντα με κελεύετε δημηγορεῖν· ἀλλ᾽ ἐᾶτε μνημονεύειν ὅθεν πάρειμι· οὔτε γὰρ ὑμεῖς ἐπὶ τοῖς συμβᾶσι τούτοις προειδότες ταῦτα, ἐπέμψατε· ἀλλ᾽ ὠργισμένῳ καὶ χαλεπῷ Φιλίππῳ, χαίροντος Αἰσχίνου, Δημάδου γελῶντος. βοώντων ἐν[38] ὑμῖν τῶν ἄλλων ῥητόρων τοῦτο ἐκεῖνο,[39] ἄνθρωπος οἴχεται· τέλος ἔχει τὰ Δημοσθένους·

[31] ἐρωτῶντος B.

[32] μηδενὸς B.

[33] νοῦν ἔχοντα B.

[34] εἰρημένων] scil. ὑπὲρ ὑμῶν ὑπ᾽ ἐμοῦ.

[35] malim καὶ τὸν αὐτὸν, scil. μὴ εἶναι ἔτι καὶ νῦν τῷ πρίν.

[36] οὐδὲ ἐκεῖνό μοι τις εἴπῃ] ὁ δὲ ἐκείνων νόμος τίς ἦν; B.

[37] οἰμώξομαι B.

[38] ἐν] sic L. μὲν M.

[39] Illa per assimulationem hic recitata oratorum Athen. oratio incipit a verbis τοῦτ᾽ ἐκεῖνο subaudi γέγονεν, ὃ ἡμεῖς πάλαι ἠθελήσαμεν καὶ προσεδοκήσαμεν.

θένους. οὔτε ἐκεῖνός με πάλιν δεῦρο ἐπὶ πολιτεία καὶ λόγοις[40] ἀπέςειλεν. εὖ ἴςε ὡς καὶ μὴ καλούντων ἂν ὑμῶν ἐπολιτευόμην,[41] εἰ Φίλιππος τῦτο ἐκέλευσέ μοι. ὧν μὲν οὖν μοι Φίλιππος διείλεκται[42] τὰ μὲν ἐςὶ ῥητὰ, καὶ ἀκούσεσθε ταῦτα, ἐπειδὰν ἐν τούτῳ τῷ λόγῳ γένωμαι. ἃδ' οὐχ' οἷός τ' ἐςὶν ἐξειπεῖν, τὰ δὲ σιωπήσομαι· κἂν ὁτιοῦν γένηται· κἂν ἀγγέλῃ[43] τι καινότερον Δέρκυλλος,[44] καὶ Ἀμφιπολιτῶν[45] Ἱέραξ, καὶ Στρατοκλῆς ἐπέλθωσι, καὶ Κλείταρχος ἐξ Ἐρετρίας. κἂν μηνύωσι Θετταλοὶ, κἂν καλῶσι Βυζάντιοι, κἂν Θηβαῖοι δέωνται, κἂν Πύθων ἐλθὼν ῥέῃ;[46] μόνην ἐκείνην τὴν πολιτείαν πολιτεύσομαι· θεραπεύσω τοὺς ἐπιδημοῦντας Μακεδόνων· ἑςιάσω τοὺς ἐκεῖθεν ξένους. ζεύγη μισθώσομαι, καὶ θέαν κατανεμῶ· Φοινικίδας[47] καταβαλῶ. Ὑπερίδου δεήσομαι, γράψαι[48] μοι τὰ ψηφίσματα· τοιαύτην ὁ καιρός μοι περιτίθησι πολιτείαν· τῦτο τὸ ἦθος ἡ τύχη μοι δίδωσι· τοιοῦτον ὑμεῖς τὸν Δημοσθένην ἐποιήσατε. ὁποῖαττα[49] γὰρ ἦν τὰ τῶν ἀνθρώπων πράγματα, τοιοῦτον

τον

40 λόγῳς B.

41 ἂν ὑμῶν ἐπολ.] ſic B. ὑμῶν omittit M.

42 διείλεκται] ſic B. διήγγελται M.

43 pro ἀγγέλῃ per unum λ malim per geminatum, ἀγγέλλῃ.

44 τι καινότερον Δέρκ.] ſic B. καινότερον deeſt M.

45 malim κἂν ἀπ' Ἀμφιπολιτῶν.

46 non ſufficit ῥέῃ vel etiam ῥυῇ, quod poſſit e lectione B. εἴῃ exſculpi, ſed addendum quoque eſt πολύς. verum vniverſe non video, quid python, legatus et praeco Philippi ad Athenienſes, hic ſibi velit, et cur commemoretur inter tot alios hoſtes Philippi, qui per aſſimulationem dicuntur Athenas conueniſſe, quo Athenienſes compellerent ad foedus ſecum aduerſus Philippum ineundum.

47 num Φοινικίδας ὑπερπετάσω, προσκεφάλαια καταβαλῶ. ſuper capitibus eorum extendi curabo vela coccinea, ſolis arcendi ergo, et coxis eorum ſubſterni puluinaria.

48 γράψαι] imo vero κρύψαι. Hyperidem orabo, vt illa mea vetuſta acerba Macedonibus atque infeſta pſephiſmata in ſuis aduerſus Macedonas inuectiuis ne commemoret.

49 ὁποῖα B.

τον ἀνάγκη[50] καὶ τὸ φρόνημα ἔχειν· ὥσπερ οὖν καὶ τοὺς δίαυλον θέοντας ὀπίσω[51] δεῖ βλέπειν· ὅτω[52] κἀμὲ εἰς Μακεδονίαν· ἐπειδὴ καὶ ἐνθένδε ὅτε ἠγόμην ἐκεῖσε, πρὸς Ἀθηναίους ἀπέβλεπον. ὑμεῖς δὲ μὴ πάντα[53] ἀξιοῦτε πολιτεύεσθαι τοὺς Μακεδόνων ῥήτορας· καὶ γὰρ οὐδ᾽ ἂν ὑμῖν συνενέγκαι τὸν ἄκοντα καλοῦσιν ἐπὶ τὰ πράγματα, καὶ παρὰ γνώμην βιαζομένοις λέγειν· ἅπας γὰρ κάκιστος[54] ἐν οἷς ἀναγκάζεται. μηδὲ ἐμὲ κινεῖτε καλῶς κείμενον· μηδὲ κρούετε σιγῶντα· μηδὲ χαμόθεν ἀνίστατε. τί στόμα ἀνοίγετε κεκλεισμένον; τί λύετε γλῶτταν δεδεμένην; οὐχ ὅλον[55] με Φίλιππος ἀφῆκεν; οὐδὲ πᾶσι κεκωλυμένος,[56] ἔοικα μεγαληγορεῖν ὑπὲρ τὰς παρούσας τύχας· καὶ παραβάλλειν[57] ἐμαυτὸν τοῖς κρείττοσι. δεδεμένος ἀπὸ Φιλίππου πάρειμι. ὁρᾷς οὖν ἄνθρωπε τὰ μαντεῖα· ὡς νῦν μὲν κιχρᾷ καὶ φθέγγεται· νῦν δὲ ἀνέχει καὶ σιωπᾷ. καὶ ταύτην[58] φέρουσιν οἱ δεσμούμενοι[59] τὴν δαιμονίαν σιωπήν. μήδ᾽ ἐμὲ σεῖε·[60] μήδ᾽ ἐμὲ μάτην κίνει· ἐκ ἀναβαίνω ἐπὶ τὸν τρίποδα τῦ βήματος· οὐδὲ μαντεύομαι· ἀπέστη μου[61] τὸ πνεῦμα, τὸ δαιμόνιον· κενός εἰμι τῦ θεοῦ· ἀπ᾽ ἐκείνης με τῆς ἡμέρας κατέλιπεν.

ἂν

[50] ἀνάγκη] subaudi αὐτάς.

[51] θέοντας ὀπίσω] sic B. ὀπίσω deest M.

[52] ὅτω κἀμὲ] sic B scil. δεῖ βλέπειν. M. dat ὅτως.

[53] πάντας dat B. num ita constituendus est locus? ὑμεῖς δὲ μὴ πάντως (absolute, nulla cum cautione.) ἀξιοῦτε πολιτεύεσθαι remp. vestram gerere τὰς ὑπὲρ μακ. ῥήτορας. vel potius τὸν ὑπὲρ μακ. ῥήτορα me, qui iam in posterum studebo Macedonibus.

[54] f. ἅπας γὰρ ἑαυτῦ κάκιστος.

[55] ὅλον] sic B. ὅλως M.

[56] f. ἐδὲ τοῖς πᾶσι κεκολυμένον ἔοικεν ἐμὲ μεγαληγορεῖν. et haec erit constructio: ἐδὲ ἔοικεν (id est ἐκ εἰκός ἐστι, vel ἐκ ἄξιόν ἐστι) ἐμὲ, ὅς εἰμι τοῖς πᾶσι κεκολυμένος, μεγαληγορεῖν.

[57] παραβάλλειν] sic B. παραβαλεῖν M.

[58] ταύτην] sic B. ταυτὰ M.

[59] pro δεσμέμενοι leg. videtur μαντείας δεόμενοι, et hoc numinis silentium aequo ferunt animo, consulentes oraculum. aut οἱ χρησμῦ δεόμενοι.

[60] f. μὴ δῆτα μηδ᾽ ἐμὲ σεῖε.

[61] ἄπεστί μοι B.

ἂν δέ με βιάσεσθε,[62] πεπλασμένα φθέγγομαι,[63] ὅμοια τῇ ψευδομένῃ Πυθίᾳ. ὧν οὖν ὑμῖν[64] μὲν οὐδὲν πλέον, ἐμοὶ δὲ ἔλαττον παρακινοῦντι δεήσεται, τούτων τίς ὁ περίεργος καὶ μάταιος οὗτος ἔρως ἔγκειταί τισιν, οἷς μηδὲ ταῦτα[65] ἀρκεῖ, τὰ πολλὰ ἴσως, καὶ αὐτὰ τολμηρά. ἀλλὰ καὶ προσερωτῶσιν, τί σιγᾷς Δημόσθενες, ὥσπερ ἐκ Περσῶν καταβεβηκότες· καὶ μηδὲν εἰδότες ὧν ἴσασι πάντες ἄνθρωποι· δεῖ γὰρ ὡς ἔοικεν, ἐπεὶ μὴ λέγω, τῆς γοῦν[66] σιωπῆς γενέσθαι λόγους· οὕτως πάντως τινὲς ἐθέλουσιν ἐμοῦ λαβέσθαι λόγους.[67] ἐγὼ δὲ αὐτοῦ τοῦ πάθους ἅμα λογισμοῦ πολλὰς ἀνάγκας εἰπεῖν καὶ γνώμας ἔχων, τὴν πρώτην ἐρῶ. καὶ πιστεύσατε· πρότερον μὲν καὶ ἄκων πως καὶ ὁμοίως τοῖς ἐρῶσιν, αὐτόματος τὰ πολλὰ ἐφερόμην ἐπὶ τὰς τοῦ δήμου θύρας· νῦν δὲ οὐδέν με τοιοῦτον ἐγείρει πάθος· οὐδὲ ἕλκει πρὸς ὑμᾶς. ὃς δὲ ἄνευ μανίας εἴτε ἐρωτικῆς, εἴτε πολιτικῆς, ἐπ' ἐκκλησίαν ἢ βουλευτήριον[68] ἔρχεται, ἄτονος καὶ ἀτελής, αὐτός τε καὶ τὰ πολιτεύματα αὐτοῦ. ἔπειτα πεπόνηκα καὶ γεγήρακα· νεανίσκος μὲν γὰρ ὢν εἰσῆλθον εἰς τὴν πολιτείαν· βεβίωκα δὲ ἐπὶ τοῦ βήματος, μέχρι τῆς ἡλικίας ἣν ὁρᾶτε. ἔστι[69] δὲ, οὐχ ὁ αὐτὸς νοῦς ἢ τρόπος τῶν ἐρρωμένων καὶ γεγη-

[62] βιάσασθε B.

[63] φθέγξομαι B.

[64] ὑμῖν] sic B. recte. sed eo persanatus non est locus affectus. num sic dedit Libanius? ὧν ἂν ὑμῖν μὲν οὐδὲν πλέον ἔσαι τυχοῦσιν, ἐμοὶ δ' ἔλαττον —— verum insequentia παρακινοῦντι δεήσεται non expedio, quae si omittas, non modo nil detrahes orationi necessarium, sed etiam remouebis impedimenta, et perspicuitatem addes.

[65] sic distinguo: ταῦτα ἀρκεῖ τὰ πολλὰ, ἴσως καὶ αὐτὰ τολμηρά. quibus non sufficiunt istae tam crebrae, et nescio an ipsae quoque importunae expostulationes, quibus quotidie oppugnor et exagitor ab iis, qui me ad reip. tractationem inuitum trahere conantur.

[66] γοῦν] sic B. ἂν M.

[67] aut λόγων malim, aut λέγοντος.

[68] ἐκκλησίαν ἢ βουλευτήριον] aut sic cum B. leg. est, aut ἐπ' ἐκκλησίας καὶ βουλευτήρια, in plurali. ἐκκλησίας ἢ βουλευτήρια ..

[69] ἔστι] sic B. ἔτι M.

γεγηρακότων· ἀλλ' ἀμβλύτερα μὲν αὐτῶν τὰ φρονήματα· ἀνανδρότεροι δὲ οἱ λόγοι. καλῶς οὖν ἔχει μοι ἀφηβηκότι καὶ μεμαρασμένῳ τὴν ἡσυχίαν ἄγειν· καὶ τοῖς νεωτέροις καὶ μᾶλλον ἐῤῥωμένοις. τὰ τῆς πολιτείας ὅπλα παραδιδόναι· μᾶλλον δὲ εἰ δεῖ μηδὲν ὑποστειλάμενον[70] εἰπεῖν, τέθνηκα τῷ ψηφίσματι. ἀφῆκα τὴν πολιτικὴν ψυχήν· οἴχεται ἡ δόξα μου. κεῖται τὸ[71] φρόνημά μου. λέγω δὲ[72] παράδοξον οὐδέν· ἀλλ' ὥσπερ δὴ πολλοὺς τῶν ἐμβεβροντημένων εἴδετε σεσιωπηκότας, οἳ καὶ τῇ προσβολῇ τοῦ ψόφου καὶ τῷ μεγέθει τοῦ φόβου καταπλαγέντες, ἄφωνοι κατέστησαν ἅπαξ τοῦ πνεύματος ἐκπεσόντος ἢ παγέντος, ἢ ὅτι καὶ τὸ συμβαῖνόν ἐστιν. οὕτω καὶ αὐτὸς ἐκπέπληγμαι· τὸ αὐτὸ πέπονθα. ἄφωνος ἐγενόμην ὑπὸ τῆς βροντῆς τῆς Μακεδονικῆς· ὑφ' ἧς καὶ τὸν δῆμον εἶδον τρέμοντα καὶ προσκυνοῦντα. μὴ τοίνυν με κελευέτω τις λέγειν μᾶλλον, ἢ Περικλέα τὸν Ὀλύμπιον ἐκεῖνον· ἢ τὸν Ἀλκιβιάδην, ἢ τὸν ὁμώνυμον τὸν ἐμόν, ὥσπερ ἀναβεβιωκότα, οὐδὲ γὰρ ἀναβεβίωκα[73] καθάπερ δοκῶ. ἀλλ' ἄλλως φέρομαι καὶ πλανῶμαι πόθῳ γῆς, καθάπερ αἱ τῶν νεωστὶ τεθνηκότων ψυχαί, φιλοχωροῦσαι περὶ τὰ συνήθη σώματα. ἆρα ἐθεάσασθέ ποτε εἴδωλον ἐν δράματι καὶ τραγικὴν σκιάν; τοιοῦτόν τι χρῆμα νῦν καὶ τοὐμόν ἐστιν,

Ἥκω λιπὼν κευθμῶνα καὶ σκότου[74] πύλας.

ἔνθα δή με δῆμος Ἀθηναίων ὁ μεγαλορήτωρ[75] ἔπεμψεν Ἀθήνας ὀψόμενος·[76] καὶ τῶν δημηγορούντων ἀκουσόμενος.

[70] ὑποστελλόμενον B.

[71] ἦν ἡ δόξα μου. κεῖται δὲ τὸ B.

[72] λέγω δὴ B.

[73] οὐδὲ γὰρ ἀναβεβίωκα] sic dedi lect. B. τοῦδε γὰρ ἀναβεβιωκότα. neque enim ad vitam redii, quemadmodum videor, h. e. quamquam videor. ὥσπερ ἀναβεβιωκότα καθάπερ caeteris omissis M.

[74] ᾅδου B.

[75] μεγαλήτωρ m. M.

[76] ὀψόμενος et ἀκουσόμενος] sic B. cohaerent enim hi nominatiui cum ἥκω et λιπών, non cum με. ab orci portis huc redeo, quas ad portas me magna-

νος. ὢ λάλου καὶ περιέργου νεκροῦ. ἐπεὶ[77] μηδὲ ταῦτα[78] ἀρκεῖ· ἀλλὰ πάλιν[79] δημηγορῶ νῦν ἐγώ· τί λέγων; τί γράφων; οἷα καὶ τὰ πρόσθεν; ἀλλὰ μηδὲ ἐκεῖνα ὤφελον; ἀλλὰ ἐναντία ἐκείνοις; ἀλλ' οὐκ ἂν δυναίμην. οὐχ οὕτως[80] πάλιν φοβοῦμαι Φίλιππον, ἢ φιλῶ Μακεδόνας. τί με κελεύεις γράφειν ἢ λέγειν, ἃ γὰρ ἐνδεῖν δοκεῖ, πάντα[81] ταῦτα οἶσθα[82] σύ. καὶ τί μὴ λέγεις ἢ γράφεις; ἀλλ' ἐν ἐμοὶ καθάπερ καιρῶν τινὶ τὴν πεῖραν ποιῇ. περίεργον μὲν οὖν ἐρᾷ λογον[83] καὶ τῆς παρουσης[84] μου[85] γνώμης καὶ τύχης θρασύτερον· εἰρήσθω[86] δ' ὅμως. ἐγὼ γὰρ οὐδὲν ὁρῶ περὶ οὗ καὶ πολιτεύεταί[87] τις. ὑπὲρ Ὀλυνθίων; κατεσκάφησαν.[88] ὑπὲρ Χαλκιδέων; ἑάλωσαν. ὑπὲρ τῶν ἐπὶ Θράκης; ἔχει δεσπότην· ὑπὲρ Ἁλοννήσου, κρατεῖται· ὑπὲρ Ἀμφιπόλεως; παρελήλυθεν· ὑπὲρ Χεῤῥονήσου; κατείληπται. ὑπὲρ Πελοποννήσου; συγχωροῦσι Κορίνθιοι· σιωπῶσι Λακεδαιμόνιοι. ὑπὲρ τῆς θαλάσσης;[89] περιπλεῖται βεβαίως· ὑπὲρ τῆς σιτοπομπίας; οὐ φθονήσει Φίλιππος ὑμῖν τροφῶν, ὁ μηδ' ἐμοὶ σωτηρίας· ἀλλ' ὑπὲρ Θετταλίας, ἣν παρελήλυθεν. ἀλλ' ὑπὲρ Φωκέων; ἤδη Φίλιππος Ἀμφικτυών· ἀλλ' ὑπὲρ τῆς Θηβαίων συμμαχίας; τί δεῖ πολέμου ἔτι καὶ στρατοπέδων ὑμῶν Φιλίππῳ πάντα πειθομένων ἅπαντα κελεύοντι; ὑπὸ[90] ταῖς ἐπιστολαῖς[91] ἤδη πολιτευομένων ταῖς ἐκείνου, ὑπὲρ τῶν

magnanimus (hic subest aculeus) populus Athen. miserat; illinc redeo spectaturus —— et auditurus. M. dat ὀψόμενον et ἀκουσόμενον.

[77] ἔπειτα B.

[78] ταῦτα] scil. τὰ πάλαι ὑπ' ἐμοῦ δεδημηγορημένα.

[79] πάλιν ἐγὼ B.

[80] ἀλλ' οὕτως B.

[81] δοκεῖν πάντως B.

[82] ᾔδα m. M.

[83] λόγιον B.

[84] καὶ τῆς παρούσης] sic B. τῆς deest M.

[85] pro μου malim μοι legi.

[86] εἴρηταί τις ὑπὲρ Ὀλυνθίων caeteris omissis B.

[87] malim πολιτεύσεται.

[88] κατεσφάγησαν B.

[89] ὑπὲρ Θετταλίας B.

[90] pro ὑπὸ leg. videtur ἀπάντων. B. dat ἐπί.

[91] ἐπιστολαῖς] sic B. et m. M. idem est atque κατὰ τὰς ἐπιστολάς. M. dat ἐπιστολαῖς.

τῶν νόμων πολιτεύεσθαι δεῖ, ποίων νόμων; ἀποδημεῖ Σόλων ἐν Αἰγύπτῳ· ἐν Φοινίκῃ κάθηται. ἀλλ᾽ ὑπὲρ τῶν τειχῶν ὧν ἐπεσκεύαζον ποτέ. τί γὰρ δεῖ τούτων; Φιλίππου πείθειν ὑμᾶς δυναμένου. ἀλλ᾽ ὑπὲρ ἐλευθερίας, ὀνόματος κενοῦ; ἀλλ᾽ ὑπὲρ σωτηρίας, ὃ πᾶσιν ἀνθρώποις τελευταῖόν ἐςι κτῆμα; ἀλλὰ μὴν καὶ ταύτην ὁρῶ πᾶσιν ἀσφαλῆ, διὰ τὴν Φιλίππου φιλανθρωπίαν. τί γράφω;[92] τισὶ βοηθεῖν; πάντες Φιλίππου. τίνα συγκαλεῖτε·[93] οὐδεὶς ἔτι παρ᾽ ὑμᾶς ἔρχεται. ἀλλ᾽ ὑπὲρ πολέμου; μὴ γένοιτο. ἄξιον μέν τοί μου τὴν χεῖρα ἀποκοπῆναι πελέκει, καὶ τὴν γλῶτταν καταφαγεῖν πρινὴ τοιοῦτον εἰπεῖν λόγον, ἢ γράψαι ψήφισμά τι. ἀλλ᾽ ὑπὲρ εἰρήνης; ἀλλ᾽ ἐ μόνοις ὑμῖν αὐτοῖς[94] ἐσπείσατο, ἀλλὰ καὶ τοῖς ἐγγόνοις ὠμόσαμεν αὐτήν· ὥστε καὶ τοῖς κληρονόμοις, ἐάν περ ἄρα καὶ εὐορκεῖν βέλωνται, τούτων τῶν ἀγαθῶν μετέςαι. σχεδὸν ἐν ἀνάλωται πάντα, ὑπὲρ ὧν ἄν τις ἐπολιτεύσατο. καὶ πλείςης ἀπραγμοσύνης μέτοχός ἐςιν ὁ παρὼν χρόνος. ὥςε ἐκ ἐμοῦ θαυμαςὸν ἐςι μὴ προσιόντος πρὸς τὸ βῆμα. τῶν δὲ πολιτεύεσθαι προσποιουμένων, τί λέγουσιν ὅλως ἢ γράφεσι; τῶν πραγμάτων εἰς τοσαύτην ἡσυχίαν ἁπάντων τετελευτηκότων· ἃ δ᾽ ἂν εἴποι τις καὶ γράψειε νῦν, ταῦτα καὶ γένοιτ᾽ ἂν[95] προσειπεῖν ἀπελθόντας[96] πέμψαι θεωρίας εἰς τὰ Ἀντιπάτρου Πύθια. καλεῖν τὸν βασιλέα πέμψαντας[97] ἐπὶ μυςήρια. Αἰσχίνης εἰπάτω· Δημάδης γραψάτω. εἰ δὲ δεῖ τινὸς ἐκ Μακεδονίας, Ἀριςοδήμῳ, Νεοπτολέμῳ πρέπει.[98] παραχωρῶ τοῖς ὑποκριταῖς ταύτης τῆς πολιτείας·

[92] γράφω accipiendum hic eſt pro γράψω. quid ſcribam?

[93] συγκαλεῖτε·] ſic B. συγκαλεῖται M.

[94] αὐτὸς B.

[95] malim ταῦτα καὶ ἄνευ ἐμοῦ γένοιτ᾽ ἄν.

[96] προσειπεῖν ἀπελθόντας] ſcil. τὰς Μακεδονίας βασιλέας καὶ τὰς τέτων φίλες καὶ δυνάςας.

[97] πέμψαντας] id eſt διὰ θεωρῶν ἢ πρέσβεων παρ᾽ ἡμῶν ἐκεῖσε ἐπὶ τῦτο πεμφθέντων.

[98] πρέπει] ſcil. ταῦτα αἰτεῖν καὶ διαγγέλλειν πρὸς Φίλιππ.

λιτείας· ἐγὼ δὲ οὐδὲ ταῦτα τολμῶ· οὐ μέντοι γε νῦν πρῶτον εἴδετε τὴν ἐμὴν δειλίαν· πάλαι[99] λεγόντων ἀκούετε· μαλακὸς, Βάτταλος. ἐγὼ δὲ τότε μὲν οὐ τοιοῦτος ἦν ἀλλ᾽ Αἴας τις, ὦ[100] ἄνδρες Ἀθηναῖοι, μεμηνώς. οὐκοῦν ἀπέσχην, πρὶν ἐμαυτὸν ἀποκτεῖναι, τῆς πολιτείας· νῦν δ᾽ ἀληθῶς, ἄψυχος, ἄτολμος, ἀσφαλὴς Βάτταλος. νῦν ὕδωρ πίνω νῦν νήφω καὶ σωφρονῶ. τότε δὲ μεθύων ὑπὸ[1] φιλοτιμίας ἠγνόουν. τί με καλεῖτε; ἅπαξ ἀπέσχητε ἅπαξ ὑπερωρίσατε. οὐκέτι ὑμέτερός εἰμι· οὐδὲ δούλῳ χρῆταί τις ὃν ἀπέδοτο. Φιλίππου νῦν εἰμι· Φιλίππου μόνου. πῶς καὶ γράφω; τί νῦν καὶ τινὰ ἐμαυτὸν ἐπιγράψαιμι;[2] Δημοσθένην Δημοσθένους Παιανιέα; ψεύδομαι[3] ἀλλὰ Δημοσθένην Φιλίππου τοῦ ἐκ Μακεδόνων. τί οὖν μὴ Πύθων ἐλθὼν πολιτεύεται; πῶς πρεσβεύσω παρὰ τοὺς Ἕλληνας, τοὺς τῆς ἐμῆς ἐκδόσεως θεατάς; μὴ γὰρ ἔλαθον, μὴ γὰρ ἠγνοήθην; ἅπαντες ᾔσθοντο. βασιλεὺς ὁ Περσῶν ἐπύθετο. ἐφ᾽ ᾧ καὶ ὀργίζεσθαι φασὶ λέγοντα αὐτόν· ἡμῖν δὲ οὐκ ἔδοσαν γῆν καὶ ὕδωρ Φιλίππῳ φθονεῖν·[4] μετὰ ταῦτα φησὶ[5] λέγε Δημόσθενες, ὥσπερ πειρώμενος[6] εἰ τὴν γλῶτταν ἐξέταμέ[7] μου Φίλιππος. ἐγὼ δὲ οὐ μόνον οὐδὲν λέγω· ἀλλὰ καὶ ἄλλων[8] ἀκούων λεγόντων, κλαίω καὶ σιωπῶ. ἐπιλαμβάνομαι δὲ τῆς γλώττης κινουμένης καὶ ῥῆμα ἐκφυγὸν ἤδη με προπετὰς, ἐπέχον· καὶ πρὸς ἐμαυτὸν Αἰσχύλου[9] λέγω πολλάκις,

Μέν'

[99] πάντων B.

[100] ὦ] sic B. ὧν M.

[1] ὑπὸ] sic B. ὑπὲρ M.

[2] f. τίνα νῦν καὶ τίνος ἐμαυτὸν ἐπιγράψομαι; Bau. dat ἐπιγραψάμενος.

[3] malim ἀλλὰ ψεύσομαι.

[4] malim φθονοῦντα.

[5] φησὶ] sic B. φασὶ M.

[6] πειρώμενος] sic B. (πειρώμενοι M.) Post haec, id est post tantam rerum mearumque et Graecorum factam mutationem, tamen flagitat adversarius et obiurgator meus, vt dicam, Dic, ait, Demostene, quasi periculum faciens, quo cognoscat, num Philippus linguam mihi exsecuerit.

[7] ἐξέτεμέ μου Φ. ἐγὼ ἃ μέλλω μὲν οὐδὲν B.

[8] τῶν ἄλλων M. sed deleui τῶν ex auctoritate B.

[9] malim τὸ Αἰσχύλου.

Μένʼ ὦ ταλαίπωρʼ ἀτρέμα σοῖς ἐν δεμνίοις.

ἤδη δὲ ποτε καὶ ὄναρ δημηγορῶν,[10] ἀνασὰς τῇ ψυχῇ καταμέμφομαι· οὔπω σωφρονεῖς, τί πλανᾷ; τί φαντάζῃ; δυςυχεῖς· ἄλλως[11] γὰρ οὐκ ἔχεις ἀπελθεῖν εἰς Μακεδονίαν· οὐ μὴν νῦν γε καὶ παντελῶς τὰ πρὸς ὑμᾶς σιωπήσομαι. Ἀθηναῖοι πάρεισι· Δημοσθένης εἰς μέσον ἀχθήτω· λέγε. οὐ δεῖ διακενῆς τὸ θέατρον τῷ ποιητῇ συνελθεῖν. παρέξαι τι δρᾶμα ὡς ἀληθῶς·[12] ἔχω λόγον ἐπιτήδειον· εἰπεῖν ἐμαυτῷ· δρᾶμα Ἀττικόν· δρᾶμα Μακεδονικόν. οὐκ Ἀρχέλαον Εὐριπίδου· ἀλλὰ Φίλιππον Δημοσθένους· ὥσπερ δέον[13] ἀκοῦσαι καὶ τοῖς ἄλλοις ῥήτορσι; ποῦ ποτʼ ἐςὶν Ὑπερίδης; ποῦ Λυκοῦργος; ποῦ Διότιμος; ποῦ δὲ Ἡγήσιππος; ποῦ δὲ οἱ λοιποί· οὑμὸς θίασος ὁπου ποτὲ καὶ ὁ Χορός.[14] ἀκούετε, ὦ ῥήτορες· καὶ τὸν νοῦν προσέχετε· ἄξιον γὰρ[15] ἄξιον καὶ τῆς ἀρετῆς Φιλίππου χάριν μὴ σιωπᾶν[16] μὴ πρᾶγμα μέγα καὶ καλὸν ἐκείνου λάθῃ· ἐπειδὴ γὰρ[17] σιωπῶντα καὶ θαυμάζοντά με, ὡς ἐχρῆν,[18] τοῖς ἐκ Μακεδονίας δορυφόροις παρεδώκατε.[19] καὶ πάντων ὑμῶν ὁρώντων, εἱλκόμην ὑπὸ[20] τὴν ἀκρόπολιν· παρὰ[21] τὸν Ἀριςογείτονα· παρὰ[22] τὸν

[10] postquam in somno mihi visus essem ad populum concionari, vbi surrexi, ipse meniet increpo.

[11] num ἄλλοτε γὰρ οὐκ ἔχεις ἀπελθεῖν, ἢ εἰς Μακεδ. sed, vt verum fateur, totum hunc quoque locum non intelligo.

[12] f. παρέξω τι δρᾶμα, δρᾶμα ὡς ἀληθῶς.

[13] δέον] δέ τινα εἴ τι B. e lect. B. [illegible] ὥσπερ δεῖ ἵνα δʼ εἴη ἀκοῦσαι — Sed hoc parum plac t, parum satisfacit.

[14] θίασός ποτε καὶ χορὸς B. num οὑμὸς θίασος ὁμοῦ ποτε καὶ χορός;

[15] γὰρ] sic recte B. sed tum leg. videtur καὶ τῆς ἀττικῆς vel ἑλληνικῆς ἀρετῆς, dignum est virtute Attica, vel graeca, h. e. liberalitate et honestate hominis graeci — M. dat καί.

[16] σιωπηθῆναι B.

[17] γὰρ] sic B. καὶ M.

[18] ὡς ἐχρῆν] scil. θαυμάζειν.

[19] παραδεδώκατε B.

[20] ἠγόμην ἐπὶ B.

[21] παρὰ] ἐπὶ B.

[22] παρὰ] περὶ B.

τὸν ἐλέου βωμόν. ταῦτα[23] μὲν εἴδετε, ὡς σιωπῶν καὶ κατηφὴς τὴν πόλιν περιέβλεπον· τοὺς βωμοὺς προσεκύνουν· τὰς πύλας κατεφίλησα· ἔῤῥωσθε, εἶπον, Ἀθῆναι καλαὶ, καὶ ἄλλον[24] ἐνεγκατε Δημοσθένην. ἦλθον εἰς Ἐλευσῖνα τηρούμενος· θανάτου δεόμενος, ξίφος ζητῶν, ἢ βρόχον, ἢ φάρμακον. ὦ Κριτία καὶ τριάκοντα (πρὸς ἐμαυτὸν εἶπον) μακάριος Θηραμένης· μακάριοι οἱ τὸ κώνειον πιόντες, ἐν Ἀθήναις ἀπέθανον· ἐγὼ δὲ εἰς Μακεδονίαν σύρομαι τὼ χεῖρε δεδεμένος· ἵνα μήδ' ἀπὸ χειρὸς τινὰ πορίσωμαι πρὸς ἐλευθερίαν συμβουλήν. ἐμαρτυράμην τὰς θεὰς, καὶ Σαλαμῖνα βλέπων,[25] ἐκάλουν Θεμιστοκλέα, λέγων· σὲ μὲν εἰς βαρβάρους[26] ἔπεμψεν ἡ τύχη μετὰ τὴν θάλασσαν·[27] ἐγὼ δὲ ἄκων[28] ἄπειμι. ἠγόμην διὰ[29] Βοιωτίας· ἐπιδεικνύντων με ταῖς πόλεσι τῶν Μακεδόνων, ὡς τρόπαιον τῆς Ἑλλάδος.[30] ἐστέναξα παριὼν τὸν Ἐλευθέριον[31] ἐν Πλαταιαῖς. Χαιρώνειαν ἐλοιδόρησα· μὴ πεσὼν ἐκεῖ μετὰ τῶν ἀγαθῶν χιλίων. ἐπεὶ δὲ εἰς Θήβας αὐτὰς ἥκομεν, ἐγὼ μὲν ἐδεόμην τῶν ἀγόντων ἐγκαλύψαι· μὴ δεῖξαί με Θηβαίοις αἰχμάλωτον, ἀγώγιμον Φιλίππου, τὸν πρεσβευτήν· τὸν σεμνὸν παρ' αὐτοῖς, δημηγορήσαντα. οἱ δ' ἐξεπίτηδες περιῆγον[32] καὶ μετ' αὐτῶν Τιμόλαος θεογείτων,[33] Ἀνεμοίτας, ἔλεγον,[34] Δημο-

[23] ταῦτα] sunt quae statim enarrat, scil. ὡς σιωπῶν — alias legi possit πάντες.

[24] ἄλλον] sic B. sed tum deest ἐπ' ἀμείνοσιν. M. dat ἄλλως.

[25] f. καὶ πρὸς Σαλαμῖνα βλ. vultu ad Salamina converso. nam in itinere terrestri ex Attica in Macedoniam, non attingebat Salamina.

[26] εἰς βαρβάρους] sic B. haec verba desunt M.

[27] μετὰ τὴν θάλασσαν] h. e. μετὰ τὴν ἐν θαλάσσῃ νίκην.

[28] ἐγὼ δὲ ἄκων ἄπ.] sic B. ἄκων deest M.

[29] διὰ] ἐπὶ B.

[30] τρόπαιον τῆς Ἑλλάδος] id est τρόπαιον ὑφ' ἑαυτῶν ἀπὸ (vel κατὰ) τῆς Ἑλλάδος σταθέν.

[31] τὸν ἐλευθέριον] id est τὸν βωμὸν τοῦ ἐλευθερίου διός.

[32] ἐξεπίτηδες περιῆγον] sic B. περιῆγον deest M.

[33] θεογείτων] sic dedi e Demosthene p. 324. 16. ed. meae. θεοτήτων B. θεοτίτων M.

[34] εἶδες Bau. et omittit ἴδετε.

Δημοσθένην ἴδετε τὸν Φιλίππῳ[35] συμβουλεύσαντα πολεμεῖν· ὑπὸ Ἀθηναίων ἐκδέδοται· οὐ φοβηθήσεσθε; σιωπήσετε.[36] εἶδον Δελφῶν τινες λυπούμενοι· κἀγὼ μὲν τὸν Πύθιον ἠρόμην, εἰ τοῦτο παῤῥησίας ἆθλόν ἐστιν· εἶπε δέ τις· παρὰ τὸν ἀγωνοθέτην ἄγε Φίλιππον, ἀπολωλεκέναι Δημοσθένην, ὡς ἓν τῶν ἀναθημάτων· μετὰ ταῦτα Φωκέων ἡγόμην· ἦλθον οἱ διῳκισμένοι· συνέδραμον· ἦλθον γύναια καὶ παιδάρια, καὶ πρεσβῦται δυστυχεῖς. ἀλλήλοις συνεκλαύσαμεν. πολλοὶ μὲν οἱ Φωκέων κρημνοί·[37] ἀλλὰ δεινῶς ἐτηρούμην. θέαμα καὶ Θετταλῶν ἐγενόμην· τῶν ἀνοήτων[38] Θετταλῶν. ἀλλ᾽ οὐδ᾽ ἐκεῖνοί τι τοιοῦτον παρ᾽ αὐτοῖς γεγονὸς[39] ἐμνημόνευον. ἀθρόως[40] δὲ τοῖς δήμοις ἐνετύγχανον. ὑπὸ τῆς φήμης συνειλεγμένοις ἐπὶ τῷ παραδόξῳ θεάματι, παρώδευσα τὰς τυραννικὰς οἰκίας· Ἅλον, Λάρισσαν, Φάρσαλον, δεσμώτης, γέρων, ἀκούων τὰς τιμωρίας, ἃς δώσειν εἰκαζόμην. τοιαύτην ἐπόμπευσα πομπὴν ὥσπερ διὰ κενῆς τῆς γῆς[41] εἴσω καὶ ἔξω Πυλῶν Ἑλλάδος. ἐν Θήβαις δέ μοι τινὲς ἔνευον καὶ φυγεῖν,[42] ἱκέτην καθεσθῆναι· οὐ μὴν ἔμελλόν ἔγω γε τὸν Ἀπόλλωνα τὸν Ἰσμηνίαν ἱκετεύειν· ἢ τὸν Ἡρακλέα μετὰ τὴν Ἀθηνᾶν. ἐπειδὴ δὲ καὶ εἰς[43] αὐτὴν Μακεδονίαν ἤλθομεν, ἔχαιρον, ἐκρότουν πάντες, ὡς ἐν μεγάλοις ἐπινικίοις,

[35] *Φιλίππῳ* cohaeret non cum *συμβουλεύσαντα*, ſed cum *πολεμεῖν*. qui Athenienſibus et vobis. o Thebani, auctor fuit, vt Philippum bello adoriremini.

[36] *οὐ φοβηθήσεσθαι; οὐ σιωπήσετε. εἶδον δὲ ἀφ᾽ ὧν τι ἀνιώμενοι· κἀγὼ μὲν* B. m. M. dat *μυούμενοι*. malim *σιωπήσεται*, *nolite metuere. iam nunc tacebit*, Demoſthenes puta, neque vos amplius turbulentis orationibus exagitabit.

[37] *κρημνοὶ*] vnde me potuiſſem praecipitem dare, dediſſemque ſi liber fuiſſem, verum accerrime cuſtodiebar.

[38] *ἀτόμων* B.

[39] *γεγονὼς* B.

[40] malim *ἀθρόοις frequentibus*.

[41] *καινῆς γῆς* B.

[42] in vocc. *καὶ φυγεῖν* videtur nomen templi latere, ad quod vt confugeret ſupplex, auctores ſibi factos eſſe Thebanos quosdam, ſimulatus hic Demoſthenes ait.

[43] *καὶ ὡς*] ſic B. *ὡς* M.

νικίοις, ὡς Ὄλυνθον, ὡς Ἀμφίπολιν, ὡς Θήβας, ὡς Ἀθήνας ἔχοντες· ἀλλήλοις με πάντες ἐδείκνυον, παισὶ καὶ γυναιξίν· οὗτός ἐστι Δημοσθένης· οὐκέτι πονήσομεν· οὐκέτι κινδυνεύσομεν· τὰ ὅπλα καταθώμεθα· ἡμέτερός ἐστιν. ἐνταῦθα δὲ ἤδη Πελλήνῃ μὲν ἦν·[44] ὁ δὲ φόβος πολὺς ἔτι προσῆν·[45] καὶ πάντα ἔπασχον ταῖς ἐλπίσιν, ὅσα ὑπὸ τῆς τῶν ἐχόντων[46] ἐξουσίας ἠδυνάμην παθεῖν· δεσμὰ περιέβλεπον, αἰκίας, βασάνους ἁπάσας· ξίφη, καὶ σαγάρεις Μακεδονικάς. τὴν γλῶτταν ᾤμην ἀποκόψειν μού τινα. εὐθὺς οὖν ταῦτα ἐννοῶν ἁπάντων μεσὸς ἦν τῶν κακῶν. φόβος δὲ πάθους, πεῖρας χαλεπώτερος· ὅτι τὸ μὲν παθεῖν σύντομον, καὶ δι᾽ ὀξείας ῥοπῆς παύεται· τὸ δὲ δέος ἐν τοῖς μέλλουσιν ἐπαιωρούμενον, μακροτέραν τὴν αἴσθησιν λαμβάνει. καὶ τὸ μὲν πάθος ἐστὶ δεινόν· φέρειν[47] δὲ θαῤῥύνας[48] ἐμαυτόν· καὶ πρὸς τὴν ἐμαυτοῦ ψυχὴν εἰπὼν, Ἀθηναῖός εἰμι· Δημοσθένης εἰμί. ἄγε, ὡς εὐσχημόνως, ὡς καλῶς.[49] ἅπασι μὲν ἀνθρώποις ἀναγκαῖον τέλος· ἀπειλεῖ τὸν θάνατον ἡ φύσις· οὐδ᾽ ἔστιν ἀποδρᾶναι τὴν κοινὴν ἀνάγκην· οὐδ᾽ ἐν τοῖς στεγανωτάτοις[50] ἕρκεσι κατακεκρυμμένον. πρέπει δὲ τοῖς ἀγαθοῖς ἀνδράσι, τῆς μὲν ὑψηλῆς[51] ἐλπίδος ἔχεσθαι· δέχεσθαι δὲ εὐμενῶς, ὅτι περ ἂν δοκῇ τῷ θεῷ. τοιαῦτα φιλοσοφήσας, παρὰ τὸν Φίλιπ-

[44] in B. sic est: ἐνταῦθα δέον ἤδη ἐν Πέλλῃ μὲν ἦν. vnde efficio. ἡμέτερός ἐστιν, ἐνταῦθα ὤν, πάλαι δέον. *iam noster est*, h. e. iuris et arbitrii nostri, *quippe, qui hic sit*, inter manus nostras, *ubi iam dudum debuerat esse.* ἤδη ἐν Πέλλῃ μὲν ἦν. *eram nunc Pellae*,

[45] προσῆν] scil ἐμοί.

[46] τῶν ἐχόντων] sic B τῶν deest M.

[47] f. post φέρειν δὲ addendum est ἀνάγκη.

[48] θαῤῥύνας] sic B. quod probo. sed et ἂν ei addendum videtur. cohaeret hic nominatiuus cum εἰσηγόμην. M. dat θαῤῥύνω.

[49] post καλῶς subaudi δύνασαι, ἀπόθνησκε. quam potes honestissime morere verum tum potius dixisset ὡς εὐσχημονέστατα, ὡς κάλλιστα ἀπόθνησκε. Num ergo ὡς accipiendum pro ὅπως, vt sit pro ὅρα ὅπως εὐσχημόνως καὶ καλῶς ἀποθάνῃς?

[50] στεγανωτάτοις] sic B. στεγανωτοῖς M.

[51] malim [illegible]

Φίλιππον αὐτὸν εἰσηγόμην. ποῖον οἴεσθε,[52] ὦ ἄνδρες Ἀθηναῖοι, θέατρον οὕτως σπουδαῖον γενέσθαι ποτέ. πότε τοιαῦτα ἤχθη[53] παρ' ὑμῖν Διονύσια· καθῆστο μὲν σεμνὸς αὐτὸς ὁ Φίλιππος· παρειστήκει δὲ ὁ γενναῖος παῖς Ἀλέξανδρος· παρῆν δὲ Ὀλυμπιὰς ἡ χρηστή· καὶ ξένοι καὶ πεζέταιροι[54] καὶ δορυφόροι· καὶ πολὺ μὲν πλῆθος αὐτῶν Μακεδόνων· πολὺ δὲ τῶν ἄλλων ἐπιδημούντων κατὰ πρεσβείαν[55] ἢ μουσικῆς ἐπίδειξιν· ἢ μισθοφορίαν[56] Ἑλλήνων καὶ βαρβάρων· καὶ γὰρ Ἰλλυριοὶ[57] καὶ Παίονες καὶ Τριβαλλοὶ συνέδραμον ἰδεῖν αἰχμάλωτον Δημοσθένην· ἦν δὲ πολλὴ σιωπὴ, καὶ ὠθισμὸς τῶν ἄλλων θεατῶν.[58] εἰς τοιοῦτόν με, ὦ ἄνδρες Ἀθηναῖοι, θέατρον ἐπέμψατε· ἐγὼ δὲ οὐκ ἐφοβήθην, οὐκ ἐξεπλάγην· ὥσπερ ὅτε πρεσβεύων ἐνέτυχον Φιλίππῳ· ἀλλ' ἀνασχὼν τὴν κεφαλὴν ἔφην. ἥκω βασιλεῦ, καὶ ἑκὼν καὶ ἄκων ἐπὶ τὰς σὰς θύρας· ἡδέως ὑπὸ Ἀθηναίων σοι δοθεὶς· ὃς κακὰ πλεῖστα Ἑλλήνων τὸν σὸν οἶκον εἰργασάμην, λέγων καὶ γράφων. ἔπρεψέ μοι τὸ προοίμιον τὸ Θεμιστοκλέους·[59] ταῦτα[60] ὑπὲρ τῆς ἐμοῦ[61] πατρίδος, καὶ τῆς ἄλλης Ἑλλάδος ἐπολιτευόμην. εἰ δὲ[62] ἀρετῇ τῇ δικαίᾳ τοῖς οἰκείοις συνηγωνιζόμην·

[52] ποῖ ἴστε B.

[53] ἤχθη] sic B. et addit ποτέ, vnquam. ἦχθαι M. et omittit ποτέ.

[54] πεζέταιροι] sic B. πεζαίτεροι M.

[55] πρεσβείαν] sic dedi. πρεσβείας M.

[56] μισθοφορίαν] sic B. μισθοφορίας M.

[57] καὶ γὰρ Ἰλλυριοὶ] sic B. haec verba desunt M.

[58] τῶν ἄλλων θεατῶν] id est τῶν πάντων. m. M. dat θεαμάτων

[59] non his aut similibus verbis fertur Themistocles quoque Admetum, Molossorum regem, allocutus esse, aut Xerxen potius, cum ad eum confugisset.

[60] ταῦτα si servas, aut ταὐτὰ legis, tum γὰρ addendum erit; alias mallem τοιαῦτα.

[61] ἐμαυτοῦ B

[62] εἰ δὲ] sic B. ἦν δὴ M. et in marg. ἴσ. ἦν δ'. f. εἰδ' ἀρετὴ, τὰ δίκαια τοῖς οἰκείοις συναγωνίζεσθαι, τοῖς φίλοις συναγωνιζόμενος, ἀλλ' οὐ σοὶ πολεμῶν — quod si virtus est necessarios defendere, defendi meos. quod cum te oporteat considerare, non autem vnum hoc, me belli aduersus te auctorem et concitatorem fuisse, rogo, vt —

νιζόμην· ἀλλ᾽ ἐ σοὶ πολεμῶν ἁπλῶς· ἀξιῶ μοι συγγνώμην γενέσθαι κατὰ τὸν τῶν ἀνδρῶν νόμον. νῦν δὲ σός εἰμι· καὶ χρῶ μοι λαβών. ὁ δὲ, σκαιότερον μὲν οὐδὲν οὐδὲ πικρότερον ἠμείψατο. ἐκ ἦν βάρβαρος ὁ Φίλιππος· ἐκ ἦν τύραννος. (ἀπολοίμην κακῶς· οἷος ἄνδρα ἐλοιδόρουν· μᾶλλον δὲ ἀπώλυμην.) βασιλικῶς δὲ[63] καὶ μεγαλοπρεπῶς. Αἰσχίνη[64] φίλτατε ἄκουε· καὶ γὰρ ὡς[65] τὰ μὲν ὠνείδισε, τὰ δὲ ἤλεγξεν. ἔδρασε δὲ κακὸν οὐδέν· χαῖρε εἰπὼν,[66] Δημόσθενες· τί ταῦτα; πῶς ἥκεις; τίς ἔπεμψέ σε; πρεσβεύων ἥκεις Ἀμφίπολιν ἀπαιτήσων; πάλιν ἡμῖν ἐνοχλήσων· ἀλλ᾽ Ἀθηναῖοι σ᾽ ἐκδεδώκασιν; ὑπὲρ ὧν ἐβόας; ὑπὲρ ὧν ἡμῖν[67] ἐπολέμεις; τί σε ὤνησεν ὁ Μαραθών; τί δὲ ἡ Σαλαμίς; τί δὲ τὰ ὑπὲρ Χαλκιδέων; τί δὲ τὰ ὑπὲρ Βυζαντίων καὶ Φωκέων ψηφίσματα; τί δὲ αἱ δημηγορίαι αἱ μακραί;[68] τί δ᾽ οἱ ἀπόστολοι,[69] καὶ τριηραρχίαι καὶ τὰ πολλὰ πολιτεύματα; ἐκ ᾔσχύνε[70] ἐμοὶ διαφερόμενος ὑπὲρ τῶν ἀχαρίστων Ἀθηναίων· ἥκεις εἰς Μακεδονίαν· εἰς Πέλλαν· ὅθεν; οὐδὲ[71] ἀνδράποδον ἐμοί σε ὁ δῆμος ὁ Ἀθηναίων[72] ἔδωκε. τί σε ἐργάσομαι; πῶς σοι χρήσομαι; ὡς τυράννος, ὡς λῃστῆς· ἐκ εἰμὶ τοιοῦτος, οἷον ἔλεγες. ἐκ ἀναμίξω σὲ τοῖς Ὀλυνθίων αἰχμαλώτοις· οὐδὲ ἀριθμῶ[73] σε μετὰ τῶν ἀπὸ Χαιρωνείας ἑαλωκότων. οὐδὲ Ἀδραστίδα,[74] σε

63 δὲ abest a B. vnde suspicor, sic leg. esse ἐλοιδόρουν! μᾶλλον δὲ (scil. ἠμείψατό με id quod e praemissis tacite repetendum est) βασιλικῶς καὶ μεγαλοπρεπῶς, omisso illo vitioso ἀπώλλυμην, perperam e superiore versu repitito. ἀπολοίμην B.

64 Αἰσχίνη] sic recte B. nam est nomen noti oratoris. αἰσχύνη M.

65 καὶ γὰρ ὡς] f. leg. καὶ παρεστὼς, scil. ἐμοί. aut καὶ παραστήσας, scil. ἐμὲ ἑαυτῷ.

66 εἰπών] sic B. εἶπε M.

67 ἡμῖν] sic B. ὑμῖν M.

68 αἱ μακραί] sic B. αἱ deest M.

69 οἱ ἀπόστολοι] sic dedi. αἱ ἀποστολαὶ B. sed M. omittit οἱ.

70 ᾔσχύνε] sic B. ᾔσχήνε M.

71 ἐδὲ] ὡς B. f. ὅθεν ἐδὲ χρηστὸν ἀνδράποδον.

72 ὁ Ἀθην.] sic B. ὁ deest M.

73 malim ἀριθμήσω.

74 Ἀδραστίδα] sic B. et m. M. recte, qui videtur Philippo praefectus militum merce-

σε χαριοῦμαι, ἢ[75] τινὶ τῶν ξένων τῶν ἐμῶν. ἀποκόψω[76] σου τὴν γλῶσσαν; Θρακὸς ἐστὶ τυράννου τὸ ἔργον, ἀπολέσαι γλῶσσαν Ἀττικήν. ἐγὼ δὲ, κἂν ὀργίζωμαί σοι, τοὺς λόγους σου φιλῶ· καὶ τὴν τειχίζουσαν[77] ἐκείνους γλῶσσαν ἐπαινῶ, πρὸ τῆς Αἰσχίνου[78] καὶ Δημάδου. ἀλλ' ἀποκτείνω σε; κἀγὼ ὅμοιος Ἀθηναίοις γένωμαι. θάῤῥησον· οὐκ ἄν τι κακὸν παρ' ἡμῶν πάθοις. ἀλλ' ἐπειδή σοι τοῦτο ἐπεδειξάμην, ὡς ἡμέτερος εἶ· καὶ οὐκ ἄν ποτε τὴν ἐξουσίαν τὴν ἐμὴν ἐκφύγοις·[79] ἀφίημί σε. εἰ μὲν οὖν βούλει μένειν ἐν Μακεδονίᾳ, πολλοὺς παρ' ἡμῖν ἔχεις πολίτας, Ἀριστόδημον, Καλλίαν τὸν Φρύνωνος υἱόν. ἐγὼ σοὶ καὶ οἶκον[80] δίδωμι· δώσω καὶ γῆν[81] παρ' ἡμῖν οὖσαν·[82] καὶ ἔσῃ παρ' ἐμοὶ μέγας· ὡς Πύθων, ὡς Χαρίδημος, ὡς ἕτεροι ξένοι. παραδίδωμί σοι τὸν Ἀλέξανδρον μαθητήν· παίδευέ μοι μετὰ Ἀριστοτέλους τὸν υἱόν. εἰ δὲ καὶ τοῦ δημηγορεῖν ἡττώμενος εἶ, πρεσβεύσεις ὑπὲρ ἡμῶν εἰς Θετταλίαν, εἰς Βοιωτίαν, εἰς Ἀρκαδίαν, εἰς Θήβας, εἰς αὐτὰς Ἀθήνας, ἐὰν ἐθέλῃς.[83] εἰ δὲ ἑτέρωσέ που βαδιῇ[84] μνημόνευσον ὅθεν ἄπει· τίς ἀφίησί σε; ἐγὼ μέν σοι σωτηρίας οὐκ ἐφθόνησα· ἐφείσθω δὲ καὶ σοὶ σώζειν σεαυτόν.[85] ἔκλαιον ἐσιώπων· εἰς τὴν γῆν ἔβλεπον. ὁ δὲ, εἶπε, φιλαθήναιε καὶ ταλαίπωρε· δῆλος εἶ πρὸς Ἀθήνας βλέπων. ἄπιθι μὲν, ἀλλ' ὡς εἰς κἀκεῖ Μακεδόνων. μή με[86] ποιήσῃς ἐπιστολῆς δεηθῆναι δευτέρας· σὺ δὲ ἡμῖν γράφε. ὦ τοῦ χρηστοῦ βασιλέως!

nariorum fuiſſe. Ἀριστείδη t. M.

75 ἢ δεῖ B. malim ἢ ἄλλῳ τινι

76 f. οὐκ (vel ἀδ') ἀποκόψω.

77 lingua τειχίζουσα λόγους eſt lingua, edens orationes, quae ſint iis, ad quos habeantur, pro munimento aduerſus arma et vim hoſtium.

78 ἐκείνην — πρὸς τῆς Αἰσχίνου B.

79 ἐκφύγῃς B.

80 δίδωμι] ſic B. ἐκδίδωμι M.

81 malim δώσω δὲ καὶ γῆν.

82 recte abeſt a B. οὖσαν. niſi in eo latet ἀρκοῦσαν vel tale quid.

83 τὰς Ἀθην. ἐὰν θέλῃς B.

84 βαδιῇ] ſic recte B. nam in futuro non vſurpatur actiuum βαδιῶ, ſed medium βαδιοῦμαι. M. dat βαδιεῖς. pro που malim ποι.

85 σεαυτὸν] ſic B. σεαυτῷ M.

86 εἰς κακίνην Μακεδονίαν. μή τι π. B.

λέως! ὦ τοῦ θαυμαστοῦ Φιλίππου! οἷος προσέθηκε τὸν τελευταῖον λόγον. εἰ βούλει καὶ πολιτεύου Δημόσθενες· πάντως γὰρ οἶσθα, πῶς πολιτεύεσθαί[87] σε δεῖ. καλέσας δὲ Ἀντίπατρον καὶ Παρμενίωνα, τούτοις με παρέδωκε, θεραπείας τευξόμενον καὶ παραμυθίας, καὶ τὰ ἄλλα δὲ πάντα, ἡμέρως καὶ χρηστῶς καὶ φιλικῶς μοι προσηνέχθη. περιήγαγέ με[88] τὰς δυνάμεις ἔδειξε τὰς παρασκευάς. τὰ μὲν ἤρετο· τὰ δὲ, ἐσκέψατο· τὰ δὲ διηγήσατο. ὡς πάντα καλὸς καὶ ἡδὺς ὁ Φίλιππος! ὡς δεινὸς συμπιεῖν,[89] ὡς μνημονικὸς, ὡς φιλόδωρος· τί μέγα;[90] Ἀριστοδήμῳ τὰς Ἀπολλοφάνους δοῦναι θυγατέρας; Δημοσθένην ἀφῆκε· ἔλυσαί μοι καὶ τῶν ἀπὸ Χαιρωνείας τινάς. ὤφελον ἔτι παρ' ἐκείνῳ μένειν· ὤφελον οἰκεῖν ἐν Μακεδονίᾳ. νῦν δὲ ἐγὼ μὲν ἐκεῖθεν ἀπηλλάγην, ἵνα μηδὲν εἴπω·[91] μηδὲ ἐκεῖ, ἐνταῦθα δὲ ἔχω πράγματα. ὦ τῆς σκαιότητος! ὦ τῆς βίας! οὐκ ἔξεστιν Ἀθήνησι σιωπᾶν. οὐκ ἔξεστι παρ' ὑμῖν ἀπραγμόνως ἀποθανεῖν. ἐν τοῖς ξένοις εἰμί· μέτοικος εἰμὶ, πάλαι μὲν Ἀθηναῖος. νῦν δὲ μετὰ Μακεδόνων[92] οὐ φοβῇ, συκοφάντα, Φιλίππου φίλον. μᾶλλον δὲ δοῦλον; ἐπιστελῶ[93] μου ταῦτα τῷ δεσπότῃ· οὐκ εἰμὶ κατάσκοπος οὐδὲ περίεργος ξένος· ἀλλὰ δυσέρως τις ἄνθρωπος καὶ τὰς ἀδίκους[94] Ἀθήνας φιλῶν. εἰ δὲ λυπῶ, τι[95] φιλῶν, εἰς Μακεδονίαν ἀπελεύσομαι; τί μοι βασκαίνεις. τί πολυπραγμονεῖς; τί δέ με κελεύεις λέγειν, ὡς πρόσφατον ἐκ Μακεδονίας; τί πλέον[96] ἑωρακότα; ἓν εἶδον· ἓν οἶδα· ἓν λέγω· Φιλαθήναιος

[87] καὶ πολιτ. B.

[88] sic distingui malim περιήγαγέ με. τὰς δυνάμεις ἔδειξε, τὰς παρασκευὰς (vbi rursus idem ἔδειξε subaudiendum est).

[89] συμπονεῖν B.

[90] τί με γὰρ B.

[91] f. ἵνα μηδὲν εἴπω μὴ δέον λέγεσθαι μηδ' ἐκεῖ. quod ne ibi quidem, in Macedonia apud Philippum, proferri fas sit.

[92] νῦν δὲ Μακεδὼν ὢν B.

[93] ἐπιστελῶ, sic B. ἐπιστέλλω M.

[94] idem est, ac si dixisset τὰς καὶ ἀδίκους Athenas amans vel iniquas; tametsi iniquas.

[95] pro τι aut τινα leg. videtur, aut σε.

[96] πλεῖον B.

θήναιος Φίλιππος. τί με χεῖριστον. τί με[97] θρασύν· τί δέ με ἀναιδῆ[98] ποιεῖς; ταῦτα λύτρα κατάθωμαι Φιλίππῳ· ἐπὶ σιωπῇ παρεγενόμην. τοῦτο καὶ μὴ κελεύοντι Φιλίππῳ, αὐτὸς ἐπηγγειλάμην.[99] κήρυξ ἐπιδημῶ τῆς Φιλίππου φιλανθρωπίας· καὶ τρόπαιον περιέρχομαι, οἷον ἐγείρειν μόνον Μακεδόσιν ἐπιχώριον. ἐγὼ μὲν οὖν οὐδὲν ἐρῶ· τοῖς δὲ λέγουσιν ὀφθήσομαι. πρὸς ἐμέ τις δημηγορείτω βλέπων. τί οἴεσθε; ῥαδίως καρτερῶ, φέρω[100] σιωπᾶν; κλαίω μὲν ὅταν οἱ πρυτάνεις προθῶσιν ἐκκλησίαν·[1] ἀλγῶ δὲ μετὰ τῶν ἀτίμων περιιών. ξένων δὲ ἄνω τοῦ θεάτρου κάθημαι· ὅταν ἀκούσω τοῦ κήρυκος κηρύττοντος, τίς ἀγορεύειν βούλεται; καταβὰς ἀποτρέχω μή με παραπείσῃ τὸ κήρυγμα. καὶ μὰ Δία δι' οὐδὲν εἰς τὰς ἐκκλησίας ἀναβαίνω, ἢ ἵνα με Ὑπερίδης[2] βλέπων σωφρονῇ· ἵνα Λυκοῦργος φοβηθῇ τῷ τοὺς φίλους σιωπᾶν.[3] λέγω δὲ οὐδέν, ὦ δέσποτα Φίλιππε, πανταχοῦ μὲν πάρει,[4] καὶ πανταχοῦ μὲν ὁρᾷς· πάντα δ' ἀκούεις τὰ παρ' Ἀθηναίοις μάλιστα· οὐδ' αὐτὸς μὲν σιωπῶ· τοῖς δὲ ὑποβάλλω δημηγορίας καὶ ψηφίσματα· ἀλλά μοι σιωπᾶται, μᾶλλον[5] ἢ ταῖς ᾀδούσαις ἀηδόσιν. οὐδὲ γὰρ δεῖ λέγειν δοῦλον ῥήτορα. ἐγὼ δὲ καὶ ἐμαυτὸν οἶδα. οὐκ εἰμὶ ῥήτωρ ἀσφαλής· φοβοῦμαι μὴ λέγων ἁμάρτω, ἢ τι θρασύτερον ἐξέλθῃ με δημηγοροῦντα.[6] οὐκ ἔστιν δὲ ὅτι

τεμ-

97 δὲ B.

98 δυσσεβῆ B.

99 f. αὐτὸς ἂν ἐπηγγ.

100 χαίρω B.

1 ἐκκλησίαν] sic B. ἐκκλησίας M.

2 ἵνα με ὑπ.] sic B. με deest M.

3 τῷ τοὺς φίλους σιωπᾶν] id est διὰ τὸ ἐμὲ σιωπᾶν, ὃς αὐτῷ φίλος εἰμί.

4 f. πανταχοῦ γὰρ πάρει.

5 post μᾶλλον recte abest δὲ a. B. sed ᾀδούσαις non video qui corrigi debeat. Si constaret, luscinias captas conticescere, suaderem ἁλούσαις legi. Sed constat, captas quoque canere.

6 ἐξέλθῃ με δημηγοροῦντα videtur latinismus esse, pro ἐξ ἐμοῦ δημηγοροῦντος, nisi forte post με deest φυγόν.

τεμνομένῳ, μὴ στένειν, οὔτε ὑφ' ὑμῶν κελευομένῳ μὴ λέγειν.[7] ἔτι δὲ καὶ τὸ τῆς γλώττης ἔθος ἐμαυτοῦ δέδοικα. ἐν ἄλλοις ἠσκήθην λόγοις· ἐὰν εἰς ἐκείνους καὶ νῦν ἐξολισθῶ, πάλιν ᾠχόμην. ἐᾶτε δή με βεβαίως σιωπᾶν· εἴτε[8] φιλῶν τις ἐπιθυμεῖ μου πάλιν ἀκοῦσαι δημηγοροῦντος, φεισάσθω δούλου. ἔχει μου παλαιὰ[9] τὰ[10] ψηφίσματα, δημηγορίας δημοσίᾳ κειμένας· ἐκείνους ἀναγινωσκέτω τοὺς λόγους. εἰ δὲ μισῶν τις ἐμὲ πάρεστιν, ἱκανῶς ἔλαβε παρ' ἐμοῦ δίκας.[11] ἐξέδωκεν· ἀπώλεσε· καὶ νῦν τίνος[12] οὐ μείζων αὕτη τιμωρία; ὁ δημηγόρος Δημοσθένης σιωπᾷ. θαῤῥεῖν κελεύει μέ τις· ὡς οὐκ[13] ἂν ὁτιοῦν λέγω, μηκέτι ἂν ὑφ' ὑμῶν ἐκδοθῆναι. μὴ γὰρ οὐ βούλομαι, μὴ γὰρ οὐ θαῤῥῶ, μὴ γάρ, οὐ χαίρων, ἀπέλθοιμ' ἂν εἰς Μακεδονίαν; ἀλλ' οὐδέν ἐστιν ὅ, τι καὶ ἀπολείπεται[14] ὡς εἴ γε καὶ μικρὸν ἦν· εἶπον μὲν ἂν οὐδέν, ἐμάνην δ' ἂν ὡς Σόλων κἀγώ· νῦν δὲ πάντα ἀνάλωται τὰ εἴσω Πυλῶν· τὰ ἔξω. Χαλκιδεῖς,[15] Φωκεῖς, Ἑλλήσποντος, Χεῤῥόνησος, Δημοσθένης. ἡσυχίαν ἄγωμεν· συμπολιτευώμεθα[16] τῇ τύχῃ. ἐὰν[17] καινόν γένηταί τι, καὶ σφόδρα βιάζηταί με, καὶ

7 οὐκ ἔστι δὲ οὔτε τεμνομένῳ, μὴ στένειν, οὔτε ὑφ' ὑμῶν κελευομένῳ (scil. λέγειν) μὴ λέγειν.] sic hunc locum e B. concinnaui. vt, qui secatur, facere nequit, quin ingemiscat, ita ego, dicere a vobis iussus, continere me non possum, quominus dicam. οὐκ ἔστι δὲ ὅτε ὑπομένω μὴ στένειν· ὡς ὁ ἀφ' ὑμῶν μὴ ἐώμενος λέγειν. M. et in marg. ἔστιν οὔτε γενομένῳ μὴ στένειν, μήθ' ὑφ' ὑμῶν κελευμένῳ μὴ λέγειν. sed B. dat, οὐκ ἔστι δὲ οὔτε τεμν. μ. σ. μήτε ὑφ' ὑμῶν καιομένῳ μὴ λ.

8 εἴτε bene si habet, debebit etiam paulo post pro εἰ δὲ μισῶν, legi εἴτε μ. sin autem εἰ δὲ ibi rectum est, etiam hic εἰ μὲν erit exarandum.

9 f. πάλαι dudum.

10 ταῦτα B.

11 δίκην B.

12 malim καίτοι τίνος aut καὶ μὴν τίνος.

13 f. ὡς οὐδ' ἂν ὁτιοῦν — ὑφ' ὑμῶν μέλλοντα ἐκδοθῆναι. B. dat ἐκδοθέντα, et in. M. ἴσ. ἐκδοθήσομαι.

14 ἀπολείπ. B. voluit ὑπολ.

15 Χαλκιδεῖς] sic B. Χαλχιδεῖς M.

16 συμπολιτευώμεθα] sic B. συμπολιτευόμεθα M.

17 ἐὰν] sic B. ἂν M. num τῇ

καὶ κοινὸν ὁρῶ κίνδυνον, ἢ φόβον τῆς Ἑλλάδος. εἴτε ἐκ Σούσων, εἴτε ἐκ Θρακῶν, εἴτε ἄλλοθέν ποθεν,[18] ῥαγήσεταί τοι φωνή· κἂν μὴ θέλω,[19] ἀπελθὼν εἰς Θήβας, πολιτεύσομαι.

τῇ τύχῃ, ᾗ (ideſt ὑφ' ἧς) ἐὰν καινόν.

[18] σχολ. διὰ τὸ μηδίσαι ποτὲ Θηβαίους π. M.

[19] θέλω] ſic B. θέλων M. tum fort. leg. καὶ ἀπελθὼν, vel εἴτ' ἀπελθών.

ΑΛΛΗ ΜΕΛΕΤΗ.

ΘΕΩΡΙΑ.

Νόμος, τὸν ξενίας ἁλόντα, πιπράσκεσθαι. ἑάλω ξενίας ὁ Δημοσθένης· ἔπεμψε Φίλιππος ὠνούμενος αὐτόν· γράφει Δημάδης διδόναι, Ὑπερίδης δημόσιον εἶναι.

ΥΠΕΡΙΔΗΣ.

ΟΙΑΣ μὲν ἐκτίνω τὰς χάριτας, ὦ ἄνδρες Ἀθηναῖοι, Δημοσθένει, τῆς πολιτείας καὶ τῆς φιλίας, ἔνεστιν ὑμῖν ἀπὸ τοῦ ψηφίσματος καταμανθάνειν. δοῦλον αὐτὸν εἶναι γράφω· καὶ τὸ τούτου δεινότερον, Ἀθηναίων ἁπάντων. ἀλλ' οὐχ ὅ, τι πείσεται δεινὸν Δημοσθένης, τοῦτο σκοπῶ· μέλει γάρ μοι ἐλάχιστον τῆς τούτου συμφορᾶς· ἀλλ' εἰ Φίλιππός τινα παρ' ὑμῶν ὠνήσεται, νῦν μὲν δοῦλον ὄντα, πρότερον δ' ἄριστον εἶναι δοκοῦντα τῶν δημαγωγῶν. Φίλιππος μὲν οὖν οὐδὲν διαπράττεται θαυμαστὸν, τὸν ἐχθρὸν ὠνήσασθαι προαιρούμενος. ὑμῖν δ' αἴσχιστόν ἐστι προέσθαι, δοῦλον ἐσόμενον τὸν κατὰ πολὺ σεμνότερον

τῶν ἐλευθέρων, καὶ οὐδὲ παρὰ τὸν τῆς δουλείας καιρὸν, πεπαυμένων τῆς εἰς τὸν δῆμον εὐνοίας· ἀλλὰ μένοντα καὶ παρὰ τὰς συμφορὰς ἐν τῷ τῶν ἐλευθέρων σχήματι. Δημοσθένης μὲν οὖν ὅτως ἔχει μεγαλοφροσύνης, ὥςε κἂν ἀποκτείνειν αὐτὸν[1] ἐθέλητε, καὶ τιμᾶν[2] αὐτῷ τῶν ἐχάτων, ἕτοιμός ἐςιν ὑπομένειν. ἀλλὰ χρὴ πρὸς τὸ συμφέρον ὑμᾶς ἐκλογίζεσθαι· τῷ μὲν γὰρ δοκεῖν, δοῦλον ἀποδώσεσθε·[3] ἔργῳ δὲ τὴν κοινὴν μετὰ Δημοσθένους Φιλίππῳ προήσεσθε.[4] ξένος ὢν Δημοσθένης· τοῦτο γὰρ αὐτὸν δεῖ καλεῖν· ἑαλωκὼς,[5] τὴν πόλιν ἔσερξε τὴν ἡμετέραν, ὡς τῶν αὐτοχθόνων εἷς· ὡς Ἀθηναῖος γνήσιος· καὶ διὰ τοῦτο πολὺν ἔλαθε χρόνον· καὶ κατὰ μηδέν τι ταῖς Ἀθήναις προσήκων, ἐν τοῖς εὐνουςάτοις καὶ τοῖς εὐγενεςάτοις τῶν πολιτῶν ἐκρίνετο. ὠδύρετο Φωκέας ὁ ξένος· ἔκλαιε τὸ Χαλκιδέων γένος ὁ μὴ πολίτης· ἐμίσει Φίλιππον ὁ ἀλλότριος· ὑπὲρ Ἀθηναίων ὡς Ἀθηναῖος ἐπολιτεύετο· ἀλλ᾽ ἤλεγξεν αὐτὸν ξένον ὄντα Φίλιππος. οἱ γοῦν ἐκείνῳ χαριζόμενοι, παρῆγον αὐτὸν εἰς τὸ δικαςήριον. καὶ ἄνθρωπος πολλάκις ἐςεφανωμένος ἀρετῆς καὶ εὐνοίας ἕνεκεν, ἐκρίνετο καὶ ἡλίσκετο. καὶ ὁ πρότερον δουλεύοντας Θετταλοὺς, καὶ τὴν Θρᾴκην ὀδυρόμενος πολλάκις, νῦν δοῦλός ἐςι. καὶ δουλευέτω· ἀλλ᾽ ἐν Ἀθήναις· ἀλλ᾽ ἐνθάδε, παρ᾽ οἷς ἑάλωκε, παρ᾽ οἷς κατέγνωςαι· δουλευέτω τοῖς δικαςαῖς, τοῖς μαρτυροῦσι, τοῖς γραψαμένοις, τοῖς κατηγορήσασιν, ἠδίκησε τὸν δῆμον, εἰς τὴν πολιτείαν ἐγγραφείς· ὁ δῆμος οὖν ἔςω κύριος· οἱ πεπονθότες ἔςωσαν δεσπόται τοῦ σώματος. τί τὸν κοινὸν οἰκέτην ὑπερορίζεις; εἴρηται, φησι, πιπράσκειν τὸν τῆς [6]ξενίας ἁλόντα. καὶ Φίλιππός ἐςιν ὠνητής· πρότερον μὲν γὰρ, ὡς ἔοικεν, ὠνεῖτο τὰς πόλεις, νυνὶ δὲ καὶ τοὺς δημ-

[1] αὐτὸν] sic Bau. ἄνθρωπον M.
[2] σχολ. τιμωρίαν ἐπιτιθέναι B. et m. M.
[3] ἀποδώσεσθε] sic B. ἀποδώσεσθαι M.
[4] προήσεσθε] sic B. προήσεσθαι M.
[5] ξένος ὢν Δ. — ἑαλωκώς] idem est ac si dixisset καίτοι ἐξελήλεγκται Δ. ὅτι ξένος ἐςι. malim tamen legi ὡς νῦν ἀναπέφηνεν aut πεφώραται ἑαλωκώς.
[6] recte τῆς ante ξενίας abest a. B.

δημαγωγές. ἐγὼ δ' οἶδα πάντας τοὺς ἀδικήσαντας,[7] ἐνταῦθα τὴν τιμωρίαν ὑπομένοντας· καὶ οὐδεὶς οὔτε τῶν τὰ μεγάλα δεδρακότων, οὔτε τῶν τὰ μετριώτερα, παρ' ἄλλοις τὴν δίκην ὑπομένει. ἀλλὰ κρίνεταί τις[8] ἐνταῦθα, καὶ τοῖς ἐπιτιμίοις ὑπεύθυνος γίγνεται· ὥσπερ οὖν εἰ τὴν ξενίας κρίσιν ἔγραφε παρ' ἄλλοις εἰσάγειν, παρενόμει παραλύων[9] τὰ δικαστήρια. τὸν αὐτὸν τρόπον ἀκύρους τοὺς νόμους ποιεῖ,[10] ἐν οἷς τὸν ἁλόντα ξενίας, ἄλλοις[11] πιπράσκεσθαι παραινεῖ. τίς τῶν ἑαλωκότων ἐπὶ φόνῳ, παρ' ἄλλοις δίδωσι δίκην; τίς τῶν ἐπὶ προδοσίᾳ κατεγνωσμένων, ὡς ἄλλους κολασθησόμενος ἀφικνεῖται; τίς τῶν ἀστρατεύτων, ἢ τῶν τὰς τάξεις ἀπολιπόντων; οὐδὲ εἷς. εἰ μὲν οὖν ἄλλοι τινὲς τῶν πονηρῶν παρ' ἄλλοις τισὶ δίκην ὑπέσχον, πίπρασκε καὶ Δημοσθένην, ἔξω, μακρὰν εἰ βούλει τῆς Ἀττικῆς ἀπάγων· μᾶλλον δὲ καὶ τῆς Ἑλλάδος. εἰ δ' οὐδεὶς, ὃ κατὰ τῶν ἄλλων γραφόμενον ἔδοξεν ἂν εἶναι παράνομον, τοῦτο οὐ δεῖ νόμιμον κατὰ μόνου Δημοσθένους λογίζεσθαι. ἀτιμοῦταί τις; ἀλλ' ἐν Ἀθήναις. ὀφλισκάνει τὶς δίκην χρημάτων; ἀλλ' οὐ παρ' ἄλλοις τὴν ζημίαν ἐκτίνει. αἱ διδόμεναι δωρεαὶ τοῖς εὐεργετήσασιν ἡμῶν τὴν πόλιν, οὐκ ἀπ' ἄλλων[12] δίδονται. οὕτω καὶ τὰς τιμωρίας δεῖ πράττεσθαι παρ' ἡμῖν, οὓς ἠδικήκασιν. ὅτε μὲν οὖν ἐλεύθερος ἐδόκει Δημοσθένης καὶ δημαγωγὸς ἀγαθὸς, οὐ Φίλιππος αὐτὸν ἐστεφάνου, οὐδ' ἐκεῖνος αὐτῷ παρεῖχε τὰς δωρεάς· ἀλλ' ὁ δῆμος αὐτός· ἐπεὶ δὲ δεδυστύχηκεν, ὡς ἀλοὺς, δουλεύσων πέμπεται.[13] καὶ ἰδίᾳ μὲν ἡμεῖς ὁπόταν πιπράσκωμεν εὔνους οἰκέτας, ὀκνοῦμεν ἀλλαχῇ τούτους ἀποδίδοσθαι·[14] τῆς δὲ Δημοσθένους δουλείας ἄλλοις παραχωρήσομεν.

7 ἀδικήσαντας] sic B. et m. M. ἀδικήσαντες t. M.

8 τις] malim τε.

9 malim καταλύων vt in hac re vsitatius.

10 ποιεῖν B.

11 malim παρ' ἄλλοις, vt paulo post.

12 ἀπ' ἄλλων] id est nomine aliorum et ex aliorum penu.

13 πέμπεται] scil. in Macedoniam. est oratio mirantis, querentis, stomachantis.

14 ἀποδίδοσθαι] sic m. M. ὑποδίδοσθαι B. ἀποδόσθαι t. M.

μεν. καὶ Φίλιππος μὲν οἰκέτου ὢν ἀδοξότερος, καὶ τῶν ἀνδραπόδων ἀγενέστερος, οὐδένα τῶν πονηρῶν τῶν παρ' αὐτῷ πρὸς ὑμᾶς ἀποστέλλει δίκην ὑφέξοντα· ὑμεῖς δὲ εἰς Μακεδονίαν τοὺς ἁλόντας ξενίας πέμπετε, ὥσπερ ἀποροῦντες δεσποτῶν; ἀλλ' οὐ διώρισε, φησιν, ὁ νομοθέτης, ὅπου[15] δεῖ πιπράσκεσθαι; οὐχ ὥρισεν, ἀλλ' οὐδ' ἐπέτρεψεν. τὸ τοίνυν μὴ συγχωρεῖν, ἄντικρυς ἴσον ἐστὶ τῷ κεκωλυκέναι. εἰ μὲν γὰρ ἐπέτρεπεν ἀλλαχῆ πιπράσκειν, οὐκ ἂν ἐν τῷ νόμῳ παρεσιώπησεν. ὁ δὲ τοῦτο προσθεῖναι κατοκνήσας, σαφῶς ἀπεῖπεν. ἐρωτῶ γάρ σε, πότερα ἐλεεῖ τὸν ξενίας ἁλόντα, ἢ τοὐναντίον μεμίσηκεν; εἰ μὲν γὰρ ἐλεεῖ, πῶς οἰκτείρειν ἐστὶ, τὸ πιπράσκειν ἀλλαχῆ.[16] εἰ δὲ μισεῖ, μόνως ὑπομένει δίκην[17] ἀξίαν, ἂν ὑμεῖς ἔχητε[18] δουλεύοντα. ἐξελήλυθε τῆς πόλεως τὸ σῶμα, καὶ ἡ τιμωρία παύεται. εἰ γὰρ[19] Φιλοκράτης ἑάλω ξενίας, ἔδει τοῦτον ἀλλαχῆ πιπράσκεσθαι; εἰ γὰρ Δημάδης· εἰ γὰρ Ἡγήμων, εἰ γὰρ Αἰσχίνης, εἰ γάρ εἰσι δωροδόκοι πονηροὶ, ἀλλ' οὖν γε πολὺν χρόνον σύνοικοι γεγόνασιν ὑμῖν. ὅταν δὲ τὸ ἀξίωμα ἐννοήσω τοῦ δούλου· γίγνεται γάρ τις καὶ δοῦλος ἔνδοξος· οὐ φέρω τὸ καινὸν τῆς πράσεως. ἥκει τις ὠνησόμενος Δημοσθένη; τὸν ὠνητὴν ἀνακρίνατε· τὸν ἔμπορον ἐξετάσατε· εἰ μέν ἐστι Πελοποννήσιος· εἰ μέν ἐστιν ἐκ τῆς Ἑλλάδος· εἰ Βυζάντιος, εἰ Περίνθιος, πιπράσκω. φιλοῦντας ἕξει δεσπότας καὶ χάριν εἰδότας. ταχέως ἐλευθερωθήσεται,[20] ὑπὲρ ἐλευθερίας ἐλευθερίαν λαβών. προσ-

[15] malim ὅποι. *quo.*

[16] post ἀλλαχῆ videtur ἐπιτρέπειν deesse.

[17] malim ὑπομένειν ἐστι δίκην.

[18] ἔχητε] scil. τὸν ἁλόντα.

[19] εἰ γὰρ] quid enim dicturi et facturi vos sitis, si Philocrates, si Demades, si Hegemon, si Aeschines, peregrinitatis conuicti fuerint? passurine sitis eos alio vendi? neutiquam. nam tametsi cupidi et impuri sint, et ius omne et aequum largitionibus vendant, attamen per multum temporis inter vos habitarunt.

[20] quia ipsorum libertati studuit tuendae et vindicandae; ideo libertate ipsum donabunt.

προσοφείλουσιν αὐτῷ ταύτην τὴν χάριν οἱ κύριοι. ἂν δὲ Ἕλληνα πιπράσκω βαρβάροις· ἂν τὸν ἐμὸν οἰκέτην παραχωρήσω Μακεδόσιν· ἐὰν Φιλίππῳ, πολλὰ ὠνεῖται δι' ἑνὸς σώματος, τὴν παῤῥησίαν, τὸ βῆμα, τὰς ἐκκλησίας τὰς Δημοσθένους, τὰς παλαιάς, τὴν ἀρχαίαν τύχην τοῦ δημαγωγοῦ· τὸν Πειραιᾶ, τὰς τριήρεις, τὸ φρόνημα τῶν Ἀθηναίων· τοὺς ὅρκους, οὓς ὤμοσε. Μαραθῶνα τούτῳ συμπιπράσκεις· Σαλαμῖνα; τὰς Πλαταιάς· πάντα τὰ Δημοσθένους ῥήματα. ὦ τῆς καινῆς ἐμπορίας! ὢ παραδόξου πράσεως! ἃ μὴ δύναταί τις πολέμῳ λαβεῖν, χρημάτων λαμβάνει. κἂν τὴν Ἀθηναίων τύχην ἐξαγώγιμόν τις βούληται λαβεῖν, λαμβάνει σὺν Δημοσθένει. τί οὖν ἔτι μάχομαι; τί οὖν ἔτι κινδυνεύω; τὸ ἆθλόν μου τῶν κατορθωμάτων ἀφαιρῇ· ἐξέταζε τοὺς ἐν Θήβαις ἁλισκομένους· πολυπραγμόνει τοὺς ἐν Θετταλοῖς δυστυχοῦντας. Ἀθήνησι δὲ κἂν ἁλῷ τις ξενίας, ἐνδοξότερός ἐστι τῶν παρ' ὑμῖν[21] ἐλευθέρων Μακεδόνων. ἀλλὰ σὺ μὲν οὐ πέμψεις Ἀθηναίοις Ἀντίπατρον, οὐδὲ Παρμενίωνα, οὐδ' ἄλλον, ἂν παρέχωσι χρήματα. σὺ δ' ἄγεις οἰκέτην ἐμόν, ὃν αὐτὸς ἐκτησάμην ἐκ καταδίκης; οὐδείς ἐστιν οἰκέτης πονηρός,[22] ἵνα κριθῇ τῆς Μακεδόνων δουλείας ἄξιος. μέγα τοῦτο ἐπιτίμιον, ὑπὲρ τὴν πρᾶσιν· μᾶλλον δὲ καὶ θανάτου χαλεπώτερον. λύεις τὸν νόμον τῆς αὐτομολίας· λύεις τὸν νόμον τῆς προδοσίας. ταῦτα πάντα ἐν τούτῳ τῷ ψηφίσματι γέγραπται. ἀλλ' ὅτε μὲν ἐλεύθερος Δημοσθένης ἐδόκει, οὐδὲ πρεσβεύειν εἰς Μακεδονίαν ὑπέμεινε, τὴν ἀδοξίαν τῆς πρεσβείας οὐ φέρων· ἀλλὰ καὶ καταναγκαζόντων ὑμῶν πολλάκις, ἐξώμνυτο. νυνὶ δὲ ἐπειδὴ κατέγνωσται, πεμφθήσεται; ἔστω τις ἐξωμοσία καὶ τοῖς οἰκέταις δικαία. μηδὲ τούτου[23]

τύχη

[21] ὑμῖν] sic B. ὑμῶν M.

[22] probo quidem Mor. coni. οὔτω πονηρός, verum rurſus illa conſtructione, ἵνα κριθῇ offendor, quae parum graeca videtur. ὃς κριθῇ aut ὥστε κριθῆναι melius conueniat.

[23] τούτου] Philippum deſignat. dominum hunc ne ſortiatur Demoſthenes, ἀλλ' εὐμενοῦς κυρίου -- ſic leg. videtur, pro ἐκ μέρους.

τύχῃ Δημοσθένης, ἐκ μέρους κυρίου καὶ φιλανθρώπου, καὶ τὰς τῶν δυστυχούντων συμφορὰς ἐλεεῖν δεδιδαγμένου. τοῦτ' οὖν λογίζεσθε, ποῖ[24] πιπράσκεται· τίς ὁ ὠνούμενος,[25] τὸν ἔμπορον τοῦ σώματος, τὴν διάνοιαν, ἀφ' ἧς ὠνήσασθαι βούλεται. οὐ γὰρ ἀπορῶν οἰκετῶν ὁ Φίλιππος ὠνήσασθαι τοῦτον ἐσπούδακεν. εἰ γὰρ μηδὲν ἄλλο, ὁ πόλεμος αὐτῷ δίδωσιν οἰκέτας πολλούς· καὶ χορηγὸς οὗτος τῶν ἀνδραπόδων γίγνεται· καὶ πολλοὶ δουλεύουσι Φιλίππῳ, Φιλίππου κρείττονες· ἐνδοξότεροι τοῦ δεσπότου. ἄλλη τέχνη[26] τοῦτο καὶ σόφισμα, καὶ πολέμου καινὸς τρόπος καὶ μηχάνημα. ἐγὼ ταύτην τὴν ὠνὴν ὑπολαμβάνω πολιορκίαν καὶ προσβολήν. τοῦτο τὸ ἀργύριον ἔθνη καὶ πόλεις ἀπολώλεκεν· ὡς Θετταλῷ μοι προσφέρεται Φίλιππος. ἐν τῇ τάξει με τῶν Δολόπων ἔχει· καὶ ἀργύριον ἀριθμεῖ. καὶ νόμον μὲν ὑμεῖς τεθείκατε, ἄν τις ὡς Φίλιππον ὅπλα ἄγων ἁλῷ, ἢ σκεύη τριηραρχικά, θάνατον εἶναι τὴν ζημίαν. ὑπὲρ ἀψύχων χαλεπαίνετε· ἀγώγιμον δὲ ἄνθρωπον πέμποντες ἐκεῖ, τριήραρχον γενόμενον· ὑπὲρ τῶν ὅπλων[27] οὐκ αἰδούμεθα; ἑάλω Μιλτιάδης; ἑάλω· ἀλλ' ἐν Ἀθήναις ἔδωκε δίκην. ἐζημιοῦτο Περικλῆς; ἀλλ' οὐ Λακεδαιμονίοις ἐξέτισε[28] τὰ χρήματα. σὺ δὲ τοῖς ἐχθροῖς παραδίδως. ξένος Δημοσθένης. οἱ δὲ ὑπὸ τῇ Καδμείᾳ πεσόντες, οὐκ ἦσαν ξένοι; ἀλλ' ἐθάπτοντο ὑφ' ἡμῶν. εἶτα ἀποθανόντας μὲν τοὺς ξένους οἰκτείρομεν, ζῶντας δὲ οὐκ ἐλεήσομεν; ἧκόν ποτε φυγάδες πρὸς ὑμᾶς, Ἡρακλέους ἔγγονοι. καὶ τῆς πατρῴας εὐεργεσίας ἐκομίσαντο τὸν μισθόν· ἀνέλαβον τὴν ἀρχήν, τὴν πατρῴαν εὔνοιαν διηγούμενοι. οὗτος δ' οὐκ ἀλλοτρίοις, ἀλλ' οἰκείοις θαῤῥῶν καθορθώμασιν, ἐκπεσεῖται τῶν Ἀθηνῶν, ἐπ' ἐξαγωγῇ πωλού-

24 ποῖ] sic dedi. *quo* που M.

25 post ὁ ὠνούμενος addit B. τὸν ὠνητήν.

26 f. ἀλλ' [id est ἀλλὰ] ἄλλη τέχνη τοῦτο. καινὸν σόφισμα, καινὸς πολέμου τρόπος, καινὸν μηχάνημα.

27 ἴσ. ὅλων m. M.

28 ἐξέτισε] sic dedi. ἐξήτισε B. ἐξίτησε M.

πωλούμενος; ἔξω πιπράσκεται[29] Δημοσθένης; ἀλλ' οὐ Φίλιππον ὠνεῖσθαι δεῖ. ἐπιτήδειος οὗτος δυστυχεῖν; ἀλλ' οὐ Φίλιππον[30] ἐντρυφᾶν[31] τοῖς ἡμετέροις οἰκέταις. ἀδοξότερός ἐστι Δημοσθένους ἑαλωκότος ξένος οὗτος; ἀλλ' ἐκεῖνος πολέμιος. δοῦλος; ἀλλ' ἐκεῖνος ἐχθρός. ἀδίκως οὗτος εἰς τὴν πόλιν ἑαυτὸν ἐνέγραψεν; ἐκεῖνος δὲ ἀδίκως αὐτὸν εἰς τὴν τῶν Ἑλλήνων ἀρχὴν ἐγγράφει. ἔκλεψεν οὗτος γένος; ἐκεῖνος δυναστείαν. Παιανιεὺς οὗτος ἐκλήθη ποτέ; ἐκεῖνος δὲ βασιλεὺς ἀδίκως κέκληται. ἀφαιρεῖταί μου Φίλιππος τὴν ἐν θαλάττῃ πολιτείαν· ἀποστερεῖ με τῆς[32] τοῦ γένους ἀρετῆς. ὁ μὲν ἐρασθεὶς νόμων, ἐθῶν, εἰσῆλθεν εἰς τὴν πολιτείαν. ὁ δὲ μισῶν, ἐχθρῶς σφετερίζεται τὰ τῶν Ἀθηνῶν κτήματα. τοῦτον ἐδίωξάν τινες ἐνταῦθα ξενίας γραφήν. ἐκεῖνον οἱ πατέρες ἡμῶν πολλὰς ἐδίωξαν γραφὰς, ξενίας, ἀσεβείας, ὅτι βάρβαρος ὤν, καὶ μηδέν τι ταῖς Ἀθήναις προσήκων· καὶ πολλῷ τῶν βαρβάρων ἀγενέστερος, ἡγεμονίας καὶ δυναστείας κατὰ μηδὲν αὐτῷ προσηκούσης ἀμφισβητεῖν ἐσπούδακεν. ἀλλ' ἐπειδὴ μεμαθήκατε[33] διότι μὴ δεῖ πωλεῖν ἀλλαχοῦ[34] Δημοσθένη, μηδὲ τοῖς πολεμίοις, ὑπολείπεταί μοι, λοιπὸν[35] δεικνύειν ὅτι δημόσιον αὐτὸν εἶναι δεῖ τῶν Ἀθηναίων· ἀλλ' ὁ νόμος, φησι, διείρηκε πιπράσκειν. εἰ δὲ[36] κατέχειν ἀξιοῖς, παρὰ τὴν ἐκείνου γνώμην δημόσιον αὐτὸν εἶναι γράφεις· ἐγὼ δὲ, εἰ καὶ παράνο-

29 πιπράσκεσθαι dat B. num πιπρασκέσθω voluit dare, in imperatiuo?

30 malim Φίλιππος in nom. vbi tacite a communi repetendum est ἐπιτήδειός ἐστι.

31 ἴσ. χρὴ in. M.

32 ἀποστερεῖ με τῆς] sic B. με deest M.

33 μεμαθήκατε] sic B. μεθήκατε M.

34 malim ἀλλαχοῖ.

35 λοιπὸν] *iam nunc deinceps* non redundat, tametsi post ὑπολείπεται.

36 εἰ δὲ] imo vero σὺ δὲ *tu autem.* ficta haec est oratio aduersarii ad actorem huius orationis. tu autem, mi homo, contendis eum hic retinendum, id quod sententiae legislatoris repugnat — respondet actor mox in illis: ἐγὼ δέ.

ράνομον[37] φήσει τις εἶναι τὸ ψήφισμα τοὐμὸν, καὶ μὴ λυσιτελὲς ἐστιν; ἀνάγκην εἶναί φημι προέσθαι. καὶ γὰρ εἰ λύεταί τι τῶν νομίμων, τὸ τῆς πατρίδος συμφέρον κυριώτερον εἶναί φημι γραμμάτων πολλῶν· ὁπότε γὰρ καὶ τοὺς νόμους αὐτοὺς ὑπὲρ τοῦ κοινῆ συμφέροντος τιθέμεθα, πῶς ἀδικοῦμεν, εἰ τὸ κοινῆ συνοῖσον τῶν νόμων προτιμῶμεν; εἶτ', εἰ μὲν ἐκώλυον αὐτὸν εἶναι δοῦλον, παρηνόμουν, τὴν ζημίαν ἀφαιρῶν, ἣν ἐπὶ τοῖς ἁλοῦσι τῆς ξενίας τεθείκαμεν. εἰ δὲ τὴν δουλείαν προστίθημι, κατ' ἀμφότερα τὸ ψήφισμα δεόντως γέγραπται, ὅτι τε φυλάττει τὴν δίκην τὴν ὑπὸ τῶν νόμων τῶν παλαιῶν τοῖς ξένοις ὁρισθεῖσαν, καὶ ὅτι κύριον ἀποφαίνεται τοῦτον τοῦ Δημοσθένους, ὃς ἐκ τῆς τούτου δουλείας τὰ μέγιστ' ὠφεληθήσεται. καὶ τὸ μὲν ἄλλῳ[38] αὐτὸν, ἴσως ἐστὶ τοῖς νόμοις ὑπεναντίον· τὸ δὲ τῷ δήμῳ δουλεύειν ἀναγκάζειν, κατὰ τὴν τοῦ νόμου γνώμην ἐστὶ γεγραμμένον. αὐτοῦ εἶναι δεῖ κυρίους ἡμᾶς, ὧν καὶ πρότερον πολίτης ἔδοξε. πάντας ἠδίκησεν Ἀθηναίους· οὐκοῦν πάντες ἔστωσαν δεσπόται τοῦ σώματος. δημεύετε πολλάκις ὑμεῖς οὐσίας τῶν καταδίκων· ἀλλ' ἔνεστιν ὠνήσασθαι τῷ δήμῳ τὰ κτήματα. ὥσπερ οὖν ἐπ' ἐκείνῳ δέδωκεν ὁ νόμος κύριον γενέσθαι τὸν δῆμον τῶν δημευομένων κτημάτων, οὕτω καὶ τοῦτο συγκεχώρηκεν, ἐπὰν δημόσιον εἶναί τις γράφῃ τὸν ξενίας ἑαλωκότα. τί οὖν ἔσται Δημοσθένης χρήσιμος, δημόσιος γενόμενος;[39] ὡς καὶ πρότερον ἦν ἐν τοῖς ἐλευθέροις ἀριθμούμενος· τὴν γὰρ τύχην μεταβέβληκεν, οὐ τὴν προαίρεσιν· καὶ γέγονεν ἀλλότριος τῆς δόξης, οὐ τῆς εἰς τὸν δῆμον εὐνοίας· οὐ γὰρ ἐμοῦ τῷ τῆς ἐλευθερίας ἀποστερηθῆναι,

[37] videtur locus ita ferme farciendus esse: εἰ καὶ παράνομόν φήσειέ τις εἶναι τὸ ψήφισμα τοῦτο τοὐμὸν, φημὶ λυσιτελὲς εἶναι. καὶ μὴν (atqui) εἰ λυσιτελές ἐστιν, ἀνάγκην εἶναι φημὶ (scil. αὐτὸ) προσίεσθαι admittere, probare.

[38] ἄλλῳ] subaudi e proximis insequentibus δουλεύειν ἀναγκάζειν.

[39] post γενόμενος videtur πολλὰ deesse scil. ἔσται χρήσιμος. ὡς καὶ πρότερον ἦν, ὅτε ἐν τοῖς ἐλευθέροις ἠριθμεῖτο.

ϛῆναι, πέπαυται καὶ τοῦ τοῦτον ὠφελεῖν· ἀλλ' ἐπὶ τῆς αὐτῆς πράξεως.[40] τὴν μὲν γὰρ καταδίκην, οὐχ' ὑμῖν λογίζομαι· τοῖς δὲ ψηφισαμένοις καὶ τοῖς κατηγορήσασι πρὸς ὑμᾶς. ὅμηρα πολλὰ τῆς εὐνοίας ἔχει, ϛεφάνους, κηρύγματα, φιλοτιμίας, δωρεάς· ἀλλ' ἰδίᾳ πάσῃ[41] παραινέσει σύμβουλον αὐτὸν τῶν ἀρχόντων ἀποδείξεται· διδάσκαλον τῶν ϛρατηγῶν; οὐδέν τι δεινὸν, ἂν παρὰ τῶν οἰκετῶν τὰ μάλιϛα συνοίσοντα τῇ πατρίδι μανθάνωσιν· ἐμοὶ δὲ δοκεῖ καὶ πάντων ἀτοπώτατον εἶναι τοῖς πολεμίοις τοιούτους συμβούλους ποιεῖσθαι. δοῦλος; ἀλλ' εὔνους. δοῦλος; ἀλλὰ λέγειν ἱκανώτατος. δοῦλος; ἀλλὰ παῤῥησίαν ἔχει τῶν ἐλευθέρων μείζονα· ἐπιπλήξει τοῖς δεσπόταις. νομοθετήσει,[42] σωφρονίζειν ὑμᾶς καὶ παρὰ τὴν δουλείαν πειράσει, ταῦτα πολλάκις.[43] οὐ τὸ ἐμὲ γενέσθαι δοῦλον δεινόν ἐϛιν· ἀλλ' ἐκεῖνο δεινὸν, ὡς ἀληθῶς, δῆμον ἐκ προγόνων ἐλεύθερον· δῆμον, αὐτόχθονα, ἄρχειν εἰωθότα, ἡγεμόνα δεδειγμένον, ναυμαχίας ναυμαχήσαντα πολλάς· πεζομαχίας πεζομαχήσαντα· πανταχοῦ μέγαν γενόμενον· πιϛὸν τοῖς Ἕλλησι γενόμενον σύμμαχον, φοβερὸν τοῖς βαρβάροις πολέμιον, τοῦτον ἀποϛῆναι τῆς ἐλευθερίας Μακεδόσι· μὴ περιίδητε Δημοσθένη ξενίας ἁλόντα· μηδὲ ὠνητὴν Φίλιππον γενόμενον δημαγωγοῦ παλαιοῦ πολλάκις ἀκούειν τούτου τῶν ῥημάτων, καλὸν,[44] ὑπὸ οἰκέτου χρηϛοῦ σωφρονίζεσθαι. ἐρημία τῶν ἐλευθέρων ἐϛὶ δημαγωγῶν. πέπρανται πάντες. ἐκεῖνοι ξενίας ἑαλωκότες· οὐκ ἐν δικαϛηρίοις, ἀλλ' ἐν τῇ κακίᾳ[45] καὶ τῷ λογισμῷ· καὶ τὸ δεινότατον, αὐτοὺς πεπρά-

[40] f. ἀλλ' ἔτι ἐϛιν ἐπὶ τῆς αὐτῆς τάξεως.

[41] f. δωρεάς, ἄλλα, δι' ἃ πᾶσι τὰ βέλτιϛα παραινέσει, εἰ σύμβουλον αὐτὸν τῶν ἀρχόντων ἀποδείξετε. alia, ob quae omnibus consilia subiiciet saluberim a quaeque, si vos eum consiliarium magistratuum constitueritis.

[42] malim νουθετήσει.

[43] f. καὶ ταῦτα πολλάκις. et id quidem saepe.

[44] καλὸν videtur iterandum ad hunc modum: ῥημάτων καλόν. καλὸν ὑπ' οἰκέτου. ——

[45] κακίᾳ] num ἀληθείᾳ.

πράσκουσι, χρήματα ἐπὶ τοῖς ἰδίοις σώμασι λαμβάνοντες· καὶ τὴν ἐλευθερίαν τοῖς ἐχθροῖς προπίνοντες. οἰκέτου δέομαι χρηστοῦ· τοὺς γὰρ ἐλευθέρους οὐκ ἔχω. οὐχ ὁρᾶτε κτήματα λαμβάνοντες αὐτοὺς ἐπὶ Βοιωτίας, καὶ προσόδους[46] ἀπὸ τῶν συμμάχων τῶν ἀπολωλότων, καὶ τῶν ἀναιρουμένων πόλεων ἀπαρχὰς λαμβάνοντας, ἵν' ὅμηρα τῆς πολιτείας ἔχοντες, εἰσαεὶ μένωσιν ἐπὶ τῆς προδοσίας; ἐπὶ τοῦτον εἰκότως[47] τὰς ἐλπίδας πεποιήμεθα. τί γὰρ οὐκ ἐπολιτεύσατο τῶν δεόντων; τί δ' οὐκ ὤνησε τὴν πόλιν; τίνος ἀπέστη τῶν χρησίμων; ἐν ποίοις καιροῖς οὐκ ἐπιτηδειότατον αὐτὸν παρέσχεν; οὐ τὸ κατ' αὐτὸν σώζεται μὲν Ὄλυνθος, καὶ τὸ Χαλκιδέων γένος. μένει δὲ Εὔβοια, τὴν ἀρχαίαν ἐλευθερίαν ἔχουσα. κέκλεινται δὲ Πύλαι τοῖς βαρβάροις κάλλιον, ἢ ὑπὸ Λακεδαιμονίων ἐκλείσθησαν; Λεωνίδας μὲν γὰρ ἔπεσε μαχόμενος. Δημοσθένης δὲ ἔπεσε πολιτευόμενος·[48] ἔα ταῦτα. ἀλλὰ[49] τὴν σιτοπομπίαν ὅρα, καὶ τὴν Βυζαντίων πόλιν ἐκ τῶν χειρῶν ἡρπασμένην τοῦ Μακεδόνος· Χεῤῥόνησον ὅρα· Πέρινθον,[50] τοὺς ἐμπόρους, τοὺς ἀδεῶς ὑμῖν τὸν[51] σῖτον κομίζοντας. ἔχεις καὶ χορηγίας ἐξετάζειν· ἔχεις καὶ λειτουργίας. γέγονεν ὑμῖν Δημοσθένης νομοθέτης, τὴν αὐτὴν τάξιν Σόλωνι λαβών· οὗτος ὁ τοσοῦτος, ὁ τοιοῦτος. ὁ τῶν στρατηγῶν, ὁ τῶν δημαγωγῶν ἀμείνων τῶν παλαιῶν, νῦν εἰς Μακεδονίαν ἀπαχθήσεται, καθάπερ Ἀθηνῶν κατεσκαμμένων; τί γὰρ ἂν ἄλλο πλέον ἔπαθεν, ἁλούσης τῆς πατρίδος; οὐ ταῦτα, ἃ καὶ νῦν πείσεται; ἄξει τὶς αὐτὸν διὰ Βοιωτῶν, οὓς οὗτος σέσωκεν; ἄξει τις αὐτὸν διὰ Θετταλίας, ὑπὲρ ἧς ἐπολιτεύσατο;[52] διὰ Φωκί-

[46] προδίδας B.

[47] f. ἐφ' ἑνὶ δὲ τούτῳ εἰκότως (scil. Demosthene.)

[48] f. Δημοσθένης δ' οὐκ ἔπεσε πολιτευόμενος.

[49] ἀλλὰ videtur transponendum ad hunc modum: πολιτευόμενος. ἀλλ' ἔα ταῦτα. τὴν σιτοπομπίαν δ' ὅρα ——

[50] Πέρινθον] sic dedi Πέρινθον M.

[51] τὸν] sic B. τὰς M.

[52] ἐπολιτεύετο B.

Φωκίδος; τοῦτο θέαμα[53] Δημοσθένει τῆς δουλείας χαλεπώτερον, κώμας ἀντὶ πόλεων[54] ἰδεῖν γεγενημένας. ὄψεται τὸν πατρῷον θεὸν[55] ὑβριζόμενον.[56] μετὰ τοῦτο εἰς Μακεδονίαν ἀπαχθήσεται, πολλάκις[57] οὐδὲ ἀνδράποδον σπουδαῖον ἐξ αὐτῆς εἶναι λέγων. ὄψεται Φίλιππος αὐτὸν οὐκ οἰκέτου σχῆμα ἔχοντα· τοῦτο γὰρ οἰστὸν ἦν· ἀλλ᾽ αἰχμαλώτου καὶ νενικημένου. ἐρεῖ, σὺ μὲν ἐλευθέραν τὴν πόλιν τῶν Ἀθηναίων ἐφύλαξας· ἐκεῖνοι δέ σε ὡς κακουργότατον τῶν οἰκετῶν πιπράσκουσι. ἔδει σε μιμήσασθαι Φιλοκράτη· ἔδει σε μιμήσασθαι Δημάδην. ἧς ἂν ἐλεύθερος, καὶ Φιλίππου φίλος. νῦν δὲ ταῦτα χείρονά[58] σοι τῆς ἔχθρας τῆς πρὸς ἡμᾶς, καταδίκη, καὶ δουλεία, καὶ πρᾶσις. καὶ τοῖς ἐχθροῖς ἔκδοσις. δούλευε αὐτὸς ἀντ᾽ Ἀθηναίων. ἐκείνους γὰρ οὐκ εἴασας ταύτης τῆς δυστυχίας μετασχεῖν. λαμβάνετε τὸν μετὰ ταῦτα προπηλακισμὸν τῷ λογισμῷ. οὐ πάσας μὲν βασάνους εἰκός ἐστιν ὑποστήσεσθαι τὸν Ἀθηναίων δημαγωγόν; ταῦτα ἀνθρώπινα, καὶ οἰστὰ Δημοσθένει. ἐκεῖνο δὲ πάντων χαλεπώτατον,[59] ἂν Φίλιππον ἐπαινεῖν ἀναγκασθῇ, καὶ σεμνύνειν[60] Μακεδόνας εἰς ἀπολογίαν ἁμαρτημάτων. ἀδικήσει καὶ Πύθων, ἀμυνόμενος τὸν ἄνθρωπον ὑπὲρ δημηγορίας πολλῆς.[61] Εὐθυκράτης ἐφησθήσεται Δημοσθένει. Λασθένης, εἴ τις[62] ἄλλος προδότης. ταῦτ᾽ ἐροῦσιν· ἡμεῖς ἄμεινον ἐπολιτευσάμεθα σοῦ Δημόσθενες· τοιγαροῦν ἐλεύθεροι διατελοῦμεν, τὴν Φιλίππου φιλανθρωπίαν ἔχοντες.

ἀντὶ

[53] τὸ θέαμα] ſic B. τὸ deeſt M.

[54] πόλεων] ſic B. πόλεως M.

[55] πατρῷον θεὸν] Apollinem Delphicum.

[56] ὑβρισμένον B.

[57] malim ὁ πολλάκις et λέγων paulo poſt accipio pro εἰρηκώς.

[58] χείρονα] Sententia ſubiicit τἀπίχειρα *praemia mercedes.*

[59] χαλεπώτερον B.

[60] σεμνύνειν] ſic B. σεμνύνῃ M.

[61] f. δημηγορίας ἐκείνης τῆς πολλῆς vel καλῆς, vt eſt in margine B. vnde M. videtur in marginem ſuum transtuliſſe.

[62] ἴσ. ἤ τις m. M.

ἀντὶ τῆς πατρίδος περιάξει Φίλιππος πανταχοῦ τὸν ἄνθρωπον· δείξει τοῖς συμμάχοις· φήσει ταῦτα· τοῦτον ὠνησάμην ἐξ Ἀθηνῶν· οὐκ ἔλαβε[63] Δημοσθένης· ἀλλ' ὁ δῆμος ἔλαβεν. οὗτος οὐκ ἀπέδοτο τὴν πόλιν· ἀλλ' ἐκεῖνοι τοῦτον πεπράκασιν. ἔχω πάντα. προητοίμασταί μοι τὸ ἔργον.[64] ἐκ τῆς ὠνῆς ἑάλωκεν ἡ τῶν Ἀθηναίων πόλις. κατὰ συμβόλαιον ἐώνημαι τὴν πόλιν. ταῦτ' αἰσχρὰ καὶ ἀνάξια τῆς ἡμετέρας φιλανθρωπίας· καὶ προσέτι ὄλεθρον σαφῆ φέροντα τῇ πόλει. εἰ δὲ κατέχοιμεν αὐτόν, ἀπαθὴς ἡ πόλις ἔσται τῶν κινδύνων· ὑπολείπεταί μοι παραμυθήσασθαι Δημοσθένη τὴν ὑπὲρ τῆς δουλείας παραμυθίαν. δουλεύεις Δημόσθενες; οὐ πρῶτος, οὐδὲ μόνος ἐν ταύτῃ τῇ δυστυχίᾳ γενόμενος. ἄνθρωπος εἶ. ποικίλαι τῶν ἀνθρώπων[65] μεταβολαί. ἐδούλευσε Νικίας ὁ στρατηγὸς ἐν Σικελίᾳ, καὶ Συρρακουσίοις ἐδούλευσε. καὶ νοσῶν ἐδούλευσεν. ἐδούλευσεν ὁ σὸς ὁμώνυμος Δημοσθένης κακούμενος, προπηλακιζόμενος, ὑπὲρ Σφακτηρίας ὀργιζομένων τῶν δεσποτῶν. καὶ πολλάκις θέλων ἀποθανεῖν, οὐκ ἐτύγχανε ταύτης τῆς φιλανθρωπίας· ἀλλὰ μόγις, τεταλαιπωρηκὼς ἤδη τῷ σώματι, ταύτης μετέσχε τῆς δωρεᾶς. μετὰ στρατηγοὺς δουλεύσεις Δημόσθενες· μετὰ τοὺς καλῶς ναυμαχήσαντας. εἰ βούλει μνήσθητι καὶ τῶν θεῶν· Ἡρακλῆς, ὁ πᾶσαν ἐλευθερώσας τὴν οἰκουμένην, καὶ τὴν γῆν, θηρίων ἄγονον καὶ πονηρῶν ἀνδρῶν καθαρὰν παρασκευάσας, ὁ πᾶσαν μὲν γῆν, πᾶσαν δὲ θάλασσαν ἐμβατὴν τῇ τόλμῃ[66] γενέσθαι καταναγκάσας, ὁ κατὰ τοὺς ὅρους τῆς οἰκουμένης στήλας ἱδρυσάμενος τῶν ἰδίων κατορθωμάτων, αὐτὸς ἐδούλευσε. καὶ τίνι; Εὐρυσθεὺς αὐτοῦ δεσπότης ἐγένετο, ἀγενέστερος οὐχ Ἡρακλέους μόνον, ἀλλὰ καὶ ἄλλων μυρίων γενόμενος. ἀλλ' ἔφερεν Ἡρακλῆς τὰ τοῦ δεσπότου προστάγματα· καὶ δου-

63 οὐκ ἔλαβε] scil. τὸν μισθὸν, aut τὸ τῆς ὠνῆς ἀργύριον.

64 τὸ ἔργον] scil. τὸ τῆς Ἀθηναίων καταδουλώσεως καὶ ἐκπορθήσεως.

65 aut ποικίλαι αἱ τῶν ἀνθρ. μεταβολαί, aut ποικίλαι τῶν ἀνθρ. αἱ μεταβολαί.

66 f. τῇ ἑαυτοῦ τόλμῃ.

δουλεύειν ἑνὶ σώματι Φορητὴν δυςυχίαν ὑπελάμβανε. οὐκ ἄπειρος εἶ, Δημόσθενες, οὐδὲ τοῦ πατρῴου θεοῦ· οὐδὲ τῶν κατ' ἐκεῖνον[67] δημαγωγῶν.[68] ἐδούλευσεν Ἀπόλλων ὁ τοῦ Διὸς υἱὸς, ἅπασιν[69] ἀνθρώποις προσημαίνων τὰ μέλλοντα· ἀλλὰ[70] μάντις ὢν καὶ θεὸς, θνητοῖς ἐδούλευσεν. μετὰ τούτων ἔςαι Δημοσθένης ἀριθμούμενος.

67 ἐκείνων B.

68 neque te fugit improbitas concionatorum, qui eius (Apollinis) aetate iam erant; ego vero non memini iam tum concionatores esse, aut Apollinem ab iis exagitatum.

69 ἅπασιν] imo vero ὁ πᾶσιν duobus vocabulis.

70 ἀλλὰ] malim ἅμα.

ΑΛΛΗ ΜΕΛΕΤΗ.

ΥΠΟΘΕΣΙΣ.

Ὁ Κίμων αἰτῶν ὑπὲρ τοῦ πατρὸς δεθῆναι.

ΚΙΜΩΝ.

ΑΛΗΘΕΣ ἦν ἄρα ὦ ἄνδρες Ἀθηναῖοι, τὸ λεγόμενον τοῦτο, τὸ μηδὲν ἀνάγκης εἶναι δυνατώτερον. ἐγὼ γ' οὖν νέος τε ὤν, ὡς ὁρᾶτε,[1] καὶ πραγμάτων ἄπειρος, ἀπὸ τοῦ δεσμωτηρίου δεῦρ' ἥκων,[2] καταλιπὼν αὐτόθι τὸν ταλαίπωρον Μιλτιάδην, νόσῳ τε καὶ δεσμῷ πιεζόμενον καὶ[3] δεῖσθαι τολμῶ, δήμου τοσούτου, πρᾳότερόν τε ἡμῶν ἀκοῦσαι καὶ δοῦναι[4] χάριν, ἢ τὸ μὲν τίμημα τῆς πόλεως,

1 ὡς ὁρᾶτε] sic B. ὡς deest M.

2 malim ἥκω. venio. ἧκον B.

3 δεσμῷ πιεζόμενον καὶ] sic explet B. lacunulam Mor. ἴσ. γήρατι πιεζόμενον m. M.

4 ἡμῶν ἀκοῦσαι καὶ δοῦναι] sic B. ἡμῖν, ἢ πρὸ καὶ δ. M. et in Marg. ἴσ. πρότερον.

πολέως, φυλάξει·[5] τῷ δὲ ἠτυχηκότι παραμυθίαν οἴσει τινα. τὸ μὲν οὖν βέλτιον ἦν, ἐν τῇ πρὸς τοὺς βαρβάρους μάχῃ τὸν πατέρα μοι πεσεῖν· καὶ τὴν αὐτὴν Κυναιγείρῳ τε καὶ Καλλιμάχῳ δέξασθαι τελευτήν· ἐπεὶ δὲ καὶ νενικηκὼς, καὶ στήσας τρόπαιον, οὐκ ἐδυνήθη τῆς ὑπὲρ ὑμῶν οὐδαμοῦ στῆναι προθυμίας ἀλλ' ἕτερ' εὐθὺς ἐπενόει·[6] ἐχρῆν αὐτὸν ἐν τοῖς δευτέροις γοῦν τούτοις[7] ἀποθανεῖν, μηχανώμενον ἑλεῖν τοὺς ὑμετέρους ἐχθρούς· ἐπεὶ δὲ ἐφιλονείκησεν ὁ δαίμων δεσμώτην θέσθαι[8] Μιλτιάδην, καὶ θανάτου στρατηγῷ πρέποντος, ἐφθόνησε τῷ πατρὶ, γένεσθε ἡμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, φιλανθρωπότεροι τῆς τύχης, καὶ μετενέγκατε τὸν δεσμὸν ἀπὸ σώματος ἀπειρηκότος ἐπὶ τὴν ἴσως ἐνεγκεῖν δυνησόμενον, ἐμέ. ἴσως μὲν οὖν[9] τινες ὑμῶν, ὡς ὤφθην ἐπὶ τοῦ βήματος, ἐφ' ᾧ ποτε ἔλεγε Μιλτιάδης καὶ ἐδημηγόρει, καὶ μετὰ τοῦ πρώτου ῥήματος ἀφῆκα δάκρυον· εἶπον ἂν[10] πρὸς ἀλλήλους, Κίμων οὗτος ἥκει νῦν, ἱκετείαις τε καὶ θρήνῳ λύσων τῷ πατρὶ τὴν συμφοράν· εἶδε δὲ[11] Ἀθηναίους ἐλεήμονας, οὐ πρὸς τοὺς αὑτῶν πολίτας μόνον, οἷς ἱερῶν καὶ πολλῶν ἑτέρων μεγάλων τε καὶ σεμνῶν κεκοινωνήκασιν, ἀλλὰ καὶ πρὸς ξένους, οἷς ἓν μόνον ὑπάρχει δίκαιον, τὸ πεπραγέναι κακῶς.[12] ἥκει τοὺς αὑτοῦ προγόνους Κίμων οὑτοσὶ καταλέξων, Μιλτιάδας, καὶ Τισαγόρας,[13] καὶ Κίμωνας. μέγα πεπίστευκεν[14] ἔχειν εἰς τὸ πεῖσαι, τὴν Χερρόνησον· οὐκ ἔλαττον δὲ καὶ[15] Λῆμνον, ἣν τῆς πόλεως ἐποίησε, σοφίᾳ Πελασγοὺς[16] ἐκβαλών. τὸ δὲ μέγιστον ὁ Μαραθὼν

[5] quae cum multam, damnato dictam, seruabit, id est non derogabit, non adimet damnato, sed ratam sinet manere, sine detrectatione fisco dependendam.

[6] ἐπενόει] scil. ὑπὲρ ὑμῶν, aut ἀγαθὰ ὑμᾶς ποιεῖν.

[7] γοῦν τούτοις] sic B. γοῦν omittit M.

[8] δεῖξαι m. M.

[9] ἴσως μὲν οὖν] redorditur et continuat hic coeptam orationem παρ' ὑμῶν μὲν ἂν ἴσως —

[10] ἂν] αὖ B.

[11] εἶδε δὲ] malim οἶδε γάρ.

[12] καλῶς B.

[13] Τιμαγόρας B. imo vero Στησαγόρας.

[14] πεπίστευκας B.

[15] δὲ καὶ] τὴν B.

[16] καὶ Πελ. B.

θῶν αὐτὸν δεῦρο ἤγαγεν, ἅπαν ἔγκλημα[17] νικῆσαι δυνάμενος· δι' ὃν σῶς μὲν ἡ πατρίς· σῶς δὲ ἡ Ἑλλάς. μέγα δὲ ἐν ἀμφοτέραις ταῖς ἠπείροις τὸ τῶν Ἀθηναίων ὄνομα· βασιλεὺς δὲ ὁ μέγας ἐδιδάχθη, μὴ πάντα νομίζειν δύνασθαι. παρ' ὑμῶν μὲν ἴσως[18] τισὶ τοιαύτη δόξα περὶ τῆς ἐκεῖσε σπουδῆς. ἐγὼ δὲ ἕνεκα μὲν τοῦ τῆς πόλεως ἤθους, ἐχρησάμην ἂν ἐπὶ τούτῳ[19] καὶ τούτοις, καὶ ἔτι πλείοσι λόγοις. ἔστι γὰρ ἡμῖν τοιούτων ἀφθονία δικαίων. ἐπεὶ δὲ οὐκ ἀξιοῦμεν ἡμᾶς αὐτοὺς τοσούτου[20] γιγνώσκοντες ἐξ οἵων οἷοι[21] γεγόναμεν, τὸ μὲν τίμημα μενέτω. δότε δὲ ἡμῖν τὸ σῶμα ἀντὶ τοῦ σώματος δεθῆναι τοὐμὸν τοῦτο, ἀντ' ἐκείνου τοῦ νυνὶ δεδεμένου. καὶ βραδέως μὲν ἴσως, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτα ἐν ὑμῖν λέγω. ἔδει γὰρ εὐθὺς ἐπ' ἐκείνης με[22] τῆς ἐκκλησίας ἐμαυτὸν ἀντιδοῦναι. ἐπεὶ δὲ οἱ τότε ἐγκείμενοι τῷ πατρὶ, καὶ παροξύνοντες ὑμᾶς, καὶ τοῖς οὐκ ὀργιζομένοις ἐπιτιμῶντες, οὐκ ἔδωκαν ἡμῖν ἰδεῖν ὅ, τι ποιοῦντες, ἀμείνους ἂν εἴημεν· νῦν γε ἀκούσατε, καὶ δότε τὴν χάριν, καὶ βοηθήσατε δι' ἐμοῦ τῷ δυστυχεῖ Μιλτιάδῃ, ᾧ παρεκαθήμην μὲν δακρύοντι δακρύων,[23] σιωπῶντι λαλῶν. ἔλεγον δὲ, ὦ πάτερ, οἶδα μέν σοι χάριτας ὀφείλων τοῦ φῦναι, τοῦ τραφῆναι τῆς ἄλλης ἐπιμελείας, οὐδὲν φαυλοτέρας τῆς παρὰ τῶν ἄλλων εἰς τοὺς ἐξ ἑαυτῶν· ἀπορῶ δὲ ὅπως ἂν ἐπαμύναιμί σοι.[24] παρὰ τίνα γὰρ ἔλθω; παρὰ τίνος αἰτήσω; τίς δώσει πεντήκοντα τάλαντα; πόσην ἄν τις καταθείη τοῦ μου σώματος τιμήν; ὡς ἐμοὶ δὲ καὶ[25] πεπρᾶσθαι κέρδος εἴ τι τῶν σῶν δύναιτο τοῦτο ἐπανορθῶσαι· τί λέγω πεπρᾶσθαι,

17 ἔγκλημα] sic B. ἔκκλημα M.

18 malim μὲν ἂν ἴσως.

19 τούτων B.

20 τοσούτου] sic B. possit quoque τοσούτων legi. τοσοῦτον M.

21 οἷοι] sic B. qui probe teneamus, quanto e fastigio quantam ad miseriam deciderimus. M. dat οἶδα.

22 με] sic B. μὲν M.

23 δακρύοντι δακρύων] sic B. δακρύοντι deest M.

24 ἐπαμύνοιμί σοι B.

25 malim ὡς ἔμοιγε καὶ π.

θαι. τεθνάναι μυριάκις δεξαίμην ἂν ἐπὶ[26] τοιούτῳ μισθῷ· καὶ ἅμα γε ὀδυρόμενος ἐνενόησα τοῦτο, ὃ νῦν ποιῶ· καὶ πρὸς αὐτὸν εἶπον, ὡς ἐφ' ὑμᾶς καταφεύξομαι· καὶ περὶ δεσμῶν διαλέξομαι· καὶ οἶμαι πείσειν, ἔφην. ὁ μὲν οὖν διεκώλυε, τοῦ παιδὸς φειδόμενος. ἐγὼ δὲ αὐτῷ τούτῳ μᾶλλον παρεκαλούμην, τῇ τοῦ πατρὸς πρὸς[27] ἐμὲ προνοίᾳ νομίζων[28] πρέπειν μοι τάγε τοιαῦτα νικᾶν, καὶ δεῖν καὶ μὴ βουλομένῳ πατρὶ τὴν τοιαύτην διδόναι χάριν. διδόσθω δή τι τῆς ἐμῆς προθυμίας ὄφελος· καὶ μή μοι τὰς ἐλπίδας, ἃς ὡς τευξόμενος ἥκω,[29] ἐλέγξητε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλ' οὐ κατὰ τὸν νόμον τοῦτο, φησι, λελύσθαι μέν, ὃν οὐ δεῖ, δεδέσθαι δέ, ὃν οὐ χρή.[30] ὢ τῆς δυστυχίας τοῦ[31] πατρός· ἔτι φθονεῖται. καὶ οὐκ ἐνέπλητε τοὺς δυσκόλως πρὸς αὐτὸν ἔχοντας, τοσοῦτον[32] πλῆθος κακῶν. καί τοι πρός γε τοὺς πταίσαντας, καὶ τοὺς ἄγαν δυσμενεῖς αἱ συμφοραὶ[33] διαλλάττουσιν. ὥς τε ἔγωγε τοὺς τότε κατηγόρους, ᾤμην εὑρήσειν συνηγόρους τήμερον. οἱ δ' οὐχ ἱκανὸν νομίζουσιν, ὡς ἔστιν ἰδεῖν, εἰ μὴ καὶ γεύσαιντο[34] τοῦ σώματος. διὰ τί; οὐκ ἔστιν ἐκεῖνος Μιλτιάδης, ὁ πέμπων[35] εἰς Σπάρτην τὸν Φιλιππίδην,[36] οὐδ' ὁ καλῶν Λακεδαιμονίους, οὐδ' ὁ μελλόντων τρέχων. οὐδ' ὁ μυρίους ἄγων ἐπὶ τὰς πεντήκοντα μυριάδας· οὐδ' ὁ πείθων μηδὲν τῶν δεινῶν δεδιέναι· οὐδ' ὁ τοῖς κατηκόσιν ὡς ἁρπασομένοις τὴν πόλιν, ἐν τῇ φυγῇ ποιῶν τὴν σωτηρίαν εἶναι; πέπτωκεν ὁ μέγας ἐκεῖνος· οἴχεται τὰ σεμνά· μετὰ τῶν κακούργων δέδεται. τίς ἔτ' ἂν ἀξιώσειε, μὴ λίαν ὠμὸς ὤν, τῷ τοιούτῳ πολεμεῖν. ὁ γὰρ νόμος,

26 ἂν ἐπὶ] sic B. ἂν deest M.

27 πρὸς sic B. περὶ M.

28 νομίζων] sic B. νομίζον M.

29 εἶδον B.

30 ὃν δεῖ B. malim λελύσθαι μὲν ὃν ἔδει δεδέσθαι, δεδέσθαι δὲ ὃν οὐ χρή.

31 τοῦ] sic B. οὗ M.

32 τοσοῦτον] sic B. τοσοῦτο M.

33 δυσφοραὶ B.

34 γεύσονται B.

35 πέμπων] sic B. πέμπον M.

36 si bene memini est Φειδιππίδης, Phidippides, non Philippides.

νόμος, φησὶν, ἀδικηθήσεται, λυομένου. ποῖος; εἰ μὲν γὰρ ἕτερός τις ἔγραφε, λελύσθω μὲν Μιλτιάδης· δεδέσθω δὲ Κίμων, εἴτε βούλεται, εἴτε μή· καλῶς ἂν ἠγανάκτεις, ὡς ἐπ' ἀδίκοις καὶ δεινοῖς[37] καὶ δημοκρατίας ἀλλοτρίοις· εἰ δὲ ἐμαυτὸν τῷ δεσμῷ δίδωμι, καὶ δέομαι καὶ ἱκετεύω δεθῆναι, καὶ τὸ δυστυχὲς τοῦτο καὶ πικρὸν, κέρδος ἐμοί; τίς ἐνταῦθα παραβαίνεται νόμος; οὐδὲ γὰρ αὖ τοῦτ' ἔστιν εἰπεῖν, ὡς ὁ πατὴρ ἐπέταξέ μοι, καὶ ἃ φεύγω τῇ γνώμῃ, ταῦτ' αἰδούμενος φέρω. οὐ γὰρ Μιλτιάδου γε ταῦτα. ἐπιτάγματα μὰ τοὺς θεούς. οὐ γὰρ Μιλτιάδου γε ταῦτα,[38] οὐ μὰ τὴν Δήμητρα, τὴν ἡμῖν δυσμενῆ. ἀλλ' ἔμοιγε δοκεῖ καὶ συμφορὰν ἑτέραν οὐ μείω τῆς προτέρας, τοῦτο ἐκεῖνος ἡγήσασθαι,[39] εἰ ὃν ὡς ἡγησόμενον ὑμῶν· καὶ πρὸς ἑαυτὸν ἁμιλλησόμενον ἔτρεφε, τοῦτον ἐν δεσμοῖς θεάσαιτο. ἔστιν οὖν ἅπαν τοῦτ' ἐμόν. οὐδένα ἀδικῶ τῶν νόμων. ἤδη τις ἰσχυρότερος ἕτερον[40] ἀσθενέστερον ὑπὸ φορτίου[41] πιεζόμενον ἰδὼν, αὐτὸς[42] τοῦτο ὑπελθὼν, ἔδωκεν ἀναπνεῦσαι τῷ μὴ δυναμένῳ φέρειν· καὶ τοσοῦτον[43] οὗτος ἀπέχε τοῦ τινὰ αἰτίαν λαβεῖν, ὥς τε καὶ ἐπῃνέθη. εἰ δὲ καὶ περὶ τοὺς ἁπλῶς ἐντυγχάνοντας εἶναι τοιούτους καλὸν, τίνας ὑμᾶς εἶναι δεῖ περὶ τοὺς τῷ γένει προσήκοντας; εἰ δὲ ἕτερος ἑτέραν τριηραρχίαν ἀφεὶς,[44] αὐτὸς ἠξίου

37 καὶ δεινοῖς] sic B. haec verba desunt M.

38 ἐπιτάγματα μὰ τοὺς θεούς. οὐ γὰρ Μιλτιάδου γε ταῦτα,] sic B. (haec verba omnia desunt M.) Miltiades haec mihi non mandauit, ita me dii ament! nam a Miltiade talia praecepta non proficiscuntur, per illam Cererem τὴν ἡμῖν δυσμενῆ quae nostrae genti irata et infesta fuit!

39 ἐκεῖνο ἡγήσεται B.

40 ἕτερον] sic B. ἕτερος M.

41 φορτίου] sic B. recte ob insequens τοῦτο. nam si φόρτου, vt M. dat, seruetur, quod est generis masculini, scribendum sit τοῦτον.

42 αὐτὸς] sic B. αὐτὸ M.

43 καὶ omittit B. et addit post τοσοῦτον.

44 num εἰ δέ τις ἑταῖρος ἑταῖρον τριηραρχίας ἀφεὶς si amicus amicum necessitate functionis trierarchalis exsolueret, ipseque illius loco sumtus faceret. in illis ἑταῖρος ἑταῖρον est

ἠξίου δαπανᾶσθαι, τοῦτ' ἂν ὑμῖν, εἰπέ μοι, διέφερεν; ἢ βλάπτεσθαι τοὺς νόμους ἐντεῦθεν ἐλέγετ' ἄν; τί δ' εἰ περὶ χορηγίαν[45] ἐγίγνετο, παρὰ τοῦτ' αὐτὸν ἐκωλύετ' ἄν, ὡς λυπήσοντα[46] τούτῳ τὸν Διόνυσον; οὐκ ἔστι. μὴ τοίνυν μηδὲ τὴν ἐμὴν ταυτηνὶ λειτουργίαν διαβαλλέτω τις. ἣ μάχεται μὲν οὐδενὶ τῶν γεγραμμένων[47] νόμων· ὁμολογεῖ δὲ πολλοῖς τε καὶ καλῶς ἔχειν δοκοῦσιν. οὓς[48] ὁ Σόλων τοῖς γονεῦσι βοηθοῦντας ἔθηκε.[49] φόβῳ τῆς τιμωρίας καὶ τοὺς οὐ φύσει χρηστοὺς ἀναγκάζων, ἃ δεῖ[50] τοῖς γεγενηκόσι φέρειν. πρὸ μὲν οὖν τοῦ δεσμοῦ διὰ τῶν ἄλλων τὸν πατέρα ἐθεράπευον, καὶ οὐκ ἐγενόμην ἐνταῦθα κακός. ὁ δὲ νῦν καιρὸς, ταύτην ἀπαιτεῖ τὴν θεραπείαν. δέξασθε δή με τῷ νόμῳ πειθόμενον καὶ τῆς πόλεως καὶ τῆς φύσεως. νομοθετεῖ δὲ αὐτὴ[51] ταῦτα καὶ τοῖς θηρίοις· καὶ ὁρῶμεν δὴ τῆς θεοῦ καὶ ἐν ἐκείνοις τοῖς γένεσι τὴν ἰσχύν· ᾗ πειθόμενος Πύλιός τις νεανίσκος, ἐπὶ τὸν πατέρα πληγὴν φερομένην ἰδὼν, τῷ στήθει ταύτην δεξάμενος,[52] ἐκείνῳ μὲν ἔδωκεν οἴκαδε ἐπανελθεῖν· αὐτὸς δ' ἐν πολεμίᾳ γῇ κείμενος, ἀείμνηστον ἔχει τὸ κλέος. τοῦτο καὶ αὐτὸς ἂν ἐν ὁμοίοις κινδύνοις ἐποίησα· καὶ οὐκ ἂν ὤφθην κακίων ὁ Ἀθηναῖος τοῦ Πυλίου. ὑπὲρ οὗ οὖν τὴν ψυ-

χὴν

est causa huius tantae beneuolentiae et insolitae liberalitatis. si quis hoc pro altero ideo faceret, quod amicus ei sit, ex amicitia mera et propensione animi erga ipsum. Nam amicus quidem pro amico id, si forte, fecerit, nunquam autem inimicus pro inimico.

45 post χορηγίαν videtur χρηστὸς aut σπουδαῖος aut tale quid deesse.

46 συλλυπήσοντα B.

47 τῶν γεγραμμένων serues, an τῶν οὐ γεγραμμ. legas, h. e. τῶν ἀγράφων νομίμων iuris naturalis, perinde est. habet vtrumque, cur probetur.

48 οἷς B.

49 τίθησι B.

50 ἃ δεῖ] duo haec vocabula in unum ἀεὶ contrahenda videntur. nam infinitiuus φέρειν, qui pro εἰσφέρειν vel ἐκτίνειν hic vsurpatus est, pendet ab ἀναγκάζων. B. dat ἃ νῦν, et addit δεῖ post φέρειν.

51 malim αὕτη. *haec*. natura puta, posteriore loco nominata, et paulo post δὲ pro δή.

52 πατέρα φερόμενον ἰδὼν ξίφος τῷ στήθει τοῦτο δεξάμ. B.

χὴν εἰκότως ἂν προείμην. ἐνὸν ζῶντα ὠφελεῖν, τοῦ σώματος ἐν ἀνάγκῃ δεσμοῦ φείσομαι; καί τοι καλὸν μὲν καὶ τὸ τοῦ Ἀντιλόχου· πλειόνων δ' ἐπαίνων ἄξιον, καὶ τὸ γυναῖκα ὑπὲρ ἀνδρὸς ἐθελῆσαι τελευτᾶν· ᾄδομεν δὲ[53] δήπουθεν ἐν ταῖς τραγῳδίαις τὸ ἐμφερὲς τῆς Ἀλκήστιδος ἔργον. εἰ μὲν οὖν καὶ νῦν θεῶν τις ἦν ὁ πράττων ὅμοια τοῖς τότε, χαίρων ἂν ἀπέθνησκον, ἵνα μὴ Μιλτιάδης θάνῃ.[54] ἐπεὶ δὲ ὁ τοῦτο μὲν παρέξων οὐκ ἔστι· τῶν δὲ περὶ τὸν δεσμὸν ὑμεῖς κύριοι, δότε μοι τὴν χάριν, ἧς καὶ τῷ κοινωνῆσαι δόξης ἀπολαύσετε.[55] μὴ γὰρ οἴεσθε τῇ μὲν Μιλτιάδου στρατηγίᾳ τὴν πόλιν ἐνδοξοτέραν γεγενῆσθαι, τὸν δεσμὸν δὲ τοῦτον οὐκ εἴσεσθαι τοὺς ἐσομένους,[56] ὅτι ἡ πόλις ἡ τῶν Ἀθηναίων, πρὸς τοῖς ἄλλοις ἀγαθοῖς, καὶ νέων ταῖς ὑπὲρ τῶν πατέρων ταλαιπωρίαις κεκόσμηται. καὶ γὰρ εἰ εἷς ὁ Κίμων, ἀλλ' ὅλης τῆς ἡλικίας ἔσται τὸ ἐγκώμιον. εἰ οὖν ἐκ τῶν αὐτῶν ἐγώ τε δίκαιος ἔσομαι, καὶ ὑμεῖς σεμνότεροι, πῶς τοῖς οὐκ ἐῶσι ταῦτα οὕτω πραχθῆναι, προσέξετε; οὐδὲ γὰρ ἐκεῖνό γε ἐστὶν εἰπεῖν, ὅτι Μιλτιάδου μὲν δεδεμένου, λήψεσθε τὰ χρήματα· Κίμων δ' εἰ δεδείη, στερηθήσεσθε.[57] οὐδὲ γὰρ, ἂν ἀμφοτέρους δήσητε, καὶ πρὸς ἡμῖν γε, τὴν ἀδελφὴν τὴν ἐμὴν,[58] τούς γε οὐ δυναμένους ποιήσετε δύνασθαι· ἴστε γὰρ δὴ, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ ἡμέτερα· καὶ ὡς οὐδὲν ἐσμὲν λαμπρότεροι τῶν γειτόνων οὔτε τῇ οἰκίᾳ[59] οὔτε κατὰ τἄλλα.

καὶ

52 προήκειν B.

53 δὲ] γε B.

54 θάνῃ deeſt B. et eius loco vacuum ſpatium pene verſus vnius eſt. Sed poſſit etiam, illo omiſſo, tamen nihil deeſſe videri. nam facile θάνῃ e proximo ἀπέθνησκον tacita mente ſuppleatur.

55 δόξαι ἀπελαύσετε B. cuius fructum, ſiue iucundum, ſiue in amoenum feretis eo, quod ſiue bonam ſiue malam hominum de vobis exiſtimationem participabitis, prout hanc gratiam roganti mihi aut indulgebitis, aut denegabitis.

56 οὐ κεῖσθαι τοῖς ἐσομένοις B. f. τὸν δεσμὸν δὲ τοῦτον λήσεσθαι, ἢ οὐκ εἴσεσθαι. ———

57 στερήσεσθε B.

58 χ. τὴν Ἐλπινίκην m. M.

59 τῇ οἰκίᾳ] ſic recte B. vna enim ſolummodo domus Miltiadem cum liberis complectebatur. ταῖς οἰκίαις M.

καί τοι παρῆν γε βουλομένῳ τῷ πατρὶ, μηδενὸς ἐλάττω τῶν πάνυ πλουτούντων ἔχειν· εἰ τὰ αὐτοῦ μᾶλλον ἢ τὸ κοινὸν αὔξειν[60] ἤθελεν. ἀλλ᾽ οὐκ ἦν οἶμαι τῆς Μιλτιάδου ψυχῆς ἐκκαρποῦσθαι τὰ ὑμέτερα· ἀλλ᾽ ἕνα ἡγεῖτο αὑτοῦ πλοῦτον, τὸ τὴν πόλιν μείζω τοῖς ὅπλοις ποιεῖν. διὰ τοῦτο, ὃ τῶν πενομένων ἐστὶ, πέπονθε· δέδεται. εἰ δ᾽ ἦν αὐτῷ θεῖναι,[61] δοκεῖ ποτ᾽ ἂν ὑμῖν ἑλέσθαι δεθῆναι[62] μᾶλλον, ἢ θεῖναι; βεβόηται Μιλτιάδης ἀπὸ τοῦ Μαραθῶνος· οἶδα τοῦτο καλῶς. ἀλλ᾽ ἕτερόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, νίκην ἀνελέσθαι μαχόμενον, καὶ τίμημα ἐκτίσαι δύνασθαι. εἰ τοίνυν οὔτε πλέον οὐδὲν ὑμῖν ἐκ τοῦ κἀκεῖνον δεδέσθαι, οὔτ᾽ ἔλαττον ἐκ τοῦ τὸν υἱὸν ἀντ᾽ ἐκείνου, τί μὴ,[63] αὐτοῦ τῇ πόλει σωζομένου, τὴν ἐπὶ φιλανθρωπίᾳ προσλαμβάνετε δόξαν; ἢ δέδοικέ τις ὑμῶν, μὴ λυθεὶς ἐκεῖνος νομοθετῇ, καὶ λέγῃ, καὶ γράφῃ, καὶ τῶν κοινῶν ἅπτηται πάλιν, παρὰ τοῦ λελύσθαι νομίζων αὐτῷ καὶ τὴν εἰς ταῦτα ἐξουσίαν δεδόσθαι. ὁ δὲ, μάλιστα μὲν, οὐδ᾽ εἰ σφόδρα ταῦθ᾽ οἷός τε ἦν ποιεῖν, δοκεῖ μοί ποτ᾽ ἂν ἑλέσθαι, μεμαθηκὼς ἱκανῶς, ὡς τὸ τὴν ἡσυχίαν ἄγειν, καὶ τὰ αὐτοῦ πράττειν, ἄμεινον. νῦν δ᾽ εἰ καὶ λίαν ἄτοπός τις εἴη, καὶ τῶν αὐτῶν ἑρμάτων[64] ἐπιθυμοίη, καὶ ναυαγίας δευτέρας, μέγα τὸ κωλύον ἕξει. τί τοῦτο; τὸ τραῦμα, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὸ μηδὲ κεῖσθαι δύνασθαι, μηδὲ ἔχειν ἐλπίζειν τί βέλτιον· τουτὶ γάρ ἐστιν ἀκούειν τῶν ἰατρῶν λεγόντων, καὶ πρόδηλον, ὡς οὐκ εἰς μακρὰν οἰχήσεται· λύσατ᾽ οὖν,[65] ὃν ὁ θάνατος λύσει, καὶ χαριεῖσθε τοσοῦτον, ὅσον μὴ ἐκ τοῦ δεσμωτηρίου γενέσθαι τὴν ἐκφορὰν, ἀλλ᾽ οἴκοθεν· ὅθεν ἐξελθὼν ἐκεῖνος, κατεγέλασε τῶν δεσμῶν, οὓς ἐκόμιζον ἐν ταῖς ναυσὶν οἱ τοῦ Δαρείου Σατράπαι. οὐκοῦν οὐδεὶς Ἀθηναίων μετ᾽ Ἐρετριέων ἐδέθη. τοῦτ᾽ ἐστιν ἡ χάρις,[66] ἄδετον αὐτὸν ἀπο-

60 αὐξήσειν B.
61 ἴσ. τίσαι m. M.
62 δεδέσθαι B.
63 τί μὴ] μήτ᾽ B.
64 ἑρμάτων] etiamsi vel maxime gestiret eosdem rursus in scopulos impingere.
65 λύσατ᾽ ἂν B.
66 ἡ χάρις] scil. ἣν ὑμᾶς αἰτῶ.

ἀποθανεῖν· ἐπὶ τῆς πατρῴας κλίνης ἀφεῖναι τὴν ψυχὴν, τῆς θυγατρὸς αὐτοῦ καθαιρούσης τοὺς ὀφθαλμούς· οὐ γὰρ δὴ τοῦ παιδός γε τοῦ δεδεμένου· εἰπέ μοι, ἢν δὲ δόξω φλυαρεῖν ὑμῖν, καὶ δέξηται τὴν τελευτὴν ἐν τοῖς δεσμοῖς ὁ πατὴρ. οὐκ αὐτὸν εὐθύς με δεήσῃ[67] δεδέσθαι; πάνυ γε. τί οὖν δεινὸν, εἰ ἀντὶ τοῦ τρισὶν ὕστερον ἡμέραις τήμερον τοῦτο ἔσται; ὅτι πονηρὸς, φησιν, ἐξελήλεγκται, καὶ τὸν δῆμον ἠπατηκώς. οὐκοῦν ἐζημίωται διὰ τοῦτο χρήμασι. τὸ δεδέσθαι δὲ, ἐκ τῆς ἀπορίας γέγονεν. εἰ γοῦν ἦν εὐθὺς ἐκτίσαι, οἴκοι ἂν ἦν, ἀλλ' οὐκ ἐν τῷ δεσμωτηρίῳ· οὕτω χρήμασιν, οὐ δεσμῷ, κεκόλασται· μένει τοίνυν ἐν ἐμοὶ τὸ ὄφλημα. τοῦτο δέ ἐστιν, ὀφείλειν ὑμῖν Μιλτιάδην καὶ τετελευτηκότα. καί τοι καὶ περὶ τῆς ἀπάτης, καὶ τοῦ τὴν πόλιν ὑπὸ τοῦ πατρὸς ἠδικῆσθαι, πολλὰ μὲν ὑπάρχει λέγειν· μάτην δ' ἂν ἴσως καὶ[68] λέγοιτο. τίς γὰρ ὄνησις δικαίων[69] λόγων, τοῦ καιροῦ παρελθόντος; καὶ γὰρ ἂν μυριάκις, ὡς οὐδὲν ἠδίκηκεν ἐπιδείξω, κατέγνωσται. οὐ μὴν, ἀλλ' εἰ βούλεσθε, μικρὰ καὶ περὶ τούτου διαλέξομαι τοῦ μέρους· ἵν' εἰδῆτε τὸ ῥᾳδίως πείθεσθαι τοῖς παροξύνουσιν, οἷόν ἐστι Μιλτιάδης τὸν δῆμον τῶν Ἀθηναίων ἐπεθύμησε καταβλάψαι. πεπιστεύκατε μέν ἴσως δὲ,[70] οὐκ ὀρθῶς. διὰ τί γὰρ, τῶν ἀτίμων ἦν ἢ τῶν ἐλαυνομένων, ἢ τῶν μισουμένων, ἢ τῶν οὐδὲν γενναῖον εἰργασμένων, ἢ τῶν ἐφ' οἷς ἔπραξεν οὐκ ἐπαινουμένων; εἰ γὰρ καὶ τῶν φαυλοτέρων πρότερον ἦν, οὐκ ἂν ὑπὸ τοῦ Μαραθῶνος ἐγένετο βελτίων; νῦν δὲ ὢν εἴπερ[71] τις φιλόπολις, καὶ κατωρθωκὼς ἃ μηδεὶς ἂν προσεδόκησε· καὶ θαυμαζόμενος ὡς οὐχ ἕτερος, αὐτὸς ἂν αὑτὸν ἀπώλλυ, καὶ κακοῖς καλὰ διέφθειρε[72] τοῖς δευτέροις τὰ πρῶτα; μαινομένου ταῦτα καὶ παραφρονοῦντος. τίς οὖν ἦν ὁ νοῦς

τῶν

[67] malim δεήσει.
[68] ἴσως καὶ] ἴσθι B.
[69] δικαίων] τῶν B.
[70] πεπιστεύκαμεν. ἴσθι δὲ, οὐκ B.
[71] ὥσπερ B.
[72] καλὰ διέφθειρε] sic B. καλὰ διέφθειρει M.

τῶν λόγων ἐκείνων, καὶ τῶν νεῶν, καὶ τȣ̃ πλοῦ; Πάρον εἶδεν ἐκεῖνος συνευξαμένην τοῖς βαρβάροις, καὶ τῆς ἐκείνων μερίδος αὐτὴν πεποιηκυῖαν, καὶ νῆσον ἐπὶ τῷ γένει πλουτȣ̃σαν.[73] πρᾶγμα δὴ ποιῶν δίκαιον, ἐπὶ τιμωρίαν τῶν ἠδικηκότων ἔπλει, νομίζων οὐ δεήσεσθαι πραγμάτων, οὐδὲ τριβῆς ἀλλ᾽ ἀπὸ μόνης τῆς ὄψεως τἀκείνων ἕξειν. ȣ̓κ ἦν δὲ ἄρα δοκοῦν τοῖς θεοῖς ἁλῶναι Παρίȣς, ȣ̓ τὴν[74] αὐτὴν, οἶμαι, δύναμιν ἐνδεικνυμένοις, καὶ ὅτι μὴ βȣλομένων[75] αὐτῶν, ὁ πλεῖστων[76] κεκρατηκὼς, ὀλίγων ἡττηθήσεται·[77] ἡττᾶται δὲ ὁ ἡττώμενος οὐ τοσοῦτον ὀλίγων, ὡς ἄν τῳ δόξειεν, ἀλλὰ τῶν θεῶν· τοιούτοις πολεμίοις Μιλτιάδης[78] ἐχρήσατο. καὶ γέγονεν αὐτȣ̃ κρείττων, οὐχ ὁ Πάριος, ἀλλ᾽ ἡ ταπεινοῦν ἀξιοῦσα τȣ̀ς[79] μεγάλα δεδυνημένους θεός· καὶ τὸ κακὸν τȣ̃το, τὸ ἐν τῷ μηρῷ, τὸ ἀνίατον, ȣ̓ τοξότου τινός ἐστιν ἔργον οὐδ᾽ ὁπλίτου, οὐδ᾽ ἀκοντιστοῦ· ἀλλ᾽ ἡ κρίνασα θεὸς μὴ εὖ[80] τελευτῆσαι τὸν μέγαν Μιλτιάδην, αὐτὴ τȣ̃το τὸ κακὸν ἔπεμψε.[81] ποῦ τοίνυν τὸ ἀδίκημα, εἰ ἡ μὲν προαίρεσις καλὴ, τȣ̃ τέλους δὲ ἕτερος κύριος. πλουσίους ὑμᾶς ἔφη ποιήσειν.[82] ᾤετο γάρ· ἀλλ᾽ ȣ̓κ ἐποίησε. κρείττων γὰρ ἦν ὁ μαχόμενος.[83] ἐλπὶς δὲ οὐχ᾽ ἥδε πρώτη γέγονεν ἀτελής. καί τοι γε λόγον[84] εἶχεν αὕτη πολύν. τί γὰρ θαυμαστὸν, εἰ ῥᾷστον ἐνό-

[73] opulentam, ſed in damnum Graecorum, quibus cum Pariis communio generis erat.

[74] ȣ̓κȣ̃ν δὲ ἄρα δοκȣ̃ντας θ. ἁλ. παριȣ̃σαν, τὴν B. malim ſic legi: Παρίȣς, τὴν αὐτῶν, οἶμαι, *Parios capi, non placebat diis, vim ſuam, ni fallor, in hoc declarantibus.*

[75] μὴ βȣλ.] ſcil. γίγνεσθαί τι, aut νικᾶν τινα.

[76] ὅτι πλεῖστον B.

[77] ὀλίγον ἡττήσεται B.

[78] καὶ Μιλτ.] ſic B. ὁ Μιλτ. M.

[79] τȣ̀ς] ſic B. τὰ M.

[80] εὖ ſi bene habet, pro εὐτυχῶς vel εὐκλεῶς. B. dat μὴ ȣ̓.

[81] malim ἐπέπεμψε.

[82] ποιῆσαι B.

[83] f. ὁ ἄνωθεν μαχόμενος aut ὁ ὑπὲρ Πάρȣ μαχ.

[84] καί τοι γε λόγον] ſic recte B. vbi γε cohaeret cum αὕτη. atqui plurimum veriſimilitudinis inerat huic certe ſpei oblatae. γε deeſt M.

ἐνόμισε τὸ, Πάρον ἑλεῖν, μετὰ τὰ ἐν Μαραθῶνι; ὑμεῖς μὲν οὖν ἐξηπάτηθε· ἐκεῖνος δὲ οὐκ ἐξηπάτηκεν. ὁ γὰρ οὐ τοῦτο βουληθεὶς, οὐδ' ἐξηπάτηκεν· εἰ μὲν γὰρ ἐπῆρεν ὑμᾶς ὑποσχέσει, πεπεικὼς αὑτὸν, ὡς ἐπ' ἀδύνατα πλεύσεται, παρεκρούετο, καὶ ἠδίκει. εἰ δ' ἃ καταπράξειν ἐπίστευεν, ἐπηγγέλλετο·[85] οὐκ Ἀθηναίους Μιλτιάδης, ἀλλ' ἀμφοτέρους ἠδίκησεν ἡ τύχη. δι' ἣν καὶ Μεγαρεῦσιν ἀπέστη ποτε Σαλαμῖνος, ἡ μεγίστη τῶν Ἑλληνίδων πόλις, ἡ ἡμετέρα, ἢ οὖν ἐξεπίτηδες ἡμᾶς ἠπατηκὼς Φανήτω,[86] ἤ, εἰ τοῦτο ἀμήχανον, πῶς ἀτυχημάτων[87] ἐδίδου δίκην. πλὴν εἰ τοῦτο λέγοι τις, ὡς ἠδίκει Ξανθίππῳ προσκρούων, καὶ οὐ κολακεύων ἄνθρωπον, πεῖσαι δυνάμενον, ὅτι καὶ ὧν οὐκ ἔστιν ἐπιλαβέσθαι τῆς γνώμης, καὶ τούτους κολαστέον.[88] καίτοι, φησὶ, πολλῶν ἐδέθησαν[89] πατέρες· ἀλλ' ὅμως οὐδὲν τοιοῦτον[90] ἐζήτησαν οἱ παῖδες. εἰ δὲ ἐζητήκεσαν, οὐκ ἂν ἦσαν βελτίους; τί οὖν; εἴ τις ἔχει τινος ἄρξαι καλοῦ, κατοκνεῖ δι' αὐτὸ τὸ ἄρχειν, ἀλλὰ[91] μὴ προτέροις ἑτέροις ἀκολουθεῖν; καὶ πόσῳ δικαιότερον, ἐκείνοις[92] μὲν ἐπιτιμᾶν, τοῦτον[93] δὲ ἐπαινεῖν, ἢ τοῦτον κωλύειν ποιεῖν,[94] ὃ μὴ καλῶς ἐκείνοις παρῶπται; ὅλως δὲ ἀρχὴ

85 ἐπηγγέλλατο B.

86 Φανήτω B·

87 f. πῶς δικαίως ἀτυχημ. Xanthippus hic pater Periclis est.

88 insignis Xanthippi eloquentiae praedicatio, quae valuerit Atheniensibus persuadere, puniendos adeo illos quoque esse, quorum voluntas et conatus reprehensioni nulli esset obnoxius.

89 ἐδεήθησαν m. M.

90 τοιοῦτον] quale tu, Cimon, petis. et, si vel petissent quoque, nihilo tamen ideo fuisset praeclarius de illis existimatum. vel, gloriam nihilo maiorem fuissent eo consecuturi. Respondet Cimon τί ἄν;

91 ἀλλὰ] h. l. idem valet atque καί.

92 ἐκείνοις] illos liberos, qui haud curarunt patres a custodia redimere semet ad vincula offerendo.

93 τοῦτον] id est me ipsum.

94 ποιεῖν] id quod ego feci, illi non fecerunt, quamquam oportuisset eos a vobis ob hanc negligentiam notari et puniri.

ἀρχή τις τῶν πραγμάτων ἕκαστον εἰσήγαγεν. εἰδ᾽ ἀεί τινες ἔδει παραδείγματος,[95] οὐκ ἂν ἀρχὴν οὐδὲ ἓν ἐλάμβανεν. ἀρχὴ τοίνυν αὕτη γενέσθω τοῦ καὶ ταῦτα γίνεσθαι τοῖς πατράσιν·[96] ἢ εἰ βούλεσθέ γε, τοῖς πᾶσιν,[97] εἴ τινα τῶν ἁπάντων τοιαῦτα βεβουλευμένον τοιαύτη καταλαμβάνει τύχη. καὶ τί δεῖ περὶ τούτων πλείω λέγειν; εἰ γὰρ μὴ τοῖς εἰρημένοις ἐπέπεισθε, ποίοις ἂν ἑτέροις λόγοις;[98] ἐβουλόμην μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, ταύτην τὴν ἐκκλησίαν ἐπὶ τοῦ Μαραθῶνος, παρ᾽ αὐτὸ γεγενῆσθαι τὸ τρόπαιον· ἦν γὰρ ἄν μοι ταῦτα ἀντὶ συνηγόρων. καὶ νῦν δὲ τῇ διανοίᾳ πρὸς ἐκεῖνα βλέποντες, οὕτω χειροτονεῖτε. πάντως δὲ δι᾽ ὑμῶν ὁ στρατηγὸς ἐνίκα. καὶ δικαίως ἂν αἰσχύνοισθε καὶ τὸν χῶρον, καὶ τὸ τρόπαιον. καλείτω δή τις τοὺς ἕνδεκα· καὶ παραλαμβάνετε Κίμωνα τὸν Μιλτιάδου, τοῦ Κίμωνος τοῦ στρατηγοῦ,[99] δήσατε, σπεύσατε, μὴ φθάσῃ τελευτῆσαι[100] ἐν τοῖς δεσμοῖς ὁ πατὴρ, πατὴρ γενναῖος, πατὴρ ἀτυχής· ἐγκαλεῖσθαι μὲν ὑπ᾽ οὐδενὸς ἀνθρώπων δικαίως δυνάμενος· ἐγκαλεῖν δὲ αὐτὸς ἔχων τῇ τύχῃ, οἵων ἡμᾶς ἐλπίδων ἐκβέβληκεν ὁ δαίμων. σὺ μὲν, ὦ πάτερ, διενοοῦ μετὰ Πάρον[1], καὶ τινὰς ἄλλας ἐλθὼν[2] νήσους, τὰς μὲν πείσειν, τὰς δὲ ἀναγκάσειν πρὸς τὴν πόλιν βλέπειν, καὶ τοῖς τῶν Ἀθηναίων ἄγεσθαι νεύμασι· δεινὸν εἶναι νομίζων, τῷ μὲν τούτων δρόμῳ τὴν Ἑλλάδα σεσῶσθαι, τὸ δ᾽ ἄρχειν τῶν Ἑλλήνων, ἑτέρων εἶναι. καὶ νεῶν δ᾽ ἂν ἐνέπλησας τοὺς ἡμετέρους λιμένας ἀπὸ χρημα-

[95] in vnaquaque re necesse fuisse vnum aliquem, qui eam rem primus faceret, et exemplum eius aliis praeiret, ipse exemplo destitutus.

[96] τοῖς πατρᾶσι] subaudi παρὰ τῶν υἱέων.

[97] lege τοῖς παισὶν, *liberis*, subaudi πρὸς τοὺς πατέρας.

[98] ποίοις ἂν ἑτέροις λόγοις tacite a communi repete ἐπέπεισθε. quod perfectum cum ἂν copulatum, vicem futuri aut optatiui πεισθήσεσθε aut πεισθείητε gerit.

[99] Codex B. dat τοῦ Στησαγόρου. egregie.

[100] malim τελευτήσας.

[1] Πάριον ἐπὶ τὰς ἄλλας B.

[2] ἐλθὼν] sic B. quod idem est ac si dixisset καὶ πρὸς ἄλλας νήσους ἐλθὼν, καὶ τούτων τὰς μὲν πείσειν.

χρημάτων, ὧν ἦγες. ἐβούλου[3] δὲ, ὡς ἔλεγες πολλάκις, ἐλθεῖν ἐπὶ τὴν τοῦ Μήδου χώραν, πρὶν ἐκεῖνον ἐφ᾽ ἡμᾶς. ἄξειν δὲ καὶ ἐμὲ τὸν υἱὸν ἐπὶ τῆς στρατηγίδος νεὼς, μαθητὴν ἔργων πολεμικῶν. ἀλλὰ ταῦτα πάντα, τῇ πρώτῃ πείρᾳ συγκέχυται. καὶ οἰχήσῃ μὲν αὐτὸς οὕτως οἰκτρῶς· τεθνήξομαι[4] δὲ αὐτὸς ἐν δεσμοῖς. περὶ δὲ τῆς ἀδελφῆς, τί χρή με δρᾶσαι; τάχα βέλτιον αὐτὴν Πλαταιεῦσι παραδοῦναι· ἐκείνοις,[5] ὧν προσήκει τυχεῖν ἐλευθέρᾳ κόρῃ, μελήσει, καὶ οὐκ ἀμνημονήσουσιν ἐκείνης τῆς ἡμέρας, ἐν ᾗ παρακαλοῦντος Μιλτιάδου, τὰς ὑμετέρας ἀρετὰς ἐμιμοῦντο. ὦ μακάριε Δαρεῖε, δέδωκέ σοι δίκην ὁ τρώσας τὴν Ἀσίαν, ἐν Σούσοις καθημένῳ, καὶ οὐ πληρώσαντι ναῦς, οὐδὲ καταπέμψαντι στρατηγοὺς, οὐδὲ ἀναλώσαντι χρήματα, οὐδὲ φροντίσαντι περὶ τῶν ἀπεσταλμένων. ἀλλὰ σὺ μὲν, κἂν αὐτὸς ἡδέως ἐστρατήγεις ὑπὲρ τῆς τιμωρίας· ὁ δὲ οὐδὲ κινηθέντος ἀπόλωλε, κατεγνωσμένος ὑπ᾽ αὐτῶν, ὧν ἡγεῖτο· καὶ πεποίηκε καὶ τοὺς ἄλλους ἀθυμοτέρους, παρ᾽ ὧν ἄν τι καὶ αὐτῶν ἐπράχθη τοῖς σοῖς ἐναντίον πράγμασι. καὶ καταπεπολέμηκας Ἀθηναίους δι᾽ Ἀθηναίων. ἀλλ᾽ ἐπ᾽ ἐκεῖνον μὲν εὔχομαι, ὦ ἄνδρες Ἀθηναῖοι, γενέσθαι τινας ὑμῖν καὶ χρησίμους[7] καὶ μὴ τὸν τοῦ οἰκήματος[6] φόβον μεῖζον ἰσχῦσαι τῶν συμφερόντων τῇ πόλει. ἡμᾶς δὲ ἐλεήσατε, καὶ δείξατε πᾶσιν ἀνθρώποις, ὅτι τὸν Ἔλεον ὡς ἀληθῶς νενομίκατε θεόν. δείξετε[8] δὲ, εἰ πρὸς τῷ θύειν αὐτῷ, καὶ χεῖρα ὀρέγοιτε[9] τοῖς ἀπὸ σχήματος ὑψηλοῦ[10] πεπτωκόσι. λύσατε τοίνυν Μιλτιάδην· λύσατε

[3] ἐβούλευε B.

[4] τεθνηξόμεθα B. f. τεθνήξομαι δὲ καὶ αὐτός.

[5] idem eſt ac ſi dixiſſet ἐκείνοις μελήσει τοῦ ταύτην τυχεῖν πάντων, ὅσα παραγενέσθαι κόρῃ ἐλευθέρᾳ, εἰκός ἐστι καὶ προσῆκον.

[6] ἴσ. τιμήματος m. M.

[7] f. ὑμῖν καὶ ἄλλους χρησίμους.

[8] θεῖον δείξατε B.

[9] ὀρέγοιτε B.

[10] τῶν εὐτυχημάτων ὑψηλῶν B. et ſic dat etiam m. M. ſed omittit τῶν.

τε πρὸς Ἡρακλέους, καὶ Πανὸς, οἱ καὶ μέρος αὐτοὺς[11] ἐποίησαν τῆς στρατιᾶς, ἣν Μιλτιάδης ἦγεν. οὓς τίνα γνώμην ὡς[12] εἰκὸς ἔχειν, ὁρῶντας οἷα αὐτῷ γέγονε τῆς στρατηγίας ἆθλα. ὧν τῆς εὐνοίας μηδαμῶς ἀποστερήσητε, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν πόλιν. χρῆν δὲ αὐτοὺς νομίζειν τοὺς αὐτοὺς ἔσεσθαι[13] πρὸς ὑμᾶς, ἣν περὶ τὸν φίλον αὐτοῖς, τὸν καὶ ὑμῖν ποτε ἀρέσκοντα, τὸν πατέρα τὸν ἐμὸν, γένοισθε[14] πρᾶοι.

[11] οἱ καὶ μέρος αὐτὰς] sic B. vbi καὶ non cum μέρος, sed cum αὐτὰς cohaeret. καὶ deest M.

[12] ὡς abesse malim. aut deest aliquid e. c. ἄτοπον aut ἀλλοκότον. quam iis mentem, et quam abhorrentem atque inimicam, necesse est esse.

[13] ἔσεσθαι] sic B. ἔσεσθε M.

[14] γένησθε B.

ΑΛΛΗ ΜΕΛΕΤΗ.

ΘΕΩΡΙΑ.

Οἱ Ποτιδεᾶται ἀλλήλων ἐγεύσαντο, πολιορκούμενοι ὑπὸ τῶν Ἀθηναίων· καὶ κρίνονται Ἀθηναῖοι ὑπὸ Κορινθίων ἀσεβείας.

ΚΟΡΙΝΘΙΩΝ ΛΟΓΟΣ.

ΠΟΛΛΑ ἐβουλευσάμεθα, ὦ ἄνδρες Ἕλληνες, περὶ τῶν ἐν Ποτιδαίᾳ κακῶν, εἴτ' ἐπεξελθεῖν δεῖ τοῖς αἰτίοις αὐτῶν, εἴτε καὶ καρτερήσαντας τὴν ἡσυχίαν ἄγειν. τοῦτο δ' ἀπορεῖν ἡμῖν ἐπῆλθεν, οὐχ ὡς ἐπὶ μικροῖς καὶ φαύλοις τοῖς πεπραγμένοις· οὔτε γὰρ ἐφικέσθαι τῷ λόγῳ δυνατὸν. ὧν οἱ ταλαίπωροι Ποτιδαιᾶται πεπόνθασι τηλικαῦτά ἐστι τὸ μέγεθος· ἀλλ' ὅτι πρῶτον μὲν ἑωρῶμεν

οὐδὲν φροντίζοντας τοὺς Ἀθηναίους οὔτε ἡμῶν, οὔτε τῶν ἄλλων Ἑλλήνων, πεπεικότας δὲ αὐτοὺς, ὡς οὐδὲν δεῖ τῶν δικαίων,[1] εἰς ἂν ἐξῇ βιάζεσθαι. ἔπειτα δ' οὐδ' ὅσιον ἡμῖν ἐφαίνετο, οὕτως ἀπίστου καὶ ἀθέσμου πολιορκίας μνημονεύειν. ὧν γὰρ οὗτοι τὰ ἔργα ὑπέστησαν, τούτων οὐδὲ τοὺς λόγους ἡμεῖς ἐφέρομεν. ταῦτα μέν ἐστι δι' ἅπερ ὠκνοῦμεν. ἐτολμήσαμεν δ' ἐπεξελθεῖν, μάλιστα μὲν διὰ[2] τοὺς θεοὺς, ὧν οὗτοι τὰς χάριτας συνέχεαν[3] ἔπειτα δὲ καὶ δι' αὐτὴν τὴν ὑπεροψίαν αὐτῶν, μὴ, τῆς εἰς Ποτίδαιαν ἀσεβείας παροφθείσης, τὴν βίαν ἐπὶ πᾶσαν ἀγάγωσι τὴν Ἑλλάδα. τὰ μὲν οὖν πεπραγμένα τοῖς Ἀθηναίοις, ὦ ἄνδρες Ἕλληνες, τοιαῦτά ἐστιν, ὡς καὶ πάντας ἀνθρώπους ἐπὶ τὴν κατηγορίαν παρακαλεῖν, καὶ μηδένα[4] ἀπολείπεσθαι δεῖν τοῦ παρόντος ἀγῶνος, μήτε τῶν Ἑλλήνων, μήτε τῶν βαρβάρων. τὰ γὰρ εἰς τὴν κοινὴν φύσιν παρανομηθέντα, κοινῆς, οἶμαι, δεῖται καὶ τῆς βοηθείας καὶ τῆς κατηγορίας. ἡμεῖς δὲ οὐχ ὡς ἀναδεξάμενοι τὸν ὑπὲρ πάντων λόγον, οὐδ' ὡς δεινοὶ λέγειν ὄντες, ἐπέστημεν τῇ γραφῇ. συγγενεῖς δ' ὄντες, καὶ πατέρες τῶν ἐν ἀλλήλοις[5] ἀπολωλότων· ἀλγοῦντές τε ὡς εἰκὸς μᾶλλον ἑτέρων, ἐφ' οὕτως ἀσεβεῖ καὶ ἀπίστῳ πάθει· ὅθεν[6] ἡμῶν μὲν τὴν προθυμίαν ἀποδέχεσθε. αὐτοὶ δὲ ὡς πᾶσιν ἀνθρώποις δείξοντες, οὕτω διανοεῖσθε·[7] καὶ γὰρ εἰ μία πόλις, ἡ πεπονθυῖα ταῦτα, κοινὸν γοῦν ἁπάντων τὸ ἀτύχημα, ἀνθρώπους τινὰς ὄντας, οὕτω τραφῆναι.[8]

Ποτι-

[1] post δικαίων videtur ποιεῖν deesse. nam τούτους subaudiri potest; vt addatur necesse nil est. eos facere aequorum quicquam nil oportere, penes quos alios vi cogere.

[2] μὲν διὰ] sic B. sine δὴ, quod M. addit.

[3] συνέχεαν] sic B. συνέχεον M.

[4] μηδὲν B.

[5] ἐν ἀλλήλοις] id est ὑπ' ἀλλήλων.

[6] ὅτι B.

[7] f. δείξοντες ὅπως διανοεῖσθε, οὕτως ἀκροᾶσθε. ita auscultate, vt, quae sit animorum vestrorum sententia, ad vniuersum genus humanum declaraturi.

[8] οὕτω τραφῆναι] ita pasci, iis alimentis, quibus pasti Potidaeatae fuerunt, humanis puta carnibus.

Ποτιδαιάταις μὲν οὖν, ὅσοι γ' ὑπολείπονται· τὸ γὰρ πλέον αὐτῶν ἐξανάλωται· οὐδ' ὅσιον εἰς ὑμᾶς παρελθεῖν, οὔτε κατηγορῆσαι. ἀλλὰ πρὸς τοῖς ἄλλοις κακοῖς, καὶ τοῦτο ἐκεῖνοι δυστυχοῦσι, τὸ μηδ' ὑπὲρ ὧν πεπόνθασι φωνὴν ἀφιέναι δύνασθαι. τίς γὰρ ἀνθρώπων μεμιασμένων, ἢ ὁρωμένων, ἢ λεγόντων ἀνάσχοιτο; Ἀθηναίων δ' ἄξιον θαυμάσαι, πῶς μὲν εἰς τὴν Ἀμφικτυονίαν παρεληλύθασι· πῶς δὲ καθαρεύειν αὐτοὺς νομίζουσι μετὰ τοιαύτην πολιορκίαν. εἰ γὰρ τοῖς παθοῦσιν οὐδ' εἰπεῖν θέμις ὑπὲρ ὧν ἔπαθον, πῶς εὐσεβοῦσιν οἱ τούτων αἴτιοι περ ὄντες;[9] τὸ μὲν οὖν ἐφ' ἡμῖν τοῖς Κορινθίοις, οὔτε Ποτίδαια ἀπόλωλεν, οὔτε ἡ τῶν Ἀθηναίων πόλις ἠσέβηκεν. ἡ γὰρ ἐκπεμφθεῖσα δύναμις ἐκ Κορίνθου μετὰ Ἀριστέως, τοῖς μὲν εἰς τὴν σωτηρίαν, τούτοις[10] δὲ εἰς τὸ μὴ παρανομῆσαι συνεμάχει. ἐπεὶ δὲ ἀσθενέστεροι κωλῦσαι τὰ δεινὰ ἐφάνημεν, τὸ τιμωρήσασθαι τῶν πεπραγμένων τοὺς αἰτίους ὑπολείπεται. ἐπιτρέψατε δ' ἡμῖν πρὸ τῆς Ἀθηναίων κατηγορίας, ὀλίγα πρὸς ὑμᾶς αὐτοὺς παρρησιάσασθαι. καὶ γὰρ οὐδὲ ἄλλα ἐστὶ τὰ λυμήναντα[11] τοῖς πράγμασιν, ἢ ταῦθ' ἅπερ νῦν ἐροῦμεν·[12] καὶ οὔτε Ποτίδαια οὕτως ἂν ἐτράφη,[13] πόλις συγγενής, οὔτε τοσοῦτοι τῶν Ἑλλήνων οἱ μὲν ἄρδην ἀνῄρηντο,[14] οἱ δ' ἐδούλευον· οὔτ' ἂν ὅλως ἐν τοῖς Ἕλλησιν ἦν τύραννος πόλις, εἰ μὴ δι' ὑμᾶς, ὦ ἄνδρες Ἕλληνες, καὶ τὴν ὑμετέραν ὀλιγωρίαν· οὐ πολλάκις ἡμῶν ἠκούετε βοώντων καὶ λεγόντων; ὡς ἐπιβουλεύεσθε, ὡς περιτοιχίζεσθε· ὡς λήσει τὸ κακὸν τοῦτο πορρωτέρω προελθόν, καὶ δύναμις ἐπιστήσεται ταῖς πόλεσι, πρὸς ἣν οὐδ' ἀντι-

[9] περ ὄντες] videntur haec duo vocabula in vnum παριόντες, prodeuntes in conspectum, vel ad dicendum inter vos, esse contrahenda.

[10] τούτοις bene habet. his Atheniensibus, aduersus quos hac actione contendimus. οὗτος enim in actionibus forensibus est aduersarius. potest tamen lectio B. τοῖς quoque probari.

[11] malim τὰ λυμηνάμενα. nam in medio solummodo vsurpatur λυμαίνεσθαι.

[12] ἐρῶμεν B. in t. et in marg. ὁρῶμεν.

[13] ἴσ. ἀνετράπη m. M.

[14] ἀνῄρηντο] sic B. ἀνῄροντο M.

ἀντισχεῖν δυνησόμεθα, εἰ μή τις ὁ κωλύσων φανεῖται· ὑμεῖς δ' οὐδέ ποτε[15] ἐπεστράφητε, οὐδ' ἐπιστεύσατε· ἀλλὰ καὶ ἔχθρᾳ τινες ἰδίᾳ ταῦτα ἐνόμιζον ὑφ' ἡμῶν λέγεσθαι. τοιγαροῦν ἐπὶ πολλῆς ἐρημίας καὶ σχολῆς, μικροῦ τὴν Ἑλλάδα,[16] καὶ ὥσπερ τὴν[17] Μυσῶν λείαν ἔχουσι, τοὺς Ἴωνας, τοὺς νησιώτας, τὸν Ἑλλήσποντον, τὰ ἐπὶ τῆς[18] Θρᴀ́κης, Δωριέας, Αἰολέας, ὧν ἔνιοι καὶ συγγενεῖς εἰσιν ἡμέτεροι. ταῦτα μὲν ἔξω· πρὸς δὲ τὴν Πελοπόννησον, τίνα; Κέρκυραν, Κεφαλληνίαν, Ἀκαρνᾶνας, ἐν αὐτῇ Πελοποννήσῳ τοὺς πλείστους Ἀχαιῶν. ἐπιλείψει με ἡ ἡμέρα λέγοντα τῶν δουλευόντων τὰ ὀνόματα· καὶ οὐ τοῦτό πως δεινὸν, καίπερ ὂν δεινὸν, εἰ τῶν Ἑλλήνων τινὲς τὴν ἐλευθερίαν ἀπολωλέκασιν, ὑπὲρ ἧς καὶ πρὸς τὸν[19] Μῆδον ἐκινδυνεύσαμεν. ἀλλ' οὕτως ἀμὴν καὶ πικρὰν κατεστήσαντο τὴν ἀρχὴν, ὡς σφόδρα εἶναι τὰ τῶν βαρβάρων[20] φιλάνθρωπα. τί γὰρ αὐτοῖς τῶν ἀνηκέστων καὶ δεινῶν πρὸς τοὺς ὑπηκόους οὐ πέπρακται. οὐ φόρους ἐπέβαλον; οὐ ναῦς παρείλοντο; οὐ τὰς ἐν ταῖς πόλεσι[21] δίκας εἰς αὐτοὺς μετέθεσαν; ὦ πόσους ἀπολωλέκασι, τοῖς μὲν ἔνδειαν φόρων, τοῖς δ' ἔκλειψιν στρατιᾶς. τοῖς δ' ἄλλοις ἄλλα ἐγκαλοῦντες. τὰς κληρουχίας ἀφίημι, τὰ τῶν στρατηγῶν ἴδια κέρδη· οἷς ἄλλοι δίδονται φόροι. τὰ μὲν δὴ πρῶτα τῶν χρηστῶν τούτων ἀδικήματα, ταῦτά ἐστι· μᾶλλον δὲ ἀσεβήματα. τὸ γὰρ εἰς πόλεις Ἑλληνίδας καὶ θεοὺς Ἑλληνίους παρανομῆσαι, τίνος ἔλαττον ἀσέβημα ἡγεῖσθε; ἀλλ' ἐπειδὴ ταῦτα αὐτοῖς συγκεχώρηται, θεάσασθε οἷα ἐπενεανιεύσαντο. ἀλλὰ Ποτίδαιαν[22] ἡμεῖς ἀπῳ-

[15] πώποτε B.

[16] f. μικροῦ πᾶσαν τὴν Ἑλλάδα.

[17] ὥσπερ τὴν] subaudi λεγομένην.

[18] τῆς omittit B. non male.

[19] καὶ πρὸς τὸν] sic B. πρὸς deest M.

[20] τῶν βαρβ.] sic B. τῶν omittit M.

[21] ἐν ταῖς πόλεσι] sic B. ταῖς deest M.

[22] ἀλλὰ Ποτιδαίαν] redit hoc ἀλλὰ ad id quod paulo ante dixerat. τὰ μὲν δὴ πρῶτα (id est vetusta) τούτων ἀδικήματα — tum subiicit. verum vt ad caput rei veniam, ad recentissima eorum scelera, Potidaeam videte, quam nos condidimus.

ἀπῳκίσαμεν ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις, τά τε αὐτῶν νόμιμα δέντες, καὶ καθ' ἕκαστον ἔτος[23] τοὺς ἐπιδημιουργοὺς ἐκ Κορίνθου πέμποντες· καὶ γὰρ, εἰ τῷ τόπῳ διήλλαττον, ἀλλ' ἓν ἦσαν γένος. καί τοι καὶ τὸ χωρίον ἀκριβῶς[24] ἀπείκαστο πρὸς τὴν Κόρινθον· ὥσπερ γὰρ ἡμεῖς[25] τῆς Πελοπονήσου τὸν Ἰσθμὸν ἔχομεν, οὕτω τῆς Παλλήνης ἐκεῖνοι. ἐπὶ τούτοις μὲν ἐπέμψαμεν[26] Ποτίδαιαν.[27] οὗτοι δὲ βίᾳ λαβόντες, κατέχον· ἦν τοῦτο οὐ μικρὸν ἀδίκημα, πόλιν συγγενῆ καὶ φίλην δουλεύειν Ἀθηναίοις, φρουράν τε παρὰ τούτων δέχεσθαι. καὶ τὸ πρᾶγμα οὐδὲν διέφερεν, ἢ εἰ παρ' ἡμῶν αὐτῶν τῶν Κορινθίων φόρους ἐπράττοντο·[28] ἡ γὰρ εἰς τοὺς ἀποίκους ὕβρις, ἐπὶ τοὺς ἐκπέμψαντας εἶχε τὴν ἀναφοράν. ἀλλ' ὅμως οἱ τοιαῦτα ὑβριζόμενοι καὶ προπηλακιζόμενοι, τὴν ἡσυχίαν ἤγομεν· ἦγον δὲ καὶ οἱ Ποτιδαιάται, παρὰ τὴν αὐτῶν ἀξίαν δεδουλωμένοι τοὺς φόρους ἀπέφερον· ἐκρίνοντο παρὰ τούτοις οἱ Κορίνθιοι· τὰς ἐπιβαλλομένας στρατείας ἐστρατεύοντο. ἀλλ' ἵνα μὴ καθέκαστον λέγω, προθύμως ἠτύχουν· πόθεν οὖν ἀφόρητοι καὶ ἡμῖν τοῖς Κορινθίοις καὶ τοῖς Ποτιδαιάταις ἐγένοντο οὗτοι; καὶ τί τοὺς ἀνθρώπους αὐτῶν ἀπέστησε, τὸ μηκέτι μηδ' ὡς τοῖς ἄλλοις ὑπηκόοις ἐθέλειν αὐτοῖς χρῆσθαι, περιττότερα δ' ἐξευρίσκειν ἐπιτάγματα; ταῦτα δ' ἦν, τίνα; τοὺς δημιουργοὺς μὴ δέχεσθαι· τὰ τείχη καθαιρεῖν· ὅλως ἀνῃρῆσθαι. πῶς γὰρ

ἂν

[23] *ἔτος*] ſic recte B. *quotannis* vt etiam recte reddidit interpres. (nam t. M. dat *ἔθος*) Epidemuirgi quaſi Demiurgi ſecundarii, vel additicii, appellabantur Corinthi magiſtratus, qui in colonias eorum cum imperio mittebantur, vt apud Romanos propraetores et proconſules in provincias. Notum eſt, magiſtratus populorum haud paucorum graecorum Demiurgos fuiſſe appellatos. Sed paulo poſt quos hic *ἐπιδημ.* appellat, eosdem ſimpliciter appellat Demiurgos.

[24] *ἀτεχνῶς* B.

[25] *ἡμεῖς*] ſic B. *ἡμᾶς* M.

[26] malim *ἐξεπέμψαμεν*.

[27] *ἴσ. εἰς* Π. m. M.

[28] *ἐπράττοντο*] ſcil. *οἱ Ἀθηναῖοι οὗτοι*, ſi hi, Athenienſes, a nobis ipſis, qui ſumus Corinthii, tributa exegiſſent.

ἂν οἰκοῖτο πόλις, ἡ μήτε ἄρχουσι τοῖς Ἕλλησι τῶν νόμων χρωμένη,[29] γυμνή τε οὖσα τειχῶν,[30] καὶ ταῦτα ἐν Θρᾴκῃ; καθ' ἑκάστην γὰρ δήπουθεν ἡμέραν ἐξῆν ἂν τοῖς Θρᾳξὶ βαδίζειν ἐπὶ τὴν πόλιν. καὶ ταῦτα ἐπέταττον ὅλως[31] ἔγκλημα μὲν οὐδὲν φανερὸν ἐπάγειν ἔχοντες· εἴγε[32] ὅλως ἔγκλημά ἐστιν, ἐλευθερίας ἐπιθυμεῖν τοὺς ἐξ ἀρχῆς ἐλευθέρους. ὑποψίας δέ τινας καὶ ὑπονοίας λέγοντες· ἀφ' ὧν γὰρ περὶ Κέρκυραν ἀδικεῖν αὐτοῖς συνῄδεσαν, οὐδὲ τὴν Ποτίδαιαν ἀσφαλῶς ἔχειν ἡγοῦντο. ἐβούλοντο δὲ καὶ ἡμᾶς τοὺς Κορινθίους λυπεῖν, ὅτι Κερκυραίων ἡμᾶς ἀπεστερήκεσαν,[33] ἄλλων ἀποίκων. τοῦτο γὰρ δὴ καὶ τὸ καινότατόν ἐστιν, ὧν ἠδίκουν αὐτοί, δίκας ἀπῄτουν, ὡς ἀδικούμενοι. διὰ μὲν δὴ ταῦτα, ἀδίκως καὶ βιαίως τοῖς Ποτιδαιάταις προσεφέροντο. οἱ δὲ τὰ μὲν πρῶτα ἱκέτευον· ἐδέοντο[34] μηδὲν νεωτερίζειν περὶ τὴν πόλιν· ἐᾶν τὸν ἐνόντα[35] κόσμον τῆς πολιτείας. ὡς δ' οὐδὲν εὑρέσθαι χρηστὸν οἷοί τ' ἦσαν, ἀλλ' ἔπλεον ἐξ Ἀθηνῶν τριήρεις, καὶ οἱ τὰς ἀρχὰς καὶ τὰ τείχη καταλύσοντες, καὶ ἠπειλοῦντο ἀπειλὰς τὰς φρικωδεστάτας, ὅτι δὴ μὴ παραχρῆμα μηδ' εὐθὺς ἐπείσθησαν αὐτοῖς κελεύουσιν· ὁ δὲ κίνδυνος ἦν αὐτοῖς περὶ ἀνδραποδισμοῦ καὶ ἀναστάσεως τῆς πατρίδος. τότε δὴ προσβιασθέντες οἱ δυστυχεῖς, ἐφ' ἡμᾶς τοὺς πατέρας κατέφυγον, ἐπὶ τὴν ἐκπέμψασαν αὐτοὺς πόλιν, ὡς μόνην ταύτην σωτηρίαν ἕξοντες. καὶ ἡμεῖς ἐδεξάμεθα· ὁμολογοῦμεν· ἢ τί πράττειν; παῖδας ἱκέτας μὴ δέχεσθαι; βίαν δ' οὕτως ὠμὴν ἐᾶν; πολιορκίαν ἄπορον·[36] καὶ τροφὰς ἀπανθρώπους, οὐ προσεδοκῶμεν ἔσεσθαι· ἀλλ' οὐκ εἰς μακρὰν

29 num μήτε ἄρχουσιν Ἑλληνικοῖς, μήτε νόμοις χρωμένη?

30 γυμνή τε οὖσα τειχῶν] sic B. οὖσα deest M.

31 ἐπ' ἔλαττόν ἐστιν ὅλως B.

32 num ὃ μή γε nisi si? —

33 ἀπεστερήκεσαν] sic B. ἀπεστερήκασιν M.

34 post ἐδέοντο recte abest δὲ a B.

35 malim ὄντα simplex.

36 πολιορκίαν δ' ἄπορον B. num voluit π. διάπυρον?

μακρὰν ταῦτα πάντα ἧκεν ἀθρόως τὰ δεινά. καὶ οὕτως ἠγανάκτησαν οἱ χρηστοί, ὡς οὐδ' ὅτε ἡ πόλις αὐτοῖς ὑπὸ τῶν βαρβάρων ἐνεπρήσθη. οὔκουν ἔχουσι τινα εἰπεῖν τότε τοιαύτην πολιορκίαν. ἀλλὰ καθαρὰ μὲν ἡ βασιλέως γῆ τοιούτων μυσῶν· ἐμπέπλησται δὲ ἡ Ἑλλὰς κακῶν, καὶ μεμίανται· ἐπειδὴ γὰρ ἐπύθοντο βουλομένους σώζεσθαι τοὺς ἀνθρώπους, εὐθὺς ἐπέστησαν, καὶ καθεῖρξαν περιστάντες, ἐκ γῆς, ἐκ θαλάττης, ὁ ναυτικὸς ὄχλος, οἱ πεζοί· οὐδὲ στῆναι πρὸς ὀλίγον, οὐδὲ ἀναπνεῦσαι τοῖς ταλαιπώροις παρέχον. ἀλλ' ὥσπερ θηρία, οὐκ ἀνθρώπους ἀπολαβόντες,[37] οὕτως ἀκριβῶς παρεφύλαττον τὰς ἀφορμὰς, τὰς καταρσεις, μηδὲν ἐκπλεῦσαι μηδὲν εἰσπλεῦσαι, ἕως αὐτῶν τὰς τροφὰς ὁ χρόνος ἐξανάλωσε· καὶ ἦν ὑπόλοιπον οὐδὲν ἄλλο, ἢ οἱ τῶν τροφῶν δεόμενοι. τότε τοίνυν ἐλεῆσαι δέον, ἐξαγαγεῖν τοὺς ἀνθρώπους, ἀλλήλων ἐξαρπάσαι·[38] οὐδὲν γὰρ τῶν ἔνδον νεωτεριζομένων ἠγνόουν οἱ προσκαθήμενοι καὶ προσεδρεύοντες,[39] καὶ ὀδυρομένων τὴν χρείαν ἀκούοντες. οἱ δὲ, τοὺς ἀνθρώπους ἐπαφῆκαν ἀλλήλοις· καὶ τὸν ἐν τοῖς δείπνοις μῦθον ἀνέμειναν γενέσθαι,[40] καὶ ἀναλωθῆναι[41] περὶ αὐτὴν τὴν πόλιν, καὶ ἐμπλησθῆναι Ποτιδαιάτας κακῶν.[42] ἀπὸ τοιούτων ὑμῖν ἔργων ὁ τῶν Ἀθηναίων παρέστηκε δῆμος, ἐρήμην μὲν ἀνδρῶν ποιήσας τὴν Ποτίδαιαν πόλιν, πλήρη δὲ ἀσεβείας· καὶ τοὺς ταῖς μὲν τραπέζαις παραδοὺς, τὸ πλέον μέρος· ὀλίγους δὲ ἀνθρώπους ἐξελάσας, δυστυχεστέρους τῶν ἀναλωθέντων, καὶ μᾶλλον οἰκτρούς· τὰ δεινὰ ἐν ἑαυτοῖς φέροντας.[43] πολιορκουμένους ἐπὶ ταῖς συμφοραῖς.

[37] ἀπολαβόντες — παρεφύλαττον] sic B. ἐπιλαβ. — παρεφυλάττοντο M.

[38] ἀλλήλων ἐξαρπάσαι] intercedere, quominus sese mutuo deuorarent.

[39] καὶ προσεδρεύοντες videntur, vt scholium, delenda esse.

[40] γενέσθαι] id est ἔργον ἀληθὲς γενέσθαι.

[41] καὶ ὡς ἀνηλωθ. B.

[42] f. ἀνηκέστων (vel tale quod epithetum) κακῶν.

[43] τὰ δεινὰ ἐν ἑαυτοῖς φέροντας] nam diuturna fames labes intestinas, viscerum tabescentium vlcera, relinquere solet.

ρᾶς.[44] καθαροί γε· οὐ γὰρ οὗτοι φέρουσιν, ἢ τὰ σώματα, οἷς[45] προσήδρευον,[46] ἢ τὰς ψυχὰς, αἷς περὶ τῆς πολιορκίας διενοήθησαν· ἀλλ' οὐκ ἐναγεῖς·[47] οὐκ ἀκάθαρτοι· οὐ τῇ κοινῇ φύσει πολέμιοι. οὐ πᾶν, ὅ, τι ἂν εἴποι τις; ἀλλ' ἂν μὲν εἷς ἄνθρωπος, ὁ τυχὼν, τῶν πρὸς τὴν εὐσέβειαν κατολιγωρήσῃ, ἢ θυσίαν τινα οὐ καθαρὰν θύσας, ἢ βωμὸν μιάνας, ἢ μιαρὸς ὢν αὐτὸς εἰς τὸ εἴσω τῶν περιῤῥαντηρίων βιάσηται, οὐδὲ φωνὴν ἀνέξεσθε· οὐδ' ἔσται τις οὕτως ὀλίγωρος οὔτε γέρων οὔτε νεώτερος, ὃς οὐκ ἐπέξεισιν εὐθὺς, καὶ τιμωρεῖ τοῖς θεοῖς. πόλιν δὲ τὴν ἀξιοῦσαν προεστάναι τῆς Ἑλλάδος, καὶ τὰ δίκαια τοῖς ἄλλοις βραβεύειν, τοιαῦτα ἱερεῖα ἐν Ποτιδαίᾳ κατασκευάσασαν, καὶ μιάνασαν ἅπαντας[48] μὲν τοὺς ἐκεῖ βωμοὺς· πάντα δὲ τὰ ἕδη τῶν θεῶν· ἄβατον δὲ τὸν τόπον ποιήσασαν πᾶσι. δι' ἣν[49] οὔτε οἰκίαι καθαραὶ, οὔτε ἀγοραὶ καὶ στενωποί· πάντα δ' ἀκάθαρτα καὶ μύσους μεστὰ, ὅ, τε χῶρος, ἐν ᾧ ταῦτα ἐγίνετο, ὅ, τε τὴν πόλιν ὑπερέχων ἀήρ· οἱ τρέφοντες,[50] οἱ τρεφόμενοι· ὁ σίδηρος· τὸ πῦρ· αἱ τράπεζαι· τὴν δὲ τοιαύτην, εἰπέ μοι, πόλιν περιόψεταί τις, Ἑλληνίοις θεοῖς προσιοῦσαν, καὶ κοινωνοῦσαν ἡμῖν σπονδῶν, πανηγύρεων; τὸν δὲ αὐτὸν κρατῆρα στησόμεθα ἡμεῖς τε καὶ οὗτοι; στέγην δὲ τὴν αὐτὴν,

[44] πολιορκ. ἐπὶ ταῖς συμφ.] propterea quod iniurias, ab Athenienſibus oblatas, vel mancipiorum humilitate indignas, pati noluerint.

[45] οἷς] id eſt διὰ τούτους. hi ne pura ferant aut corpora, id eſt, dicemusne hos puros eſſe, ſiue reſpectu corporum, ad eos reſpicientes, quos diriſſima obſidione cinctos tenuerunt et eo redegerunt, vt peſte atque fame abſumerentur, omniaque circum tabe mortifera replerent; ſiue reſpectu mentium?

[46] προσήδρευσαν B.

[47] ἀλλ' οὐκ ἐναγεῖς] an non potius dicendi ſunt Athenienſes homines ſacrilegi, piaculares?

[48] καὶ μιάνασαν ἅπαντας] ſic B. καὶ πάντας μιάνασαν M.

[49] πᾶσι. δι' ἣν ſic B. *ob quam* ſcil. πόλιν. M. dat πᾶσι δ' ἦν.

[50] οὔτε τρέφοντες] animalia, terreſtria et aquatilia, ipſaeque fruges.

τὴν, ἢ θέατρον Ἑλληνικὸν, τίς ἂν τολμήσειεν εἰσελθεῖν, περιαγγείλας[51] Ὀλυμπικὰς,[52] ἢ Πυθικὰς ἐκεχειρίας. ἐμοὶ μὲν γὰρ οὐδ' ὁ πρὸς αὐτοὺς πόλεμος καθαρὸς εἶναι δοκεῖ· ἀλλὰ καὶ τοῦτο μίασμά ἐστι, τούτοις εἰς χεῖρας ἰέναι. τοσαύτης ἀρᾶς εἰσὶ καὶ ποινῆς μεστοί· εἶτα εὐσεβείας οὗτοι μνημονεύουσι.[53] καὶ ποῦ θέμις; θυσιῶν τε καὶ μυστηρίων; οἴχεται ταῦθ' ὑμῖν καὶ ἀνατέτραπται. ἐπεὶ δὲ[54] μυστηρίων ἐμνημόνευσα, βούλομαί τι τῶν ἐκεῖθεν εἰπεῖν. ἔστι δ' οὐ τῶν ἀῤῥήτων, ὃ μέλλων λέγειν· οὗτοι γὰρ τάτ' ἄλλα[55] καθαροὺς εἶναι τοῖς μύσταις ἐν κοινῷ προαγορεύουσιν, οἷον τὰς χεῖρας, τὴν ψυχὴν, τὴν φωνὴν Ἕλληνας εἶναι, καὶ ἰδίᾳ πάλιν, τὸ, σίτου, καὶ τὸ,[56] μὴ σίτου δὲ ἐγεύσω; οὐ καθαρὸς πάρει. καὶ πολλὴ τούτων παρὰ τοῖς μυσταγωγοῖς ἐπιμέλεια. εἶτα, ὦ πάντων ἀσεβέστατοι, τὰ μὲν ἐπὶ τῷ σιτεῖσθαι φύντα καὶ νομισθέντα ἐξ ἀρχῆς, οὐ πάντα δίδοται[57] οὐδὲ συγχωρεῖται· ἀλλὰ καὶ τούτων ἐξέτασις καὶ κρίσις[58] γίγνεται, ὧν ἥτε γῆ καὶ θάλαττα τοῖς ἀνθρώποις δίδωσιν, ἃ δὲ μήτε ἡ φύσις, μήτε ὁ κοινὸς νόμος ὑπέδειξε,[59] ταῦτα Ποτιδαιάταις σιτηθῆναι παραθέντες, ἀνθρώποις[60] μυηθεῖσιν, ἁγνεύσασι καὶ πρὸς ἐκείνας τὰς τροφὰς, ὡς εὐσεβεῖς ἡμῖν[61] διαλέγεσθε; ὅμοιον, ὡς ἂν εἰ μηδὲ τοὺς γευσαμένους τις αὐτῶν τῶν ἀθέσμων τροφῶν μεμιάνθαι λέγοι· ἀλλ'[62] ἐκείνοις ἔστιν εἰπεῖν, οὐθ' ὑμῖν,[63] ὡς καθαροί. πόθεν;

[51] f. περιαγγεῖλαι, subaudi τολμήσειε.

[52] δὲ Ὀλυμπ. B.

[53] malim μνημονεύσασι.

[54] ἐπειδὴ δὲ B.

[55] γὰρ τἆλλα B.

[56] locum corruptum, quem video, emendare haud valeo.

[57] malim δίδοτε et συγχωρεῖτε.

[58] κρίσις] sic B. et m. M. κρίσεις t. M.

[59] ὑπέδειξε] sic B. ἐπέδειξε M.

[60] non intelligo, siue ἀνθρώποις ad praemissum Ποτιδαιάταις refero, id quod faciendum videtur, siue, quod minus videtur, ad insequens ἡμῖν.

[61] ἡμῖν] sic B. ὑμῖν M.

[62] οὔτ' (sic B. οὐδ' M. ἐκείνοις ἔστιν εἰπεῖν, scil. ὡς καθαροί εἰσιν. illis, qui alimentis pasti sunt immundis, a lege vetitis.

[63] ὑμῖν] sic recte coni. Morell. suffragante Bau. scil. ἔστιν εἰπεῖν ὡς καθαροί ἐστε. t. M. dat ὑμᾶς.

πόθεν; οὐδέ ποτε ἐκνίψεσθε τὰ ἐκεῖ. τοσοῦτον γὰρ πλεονεκτεῖτε τοῦ μιάσματος τοὺς γευσαμένους, ὅσον τὴν γνώμην ἀφελόντες, τὴν ἀνάγκην ἔχουσιν αἰτιάσασθαι· ὑμεῖς δ' ἐβιάσασθε. πολεμοῦντες,[64] ἴσως ἐροῦσι, καὶ μετὰ τῶν ὅπλων, ὥσπερ ἡμῶν οὐκ αὐτὸ τοῦτο αἰτιωμένων πρῶτον, ὅτι τὴν Ἑλλάδα[65] καλῶς ἡσυχάζουσαν· ἐπὶ πολλῆς τε[66] εἰρήνης οἰκεῖσθαι καὶ πολιτεύεσθαι δυναμένην, εἰ τὰ δίκαια πράττειν οὗτοι ἐβούλοντο, καὶ μὴ λωποδυτεῖν, μηδὲ λῃστεύειν τὰς πόλεις· οἱ δὲ ἀφ' ὧν ἐργάζονται, καὶ περιεργάζονται, περικόπτοντες ἐν κύκλῳ πάντας, καὶ τῶν μὲν ἤδη δεσπόζοντες, τοὺς δ' εἰς εὐλάβειαν ὑπὲρ τῶν αὐτῶν καθιστάντες, τὴν μὲν εἰρήνην εἰρήκασι,[67] πόλεμον δὲ καινὸν ἐξάψαντες, πάντα ἄνω καὶ κάτω ποιοῦσιν, ἐπιπλέοντες ταῖς ναυσί· δυνάμεις ἄλλας ἐπ' ἄλλαις ἐπιπέμποντες. ταῦθ' ὑμῶν τὰ πρῶτα ἀσεβήματα· πλεονεξία, τὸ τῶν ἴσων ἄρχειν ἐθέλειν· αἱ περιτειχίσεις· αἱ πολιορκίαι· ἐπὶ δὲ τούτοις πᾶσιν, ἄθεσμοι τροφαὶ καὶ βρώσεις ἀλλήλων. καὶ νῦν δὴ πέπρακται πρὸς γενῶν· τί ταῦτα εἴποι τις ἔτι; ἆρα[68] συνήθη πόλεμον, καὶ φιλοτιμίαν[69] Ἑλληνικὴν, ἢ φύσεως ἀνθρωπίνης ἀνατροπὴν, καὶ γνώμης ἀγριότητα, καὶ πρὸς θεοὺς ὑπεροψίαν. ἐμοὶ μὲν γὰρ ταῦτα δοκεῖ, καὶ πολλῷ τούτων δεινότερα. ἐπεὶ πολεμεῖν γε οὗτοι βουλόμενοι συνήθως, καὶ κατὰ τὸν Ἑλλήνων τρόπον, οὐχ ὅπως ἂν Ποτιδαιάτας οὕτως ἔθρεψαν, ἀλλ' οὐδὲ τἆλλ' ἂν ἦσαν[70] ὠμοὶ καὶ βίαιοι. παράδειγμα

64 πολεμοῦντες scil. ἐβιασάμεθα.

65 τὴν Ἑλλάδα] non habent hi accusatiui quo referantur. sine dubio deest aliquod participium e. c. παραλαβόντες post Ἑλλάδα.

66 τε] sic B. τῆς M.

67 f. τὴν μὲν εἰρήνην ἀνῃρήκασι. sustulerunt.

68 f. καὶ ἃ νῦν δὴ πέπρακται. πρὸς θεῶν, τί ταῦτα εἴποι τις; ἔτι ἆρα sic distinguo. — Num adhuc, vt olim, appellabimus istaec solitum et diuturnitate iam inolitum bellandi morem? ἴσ. π. συγγενῶν M.

69 φιλονεικίαν B. sed vulg. superscr. est.

70 εἴησαν B.

δειγμα δὲ τούτων ἕξεσιν ἡμῖν ἐναργὲς ποιήσασθαι, καὶ ὁ πάντες ἴσε. ὁρᾶτε καὶ [71] Λακεδαιμονίους οὔτε ἀρχομένους πολέμου, οὔτε σπεύδοντας ἀλλ' ἐπὶ πλεῖσον βουλευομένους τε καὶ σκεπτομένους ἐφ' ὅσον [72] νῦν ἐμέλησαν. κρατήσαντες γὰρ, ἐν ἴσῳ τοῖς φεύγουσιν ἀνεχώρουν. τὸ μὲν τρέψασθαι, νίκην νομίσαντες· τὸ δ' ἐπακολουθεῖν, ἀπανθρωπίαν. τοῦτον εἶναι τοῖς Ἕλλησι τῶν πολέμων ὅρον, τοῦτον κανόνα δεῖ, τὰς πρὸς ἀλλήλους διαφορὰς μετρίως καὶ δημοτικῶς τίθεσθαι· εἰσβάλλειν [73] τοὺς προσμίξαντας, κρατῆσαι, κατασημήνασθαι [74] τὴν νίκην τροπαίῳ· ταῦτ' ἐσιν ἀνθρώπων Ἑλλήνων, τοῦ γένους αἰσθανομένων, πολλὰ [75] ἐχόντων ἀντιθεῖναι τῷ πολέμῳ· πανηγύρεις κοινὰς, ἆθλα Ἀμφικτυονικά· τὸν Δία. τὸν Ποσειδῶ· τὰς θυσίας, τὰ μυσήρια· ὧν δεῖ πλείονα. ποιεῖσθαι λόγον τούς γε εὐσεβοῦντας τῆς εἰς τὸ παρὸν φιλονεικίας. τὰ μὲν γὰρ ἀφ' οὗ τὴν Ἑλλάδα οἰκοῦμεν, ἔσι τὲ, καὶ ἔσαι καὶ καλῶς γίγνεται· πόλεμος δὲ κἂν ἐπὶ πλεῖσον προχωρήσῃ, καταλύεται. οὐ δεῖ δὴ τὴν ἑνὸς καιροῦ φορὰν [76] μακρᾶς συγγενείας καὶ φιλίας προκρίνειν· ἀλλ' οὕτω πολεμεῖν, ὡς. εἰ τύχοι ποτε, καὶ φίλους ἐσομένους. ὡς ἐσι δεινὸν, τὸν μὲν ἐκ Σούσων καὶ Ἐκβατάνων ἐπὶ τοὺς Ἕλληνας σρατεύσαντα, τὸν αἰτήσαντα ὑμᾶς γῆν καὶ ὕδωρ· τὸν ἀνασάτους οὐκ ἄνδρας μόνον, ἀλλὰ καὶ πόλεις ποιήσαντα, μήτε, ὁπηνίκα ἦλθε πολεμήσων τοιαύτῃ [77] συμφορᾷ [78] περιπεσεῖν, νῦν τ' ἔσπονδαν ἤδη

[71] malim καὶ aut prorsus tolli, aut cum τὰς auctore B. mutari Constructio haec est ὁρᾶτε τοὺς Λακεδαιμονίους — ἐφ' ὅσον νῦν ἐμέλλησαν, pro ὁρᾶτε, πόσον οἱ Λακεδαιμόνιοι πρώην ἐμέλλησαν. videtis, quantopere Lacedemonii nuper cunctati sint in bello gerendo.

[72] τὸ γὰρ ἐφ' ὅσον B.

[73] [illegible] εἰσβάλλειν videtur εἰς τὴν τῶν πολεμίων de [illegible]. tum sic distinguendum: τοὺς προσμίξαντας (scil. ἑαυτοῖς) κρατῆσαι.

[74] καὶ κατασημ. B.

[75] πολλὰ] subaudi φίλια καὶ μέτρια, καὶ ἐπαγωγὰ εἰς φιλίαν καὶ εἰρήνην.

[76] φορὰν] impetum, insaniam. Sed videtur potius φθορὰν leg.

[77] ἦλθε πολεμήσων τοιαύτῃ] sic B. πολεμήσων omittit M.

[78] τοιαύτῃ συμφορᾷ] subaudi οἵᾳ οἱ Ποτιδαιᾶται διὰ τοὺς Ἀθηναίους περιέπεσον.

ἤδη γεγονέναι· Ποτίδαιαν δὲ Ποτίδαιαν, οἴ μοι; τὴν Δωριέων ἄποικον. τὴν ἐκ Κορίνθου, παντάπασιν ἐκτετρῖφθαι, καὶ ὑπὸ Ἀττικοῦ πολέμου δεδαπανῆσθαι· πολιορκία μὲν ἦν, ἀλλ' Ἕλληνες οἱ κατακεκλεισμένοι. εἰ δὲ μὴ τῦτο[79] βούλεσθε, ἄνθρωποι. ὅταν δὲ τῦτο εἴπω, ἔλεον λέγω, φιλανθρωπίαν λέγω. τὸ δὲ δεινῶς τραφῆναι ἀνθρώπους;[80] ἐῶ τοὺς πολιορκουμένους· ἀλλ' ὑμεῖς εἰ μὲν Σκυθῶν στρατόπεδον ἦτε, ἢ Νομάδων βαρβάρων, ταῦροί τινες, ἢ Μελάγχλαινοι; δίκην θηρίων φερόμενοι, καὶ μήτε θεσμοὺς ἀνθρωπίνυς εἰδότες, μήθ' ὁμονοοῦντες τῇ φύσει· συζῶντες δ' ἀγρίῳ τρόπῳ καὶ βιαίῳ·[81] εἰ μὲν ὄντες τοιοῦτοι, περιέστητε τὴν Ποτίδαιαν, οὐδὲν ἀνήκεστον πέπρακται· ἐσώθησαν μὲν ἤδη καὶ παρὰ Σκυθῶν Ἕλληνες ξένοι καὶ Σκύθαις μὲν αὐτοῖς τοιαῦτα ἐμαρτύρουν δεῖπνα. αὐτοὶ δ' Ἑλληνικὴν παρέθεντο καὶ παρ' ἐκείνοις τράπεζαν· ἀλλ' ὅμως οὐ ζητῶ τὴν Ποτίδαιαν· ἀφίημι πολυπραγμονεῖν τὰς τροφάς· ἔστω ὅμοια πάντα τοῖς περιεστηκόσι ξένα σιτία, τροφαὶ ἐναγεῖς· παραιτεῖται τὴν συμφορὰν τὸ βαρβάρους εἶναι τοὺς ταῦτα βιαζομένους, οἷς οὐδ' ἄλλό τι τῶν καλῶν γνώριμον. εἰ δ' ἡ τῶν Ἀθηναίων πόλις ταῦτα εἴργασται, ἀεὶ σεμνυνομένη πρεσβείᾳ γένους, νόμων θέσεις, θεῶν εὐσέβειαν, αὐτὰς τὰς τροφάς,[82] πῶς ἔστι ταῦτα ἢ τοῖς παθοῦσιν, ἢ τοῖς ἄλλοις ἡμῖν, ἀνεκτά; ποῦ δ' ἐγχωρεῖ τὸν πόλεμον προβαλέσθαι, φιλανθρωπίας μὲν Ἑλληνικῆς ἀναιρουμένης, ἀντεισαγομένων δὲ τοιούτων κακῶν; οὐ γάρ ἐστιν, ὐκ ἔστιν ἀσεβοῦντας, οὐδὲ βιαζομένους τὴν φύσιν, ἀνατιθέναι τῷ πολέμῳ τὸν αὐτῶν τρόπον· οὐδὲ τοῖς ἐχθρῶν[83] νόμοις[84] πρατ-

79 ἂ μηδὲ τῦτο B. num e vulgata et hac lectione conflanda est istaec ἂ δὲ μηδὲ τῦτο? aut illa, ἤ, ἂ μηδὲ τῦτο?

80 f. τὸ δὲ δεινὸν ὕτω τραφῆναι ἀνθρώπυς. aut τὸ δὲ δεινὸν ἀλλήλοις τραφῆναι ἀνθρώπυς.

81 βίᾳ est in B. videtur in libris olim fuisse βίῳ.

82 αὐταῖς ταῖς τροφαῖς B.

83 πολεμίῳ, τὸν αὐτὸν τρόπων. ἀλλὰ τοῖς ἐγχωρίων νόμοις B.

84 f. νόμῳ.

πραττομένοις, τὴν εἰς τοὺς θεοὺς εὐσέβειαν[85] παραγράφεσθαι· τὸ γὰρ πρᾶγμα τοιοῦτόν ἐστι. πάντες οἱ πολεμοῦντες, πρὸς μὲν ἀλλήλους, ἐγκλήματα ἔχουσι, καὶ διαφοράς. οἱ μὲν, ἐπὶ μικροτέροις· οἱ δ' ἐπὶ μείζοσι. τοὺς δ' θεοὺς οὐδὲν οὔτε μικρὸν, οὔτε μεῖζον ἔχουσιν αἰτιᾶσθαι.[86] πρὸς τί δὲ τοῦτο εἶπον; ὅτι δεῖ τοὺς πολεμοῦντας μηδαμῶς τὴν ἀνθρωπίνην ἔχθραν ὑπερβαίνειν· ἀλλ' ἐπὶ μὲν τοὺς ἀντιπάλους, καὶ στρατιώτας τρέφειν, καὶ τριήρεις πληροῦν. ὅπου δὲ ἤδη τὸ πραττόμενον τοῖς θεοῖς διαφέρει, μηκέτι τῷ πολέμῳ καταχρήσασθαι. ἀλλὰ κἂν ἔλαττόν τι μέλλωσιν ἕξειν, ἐνδιδόναι· πολλῷ γὰρ βέλτιον, φείσασθαι τῶν ἐχθρῶν ἐπὶ προφάσει[87] τῶν θεῶν, ἢ διὰ τοὺς ἐχθροὺς εἰς τοὺς θεοὺς ἀσεβῆσαι. οὕτω μὲν τοίνυν ἡ τοῦ πολέμου πρόφασις τούτοις τοῖς λογισμοῖς ἀνήρηται· καὶ γὰρ οὐχ ὑπὲρ Ποτιδαιατῶν, ἀλλ' ὑπὲρ ἀσεβείας[88] ἡ γραφὴ γέγονε. σκεπτέον δ' ἡμῖν τὸ ἐντεῦθεν· εἰ μὴ λόγος ἐστὶν ἄλλως[89] ἡ κατηγορία, δεινὰ δ'[90] οὐχ ἧττον πρὸς τοὺς θεοὺς, ἢ πρὸς ἀνθρώπους, τὰ πεπραγμένα. λέγω τοίνυν ἀντικρὺς μηδένα εἶναι τῶν θεῶν, ὃς οὐκ ἠσέβηται καὶ πεπαρῴνηται. τοιαύτη[91] πολιορκία καὶ πρώτην γε ἁπάντων τὴν φύσιν πρεσβυτάτην καὶ ἰσχυροτάτην δαίμονα σκεψώμεθα. ἡμᾶς γὰρ τοὺς ἀνθρώπους ἐδημιούργησεν ἐπὶ τοῖς καλλίστοις καὶ ἡμερωτάτοις καὶ φιλανθρωποτάτοις ἔργοις· τὰ δ' ἄλλα ζῶα καὶ θηρία, τὰ μὲν δηλητήρια, ἀνέστειλε καὶ ἀπῴκισε, πόῤῥω που πρὸς τὰς ἐρημίας[92] ἀπαγαγοῦσα· τὰ δ' χρήσιμα ἡμῖν ὑπέβαλε· τὰ μὲν συνεργὰ ἔχειν. τὰ δὲ σιτεῖσθαι, καὶ ἀποθανόντα ἐσθίεσθαι. ἄνθρωπον δ' ἀνθρώπου συνεργάτην μὲν εἶναι καὶ βίου κοινωνὸν ἀπέδειξε· τροφὴν δ' οὔ. ταῦτα μὲν ἡ φύσις. Ἀθηναῖοι δὲ, τί. συγκεχύσθαι τὸν νόμον τοῦτον παρεσκευάσαν· τοὺς

αὐτοὺς

85 f. ἀσέβειαν.
86 αἰτιάσασθαι B.
87 τῇ π οφ. b.
88 ἀσεβείας] fic B. εὐσεβείας M.
89 ἀλλ' ὡς m. M.
90 δ'] γὰρ B.
91 τῇ τοιαύτῃ B.
92 καὶ πρὸς ἐρημίας B.

αὐτοὺς εἶναι τοὺς τρέφοντας, τοὺς τρεφομένους, τὰ σιτία, τοὺς σιτουμένους, πάντα αὐτὸν τὸν ἄνθρωπον. καὶ αὕτη μέν ἐςιν ἡ πρώτη θεὸς, ἣν μετὰ Ποτιδαιατῶν ἐξεῖλον ἐκ Ποτιδαίας, ἐξέβαλον ἀντικρὺς, καὶ ὡς πολεμίαν ἐξεπολιόρκησαν.[93] δευτέρα δὲ ἡ Γῆ, ἐφ' ἧς ἐςήκεισαν οἱ μιαροὶ, μήτηρ καὶ αὕτη τȣ̃ τῶν ἀνθρώπων γένους καὶ ȣ̓̃σα καὶ νομιζομένη. αὕτη μέν τοι καὶ δέχεται πρώτη γινομένους ἡμᾶς, καὶ τελευτήσαντας κρύπτει,[94] τὴν ἀκοσμίαν τȣ̃ θανάτου καλύπτουσα εὐσχημόνως. ἀλλ' οἴχεται διὰ τούτους καὶ ἡ τῆς γῆς χάρις. ἐν τοῖς σώμασι κατέθεντο τὰ σώματα· καὶ κενὴ μὲν ἡ γῆ· μεςοὶ δ' οἱ ζῶντες τῶν ἀποθανόντων. τὰς δὲ Δήμητρος χάριτας, καὶ Κόρης, εἰ λέγοιμι, τί πρὸς ταῦτα φήσουσιν οἱ τῆς Δήμητρος ξένοι· ποῦ δὲ ὁ Κελεὸς ὑμῖν;[95] ποῦ δὲ ὁ Τριπτόλεμος; ἀντιθῶμεν τὰς παρ' ὑμῖν ἐκείνων ταῖς παρ' ὑμῶν τροφαῖς. τί οὖν ἔτι βωμοὶ τῶν θεῶν τούτων; τί δὲ, ἑκατόμβαι καὶ τελεταί; οὐ ταῦτα πάντα ἀνήρηται νῦν ἐν Ποτιδαίᾳ; ὧν γὰρ ȣ̓κ ἐτήρησαν τὰς χάριτας, ἐφ' αἷς αἱ τιμαὶ, τούτων οὐδὲ τὰς τιμὰς αὐτάς. ἀλλὰ νὴ Δία οὗτοι τῶν θεῶν ἠσέβηνται.[96] τί δὲ οἱ λοιποὶ θεοὶ καὶ οἱ δαίμονες; γεωργία γεωργοῖς φίλη·[97] ὁ δὲ ταῦτα[98] ἐπιδὼν Ἥλιος· ἡ δὲ λαμπροτάτη τῶν θεῶν Ἡμέρα, καὶ νὺξ μετὰ ταύτην, καιρὸς ὁμιλίαν ἔχων δαιμόνων καὶ θεῶν· ὁ δὲ Ἀπόλλων, οὗ χρήσαντος, τὴν ἀποικίαν ἐςείλαμεν;[99] ἑςίας δὲ τὰς Ποτιδαιατῶν ἀφίημι, καὶ θεοὺς παρ' ἐκείνοις πατρῴȣς καὶ γενεθλίους, παρ' οἷς τις καὶ τȣ̃ γένους ἥψατο. ποῖα μὲν ἀγάλματα ἡμῖν ἐςιν, ἃ μὴ μεμίανται; τίνες δὲ ἄχραντοι βωμοὶ τῶν ἐκεῖ; οὐδ' ὁ παρ' ὑμῖν ἔτι βωμός ἐςιν, ὃν Ἐλέου καλεῖτε· τὸ γὰρ ἔργον ἀπολωλεν-

ἀν

[93] ἐπολιόρκησαν B.

[94] κρύπτει] sic B. κρύπτειν M.

[95] ὑμῖν videtur delendum. ὑμῶν B.

[96] post ἠσέβηνται addit B. ὧν ȣ̓χ ἐτήρησαν χάριτας.

[97] φίλοι B.

[98] ταῦτα] f. πάντα.

[99] ἀπεςείλαμεν B.

ὧν ἂν ἦν, ἱδρύεσθε[100] βωμοὺς ἀπανθρωπίας, ὠμότητος, ἀσεβείας, τῶν δεινοτάτων ἁπάντων. ὡς τά γε ἐπὶ τοῖς χρηστοῖς καὶ φιλανθρώποις ὑπομνήματα, ἀνατέτραπται καὶ παντάπασιν ἐξηφάνισται.[1] πολλὰ δ' ἔχων ἔτι περὶ τῆς ἀσεβείας λέγειν, παραλείπω· τοὺς χθονίους δαίμονας, οἷς οὐδὲν τῶν νομιζομένων ἐγένετο· τὰς ψυχὰς τῶν ἀποθανόντων, μηδενὸς ὧν δεῖ τυχούσας· τοὺς ἐν[2] ἁπάσαις ταῖς πόλεσι θεούς, οἷς οὗτοι μετὰ ταῦτα προσίασιν, ἐναγεῖς γεγονότες· ἣν πλέουσι θάλατταν, ἣ τις οὐδὲ ποτ' ἂν αὐτοὺς ἐκκαθάρειεν· αὐτὸν τὸν Ποσειδῶ, οὗ τὴν λῆξιν μιαίνουσιν. ἀλλ' ὡς μὲν οὐκ[3] ἀσεβῆ καὶ δεινὰ ταῦτα, εἰ καὶ σφόδρα εἰσὶ δεινοὶ λέγειν, οὐκ ἂν ἀντείποιεν· ἴσως δ' αὐτοὺς τοὺς ταλαιπώρους Ποτιδαιάτας αἰτιάσονται· καὶ παρ' ἐκείνους φήσουσιν εἶναι τὰ μιάσματα, τοὺς ἁψαμένους αὐτῶν. τοῦτο γὰρ λοιπόν, τὸ πρὸς οἷς πεπόνθασι, καὶ τὴν αἰτίαν αὐτῶν ἐνέγκασθαι. ἐγὼ δ' ὡς μὲν οὐχὶ κἀκεῖνοι γεγόνασι καὶ εἰσὶν ἐναγεῖς μετὰ τοιαύτας τροφάς, οὐκ ἀντιλέγω. λέγω μέν τοι, τοῦτο αὐτὸ μεῖζονα ἔλεγχον εἶναι τῆς Ἀθηναίων ἀσεβείας. εἰ γὰρ μηδὲ οἱ βιασθέντες εἰσὶ καθαροί, πῶς οἱ καταναγκάσαντες; καὶ εἰ τοὺς ἐλεηθέντας ἂν δικαίως ὑπὸ πάντων ἐφ' οἷς ἠτύχησαν ἀναγκαῖον μισεῖν· πῶς οὐ τούτους πλέον, οἳ κἀκείνους εἰς τὸ μίασμα προσήγαγον; ὥσπερ δέ, οἶμαι, τοῖς μανεῖσι, κἂν τὰ μέγιστα ἐξαμαρτεῖν προαχθῶσιν, οὐκ αὐτοῖς, ἀλλὰ τῇ μανίᾳ τὰς ἁμαρτίας προσφέρομεν·[4] οὕτω μηδὲ τοῖς Ποτιδαιάταις, ἀλλὰ τοῖς αἰτίοις τὴν ἀσέβειαν λογιζόμεθα. παρὰ τούτων γὰρ καὶ διὰ τούτους παρελθοῦσα εἰς τὴν πόλιν ἡ μανία, ἀγνοῆσαί τε ἀλλήλους ἐποίησε, καὶ τὰ δεινὰ ταῦτα ἐξεργάσασθαι. ἢ πῶς ἐδύναντο ἐκεῖνοι σωφρονῆσαι· τίνα δ' ἀποστροφὴν εὑρεῖν τῶν κακῶν, φρουρούμενοι μὲν οὕτως ἀκριβῶς,

[100] ἱδρύεσθε] sic B. (ἱδρύεσθαι M.) [illegible] istæc conficio: ἀπόλωλεν, ἐν ᾧ τῶν ἐναντίων ἱδρύεσθε βωμοὺς, ἀπανθρ.

[1] ἐξήλειπται B.

[2] τοὺς δὲ ἐν B.

[3] οὐκ] sic B. οὐν M.

[4] προφέρ. B.

βῶς, ὁρῶντες δ' ὑμᾶς περιεστηκότας Φιλοπένως τὰς ναῦς ἐφορμούσας, ἄλλους ἐπ' ἄλλοις στρατηγοὺς πλέοντας· οὐδὲν[5] τῶν εἰς σωτηρίαν φερόντων· τὰ ἔνδον πάντα ἐξαναλωμένα. πόθεν οὖν εἶχον τραφῆναι; ἐκ τοῦ οὐρανοῦ; γέλως ταῦτα καὶ χλεύη, πρὸς οἷς ἠτυχήκασιν· ἀλλ' ἐξῆν, φησὶ, παραδοῦναι τὴν πόλιν· καὶ γὰρ τοῦτο ἐροῦσι, σφόδρα γε λόγον λέγοντες, φιλάνθρωπον, ἢ μέτριον. οὑτωσὶ δὲ σκοπεῖτε. Ποτιδαιᾶται μάλιστα μὲν, εἰ καὶ τῆς ἐλευθερίας ἐπεθύμουν πεμφθέντες εἰς Θράκην, οὐδὲν θαυμαστὸν ἦν, ἀλλὰ συγγνώμη πολλή. ἐκεῖνοί τε γὰρ ἀήθεις ὑπακούειν ἑτέρων, οὗτοί τε ὑβρισταί· πάντες δ' οἱ παρὰ τὴν ἀξίαν δουλεύοντες, κἂν ἀποστῶσι,[6] νεωτερίζουσι, κἂν δουλεύοντες ἀνέχωνται· ὅτι γε[7] πρᾶγμα εἰκὸς ἐποίουν, εἰς τὴν ἐξ ἀρχῆς τάξιν αὑτοὺς ἐπανάγοντες, ἡ τοῦ πολέμου πρόφασις μαρτυρεῖ. διὰ τί γὰρ οἱ Λακεδαιμόνιοι πολεμοῦσιν, ἢ μετ' ἐκείνων ἡμεῖς; οὐχ ἵνα οἱ νῦν δεδουλωμένοι τὴν ἐλευθερίαν ἀπολάβωσι; πάντας ἂν, οἶμαι, τοῦθ' ὁμολογῆσαι. μὴ τοίνυν νομίζητε[8] τοὺς μὲν ἔξω τῆς συμφορᾶς ὄντας, καὶ πολεμεῖν, καὶ πᾶν ὁτιοῦν ὑπομένειν, ἵνα οἱ δουλεύοντες τῶν δικαίων τυγχάνωσιν·[9] αὐτοὺς δὲ τοὺς δουλεύοντας οὕτως ἀναισθήτους ὑπάρχειν, ὡς μηδέποτε ἀπαλλαγῆναι βούλεσθαι τῶν κρατούντων· μηδὲ τὰ μὲν ἀργυρώνητα ταῦτα, ἀνδράποδα ὧν τὰ[10] πολλὰ ἐκ Καρίας καὶ Φρυγίας. ὧν τιμὴν καταθέντες ἄγομεν τοὺς Καρίωνας, καὶ τοὺς Ξανθίωνας·[11] οὕτως εἶναι μεγαλοψύχους, ὥστε ἀεὶ τὴν ἐλευθερίαν ὀνειροπολεῖν καὶ εὔχεσθαι· τοὺς δὲ ἐκ μέσης τῆς Ἑλλάδος, τοὺς Κορινθίων παῖδας, τὸ τῶν Βακχιαδῶν γένος, τὸ τῶν Ἡρακλειδῶν, οὕτω ταπει-

νῶς

[5] ἴσ. οὔτινων m. M.

[6] ἀποστῶσι] ſic B. ſiue deficiant ab obſequio, ſiue ſeruitutem tolerent, ſemper nouas res moliuntur; h. e. ad defectionem proni ſunt. ἀπιστῶσι M.

[7] καὶ ὅτι γε B.

[8] νομίζετε B.

[9] τύχωσιν B.

[10] ὧν τὰ] ſic B. ὄντα M.

[11] num Σαννίωνας. nam Xanthias quidem ſeruos noui, non autem Xanthiones.

νῶς πράττειν, ὥστε δουλεύοντας ἀνέχεσθαι. καὶ τίνα ταῦτα λόγον ἔχει; οὔκουν ἐχρῆν αὐτοὺς ἀγνώμονας καὶ πικροὺς τοὺς ἄρχοντας εἶναι, ὥστ' ἐπὶ πᾶν ἐξελθεῖν, εἴ τις ἐπεθύμησεν ὧν ἐξ ἀρχῆς εἶχεν ἀγαθῶν· τὸ γὰρ ἔγκλημα ἦν, οὐ καταστροφὴ τῆς Ἑλλάδος, οὐδ' ἐπιβουλὴ τοῖς μικροτέροις· οὐδ' ὅλως ὕβρις καὶ βία, οὐδ' ἃ νῦν Ἀθηναῖοι πράττουσιν· ἀλλ' ἐλευθερίας ἐπιθυμία, καὶ τὸ τῶν ἴσων μετέχειν· ὑπὲρ ὧν καὶ τοῖς βαρβάροις ἐπολεμοῦμεν. δεῖ δὲ οἶμαι καὶ τοὺς ἡγεμόνας, ἄν γε ὦσι μέτριοι, οὐ τῷ βιάζεσθαι, προσάγεσθαι τοὺς συμμάχους, ἀλλὰ πείθοντας. καὶ πολλῷ βέλτιον, μὴ φρουραῖς[12] φυλάττειν· ἀλλὰ τῷ ταὐτὰ συμφέρειν ἀμφοτέροις. βία μὲν γὰρ ἀπιστίαν· εὔνοια δὲ πίστιν ἐργάζεται. ταῦτα μὲν ἦν, ὦ Ἕλληνες, καὶ πολλῷ πλείω τούτων λέγειν, εἰ, τῆς ἐλευθερίας ἡττηθέντες καὶ καλὴν ἐλπίδα ἐλπίσαντες, καθ' αὐτοὺς ἐπεχείρησαν γενέσθαι· οὐ μὴν γ' ὑπὲρ ταύτης[13] ἐφιλονείκουν· ἀλλ' ἑώρων αὐτοῖς τὸν ἀγῶνα ὑπὲρ ἀνδραποδισμοῦ, καὶ ἀναστάσεως, καὶ πάντων τῶν δεινοτάτων ὑπάρχοντα, καὶ μηδὲν τούτους μέτριον καὶ φιλάνθρωπον μήτε διανοουμένους μήτε πράξοντας. τοὺς γὰρ πρὶν ἀποστῆναι τοιαῦτα ἐπιτάττοντας, οἷον, τὰ τείχη κατασκάπτειν, μεταβάλλειν[14] τὴν πολιτείαν, τί προσδοκᾶν ἔδει πράξειν, ἀποστάντων; οὐκ ἐξανδραποδιεῖν τὴν πόλιν; οὐκ ἀναστήσειν παῖδας καὶ γυναῖκας; οὐκ αὐτοὺς τὴν χώραν καθέξειν; καὶ ὅτι ταῦτ' εὐλόγως ἐφοβοῦντο, αὐτὰ μαρτυρεῖ τὰ πραχθέντα.[15] οὐ γὰρ ἔφθησαν παραδοῦναι τὴν πόλιν, καὶ παραχρῆμα ἐξηλαύνοντο ἄποροι, γυμνοὶ, πάντων ἀποστερηθέντες, πολιτείας, πατρίδος, κτημάτων·[16] οἰκτρὸν τοῖς εὐτυχοῦσι θέαμα πλανώμενοι μετὰ τῶν ὑπολοίπων παίδων καὶ γυναικῶν· οὐδ' ἂν εἷς[17] ἐφίκοιτο τῷ λόγῳ τῶν ἐκείνοις κακῶν[18] καί τοι γε οἱ

12 f. καὶ (τὸ πολλῷ βέλτιον μὴ φρ.

13 οὐ μὴν ὑπὲρ ταῦτά γε B.

14 καὶ μεταβ. B.

15 πραχθέντα πράγματα B.

16 κατὰ χρημάτων B.

17 εἷς] τις B.

18 sic recte post κακῶν abest a B. πολλῶν.

οἱ μηδὲ δυστυχήσαντας αὐτοὺς οὕτως ἐν τῇ πολιορκίᾳ ἐλεήσαντες· τί οὐκ ἂν διέθεσαν, εἴγε εὐτυχοῦντας παρέλαβον; πῶς δ' ἂν ἐφείσαντο τῶν σωμάτων τότε, οἱ μηδ' ὅτε ἐτράφησαν; οὕτως[19] οὐκ ἦν ἱκανὸν ἐξανηλῶσθαι τοσούτους, καὶ τὸ πλεῖστον τοῦ δήμου μέρος ἐν τῷ δήμῳ δεδαπανῆσθαι; οὐκ ἦν ἱκανὸν, θηρίων δίκην τοὺς ἀνθρώπους σεσιτίσθαι;[20] ἀλλ' ἔδει τούτους πρὸς τούτοις τοῖς καλοῖς, καὶ ἄλλα προσνεανιεύσασθαι,[21] φυγὴν, ἀπορίαν, πάντα, ἃ νῦν ὑπομένουσιν. ἆρα ὁρᾶτε καὶ λογίζεσθε ὑπὲρ ὅσων καὶ οἵων ἀντεῖχον οἱ δυστυχεῖς; μεῖζόν τι τῆς τούτων[22] ἀπανθρωπίας; ἀνεκτοτέραν τῆς Ἀθηναίων τυραννίδος τὴν πολιορκίαν ἐπῄνεσαν. ἀλλήλων ἐγεύσαντο· ἐμπλῆσαι γὰρ τὴν τούτων ὠμότητα ἁλόντες, οὐκ ἐδύναντο. ἐδήλωσε δὲ ταῦτα ὁ χρηστὸς δῆμος· οὐ γὰρ ὅπως ἢ τοὺς παθόντας ὧν ἔπαθον ᾤκτειρεν, ἢ τοὺς ταῦτα βιασαμένους στρατηγοὺς κατεμέμψατο· πόθεν, ὅσγε τοὐναντίον ὡς φιλανθρώπων κατέγνωκεν. αἰτίαν ἔχον Αἰτιόδωρος, καὶ Φανόμαχος, καὶ Ξενοφῶν, οὐκ ἐπὶ τοῖς δείπνοις, οὐδ' ἐπὶ ταῖς τραπέζαις· ἀλλ' ὅτι τοὺς λοιποὺς ὑποσπόνδους ἀφῆκαν ἐξελθεῖν· διόπερ οὐδ' ἄγνοιάν ἐστιν αὐτοῖς προφασίζεσθαι τῶν πραχθέντων· ἡ γὰρ μετὰ ταῦτα ἀπανθρωπία, τὸ κἀκεῖνα εἰδέναι μαρτυρεῖ. τί οὖν ἐβούλεσθε; τί δὲ[23] ἔδει χρήσασθαι τοῖς περιττοῖς; ἀναγκάζομαι γὰρ καὶ ὑπὲρ τῶν στρατηγῶν λέγειν. ἀποκρίνασθε, ὦ φιλάνθρωποι. πάλιν εἰς Ποτίδαιαν καθεῖρξαι καθάπερ θηρία, καὶ τοὺς ὑπολειπομένους ἀλλήλοις προσβαλεῖν, καὶ ὅσον ἦν λείψανον[24] τοῦ γένους ἐν αὐτῷ δαπανῆσαι, μηδένα δ' ἐξελ-

19 sic distinguo: οἳ μηδὲ (scil. ἐφείσαντο) ὅτε ἐτράφησαν οὕτως. quos ne sic quidem pastorum commiseratio mouit. tum init interrogatio. οὐκ ἦν ἱκανόν; Num satis non erat? — vsque ad δεδαπανῆσθαι. ibi est anadiplos. οὐκ ἦν ἱκανόν? — M. coni. ἐτράγησαν.

20 σεσιτῆσθαι B.

21 νεανιεύσασθαι B.

22 τούτων] sic recte B. τούτου M. sed videtur hic aliquid deesse.

23 δὲ] γὰρ B.

24 λεῖψανον] sic B. λειψάνων M.

ἐξελθεῖν Ποτιδαίας, μηδὲ τῆς συμφορᾶς ἄγγελον, ἀλλὰ διανείμασθαι πάντας ἑαυτοὺς, ἕως ἂν ὑπολειφθῇ τὰ οἰκοδομήματα; ἢ τοῦτο μὲν οὐχὶ, διασπασθέντας δ᾽ ὑφ᾽ ὑμῶν αὐτῶν καὶ τῶν ὑμετέρων[25] χειρῶν ἀπολέσθαι. ἐμοὶ μὲν γὰρ δοκεῖτε κἂν αὐτοὶ γεύσασθαι τῶν σωμάτων ἡδέως· καὶ τοῦτο ἂν ἴσως ἐνέπλησεν ὑμᾶς μόνον. ὡς τάγε νῦν ταῦτα, μικρὰ ἦν, δῆμος ἐν ἑαυτῷ τρεφόμενος καὶ πάντα αὐτὸς αὑτῷ[26] οἱ σιτούμενοι, τὰ σιτούμενα· οἱ πεινῶντες, αἱ ἑστιάσεις· πρὸς ταῖς τραπέζαις τὰ σιτία· ἕκαστος πρὸς ταῖς τραπέζαις τροφὴν αἰτῶν καὶ διδόμενος, νεῖμον[27] κἀμοὶ λέγων, ὧν ἡ νομή· τοιαῦτα γὰρ τῶν ἐν Ποτιδαίᾳ δείπνων τὰ αἰτήματα.[28] ἑαυτοὺς οἱ δυστυχεῖς διεδέχοντο. καὶ, ὥσπερ ἐν ταῖς τῶν ἐράνων εἰσφοραῖς ἔρανον ἐποιοῦντο τῶν σωμάτων, κόπτοντες αὐτὰ καὶ διαιροῦντες· ὁ παρατυχὼν τρέφων τὸν φθάσαντα· εἶτ᾽ ἄλλον ὁ τραφείς· εἶτ᾽ ἐκεῖνος ἕτερον. ἐγκύκλιόν τινα ταύτην εὐωχίαν περιάγοντες, ἕως οἱ πλείους ὑπεδέξαντο ἀλλήλους. οἱ δὲ τὰ δεῖπνα ταῦτα σκευάσαντες καὶ παραθέντες, εἰσὶν οὗτοι, καὶ τὸ τούτων στρατόπεδον. οἱ γὰρ τὰς ἔξωθεν τροφὰς ἐμποδίζοντες τοῖς ἔνδον εἰσιέναι, οὗτοι καὶ δι᾽ ἀλλήλων ἠνάγκαζον χρήσασθαι ταῖς τροφαῖς· τοιούτων ἔτυχεν ἑστιατόρων Ποτίδαια. ἡμεῖς δ᾽ ἠλεοῦμεν κατακληρουχηθεῖσαν Εὔβοιαν, καὶ τὴν Σαμίων φυγήν· καὶ τῶν νήσων τὰς βεβιασμένας· αὐτοὶ[29] δὲ λοιπὸν ἤδη διαιροῦσι καὶ διανέμουσι τὰ σώματα. καὶ τὰς μὲν ἀνθρώπων τροφὰς, ἐκ τῶν πόλεων ἐξορίζουσιν· ἀντεισάγουσι δὲ δεῖπνα ἐναγῆ καὶ τοὺς Ἕλληνας ἀναλοῦσθαι[30] περὶ αὐτοὺς βιάζονται· ἐτράφη πόλις, ὦ Δήμητερ, ἄνευ τροφῶν· καὶ σιτία ἄνευ σιτίων εὑρέθη·[31] καὶ ἱερεῖα ἐτύθη, ἱερείων μὴ παρεστώτων.[32] ποία γὰρ ἦν ἔνδον ἀγέλη; τίς προβατεία;

[25] ἡμῶν αὐ. καὶ ἡμετ. m. M.
[26] αὐτῶν B.
[27] νείμων B.
[28] αἰνίγματα B.
[29] οὗτοι B. malim οὗτοι δὲ Athenienses puta.
[30] ἀνηλῶσθαι B.
[31] ἐτράφη B.
[32] παρεστηκότων B.

τεία; μόνους εἶχον ἀλλήλους οἱ δυστυχεῖς. ὡς βελτίους ἂν ἦτε, κενὴν τῶν ἀνδρῶν πρότερον, ἢ τῶν τροφῶν τὴν πόλιν ποιήσαντες· νῦν δὲ αἱ μὲν οὐκ ἦσαν· οἱ δὲ ἀλλήλοις περιέπιπτον· καὶ ζητοῦντες σωτηρίαν, ἀπώλλυντο· τὸ γὰρ ἴαμα τοῦ λιμοῦ τοιοῦτον ἦν· ἡ συμφορά.[33] καὶ ταῦτα ἔπασχον, ἐγγὺς ὄντων Ἀθηναίων, καὶ τρυφώντων· πόσαι μὲν οὖν εἰσέπλεον τούτοις[34] τροφῶν ὁλκάδες; πόσα δὲ ἱερεῖα ἐκ τῆς Θράκης συνηλαύνετο; αὐτὴν τὴν ἐκείνων[35] Παλλήνην καὶ γῆν ἐκαρποῦντο. οἱ δ' ἔνδον ἀπέθνησκον, οὐδενὶ κόσμῳ δαπανώμενοι· μερίζοντες, καὶ μεριζόμενοι· θεοὺς οἶμαι καλοῦντες, Δήμητραν αὐτὴν καὶ Κόρην, Ἐλευσῖνα καὶ Κελέον, καὶ Ἴακχον, καὶ μυστήρια. ἀλλ' οὐκ ἠλέουν οἱ μυσταγωγοί. εἶθ' ὑμεῖς ἔτι πυρῶν καὶ κριθῶν μνημονεύετε· καὶ τὴν προηροσίαν ὑπὲρ τῆς Ἑλλάδος θύετε. γεωργίαν ἀνθρώπων ἔχοντες, καὶ τὴν γῆν, ὡς ἂν εἴποι τις, ἐκτρίψαντες αὐτήν; ἰδοὺ γὰρ παραβάλλομεν[36] τῇ Δήμητρι τὴν Ποτίδαιαν· τῷ Τριπτολέμῳ τὴν πολιορκίαν. οὐκ αὖθις ἡμῖν ἄκαρπος ἡ γῆ δοκεῖ γεγονέναι; οὐ πάλιν ὁ πρὸ Δήμητρος εἶναι βίος; καί τοι καὶ πρὸ Δήμητρος αἱ γεωργίαι μὲν οὐκ ἦσαν· οὐδὲ ἄροτοι· αὐτοφυτοι δὲ βοτάναι καὶ πόαι· καὶ πολλὰ εἶχεν εἰς σωτηρίαν ἀνθρώπων αὐτοσχέδια ἄνθη ἡ γῆ· ὠδίνουσα καὶ κύουσα πρὸ τῶν ἡμέρων τὰ ἄγρια. ἐπλανῶντο μὲν, ἀλλ' οὐκ ἐπ' ἀλλήλους· ἄλση καὶ ὄρη περιῄεσαν, ζητοῦντες αὐτόματον τροφήν. καὶ τὴν ἐρημίαν οὐκ εἶχον αἰτιάσασθαι· οὐδ' ἐνομοθέτησέ τι τοιοῦτον αὐτοῖς ἐκείνη· ἀλλὰ τὰ ἄγρια φύουσα, ἥμερον ζῶον τὸν ἄνθρωπον εἶχε· καὶ ἀμίαντός τε ἦν αὐτὴ, κἀκείνους καθαροὺς ὄντας ἔτρεφε. ταῦτα μὲν, ὅτε οὔτε πόλεις ἦσαν, οὐθ' ἡ παροῦσα αὕτη διακόσμησις καὶ οἰκονομία τοῦ βίου. νῦν δ' ὅτε ἤδη πάντα διατέτακται·[37] καὶ μεστὴ μὲν ἄρας ποικίλης ἡ γῆ·

[33] recte absunt a Bau. ἡ συμφορά.

[34] post τούτοις videtur γέμουσαι deesse.

[35] σχολ. Ποτίδαια ἡ Κασάνδρεια· Παλλήνη δὲ ἡ ὅλη νῆσος.

[36] παραβάλωμεν B.

[37] τέτακται B.

γῆ· φυτεῖαι δὲ καὶ ἄροτοι, πεδίων τε καὶ ὀρέων, γεωργοῦσι δ' ἐκ ἄνθρωποι μόνον, ἀλλὰ καὶ ζῶα, ὅσα ἐζευξάμεθα εἰς κοινωνίαν τῶν πόνων· ὥστε μήδ' ἡ πολλὴ τῆς ἀλόγου φύσεως ἄγριος καὶ θηριώδης τότε ἡμῖν αὐτοῖς θηριώδη βίον Ἀθηναῖοι νομοθετοῦσι. καὶ τὰ μὲν τρόφιμα τῆς ἐρημίας, τῶν ὁμοφύλων συνίησι· καὶ ἀσφαλῶς λέοντες μὲν λέουσι, λύκοι δὲ λύκοις συναγελάζονται· οἱ δὲ Ποτίδαιαν οἰκοῦντες ἄνθρωποι, ταύτην ἐκ ἔχον ὁμοίαν[38] τὴν ἀσφάλειαν· ἀλλὰ διέσπων καὶ διεσπάραττον ἀλλήλους, προτιθέντων αὐτοῖς τὴν δίαιταν ταύτην Εὐμολπιδῶν, καὶ κηρύκων τῶν ἀπὸ τῆς Ἐλευσῖνος, οὐ καθαροῖς ἥκειν τὰς χεῖρας τοῖς μύσταις προαγορεύουσιν.[39] αὐτοῖς ἤδη τὸ κήρυγμα τοῦτο κηρύττεται· ὅστις τὰς χεῖρας μὴ καθαρὸς Ἀθηναίων, λέγε· ὅστις σφῶν[40] ἀξύνετος· τίνες τούτων[41] μᾶλλον βάρβαροι; μή μοι τοὺς μυησομένους δοκίμαζε· ἀλλὰ τοὺς μυήσοντας,[42] εἴτε καὶ μυήσουσιν ἐπὶ τοιαύταις[43] τροφαῖς. ἀναγνώτω τὶς τὸ κατὰ Μεγαρέων πινάκιον· εἰργέσθωσαν Μεγαρεῖς λιμένων Ἀττικῶν, καὶ γῆς. εἶτα ἡ αἰτία προσγέγραπται· ὅτι τῆς ἱερᾶς χώρας ὀλίγον ἐπεξῆλθον μέρος, καὶ ἐπειργάσαντο. εἶτα, ὦ πρὸς αὐτῆς τῆς Ἐλευσῖνος, ἐ πάσης αὐτοὶ γῆς[44] καὶ θαλάττης ὑπεροριωθῆναι δίκαιοι; οὐχ' ὅπου μήτε πόλεις· μήτε

[38] fort. ἐκ ἔχον, ἐδ' ὁμοίαν. m. M. dat ἴσ. ταύτῃ ἐκ.

[39] προσαγορεύοντες B.

[40] σφῶν] ἐφ' ὧν B. num leg. ὅςις Ἑλλήνων ἀξύνετος. initiandi enim interrogabantur, num Graeci essent. barbari omnes excludebantur. Sed sic interpunge. ὅςις τὰς χεῖρας μὴ καθαρός. haec sunt verba iuris sacri Eumolpidarum, quod initiator initiandis praelegebat. huc ne accedito, cuicunque manus cruore pollutae sunt. hic subiicit orator, tu quisquis es sacerdos, adde Ἀθηναίων. quisquis Atheniensium — scil. purus non est quoad manus. pergit epopta: *huc ne accedito quicunque Graecos loquentes non intelligit*. Subiicit orator. Ecquis tandem magis erit barbarus τέτων quam hi Athenienses sunt?

[41] τέτων] sic B. αὐτῶν M.

[42] μυήσαντας B.

[43] ταῖς τοιαύταις B.

[44] τῆς γῆς B.

μήτε ἄνθρωποι; ἐ γῆν ἱερὰν, ἀλλὰ φύσιν ἀνθρωπίνην ὑπερβάντες, καὶ τῦτο δὴ τὸ δεινότατον ἔργον ἐξειργασμένοι. ᾐτιᾶσθε τοὺς Μεγαρέας, ὡς ἐκ εὐσεβῶς ἐκ τῆς Ἐλευσῖνος τρεφομένες. πῶς ἂν ὑμεῖς Ποτίδαιαν ἐθρέψατε; ὁσίως; εὐσεβῶς; εἶτα ἐκ εἰρωνεύεσθαι μετὰ τῶν ἄλλων καὶ τὰ πρὸς τοὺς θεοὺς ὑμῖν δοκοῦσιν; ἀλλὰ καὶ κλαῦσαί ποτε Μίλητον ἔτοι λέγουσι, καὶ τὴν ἐπὶ τῇ πολιορκίᾳ τραγῳδίαν ἐκβαλεῖν. τί τοιοῦτον ἢ Δαρεῖος ἐτόλμησεν, ἢ Φρύνιχος ἐδίδαξεν. ἅλωσις ἦν Μιλήτου, καὶ ὁ πόλεμος καὶ τὸ δρᾶμα· καθαροὶ δὲ ἑάλωσαν ἐκεῖνοι, ἔχοντες ἀποδεῖξαι τοὺς τῶν ἀποθανόντων τάφες. νῦν ἔδει κλαῦσαι, νῦν ἐλεῆσαι Ποτίδαιαν· τῦτο μὴ ποιῆσαι τὸ δρᾶμα. οἰκτρὸν ἦν καὶ τὸ εἰς Σοῦσα καὶ Βάκτρα τὰς νήσους ἀναστῆναι· ἀλλὰ κἀκείνες ὡς ἀνθρώπες οἱ σαγηνεύσαντες ἀπήγαγον· καὶ νέμονται μὲν τὴν βάρβαρον ἀλλὰ[45] γῆν· οἱ δ' ἐν Ποτιδαίᾳ, ἔτι τὴν πατρίδα ἔχοντες,[46] ἔνδον ὄντες, ἐπενείμαντο ἑαυτοὺς οἱ ταλαίπωροι. ποῖος πόλεμος ἄλλος ταῦτα ἤνεγκε;[47] ποία πολιορκία; βάρβαρος μῦθος ἦν τὰ Κυκλώπων· τῶν ποιητῶν κόμπος, τὰ Λαιστρυγόνων· οὐδὲ Καμβύσης εἰς τοσοῦτον ἢ κἀκεῖνον ἐξ Αἰθιόπων ἐπανήγαγεν ἀρχόμενον[47] τοιῦτον κακὸν[48] μίαν πιστεύω γενέσθαι τοιαύτην τράπεζαν. κἀκείνην ἐν Θρᾴκῃ· κἀκείνην παρ' ὑμῶν· καὶ τὸ ἔργον τὸ περὶ τὸν Ἴτυν, ἀληθῶς γυναῖκες ἔδρασαν Ἀττικαί·[49] καλῶς ἄρα οἱ τραγῳδοὶ

[45] ἀλλὰ] sic recte B. inhabitant solum barbaricum quidem, at solum tamen. ἄλλοι M.

[46] ἔχοντες] sic B. σχόντες M.

[47] f. ἦκεν. ἐκεῖνον γὰρ ἐξ Αἰθιόπων ἐπανήγαγεν ἀρχόμενον τοιῦτον κακόν. ne Cambyses quidem ad hoc immanitatis excessit. illum enim ex Aethiopia (in Aegyptum) reduxit incipiens hoc malum. Id est necessitas aut fame pereuntes videndi copias, aut carnibus humanis alendi, coegit eum, incipiens modo, neque late progressa, reverti. Mor. coniστρατὸν ἀρχόμενον.

[48] τοιῦτον κακὸν] sic B. τοιέτων κακῶν M.

[49] αἱ γυναῖκες ἔδρ. αἱ Ἀττ. B.

δοὶ ταῦτα ἐδίδασκον, τὸν Τηρέα, τὴν Πρόκνην· οὐχ ἵνα φυλάττοισθε, ἀλλ' ἵν' ἔχητε[50] μιμεῖσθαι· ἀλλ' ὑμεῖς ἐπενεανιεύσασθε, πόλιν ὅλην, καὶ ταῦτα Ἑλλήνων, ὡς τὸν Θρᾷκα ἐκεῖναι, δειπνίσαντες. πόσων δραμάτων ταῦτα[51] ἱστορίαι; τίνες ἀρκέσουσι τραγῳδίαι τῷ πάθει; πόσαι σκηναὶ Ποτίδαια; καὶ ταῦθ' ὑμεῖς εἰδότες[52] οὐκ ἐξηρπάσατε τοὺς ἀνθρώπους· οὐκ ἀπεσπάσατε ἀλλήλων. ἀλλ' ἄλλοι μὲν ἤδη καὶ κύνας, καὶ ὄρνιθας, νεκρῶν ἀπεσόβησαν, ὁλόκληρα τὰ σώματα τοῖς τάφοις φυλάττοντες· ὑμεῖς δὲ τοῖς κειμένοις τοὺς ἀνθρώπους ἐπεβάλλετε. οὐ γὰρ Ποτιδαιατῶν τὸ ἔργον· οὐδὲ οἱ δασάμενοι[53] τὰς τροφὰς ἐπενόησαν· ἀλλ' ἡ τούτων ἀπόνοια καὶ ἡ τυραννὶς, τοὺς ἀνθρώπους τοῖς ἀνθρώποις ἔθηξεν.[54] ἐγένοντο δὲ[55] καὶ ἄλλαι τυραννίδες ὠμαὶ καὶ πικραὶ, Ἔχετοι καὶ Φαλάριδες, ἄνθρωποι περικόπτοντες καὶ ἀκρωτηριάζοντες, εἴ τινας ἄρα βούλοιντο κολάσαι. ἀλλ' οὐδ'[56] ἐκεῖνοι τοιαύτας ἑστιάσεις εἱστίων,[57] οὔτε τὸν θεσμὸν τῶν τροφῶν ὑπερέβαινον· ἀλλὰ κύνες μὲν ἴσως ἐγεύοντο τῶν ἀκρωτηρίων· ἀνθρώπων δὲ οὐδεὶς οὐδὲ λόγῳ τὸ δεινὸν ἠπίστατο. κἀκεῖνοι μὲν ὀλίγοις, κακούργοις ἴσως, τὰς λύμας προσῆγον· Ἀθηναῖοι δὲ, ὅλας πόλεις ἀκρωτηριάζουσιν· οὐ μέρη σωμάτων περικόπτοντες· οὐδὲ ζῶσιν ἔτι λυμαινόμενοι· ἀλλὰ καὶ μετὰ θάνατον ὅτ' ἤδη τῆς γῆς ἐστιν ὁ κείμενος, προσῆλθέ τις, οὐχ ὡς πενθήσων, οὐδ' ὡς θάψων[58] τὸν ἀποθανόντα· ἀλλ' ἐβούλετο μὲν ταῦτα ὁ δυστυχής·[59] ὁ λιμὸς δ' ἄλλα ἐδίδασκε, μὴ κατορύττειν· μηδ' εἰς γῆν φέρειν.

[50] ἔχοιτε B.

[51] καὶ ταῦτα B.

[52] hic lacuna est in Bau.

[53] δασάμενοι] sic B. δαισάμενοι M.

[54] f. ἐφῆκεν, *immisit*. B. dat ἔδερξεν.

[55] pro δὲ dat B. γάρ. malim μέν.

[56] malim οὔτ' ἐκεῖνοι, ob insequens οὔτε.

[57] malim εἱστιῶντο epulabantur, ipsi pascebantur eiusmodi dapibus. B. dat σιτίων οὐδέ.

[58] θάψων] sic B. θάψαι M. si seruabitur, erit non infinitiuus, sed optatiuus.

[59] ὁ δυστυχὴς] sic B. ὁ deest M.

φέρειν. ἀλλ' εἰς αὐτόν· καὶ τὰ μὲν σώματα, ἠφανίζετο· τάφος δ' οὐδεὶς ἐχώσθη· καὶ ἐδάκρυον μὲν ὡς ἐλεοῦντες· εὐωχία δ' ἦν αὐτοῖς τὰ δάκρυα. οὐδὲν δ' ἄλλων ἔδει περὶ δεῖπνον· πάντα γὰρ ἓν ἦν, ὁ τάφος, τὸ δεῖπνον· ἐν ταῖς τροφαῖς τὰ νομιζόμενα· ἀνέστραπτο δὲ ὁσία πᾶσα ἐν τῷ κακῷ. οἱ μὲν γὰρ ἄλλοι τοῖς ἀποθανοῦσιν, ἀπαρχὰς τῶν ὡραίων ἐπιφέρουσιν, ἐναγίζοντές[60] τε ἀφ' ὧν ἔχουσι, καὶ ἱερὰ ἐπικατακαίουσιν· οἱ δὲ, αὐτά τε τὰ σώματα ὥσπερ ὡραῖα εἶδον,[61] καὶ ἑαυτῶν ἱερεῖα. οὕτως ὁ ταλαίπωρος Ποτιδαιατῶν δῆμος κατατέθαπται.[62] πόλεις δ' ἄλλαι λέγονται, αἱ μὲν κατακλυσμοῖς· αἱ δὲ βίαις θαλάττης ἀφανισθῆναι· καὶ ὄρη δὲ ποιηταὶ δήμοις ἐπαφῆκαν· ἀλλ' οὗτοι πάντες εἰσὶ μῦθοι· καθαροὶ δὲ, καὶ τὰ σώματα ὁσίως κέκρυπται. ὤφελε[63] τοιαύτης γενέσθαι καὶ ἡ Ποτίδαια συμφορᾶς. νῦν δ' οὐδὲν μέρος ἔχει τοὺς ἀποθανόντας· οὐ θάλαττα· οὐ γῆ. ἀλλὰ, τοῦτο δὴ τὸ δεινότατον, ἐπὶ γῆς[64] πεσόντες, οὐκ εἰσὶν ἐν γῇ. οὐδ' ἡ δεξαμένη πόλις τὰ σώματα κατέσχεν· ἀλλὰ πάντα ἀναμέμικται, οἱ ζῶντες, οἱ τελευτήσαντες. τίνας οὖν ἀθλιωτέρους εἴποι τις, τοὺς ἀναλωθέντας, ἢ τοὺς ἀναλώσαντας. ποίους τῶν παίδων ὀδυρώμεθα, τοὺς τραφέντας, ἢ τὰς τροφάς; τῶν μὲν τὴν ἀπώλειαν ἐλεοῦμεν· τῶν δὲ τὴν σωτηρίαν· οἱ μὲν, οὐκ εἰσὶν οὐδαμοῦ· οἱ δὲ, οὐδαμοῦ στῆναι δύνανται· τίς γὰρ ἂν ὑποδέξαιτο ἰδιώτης ἢ πόλις τοὺς τοιούτων μιασμάτων μεστούς; τίς δ' ἂν ἄλλων καὶ τραπέζης κοινωνήσειε μετὰ τὰς Ἀθηναίων τραπέζας; ἐμοὶ μὲν γὰρ οὐδ' ἂν θάψαι τις δοκῇ μηδένα, εἰδὼς ἐν τῇ Ποτιδαίᾳ τραφέντα. καὶ ταῦτα πάσχουσιν οἱ δυστυχεῖς, ἀδικήσαντες μὲν οὐδέν· τὰς δὲ τούτων παρανομίας καὶ βίας ὑπομένοντες. ἐπεὶ, πό-

σα

60 ἐναγίζοντες] sic dedi. ἀναγίζοντες B. ἐρανίζοντες M.

61 ἦδον repeto ab ἔδω, edo, comedo.

62 κατέθαπται B.

63 ὤφειλε B.

64 τῆς γῆς B.

σα πρὸ ταύτης τῆς συμφορᾶς αὐτοὺς μηχανήσασθαι πυνθανόμεθα; πόσα δὲ τῶν εἰς σωτηρίαν εὑρεῖν ἂν ἐρήμους βιαίως, παρατηρῦντας εἴ πως ἄρα ἐκπλεῦσαι λάθοιεν· ναυαγίαν γὰρ μᾶλλον, ἢ πολιορκίαν ἐβόλοντο· τὰ σιτία ὐ μέχρι τῆς χρείας· ἀλλ᾽ ὥστε ἀποζῆν διαμετροῦντας· διερευνωμένους τοὺς πολλοὺς τὰς τῶν δυνατωτέρων οἰκίας, εἴ τῳ τι πλέον ἦν, ἰσομοιρίαν τούτου ποιοῦντας· τὰ γὰρ ἴδια ἑκάστου[65] συμφερόντως οὕτω διῃροῦντο. τότε μὲν οὖν καλῶς ἔτρεφον ἀλλήλους. ἐπεὶ δὲ[66] ἅπαντα ἤδη κατεδήδοτο.[67] τὰ ἴδια, τὰ δημόσια, καὶ ἦν οὐ σῖτος, ὐχ ἱερεῖα.[68] ἀλλὰ σαφῶς ἐξανάλωτο, οὐ τὰ θύσιμα μόνον, ἀλλὰ καὶ ὅσα ἄθυτα· πᾶν γὰρ τὸ ἔμψυχον ἐκτείνετο, καὶ ὅ, τι ζῶον παραφανείη, τῦτο ἦν αὐτοῖς ἀποστροφὴ τῦ κακοῦ· καὶ ἔλεον μέν τινα καὶ ταῦτα εἶχε, καὶ πολλοὶ τῶν γευσαμένων, ὡς ἐπ᾽ ἀνθρώποις ὠλοφύροντο. ἐτολμήθη γοῦν ταῦτα πρῶτον·[69] ἀλλ᾽ ἐπεὶ πάντων ἐπίλειψις ἦν, καὶ ὁ λιμὸς εἶχεν αὐτοὺς μόνος· σωτηρία δ᾽ ὐκ ἦν οὔτε παρὰ τούτων, οὔτε ἔνδον· ἀλλ᾽ οἱ μὲν προσήδρευον, οἱ δὲ ἠπόρουν, πολλοὶ δ᾽ ἀποψύχοντες, εἰς γῆν ἔπιπτον, τότε[70] δὴ καὶ ταύταις ταῖς τροφαῖς ἐπετίθεντο· οἱ μὲν ἐπὶ τοὺς κειμένους ὡς ἑτοίμυς τρεπόμενοι· οἱ δ᾽ ὅπως δύναιντο λοιπὸν ἐπιχειροῦντες ἀλλήλοις, οἱ μᾶλλόν τι δυνάμεως ἔχοντες, τοῖς ἀσθενεστέροις· καὶ εἴ τινα πρῶτον ὁ λιμὸς παροξύνειεν, οὗτος ἐτόλμα τὴν τροφήν. καὶ ὁ προλαβών,[71] τὸν μέλλοντα εἶχεν·[72] αὐτοκράτωρ γὰρ ὖσα ἡ συμφορὰ, πρὸς τὴν ἀπόνοιαν ἤγειρε. καὶ ὐκ ἦν ἄλις τῦ κακοῦ· ὐδ᾽ ἔλιπον[73] ἀλλήλους. πᾶν γὰρ τὸ σωζόμενον καὶ διαφεῦγον, τῷ αὐτῷ κατελείπετο.[74] καὶ οἱ τραφέντες, ἐπὶ τῷ θρέ-

[65] malim ἕκαστοι.

[66] ἐπειδὴ δὲ B.

[67] ἐδήδοτο B.

[68] ἱερεῖον B.

[69] πρῶτον] malim πρὸ τῦ, vel ταῦτα καὶ πρότερον, vel ταῦτα ὐ τότε πρῶτον. non tunc primum.

[70] γῆν ἔπιπτον, τότε] sic B. recte, aut pro ἦσαν (M. dat γῆν πίπτοντες ἦσαν, τότε) leg. est ὤφθησαν.

[71] λαβὼν B.

[72] εἶχεν] aut εἷλεν *necauit* aut ἦδεν *comedit*.

[73] ἐπέλειπον B.

[74] f. τῷ αὐτῷ ὀλέθρῳ κατελείπετο.

θρέψαι[75] προελάμβανον τὴν χάριν· καὶ σιτούμενός τις, αὐτὸν ὠδύρετο. διάγνωσις δ᾽ οὐκ ἦν, οὐκ ἀλλοτρίων, οὐ[76] φίλων· ἀλλ᾽ ὅς τις οἰκειότατος[77] προσέλθοι τῷ πλησίον, ἐγγύθεν μᾶλλον ἡλίσκετο· ὁ πατὴρ, τῷ παιδί· ὁ παῖς, τῷ πατρί· καὶ ἀδελφοὶ δ᾽ ἐνέμοντο φεύγοντες μητέρων·[78] οἷα ἔθρεψαν, καὶ οἷα ἐτράφησαν. πόσαι μὲν ὀλοφύρσεις ἐγένοντο. πόσα δ᾽ ἐπιφημίσματα τὴν ἀνάγκην ποτνιωμένων, προτεινομένων, πενθούντων τὰ δεῖπνα, ὧν ἤκουον οὗτοι παρακαθήμενοι τῷ πάθει, καὶ ὁ καπνὸς ὑπὲρ τὰ τείχη φερόμενος Ἀθηναίοις ἐνετύγχανε. πλησίον δὲ αἱ τούτων τράπεζαι τῶν ἔνδον τραπεζῶν. τὸ δ᾽ ἐνθεῦθεν ὁμωρόφιοι[79] τοῖς ὑπολειφθεῖσιν ἐγένοντο. παρῆλθον εἰς Ποτίδαιαν μετὰ τὰ δεῖπνα· μᾶλλον δ᾽ ἔτι σιτουμένους κατέλαβον. περιῆλθον ἐν κύκλῳ τὴν πόλιν, ἀκριβῶς ἀναπυνθανόμενοι, πόσοι μὲν οἱ δαπανήσαντες, πόσοι δ᾽ οἱ δαπανηθέντες ἦσαν, μὴ φαύλους[80] μηδ᾽ ὀλίγους εἱστίασαν; εἶτα ἐπὶ τούτοις, αἱ σπονδαί· ἐπὶ καλοῖς γε τοῖς ἱερείοις, καὶ οἱ μὲν ἐξεπέμποντο· οἱ δ᾽ ἔνδον ἦσαν, θύοντες ὡς ἐπὶ νίκῃ, εὐωχούμενοι μετὰ τὰς ἐκείνων εὐωχίας· παρατιθέμενοι τὰς αὐτὰς τραπέζας. καὶ νῦν, οἱ μὲν ἐξελήλανται καὶ πλανῶνται, ἄλλος ἀλλαχοῦ διεσπαρμένοι· οὗτοι δ᾽ ἐποίκους πέμπειν διανοοῦνται, καὶ ἔχειν δι᾽ ἑαυτῶν τὴν πόλιν. τοῦτο μὲν ὀρθῶς ποιοῦντες· ἀξία γὰρ Ἀθηναίων ἡ νῦν Ποτίδαια.

75 malim θρέψειν in futuro; praecipiebant hoc beneficium (vt scil. ab aliis alerentur) ea lege, vt rursus ipsi quoque postmodum alios alerent.

76 οὐδὲ B.

77 οἰκειότατοι B. aut οἰκειοτάτως leg. aut οἰκειότατα.

78 f. ἐνέμοντο ἀλλήλων. φευ τῶν μητέρων. M. coni. ἴσ. διενέμοντο φευ. ἀπὸ μητ. et B. dat καὶ φευγόντων μητ.

79 ἐντεῦθεν ὡμωρόφοις B.

80 φαύλως B.

ΜΕΛΕΤΗ ΠΡΑΓΜΑΤΙΚΗ.

ΘΕΩΡΙΑ.

Μετὰ τὰ ἐν Σαλαμῖνι, ἀναλαμβάνειν ἀξιοῖ Νεοκλῆς τὸν Θεμιστοκλέα· ὁ δὲ ἀντιλέγει.

Ο ΝΕΟΚΛΗΣ.

ΑΝΔΡΕΣ δικασταὶ, ἀποδίδωσί μοι τὰ κατωρθωμένα τὸν υἱόν· καὶ πάλιν βούλομαι ψήφῳ καλεῖσθαι Θεμιστοκλέους πατήρ. καὶ βραχέος μὲν ᾤμην δεήσειν μοι πρὸς τοῦτο λόγου· καὶ τοσοῦτον μόνον, ὅτι τὸν παῖδα πρὸς τὸν κλῆρον εἰσάγω. ἐπεὶ δὲ φεύγει με Θεμιστοκλῆς, καὶ τὴν περὶ ταῦτα χάριν οὔτε λαβεῖν, οὔτε δοῦναι βούλεται, καθάπερ ἠδικημένος τι παρ᾽ ἡμῶν· ἐὰν ἐπιδείξω αὐτὸν τὰ μέγιστα δι᾽ αὐτῶν, ὧν ἠδικῆσθαι νομίζει, κεκερδακότα, ὑμεῖς ἡμῖν ἀμφοτέροις, ὦ ἄνδρες δικασταὶ, βοηθήσατε. τούτῳ μὲν, τὸ μηκέτ᾽ ἔξω τῶν πατρῴων εἶναι παρέχοντες· ἐμοὶ δὲ, τὸ τούτῳ συνοικεῖν. ἐνόμιζον μὲν οὖν, ὦ ἄνδρες δικασταὶ, τοῦ Μήδου πεφευγότος, αὐτόν μοι προσελθόντα Θεμιστοκλέα, καὶ τὴν δεξιὰν συμβαλόντα, μεμνῆσθαί τε τῆς οἰκίας, καὶ ταῦτα ἀξιώσειν ἔχειν, ἐφ᾽ ἃ καλεῖται νῦν παρ᾽ ἡμῶν. καὶ γὰρ εἰ πολλὰ καὶ μεγάλα αὐτῷ καὶ κρείττονα ἐλπίδος τὰ πεπραγμένα, ἀλλ᾽ οὐδὲν αὐτὸν τῶν πάντων ἡγούμην ἀποστήσειν τῆς πρὸς τὸν οἶκον τὸν πατρῷον εὐνοίας. ἐπειδὴ δὲ, αὐτοῦ μου προσιόντος, καὶ δεομένου τῶν ἐμῶν εἶναι δεσπότην, οὐ προσδέχεται τοὺς λόγους, ἀλλ᾽ ἀποπηδᾷ καὶ καταφρονεῖ τὰς δεήσεις καὶ ἀτιμάζει, πεισθήτω παρ᾽ ὑμῶν εἶξαι καὶ συγχωρῆσαι τῷ πατρί· καὶ μὴ διαβαλλέτω τὴν ἐκ

τοῦ

τοῦ πολέμου λαμπρότητα τῇ πρὸς ἐμὲ χαλεπότητι. τῇ μὲν οὖν δόξῃ καὶ τῇ δεινότητι χαίρω Θεμιστοκλέους. τί γὰρ ἂν ἥδιον γένοιτο πατρὶ τοῦ τηλικαῦτα μὲν αὐτῷ δεδυνῆσθαι τὸν υἱὸν, ἐπαίνων δὲ πανταχοῦ τῆς οἰκουμένης τυγχάνειν· αὐτὰ δὲ ταῦτα, οἷς εὐφραίνομαι, μεγάλα μοι πρὸς τὴν παροῦσαν σπουδὴν ἐναντιώματα γίγνεται· δέος γάρ ἐστιν, ὦ ἄνδρες δικασταὶ, μὴ τὰ μὲν τῇ σοφίᾳ τῇ τούτου παραχθέντες· τὰ δὲ τὴν δόξαν τὴν ἀπὸ τῶν ἀγώνων αἰσχυνθέντες, τὴν Θεμιστοκλέους ἄδικον φιλονεικίαν ἰσχυροτέραν ὧν ἡμεῖς παρέχομεν ποιήσησθε. οὐ μὴν ἀλλ' εἰ μὲν ἐμοὶ μὲν ταῦτα ἥδιστα, τούτῳ δὲ ἐγίγνετο βλαβερὰ, λόγον ἂν εἶχεν ὑμῖν ἡ πρὸς τὸν εὐεργέτην χάρις· ἐπειδὴ δὲ οἷς ἂν αὐτὸς ἡσθείην, ταῦτα τούτῳ λυσιτελοῦντα φανήσεται, μὴ κατὰ Θεμιστοκλέους, ὦ ἄνδρες Ἀθηναῖοι, τιμήσητε τὴν Θεμιστοκλέους δόξαν· μηδὲ θῆτε ψῆφον ἣ νῦν οὗτος ἡσθεὶς, μετὰ ταῦτα μέμφεται·[1] ὁ μὲν ἔν ἀνὴρ, θυμοῦ μεστὸς, ὡς ὁρᾶτε· καὶ δυσχεραίνει μου τὸν λόγον· ἀκουσάτω δὲ ὅμως διὰ τέλους· καὶ τοῦτο ὑπομενάτω, καὶ τάχα ἔσται πρᾳότερος· καλείτω δὲ τὸν λόγον εἰ μὲν βούλεται, νουθεσίαν· εἰ δὲ θέλει[2] ἥδιον, ἀπολογίαν. παραιτοῦμαι δὲ αὐτὸν, ἐὰν ἀναγκασθῶ μνησθῆναί τινος, ὧν οὐκ ἂν ἠβουλόμην, τῶν ἀναγκασάντων ἡγεῖσθαι τὰ ῥήματα. ἐποιησάμην, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτον ἐκ γυναικὸς, ἧς ἐδόκει τύχῃ· κἀκείνην τε, ὥσπερ ὑμῶν ἕκαστος ἣν ἔχει κατὰ νόμους, ἔστεργον· καὶ τοῦτον ἔτρεφον, ὥσπερ ὑμεῖς τοὺς ὑμετέρους αὐτῶν. τά τε ἄλλα καὶ περὶ[3] τοὺς διδασκάλους ἔπεμπον, εἰδὼς ὅτι μέγα ταῖς ψυχαῖς ἡ παίδευσις ἀγαθόν. ἐνταῦθα οὗτος ἰσχὺν μὲν φύσεως ἐδείκνυ· καὶ πολὺ ταύτῃ παρῄει τοὺς συμφοιτῶντας. ἐπείθετο δὲ οὐ πάντα τοῖς ἄγουσιν· ἀλλ' αὐτὸν ἐν τοῖς πολλοῖς ἐποίει κύριον· καὶ πρὸς τὰς ὁρμὰς τῆς

[1] fort. μέμψεται in futuro.
[2] θέλει videtur esse amputandum vt scholium vocabuli ἥδιον.
[3] περὶ] l. παρὰ aut πρός.

τῆς γνώμης αἱ τῶν παραινούντων ἐπῳδαὶ μικρὸν ἴσχυον. εἰς ἃ βλέπων τὶς τῶν διδασκάλων, οὗτος ὁ νέος, ἔφη, πολλάκις ποτέροις μὲν αὐτὸν δώσει τῶν ἔργων, εἴτε τοῖς χείροσιν. εἴτε τοῖς ἀμείνοσιν, οὐκ ἂν εἴη προειπεῖν· ὁποτέρωσε δ' ἂν ἀποκλίνῃ, μέγα τι ποιῶν ἐν ἐκείνῳ φανεῖται. καὶ οὐκ ἐψεύσατο. ὁρᾶτε γοῦν ἡλίκους ἡμῖν ἔλυσε φόβους. ἀλλὰ ταῦτα μὲν, ὕστερον· τότε δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, πολλὰ τούτου πράττοντος, ἐφ' οἷς ὑπὸ τῶν φίλων ἐνεκαλούμην ἐγώ· παρ' ἐμοῦ γὰρ ἡγοῦντο δεδόσθαι τὴν ἐξουσίαν, ἔλεγον ἂν πρὸς τοῦτον, ὦ παῖ, παῦσαι τούτων τῶν ἔργων, ἃ τοὺς μὲν ἐπιτηδείους ἡμῖν, ἀνιᾷ· τοὺς δὲ δυσμενεῖς, εὐφραίνει. κράτει τῶν ἡδονῶν, αἷς ἀκολουθεῖ ψόγος· μέγα φρονοῦσιν οἱ τῶν ἄλλων πατέρες ἐπὶ τοῖς υἱέσιν· ἐγὼ δὲ ἐρυθριῶ. καὶ πρὸς Διὸς, ὦ ἄνδρες δικασταὶ, εἴτι ψεύδομαι[4] τούτων, οὗτος αὐτὸς ὑφ' ὑμῶν ἐρωτάσθω. φήσει γὰρ ὡς ἀκήκοε καὶ ταῦτα, καὶ ἔτι πλείω. μάτην δὲ ἄρα ἔλεγον· ἑαυτῷ γὰρ ἠξίου προσέχειν, ἀλλ' οὐ τῷ πατρί. τὰ μὲν οὖν ἄλλα, καὶ φέρειν οἷός τε ἦν· ἀχθόμενος μὲν, ὅμως δὲ πείθων ἐμαυτὸν ἀνέχεσθαι. ἐφ' ᾧ δὲ λίαν ἐπλήγην, τότε μὲν ἐπράχθη. νῦν δὲ οὐκ εἰρήσεται. ὧν γὰρ καὶ ὑμᾶς εὐξαίμην ἂν ἐπιλήσεσθαι, πῶς ἂν ταῦτα δίκαιος εἴην εἰς μέσον φέρειν· ἀλλ' οὗτός γε μέμνηται καὶ τί τὸ πεπραγμένον, καὶ ποῦ, καὶ πότε. τοῦτ' οὖν ἐλογιζόμην πρὸς ἐμαυτὸν, ὡς εἰ μὲν ἐπιτρέποιμι ταῦτα ὁδῷ βαδίζειν, γενναῖος ἀπολεῖταί μοι παῖς· καὶ οὐκ ἐμοὶ μόνον, ἀλλὰ καὶ τῇ πατρίδι· εἰ δὲ ἐπιστροφήν τινα ποιησαίμην, καὶ λυπήσαιμι, καὶ δίκην ἐπιθείην, δυναμένην βοηθῆσαι τῇ φύσει, κερδανῶ μὲν αὐτός· κερδανεῖ δὲ ἡ πόλις· ἔσται δὲ ἡ δόξα μὲν τῆς οἰκίας· ὁ καρπὸς δὲ, κοινός. σκοπῶν δὴ παρ' ἐμαυτῷ πῶς ἂν τοῦτο γένοιτο. καὶ τὰς ἐκ λόγων βουλὰς ὑπεροφθείσας ὁρῶν, ἦλθον ἐπὶ τὴν ἀπὸ τῶν πραγμάτων· καὶ τοὺς δικαστὰς λαβὼν συνοργιζομένους, διέστησα τοῦτον ἐμαυτοῦ. πολλὰ μὲν πρὸ τοῦ δικαστηρίου νὴ Δία δακρύσας· πολλὰ δὲ ἐν αὐτῷ παρὰ πάν-

τα

[4] ψεύδομαι si quid mentior.

τα τὸν λόγον· πολὺ δὲ πλείω μετὰ τὰς ψήφους οἴκοι· τὰς γὰρ ἀποκηρύξεις, οὐ τῶν ἐκβαλλομένων μᾶλλον εἶναι δεῖ νομίζειν ἀθυμίαν, ἢ τῶν ἠναγκασμένων ἐκβαλεῖν· ὁ μὲν γὰρ, οὐκ ἔχει τὴν οἰκίαν. ὁ δὲ, οὐκ ἔχει τὸν υἱόν. διῆγον οὖν ἐν οἷς περ οἱ συμφοραῖς κεχρημένοι· πότους μὲν καὶ σύνδειπνα, καὶ τὰ τρέφειν ἔχοντα πάντα ἁπλῶς ἀποδιδράσκων. αἰτῶν δὲ νύκτα καὶ ἡμέραν παρὰ τῶν θεῶν, ἐπιθυμίαν βελτιόνων ἔργων ἐνθεῖναι Θεμιστοκλεῖ· καὶ οὐκ ἠτύχησα. γενόμενος γὰρ ἐφ᾽ ἑαυτοῦ, καὶ τὴν ψυχὴν ἀλγήσας, καὶ καταστὰς εἰς τὴν ὑπὲρ τῶν ἀναγκαίων φροντίδα, κάλλη μὲν σωμάτων, καὶ τοὺς περὶ ταῦτα ἔρωτας, καὶ τὰς οὐκ ἐπαινουμένας ἡδονὰς, οὐκ ἔθ᾽ ὁμοίως ἐδίωκεν. οὐδ᾽ ἠμέλει παντελῶς τῆς διανοίας· ἀλλὰ καὶ χρηστῶν ἔργων ἐμέμνητο· καὶ μεθίστη τινα καὶ μετέβαλε· καὶ τὴν φύσιν οὐχ᾽ ὁμοίως ἀπώλλυε· καί τινα ἀγρυπνίαν ἠγρύπνει βελτίω τῶν προτέρων, εἰς Μιλτιάδην βλέπων, καὶ τὸ Μαραθῶνι τρόπαιον. ἐφ᾽ οἷς αὐτὸν ὁρμήσας ἀναλαβεῖν, ἐπέσχον, τῷ ῥιζωθῆναι τὴν ἀρετήν. τούτων, ὦ ἄνδρες δικασταὶ, γιγνομένων, πολλοί μοι προσιόντες καὶ τῶν ἀναγκαίων καὶ τῶν ἐπιτηδείων. εὖγε, ὦ Νεόκλεις, ἔλεγον. καλῶς εἶδες ὅθεν ἂν ἐπανορθώσαις τὸν υἱόν· εἰς δέον, ὡς ἔοικε, πάντα ἐκεῖνά σοι πέπρακται· μεγάλας φροντίδας εἰς τὸν νοῦν ἐμβέβληκε· καὶ προσδέχεται κίνησιν Περσικήν· καὶ πῶς ἂν τὴν προσβολὴν ἀποκρούσαιτο σκοπεῖ. καὶ ταῦτα ἀκούων,[5] ἡδόμην τε, καὶ τῶν ἐλπίδων, εἰς λύσιν τῆς ἀποκηρύξεως, ἀνέμενον τὸ τέλος· ὃ καλῶς ποιοῦν ἥκει. μέγας ἡμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, Θεμιστοκλῆς, ἐν βουλαῖς, ἐν ἔργοις, ἐν λόγοις, ἐν ὅπλοις, ἐν γῇ, ἐν θαλάττῃ, ἐν τοῖς Ἕλλησιν, ἐν τοῖς βαρβάροις· καὶ διὰ τὴν τούτου γνώμην, οἷς ἠκολουθοῦμεν ἡγεμόσι, τούτων πεφήναμεν βελτίους· λύεται δὲ μετὰ τῶν κοινῶν φόβων, καὶ τῆς ἀποκηρύξεως ἡ γνῶσις. καὶ τὸ εἰκὸς ὁ καιρὸς λαμβάνει· ὥσπερ γὰρ πρότερον ἐκείνων ἔδει τῶν τοῦτον σω-

φρο-

[5] f. καὶ τοιαῦτα. ἃ ἀκούων.

φρονούντων· οὕτω νῦν, τῆς ἀρετῆς ἀνωμολογημένης, πεπαῦσθαι χρὴ ταῦτα, ὧν πρότερον ἔδει· ἀλλ' οὐ βούλομαί φησιν· ἀλλὰ βουλήθητι· τὸ γὰρ ἐθέλειν ἄμεινον, ἔνθα ἂν ᾖ τὸ μὴ βούλεσθαι κακόν. καὶ δεῖ δή που τὸν οὐχὶ βουλόμενον, εἰκότως φαίνεσθαι βεβουλημένον· εἰ δὲ οἱ λογισμοὶ πρὸς τὴν πρᾶξιν ἐνάγοιεν· ὁ δὲ μάχοιτο, δικαίως ἂν ὅγε τοιοῦτος καταναγκάζοιτο· σκόπει γάρ· ἐν ταῖς εἰσφοραῖς, οἱ μὲν ἑτοίμως εἰσφέρουσιν· οἱ δ' ἥδισ' ἂν μὴ θεῖεν· ἀλλ' ὅμως οὐδεὶς ἀνέξεται. Θηβαῖοι δὲ, δικαίως ἂν μεθ' ὑμῶν πολεμοῦντες, ἔδοσαν αὐτοὺς τῷ Μήδῳ, καὶ συνεπεστράτευον. οὐκοῦν τὰ προσήκοντα μὴ βουληθέντες, μεταμέλοι νῦν,[6] καὶ εἰσὶν ἀθλιώτατοι πάντων ἀνθρώπων, ἐξ ὧν οὐκ ἠθέλησαν. πάλιν ἥκοντος ἐκ Δελφῶν τοῦ ξυλίνου τείχους, καὶ σοῦ τὸν νοῦν εὑρόντος τῶν λογίων, καὶ τὰς τριήρεις ἐν τῷ τείχει τούτῳ δηλοῦσθαι λέγοντος, καὶ παραινοῦντος ἐκλείπειν τὴν πόλιν, ἦσαν οἱ[7] μὴ βουλόμενοι τοῦτο· καὶ καταμείναντες, ὡς δὴ τῆς ἀκροπόλεως ξύλοις τετειχισμένης, ἀπώλοντο κακῶς, οἱ μὴ βουληθέντες·[8] ὅταν οὖν λέγῃς δεινὸν εἶναι τὸ τὴν οἰκίαν ἄκοντα κομίσασθαι, καὶ τιμωρίας διαφέρειν οὐδὲν, μάνθανε πολλὰ τῶν ἀκουσίων τοῖς ἠναγκασμένοις λυσιτελήσαντα· ὁρᾷς τοὺς παῖδας τοὺς κομιδῇ, τοὺς ἄκοντας ἑλκομένους εἰς τὰ διδασκαλεῖα; οὗτοι καταρῶνται μὲν τοῖς παιδαγωγοῖς. ἄκοντες δὲ γιγνόμενοι βελτίους, ὕστερον ἐπαινοῦσι τὰς ἀνάγκας· καὶ τί λέγω τοὺς παῖδας; ἀλλὰ τὴν μεγάλην ταύτην καὶ θαυμαστὴν ναυμαχίαν, πῶς συνήγαγες; ἆρ' ἐκ τῶν Ἑλλήνων,[9] καὶ βουλομένων συμπλέκεσθαι; καὶ μὴν ἐδέδοκτο φεύγειν καὶ ζητεῖν αἰσχρὰν σωτηρίαν·

[6] f. μεταμέλον νῦν impersonaliter, vt δέον, ἐξὸν et talia. nunc, subeunte poenitentia. sed tum καὶ proximum hoc versu erit delendum.

[7] οἱ est articulus postpositiuus. qui.

[8] sic legam et distinguam ἀπώλοντο, κακῶς μὴ βουληθέντες perierunt, propterea quod prauo vti consilio noluerunt. aut iterato aduerbio sic; ἀπώλοντο κακῶς pessimis modis perierunt, κακῶς μὴ βουλ. eo quod prae stultitia sua noluerunt.

[9] Ἑλλήνων suspectum.

ρίαν· ἀλλ' ὅμως ταῦτα ἐγνωκότας, ἔδειξας ἐξαίφνης ἐν μέσῳ τῶν βαρβάρων, ὥστ' ἀνάγκην εἶναι ναυμαχεῖν· καὶ οἷς ἔδρων, οὐχὶ βουληθέντες, ἐνίκων· καὶ ὧν ἔλαβον ἄν, εἰ προήσθοντο, παρὰ σοῦ δίκην, ἀντὶ τούτων σὲ σωτῆρα τῆς Ἑλλάδος καλοῦσιν. οὕτως οὐδὲν θαυμαστὸν, τὸ αὐτὸ καὶ βαρὺ τοῖς ποιοῦσιν εἶναι, καὶ λυσιτελέστατον. καὶ νῦν μή μοι τοῦτο λέγε μόνον, ὡς οὐκ ἂν βουλοίμην, καὶ ἄκοντι χαριζόμενος, ἐν οἷς χαρίζῃ, λυπεῖς· ἀλλ' εἰ μὴ καλὸν ἀκολουθῆσαι τοῖς τῷ πατρὶ δοκοῦσι, καὶ δοῦναι χάριν ἐν τῷ λαβεῖν. τί δὲ, καὶ τοσοῦτον μεμφόμενος, ἥκεις ἐναντιωσόμενος; ἀντεῖπόν σοι ταῖς δημηγορίαις; ἤλγησα τοῖς κατορθώμασιν; ἐφθόνησα τοῖς ἐπαίνοις; ἐξήνεγκά τι πρὸς τοὺς ἐναντίους τῶν ἀποῤῥήτων; εἰπὲ τὸ ἀδίκημα. ἔλεγξόν με πονηρὸν περὶ σεαυτόν· ἀπεκήρυξάς με φησὶ, καὶ τῆς οἰκίας ἐξέβαλλες· λυπηρὸν τοῦτο, Θεμιστόκλεις, καὶ βαρὺ τοῖς παθοῦσι. ἀνῃρήσθω τοίνυν τοῦτο τὸ λυπηρὸν τήμερον· εἰ μὲν γὰρ οὐκ ἠνίων τότε, τί χαλεπαίνεις; εἰ δ' ἐλυποῦμεν, ἐνταῦθα ζητῶ τὸ πρᾶγμα. σὺ δὲ ποιεῖς ἄτοπον, ἐγκλήματι[10] μὲν προφέρων τὴν ἀποκήρυξιν, αὐτὴν δὲ ταύτην ὅπως μένῃ ποιῶν, καὶ δι' ὁμοίας ὀργῆς ἀμφότερα λαμβάνων, τό, τε τῆς οἰκίας ἀπελθεῖν, τό, τε αὖθις ἐκεῖσε ἄγεσθαι. ὥσπερ ἂν εἴ τις τὸν ὧν ἀπεστέρησε χρημάτων, ταῦτα ἀποδιδόντα πάλιν, δυσμενῆ κρίνοι παραπλησίως, ἔν τε ἐκείνῳ καὶ τούτῳ· χωρὶς δὲ τούτων, ὅταν τὴν ἀποκήρυξιν λέγῃ, πόθεν ἐπὶ ταύτην ἦλθεν, ἐρωτᾶτε αὐτόν· κἂν μὲν ὠμότητα ἐμὴν εὕρητε, καὶ θυμὸν, λόγον οὐκ ἔχοντα, ἐξέστω Θεμιστοκλεῖ μὴ μόνον φεύγειν τὴν οἰκίαν, ἀλλὰ καὶ δίκην ἑτέραν ἣν βούλεται λαμβάνειν· ἂν δὲ παρὰ τούτῳ τὸ τῆς αἰτίας ἦν, καὶ ὁ μὲν ἀναγκάσας, ὁ παῖς, ὁ δὲ ἠναγκασμένος, ἐγώ, συγγνώμην ἐχέτω τοῖς βιασθεῖσιν ἡμῖν· ἢ σὺ νομίζεις, Θεμιστόκλεις, ὅτι μισότεκνός τις ὢν ἐγὼ, καὶ Σκύθης τὸν τρόπον, καὶ τῆς φύσεως ἀλιτήριος, καὶ τὸ μή σοι συνοικεῖν,

10 f. ἐν ἐγκλήματι id est ἐν ἐγκλήματος μέρει. aut ὡς ἐγκλήματι.

οἰκεῖν, εὐδαιμονίαν τιθέμενος, ἐδεήθην τότε δικαστῶν. οὐκ ἔστιν ἀνὴρ Ἕλλην Ἀθηναῖος, τῆς ἡμερωτάτης πόλεως ἐν τοῖς ἤθεσι τῆς δημοκρατίας τραφεὶς, ὃν ἐγέννησα, ὃν ἐνέτρεψα[11] ὃν ἐν ταῖς ἐμαυτοῦ χερσὶν οὐκ ὀλιγάκις ἤνεγκα· ἐν ᾧ τὰς τοῦ γήρως εἶχον ἐπικουρίας, τοῦτον ὁρῶν εὔτακτον, κόσμιον, σώφρονα, τοῖς ὅλοις ἄμεμπτον, ἐμίσουν, ἐξήλαυνον, ἐποίουν ἀλλότριον; ποῖον φάρμακον πιών; ἐκ ποίας μανίας κατ' ἐμαυτοῦ φέρων τὴν πληγήν· οὐκ ἦν ἀγριώτερος ἐγὼ τῶν θηρίων; οὐκ ἦν, ὡς παραβῆναι τῆς φύσεως τὸν νόμον, ὃν ἐκεῖνα τηρεῖ, στέργοντα, κηδόμενα, προπολεμοῦντα τῶν τέκνων· οὐδ' ἠγνόουν ὅτι πᾶσα ἀποκήρυξις, κοινὴ τοῦ τε ἀπιόντος, τοῦ τε ἀπελαύνοντός ἐστι λύπη. ὥσπερ γὰρ ὁ λοιδορῶν ἐκεῖνον, τὸν ἔξω τῆς οἰκίας ἂν εἴποι οὕτως ὁ τοῦτον, καὶ οὗτος ἂν εἴποι τὸν τοῦ τοιοῦδε πατέρα. πῶς οὖν ταῦτα ἑκὼν ὑπέμεινα; οὐχ ἑκὼν, ὦ ἄνδρες Ἀθηναῖοι, μὰ τοὺς θεούς· ἀλλὰ τί δὴ παθών; αὐτὸν ἐρωτησάτω Θεμιστοκλῆς· οἶδε γάρ. καὶ ῥαδίως ἀποκρίναιτ' ἂν αὐτὸς αὐτῷ. τί οὖν ἐχρῆν με ποιεῖν; ἐπαινεῖν τὰ ἁμαρτήματα, καὶ παρακαλεῖν ἐπ' αὐτῶν διατρίβειν, καὶ χορηγεῖν εἰς αὐτά; καὶ τίς οὐκ ἂν ἔκρινέ με δικαίως; πῶς δ' οὐκ ἂν οὗτος αὐτὸς καὶ πρὸ τῶν ἄλλων ἁπάντων, εἰ κατέχειν δέον, παρεῖχον ὧν μὴ προσῆκεν ἄδειαν, καὶ βελτίω ποιεῖν, ἐγὼ δὲ προσετίθην τοῖς χείροσι. τίς δὲ ἂν ἔδοξα περὶ τὸν δῆμον εἶναι ῥάθυμος ὢν ἐν τοῖς ἐμαυτοῦ, καὶ κακός. τίς δ' ἂν φίλου παίδων ἐπίτροπος, πονηρὸς τῶν ἐμῶν γεγονώς. πατρὸς δὴ ποιῶν ἔργον, ἐπηνώρθουν τὸν υἱόν· καὶ τὸ μὲν ὄνομα, ἀηδὲς, ἀποκήρυξις, τὸ δὲ ἔργον καλὸν, ἐπανόρθωσις· πείθῃ τούτοις[12] ὡς ἐν καλοῖς τότε διετρίβομεν, ἢ ὡς οὐ κωλύειν ἀπὸ τῶν φαυλοτέρων ἔδει. εἰ δὲ μισοῦνται τὰ τοιαῦτα εἶναι φήσεις, ἐν τοῖς μισοῦσιν, οἶμαι, καὶ τοὺς διδασκάλους θήσομεν. οἱ σκύτος κάθηνται φέροντες, καὶ τοὺς ἀργοτέρους τῶν νέων ἐπεγείρουσι πληγαῖς· καὶ οὐδεὶς αὐτοῖς τῶν πατέρων

11 ὃν ἔτρεψα (verbum simplex.)

12 f. πεῖθε τούτοις persuade his.

ρων χαλεπαίνει· ἀλλ' ἴσασιν οὐχ ἧττω χάριν τῶν πληγῶν, ἢ τῶν μαθήσεων. ἀλλ' οὐδὲ γὰρ τοὺς οἰκέτας, ὅταν πέδαις, ὦ Θεμιστόκλεις, καὶ μύλωνι κολάζομεν, οὐκ ἀπολλύναι βουλόμενοι, ταῦτα ποιοῦμεν· ἀλλ' ὅπως ἂν ἀμείνοσι τούτους χρησαίμεθα. καὶ οὕτω πανταχοῦ τοῦτο τῶν κηδομένων ἐστὶν· ὥσθ' οἱ πάντων εἶναι δοκοῦντες ἡμερώτατοι, τροφεῖς, καὶ βοῇ, καὶ ἀπειλῇ, καὶ τῷ ῥαπίσαι, καὶ πολλοῖς ἑτέροις, ἃ τρέφουσι λυποῦσι καὶ διὰ τῶν δακρύων, τῶν ἐφ' ἑκάστῳ τούτων φερομένων, εἰς τὴν τῶν βελτιόνων ἐγκαθιστᾶσι συνήθειαν. τί οὖν ἠδίκουν, ἀλγῶν μὲν ἐφ' οἷς ἠτύχουν, πειρώμενος δὲ τοῦτο λῦσαι τὸ δυσχερές. οὐ κοινὸν Ἑλλήνων καὶ βαρβάρων, αὐτοῖς καὶ παισὶ τὰ βελτίω προξενεῖν; οὐ τοὺς μὲν ἀναμαρτήτους τῶν παίδων ἐπαινεῖν, τοὺς δὲ ὀλισθαίνοντας παιδεύειν; οἱ δὲ νομοθέται, πρὸς Διὸς, οὐ πατέρων ὡς ἀληθῶς γνώμῃ χρώμενοι, τὰς τιμωρίας ἔγραψαν, ἢ ζῶντας ποιοῦντες βελτίους, ἢ μὴ δυναμένοις δέξασθαι μεταβολὴν. ἀμείνω κρίνοντες τὸν θάνατον; λέγεται δὲ καὶ τοὺς θεοὺς τοῖς ἀδικοῦσιν ἐπιπέμπειν ζημίαν,[13] ὑφ' ὧν ἐπὶ τὸ τὰ δίκαια τιμᾶν προτρέπονται. καί τοι τοὺς θεοὺς, ὧν ἄνθρωποι κτήματα, ποῦ προσῆκόν ἐστιν οἴεσθαι τὰ αὐτῶν ἐθέλειν φθείρειν· ἀλλ' ὅμως κολάζουσιν· οὐκοῦν, προνοουμένων ὁ λογισμός. οὐδεὶς δὲ, οἶμαι, νοῦν ἔχων, τοῖς οὕτω διακειμένοις, ἀφεὶς εἰδέναι χάριν, ἐπιτιμᾷ· καί φησιν. ἀλλ' ἐξῆν ἄλλως ἐπανορθοῦν· ῥήμασι πικροῖς, λόγοις ἀνιαροῖς, ὀργῇ μεγάλῃ, θυμῷ πολλῷ. καὶ τί τούτων οὐκ ἀνάλωται; τί δὲ οὐ πέπρακται; τί δὲ παραλέλειπται; πόσαι μὲν ταῦτα ἔχον ἡμέραι; πόσαι δὲ νύκτες; βοῶντος, ἀγανακτοῦντος, ἀπειλοῦντος, στένοντος, ὡς ἀποκηρύξω λέγοντος μὲν, μέλλοντος δέ. ἀλλὰ γὰρ οὐκ ἔχω τί χρήσομαι. λυπεῖν τε γὰρ οὐκ ἐθέλω τουτονὶ, καὶ δι' ὧν ἀπολογοῦμαι, ἀνάγκη τοῦτο συμβαίνειν. ὅπερ οὖν ἐξαρχῆς ἐδεήθην, ἔστω μοι παῤῥησία. μόνως γὰρ ἂν οὕτω τύχοιμι τῶν διαλλαγῶν. ἀναμνήσθητι τοίνυν ὡς οὐκ εὐ-

θὺς

[13] ζημίας in plurali.

θὺς συνῆψα ταῖς πρώταις αἰτίαις τὴν ἀποκήρυξιν· ἀλλ' ἠρξάμην μὲν ἐκ δεήσεων. προὔβην δὲ εἰς βλέμμα χαλεπόν· ἔπειτα εἰς ῥῆμα, τρίτον ἐπὶ τούτοις, οὐκ ἐκοινώνησα τραπέζης· οὐ προσεφθεγξάμην· εἶθ' ὡς ἄν τις ἀπειπών, παρέδωκα τοῖς οἰκείοις τὰς νουθεσίας· τοῦ πράγματος οὐ λήγοντος, ἦλθον ἐπὶ τὸ μόνον δυνάμενον κωλῦσαι τὴν νόσον· οὐχ' ἵνα ἀποστερήσαιμι τῶν πατρῴων τοῦτον, ἀλλ' ἵνα ἀγαθὸς κληρονόμος φανείη· καὶ οὐκ ἔδοξα τοῖς δικασταῖς ληρεῖν· οὐδ' ἀδικεῖν ἐν τῷ μιμεῖσθαι τοὺς ἰατρούς. τί οὖν ἐστι τὰ ἐκείνων; ὅταν μὲν εἴκῃ τὰ πάθη τοῖς φαρμάκοις, οὕτω ποιοῦσι, καὶ πλέον οὐδὲν ἐνοχλοῦσιν· ἐπειδὰν δὲ μεῖζον ᾖ τὸ κακὸν τῆς ἀπ' ἐκείνων βοηθείας, ἔκαυσαν, ἔτεμον, οὐδὲν ὤκνησαν τῶν ἀλγεῖν μὲν ποιούντων, τοῦ δεινοῦ δὲ κρατούντων. καὶ ἡμῖν τοίνυν εἰ μὲν ἀπέχρη τὰ ἄλλα, τοῖς προτέροις ἂν ἐχρώμεθα μόνοις. καλούμενοι δὲ ἐπὶ μείζω, τί ἐμέλλομεν ποιεῖν; οὐχ' ὧν ἐμεμνήμην ἰατρῶν ἄρτι, τούτοις ἀκολουθεῖν, ὧν τοῖς ἀρρωστοῦσιν, οὐδὲν οὔτε λυπηρότερον, οὔτε χρησιμώτερον; ὁρῶ δέ τι παραπλήσιον καὶ περὶ τοὺς ἵππους συμβαῖνον. καὶ γὰρ ἐκείνων τὰς ἀταξίας, ὁ ἱππεύων πρῶτον μὲν πειρᾶται φωνῇ καταχεῖν· ἔπειτα μάστιγι. τούτων δὲ οὐκ ἀποχρώντων, τῷ χαλινῷ τὴν γνάθον καθήμαξεν, οὐδ' ἐσωφρόνησε· καὶ οὐδεὶς αὐτὸν φησι λυμαίνεσθαι τὸ θρέμμα τούτοις, ἀλλ' εἶναι διδάσκαλον ἵππον[14] σπουδαῖον. εἰς ταῦτα καὶ τὰ τῆς ἀποκηρύξεως, ὦ Θεμιστόκλεις, φέρει τὴν ἀταξίαν ἀποθέσθαι τὸν νέον, καὶ γενέσθαι καλὸν κἀγαθόν· τοῦτο οἱ πατέρες ζητοῦσι· τοῦτο πρὸ τῶν πατέρων ὁ νόμος. οὐ γὰρ δή που κατὰ τῶν γενῶν ἐγράφη, διασπῶν τε αὐτὰ καὶ τέμνων· οὐ γὰρ τοῦτ' ἔργον νόμου, βλάπτειν τοὺς θεμένους, ἀλλ' εὖ ποιεῖν· οὐδ' ἵνα αὐτὸς ἀντὶ τῶν ἐκβαλλομένων γίγνοιτο τῶν χρημάτων κύριος. γελοῖον γάρ· ἀλλ' ὅπερ[15] ἐπανίοιεν εἰς τὸν πατρῷον οἶκον ὑγιαινούσαις ταῖς γνώμαις. σημεῖον δέ· οὐ γὰρ ἄλυτον ἔγραψε

14 ἵππων in genit. plur.

15 ὅπερ] lege ὅπως.

ἔγραψε τὴν ἀποκήρυξιν· ἀλλ᾽ οἷς[16] ἐκβάλλειν, τούτοις ἔδωκεν ἀπολαβεῖν·[17] καὶ τοῖς αὐτοῖς ἀποστῆναί τε τῆς τοῦ πατρὸς τάξεως, καὶ πάλιν αὐτὴν κομίσασθαι, ἀλλ᾽ εἰσὶν, οἱ παίδων κακίας εὐχερῶς ἤνεγκαν. οὐ λέγεις μοι πατέρας, ὦ Θεμιστόκλεις· ἀλλ᾽ ἐχθροὺς καὶ πολεμίους, καὶ ὧν ἐγέννησαν ὀλέθρους. καὶ οὓς ἐγὼ φαίην ἂν εἶναι τῶν ἀνδροφόνων κακίους· οὓς οὐδὲ τὰ δίκαια τῆς φύσεως ἠνάγκασε γενέσθαι χρηστούς. σὺ μὲν οὖν φὴς εἶναί τινας, οἳ παισὶν ἐπέτρεψαν ὅ, τι βούλονται δρᾷν· εὕροι δ᾽ ἄν τις ἴσως καὶ παιδὸς πατέρα προαγωγὸν, εἰ καὶ μὴ παρ᾽ ἡμῶν·[18] μὴ γὰρ εἴη τις τοιοῦτος Ἀθήνησιν. ἀλλ᾽ ἑτέρωθι. τί οὖν; παρὰ τοῦτο τοὺς πονηροὺς μιμησόμεθα; καὶ σὺ μὲν οὐκ ἐμίμου[19] τοὺς δειλοὺς τῶν στρατηγῶν· ἐμὲ δὲ ἠξίους τοὺς κακοὺς τῶν πατέρων; καὶ μὴν τοῖς μὲν τῶν οὐκ εὖ πεφυκότων πατράσι, συγγνοίη τις οὐκ ἀποκηρύττουσιν, εἰδόσιν ὡς ἀμήχανον μεταστῆσαι τὴν φύσιν, καὶ ποιῆσαι μεγάλην ἐκ μικρᾶς. ἡμῖν δὲ ὑπὲρ μεγίστων ἦν, ὦ Θεμιστόκλεις, ὁ λόγος τῆς σῆς φύσεως. ἢ μαντεύεσθαι παρεῖχεν, ἃ δέδεικται· οὔκουν ἄξιον ἦν αὐτὴν, ἢ[20] ναῦν παριδεῖν ἀπολλυμένην παρ᾽ ἐμοί· πάντως δὲ καὶ τοὺς γεωργοὺς ὁρᾷς οὐ τὸν αὐτὸν ὑπὲρ ἁπάσης γῆς ἔχοντας λόγον· ἀλλὰ τῆς μὲν λεπτῆς ἀμελοῦντας, τὴν δ᾽ ἀγαθὴν ἐκκαθαίροντας· ἴσασι γὰρ τὴν μὲν οὐδὲν, ἢ μικρὰν ἀντὶ τῶν πόνων παρέχουσαν· τὴν δὲ λαμπρῶς ἀμειβομένην τὰς περὶ αὐτὴν σπουδάς. ἐμιμούμην δὴ τοὺς περὶ τὴν σὴν φύσιν διὰ τῆς ἀποκηρύξεως. καὶ κατ᾽ ἐκείνους ἐθεράπευον τὰς τῆς φορᾶς ἀφορμὰς, ὅπως ἀναδοθεῖεν εὖ καὶ καλῶς οἱ καρποὶ, τῶν ἐμποδισμάτων ἀπαλλαγέντες ἀπάν-

16 οἷς] scil. γονεῦσιν. ἐκβάλλειν] scil. ἔδωκεν ἐξουσίαν.

17 fort. τούτοις ἔδωκε καὶ ἀπολαβεῖν, scil. τοὺς παῖδας. Alias si οἷς non ad γονεῦσι referatur, sed ad ῥήμασι, tum leg. erit ἐμβάλλει. quibus verbis eiicit, h.e. eiiciendi liberos facultatem dat patribus, iisdem versbis etiam eos resumendi dat facultatem.

18 malim παρ᾽ ἡμῖν (in datiuo.)

19 ἐμιμοῦ cum circumflexo in vltima.

20 ἢ] malim ᾗ, id est οἷον, vel ὥσπερ, *ceu, tanquam.*

ἁπάντων. ἀντὶ τούτων οὖν ἀγανακτεῖς, καὶ τῶν ἔργων μοι μαρτυρούντων,[21] οὐ συγχωρεῖς ταῦτα πεπρᾶχθαι καλῶς; εἰ μὲν γὰρ μὴ συνήνεγκέ σοι τῆς παιδείας ὁ τρόπος, μάλιστα μὲν, ὦ ἄνδρες δικασταὶ, τί τοῦτο πρὸς τὸν ὀνῆσαι προαιρούμενον; εἰ μὲν γὰρ ὁ διδάσκαλος ἐπιμελοῖτο τοῦ χοροῦ, καὶ δι' ὧν ἂν ὡς ἄριστ' ἐπιδιδοῖ, δεικνύοι, μαλακίζοιντο δὲ οἱ χορευταὶ, καὶ μὴ προσέχοιεν, ἢ καὶ νὴ Δί' ἐρίζοιεν πρὸς ἀλλήλους ἀντὶ τοῦ συμπνεῖν, οὐ τοῦ διδάξαι βουληθέντος τοῦτο ἔγκλημα· τῶν δὲ οὐκ ἐθελησάντων μαθεῖν. νῦν δ' οὐδὲ τοῦτ' ἔστιν εἰπεῖν, ὡς οὐκ ἔτυχόν που[22] σκοποῦ· τετύχηκα γάρ· τῶν θεῶν συμβαλλόντων, ὑπὲρ ἅπαντα τοξότην. παρὰ τῆς λυπηρᾶς ἐκείνης ἀποκηρύξεως, ὦ Θεμιστόκλεις, πάντα ἡμῖν τὰ πανταχοῦ γῆς καὶ θαλάττης θαυμαζόμενα. οἱ τῶν ἐκ Λαυρίου[23] χρημάτων λόγοι, δι' ὧν ἔπεισας Ἀθηναίους ἀντὶ τοῦ νέμεσθαι, ναῦς ποιεῖν· ὁ τοῦ Μαραθῶνι τροπαίου ζῆλος· ῥημάτων ἐξήγησις· ναυμαχίαι δύο περὶ Εὔβοιαν καὶ νῖκαι· ψήφισμα, μετοικίζον εἰς τὴν θάλατταν τὴν πόλιν. ὁ τῶν ἔργων κολοφὼν, ἡ Σαλαμὶς, περὶ ἣν τὴν Ἀσίαν ἐβάπτισας. σὺ τὸν νομισθέντα θεὸν τῷ πλήθει τῆς δυνάμεως, ἣν ἦγε, τὸν ἀναλώσαντα πινομένους ποταμούς. τὸν ὑπὸ γῆν μὲν δείξαντα θάλασσαν, τριήρεις δὲ πλεούσας δι' ὀρῶν μέσων· τὸν τὰ τῶν νεφῶν πρὸς τὸν ἥλιον ἐργαζόμενον τοῖς βέλεσι· σὺ τοῦτον ἀνέστησας μὲν ἐκ τοῦ θρόνου ναυμαχῶν· ἠνάγκασας δὲ πλεῦσαι τὸν τοῦ τρέμοντος πλοῦν. τούτων ἴσθι μὲν καὶ τῇ σαυτοῦ σοφίᾳ καὶ τοῖς ἐμοῖς[24] χάριν· ἴσθι δὲ καὶ τῇ τοῦ πατρὸς ὀργῇ. καὶ νόμιζε σπέρμα τούτων γενέσθαι τὴν ἀποκήρυξιν, ἣν ὥρα πεπαῦσθαι. οὐ γὰρ ἀπὸ τῶν πρώτων[25] ἔδει,[26] φησὶν, ἢ τῶν

[21] μαρτυρούντων] scil. ὅτι πεπρακταί μοι περί σε καλῶς, ἃ πέπρακται.

[22] που] lege του.

[23] f. εἰ περὶ τῶν ἐκ Λαυρείου.

[24] aut delenda sunt vocabula καὶ τοῖς ἐμοῖς, aut deest aliquid.

[25] ἀπὸ τῶν πρώτων] scil. κατορθωμάτων ἐμῶν καὶ νικῶν. Conf. p. 535. 41. ed M.

[26] ἔδει] subaudi μᾶλλον πεπαῦσθαι τὴν ἐμὴν ἀποκήρυξιν.

τῶν δευτέρων, ἢ τρίτων; πάνυ γε. καὶ παρ᾽ ἐμοί γε ἐπέπαυτο, καὶ τῇ ἐμῇ ψήφῳ μετῆν σοι τῆς οἰκίας· ἔχαιρον γὰρ ἐφ᾽ ἑκάστῳ, καὶ ἡβρυνόμην, ὥσπερ ἂν εἰ παρ᾽ ἐμοῦ ταῦτα ἐξιὼν ἔπραττες· καὶ πρὸς τοὺς συνηθεῖς ταῦτ᾽ ἔλεγον, Ὁ παῖς μοι νενίκηκεν· ὁ παῖς μοι κεκράτηκε. τοῦ ἐμοῦ παιδὸς ὁ μέγας ἥττηται στόλος· εἶπεν οὖν ὁ ἐμὸς υἱὸς, καὶ πεποίηκε· πείσας, τὸ ἔργον προσέθηκεν· εὔδαιμον ἀπέφηνε τοῖς κατορθώμασι τὸ γένος. ταῦτα ἔλεγον· ταῦτα ἤκουον. καί τινες προσιόντες, καὶ μεμνημένοι τῶν σῶν, ἀντὶ τοῦ Θεμιστοκλέους, τὸν παῖδα τὸν ἐμὸν ὠνόμαζον, παρ᾽ ἐμοῦ τοῦ προσρήματος τὰς ἀρχὰς εἰληφότες. δικαστήριον δὲ ὁρᾶν,[27] καὶ δικαστὰς καθίζειν, καὶ καλεῖν ἐπὶ τὸν οἶκον, τῶν μικρῶν τούτων οὐκ ἐδίδου τὰ μείζω καιρόν. πυκνὴ γὰρ ἡ διαδοχὴ τῶν φροντίδων καὶ πόνων· καὶ παρεδίδου σε τὰ βουλεύματα μὲν ἔργοις· ἔργα δὲ πάλιν βουλεύμασι. καὶ ἐῴκεις νηῒ, κῦμα τὸ μὲν διαφευγούσῃ, πρὸς δὲ τὸ, μαχομένῃ· καὶ ἦν ἀνάγκη, τοὺς μὲν ἐρωτᾶν, τοῖς δὲ ἀποκρίνεσθαι, τοῖς δὲ προστάττειν, τοὺς δὲ καλεῖν, τοὺς δὲ ἐκπέμπειν· καὶ τοῖς μὲν ἐπιτιμᾶν, τοὺς δὲ ἐπαινεῖν· τοῖς δὲ πιστεύειν, τοῖς δὲ ἀπιστεῖν· τοὺς μὲν ὑφορᾶσθαι, τοῖς δὲ θαῤῥεῖν· τοῖς μὲν ἅπερ ἐφρόνεις λέγειν· πρὸς δὲ τοὺς, ἀπάτῃ χρῆσθαι. καὶ οὐδεὶς ἂν ἐξαριθμήσειεν, ἃ τότε σοι τὴν γνώμην, καὶ τοὺς ὀφθαλμοὺς, καὶ τὰ ὦτα ἐζήτει. ᾧ τοίνυν οὐκ ἐνῆν ὑπὸ πλήθους τῶν περιεστηκότων πραγμάτων οὐδ᾽ ἀναπνεῖν, τούτῳ προσῆκε προστιθέναι φορτίον; λόγους ἀναβολὴν δεχομένους, καὶ τοῖς οὐκ ἐπείγουσι τὰ κατεπείγοντα βλάπτειν ἔδει; καὶ τίς οὐκ ἂν ἔφησέ με μηδὲ καιρὸν εἰδέναι. διὰ τοῦτο τὴν συνέχειαν ἐκείνην τῶν πραγμάτων οὐδενὶ διακόψας, μετὰ τὴν βασιλέως φυγὴν, τῷ καιρῷ χρῶμαι. οὐδὲ γὰρ, εἰ παλαιστὴς ὢν ἐτύγχανέ μοι Θεμιστοκλῆς, εἴτ᾽ ἐν

[27] idem est ac si dixisset τοῦ δὲ πρὸς δικαστήριον ὁρᾶν καὶ τοῦ δικαστὰς καθίζειν καὶ τοῦ καλεῖν σε ἐπὶ τὸν πατρῷον οἶκον αὖθις, ἅπαντα ἐστὶ μικρὰ καὶ εὐτελῆ — τούτων δὴ τὸν καιρὸν —

ἐν τῷ τῆς ἀποκηρύξεως ἠγωνίζετο χρόνῳ, ἐγὼ δ᾽ ἐθεώμην· ὁ δὲ ἐπῃνεῖτο μὲν, οὔπω δὲ εἶχε τὸν στέφανον· εἰσελθὼν ἂν εἰς τὸν ἀγῶνα, τὴν ἀποκήρυξιν ἔλυσεν· πρᾶγμα ἐμβαλὼν πολὺ τῶν ἐν ταῖς χερσὶ κεχωρισμένον· ἀλλὰ τοῦτ᾽ ἂν εἰκότως ἐποίουν ἐπὶ τῷ κηρύγματι· τοῦτ᾽ οὖν καὶ νῦν ἐπὶ τῷ στεφάνῳ ποιῶ· στέφανον γὰρ ἔγωγε καλῶ σοι τὸν βασιλέως δρασμόν· εἶξον δὴ πρὸς τῶν θεῶν, πρὸς τῶν ναυμαχιῶν, πρὸς τοῦ Πυθίου, πρὸς Ἰάκχου, πρὸς Βορέου, πρὸς τῆς θείας Σαλαμῖνος· σβέσον τὴν ὀργήν· γνώρισον τὸν πατέρα· πατὴρ ἐγὼ σὸς, εἰ καὶ παρωξύνθην ποτέ. οὐ γὰρ τὸ παρ᾽ ἐμοῦ σε γεγονέναι δύναται λυθῆναι νόμῳ· ἀλλὰ κἂν πάντα συγχῇς, Νεοκλῆς σε γεγέννηκεν. ὦ παῖ καὶ τοῦτο οὐκ ἂν ἄλλως χοίη ποτέ. πατέρα οὖν ἀνιῶν, θεοῖς οἴει κεχαρισμένα ποιεῖν; οὐκ οἶσθ᾽ ὅτι μεθ᾽ ἡμῶν ἑστήκασιν, ἐν ταῖς πρὸς τὰ τέκνα διαφοραῖς; οὐκ ἤκουσας Ὁμήρου τοιοῦτόν τι λέγοντος; θεῶν δὲ καὶ τῆς παρ᾽ ἐκείνων εὐνοίας ἅπασι μὲν ἀνθρώποις οἶμαι δεῖν· μάλιστα δὲ τοῖς τὰ μέγιστα πράττουσιν ὑμῖν. ἐπεὶ καὶ νῦν συμμαχίαν ἴσμεν δαιμόνων, Ἐλευσινόθεν ἀφικνουμένων τῇ πόλει. ταύτης νῦν μηδαμῶς σαυτὸν ἀποστερήσῃς πρὸς τὰ λοιπὰ τῶν ἔργων· ἀλλὰ μηδὲ παρὰ τοῖς ἀνθρώποις τὴν χείρω δόξαν ἐνέγκῃ· τίς γὰρ οὐκ ἐρεῖ τῶν πρεσβυτέρων πρὸς τὸν πλησίον· ὁρᾷς τὸν ὑβριστήν; ὁρᾷς τὴν ὑπερηφανίαν; ἐπῆρεν αὐτὸν ἡ Σαλαμίς. ἐξώγκωται τῇ νίκῃ· τὸν πατέρα διαπτύει· τοῦ γένους ὑπερφρονεῖ. νῦν μὲν ὁ πατὴρ αὐτῷ φαυλόν τι φαίνεται· μικρὸν δὲ ὕστερον ἐγὼ, καὶ σύ· οἱ γείτονες, εἶτ᾽ ἄλλοι πλείους. τούτους μὴ ποιήσῃς κατὰ σοῦ γενέσθαι τοὺς λόγους· ἀλλ᾽ ὃ δοκεῖ σπανιώτατον εἶναι, σωφρονῶν ἐν ταῖς εὐπραξίαις φάνηθι· ὥσθ᾽ ἀμφοτέρωθεν εὐδοκιμεῖν εἶναί σοι, τῇ τε τῶν βαρβάρων φθορᾷ, τῇ τ᾽ ἐπιεικείᾳ τῶν τρόπων· εἰ γὰρ μέτοικος ἦν· εἰ γὰρ ξένος· εἰ γὰρ ἀπελεύθερος· ἐδεόμην δὲ οὕτω δίκαια. πατὴρ ὢν, οὐκ ἂν εἰκότως ἐτύγχανον;[28] νῦν μὲν, ὦ Θεμιστόκλεις, ἔχεις ἅπαντας ὑπιόντας καὶ θεραπεύοντας. ἄρτι γὰρ ἐκ μεγάλων

[28] fort. ἀπετύγχανον. repulsam ferrem.

γάλων ἥκεις. νόμιζε δὲ παρὰ τοῖς αὐτοῖς τούτοις ἀνθρώποις καὶ φθόνον εἶναι τῶν εἰργασμένων· ὃς νῦν μὲν κρύπτεται, καιρὸν δὲ ἀναμένει· παρελώμεθα δὴ τούτων τοὺς τοιούτους τῶν λόγων, τὸν σκληρὸν, τὸν ἀγνώμονα, τὸν ἀδιάλλακτον, τὸν ἐχθρὸν τῆς οἰκίας. μὴ τοίνυν δεδόσθω χώρα τοῖς ἀκηδεστέροις τῶν λόγων. ἀλλ' ἔστων ἅπαντες εὔφημοι· καὶ λαβὴ μηδεμία τινὶ τῶν κακοηθεστέρων. τοῦτο καὶ Ξέρξην, εἰς Σοῦσα κομισθὲν, ἀνιάσει. νῦν μὲν γὰρ αὐτὸν ὡς εἰκὸς οἱ παραμυθούμενοι λέγοιεν, ὡς ἐκεῖνος μέν τοι Θεμιστοκλῆς, ὁ παρ' Ἕλλησι λαμπρὸς, κακὸς εἶναι παρὰ τῶν δικαστῶν κατέγνωσαι. καὶ τῆς τοῦ πατρὸς οἰκίας ἀπεκλείσθη· εἰ δὲ πύθοιτό σε καὶ ταύτῃ κεκοσμημένον,[29] ἑτέρα τοῦτο τῷ Πέρσῃ συμφορά. καὶ μὴν, εἰ μὲν δι' εὐτυχίας τὸν λοιπὸν πορεύσῃ βίον, καλὸν αἰτίας ἁπάσης αὐτὸν καθαρεύειν. εἰ δ' ἀνάγκη τι καὶ προσπταῖσαι· χαλεπὸν γὰρ ἄνθρωπον διὰ τέλους εὐτυχεῖν· τὸ δοκεῖν τῆς νῦν ἀτιμίας ὑπέχειν δίκην διαφύγωμεν. πῶς με βούλει νῦν ἀπελθεῖν ἀτιμασθέντα, καρτεροῦντα, καὶ φέροντα, καὶ φαιδρόν; οὐκ ἂν δυναίμην. ἀλλὰ σκυθρωπὸν καὶ δακρύοντα, συνεσταλμένον; εἶτ' οὐ δεινὸν ἐμοί σε τούτων αἴτιον καταστῆναι, Νεοκλεῖ Θεμιστοκλέα; αὐτὴν οἴου τὴν οἰκίαν, φωνὴν λαβοῦσαν, δεῖσθαί σου, καὶ ἱκετεύειν· ἐγώ σε ἐδεξάμην τικτόμενον, ὦ παῖ· καὶ παρ' ἐμοὶ τὴν πρώτην ἔρρηξας φωνήν· καὶ τὸν ἥλιον εἶδες, καὶ μαστοῦ μετέσχες, καὶ τῆς ἄλλης τροφῆς· καὶ γραμμάτων ἥψω, καὶ τὴν πρώτην ἡλικίαν ἐγένου·[30] καὶ τῶν δυσχερῶν ἐκείνων συμπεσόντων, ἤλγουν· καί σε ἤλπιζον ἀπολήψεσθαι πάλιν. ἥκει δὴ τὸ προσδοκώμενον· καὶ τὸν εἰσάγοντα ἔχεις· μὴ τοίνυν ἀντίτεινε· μηδὲ τὸν ἐμοὶ κόσμον ὀφειλόμενον, ἑτέρα οἰκία καρπούσθω τις. ταῦτα αἰδεσθεὶς

τὰ

[29] f. καὶ ταύτην (in accusat.) κεκομισμένον. id quod Morellus quoque videtur dare voluisse.

[30] ἐγένου] aut deest hic aliquid, aut voc. hoc in vitio cubat. Sententia postulat διῆγες aut tale quid.

τὰ ῥήματα, δίκαζε[31] οἴκαδε μετ᾽ ἐμοῦ. κἂν ἐπὶ τὴν Ἀσίαν πλέῃς, καὶ τοὺς αὐτοὺς ἀντεπάγῃς τῇ βαρβάρῳ κινδύνους, ἀπὸ τῆς πατρῴας ἐξελθὼν οἰκίας, ἐπίβαινε τῆς νεώς· κἂν ἐπανελθὼν, ἀριστεῖον λάβῃς, ἐνταῦθα τοῦτο ἄγε. εἴθε σοι καὶ ἡ μήτηρ, ὦ Θεμιστόκλεις, περιῆν· ὡς οὐκ ἂν πολλῶν ἐδεόμην λόγων· νῦν δ᾽ ἡ τότε τοῦ καιροῦ δυσκολία, καὶ τοῦτο μετὰ τῶν ἄλλων ἠδίκησεν· ἀλλ᾽ ὅμως, εἴ τις αἴσθησις τοῖς ἀπελθοῦσι, συνησθήσεται, καὶ κοινωνήσει τῆς ἑορτῆς.

[31] *δίκαζε*] imo vero *βάδιζε*. *vade*.

ΜΕΛΕΤΗ ΕΚ ΤΟΥ ΕΝΑΝΤΙΟΥ.
Ο ΘΕΜΙΣΤΟΚΛΗΣ.

ΩΙΜΗΝ μὲν, ὦ ἄνδρες δικασταὶ, αὖθις κατηγορήσοντά μου Νεοκλέα, καὶ τῶν πρότερον ἐκείνων πολὺ μείζους αἰτίας ἐποίσοντα, πρὸς τουτὶ συλλέξαι τὸ δικαστήριον, ὑμᾶς· ἐκ γὰρ ὧν ἐπεπόνθειν, ταῦτα ἐλπίζειν εἶχον. ἐπεὶ δὲ βραδέως ἀνέμνησεν ἑαυτὸν, ὡς ἐξ αὐτοῦ γενοίμην, καὶ φιλάνθρωπος εἶναι πρὸς ἐμέ φησι, ταύτης μὲν αὐτῷ τῆς δόξης οὐ φθονῶ· ἀλλ᾽ ἔστω πατέρων πρᾳότατος· καὶ καλείσθω τοῦτο παρ᾽ ὑμῖν. ἐμὲ δὲ ἐπὶ τῆς συνηθείας, ἐν ᾗ κατέστησεν αὐτὸς, ἐάτω καὶ τὸν ἄλλον διάγειν χρόνον, ὡς μὴ κατ᾽ ἄμφω λυποίη, τότε μὲν ἐκβάλλων ὠμῶς, νῦν δὲ οὐ βουλόμενον εἰσάγων. οὗτος μὲν οὖν τὴν ἐμὴν δόξαν, ἐλάττωμα πρὸς τὸν ἀγῶνα νενόμηκεν ἑαυτῷ. ἐγὼ δὲ τὸ τοῦ πατρὸς ὄνομα, καὶ τὸ πατέρας ὑμᾶς εἶναι τοὺς δικάζοντας δέδοικα. ἔστι γὰρ φόβος οὐ μικρὸς, μὴ τοῖς δικαίοις αὐτοῖς περιὼν, καὶ δεικνύειν ἔχων, ὡς εἰκότως ἂν διωθοίμην ἐφ᾽ ἅπερ οὗτος κινοῖ,[1] δόξω τραχύς

[1] *κινεῖ* in indicatiuo.

χύς τις εἶναι καὶ χαλεπὸς, ταῖς προσηγορίαις ὑμῶν τὸ πρᾶγμα κρινόντων. δεῖ δὲ, οἶμαι, τούς γε βουλομένους ὀρθὴν θέσθαι τὴν ψῆφον, πάντα ἀνελόντας ἐκ μέσου, πρὸς ἓν ἐκεῖνο βλέπειν, πότερος δικαιότερα λέγει· κἂν μὲν εὑρίσκητε τοῦτον, τούτῳ δοῦναι τὰς ψήφους· ἐὰν δὲ ἐμὲ, ἐμοί. εἰ μὲν οὖν τι καλόν[2] τε καὶ συμφέρον, τὸ τὴν τοῦ παιδὸς, καὶ τὴν ἀρχαίαν κομίσασθαι τάξιν, οὐκ ἂν οὗτος ἧκέ με παρακαλῶν καὶ δεόμενος δοῦναί μοι χάριν· ἀλλ' αὐτὸς ἂν τὴν ὑπὲρ τούτων ἐποιούμην σπουδήν· καὶ προσέπεμπον ἂν τοὺς μάλιστα αὐτῷ χρωμένους, δι' ἐκείνων ἀξιῶν μοι γενέσθαι τὰς διαλλαγάς. νῦν δ' ἐξ αὐτῶν, ὧν αὐτὸς μὲν βούλεται παρασχεῖν, ἐγὼ δὲ ὀκνῶ λαβεῖν, σκέψασθε, ὦ ἄνδρες δικασταὶ, τὴν θαυμαστὴν δωρεάν· εἰ γὰρ μηδεὶς ἂν εὖ φρονῶν φύγοι τὸ λυσιτελοῦν, μαρτύριον ὑμῖν ἔσω τοῦ μὴ συνοικεῖν Νεοκλεῖ τῷ δε,[3] τὸ ταῦτα ἐφ' ὧν νῦν εἰμὶ προτιμᾶν, ὧν αὐτὸς δίδωσι. καὶ μήτε ὑμεῖς ἐμὲ βλάψαντες, ἀνασῆτε[4] κατὰ τῶν ἐμοὶ συμφερόντων· δοκεῖ τέ μοι Νεοκλῆς, οὐχ ἃ φησιν ἐθέλειν· οὐδ' ἐπιθυμεῖν αὖθις ἡμᾶς συνελθεῖν· πάλαι γάρ μου κατέγνωκε τὴν ἐσχάτην κακίαν. ἀλλ' ἡ μὲν ἐπὶ τὸν οἶκον ἤδη[5] παράκλησις, παραπέτασμα τὸ δὲ[6] τῆς σπουδῆς, ἀπολογία τις περὶ τῶν εἰς ἐμὲ πεπραγμένων πρὸς ὑμᾶς τε καὶ τοὺς ἄλλους Ἕλληνας· αἰσθάνεται γὰρ τῶν τε πολιτῶν πολλοὺς, τῶν τε Ἑλλήνων οὐκ ὀλίγους, κατηγοροῦντάς τε αὐτοῦ, καὶ τὰ τοιαῦτα λέγοντας, Οἷον ἄρα ἠδίκησεν ἐν πᾶσι Νεοκλῆς! ὡς ἄγριος, καὶ θηριώδης, καὶ προδότης τόγε αὐτοῦ μέρος τῆς τῶν Ἑλλήνων σωτηρίας. τοῦτον ἡγή-

σατο

[2] f. εἰ μὲν ἂν ἦν τι καλόν.

[3] fort. τοῦ μή με οἴεσθαι λυσιτελεῖν ἐμοὶ συνοικεῖν N. τῷδε — documento, vnde colligatis, mihi non videri compendiosam hoc cum Neocle eodem sub tecto commorationem, hoc esto, quod conditionem eam, in qua nunc sum, illi praefero, quam illi mihi offert.

[4] malim ἂν στῆτε duobus vocabulis, seu vna litera minus: ne resistatis meis emolumentis.

[5] ἤδη] malim ἧδε.

[6] τὸ δὲ] malim τῷδε in datiuo, huic Neocli.

σατο κακὸν οὕτως ὄντα ἀγαθόν; τοῦτον ἀποκηρύξεως ἄξιον, ὃν καὶ ποιήσασθαι υἱὸν, μέγα κέρδος ἄν τις ἡγήσατο νοῦν ἔχων. καὶ πολλὰ πρὸς τούτοις ἕτερα λέγεται μὲν, ὦ ἄνδρες δικασταὶ, παρ' ἄλλων· ταράττει δὲ τοῦτον καὶ ποιεῖ δεδοικέναι, μὴ τούτων εἷς, καὶ αὐτὸς γένωμαι τῶν αἰτιωμένων, καὶ πρὸς τὸν δῆμον οἷα ἔπαθον διαλεχθῶ. διὰ ταῦτά μοι μεταδίδωσι τῆς οἰκίας· ἀλλὰ θάρρει, Νεόκλεις· ὅτι οὔτ' ἐκείνων ἐν μέρει κατηγορίας οὔτ' ἐμνήσθην, οὔτε μνησθήσομαι τῶν τε ἄλλων ὅσους ἂν οἷός τε ὦ, παύσω τούτων τῶν λόγων. σὺ τε μηδὲν ὧν οὐκ ἐθέλεις, ἀνάγκῃ ποίει· τόντε τοῦ βίου τύπον, ἐφ' οὗ νῦν εἰμι, μένειν ἀκίνητον ἔα. ὡς νῦν ἀδύνατά τε ζητεῖς, καὶ λόγους οὓς αὐτὸς διῆλθες, σιγᾶσθαί σοι κρεῖττον, κἀμὲ καταναγκάζεις εἰπεῖν, ἐφ' οἷς οὐχ ἡδέως διακείσῃ. ὁρᾶτε δέ· παῖς ἐγενόμην ἐγὼ τούτῳ παρ' ὑμῖν, ὦ ἄνδρες δικασταί· καὶ ἴσως μὲν εὐθὺς ἠχθέσθη πρὸς τὸν τόκον, ὡς ἂν ἐκ βελτιόνων παιδοποιεῖσθαι δυνάμενος· τοῦτο μὲν οὖν οὐκ ἐγκαλῶ· μεγάλων γὰρ αὐτὸν ἀξιῶν, οὐκ ἠδίκει· ἐκεῖνος[7] δὲ, ὅτι γνώμης οὕτως ἔχων, καί τινος[8] αἰσχύνης τῷ πράγματι προσούσης, οὐκ ἐξέθηκεν· οὐδ' ἔῤῥιψεν ἑτέροις ἀνελέσθαι καὶ τρέφειν· οἳ τῆς ἐμῆς ἴσως ἂν ἠνέχοντο κακίας· ἀλλ' εἶχεν αὐτὸς καὶ ἔτρεφεν ἐπὶ δεινοτέροις τοῖς μέλλουσι. τὰ μὲν οὖν πρῶτα καὶ τὰ παρ' αὐτὸν τοῦ γάλακτος τὸν χρόνον, οὐκ ἂν εἰδέναι φαίην· ἀλλ' ἐπειδὴ πρὸς μαθήσεων ἡλικίαν ἧκον, ἔπεμπέν με πρὸς τοῦ διδασκάλου· ὁμολογῶ· ἤρεσκε δ' αὐτῷ τῶν ἐμῶν οὐδέν· οὐδ' ὅσα παρὰ τῶν ἄλλων ἐπῃνεῖτο· τῆς φύσεως δὲ δοκούσης τί πλέον τῶν ἄλλων ἔχειν, καὶ παρὰ τοῖς συμφοιτηταῖς ὄντος τούτου τοῦ λόγου· καὶ κατὰ τὴν ἄλλην πόλιν, ὡς εὐφυέστατος ἄρ' ἐγὼ, καὶ τοῦ διδασκάλου τοῦτο βοῶντος· καὶ προστιθέντος γε[9] μεγάλων ἔσεσθαι δημιουργὸν, ἢ τῶν χρηστῶν, ἢ τῶν ἑτέρων· οὐ γὰρ ἀρνοῦμαι· δέδειγμαι γὰρ

ἴσως

7 ἐκεῖνο in neutro.

8 τινος] sententia postulat οὐδεμιᾶς.

9 post γε videtur με addendum.

ἴσως καλοῦ μὲν αἴτιος οὐδενός· ἀγαθῶν δὲ μεγάλων, τοῦ φιλοτιμεῖσθαι πρὸς τοὺς ἄλλους πατέρας, ἢ χάριν εἰδέναι τοῖς θεοῖς τῆς κατὰ τὴν φύσιν τύχης, ὡς πλεῖστον ἀπεῖχε. παρετήρει δὲ νύκτα καὶ ἡμέραν, εἴπου δοίην αὐτῷ πρὸς ὀργὴν ἡντινοῦν ἀφορμήν· καὶ λαβὼν νέον πεπονθότα τι τῶν συμβαινόντων νέοις, οὐκ αἰτιασάμενος· οὐ μεμψάμενος· οὐχ ὅσοις ἐχρῆν εἰς τὸ μεταστῆσαι χρησάμενος, δικαστηρίων ἐμέμνητο· καὶ μίαν ἀπαλλαγὴν ἔφασκεν ὁρᾶν, τὴν ἀποκήρυξιν· πολλὰ μὲν ἐμοῦ λέγοντος, καὶ ὑπισχνουμένου, πολλὰ δὲ τῶν οἰκείων καὶ φίλων, ποῖ φέρῃ Νεόκλεις; τί τῷ πνεύματι τῆς ὀργῆς ἐνδίδως· τί τὰ τῶν νέων πάσχεις, τηλικοῦτος ὤν; νῦν μὲν ὑπὸ θυμοῦ τὸ παραστὰν ἡγῇ βέλτιστον· ὕστερον δὲ γνώσῃ σαυτῷ πεπολεμηκώς· ἀποστερεῖς τὸν οἶκον οὕτω γενναίας φύσεως, καὶ θησαυρὸν τοσοῦτον ἐκβάλλων, σωφρονεῖν δοκεῖς; οὐκ ἐπισχήσεις; οὐκ ἐν σαυτῷ γενήσῃ; πολλὰ τοιαῦτα ἐλέγετο μάτην, ὦ ἄνδρες δικασταί. ληρεῖν γὰρ ἡγεῖτο τοὺς κατέχοντας, καὶ μόνος αὐτὸς εὖ φρονεῖν, καὶ δεῖν ἐλευθερῶσαι τὴν οἰκίαν τοῦ νοσήματος. αἰσθομένης δὲ τῆς μητρὸς, καὶ ἐκπλαγείσης, καὶ πρὸς τὰ γόνατα αὐτῷ προσπεσούσης, καὶ ἱκετευούσης, ἢ μὴ ταῦτα ποιεῖν, ἢ καὶ αὐτὴν προσεκβάλλειν, μᾶλλον δὲ ἀποκτεῖναι· γυναικὸς εἶναι ταῦτα ἔφη φλυαρούσης· τῷ δὲ οἴκῳ λυσιτελεῖν ἕτερα. καὶ καλῶς ἔλεγεν· οὐ γὰρ ἄν τι μεῖζον ὠφέλησεν αὐτὸν, ἢ παιδὸς ἀπαλλαττόμενος πονηροῦ. ἧκεν ἐπὶ τούτοις εἰς τὸ δικαστήριον· εἶπέ με κακῶς, ὅσα ἠθέλησεν· ἐσίγων ἐγώ· λόγον ἔχων μὲν, ἀντειπεῖν δὲ οὐ βουλόμενος. αὐτῷ τούτῳ πρώτῳ δεικνὺς, ὡς εἰπεῖν κακός· καὶ ἅμα ἐνεθυμούμην, ὡς εἰ καὶ τὸ παρὸν [10] ἐν τούτῳ διαφύγοιμι, πάλιν ἐπ' ἄλλοις τισὶν ἥξει φέρων ἀποκήρυξιν· ῥᾴδιον γὰρ εἶναι μισοῦντι πατρὶ συνθεῖναι κατὰ παιδὸς αἰτίας· ἄμεινον οὖν εἶναι μεταστάντα ζῆν ὅπως ἂν συμβαίνῃ,

[10] f. τὸ παρὸν (id est ἐν τῷ παρόντι καιρῷ) τοῦτον (Neoclem puta) διαφ.

βαίνῃ, ἢ πράγματα ἔχειν καθ' ἑκάστην ἡμέραν· καὶ ἀπειλῶν ἀκούειν· καὶ συζῆν ἀποκηρύξεως φόβῳ οἴκοθεν. πολλῶν μὲν οὖν παρὰ τοῦδε ῥηθέντων, ἐμοῦ δὲ οὐ φθεγγομένου, τὸ εἰκὸς ἐγίνετο παρὰ τῶν δικαζόντων, καὶ κατεψηφίσαντο. εἶθ' οὗτος μὲν ἀπῄει φαιδρός τε καὶ γεγηθὼς, ὥσπερ οἱ τὰ τρόπαια ἱςάντες. ἐγὼ δὲ μετρίως φέρων τὴν τύχην· καὶ οὐκ ἂν φαίην ὡς ἠπόρουν τῶν ὑποδεχομένων· οὐδ' ὡς ἤλεγξεν ὁ καιρὸς τοὺς φάσκοντας εἶναι φίλους. ἦσαν γὰρ ὡς ἀληθῶς κἀν ταῖς συμφοραῖς· καὶ τοσοῦτον ἀπέχε τοῦ δυνηθῆναι πεῖσαι φυγεῖν τὰς μετ' ἐμοῦ διατριβὰς τοὺς ἡλικιώτας· ὥς' οἱ πολλοὶ τῶν γένει λαμπρῶν ἐρρῶσθαι τοῖς αὐτῶν φράσαντες γυμνασίοις, εἰς κυνόσαργες ἔτρεχον· ἐφ' οὓς ὅπως οὐ παρώξυνε τοὺς πατέρας οὑτοσὶ Νεοκλῆς, οὐδὲ ἔπεισεν ἀποκηρύξαι, λέγων ὅτι διαφθερῶ τοὺς υἱεῖς αὐτοῖς, καὶ ἐμαυτῷ ποιήσω παραπλησίους, τεθαύμακα. ἐγὼ μὲν οὖν, ἐπεμελούμην ἐμαυτοῦ, τό, τε σῶμα, καὶ τὴν ψυχὴν γυμνάζων· οὗτος δὲ ὡς ἥδιςα διῆγεν. ἡ δὲ μήτηρ, ἠσθένει· τῶν δὲ ἰατρῶν λεγόντων ὡς λύπῃ τῇ κατ' ἐμὲ κάμνοι, καὶ οὐκ ἂν διαφύγοι· τούτων οὕτως ἐχόντων, σιγήσας οὗτος, ἀφῆκε τὴν μητέρα τῇ νόσῳ· καὶ δυοῖν ἀπήλλακται κακοῖν, ἐμοῦ τε, κἀκείνης. χρόνος μετὰ ταῦτα πολύς· καὶ γράμματα μυρία· καὶ Νεοκλῆς ὁ αὐτός· ἀλλὰ νῦν μεταβάλλεται, καὶ καλεῖ με πρὸς αὐτὸν· καὶ ἀγαπᾷν φησὶ καὶ ἔχειν βούλεται. τί ταῦτα; γέρων ἀνὴρ οὐκ ἐπὶ τῶν αὐτῶν μένει; οὐδ' ἃ καλῶς ἔκρινεν ἔχειν τηρεῖ; οὐ δείκνυσι βεβαιότητα τρόπων; οὐ δέδοικε μή τις αὐτὸν Εὔριπον ἐν σκώμματι καλέσει;[11] ἀλλ' εἰ μὲν τῶν νεωτέρων τις ἐπεπόνθει τοῦτο, κάκιςος ἂν ἦν. καὶ κατηγόρεις εὐθὺς, καὶ ἀπεκήρυττες. αὐτὸς δὲ τοῖς δευτέροις τὰ πρῶτα διαβάλλων, οὐκ αἰσχύνῃ; ἔα γνῶσιν καλὴν καὶ προσήκουσάν σοι μένειν· καὶ μὴ τὴν εὐδοξίαν, ἣν ἐκτήσω διὰ τῆς ἀποκηρύξεως, ἀνέλῃς. χάριν δὲ ἣν δίδως, οὐ δέχομαι. ἧς γὰρ οὐδὲν δέομαι, ταύτην οὐχ' ὁρῶ διότι δεῖ λαμβάνειν. οἶμαι

[11] καλέσῃ in Coniunctiuo.

οἶμαι δὲ οὐδὲ χάρις τοῦτό γε ἐστίν· ἣν ἄκοντα δεῖ λαβεῖν· ᾧ γὰρ λύπη συνέζευκται, πολὺ τοῦτο τῇ φύσει, τῆς χάριτος ἀποστατεῖ. οἷον εἴ τις ἐξ ἀριστείας ἥκων, αἰτοίη τυχεῖν τινὸς, ὁ δῆμος δὲ τοῦτο μὴ δῴη· πλέθρα δὲ γῆς, ἢ τὶ τοιοῦτον. ἆρ' οὐκ ἄν σοι δοκῇ φυγεῖν τὸ τὴν γῆν λαβεῖν; εἰ δ' αὖ ἀναγκάζοιτο, διχόθεν ἀλγήσειν, ἔκ τε τοῦ μὴ τυχεῖν ὧν ἐβούλετο, καὶ λαβεῖν ὑπ' ἀνάγκης οὗ μηδὲν ἔχρῃζε. σαφῶς γὰρ οὑτωσὶ τιμωρία τίς ἐστίν, ὃ μὴ κατὰ νοῦν τῳ γίγνεται. εἰ μὲν οὖν ἐγκαλεῖ μοι τὶ καὶ νῦν Νεοκλῆς, καὶ δίκην ἀπαιτεῖν ἐθέλει, τί τοῦτό ἐστιν εἰπάτω. εἰ δ' οὐδὲν αἰτιᾶσθαι δύναιτο ἄν, μή με κολαζέτω τῷ τοῦ δοκεῖν χαρίζεσθαι σχήματι. χωρὶς δὲ τούτων, τὸ μὲν οἴκαδέ με καλεῖν, τούτου· τὸ δ' ὑπακούειν, ἢ μὴ, τουτὶ τοῦ καλουμένου. δράσας τοίνυν ὅπερ ἦν αὐτοῦ, καὶ τῆς ἐμῆς εἰς τὸ μὴ πείθεσθαι τοῖς καλοῦσιν ἐξουσίας, ἀνεχέσθω· καὶ μὴ τὸ μὴ πείθεσθαί με τοῖς καλοῦσι νομιζέτω θαυμαστόν· ἀλλ' εἰ τῆς ὕβρεως ἐκείνης οὐκ ἐπιλελησμένος εἰπόμην· ἡμάρτανε γὰρ φησι, καὶ τοῦτ' ἐποίει τὴν ἀποκήρυξιν· μόνος, ὦ Νεόκλεις, ἐγώ, τῶν δ' ἄλλων νέων οὐδείς; οὐ ταῦτ' ἐστι τῆς νεότητος ἐπιεικῶς ἐκφέρεσθαι τῶν προσηκόντων; ἀγνοῆσαί τι τῶν πρεπόντων; οὐ τούτοις ἡ συγγνώμη παρὰ πάντων ἕτοιμος. οὐ μόνον τῶν πατέρων, ἀλλὰ καὶ τῶν ἄλλων, καὶ τῶν πολιτῶν· καὶ ξένων· ὧν οὐκ ὀλίγοι πολλὰς πολλάκις προπετείας ἤνεγκαν, εἰς ἓν μόνον βλέψαντες, τὴν ἡλικίαν; καὶ οὐ μόνον τοῖς ἐλευθέροις, ἀλλὰ καὶ δούλοις ἤδη πού τοῦτο τὸ δίκαιον συγγνώμην ἐνήνοχε. καί τις οἶμαι δεσπότης πρᾴως ἔχων ὤφθη πρὸς ἁμαρτίαν οἰκέτου νέου· ἔοικε γὰρ ἡ μὲν νεότης, θαλάττῃ κεκινημένῃ· τὸ γῆρας δὲ, γαλήνης ἡσυχίᾳ. καὶ τοῦτο, οὐ παρὰ μὲν ἡμῖν οὕτω νενόμισται, συγγνώμης δὲ ἀπεστέρηται παρὰ τοῖς βαρβάροις· ἀλλ' ὅπου περ ἀνθρώπων γένος, ἐκεῖ καὶ παραίτησις τοῖς νεωτέροις ὁ χρόνος. φέρε, εἴ τις ἁλοίη τῶν πρεσβυτέρων μεθύων, καὶ παροινῶν, καὶ μαχόμενος ὑπὲρ ἑταίρας, καὶ τύπτων. καὶ πληγὰς λαμβάνων· ἆρ' οὐκ ἂν τοῦτο μείζω ποιῇ τὴν κατηγορίαν, ὅτι σωφρονεῖν δέον, καὶ τῆς ἡλικίας ῥᾶστον αὐ-

τῷ τὸ σωφρονεῖν ποιούσης, ἔξωρος ὤν, τὰ τῶν νέων πλημμελεῖ; εἶτα τοῖς πρεσβυτέροις οὐ μεταδώσομεν συγγνώμης, ὡς τῶν νέων τοῦτο ὄν· πάλιν δ' αὖ τοῖς νεωτέροις ἀσυγγνώμονες ἐσόμεθα, τὴν διὰ πάντων παρ' αὐτοῖς σωφροσύνην ζητοῦντες; διαγράψωμεν ἄρα τὴν συγγνώμην ὁλωσὶ τοῖς πᾶσι,[12] τοῖς μὲν ὡς οὐκ ἐξὸν λαμβάνειν, τοῖς δ' ὅτι χαλεπῶς ἔχομεν. Νεοκλῆς μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, κρείττων ἔσω τῆς ἀνθρωπίνης φύσεως· πάσης αἰτίας καθαρὸς, καὶ ὅσων βούλεται παῖς· ὑμεῖς δὲ ὑμᾶς αὐτοὺς ἀναμνήσατε τῶν ἐπὶ τῆς νεότητος ἔργων· ἀλλ' οὐκ ἐμισεῖσθε ὑπὸ τῶν γονέων· οὐδ' ἐξηλαύνεσθε τῶν πατρώων· οὐδ' ἐγίγνεσθε ῥαδίως τῶν γεγενηκότων ἀλλότριοι. θαυμάζω δὲ εἰ μεθύουσι μὲν ἀνθρώποις, καὶ λυπουμένοις, καὶ θυμουμένοις ἔσται συγγνώμη πλημμελοῦσι διὰ τούτων ἕκαστον. τῇ νεότητι δὲ οὐκ ἔσται, μεγίστῃ γε οὔσῃ μέθῃ καὶ ἰσχυροτάτῃ, κατὰ τὸν ἀληθῆ λόγον· κηδόμενος γὰρ σοῦ, φησὶν, ἀπεκήρυττον, ὅπως γένοιό μοι βελτίων· καὶ τί δε ἀδίκημα σωφρονίζειν υἱόν; οὐδέν· ἀλλ' εἰσὶν, ὦ ἄνδρες Ἀθηναῖοι, πολλοὶ τρόποι τοῦτο ποιοῦντες, ἡμερώτεροι τε ἀποκηρύξεως, καὶ μείζω τὴν ὠφέλειαν ἔχοντες· οἷς ὑμεῖς ἐκέχρησθε πρὸς τοὺς ὑμετέρους αὐτῶν· εἰσὶ μὲν γὰρ ὑμῖν ἀγαθοὶ παῖδες· ἀλλὰ παῖδές γε, ὦ ἄνδρες δικασταί. τοῦτο δέ ἐστι τοὔνομα τῆς οὐ πάντα ἀναμαρτήτου καὶ πόῤῥω μέμψεως ἡλικίας. δεῖ γὰρ, οἶμαι, τὸν οὐχ ἁμαρτησόμενον τὰ ἐκείνων, ὑπορπηδῆσαι τουτονί πως, εἰ οἷός τε, τὸν χρόνον· καὶ πρὶν ἔφηβον εἶναι, γηράσκειν. πῶς οὖν ὑμεῖς ἐπανορθοῦτε τοὺς υἱεῖς; ὡς πατέρας εἰκός· ὁ μὲν, καθήψατο ῥήμασιν· ὁ δὲ, εἶρξε τραπέζης· τῷ δὲ ἱμὰς ἤρκεσεν· ὁ δ' αὐτοῦ προσεφθέγξατο χρόνον τινά. πολλὰ ἂν δυνηθείη καὶ βλέμμα ἄγριον, καὶ βοὴ μεγάλη· καὶ τὸ τοῖς οἰκείοις[13] ἐπ' αὐτὸν χρῆσθαι δὶς καὶ τρίς. ἀλλὰ δεῖ τινος καὶ μείζονος; ἀπείλησον τοῦτο, ὃ πέπονθα ἐγὼ, τὴν ἀποκήρυξιν. αὕτη δὲ

[12] ὅλως τοῖς πᾶσι, aut ὦ λῶστε τοῖς πᾶσι.

[13] immittere filio familiares atque necessarios, qui eum obiurgent.

δὲ μελλέτω· καὶ γὰρ ὁ τὸν νόμον τεθεικὼς, δοκεῖ μοι τοῖς πατράσι τὴν ἀπειλὴν τεθεικέναι μόνην· εἴπερ ἦν κηδεμὼν τῆς πόλεως· ἔπρεπε δὲ, οἶμαι, νομοθέτῃ γε ὄντι. οὐ γὰρ ἠγνόει δήπου τοῦθ' ὅτι πολλοὶ χείρους ἔσονται, λαβόντες ἐλευθερίαν καὶ τὸ ποιεῖν ὅ, τι δόξειεν αὐτοῖς, εἴπερ αὐτοὺς οὐδὲ τὸ ζῆν ὑπὸ τοῖς πατράσιν ἴσχυσε κατασχεῖν. τροφῆς μὲν γὰρ ἔμελλον εὐπορήσειν· καὶ πολλοὺς ἕξειν τοὺς ἐπαρκέσοντας, συγγενεῖς, ἑταίρους, συνήθεις, φίλους, τοὺς ἐλεεῖν εἰδότας. ὥστε τούτου γε εἵνεκα, οὐδὲν ἔμελλον ἐπιτηδεύειν βέλτιον, ὄντων μὲν πολλῶν τῶν διαφθειρόντων καὶ πρὸς τὰ χείρω παρακαλούντων, κωλύειν δὲ οὐδενὸς κυρίου, τῆς ἐξουσίας δὲ ὡς πλείστης. ταῦτ' οὐκ ἐλάνθανε τὸν νομοθέτην· ταῦθ' ὑμεῖς αὐτὸν ἡγεῖσθε σαφῶς εἰδότα, τεθεικέναι τὸν νόμον, φόβον μὲν[14] γιγνόμενον, τοῖς γένεσι δὲ οὐ πολεμοῦντα. ἥττης γὰρ οἶμαι τῆς ἐν πολέμῳ τέλος, διασπᾶσθαι γονέας ἀπὸ τέκνων. ὑμεῖς οὖν καλῶς στοχαζόμενοι τῆς γνώμης τῶν γραμμάτων, τοῦ μὲν ὡς ἐκβαλεῖτε, πολλάκις ἐμνήσθητε· τὸ δὲ ἔργον οὐχ ὑπεμείνατε· ἀλλ' ἐν τῷ κεκτῆσθαι, ἐπεμελήθητε τῶν τρόπων· Νεοκλῆς δὲ μόνος, τὰ μὲν ἄλλα πάντα ἡγήσατο ἀσθενῆ, τοσαῦτα καὶ τηλικαῦτα· καὶ πολλοῖς ἀρέσκοντα· μίαν δὲ νουθεσίαν μόνην, μηκέτ' εἶναί μου πατήρ. καί τοι τήν γε φύσιν τὴν ἐμὴν, αὐτός τε ἐπῄνει, καὶ τὸν διδάσκαλον ἔφη θαυμάζειν, ὡς μεγάλα πράγματα ἀνευρησομένην, καί τινα ἔχουσαν ἐν αὐτῇ γενναιότητα· ὅτι δὲ τὴν ὧδε ἔχουσαν, οὐκ ἔστιν ἀτρεμεῖν, ἀλλ' ἀνάγκη ποιεῖν τὸ τῶν γενναίων πώλων, τοῦτο οὐκ ἐβουλήθη λογίσασθαι. τί οὖν ἐστι τὸ ἐκείνων; σκιρτῶσι, πηδῶσι· δυσχεραίνουσι τὸ ζεῦγλον· καταράσσουσι τὸν ἡνίοχον· ἐκβαίνουσί τι τῶν τεταγμένων· ἀλλ' οὔτ' ἀθυμεῖ, τούτων γιγνομένων, ἡνίοχος, οὔτ' ἀχρήστους ἡγεῖται τοὺς ἐγρηγορότας· ἀλλ' ἔστιν αὐτῷ ταῦτα σημεῖα τῆς μελλούσης ἀρετῆς· καὶ φέρει τὰ δύσκολα τῶν πώλων, ἐπὶ τῇ τῶν δευτέρων ἐλπίδι· τοὺς δέ γε ὑπτίους καὶ καθεύδοντας·

καὶ

[14] f. φοβερὸν μὲν γ.

καὶ τὴν κεφαλὴν οὐκ αἴροντας· οὐδὲ θορυβοῦντας τὸν ἐλαύνοντα, οὐ πρᾴους, οὐδὲ σώφρονας, ἀλλὰ νωθεῖς νομίζει. εἶτ' ἐπὶ μὲν τῶν ἵππων τοῦτο ποιοῦντες, εὖ φρονεῖν δόξομεν· τοῖς δὲ υἱέσιν, ἂν ὑπὸ τῆς εὐφυΐας ἐκτείνωνται, τὴν οἰκίαν ἀλλοτρίαν καταστήσομεν; καὶ τί μᾶλλον ἔχει λόγον, τοὺς βραδεῖς ἐκβάλλοντας, τῶν ὀξέων ἔχεσθαι ἢ ἐκείνους ἀγαπῶντας, τούτοις ὡς πονηροῖς μάχεσθαι. νῦν δὲ Μιλτιάδης μὲν στέργων διατελεῖ Κίμωνα, ὃν ἴστε καὶ οὐκ ἐποιήσατο τὴν εὐήθειαν τοῦ νεανίσκου, πρὸς ἀποκήρυξιν αἰτίαν. τῶν δὲ ἐμῶν ὁ πατὴρ οὐκ ἠνέχετο σκιρτημάτων· μᾶλλον δὲ τὰς ἄλλας νουθεσίας ἀτιμάσας, ἀπεκήρυξε τῆς οἰκίας· καὶ λέγει μὴ μισοῦντος εἶναι τὸ ἔργον, ἀλλὰ καὶ παιδεύοντος καὶ βουλομένου μετὰ[15] τὴν θεραπείαν τῶν τρόπων κομίσασθαι. ὡς τοίνυν ψεύδεται, καὶ μισοῦντος ἦν, οὐ μεταβολὴν ζητοῦντος, ῥᾴδιον ὑμᾶς διδάξαι. εἰπὲ γάρ μοι· τὸ τῶν κοινῶν φροντίζειν, καὶ τὴν πόλιν εὖ ποιεῖν, ἤδη σωφρονοῦντος, ἢ παροινοῦντός ἐστιν. οὐκ ἂν εἶναι φαίη[16] τάγε τοιαῦτα μεθυόντων. ἐγὼ δὲ τοχθὲς τούτων ἡψάμην τῶν φροντίδων, ἢ πάλαι;[17] πῶς οὖν οὐχ' ἅμα τε μετεβεβλήμην, καὶ πρὸς τὸν οἶκον ἐκαλούμην· πολλοὺς καιρούς, ὦ Νεόκλεις, διαλλαγῶν, πολλοὺς παραλέλοιπας· ἠγρύπνουν· ἐπεθύμουν ἐμαυτὸν ἐξισῶσαι τῷ Μιλτιάδῃ· σὺ δὲ ἐτήρεις τὴν ἀποκήρυξιν. τριήρεις ἑκατὸν Ἀθηναίοις ἐποίουν· σὺ δὲ οὐκ ἔλυες τὴν ἀπέχθειαν. διήλλαττον τοὺς Ἕλληνας πρὸς αὐτούς· σὺ δὲ οὐ διηλλάττου τῷ παιδί. τὴν γνώμην εὕρισκον τοῦ Πυθίου· σὺ δ' οὔπω με σωφρονεῖν ἡγοῦ. ἀντέχον πρὸς τὴν φήμην ἐκείνην, καὶ τὸν λόγον τῆς βασιλέως στρατείας. Ξέρξης ἐλαύνει τοὺς τὴν Ἀσίαν οἰκοῦντας, μικροῦ πάντας ἐπὶ τὴν Εὐρώπην ἄγων· καλύπτεται δὲ καὶ ἡ γῆ πεζῷ πολλῷ,

[15] f. *βουλομένου με μετὰ τ. θ.* volentis me rursus domi suae recipere post factam morum meorum emendationem.

[16] *ἴσ. φαίης* m. M.

[17] voc. *πάλαι* videtur iterandum, sic: *ἢ πάλαι; an iam dudum?* respondet *πάλαι tam dudum.* *πῶς ἂν οὐχ* —

πολλῷ, καὶ ναυσὶ θάλαττα· ποταμοὺς δὲ ἤλεγξεν ἡ στρατεία, πιοῦσα· τῶν τοξοτῶν δὲ ἀφιέντων βέλη, τὸ ὑπὸ τούτοις, σκιά· γῆν δὲ ποιεῖ τοῖς ὁπλίταις, καὶ ταῖς τριήρεσι θάλατταν· καὶ δοκεῖ τοῖς ὁρῶσι θεῶν ὁ μέγιστος ἐν ἀνθρώπου τύπῳ πάντα κινεῖν· τῶν δὲ Ἑλλήνων οἱ μὲν, φόβῳ συνακολουθοῦσιν· οἱ δὲ ἡσυχάζειν ἐγνώκεισαν· τούτων οὐδέν μου κατέσεισε τὴν γνώμην, οὐδ' ἐξέπληξεν· οὐδ' ἔπεισε καταλῦσαι τὰς ἀμείνους ἐλπίδας· οὐδ' ἐπὶ ξενία τοὺς ἐπὶ τὴν βῶλον ἥκοντας ἐκάλεσα κήρυκας· ἀλλ' ἀπέκτεινα· καὶ οὐδὲ δι' οὗ ταῦθ' ὑμᾶς ἑρμηνέως ἐδίδασκον, οὐδ' οὗτος διέφυγε τὴν δίκην· ἀλλ' ἦν μὲν ἡμέτερος ἄποικος· ὅμως δὲ ἀπέθνησκεν ἀντὶ τῆς φωνῆς αὐτοῦ. ταῦτ' οὐκ ἦν, ὦ Νεόκλης, ἱκανὰ τεκμήρια τοῦ καλῶς μοι τὴν ψυχὴν ἡρμόσθαι, τούτων ἕκαστον οὐκ ἦν ἀρκοῦν ἀποδοῦναί μοι τὴν οἰκίαν, οὐδ' ἐμοὶ μὲν ἀρετὴν μαρτυρῆσαι, σὲ δὲ πεῖσαι μὴ χαλεπαίνειν. ἀλλ' Ἀθηναῖοι μὲν πάντες ἐπῄνουν, καὶ παραπλησίως ἐπείθοντο τοῖς τε παρὰ τοῦ Πυθίου, καὶ τοῖς ἐμοῖς ψηφίσμασι καὶ λόγοις· καὶ τὴν τῶν ὅλων σωτηρίαν ἐν ταῖς ἐμαῖς εἶχον ἀνακειμένην γνώμαις. σοὶ δ' οὔπω καλὸς κἀγαθὸς ἐδόκουν, οὐδ' ἀποχρώντως πεπαιδεῦσθαι νὴ Δί'· ἔργων γὰρ ἐπεθύμεις καὶ τροπαίων; ἀλλ' ὦ πρᾳότατε πατέρων ὁ χρηστὸς καὶ σπουδαῖος ἀνὴρ, τῇ γνώμῃ καὶ οἷς προείληπτο,[18] κρίνεται· κἂν μὴ τὸ πέρας ἀκολουθήσῃ τῶν βεβουλευμένων ἄξιον, οὐδὲν ἧττον ἐστι σπουδαῖος· τοῦτο μὲν γὰρ ἐκ τῆς τύχης ἤρτηται. τῷ δὲ δεῖ μηδὲν ἂν ἐσκέφθαι προσῆκον λελεῖφθαι. ἔχων οὖν μου τῆς σωφροσύνης οὐ μικρὰς οὐδ' ὀλίγας τὰς ἀποδείξεις, τί περιμένων οὐ διηλλάττου. μία γὰρ ἐκκλησία κρείττων οὐκ[19] ἂν ἦν δικαίως τῆς ἀποκηρύξεως.[20] ἀλλ' ἐνὶ τὸν ἀγαθὸν ἡγοῦ δείκνυσθαι, ταῖς νίκαις; καλῶς, ταύ-

τας

[18] οἷς προείληπτο] idem eſt atque ſi dixiſſet οἷς προῄρητο, id eſt ταῖς προλήψεσιν vel προαιρέσεσιν αὐτοῦ.

[19] οὐκ videtur delendum.

vna ſola concio potuiſſet abdicationem iniuſtam rurſus abrogare, et, ſi feciſſet, feciſſet id iure merito.

[20] f. τῆς ἀδίκου ἀποκηρύξεως.

ταις τοίνυν ἀνηρήμην ἐπ' Ἀρτεμισίῳ, καὶ πρώτῃ ναυμαχίᾳ καὶ δευτέρᾳ καταναυμαχῶν, πρᾶγμα δείξας ἀνέλπιστον Ἕλλησι, βαρβάρους ἐφ' ἡμῶν[21] κατὰ θάλατταν ἡττωμένους· ἀλλ' ἐκεῖνοι μὲν ἡττῶντο· τὸ δὲ σὸν πρὸς ἐμὲ μῖσος οὐκ ἐνικᾶτο. οὕτως ἦν πολὺ, καὶ μέγα, καὶ μόνιμον, καὶ ἀήττητον. καί τοι πρὸς ὑμᾶς ἔλεγεν, ὡς φίλος ἦν μοι, καὶ διὰ ταῦτα παρ' αὐτοῦ λελύκει τὴν ἀποκήρυξιν, εἰρωνευόμενος, ὦ ἄνδρες δικασταί· τίς γὰρ ἂν ἐκ δυσμενοῦς γεγονὼς φίλος; καὶ πρᾶος ἐκ χαλεποῦ, τοῦτ' αὐτὸ πρὸς ἐκεῖνον τὸν ἄνθρωπον, πρὸς ὃν οὕτω διετέθη, κατώκνησεν ἂν εἰπεῖν; οὐδείς· ἔχθραν μὲν γὰρ ἤδη τις ἔκρυψεν ὡς ἐν σχήματι φιλίας· φίλος δὲ ὤν, οὐδεὶς ἠβουλήθη δυσμενὴς εἶναι δοκεῖν. ἐκ μὲν γὰρ ἐκείνου, κακῶς τε ποιοῦντα λανθάνειν ἐστὶ, καὶ μὴ παθεῖν· ἐν τούτῳ δὲ, οὐ ποιοῦντα[22] μισεῖσθαι. τί γὰρ ἐκώλυεν, ᾧ τότε πρὸς τὴν ἀποκήρυξιν ἐχρήσω τάχει, τούτῳ χρήσασθαι πρὸς τὰ ἡδίω. μὴ Μῆδοι, καὶ Ὑρκάνιοι· καὶ ἡ πολλὴ βασιλέως χεὶρ, ἐκώλυσε ταῦτα μὴ πραχθῆναι· καὶ δεινότατα πάντων ἔπασχες ἀνθρώπων, οὐκ ἐώμενος ἐπιδείξασθαι τὰς διαλλαγάς. ὃ νῦν δρᾷς ὦ Νεόκλεις, οὐκ ἐξῆν πρότερον· οὐ βραχέων ἔδει ῥημάτων; οὐ μικροῦ μέρους ἡμέρας; ἢ τοῦτ' ἂν ἦν ἐμπόδισμα ταῖς ναυμαχίαις καὶ τοῖς πολέμου πράγμασιν; ἀλλ' οὐκ ἂν εὔφρανας, οἷς ἐποίεις, τὸν δῆμον; ἀλλ' οὐκ ἂν ἐμὲ τοῦτον, ὃν τότε μὲν οὐκ ᾔδεις, νῦν δὲ βιάζῃ; οὐκ ἂν σε ἔφην καλήν τινα ταύτην εἰσφορὰν εἰσενηνοχέναι τῷ καιρῷ; πῶς οὖν πρότερον σιγήσας, νῦν γίνῃ πατὴρ· οὐκ ἐμὲ αἰτήσασθαι βουλόμενος· ἀλλὰ δι' ἐμοῦ τὴν ναυμαχίαν, τὴν Σαλαμῖνα, τὴν νίκην, τὰ ναυάγια· τὸν τῶν βαρβάρων φόνον. τὸν βασιλέως δρασμόν. τῶν γὰρ ὑπὸ τῶν παίδων ὦ ἄνδρες Ἀθηναῖοι, κατωρθωμένων, κοινωνοῦσι τῆς δόξης οἱ γεγενηκότες· καὶ τὸ μὲν θαῦμα, τοῦ δράσαντος· ἡ φιλοτιμία δὲ,

ἀμ-

[21] f. ὑφ' ἡμῶν.

[22] οὐ ποιοῦντα] scil. κακῶς.

ἀμφοτέρων. τοιοῦτον οὖν ἔργον[23] ὑπ' ἐμοῦ πεπραγμένον οἷον οὔπω πρότερον ἐπεῖδεν ὁ ἥλιος ὁ μεθ' ἡμῶν,[24] ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τῶν ὑμετέρων ἀρετῶν πολὺ τοῦ Μαραθῶνι[25] σεμνότερον. ἐκεῖ μὲν γὰρ ἡ πεῖρα διὰ Σατραπῶν, τοῦτο δὲ αὐτοῦ βασιλέως στρατηγία· κἀκεῖ μὲν πεντήκοντα μυριάδες στρατείας· ἐνταῦθα δὲ πεντακόσιαι. ταῦτ' οὖν ὁρῶν καὶ συλλογιζόμενος, γέγονε μὲν οὐδὲν πρὸς ἐμὲ τῇ γνώμῃ βέλτιον· εἰτάγει δ' αὐτὸν εἰς τὰ πεπραγμένα· ἀλλ' ἔσω μὲν εἰ βούλεται μερίτης· μᾶλλον δὲ περιιὼν, ὡς αὐτοῦ τὰς νίκας ᾀδέτω· κἂν εἰς τὸν δῆμον βούληται λέγειν, ὡς ἐγὼ μέν τοι τὸν ταῦτα δεδρακότα παρεχόμην ὑμῖν· ἐγὼ τὸν δυνατώτερον τοῦ βασιλέως πλούτου τοῖς τῶν Ἑλλήνων πράγμασιν ἔδωκα. λεγέτω, καλλωπιζέσθω. φθόνος οὐδεὶς, ἂν μὴ τῇ τῆς ἀποκηρύξεως ἡμέρᾳ ταῦτα λογίζηται· τοῦτο γὰρ οὐκ ἔτ' ἀνέξομαι, ὡς οὐ τῆς ἐμῆς τὰ ἔργα φύσεως, ἀλλὰ τῆς ἀτιμίας. εἰπέ μοι πρὸς θεῶν, ὦ Νεόκλεις. σὺ μόνος ἐχρήσω τούτῳ τῷ νόμῳ κατὰ παιδὸς, ἤ τινα καὶ ἕτερον εἰπεῖν ἂν ἔχοις. εἰ μὲν γὰρ μόνος, ὅρα τί συμβαίνει· καὶ τίνα σαυτὸν δεικνύεις Ἀθηναίοις· εἰ δ' εἰσὶν οἱ ταυτόν σοι πεποιήκασι, πολλοὺς ἔδει Θεμιστοκλέας εἶναι τῇ πόλει, εἰ τοῦτο ἔργον ἦν ἀποκηρύξεως, τοιούτους ποιεῖν τοὺς νέους. ἀλλὰ γὰρ, ὅπερ ἔφην, ἔσω μὲν κοινωνὸς εἰ βούλεται τῆς δόξης· καὶ θαῤῥείτω γε ὡς οὐδὲν κακὸν ὑπ' ἐμοῦ πεισόμενος. οὐ γὰρ δὴ μνησικακήσω γε· οὐδ' ἐπὶ τιμωρίας τρέψομαι· μήποτε οὕτω γενοίμην κακός· ἀλλὰ κἂν εἴ τις ἄλλος ἐπηρεάζοι καὶ χαλεπανῶ, καὶ οὐκ ἐπιτρέψω· καὶ παῖδα οὗτος ἐν τούτοις ὄψεταί με. τὴν δὲ οἰκίαν ἐχέτω κατ' αὐτόν· καὶ κληρονόμον ζητείτω χρηστόν τινα καὶ σώφρονα· πολλοὶ δὲ Ἀθήνησι· καὶ ἴσως πλὴν ἐμοῦ πάν-

23 τοιοῦτον οὖν ἔργον —] cohaeret cum ὁρῶν et συλλογιζόμενος paulo poſt.

24 μεθ' ὑμῶν *vobiſcum.* poſt ἀρετῶν videtur κατειργασάμην vel tale quid deeſſe.

25 recte habet Μαραθῶνι ſine ἐν. inutilis, et praua adeo eſt Morelli coniectura.

πάντες. τί σαυτὸν, ἄνθρωπε, καταισχύνεις; τί τῶν ὀνειδῶν, ὧν ἀπήλλαξας τὸν οἶκον, ταῦτα πάλιν σεαυτῷ περιάπτεις; εὐδοκίμησας ἐκβαλών με· καὶ διαφύλαττε τὴν δόξαν. ἀλλὰ δέδοικας μή τι παρὰ τῶν θεῶν διὰ ταῦτά μοι προσπέσῃ; εἰ μέν σε προυπηλάκιζον ἢ κακῶς ἔλεγον, ἢ τοὺς πράγματά σοι παρέξοντας καθίην, ἴσως μὲν οὐδ᾽ ἂν τότε περὶ πατέρα ἡμάρτανον. σὺ γὰρ τοῦτο ἐξήλειψας τὸ δίκαιον διὰ τοῦ δικάζοντος· πλὴν δῶμεν ἐπ᾽ ἐκείνων ἂν γενέσθαί τινα παρὰ τῶν θεῶν ὀργήν· εἰ δὲ ἐν οἷς με σὺ κατέστησας, ταῦτα ἀκίνητα φυλάττω, πῶς τοῦτο τοῖς θεοῖς ἀηδές; δεινὸν τὸ μὴ χαρίσασθαί σοι; τὸ δὲ τὴν μητέρα προδοῦναι τὴν διὰ τὴν ἐπ᾽ ἐμοὶ λύπην ἀποθανοῦσαν, οὐ δεινόν; ἢ ταῦτα οὐκ οἴει τοὺς θεοὺς εἰδέναι; ἢ μὴ βούλεσθαι παρὰ τοῖς υἱέσιν εἶναί τι καὶ τὸ τῶν μητέρων; αὐτῶν δὲ ἐκείνην αἰσθανομένην, οὐκ οἴει στενάζειν;[26] καὶ διαλέξασθαι τοῖς τούτων ἐφόροις δαίμοσιν, οἷα ἀνθ᾽ οἵων κομίζεται; πάνυ γε ταῦτα ἀκίνδυνα. καλόν γε εἰσελθεῖν ἐκεῖσε, οὗ κατέκειτο ἡ ταλαίπωρος ἀρρωστοῦσα, τίλλουσα τὰς τρίχας καὶ σπαράττουσα τὸ πρόσωπον καὶ τούτου δεομένη, λῆξαι τοῦ θυμοῦ καὶ μὴ τυγχάνουσα οἴκτου· καὶ τὴν ψυχὴν ἅμα δάκρυσιν ἀφιεῖσα· καλόν γε, οὗ ταῦτα ἐπράχθη, πίνειν ἐμὲ, καὶ στεφανοῦσθαι· καὶ τοὺς ἐπιτηδείους ἑστιᾶν, καὶ λύρας ἀκούειν, καὶ σκολιῶν· καὶ ἄλλα ποιεῖν, ὅσα ἐν συνδείπνῳ νόμος. καλῶν γε ὀνειράτων ἐπὶ τοιούτοις δείπνοις ἐσόμεθα.[28] τίς[29] καὶ πρὸς ἑτέρους ἀγῶνας ἀπ᾽ εὐσεβῶν[30] πλεύσομαι τῶν ἔργων; δέδοικα, ὦ ἄνδρες Ἀθηναῖοι, μή με τοῦτο τῆς εὐνοίας ἀποστερήσῃ τῆς τῶν Ἐλευσινίων θεῶν. δέδοικα μή μοι δυσμενεῖ[31] ποιήσῃ τὰ πνεύματα· μὴ τοὺς Αἰακίδας, ἐχθρούς·

26 f. στενάξαι. ob insequens διαλέξασθαι, vel potius στενάξειν καὶ διαλέξεσθαι.

27 συνδείπνων m. Mor.

28 f. γευσόμεθα.

29 τίς —] hic deesse nonnulla videntur. num leg. τίσιν οἰωνοῖς καὶ πρὸς ἑτέρους ἀγῶνας ἀπ᾽ ἀσεβῶν πλ. ab] *impiis facinoribus.*

30 ἐλεύσομαι m. M.

31 δυσμενῆ in accusat. plur. nam redit ad πνεύματα.

θρούς· μὴ τὴν θάλατταν ἐναντίαν. ἥδιςον; ὦ Νεόκλεις, ἡ συνήθεια τοῖς ἀνθρώποις· βεβίωκας ἄνευ ἐμοῦ χρόνον ἤδη μακρόν· ἔχου τῆς τέρψεως. βεβίωκα τὸν αὐτὸν, μηδενὸς τῶν σῶν μετέχων· ου προήσομαι τὴν ἀπὸ ταύτης τῆς μελέτης ἡδονήν. χωρὶς δὲ τούτων, οὐδ᾽ ἄλλως ἡμῖν ἀσφαλὲς συνοικεῖν. λέγεται γὰρ τὴν φύσιν βέβαιόν τι καὶ πάγιον εἶναι. σὺ μὲν οὖν, ἐπ᾽ ἄκρον ἀρετῆς ἥκεις· καὶ οὐδ᾽ ἂν τοῖς φιλαιτίοις εἰς αἰτίαν ἀφορμὴν δοίης. ἐγὼ δὲ γέμω νοσημάτων· ἃ νῦν μὲν ἴσως ἡσυχάζει· χρόνου δὲ προϊόντος, κινήσεται· ἀνάγκη δὴ πάλιν ταῦτα ποιεῖν, μέμφεσθαι, καταβοᾶν, ἐγκαλεῖν, κατηγορεῖν τῶν διαλλαγῶν· ἐπαινεῖν τὴν ἀποκήρυξιν· βουλεσθαι[32] περὶ δευτέρας· οὐκέτ᾽ ἂν εἴη ἐμὸν μόνον ὄνειδος· ἀλλὰ καὶ ὧν ἡγησάμην ἁπάντων Ἀθηναίων· ἵν᾽ οὖν μὴ χαλεπώτερα ἐπισπασώμεθα κακά· μηδ᾽ ἐπὶ πολλῷ συνέλθωμεν, ςήσωμεν ἐνταυθοῖ τὸ πρᾶγμα. οὐδὲν δέομαι χρημάτων. ἀρκεῖ μοι τὸ μέχρι Σούσων ἀφιγμένον ὄνομα. οὐ δεῖ βασιλέα τοιοῦτον δέξασθαι λόγον, ὡς ἐγὼ μικρός τις εἰμὶ τὴν γνώμην καὶ καλουμενος ὑπὸ τῶν ὑβελιςτων ἐπὶ κλῆρον καὶ κέρδος, τρέχω. πατὴρ οὐκ ἐςί μοι Νεοκλῆς, καὶ ταῦτα ζῶν ἔτι· ἀλλ᾽ ἔςιν ἕτερος, εἰ δίκως εἰπεῖν, βελτίων, ὁ τὸ μέγα ἔργον ἐργασάμενος, ὁ δῆμος. ὁ τῆς μὲν χώρας ἀνθελόμενος τὴν θάλατταν, τὴν χώραν δὲ αὐτὴν διὰ τῆς θαλάττης ἀπολαβών· τοῦτον θεραπεύων καὶ μείζω ποιῶν, βιώσομαι· παρὰ τούτου τιμώμενος, ἔχω τὴν μεγίςην οὐσίαν. σὺ δ᾽ ἂν οἰκοδόμει[33] μὲν τὴν οἰκίαν· ἔξεςι γάρ· οὗτω[34] δὲ τὰ σαυτοῦ παραδῷς. μετὰ τῶν φίλων σκόπει. ὡς ἐμοί γε οὐ μόνον εἰσελθεῖν ἐκεῖσε φοβερὸν, ἀλλὰ κἂν παρὰ τὰς θύρας ςῶ, πλήττομαι τὴν ψυχὴν ὑπὸ τῆς μνήμης, ὧν ἔπαθον.

[32] βουλεύεσθαι deliberare

[33] ανοικοδόμει vno vocabulo.

[34] οὗτω] lege ὅτῳ *cui.*

ΜΕΛΕΤΗ.

ΠΡΟΘΕΩΡΙΑ.

Ἀλκίππη θυγάτηρ Ἄρεος ἦν· ἐτύγχανε δὲ Ποσειδῶνος υἱὸς Ἁλιῤῥόθιος, ἐρῶν αὐτῆς. ὁ μαθὼν Ἄρης, τοῦτον ἀπέκτεινε. καὶ δικάζεται Ποσειδῶν Ἄρει, ὑπὲρ Ἁλιῤῥοθίου.

ΠΟΣΕΙΔΩΝ.

Ἀπολωλεκὼς, ὦ θεοὶ, τὸν ἐμαυτοῦ παῖδα Ἁλιῤῥόθιον, ὃν ἴστε διὰ τὴν ὠμότητα τοῦ ῥαδίως τούτου κινοῦντος τὸ ξίφος, ἥκω δίκην παρ' αὐτοῦ ληψόμενος. ὃ μόνον τοῖς ἠδικημένοις εἰς παραμυθίαν λείπεται. δεῖ δὲ ἕκαστον ὑμῶν, ἣν ἂν εἶχεν ὀργὴν αὐτὸς τοιοῦτο πεπονθὼς, ταύτῃ χρήσασθαι καὶ νῦν ἐν τῷ δικάζειν ἐπὶ τοῦτον. τὸ γὰρ αὐτὸ καὶ δίκαιον καὶ λυσιτελοῦν, καὶ φυλάττον τῇ τιμωρίᾳ τοῖς ἄλλοις θεοῖς τοὺς ἑαυτῶν. τὴν μὲν οὖν ἐπιείκειαν τὴν ἐμὴν ἐξ αὐτοῦ τοῦ νῦν γιγνομένου πάρεστιν ὑμῖν ὁρᾶν, δικαστηρίῳ χρῶμαι, παρὸν τῇ χειρί. καὶ γὰρ εἰ θεὸς καὶ οὗτος, ὥσπερ ἡμῶν ἕκαστος, ἀλλ' ἔνι μοι πολλαχόθεν τὸ δύνασθαί τι πλέον· ὅμως δὲ οὐκ ᾠήθην δεῖν ἐπ' ἔργον ἐλθεῖν ἀντὶ λόγων. ὃ δὴ δίκαιον ὑμᾶς αἰσχυνθέντας, βοηθῆσαι τῷ τὴν τιμωρίαν ἐφ' ὑμῖν πεποιημένῳ. ἡ μὲν οὖν ἀγανάκτησις ὑμῶν, ἣν, ὡς ἠκούσατε τὸ πρῶτον εὐθὺς τετολμῆσθαι τὸν φόνον, ἐσχήκατε, καλή τε καὶ πρέπουσα θεοῖς· ὧν ἐστιν, οἶμαι, μηδὲν ὠμὸν ἐπαινεῖν. ἄξιον δὲ κἂν τῇ ψήφῳ τηρῆσαι τὴν γνώμην σήμερον· καὶ μὴ πρὶν μὲν δεῦρ' ἥκειν, μισεῖν τὸ πεπραγμένον, ἑτέρους δὲ ἐν τῷ δικαστηρίῳ γενέσθαι. καὶ φανῆναι τῷ κρινομένῳ παρα-

παραπλησίους τὸν τρόπον. ὃν εἰ ἀφήσετε νῦν, τὰ αὐτὰ ἂν τούτῳ καὶ αὐτοὶ[1] δράσαι πρὸς ἅπαντας ὡμολογηκότες ἔσεσθε. ἀκούσατε δὲ τὰ τῷ νεανίᾳ τούτῳ περί τε ἐμὲ καὶ τοὺς ἐμοὺς πεπραγμένα· καὶ σκέψασθε εἰ φορητὰ. ἦν μοι παῖς Ἁλιῤῥόθιος, ὃν οὐδ' ὑμεῖς[2] ἀγνοεῖτε· οὗτος ἤκουε πολλάκις μου λέγοντος, μεμνῆσθαι τοῦ πατρός· καὶ πειρᾶσθαι κτᾶσθαι, τήν τε παρὰ τῶν θεῶν, τήν τε παρὰ τῶν ἀνθρώπων εὔνοιαν· τῷ τοὺς μὲν αἰδεῖσθαι· τοὺς δ' ὅτε[3] δύναιτο, εὖ ποιεῖν. καὶ ἦν οὐ κακός· θυγατέρα δὲ ὡς εἶδε τούτου καλήν τε καὶ μεγάλην καὶ λάμπουσαν, καὶ[4] οἷον[5] αὐτῆς ἐμβαλεῖν ἔρωτα νεανίσκῳ· ἔπαθέ τι καὶ ἐθαύμασε· καὶ ἦν ἐραστής. τὸ μὲν οὖν πρῶτον, ἀπάγειν ἐπειρᾶτο τοὺς ὀφθαλμοὺς ἀπ' αὐτῆς, καὶ κρείττων γίγνεσθαι τοῦ πάθους. καὶ ἐπέπληττεν αὐτὸς αὑτῷ· καὶ τὰ μὲν ἔπειθε· τὰ δ' οὐκ ἴσχυεν· ἀλλὰ νῦν μὲν ἐκράτει· νῦν δὲ ἐκρατεῖτο. καὶ πάλιν νικῶν, ἠλέγχετο πάλιν· καὶ πολλάκις ἑκάτερον, ὦ δικασταί· τελευταῖον δὲ εἶξεν· οὐ κατέσχεν, ἀπεῖπεν, ἔκαμε μαχόμενος τοσούτῳ θεῷ· συνεχώρησε τῷ πεφυκότι κρατεῖν. προσῆλθεν· ἔδρασε· δράσας ᾐσχύνετο· κατηγόρει τῶν πεπραγμένων· οὐκ εἶχεν ὅστις γένηται, λογιζόμενος, πῶς μὲν ἐμὲ, πῶς δὲ τοῦτον ὄψεται. ἐγὼ μὲν οὖν ὡς ἐπυθόμην, ἤχθέσθην, καὶ περὶ τιμωρίας πρεπούσης τοῖς τοιούτοις, ἐβουλευόμην. ὁ δὲ εὐθὺς ἐπὶ τὸ ξίφος. ὑπερβὰς μὲν ἐμὲ, καὶ τὸ μέμψασθαι παρ' ἐμοὶ τὸν υἱόν. ὑπερβὰς δὲ καὶ ὑμᾶς καὶ τὸ παρ' ὑμῖν· ὑπερβὰς δὲ καὶ τὸ δι' ἑτέρων τινῶν δίκην λαβεῖν, ὄντων μυρίων. ἆρ' ὑμῖν οὐκ ἠδικῆσθαι δοκῶ; ἆρ' οὐκ ἐπιεξιέναι[6] δικαίως; ἆρ' οὐ πολλῷ τούτου μετριώτερος εἶναι, τὸ δικάσασθαι προκρίνας, ἢ ῥώμῃ χρήσασθαι; εἶτ' ἀξιώσει τὴν αἰτίαν ἐξετάζεσθαι τοῦ φόνου; καὶ

1 αὐτοὶ] sic Wolf. αὐτὸ M.
2 οὐχ ὑμεῖς m. M.
3 malim ὅ, τι quicquid. quocunque iure.
4 καὶ deest m. M.
5 leg. οἵαν.
6 ἐπιεξιέναι] sic W. ἐπεξιέναι M.

καὶ[7] γὰρ φθονῶν μοι τοῦ παιδὸς, τοῦτ' ἔδρασεν· ἢ μηδὲν ἔχων δίκαιον ἐγκαλεῖν· εἰ δὲ οὐ φθονῶν μὲν, Ἄρες ἀπέκτεινας δέ. ἧττον ἐγώ τι παρὰ τοῦτο τοῦ παιδὸς ἐξέρημαι; καὶ εἰ φαυλοτέρα γνώμη τῆς σφαγῆς ἡγήσατο σκοπεῖν ἀξιώσει. πάνυ γε, φαίην ἂν εἰ φαύλης ἐστὶ γνώμης ἐρᾶν φόνων,[8] καὶ σφάττειν εὐχερῶς. ἀφ' ἧς γὰρ, οἶμαι, γνώμης ἥδεται πολέμοις καὶ μάχαις· ἔνθα πολλοὶ μὲν νεκροὶ πολὺ δὲ αἷμα, γῆν τε φοινίττον, καὶ χρωννύον ποταμοὺς, καὶ ποιοῦν τοὺς ῥύακας, ἀπὸ ταύτης καὶ αὐτὸς, ὃν ἂν τύχῃ,[9] κτείνει. καὶ δεινὸν οὐδὲν οἴεται ποιεῖν, ἂν ἀφελόμενος τινα τὴν ψυχὴν, δείξοι κείμενον[1]· ἀλλ' ἐστι μεγίστη τούτων[10] αὐτῷ φιλοτιμία· κἂν τις αὐτὸν προσείποι βροτολοιγὸν, ἢ μιαιφόνον, ἐπήνεσε.[11] ταῦτά σε ποιεῖ φονέα πολλῶν· καὶ οὐκ ἂν ἀρνηθείης οὐκ εἶναι φιλαίματος. ἐπὶ τούτοις, ἐρεῖς τὴν Ἀλκίππην, καὶ ὡς ἥπτετο αὐτῆς. ἐγὼ δὲ τὸν ἔρωτα, καὶ ὡς ἦγεν ἐπ' αὐτήν· εἰ μὲν γὰρ ὕβρει τοῦθ' Ἁλιρρόθιος ἐποίει, καὶ ἀσελγείᾳ, καὶ λυπεῖν ἐθέλων· ὡς ἄν τις ὑπερορῶν καὶ καταφρονῶν, καλῶς τέθνηκεν· οὐκ ἀντιλέγω. εἰ δ' οὐχ οὕτως ἐμαίνετο καὶ παρεφρόνει, ὡς οὐκ οὔσης ἀνάγκης, τῇ μὲν προσιέναι, σὲ δὲ μὴ δεδιέναι· μὴ τοῦ δράσαντος μᾶλλον ἡγώμεθα τὸ ἔργον, ὡς τοῦ ἀναγκάσαντος. τὴν δὲ τοῦ ἔρωτος δύναμιν, ὡς ἄμαχος ὁ θεὸς, ὡς ἀνίκητος, ὡς πάντας αὐτοῦ ποιῶν ἀσθενεστέρους, τίς ἀγνοεῖ, ὅς γε ἶσον δύναται κατὰ ἀνθρώπων καὶ θεῶν. ἴσμεν[12] δὲ καὶ ὅσα ἠράσθημεν, εἴτε ἄλλοι, καὶ ὁ κορυφαῖος αὐτὸς, καὶ ὅτι γε τῶν ἀνθρώπων ἄρχοντες, ὑπὸ τούτου[13] μετ' αὐτῶν

7 ἢ φ. m. M.

8 φόνου m. M.

9 τύχοι m. M.

10 τούτων etiam in W. est. Sed fuit olim τούτῳ in aliis libris, in aliis eius loco αὐτῷ. ambae lectiones confusae sunt, et insuper temeratae. aut τούτῳ tolle, aut αὐτῷ m. M. dat. τοῦτ' αὐτῷ.

11 pro ἐπήνεσε est in W. et M ἐλύπησε, quod si probatur, leg. est οὐκ ἐλύπησε. *non offendit.*

1 Consentit W. etiam hic vulgatae. Sed ἴσμεν est iterandum, ad hunc modum. καὶ θεῶν, ἴσμεν. ἴσμεν δὲ καὶ.

13 ὑπ' αὐτοῦ m. M.

τῶν ἀρχόμεθα, καὶ οὐκ ἀντιτείνομεν· οὐδὲ ὅπλα ἀνταιρόμεθα· ἀλλ᾽ ὁ δεξάμενος τῶν βελῶν,[14] ἐφ᾽ ὅπερ ἂν ὑπ᾽ αὐτοῦ κινηθῇ κάλλος, ἐπὶ τοῦτο φέρεται. οὕτω δὲ ἴσμεν αὐτοῦ τῆς δυναστείας τὸ μέγεθος, καὶ ὡς τὸν ἁλόντα πάντα ἀνάγκη ποιεῖν, ὥστε καὶ ὀμόσας ἐρῶν, παραβὰς τὸν ὅρκον, δίκην οὐ δίδωσιν. ἀλλὰ καὶ τούτῳ τετίμηται τὰ ἐρωτικά. καὶ τί δεῖ τ᾽ ἄλλα λέγειν; οὐδὲ γὰρ αὐτὸς σύ γε δυνατώτερος εἶ ἡμῖν ὁ ὁπλίτης[15] τοῦ τοξότου. οὐ βούλομαι πάντα ἀκριβῶς ἐξετάζειν, ὅσα σοι διὰ τοῦτον πέπρακται τὸν θεόν· ἐν οἷς ἐστὶ καὶ τὰ πρὸς τὴν Ἀλκίππης ταυτηὶ μητέρα· καὶ οὐκ ὀνειδίζω. μέγας γὰρ ὁ θεός,[16] μέγας ἐν ἅπασι γένεσι. καὶ ἐμοὶ[17] μὲν ἡ θάλασσα· Διὸς δὲ ὁ οὐρανός·[18] ἡ γῆ δὲ κοινή· τούτου δὲ πάντα· διὰ πάντων γὰρ ἡ τοῦδε διήκει δύναμις, μετὰ Χάος τε καὶ Γῆν γενομένου θεοῦ πρεσβυτέρου μὲν σοῦ, πρεσβυτέρου δὲ τοῦ σοῦ πατρός· καὶ ἔτι γε τοῦ ἐκείνου πατρός. καὶ τί θαυμαστόν, ἐπεὶ[19] καὶ αὐτοῦ γε Οὐρανοῦ. ὑπηρετηκότα οὖν τοσούτῳ δαίμονι τὸν ἐμὸν Ἁλιρρόθιον ἔδει τεθνάναι; καὶ μήτε συγγνώμης, μήτε ἐλέους, μήτε φιλανθρωπίας μηδεμιᾶς παρὰ σοῦ τυχεῖν, ἃ κἂν τοῖς ἀνθρώποις ὁρῶμεν τιμώμενα; καὶ γάρ τις ἔς τινα ἁμαρτών τι μέγα, πολλάκις ἀθῷος ἀπῆλθεν, εἰς οἶνον καταφυγών, ἢ θυμόν, ἢ προπέτειαν, ἢ λήθην, ἤ τι τοιοῦτον. καίτοι τί τῶν ἄλλων, ἃ συγγνώμην δύναται φέρειν, οὐκ ἔρωτος εἰς ἀνάγκης λόγον λείπεται; ἡδέως ἂν οὖν[20] σε ἐροίμην, πότερον οὐδενὶ τῶν ἁπάντων ἐπ᾽ οὐδενὶ συγγνωσόμεθα; χείρους[21] μὲν, ὡς ἔοικε, τῶν ἀνθρώπων, ὅμοιοι δὲ ἐσόμεθα τοῖς θηρίοις οἱ θεοί, ἀλλ᾽ ἐπ᾽ ἄλλων τοῦτο ποιοῦντες, ἐνταῦθα ἐσόμεθα

14 lego τῶν τι βελῶν.

15 ἢ ἡμᾶς ὁπλίτης W. sed in marg. vulg. est.

16 μέγας γὰρ ὁ θεὸς] sic W. haec verba desunt M.

17 ἐμοὶ W.

18 ὁ οὐρανὸς] sic W. ὁ omittit M.

19 ἐπεί γε καὶ m. M.

20 ἡδέως ἂν οὖν] sic B. et m. M. ἂν deest t. M.

21 malim ἀλλὰ χείρους.

θαι πικροί; καὶ τίνα ἂν ἔχοι τὸ πρᾶγμα λόγον; ἀλλ᾽ ἔδει πάντως δίκην λαβεῖν· καὶ οὐκ ἦν τὸ πρᾶγμα ἐνεγκεῖν; καλῶς· λάμβανε τοίνυν μίαν[22] τῶν τοιούτων· δῆσον, μαστίγωσον, λιμῷ, καὶ δίψει, καὶ πολλοῖς ἑτέροις πιέσαι δυναμένοις παράδος. ὃ δὲ πεποίηκας τοῦτον[23] τὸ νῦν ἀπείλησον μέν, ποιήσῃς δὲ μή. οὕτω γὰρ καὶ δίκην ἂν εἰλήφεις, καὶ τὸν αἰτιασόμενον οὐκ εἶχες. νῦν δ᾽ οὐ μείνας ἐν ὅροις, αὐτὸς τῶν ὀφειλόντων δίκην γεγένησαι. ὁ γὰρ ἐν τῷ ἀπαιτεῖν[24] τιμωρίαν ἐκβὰς τὸ μέτρον, ἀδικεῖ τὸ πλέον.[25] τί δ᾽ ἂν ἐποίεις ἕτερον εἰ ἀπεκτόνει τὴν Ἀλκίππην ταύτην, Ἁλιῤῥόθιος; ἆρ᾽ οὐκ ἂν ἐπὶ τοῦτο εἴης;[26] δεινὸν δέ, εἰ τὸν μὲν Ἁλιῤῥόθιον τὴν Ἀλκίππην ἀπεκτονότα ταύτην ἀπαιτήσεις τὴν δίκην· νῦν δ᾽ οὐ τοῦτο πεπραχότα τὴν αὐτὴν ἀπαιτήσεις. εἶθ᾽ ἣν ἂν ἀπῃτεῖτο φόνου δίκην, ταύτην ἔδωκε τῶν νῦν;[27] καὶ σὺ μὲν ἔχεις τὴν σαυτοῦ· ὁ δὲ ἐμὸς οἴχεται. πόσῳ βελτίων ἂν ἦσθα, τὸν μὲν καθείρξας, ἐμοὶ δὲ προσιὼν καὶ λέγων. Πόσειδον, ἀδικεῖ με Ἁλιῤῥόθιος· οὐκ ἔστι μοι παρθένος Ἀλκίππη· δότω μοι δίκην τοῦ τολμήματος· αὐτὸς ἡμῖν δίκασον. εἰ ταῦτα ἤκουον, οὐκ ἂν ὑμῖν τοῦτον[28] μὲν ἐπαινέσαι δοκῶ, χαλεπὸς δ᾽ ἂν ἐκείνῳ γενέσθαι, καὶ πλὴν τοῦ κτεῖναι πᾶσιν ἂν ἐπ᾽ αὐτὸν χρῆσθαι, λύων τούτῳ τὴν λύπην τοῖς[29] ἐκείνου κακοῖς; ὁ δὲ τοῦτο μὲν ταπεινὸν ἡγήσατο, καὶ οὐ τῆς αὑτοῦ φύσεως· καὶ τό γε καθίσαι δικαστήριον αὐτῷ θεῶν, ὅπερ ἐγὼ τούτῳ νῦν.[30] ὥσπερ δὲ ἀτιμίας μου κατεψηφισμένης ὑφ᾽ ἀπαν-

[22] ἣν τὸν τοιούτων εἰκός. m. M.

[23] τοῦτο W. et m. M. et τὸ abest a m. M.

[24] πράττεσθαι m. M.

[25] τὸ πλέον etiam in W. est; praefero tamen é margine M. τῷ π.

[26] lege aut ᾔεις, aut potius ἴῃς.

[27] τῶν νῦν] sic W. τὸ νῦν M. sed praefero lect. W. ob praecedens φόνου.

[28] τοῦτον] sic W. recte, quamquam minus probo, quod μὲν omittit, necessario seruandum. redit τοῦτον ad Martem. alloquitur enim deos. hunc quidem, Martem puta, sic agentem, laudare, illum vero, filivm meum, castigare. τοῦτο M.

[29] εἰς ἐκεῖνον m. M.

[30] τούτῳ νῦν] adde ἐκάθισα.

ἁπάντων θεῶν, καὶ δεδομένης τοῖς βουλομένοις ἐξουσίας, κακῶς ποιεῖν, καὶ ἐμὲ καὶ τοὺς ἐμοὺς, συνελόντι δὲ εἰπεῖν, ὡς οὐκέτ᾽ ὄντος ἐμοῦ Ποσειδῶνος, οὕτως ὐδὲ ῥήματος ἀξιώσας ἐμὲ, δραμὼν ἐπὶ τὸν υἱὸν ἀπέκτεινε. διὰ τί δεινὸν ἦν τὸ πεπραγμένον, καὶ οἷον ὐχ᾽ ἕτερον; ἄνθρωπος ἡμίθεον ἐβιάζετο κόρην; ἄνθρωπος ἀνώνυμος, ἄδοξος, τὴν ὐκ ἐκ τοιούτων; ὐχ᾽ ἡ μὲν, ἐξ Ἄρεος ἦν; ὁ δὲ ἐκ Ποσειδῶνος; οὐκοῦν συγγενεῖς, οὐκοῦν ἴσοι, οὐκοῦν ὁμότιμοι· δεδόσθω γάρ· καὶ οὐκ ἂν προσθείην, ὃ λέγειν, εἴπερ ἐβουλόμην, εἶχον ἄν. τί οὖν ἐκ τῶν νῦν εἰρημένων δείκνυται; τὸ δίκης μὲν μὴ εἶναι καιρὸν[31] μήτε μείζονος, μήτε ἐλάττονος· γάμων δὲ καὶ παστάδων· ὃ καὶ παρὰ τοῖς ἀνθρώποις ὁπόταν τι πραχθῇ τοιοῦτον, κρατεῖ· καὶ χρῶνται τῷ συμβάντι πρὸς γάμον· πάντως ὐκ ἔμελλες ἐρυθριάσειν, Ἁλιῤῥοθίου κηδεστὴς καλούμενος· οὐδέ γε πατὴρ[32] ἐκ τῶν τούτου φύντων. καὶ διὰ τί, φησὶν, οὐκ ἐρᾷν ὁμολογῶν, διὰ σοῦ γαμεῖν ἠξίου.[33] ὅτι ᾐσχύνετο φαίην ἄν· ὅτι ἐδεδίει. τὰ δὲ τῶν παίδων πρὸς τοὺς πατέρας ἴσμεν· αἰσχύνης οὖν καὶ φόβου τοσαύτην ἔδει γενέσθαι τιμωρίαν; ὁ δὲ, καὶ σεμνολογήσεται·[34] καὶ φήσει βελτίους τῷ φόνῳ πεποιηκέναι τοὺς ἐκ τῶν θεῶν. οἱ δὲ ἕως μὲν ἂν καλλὴ τε σωμάτων, καὶ ἔρως καὶ τὰ ἔρωτος. καὶ θαυμάσονται τὰς ἐν ὥρᾳ· καὶ προσίασιν· ὁ δ᾽ ἐμὸς, τηνάλλως τέθνηκεν. οὐκ ὢν ἐπὶ τοιούτοις ἄξιος· ὡς ἄρτι διδάσκων,[35] ἑώρων ὑμᾶς προσιεμένους τὸν λόγον. οὗτος μὲν ὑμῖν ὡς συμφέροντα τοῖς ἡμιθέοις[36] ἐπαινεῖ τὸν φόνον· ἐγὼ

[31] κύριον W. et m. M.

[32] πατρὸς m. M, malim πατὴρ τῶν ἐκ τύτυ. —

[33] Est hypophora, Cur non Halirrhothius te, Neptune, patrem, ad me allegans, matrimonium cum filia mea me rogauit, interprete et conciliatore nuptiarum te vtens? cum tamen fateretur, filiae meae amore se captum.

[34] σεμνολόγηται W.

[35] Wolf. dat ὐκ ἂν ἐπὶ τοιύτοις ἀξίως. ἄρτι διδάσκων. et sic etiam m. M. quod non magis intelligo, quam vulgatam.

[36] μὲν ὖν ὡς σ. τ. θεῶν m. M.

ἐγὼ δ᾽ αὐτὸν ἀποφαίνω, χείρους τούτω[37] πεποιηκότα, καὶ τούτους, καὶ τοὺς ἀνθρώπους. τὸ γὰρ ἑτοίμως ἔχειν πρὸς τὸ τῆς ψυχῆς ἀποστερεῖν καὶ ἀποκτιννύναι, πολλῷ δή που δεινότερον[38] ὧν οὗτος παῦσαι φησιν. οὐ παύσας τοίνυν τοῦτο τὸ κακὸν, τοσούτου κακοῦ γέγονεν Ἄρης διδάσκαλος· μονονοὺ κηρύττων εἰς ἅπαντας καὶ θεοὺς καὶ ἡμιθέους, καὶ τὸ τρίτον αὖ γένος, ὅτι πάσης αἰτίας μία ἔστω δίκη, σφαγὴ, καὶ θάνατος. ἀλλ᾽ ὑμεῖς αὐτοὺς διδάξατε ταῖς ψήφοις, ὡς οὐ δεῖ προσέχειν τῷ καλῷ[39] τούτῳ διδασκάλῳ. εἰ γὰρ διδοίη[40] δίκην, καὶ πονηρὸν ὑμῖν εἶναι δόξειε τὸ γεγενημένον, καὶ περιέσαι τῶν τοῦδε; τὰ παρ᾽ ὑμῖν· καὶ μᾶλλον ὑμῖν οὖσί περ τοσούτοις, οἰήσονται δεῖν ἀκολουθεῖν, ἢ ἑνὶ τούτῳ. καὶ βελτίους γε ἐλπίδας ἕξουσιν ὑπὲρ αὐτῶν, εἰ τουτονὶ γνοῖεν κατεγνωσμένον, ὅτι ἔστι καὶ τούτοις ἁμαρτοῦσι σωθῆναι. ἃ καὶ νῦν ὦ δικασταὶ γίγνεται· οἱ μὲν, οὐκ ὀλίγα πλημμελοῦσιν. οἱ κεραυνοὶ δὲ τοῦ Διὸς οὐχ ἑκάστῳ κινοῦνται· ἀλλ᾽ οὐδὲ ἡ γῆ παρ᾽ ἐμοῦ. καί τοι τὸ φῦλον ἐξαλήλιπτο[41] ἂν, εἰ πάντως ἐχρῆν ἁμαρτόντα τινὰ κεῖσθαι.[42] ἀλλ᾽ ἔστι μὲν οἷν[43] παιδεύονται· τοῖς δὲ, ἀφίενται. διὰ τοῦτο καὶ πρὸς ἀλλήλους οὕτω τὰ πολλὰ προσφέρονται, καὶ τὸ ἀποθνήσκειν τοῖς ἀνηκέστοις τετήρηται. φέρε, εἰ θέατρα ἂν θήσειε,[44] τοῦ χρόνου προϊόντος, καὶ παννυχίδες, καὶ ποιητῶν ἀγῶνες, καὶ περὶ κόρας γίγνοιντο θεωμένας νεανίσκων ἔργα τοιαῦτα, καλὸν τῶν κορῶν νομοθετῆσαι πατράσι, ξίφη λαμβάνειν ἐπὶ τοὺς μωραίνοντας; τοῦτο δὲ γένοιτ᾽ ἂν Ἄρεος ἀποφυγόντος· εἰ δ᾽ ἁλοίη, τοὐναντίον· τὰ γὰρ παρὰ τοῖς θεοῖς κριθέντα καλῶς ἔχειν, καὶ παρὰ τοῖς ἀνθρώποις εὐδοκιμεῖν ἀνάγκη.[45] εἰ δὴ προσήκει τῆς

[37] τούτων W.

[38] δεινότερον. τοῦτο τοίνυν τοῦ τοσούτου κακοῦ γεγ. caeteris omissis W

[39] κακῷ W. et m. M.

[40] διδοίη] sic W. δοίη M. et διδοίην M.

[41] ἐξέλειπεν m. M.

[42] τί κεῖσθαι m. M.

[43] malim ἀλλ᾽ ἐπὶ μὲν οἷς (scil. ἁμαρτήμασι.)

[44] ἀνθήσειε lego, vno vocabulo.

[45] sic lego et distinguo: καλῶν ἔχειν καὶ παρὰ τοῖς ἀνθρώποις, καὶ εὐδοκιμεῖν ἀνάγκη. vbi

τῆς τῶν ἀνθρώπων ἐπιεικείας ἐπιμέλειάν τινα ποιήσασθαι, πρῶτοι τιμῶντες αὐτὴν φαινώμεθα. οὐκ ἦν μοιχὸς Ἀλιῤῥόθιος Ἄρες· οὐδὲ ἐλυμαίνετο γάμον, οὐδὲ γονὰς ἠδίκει· οὐδ᾽ ὕβριζε τὰς ἀπὸ τῶν σπερμάτων διαδοχάς· οὐδὲ τοῦ συνοικοῦντος ἠξίου κρείττων εἶναι παρὰ τῇ γυναικί· ἀλλ᾽ εἰς οὔπω γημαμένην, ἅπαν ἦν τὸ δρώμενον, γάμον, ὅπερ ἔφην ἤδη, ποιῆσαι δυνάμενον. σὺ δ᾽ οὐδὲν διακρίνων, πανταχοῦ ταῖς ψυχαῖς[46] ἐπιπηδᾷς. ὢ τῶν[47] λόγων, οὓς ἀφεῖναί φασιν Ἀλιῤῥόθιον πληττόμενον! μὴ πάτερ Ἀλκίππης τῆς καλῆς, μὴ πρὸς τῆς συγγενείας, ἐξ ἀδελφῶν γεγόναμεν· σὺ μὲν ἐκ Διός· ἐγὼ δὲ ἐκ Ποσειδῶνος. δὸς ταύτην τῷ θείῳ τῷ σεαυτοῦ τὴν χάριν. μικρὸν ἐπίσχες. ἂν μή σε ἐλθὼν μεταπείσῃ, χρῆσαί μοι τό τε ὅ, τι βούλει. ὁ μέν, ταῦτα ἔλεγεν ἱκετεύων· ὁ δὲ κατέκοπτεν ὁ χρηστός. ἀκούω καὶ τὴν Ἀλκίππην αὐτὴν δακρῦσαι, τούτων γιγνομένων· καὶ τολμῆσαι μὲν πρὸς τοῦτον εἰπεῖν οὐδέν· δράσαι δὲ μετὰ τοῦ πειρᾶσθαι λανθάνειν, ὁπόσα ἐπὶ νυμφίῳ κειμένῳ. εἶτ᾽ ἀπὸ τοιούτου μιάσματος εἰς οὐρανὸν ἀναβήσεται; καὶ βουλῶν ὑμῖν κοινωνήσει, καὶ ἀμβροσίας καὶ νέκταρος; ἄνθρωπος δὲ τὴν χεῖρα οὐ καθαρὸς ἱερῶν εἴργεται νόμων.[48] καθήρατε[49] τοίνυν τουτονὶ τῇ δίκῃ· καὶ ποιήσατε σωφρονέστερον, εἰ δύνασθε· καὶ παραμυθήσασθε μὲν ἐμέ. φάνητε δὲ ἀλγοῦντες ὑπὲρ Ἀλιῤῥοθίου. φυλάξατε[50] δὲ τοὺς οὔπω τεθνεῶτας. παραινῶ δὲ καὶ τούτοις τοῖς Ἀθηναίοις ἁγνίσαι τουτονὶ τὸν πάγον, ὃν μύσους[51] ἐνέπλησεν ὁ φονεὺς οὗτος, ἐπ᾽ αὐτοῦ σταθείς.

primum καὶ erit *etiam*, alterum *et*.

[46] ψυχαῖς] ſic W. et m. M. τύχαις M.

[47] ὢ τῶν] τῶν δ᾽ αὖ W. et m. M.

[48] lego νόμῳ lege, per legem.

[49] καθήρατε] ſic W. καθάρατε M.

[50] φυλάξασθε W.

[51] μύσους] ſic dedi. μίσους M.

ΜΕΛΕΤΗ ΕΚ ΤΟΥ ΕΝΑΝΤΙΟΥ. Ο ΑΡΗΣ

ΑΚΗΚΟΑΤΕ μὲν λοιδορίας μᾶλλον, ἢ κατηγορίας, ὦ θεοί. καί τοι καὶ ὑμᾶς ἡγοῦμαι δεῦρ᾽ ἥκειν᾽ ȣ̓ ταῦτα ἐλπίσαντας, ὅτι Ποσειδῶν ὁ μέγας ȣ̔τοσὶ, πλείοσι βλασφημίαις, ἢ περὶ ὧν ἔλαχέ μοι τὴν δίκην, χρήσεται λόγοις. ὁ δ᾽ οὕτως αὐτὸ πάνυ πεποίηκεν, ὥς τε καὶ προίξατο[1] τὸ γιγνόμενον ὑμῖν᾽ ἠχθόμην γάρ᾽ ἐγὼ δὲ οὐ ταυτὸν ποιήσω πρὸς τȣ̃τον. ἄτοπον γὰρ, εἰ ἃ μὴ καλῶς πεπρᾶχθαι φημὶ μιμήσομαι. ἀλλ᾽ ὅπερ ἐςὶ καὶ δίκαιον καὶ θεῷ πρέπον, πειράσομαι δεῖξαι, μηδὲν ἠδικηκότα ἐμαυτόν. καλῶς δὲ ἃ δέδρακα δράσαντα. περὶ δὲ τούτου κἂν εἴ τι πικρὸν ἔξω τȣ̃ ἀγῶνος εἰπεῖν ᾖ μοι,[2] φείσομαι. ἔδει μὲν οὖν τὸν κατήγορον τȣ̃τον, εἴπερ ἐβȣ́λετο[3] καλῶς, κἂν εἴ τις ἕτερος ἐπεχείρει με κρίνειν, καὶ τὰ τετολμημένα Ἁλιῤῥοθίῳ φέρειν εἰς μέσον, αὐτὸν πάσῃ σπουδῇ κωλύειν. καὶ ὅπως μηδεὶς ὑμῶν ταῦτ᾽ ἐνταῦθ᾽ ἀκούσεται ζητεῖν. νῦν δ᾽ αὐτὸς ὢν ὁ τὴν δίκην μοι λαχὼν, ἔοικεν οὐχ ὁρᾶν ἐχθροῦ τῷ τεθνεῶτι μᾶλλον, ἢ πατρὸς ἔργον ποιῶν. εἰς τὸ δικαςήριον εἰσάγων τὴν τȣ̃ παιδὸς κακίαν. ἐν οἷς γὰρ ἔχω τὴν ἀπολογίαν Ἁλιῤῥοθίου, ταῦτ᾽ ἔςι κατηγορία᾽[4] ἃ οὔτ᾽ ἂν μὴ λέγειν δυναίμην

[1] leg. προσίξατο vt facinus vobismet ipsis quoque fieret exosum, vt vos eo offenderemini.

[2] μοι deest m. M.

[3] lege ἐβȣλεύετο (vt M. coniecit,) si recta iniisset consilia. h. e. si sapuisset, si res suas sapienter instituisset, ex maturo consilio.

[4] Wolf. sic distinctum exhibet hunc locum; Ἁλιῤῥοθίῳ, (nam sic, geminato λ exhibere solet hoc nomen) ταῦτά ἐςι.

μην καὶ ἐμαυτὸν προδοῦναι, λέγοντός τε πᾶσα ἀνάγκη πονηρὸν ἐκεῖνον δοκεῖν. οὕτως ἀμείνων ἂν ἦν πατὴρ, τὴν ἡσυχίαν ἄγων, ἢ τῷ κήδεσθαι δοκεῖν, τοιούτων αἴτιος αὐτῷ καθιςάμενος. αὐτὰ δὲ ὑμῖν τὰ πεπραγμένα, μετὰ τῆς ἀληθείας διηγήσομαι· ὃ καὶ τὸν κατήγορον ἠξίουν πεποιηκέναι· νῦν δ' οὐδὲν ἀδικεῖν ἡγεῖται ψευδόμενος·[5] καὶ ταῦτα ἐν θεοῖς δικαςαῖς. ἔςι μοι θυγάτηρ Ἀλκίππη· ἣν καὶ ὑμεῖς ἴςε. ταύτην λέγω τὴν περὶ τὰ μέγιςα ἠδικημένην, τὴν καλήν. οὐ γὰρ ἀρνοῦμαι[6] ἣ δ' ὅσῳ μᾶλλον ἦν καλὴ, τοσούτῳ πλείονας ἤκουε παρ' ἐμοῦ περὶ σωφροσύνης λόγους, καθ' ἑκάςην ὡς εἰπεῖν τὴν ἡμέραν. ὅτι, ὦ θύγατερ, ἀπόβλεπτος[7] μὲν διὰ τὴν ὥραν, καὶ πολλοὺς ἕξεις τοὺς ἐπιβουλεύσοντας διὰ τῦτο. νίκησον δὲ κάλλει, κάλλος· τῷ τῆς ψυχῆς, τὸ τῦ σώματος. κάλλος δὲ ψυχῆς ἐν παρθένῳ, σωφροσύνη, καὶ τὸ διατηρῆσαι τῦτο ἀκριβῶς μέχρι γάμων. ἐπῄνει ταῦτα, καὶ ἐδέχετο· καὶ πρὸς αὐτὴν πολλὰ τοιαῦτα διειλέχθαι πολλάκις ἀπεκρίνετο· καὶ ἐσωφρόνει. παῖδα δὲ οὗτος ἔχηκὼς ὃν ὀδύρεται νῦν Ἁλιῤῥόθιον, ἔθρεψε κακὸν ἀφόρητον πατράσι καὶ κόραις. τῦ δὲ τῆς κακίας[8] καὶ αὐτὸς, ὦ θεοὶ, πεπείραμαι ἱκανῶς. ὃς δὴ πολλὰς ἀνθρώπων θυγατέρας ἀπέφθειρε, καὶ δυςυχεῖς ἀπέφηνε·[9] τὸ, Ποσειδῶνος εἶναι παῖς, ἐφόδιον πρὸς τὸ ἀδικεῖν ἔχων. τῦτο γὰρ καὶ σιωπῇ ςένειν τοὺς κακῶς παθόντας ἠνάγκαζεν· οὐδὲν δὲ λαμπρὸν, οὐδὲ νεανικὸν ἡγούμενος, ἐν ἀνθρώπων τέκνοις ἐπιδείκνυσθαι τὸ θράσος· εἶδεν εἰς Ἀλκίππην τὴν ἐμὴν, ἀδίκοις ὄμμασι· καὶ ἰδὼν ὐκ ἐπέπληξεν ἑαυτῷ, μὴ τῶν τοιούτων ἐπιθυμεῖν· ἀλλ' ὡς ἢ μηκέτ' ὄντος

τος

ἐςι. κατηγορεῖ (sic) ἃ — Ego vulgatam praefero, sed sic distinguendam, ἀπολογίαν, Ἁλιῤῥοθίῳ ταῦτά ἐςι κατηγορία. quae ad excusationem mei faciunt, ea grauant Halirrhothium, m. M. dat ἐςι κατηγορεῖν.

[5] ἀδικεῖται ψευδ. W. et m. M.

[6] ἀρνήσομαι m. M.

[7] malim ἀπόβλεπτος μὲν εἶ es in omnium oculis.

[8] τῶν δ' ἀπὸ τῆς κακίας m. M

[9] num καὶ δυςυχεῖς τὰς γονέας ἀπέφηνε?

τος ἐμοῦ, ἢ μὴ δυναμένου τοῖς ἐμαυτοῦ βοηθεῖν, ἢ δόγματος παρ' ὑμῖν νενικηκότος, ἐξεῖναι τοῖς βουλομένοις εἰς ἡμᾶς ὑβρίζειν· πρῶτον μὲν προσέπεμπε τοὺς περὶ τοιούτων αὐτῇ διαλεξομένους, οἰόμενος αὐτὴν εὐθέως ἐνδώσειν· ὑβρίζων πρώτῃ τῇ ἐλπίδι. ὡς δ' ἦν παῖς ἐμὴ, καὶ ἀπεπήδα, μᾶλλον ἀλγοῦσα τοῖς ῥήμασιν, ἢ εἰ ἐτέτρωτο, τὸ μὲν αἰσχυνθῆναι καὶ καταισχεῖν ἑαυτὸν, ταπεινὸν ἐνόμισεν. ἐπελθὼν δὲ δρόμῳ, καὶ λαβόμενος φευγούσης, ἐπειδὴ πείθειν οὐκ εἶχε, προσῆγε τὴν βίαν, αἰσχύνῃ περιβάλλων τὴν κόρην· πρᾶγμα ἀφαιρούμενος, ὃ πάντα ὕστερα παρθένῳ. τί οὖν ἔδει με ποιεῖν, ὦ Πόσειδον, τούτων τετολμημένων; τὸν μὲν, ἐπαινεῖν, τὴν δὲ πείθειν μὴ χαλεπαίνειν; καὶ τὸν μὲν, καλόν τι πεποιηκέναι νομίζειν, τὴν δ' οὐκ εἰκότως δακρύειν; ἢ καὶ στεφανοῦν Ἁλιρρόθιον ἐχρῆν, ὡς τὰ μέγιστα ἡμῖν κεχαρισμένον; δικαίως μὲν τ' ἂν τότ' ἐκρινόμην. καὶ δίκην ὑπεῖχον τὴν ἐσχάτην· ὡς ἁπάντων θεῶν καταισχύνων τὸ γένος· ἀλλ' ἔδει με μετὰ πρεπούσης ὀργῆς, τὴν προσήκουσαν ἐπιθεῖναι δίκην, ἐλεήσαντα μὲν ἠδικημένην· μισήσαντα δὲ τὸν ἠδικηκότα; πῶς οὖν κρίνομαι πεποιηκὼς, ἃ μὴ δράσας, εἰκότως ἂν ἐνεκαλούμην· ἀλλ' ὅμως οὕτως οὔσης δικαίας φόνου δίκην ἀπαιτήσων ἥκει· καὶ παιδὸς ἐξερῆσθαί φησιν ὑπ' ἐμοῦ. καὶ εἰ μὴ τὸν Ποσειδῶνος Ἁλιρρόθιον ἀπέκτεινα ἐρωτᾷ, πρᾶγμα συκοφάντου ποιῶν, ὁ τοῦ Διὸς ἀδελφὸς· τὸ μὲν ὅτι τέθνηκε λέγων· τὸ δὲ, ἐφ' ὅτῳ παραλείπων· καὶ τὸ μὲν τῆς χειρὸς ἔργον τραγῳδῶν· τὴν γνώμην δὲ, ᾗ ἡ χεὶρ ὑπηρέτησεν, πρὸ τῶν ἀπὸ χειρὸς,[10] οὐ βουλόμενος ἐξετάζειν. καί τοι τοσαύτην ἰσχὺν ἔχουσαν ὁρῶμεν πανταχοῦ τὴν αἰτίαν, ὥστε καὶ βουλόμενός τις δρᾶται κακῶς, οὐ μὴν δὲ[11] δυνηθεὶς μισεῖται· καὶ βλάψας[12] εὖ ποιῆσαι βουληθεὶς, καὶ μὴ δυνηθεὶς,

[10] πρὸ τῶν ἀπὸ χειρὸς desunt W.

[11] δὲ delendum videtur, vt scholium a nescio quo super μὴν scriptum explicandi ergo.

[12] aut delendum est βλάψας, (et abest quoque a W.) aut sic leg. οὐ μὴν δυνηθεὶς, μισεῖται, καὶ μηδὲν βλάψας exosus est, etiamsi damnum nullum dederit. καὶ πάλιν εὖ ποιῆσαι βουληθεὶς.

θεὶς,[13] ἐν εὐεργέταις ἐστίν· οὕτως ἀεὶ τοῦ τέλους ἡ γνώμη[14] πλέον ἔχει. κατὰ ταῦτα δὴ καὶ τὸ νῦν τοῦτο κρινέσθω. ἀπέκτεινα. διὰ τί; φθονῶν τούτῳ τοῦ παιδός; μηδὲν ἔχων ἐγκαλεῖν; ἐμαυτοῦ κέρδος ἡγούμενος τὴν τούτου ζημίαν; τερπόμενος, εἰ ἀνιῷτο· χαίρων, εἰ λυποῖτο· γεγηθὼς ἣν στένῃ ἐχθρὸς ὢν Ποσειδῶνι[15] παλαιὸς καὶ διάφορος, καὶ δυσμενής, καὶ τρυφῶν ἐν ταῖς τοῦ βίου συμφοραῖς; εἰ μέν τις ἔχει ταῦτα ἐπιδεικνύναι, πονηρός εἰμι καὶ φαῦλος θεός· καὶ δίκην ὀφείλω καὶ σιωπῶ καὶ καταψηφίσασθε. εἰ δ' οὐδὲν μὲν ἂν τούτων ἐξελεγχθείην,[16] Ἁλιῤῥοθίου δὲ ἀμφότερα, καὶ ἃ δέδρακε καὶ ἃ πέπονθεν. ἃ γὰρ οὐκ ἂν ἔπαθεν,[17] οὐκ ἀδικῶν, ταῦτα αὐτὸν ἔδρασεν ἠδικηκώς. τί μου διαβάλλεις τὸν τρόπον, ὑπερβὰς τὸν ἀναγκάσαντα; πῶς δ' εἰς φόνων ἐπιθυμίαν ἀναφέρεις τὸ πεπραγμένον; οὐδὲν ἄλλο πείθων τούτους, ἢ ὅτι μαίνομαι, καὶ τοῦ κάκιστος εἶναι ἐπιθυμῶ. τὸ γὰρ τηνάλλως φόνων ἐρᾶν μανίας· ἐμοὶ δὲ ἀρχὴ μέν εἰσιν οἱ πόλεμοι. σκοπῶ δὲ καὶ ἐν ἐκείνοις τούς τε ἀδικοῦντας, τούς τε ἀδικουμένους· καὶ τῶν ἠδικηκότων ὑπὸ τῶν ἠδικημένων πιπτόντων ἥδομαι. κοινωνοὶ δὲ τῆς ἀρχῆς ταύτης εἰσί μοι καὶ ἄλλοι θεοί, ὥσπερ ἀμέλει καὶ ἡ Ἀθηνᾶ. καὶ ὅπου περ ἂν συμπεσόντα στρατόπεδα μάχηται, χωροῦμεν ἐπὶ τὴν τούτων θέαν· καὶ ταῖς ἀρεταῖς τῶν ἀριστευόντων τερπόμεθα· ἀλλ' οὐκ εἰς τὰς πόλεις διὰ τοῦτο εἰσιόντες τοὺς προστυγχάνοντας σφάττομεν. οὐδὲ ἐπερχόμεθα τὴν γῆν, τὴν μὲν εἰρήνην ἐξελαύνοντες, εἰς πολέμους δὲ καὶ μάχας ἄκοντας τοὺς ἀνθρώπους ὠθοῦντες· ἀλλ' ἔδοξε τῷ Διῒ καὶ τοῦτο βασιλεύεσθαι τὸ μέρος. εἰ δὲ μιαιφόνον με φής, καὶ μίαν ταύτην ἔχειν ἡδονήν, τὸ τινὰ ἀποκτιννύναι, εἰσὶ τῶν θεῶν οὐκ ὀλίγοις

ἐκ

[13] καὶ μὴ λυπηθεὶς desunt m. M.

[14] ἡ γνώμη] sic W. ἡ deest M.

[15] Ποσειδῶνος W. et m. M.

[16] ἐξελεγχθείην] sic W. ἐξελεχθείην M.

[17] οὐκ ἂν ἔπαθεν] sic W. ἂν deest M.

ἐκ θνητῶν παῖδες· τούτων τὶς τὸν ἑαυτοῦ διὰ τὴν ἐμὴν ἀπολώλεκε δεξιάν. ἐῶ τοὺς ἄλλους· ἀλλ᾽ αὐτὸς οὗτος Ἁλιρρόθιος, διὰ τί μὴ πρὸ τῶν ἔργων ἀπέθανεν ὑπ᾽ ἐμοῦ, εἴπερ αὐτὸ τοῦτο ἔργον ἐστί μοι, τὸ τινὰ ἀποσφάττειν· εἰ μὲν γὰρ φύσει τοιοῦτος ἐγώ, πάλαι μὲν ἔδει φανῆναι τῇ φύσει χρώμενον. εἰ δὲ νῦν ἠρξάμην, πῶς ἅπας ὁ χρόνος ἀκούει κακῶς; ἀλλ᾽ οὐ τοῦτο ἐποίησεν, ὦ θεοί, τὸν θάνατον· ἀλλ᾽ ὃ πάλιν ἀναγκάζομαι λέγειν· οὕτως[18] ὁ βοηθῶν, ὥς φησι, τῷ τεθνεῶτι, δυσμενοῦς ἔργον ποιεῖ, λέγεσθαι πολλάκις ἀναγκάζων τὰ ἐκείνου κακά. ἰδοὺ δὴ λέγω, καὶ πάλιν ἀκουέτω, ἀπέκτεινα· ἀλλὰ βιαζόμενος. τὸν παῖδα οὐκ ἔχεις; οὐδὲ ἐγὼ τὴν παῖδα παρθένον. ὤφειλον ἂν δίκην, εἰ μὴ ἀμυνόμενος ἀπεκτόνειν, νῦν δὲ δίκαιον ποιεῖ τὸν φόνον τὸ τετιμωρῆσθαι. ἤδη τὶς γῆν τινα[19] ἀποτεμνόμενον κωλύειν πειρώμενος, ἀποκτείνας, οὐκ ἔδοξεν ἀδικεῖν. ἕτερος ἕτερον νύκτωρ ἁπτόμενον τῶν αὐτοῦ διαφθείρας, ἐπῃνέθη. καὶ λοιδορία πολλάκις ἔδειξε φόνον· καὶ οὐδεὶς ἐμέμψατο. διὰ τί γὰρ φησίν, οὐκ ἐσωφρονεῖτε, καὶ οὐκ ἂν ἦν ὁ ἀμυνόμενος. εἰ δὲ ἀντ᾽ ἐκείνων, ἤδη τινὲς τεθνᾶσι, τί πάσχοιεν εἰκότως οἱ ἀδικοῦντες οἷα Ἁλιρρόθιος; οὐκ ἴστε ὅτι παρθένῳ πάντα ἐστὶν ἡ παρθενία; γάμος, ἀνήρ, παῖδες, ἐλπίδες, βίος· τὸ δύνασθαι γυναιξὶν ὁμιλεῖν; ὁ δὲ ὥσπερ βουλὴν ἐχούσης ἐπιλαμβάνεται τῆς δίκης, καὶ ἦν ἄν, φησί. καὶ μαστιγῶσαι καὶ δῆσαι. ταῦτα, ὦ Πόσειδον, ἐπὶ τηλικούτοις; ταῦτα Ἀλκίππης βεβιασμένης; οὕτω σοι μικρὰ τἀμὰ φαίνεται. ἡ μέν, ἀπόλωλε· τὸν δέ, δεῖ παθόντα οὐδέν. (τί γὰρ καὶ ταῦτα ἃ λέγεις;) γελᾷν;[20] καλά γε νομο-

[18] οὕτως] lege οὗτος. Neptunus hic.

[19] τινα h. l. non est generis foeminini, sed masculini, neque cohaeret cum γῆν, sed cum ἀποτεμνόμενον.

[20] sic distinguo: οὐδὲν (τί γὰρ καὶ ταῦτα, ἃ λέγεις;) γελᾷν; cohaeret γελᾷν (sic positum pro ἡμῖν ἐγγελᾷν) cum τὸν δ᾽ ἔδει (nam sic malim) παθόντα οὐδὲν — nil passum, nulla poena affectum. nam poenae nomen ista quae tu commemoras supplicia, tune aies?

νομοθετεῖς. ἀπειχόμην ἂν Ἀλιῤῥοθίου, κατὰ πετρῶν ὤσαντος τὴν παρθένον, ὀφθαλμὸν ἐκκόψαντος, χεῖρα πεπηρωκότος, ἄλλο τι μέρος τοῦ σώματος, αὐτὴν ἀφελομένου τὴν ψυχὴν, εἰ καὶ δεινότατόν σοι τοῦτο εἶναι φαίνεται· ἐμοὶ μὲν γὰρ τὸ ζῶντα ὀδυνᾶσθαι δεινὸν μᾶλλον ἢ τὸ μηκέτ' εἶναι. τὸ μὲν γάρ ἐστιν οὐδενὸς αἰσθανόμενον, κεῖσθαι· τὸ δὲ, τηκόμενον, ἐπιθυμεῖν θανάτου. οὕτως ἡ ζῶσα αὕτη τοῦ τεθνεῶτος ἐκείνου δι' αὐτὸ τὸ ζῆν ἀθλιωτέρα. οὐ γὰρ ἀπαλλάττει τῆς γῆς τὸ πρόσωπον· οὐδὲ παύει κλαίουσαν αὐτὴν οὐδεὶς λόγος· ἴσον δὲ πέτρᾳ καὶ Ἀλκίππῃ διαλέγεσθαι. κεῖται δ' ἄσιτος, ἐκδοῦσα τὸ σῶμα κακοῖς. ἆρ' οὐ δυστυχεῖ περιοῦσα; εἰ δὲ ἐμοίχευεν Ἀλιῤῥόθιος, καὶ τότ' ἂν αὐτὸν ἔδει μαστιγοῦν, ἢ δεῖν, ἀποκτείνειν δὲ μή; καίτοι δεινὸν μὲν κἀκεῖνο· πολλῷ δὲ δή που δεινότερον τοῦ γημαμένην ἀδικηθῆναι, τὸ κωλυθῆναι γάμου τυχεῖν. ὥσπερ τοῦ [21] χρημάτων, ἅ τις εἶχεν, ἐκπεσεῖν, τὸ μηδὲ [22] τὴν ἀρχὴν κτήσασθαι. ἠράσθη γάρ, φησι, καὶ τὴν ἔρωτος μεγάλην τέ τινα, καὶ πολλὴν εἶναι δύναμιν· καὶ μηδενὸς ἀπέχεσθαι, μηδὲ αὐτῶν τῶν θεῶν. καὶ οὐκ ᾐσχύνετο τοῖς κατὰ τῶν θεῶν λόγοις ὑπὲρ τῆς ἀκρασίας Ἀλιῤῥοθίου χρώμενος. ἐγὼ δὲ θαυμάσαιμ' ἄν, εἰ θεὸς ὢν ὁ ἔρως, κακῶν αἴτιος, οὐ λέγω θεοῖς, ἀλλὰ ἀνθρώπων τινὶ γίγνεται. θεοῦ γάρ, οἶμαι, παύειν κακά· σὺ δ' αὐτὸν λέγεις ἀναγκάζειν μαίνεσθαι. ὁ δὲ φιλίας μὲν δικαίας ἐνεργάζεται τοῖς ἀνθρώποις· ἀδίκοις δὲ μίξεσιν ἐκείνων οὐ φιλοτιμεῖται· ἀλλὰ ὑπὸ τῶν οὐ δυναμένων σωφρονεῖν ἀδικεῖται, τῆς αὐτῶν μέθης ἐκεῖνον αἰτιωμένων· οἳ καὶ τῶν ἐν τοῖς τοιούτοις ἐπιορκιῶν οὐκ εἶναί φασι δίκας, αὐτοὺς ἐξαπατῶντες. ὅταν οὖν ὡς ἐπεθύμησε λέγεις, αὐτὸ τὸ ἀδίκημα λέγεις, καὶ δι' ὃ τὴν δίκην δέδωκεν. αὐτὸ γὰρ τοῦτο ἐγκαλοῦμεν, ὅτι τῶν οὐ προσηκόντων ἐπεθύμησεν· ὥσθ' ὁμολογῶν αὐτὸν ἐπιτεθυμηκέναι, βεβαιοῖς τὸ δικαίως αὐτὸν τεθνάναι.

εἰ

[21] τοῦ] τὸ W. et m. M.
[22] τὸ μηδὲ] τὸ οὐδὲ μὴ W. τοῦ δὲ μὴ m. M.

εἰ δὲ ἐπιθυμῶν ἀεὶ παρθένων, καὶ τὰ αὐτὰ δρῶν προήει, καὶ οὐκ ἐπαύετο, τοῦτ' αὐτὸν ἔσωζεν. ἡ ἐπιθυμία καὶ τοὺς ἠδικημένους δίκης τυχεῖν ἐκεκώλυτ' ἂν τῇ τοῦ ἠδικηκότος ἐπιθυμίᾳ; ἀλλ' οὐ τὸ τῶν ἀδικημάτων αἴτιον, σωτηρίαν εἶναι δεῖ τοῖς πονηροῖς. μίαν δὲ ἀπολογίαν μόνην, τὸ μὴ πεπονηρεῦσθαι. εἰ γὰρ συγγνωσόμεθα τοῖς δι' ἐπιθυμίαν κακὰ ἐργαζομένοις, συγγνωσόμεθα καὶ τοῖς διὰ τὸ δεῖσθαι χρημάτων, κακὰ ἐργαζομένοις. ἐν τούτῳ δὲ πολλῶν καὶ μεγάλων ἀδικημάτων ἀπολοῦνται δίκαι. τοίχων διορυχῆς, τάφων, ἱερῶν καὶ παρὰ τῶν τὰ ὄρη κατειληφότων ἐπὶ λῃστείᾳ· καὶ παρὰ τῶν τὴν θάλατταν ἀκουσόμεθα κρινομένων, πτωχείας ἐγενόμην κληρονόμος, οὐκ εἶχον, ἠπόρουν, ἔχρῃζον. ἀλλὰ δεῖ πρὸς τοὺς τοιούτους λέγειν· ὅτι ἦν μὲν πολλαχόθεν ἀποζῆν, ὥσπερ ἕτεροι μυρίοι πένητες [23] ἦν δὲ καὶ λιμῷ πρῶτον [24] ἀποθανεῖν, ἢ τοιαῦτα ἀδικεῖν. καὶ οὐκ ἐχρῆν ἐπειχθῆναί, φησιν, ἀλλὰ μετ' ἐμοῦ βουλεύσασθαι περὶ τοῦ πράγματος. καὶ ἠκούετε μεμνημένου καὶ γάμου. καλός γε ὁ γάμος, διαφθεῖραι πρότερον, εἶτα γαμεῖν. λέγει δὲ οὐ ταῦτα ὁ νόμος· ἀλλ' αὐτὸς ὁ γάμος ποιεῖ τὴν μίξιν· καὶ ὁ καιρὸς συνάγει τὰ σώματα, διδοὺς πράττειν ἃ μήπω τοὔνομα τοῦτ' εἶχε. σὺ δέ με ἠξίους καὶ τοὺς θεοὺς ἐπὶ τούτους [25] συνάγειν τοὺς γάμους· καὶ τὸν Ἀπόλλω παρακαλεῖν ἐπ' ᾠδήν. καὶ τίς ἂν ἦν μου γελοιότερος νύμφην παραδιδόντος τῷ πρὸ τοῦ πατρὸς ἑαυτῷ δεδωκότι τὴν κόρην. θαυμάζω δὲ ὅπως ἐμὲ μὲν ᾤου δεῖν μηδὲν ἄνευ σοῦ ποιεῖν· τὸν δὲ σὸν υἱὸν οὐδὲν ἠδικηκότα νομίζεις, ἀφέντα μὲν ἐμὲ, καὶ τὸ πεῖσαι καὶ διαλεχθῆναι καταπαλαίσαντα δὲ τὴν ἀθλίαν παρθένον, ἔδει με πρὸς σὲ εἰπεῖν, Πόσειδον ἀδικεῖ με Ἁλιῤῥόθιος; διὰ τί δὲ μὴ ἐκεῖνον πρὸς ἐμὲ ταῦτα εἰπεῖν [26] πρότερον; βούλομαί σοι κηδεῦσαι· τὴν ὥραν Ἀλκίππης τεθαύμακα. πρίν τι οἷος οὐκ ἄξιον συμβῆναι, πει-

[23] πένητες] scil. ἔχουσιν ἀποζῆν, nisi si quid deest.

[24] πρῶτον] malim πρότερον

[25] ἐπὶ τούτους] lege ἐπὶ τούτοις. post haec facta. id est μετὰ τὴν τῶν σωμάτων μίξιν.

[26] εἰπεῖν] scil. ἔδει. quod a communi est repetendum.

πείθου. εἰ δ᾽ ἀναιδὲς τοῦτο ἦν· ἀλλ᾽ οὐ τό γε πρὸς τὸν πατέρα εἰπεῖν· εἰ δὲ καὶ τοῦτο, θαυμαστὸν,[27] εἰ, ἃ λέγειν ᾐσχύνετο, ταῦτα ποιεῖν οὐκ ὤκνει. εἰ δ᾽ ἐκείνῳ μὴ δυνηθέντι τὸν ἔρωτα ἐνεγκεῖν συγγνώσῃ, σύγγνωθι καὶ τῷ μὴ δυνηθέντι τὴν ὀργὴν ἐνεγκεῖν, ὀργὴν δικαιοτάτην, σφοδροτέραν εἰς ἀνάγκην ἔρωτος. ὁ μὲν γὰρ δίδωσί τι καὶ βουλεύσασθαι, καὶ πρὸς ἑαυτὸν εἰπεῖν· ἡ δὲ ἐκταράξασα τὴν καρδίαν, ἐγγὺς μανίας ἄγει τὸν κεκινημένον· καὶ μέχρις ἂν αὐτῇ χαρίσηται ζέει. αὕτη με κατήπειξεν· αὕτη δὲ μέλλειν οὐκ εἴασεν· αὕτη με δικαστὴν ἐποίησε. τί δ᾽ ἂν ἔδει καὶ δικαστῶν ἑτέρων ἐπὶ τοιούτοις; οὐ βωμὸν ἀνέσπασεν ἐμὸν Ἁλιρρόθιος· οὐδὲ θυσίαν ἐκώλυσεν· οὐδὲ τῶν ἱερέων τινὰ τῶν ἐμῶν ἐπάταξεν· ἦν μὲν γὰρ ἂν καὶ ταῦτα δεινά· τοῦ δὲ παρόντος, ἐλάττω. θυγάτηρ ἀπόλωλέ μοι· θυγάτηρ βεβίασται· θυγάτηρ πεπόρθηται· παίδων δὲ οὐδὲν τιμιώτερον πατράσιν· ὁρᾶτε καὶ τοὺς ἀνθρώπους· οὐ μόνον τὰ ἄλλα ὑπὲρ αὐτῶν ποιοῦντας[28] τὰ μὲν ἐν γῇ, τὰ δὲ ἐν θαλάσσῃ· ἀλλὰ καὶ τὸν ἐν τοῖς ὅπλοις ἡδέως δεχομένους θάνατον· καὶ οὔπω τοῦτο μέγα· νοῦς μὲν γὰρ ἐν αὐτοῖς καὶ φρόνησις. ἀλλὰ καὶ τὰ θηρία πάντα ὑπὲρ ὧν ἔτεκε δρῶντα ὁρῶμεν· καὶ αὐτὰ μὲν εἰ πλήξαις, τάχ᾽ ἂν ἡσυχάσαι. τῶν δὲ ἐγγόνων εἰ προσάψαιο, μέγας ὁ κίνδυνος· καὶ ἀθῷον ἀπελθεῖν, οὐ ῥᾴδιον. ἐμὲ δὲ ἐχρῆν Ἀλκίππης καταπεπολεμημένης, καὶ ἀνθρώπων καὶ θηρίων εἰς τὴν ἐμαυτοῦ παῖδα γενέσθαι χείρονα; ἢ, σὲ μὲν ἔδει καὶ δίκην λαχεῖν, καὶ τιμωρίαν ζητεῖν λαβεῖν, καὶ διὰ τοῦτο δεῦρο συναγαγεῖν τοὺς θεούς; ἐμὲ δὲ τοιούτων πεπραγμένων καθεύδειν; καὶ τίνες ἂν ἦσαν προσδοκίαι παρ᾽ ἐμοῦ τοῖς ἀνθρώποις ἀγαθῶν, ἢ τιμαὶ διὰ τοῦτο παρ᾽ ἐκείνων ἐμοὶ, τοσαύτῃ μου περὶ τοὺς οἰκειοτάτους ὀλιγωρίᾳ κεχρημένου; πῶς γὰρ ἔμελλον δόξειν ἀνθρώποις ἔσεσθαι χρήσιμος, καὶ βοηθεῖν ἐθελήσειν, τὰ πρὸς τὴν ἐμαυτοῦ παῖδα δίκαια προ-

[27] εἰ δὲ καὶ τοῦτο, (scil. ἀναιδὲς ἦν,) θαυμαστὸν (scil. ἐστίν.)
[28] malim πονοῦντας *laborantes.*

προδεδωκώς; παρ' ὑμῖν δὲ τοῖς θεοῖς, τίς ἂν εἴη μοι δόξα πράως ἐνηνοχότι τηλικαύτην αἰσχύνην; ἴσης γὰρ, οἶμαι, κακίας, τό, τε μὴ τὰ μικρὰ παρορᾷν εἰδέναι· τό, τ' ἐπὶ τοῖς μεγίστοις μὴ χαλεπαίνειν. Οὐκ αἰσθάνῃ σαυτὸν διαβάλλων, ὦ Πόσειδον, τῇ κατ' ἐμοῦ κατηγορίᾳ· καὶ διδάσκων τούτους, ὡς καλὰ τὰ τοιαῦτα νομίζεις; εἰ γὰρ ὑπὲρ τοῦ βιασαμένου διδόντος δίκην ἀγανακτεῖς, τὸν δὲ ἀμυνάμενον ἀπαιτήσων δίκην ἥκεις· πῶς οὐ[29] νομοθετεῖς ἐξεῖναι τὰ τοιαῦτα ποιεῖν; δεικνύεις δὲ τοῖς τοιούτοις, ὡς οὐδ' ἂν αὐτὸς φύγοις τὰς τοιαύτας ἡδονάς. ἀλλὰ μὴ ὑμεῖς γε, ὦ θεοὶ, τῇ ψήφῳ τὰ ἡμέτερα αὐτῶν διαβάλλοιτε· τοῦτο δ' ἂν εἴη, εἰ καταγνοίητέ μου, τὸ θρασὺ μειράκιον τετιμωρημένου. δώσετε γὰρ τοῖς ἀνθρώποις εἰκάζειν περὶ ὑμῶν, ἃ μηδὲ εἰπεῖν καλόν. πρέπει[30] δ' ἂν ὑμῖν οὖσι θεοῖς, διδασκάλους γενέσθαι σωφροσύνης ἀνθρώποις. διδαχὴ δὲ, τὸ τὴν δίκην ὑφ' ὑμῶν, ἣν ἔλαβον, ἐπαινεθῆναι τῇ ψήφῳ. εἰ δ' ἄλλό τι[31] γνοίητε, μεστὰς ἀκρασίας ποιήσετε τὰς πόλεις· καὶ φθάσονται τοὺς γάμους αἱ ὕβρεις· ὥστ' ὀλίγας ἐκ πολλῶν εἰς ἄνδρας ἰέναι παρθένους. μαρτυρία γὰρ ἔσται τοῖς ἀσελγεστέροις τῶν νέων, τοῦ μὴ δεῖν ἐπὶ τοῖς τοιούτοις ἀποθνήσκειν, τὸ τὸν ἀπεκτονότα ἐμὲ δίκην τοῦ κτεῖναι δεδωκέναι. ποῦ τοίνυν καλὸν παράκλησιν γενέσθαι τοῖς νέοις ἐπὶ τὰς φυλαττομένας γάμοις, τὴν ἡμετέραν γνῶσιν; παιδεύειν γὰρ ἐσμὲν δίκαιοι, τοὺς ἀνθρώπους σωφρονεῖν· ἀλλ' οὐκ ἐπαίρειν ὑβρίζειν· καὶ διὰ τοῦτο εὕρηνται λοιμοὶ καὶ λιμοὶ, καὶ τὰ ἐξ οὐρανοῦ βέλη, ὅπως ὁ φόβος τοῖς ἀνθρώποις ἀμείνους ποιεῖ[32] τὰς γνώμας. μαθέτωσαν δὲ τῶν ἐπιθυμιῶν περιεῖναι, καὶ τῶν παρθένων ἀπέχεσθαι, καὶ πασῶν, καὶ πανταχοῦ καὶ διὰ πάντων τῶν καιρῶν, νήφοντες, μεθύοντες· ἐν νυξὶν, ἐν ἡμέραις, ἐν ἀγροῖς, ἐν ἄστεσι, πλουσίων, πενομένων. εἰ δὲ οὐκ ἂν δύναιντο, ξίφη τοῖς πατρά-

[29] πῶς δὲ οὐ W.

[30] malim πρέποι, ob insequens ἄν.

[31] εἰ δ' ἄλλό τι] sic W. δ' deest M.

[32] lege ποιῇ.

πατράσιν ἑλκέσθω. τούτων ἔπρεπέ σε νομοθέτην, ὦ Πόσειδον, εἶναι. σὺ δὲ τῶν ἐναντίων ἐθέλεις, Κρόνου παῖς ὤν, καὶ Διὸς ἀδελφός. οὐ γάρ[33] εἰ καὶ αὐτὸς εἶχον παρ' ἐμαυτῷ τὴν χεῖρα, ἐχρῆν ἀποκτιννύντα γενέσθαι συνηδικημένον ἡμῖν; κακία γὰρ παιδὸς αἰσχύνη πατρός· ἧς ὁ πονηρὸς υἱὸς ὀφείλει τῷ γεγεννηκότι δίκην. σὺ δὲ ἐκλιπὼν τὴν θάλατταν, καὶ βοῆς ἐμπλήσας τὸν οὐρανόν, ἐνταῦθα ἥκων. στένεις μέν, τεθνεῶτος, οὐ ζῶντος, ἐχρῆν.[34] ἐχθρὸν δὲ βίαιον ἡγῇ τὸν εὐεργέτην, τὸν ἀπηλλαχότα σε τοῦ μὴ τοσοῦτον κακὸν ὁρᾶν. ἀλλ' οὐκ ἐν ἐμοὶ τοῦτό ἐστι. ζῇ γὰρ Ἀλκίππη· καὶ ὁρᾶται· καὶ τὸν περὶ ὧν πεπόνθαμεν οὐκ ἐᾷ λῆξαι λόγον. ἐγὼ δὲ τἆλλα μὲν καὶ αἰδοῦμαι τουτονὶ τὸν θεῖον. καὶ τιμῶ τὰ γιγνόμενα·[35] ἐν δὲ ἐξετάσει τοῦ δικαίου δέομαι μὴ γενέσθαι πλεονεξίαν τὴν ἡλικίαν αὐτῷ. ὃς ἐτόλμησε πρὸς τοῖς ἄλλοις, καὶ συκοφαντῆσαι τὴν Ἀλκίππην, λέγων αὐτὴν πληγῆναι τὴν ψυχὴν τῇ τοῦ ἠδικηκότος δίκῃ, προστιθεὶς ὕβριν ὕβρει, τὴν παρ' αὐτοῦ, τῇ παρὰ τοῦ παιδός· τὴν ἀπὸ τῶν λόγων, τῇ παρὰ τῶν ἔργων. ἐκείνη δέ, εἰ τοῦτο πύθοιτο, νῦν μᾶλλον ἀμύξει τὸ πρόσωπον, ἢ ὅτε ἔπασχεν ἃ πέπονθε.

33 οὐ γάρ] lege ὅνπερ, εἰ καὶ — ἐχρῆν τὸν ἀποκτ.
34 ἐχρῆν] scil. εἶναι.

35 τιμῶ τὰ γιγν.] colo, veneror, obseruo, pro parte mea virili, quantum me decet.

ΑΛΛΗ ΜΕΛΕΤΗ.

ΘΕΩΡΙΑ.

Νόμος ἐν Λακεδαίμονι, τὸν [1] εἴσω τριάκοντα ἐτῶν μὴ δημηγορεῖν. Θηβαῖοι τὴν ἐν Λεύκτροις μάχην νικήσαντες, πρέσβεις πρὸς Λακεδαιμονίους πεπόμφασι πόλεμον ἀπειλοῦντες, εἰ μὴ Μεσσήνην ἀφῶσιν αὐτόνομον. λεγόντων ἀφεῖναι τινῶν, Ἀρχίδαμος νέος ὢν ἔτι, παραινεῖ τὸν πόλεμον δέξασθαι· πέπεικε. τροπὴ γέγονε τῶν δυσμενῶν. καὶ γράφεταί τις παρανόμων Ἀρχίδαμον. [2]

ΠΡΟΘΕΩΡΙΑ.

Φιλοτιμεῖται καὶ νέοις ἡ φύσις, πολλάκις λέγειν τὰ χρήσιμα· καὶ λογίζεσθαί τι δίδωσι τοῦ χρόνου σωφώτερον. οὐ γὰρ ἡλικίας ἐστὶ τὸ κατόρθωμα· ψυχῆς δὲ μᾶλλον κρίνειν ἐπισταμένης τῶν πραγμάτων τὴν δύναμιν. ἐπειδη νόμῳ [3] Λακωνικῷ μὴ δοκοῦν, δημηγορεῖ νέος ὢν Ἀρχίδαμος, γράφεταί τις παρανόμων αὐτὸν καὶ συγκροτεῖ δικαστήριον, οὐδὲ τὸ νικᾶν αὐτὸ καταλιμπάνων ἀνεύθυνον. ενθα τί τῶν Λυκούργῳ νενομισμένων ὀλιγωρεῖσθαι δεῖ; ὁ δὲ φεύγων, τοῦ νομοθέτου τὴν γνώμην σκοπεῖν ἀξιῶν, καὶ τὴν ἑαυτοῦ, καὶ τὴν νίκην προφέρων τῆς

[1] τὸν] sic W. τῶν M. τὸν Ἀρχίδαμον.
[2] post Ἀρχίδαμον addit W. [3] l. ἐπειδὴ δὲ νόμῳ, aut ἐπεὶ ῥητὸν καὶ διάνοια: μελετῶμεν δὲ νόμῳ.

τῆς πόλεως, ἐλεύθερον ἑαυτὸν τῆς κατηγορίας δεῖξαι πειράσεται. εἰ δὲ Σπαρτιάτην[4] πεποιημένος μελέτη,[5] δόξω νόμον ἕτερον κἀγὼ παραβαίνειν Λακωνικὸν, μηκύνων τοὺς λόγους, μηδὲ εἷς βασκαινέτω. οὐδὲ γὰρ ἐφ' ἑκάστῳ τῶν συμπιπτόντων ὀλίγαις κεχρῆσθαι συλλαβαῖς ἐπιτηδεύουσι Λάκωνες· ἀλλὰ συμμετρεῖν τῇ δυνάμει τῶν πραγμάτων, ἀεὶ μελετῶσι τὰ ῥήματα, φιλονεικοῦντες τὰ πλείονα φεύγειν, ἐν οἷς βραχυλογεῖν οὐκ ἀδύνατον. τοῦτο δὲ κἀμὲ πεποιηκότα, ὁ τοὺς λόγους ἀκριβῶς ἐξετάζων εὑρήσει,

Μελετῶμεν τὸν Ἀρχίδαμον.[6]

[4] Σπαρτιάτιν W. et m. M.
[5] μελέτην m. M. non displicet lectio marginis. vulgata sic possit emendari: σπαρτιάτην πεποιημένος μελετήσαντα.
[6] Μελ. τὸν Ἀρχ. desunt.

ΑΡΧΙΔΑΜΟΣ.[7]

ΧΑΡΙΝ ἔχω τοῖς σεσωκόσι θεοῖς δι' ἐμοῦ τὴν πόλιν, ὦ ἄνδρες Λακεδαιμόνιοι· κἂν δεήσῃ με[8] νῦν παθεῖν, οὐκ ἀποκνήσω τὸν κίνδυνον, ὅτι φρονήματος Λακωνικοῦ πεφυλαγμένου τῇ Σπάρτῃ, ὁ χρηστὸς οὑτοσὶ τῆς ἐμῆς ἡλικίας κατήγορος, δίκην τῆς εὐεργεσίας εἰσπράττεται, δι' ἣν αὐτῷ γραφὴ, καὶ βῆμα, καὶ λέγειν ἐπ' ἐξουσίας, τῆς ἐλευθερίας τὰ σύμβολα. εἰ γὰρ τοῖς πολεμίοις κατὰ νοῦν ἐξέβη τὰ πράγματα, καὶ Μεσήνης, ἐφ' ᾗ μέγα φρονοῦμεν, κελεύουσι Θηβαίοις ὑπεχωρήσαμεν· ὃ τῇ μὲν ἐνίων προαιρέσει συμβὰν, τῇ δὲ

παρ

[7] ἡ μελέτη W.
[8] με] sic W. μὲν W.

παρ᾽ ἐμοῦ πρὸ τῶν κινδύνων προνοίᾳ κωλυθὲν φαίνεται· τί προσδοκᾷν ὑπῆρχε χρηστὸν, εἰπέ μοι. δουλεύειν Λακεδαιμονίους, ὦ Ζεῦ, Θηβαίοις ἐλείπετο μετὰ Πύλας, καὶ Πλάταιαν, καὶ τὰ πολλὰ τρόπαια τῶν βαρβάρων. ἐπειδὴ δέ τινος αἰσχροῦ πεῖραν λαβεῖν ἡ νεότης ἡ ἐμὴ διεκώλυσε, προσποιούμενοί τινες τοῖς νόμοις ἐπικουρεῖν, τῇ δ᾽ ἀληθείᾳ συναλγοῦντες Θηβαίοις καὶ τῆς κατηγορίας τὴν αἰτίαν εὐπρόσωπον ἔχοντες, ἑτέραν ἀδοξίαν περιποιοῦσι τῇ πόλει. διδόασι γὰρ τοῖς βουλομένοις τῶν Ἑλλήνων ὑπονοεῖν, ὡς Λακεδαιμόνιοι τύχῃ[9] νενικηκότες, οὐκ ἀρετῇ, τοὺς οἰκείους ὑπὲρ ἀνδρείας εὐθύνουσι, δέει τοῦ μὴ παθεῖν, ἐπισφαλῆ τὴν προθυμίαν ἐν τοῖς κινδύνοις ἡγούμενοι, τούτου χάριν γραφέσθω με[10] νῦν ὁ βουλόμενος. οὐδέ ποτε γὰρ τὸ Σπαρτιάτης ὑπάρχειν ἑκὼν εἶναι[11] προδώσω. ἐγὼ μὲν οὖν ᾤμην μετὰ τὴν λύσιν τῶν ἐλπισθέντων ἡμῖν δυσχερῶν, καὶ τὸ τρόπαιον ἐκεῖνο, τὸ πολλοὺς εἰς δάκρυα κινῆσαν ὑφ᾽ ἡδονῆς, εὐθὺς οἷά τις Ὀλύμπια νενικηκὼς, στεφανηφορεῖν, καὶ τῆς Λακεδαίμονος σωτὴρ ὀνομάζεσθαι. νυνὶ δὲ δι᾽ ὃν εὐθυμεῖν τῇ πόλει καὶ τῷ κατηγόρῳ πεφιλοτίμηται,[12] μόνῳ κινδυνεύειν ἐμοὶ συνέβη τῷ δεδωκότι τῆς εὐημερίας τὴν πρόφασιν, ἀλλ᾽ ἵνα μὴ ῥήμασι φενακίζειν δοκῶ, τὴν ἀρετὴν σεμνύνων τὴν ἐμαυτοῦ, μικρὰ βούλομαι τοὺς πολλοὺς ὑπομνῆσαι, πῶς εἶχεν ἐκ τοῦ παντὸς χρόνου τῇ πόλει τὰ πράγματα· καὶ πῶς προσηνέχθην τούτοις ἐγώ. γνώσεσθε γὰρ ἐκ τούτων σαφῶς, εἴ τε χάριτος ἄξια τυγχάνει τὰ παρ᾽ ἡμῶν· εἴ τε τῷ κατηγόρῳ εὐλόγως τὰ τῆς γραφῆς μεμηχάνηται. ἡμῖν πάτριον ἦν εἴς τε πολέμους φοιτᾷν, καὶ διὰ πόνων ἀεὶ καρποῦσθαι τὴν εὔκλειαν. ἐντεῦθεν ὑπῆρχε τοὺς Σπαρτιάτας ὁρᾷν, τοῦ ζῆν ἀδόξως προτιμῶντας τὸν θάνατον. ταύτην ἡμεῖς τὴν διάνοιαν ἔχοντες, πανταχοῦ τρόπαια γῆς ἀνεστήσαμεν· οὐδὲ

εἶναι

9 τύχῃ W.
10 με] sic W. μὲν M.
11 γρ. ἀργὸν τὸ εἶναι m. M.
12 γρ. φιλοτίμως δέδοται W. et m. M.

εἶναι[13] νομίζοντες, ὅτε μὴ σὺν ἀρετῇ τῶν ὅπλων ἀπτόμεθα.[14] ἄμεινον γὰρ ἐδόκει δόξαν ἔχειν ἀθάνατον, ἢ σωτηρίαν ἀπράγμονα. τοῦτο φυλάττει τὴν πόλιν ἀτείχιστον. ἐν ὅπλοις γὰρ ἡμεῖς ὁριζόμεθα τὴν ἀσφάλειαν· παῖδες ὄντες, πολεμεῖν εὐθὺς διδασκόμεθα· κρίνειν ἀνδρείᾳ τὰ πράγματα παιδευόμενοι. αὕτη τῆς ἡμετέρας πολιτείας καὶ διαίτης ἀρχή. καὶ νικῶντες, ὡς εἰπεῖν, ἅπαντα τὸν χρόνον διεγενόμεθα. πέφυκε γὰρ ἡ προθυμία πάντα μὲν ὡς εἰκὸς κατορθοῦν· εἰ δέ που τύχης ἀγνωμοσύνῃ σφαλῇ, θαυμάζεται μὲν οὐδὲν ἧττον, παρ' οἷς ἀρετὴ τυγχάνει τὸ σπουδαζόμενον· ἐπανορθοῦται δὲ κατορθώμασιν ἑτέροις[15] τὰ φθάσαντα. ῥᾷον γὰρ ἀνδρεία πέφυκεν ἀνακαλεῖσθαι τὰ πταίσματα, χρησταῖς ἐλπίσι τὸν λογισμὸν θεραπεύουσα. βούλομαι δὲ καὶ τὴν ἄλογον μεταβολὴν τῆς τύχης διεξελθεῖν. οὐχ ἵνα τὸν κατήγορον εὐφράνω τοῖς διηγήμασιν· ὁ γὰρ ἀγανακτῶν ἐπὶ λύσει τῶν δυσχερῶν δῆλός ἐστι καὶ μέχρι τῆς ἀκοῆς αὐτῶν εὐφραινόμενος. οὐδ' ἵνα τὰς συμφορὰς ὑπομνήσω τὴν πόλιν (ἀπώκνησα γὰρ ἂν ἐκείνων μνησθῆναι, νὴ τὸν Ἀγησίλαον[16] τὸν ἐμόν. μὴ τῆς εὐκλείας ἡμεῖς τῶν προγόνων λείπεσθαι δόξωμεν· εἰ μὴ τοῖς δι' ἐμοῦ πεπραγμένοις παρεμυθούμην τὴν συμφοράν) ἀλλ' ἵνα τὴν εὔνοιαν ἣν ἔχω περὶ τὴν πόλιν ἐνδείξωμαι. ἐπειδὴ γὰρ ἔδοξέ ποτε μετὰ Θηβαίων[17] γενέσθαι τὴν τύχην, πρέσβεις οἱ κατάρατοι πέμψαντες, Μεσήνης, ὦ θεοί, παραχωρεῖν τοῖς Λακεδαιμονίοις προσέταττον. ἡ γὰρ παράλογος εὐπραγία, τὴν ἑκατέρων αὐτοὺς ἀγνοεῖν παρεσκεύαζε δύναμιν. εἴπερ εἰρήνης ἐπιθυμεῖτε φασίν, αὕτη τῆς ἀσφαλείας ἡ πρόφασις. εἰ δὲ φρονήματος ἔχεσθε, καὶ μετὰ

[13] εἶναι] id est ζῆν, ἐν τοῖς ζῶσιν εἶναι. existimantes, ne in viuis quidem esse, h. e. viuere, in numero viuorum esse.

[14] malim ἀπτοίμεθα.

[15] δευτέροις W.

[16] γρ. οὗτος ὁ πατὴρ Ἀρχιδάμου ἢ πρόγονος W. et m. M.

[17] γρ. ὅτε τὴν ἐν Λεύκτροις νίκην ἔσχον W. et m. M.

μετὰ πεῖραν Θηβαίων, Λακωνικοῦ, πολέμῳ Μεσήνην μετὰ τῆς ὑμετέρας[18] κτησόμεθα. ταῦτα Θηβαῖοι, Λακεδαιμονίοις ἠπείλουν. ἔδει μὲν οὖν ἡμᾶς, εἴπερ τι τῶν δεόντων ἐγίνετο, τοὺς ἐπὶ τῶν Μήδων ζηλώσαντας, πρῶτον μὲν τοὺς πρέσβεις[19] ἐμβάλλειν, ἔνθα καὶ τοὺς ἀπὸ τῶν βαρβάρων οἱ πρόγονοι. εἶτα δὲ βουλῆς οὐ δεῖσθαι τὸ χρῆμα νομίσαντας, δεῖξαι Θηβαίοις εὐθὺς, ὡς οὐκ οἶδεν ἡ Σπάρτη πλημμελήμασιν ἀλόγου τύχης ὑποχωρεῖν. ἐκκλησίας δὲ ὅμως καὶ βουλῆς ἐπὶ τούτοις οὐκ οἶδ' ὅπως συμβάσης, ἐγὼ μὲν ἐξ ἀρχῆς ἐσιώπων· καὶ τοὺς γεγηρακότας προσεδεχόμην, ἄξιόν τι τοῦ γένους καὶ τῆς ἡλικίας φρονεῖν. οἱ δὲ παρελθόντες εἰς μέσον λόγους διεξήρχοντο πρὸς ὑμᾶς, οὓς παρὰ Θηβαίοις, ἀλλὰ μὴ παρ' ἡμῖν ἔδει ῥηθῆναι. ὁ μὲν, ἔφη δεῖν ποιήσασθαι τῶν πόνων ἀνάπαυλαν. ἕτερος, ἐλευθέραν καταστῆσαι πολεμίων τὴν πόλιν. ἄλλος ἀφεῖναι Μεσήνην διὰ τὴν ἀνάγκην, αὐτόνομον. ἤδη δέ τις εἰπεῖν, ὦ θεοὶ, Λακεδαιμονίοις τετόλμηκεν, ἄμαχοι Θηβαῖοι· καὶ δεῖ κελεύουσι πείθεσθαι. Σέριφόν τις οἰκεῖν, τούτων ἀκούων, οὐ τὴν ἡμετέραν, ὑπώπτευσε. δειναὶ[20] γὰρ αἱ συμφοραὶ τοῦ παραμυθουμένου χηρεῦσαι. δεῖ γάρ τι καὶ πρὸς τούτων εἰπεῖν φρόνημα ταπεινῶσαι καὶ λίαν ὑπέρογκον. ἐγὼ μὲν οὖν ἀγανακτῶν ποίοις ἡ πόλις χρῆται συμβούλοις, πάλιν ἐγκαλυψάμενος, ἐσιώπων. ἐπῄνουν δὲ τὸν νόμον κατ' ἐμαυτὸν, ὃς οὐκ ἐᾷ τοὺς ἐξ ἑτέρας τοῖς τῶν Λακεδαιμονίων ἐπιμίγνυσθαι πράγμασιν· ὅπως μὴ γνοῖεν οἷς ἐπιμελές ἐστι τὰ τῆς Σπάρτης ἐπιτηρεῖν ἁμαρτήματα. ὡς δὲ τοιαῦτα λέγοντες (ὡς εἴθε μηδὲ τὴν ἀρχὴν ἦσαν φθεγγόμενοι) μόλις ἐπαύσαντο· ἐκάλει δὲ λοιπὸν ὁ κῆρυξ

τὸν

[18] ὑμετέρας] sic W. vna vestro cum agro. ἡμετέρας M.

[19] χο. εἰς φρέαρ δηλ. νότι· οἱ γὰρ τοῦ Ξέρξου π. έσβεις, ὕδωρ καὶ γῆν ἐζήτουν τοὺς Ἀθηναίους. W. et m. M.

[20] δειναὶ cohaeret cum ταπεινῶσαι paulo post. quapropter verba δεῖ γάρ τι καὶ πρὸς τούτων εἰπεῖν pro parenthetis habenda sunt. oportet enim me aliquid dicere quod ad horum excusationem faciat.

τὸν ἀντερεῖν τούτοις βουλόμενον· ὑπήκουε δὲ τῶν παρόντων οὐδείς· ἐδήλουν δὲ πάντες τῇ σιωπῇ καλῶς ἔχειν ἀπονητὶ παραδοῦναι Θηβαίοις τὸ τρόπαιον. ἐθρήνουν ἐγώ· καὶ τοὺς πάλαι κειμένους ἀπεκάλουν εὐδαίμονας. ἐνταῦθα παρελθὼν καὶ πάλιν ὁ κῆρυξ, ἄκων μὲν ὡς ἡγοῦμαι· ἐτόλμα δὲ ὅμως εἰπεῖν, πᾶσι δοκεῖ Μεσήνης ἀφίσασθαι; ἐπιλαβόμενος δὲ τῆς τοῦ κήρυκος φωνῆς, ἐβόων, μὴ συναρίθμει κἀμὲ τοῖς καθαιροῦσιν. ἄνθρωπε, τῆς Σπάρτης τὸ φρόνημα. θαυμάσαντες ὑμεῖς μᾶλλον δὲ τὸ ῥηθὲν ἐξαίφνης ἀποδεξάμενοι (πέφυκε γὰρ τὸ δαιμόνιον τοῖς ἐπιτηδεύουσιν ἀρετήν, κἂν λήθην τινὰ πρὸς βραχὺ λάβοι, ἐν ἑαυτῷ[21] πάλιν ἀνακαλεῖσθαι τὴν εὔκλειαν) παρεκαλεῖτε πρὸς τὸ βῆμα[22] φοιτᾶν. καὶ λέγειν παρεκελεύσασθε τῷ νέῳ τὰ χρήσιμα. πυνθανομένου δέ μου πολλάκις, καὶ τῶν πολιτῶν ἕκαστον ἐρωτῶντος, εἰ δεῖ κἀμὲ τὴν οἰκείαν ἀποφήνασθαι γνώμην· τὸ γὰρ εἰδέναι με τὸ δοκοῦν τῷ νόμῳ ποιεῖν, ἐπεῖχε τὴν γλῶτταν, καὶ ὀκνηρότερον ἀπειργάζετο πρὸς τὴν τῶν δεόντων παραίνεσιν. δέδωκε τὸ πλῆθος τὴν ἄδειαν. καὶ παρελθών, εἶπον ἐλεύθερόν τι, καὶ τῶν προγόνων ἐπάξιον. ὑπέμνησα Λεωνίδου, καὶ τῶν τριακοσίων ἐκείνων, καὶ πολεμεῖν ἐπῄνουν.[23] ὑμεῖς δὲ εὐθὺς ἐπενεύσατε. ἐντεῦθεν πάλιν ἐπανῆλθεν ἡ Σπάρτη πρὸς ἑαυτήν· καὶ Θηβαῖοι τὴν οἰκείαν φύσιν ἐγνώρισαν, καὶ μένει Μεσήνη Λακεδαιμονίοις δουλεύουσα. μετὰ τὸ τρόπαιον τοίνυν, ἀποδέχεται μὲν ὁ κατήγορος τὸ πραχθέν· καὶ ὡς οὐκ ἂν ἐγεγόνει σιωπῶντος ἐμοῦ, δικαίως ὁμολογεῖ. τὸν δεδωκότα δ' ὅμως τὴν πρό-

[21] ἐν ἑαυτῷ] schollium in W. marg. adſcriptum ἤγουν δι' ἑαυτοῦ. et ad εὔκλειαν, illud, τοῖς ἀνθρώποις. ſed alienum prius quidem eſt, poſterius ſupervacaneum. leg. λάβοιεν ἑαυτῶν, etiamſi ad breue tempus obliuionem ſui capiant, h. e. obliuione ſui capiantur, obrepat ipſis obliuio ſui, πάλιν ἀνακ.

[22] τὸ βῆμα] ſic W. τὸ deeſt M.

[23] ἐπῄνουν] malim ἐπῄρουν. aut alias καὶ πόλεμον ἐπῄνουν aut καὶ τὸ πολεμεῖν ἐπῄνουν.

πρόφασιν, ὡς οὐδὲν εἰρηκότα διώκει. δυσχεραίνων, ὡς ἔοικεν, ὅτι μὴ Θηβαίοις δουλεύομεν. ἀλλὰ Λυκοῦργος τὸ σφαλερὸν τῆς ἡλικίας σκοπῶν, ἀπείργει σε νόμῳ τοῦ βήματος, ὅτε μὴ τῶν κινδύνων ὀξὺς ὁ καιρός· καὶ δίδωσι χρόνος εἰς τὰ τῶν νόμων βουλεύεσθαι. τί φής, ἐπικειμένης τῆς συμφορᾶς, ἐκέλευες ἀναβάλλεσθαι[24] τὸν σύμβουλον; οὐκοῦν καὶ Θηβαίοις ἔδει πεισθῆναι τὸν πόλεμον.[25] ἐμπάζομαι.[26] οὐ βούλεται Λυκοῦργος τῶν ὑπηκόων ἰδεῖν τὴν πόλιν χηρεύουσαν. εἰπὲ γάρ μοι πρὸς θεῶν, πότερον τὸ λυσιτελοῦν σκοπῶν ἐνομοθέτει· καὶ τίσι δεῖ λέγειν ἐπέτρεπεν, ἢ βασκαίνων ἁπλῶς τῇ ἡλικίᾳ, τοῦ βήματος κεκώλυκε. δῆλον ὡς οὐδὲ διαμαρτάνων φήσεις Λυκοῦργον ἀμελεῖν τοῦ συμφέροντος· εἰ δέ, ὅπερ ἐστιν, ἐπ' ὠφελείᾳ κεῖσθαι τοὺς νόμους ὁμολογεῖς, πότερον αἱρετώτερον ἦν φυλαχθῆναι τῇ Σπάρτῃ τὸ φρόνημα, καὶ τὴν πόλιν ἄρχειν ὧνπερ καὶ πρότερον, ἢ τοὐναντίον, ἀνελεύθερον ἔχειν εἰρήνην, ἵνα μή μου τὸ δέον ἀνέχησθε συμβουλεύοντος. εἰ τοίνυν τὸ συμφέρον ἐκεῖνος ἐννοῶν, ἐτίθει τὸν νόμον, ἐγὼ δὲ πρὸς εὔκλειαν ὁμοῦ καὶ πρὸς ἀσφάλειαν ὁρῶν, τῇ πόλει παρῄνεσα· δῆλον ὡς ἔργῳ φυλάττω τοὺς νόμους, καὶ τὴν πολιτείαν εὐεργετῶ. πρὸς ὃ καὶ Λυκοῦργος ὁρῶν, ἐνομοθέτει τοῖς Λάκωσιν· ὁ γὰρ οἷς ὁ νόμος ἐθέλει, τοῖς ἔργοις ὑπηρετῶν, οὗτος ἀκριβῶς τὸν σκοπὸν τοῦ νομοθέτου φυλάττει. κἂν μὴ συμφωνεῖν δοκοίη τοῖς γράμμασι.[27] ποίαν οὖν εἰκὸς ἡλικίαν ἐνδέξασθαι εἰς ποῖον δὲ καιρόν, δουλείας προσδοκωμένης, τοὺς λόγους ἐφύλαττον; εἰ μὲν γάρ τις τῶν γεγηρακότων, οὓς διὰ τὸν χρόνον φὴς τὸ δέον ἐπίστασθαι, παρελθὼν εἶπέ τι Λακωνικόν, καὶ τῆς ἐμπειρίας τῶν πραγμάτων ἐπάξιον, δικαίως ἠγάπων τὴν σιωπήν. εἰ δὲ τούτων αἱρεῖσθαι δουλείαν παραινούντων αὐθαίρετον, ἐγὼ

24 ἀναβαλέσθαι W.

25 τὸν πόλεμον] scil. ἀναβάλλεσθαι. a communi.

26 in marg. W. adscriptum est hoc schol: ἐπιστροφὴν ποιοῦμαι τῶν σῶν λόγων δηλονότι.

27 τοῖς γράμμασι] sic W. τοῖς deest M.

ἐγὼ παρεσκεύασα μετ' ἐλευθερίας τὸ τρόπαιον· τίς οὐκ ἂν εὖ φρονῶν οἴοιτο τὰ μὲν τῆς αἰτίας ἑτέροις· τὰ δὲ τῶν ἐπαίνων ἐμοὶ περιλείπεσθαι δικαίως; ἔτι τοίνυν ἀποδεῖξαι βούλομαι φθόνου τὴν δίκην, ἀλλ' οὐκ ἐγκλημάτων τυγχάνουσαν. τί γὰρ δὴ τότε παρὰ τὴν ἐκκλησίαν τῶν δεχθέντων ἀκούων, οὐκ ἀναστὰς διεκώλυες; εἰ μὲν γὰρ καλῶς ἔχειν ἡγούμενος. τί νῦν μάτην κατηγορεῖς, ὅτε καὶ τὸ τρόπαιον ἠκολούθησε, τῶν ἐμῶν ἀποδεῖξαν λόγων τὸ χρήσιμον· εἰ δὲ τότε σιγήσας, ὅτε μᾶλλον ἀντιλέγειν ἐχρῆν, νῦν ἐφαίνης οὐκ οἶδ' ὅπως τῶν νόμων κηδόμενος, δῆλον ὅτι τοῖς πεπραγμένοις φθονῶν, τὴν κατηγορίαν πεποίησαι. σκόπει δὴ μὴ συκοφαντῶν ἐμὲ, διαβάλλων ἀλώσῃ τὴν νίκην. δυσχεραίνων γὰρ ἐφ' οἷς εὐτυχήκαμεν, δίκας εἰσπράττεσθαι βιάζῃ τὴν πόλιν τὸν δεδωκότα τοῦ τροπαίου τὴν ἀφορμήν. ἀλλὰ τύχης ἔργον, φησὶ, τὸ κατόρθωμα γέγονε· καὶ οὐ δεῖ σε παρανομοῦντα, ζημίας ἀπολύειν ἐλεύθερον, μὴ παῤῥησίας ἡ νεότης τυχοῦσα, κινδύνων τῇ πόλει γένηται πρόφασις. μέχρι τίνος ἐνυβρίζεις τῇ πόλει, τύχῃ τὰ τῶν Λακεδαιμονίων, ἀλλ' οὐκ ἀρετῇ φιλοτιμούμενος τρόπαια.[28] μέχρι τίνος Θηβαίοις συνηγορεῖς, μόνους ἥττονας[29] εἶναι τῆς τύχης ἀποκαλῶν. λίαν ἠγνόηκας ὅσον ἀλόγου τύχης καὶ προνοίας ἐστὶ τὸ διάφορον. ἡ μὲν γὰρ παρ' ἐλπίδας ἔχει τὴν πρᾶξιν, ὡς παρὰ τὴν ἀξίαν συμβαίνουσα· ἡ δὲ καὶ πρὸ τῆς πείρας αὐτῆς ὡς παρὸν ἤδη θεωρεῖ τὸ γινόμενον. εἰ μὲν οὖν μὴ προεῖπον τὸ μέλλον παρὰ τὴν ἐκκλησίαν ἐγὼ, ἢ τὸ τῆς νίκης, ὃ μεῖζον ἢ καθ' ἡμᾶς ὂν,[30] τῇ πόλει κατόρθωται· κἀγὼ μετὰ τοῦ κατηγόρου παρέχω τῇ τύχῃ τὴν εὔκλειαν. εἰ δὲ καὶ τὸ συμβὰν προαγορεύσας, τῆς βουλῆς οὐ διήμαρτον· καὶ τῇ Σπάρτῃ τὸ τοῦ πολέμου τέλος τοῖς προλαβοῦσι γέγονε

σύμ-

[28] post τρόπαια videtur προσνέμειν deesse.

[29] aut μόνους (scil. τούτους) οὐχ ἥττονας solos eos aiens fortunae non obnoxios, aut μόνους ἡμᾶς ἥττονας.

[30] aut et ὃ et ὂν deletum malim, aut saltim ὄ.

σύμφωνον, πῶς οὐ προνοίᾳ καὶ δυνάμει κρείττους τῶν πολεμίων γεγόναμεν; εἰ δὲ καὶ ζημίας ἐμοὶ, καὶ κίνδυνον τῷ σεσωκότι τὴν πόλιν ὁ νόμος ἐπέφερεν, οὐδέ ποτ' ἂν ἔγωγε τῆς κοινῆς εὐπραγίας, τὴν ἐμὴν προτιμᾷν ἠνειχόμην ἀσφάλειαν. πῶς γὰρ οὐκ ἄτοπον, τὴν μὲν ἄλλην μεθ' ὅπλων νεότητα προκινδυνεύειν τῆς πόλεως· ἐμὲ δὲ μὴ τῆς ἀπὸ τοῦ λέγειν κατηγορίας, εἰ δοκοῦν οὕτως εἴη, ἀνέχεσθαι τοῖς συκοφάνταις, τῆς ὅλης μέλλοντα τῇ πόλει σωτηρίας αἴτιον γίνεσθαι; ἀλλὰ δέδωκας, φησὶν, ἀφορμὴν θρασύνεσθαι τῇ νεότητι. τοῦτο γὰρ αὐτοῦ τῆς κατηγορίας τὸ μέγιστον· μηδὲ παύσοιντό γε, θεοὶ σωτῆρες, οἱ νέοι, καιροῦ καλοῦντος, παραπλησίως ἐμοὶ θρασυνόμενοι· εἴ γε θράσος δεῖ τὴν παῤῥησίαν ὀνομάζειν τὴν εὔλογον. ἀπόκριναι γὰρ πυνθανομένῳ μοι παρελθὼν, τίνος ἕνεκεν ὁ δῆμος εἴργει τοῦ βήματος τὴν νεότητα, τοῖς δὲ γεγηρακόσιν ἐπ' ἀδείας λέγειν δεδώρηται; ἢ δῆλον, ὡς τοὺς μὲν, εὖ φρονεῖν ὑπολαμβάνων, καὶ δι' ἐμπειρίαν τὸ λυσιτελοῦν εἰσηγεῖσθαι τῇ πόλει. τοὺς δὲ, διαμαρτάνειν, μήπω τῆς ἡλικίας πεπαιδευμένης εἰδέναι τὰ πράγματα. ἐξετάσωμεν τοίνυν οἷά ποτε πείθειν ἐπειρῶντο τὴν πόλιν ἑκάτεροι. ὠνησώμεθα τὴν εἰρήνην ἐβόων δουλείας οἱ γέροντες· ἔξεστιν ἄγειν ἡσυχίαν ἀκίνδυνον· οὐ δεῖ τραυμάτων καὶ πολέμου τῇ Σπάρτῃ. ταῦτα τῆς σωφρονούσης ἡλικίας τὰ ῥήματα. ὦ πόνοι, καὶ μάχαι, καὶ τὰ σεμνὰ τῆς Λακεδαίμονος τρόπαια. ἀνανεοῦμαι τῇ μνήμῃ τὸν Ὀθρυάδην ἐκεῖνον· καὶ τουτουσὶ καλεῖν Λακεδαιμονίους αἰσχύνομαι. τὰ δὲ τῆς ἐμῆς ποῖα νεότητος; οὐδέποτε κινδύνων δεῆσαν ἡ πόλις ἀπέσχετο· τούτοις τὴν παρὰ πᾶσι δόξαν ἐπαινουμένην ἐκτήσατο. ἀναμνήσθητι τῶν ἐν Πύλαις ὑπ' ἐλευθερίας[31] τῶν Ἑλλήνων δεδωκότων τὰ σώματα, δικαστῇ γὰρ τῶν διαφόρων ἀεὶ τῷ πολέμῳ χρωμένη, δημοσιεύει τὴν ἀρετήν· τῆς γοῦν Ἑλλάδος παρ' ἀξίαν ποτὲ μιᾷ πόλει δεδουλωμένης, οἰκείαν συμφορὰν οἱ τότε Λακεδαιμόνιοι

[31] malim ἐπ' ἐλευθερίᾳ.

μόνιοι τὸ πάθος νομίσαντες, πᾶν ὁτιοῦν πάσχειν ᾤοντο δεῖν, ἢ περιιδεῖν τοὺς ἄλλους δουλεύοντας. καὶ ταῦτα δίκῃ τῶν Ἀθηναίων ἀξιούντων τὰ πράγματα κρίνεσθαι εἶτα πρὸς θεῶν ὑπὲρ μὲν ἄλλων ἔδει τοσοῦτον ἀναδέξασθαι κίνδυνον· ὅπως δὲ μὴ δουλεύσωμεν ἡμεῖς, μηδὲ Θηβαῖοι Λακεδαιμονίων κρείττους ἀμελετήτως γενήσονται, ῥαθυμίαν τινῶν δίκαιόν ἐστιν εἰσηγουμένων ἀνέχεσθαι; καὶ τί λείπεται, πλὴν ἀπονητὶ διδόναι Θηβαίοις τὰ πράγματα. ταῦτα τῷ νέῳ δημηγοροῦντι πειθόμενοι, μεμενήκατε[32] Λάκωνες; ταῦτα γερόντων ὡς ἀληθῶς ὁ νόμος κρίνει τὰ ῥήματα· πολιὰν αἰδεῖσθαι χηρεύουσαν οὐκ οἶδε φρονήσεως. ἀλλ᾽ ὅμως ἐπὶ τούτοις εὐθύνομαι, δέον ἐπὶ δημηγορίᾳ Λακωνικῇ, καὶ πρὸ τῆς νίκης[33] θαυμάζεσθαι· καὶ μετὰ τὴν πεῖραν στεφάνων ἀξιοῦσθαι καὶ δωρεῶν. ἀποδέχομαι τὴν νίκην, φησὶ, καὶ τῷ τροπαίῳ συνήδομαι· πραχθῆναι δὲ μᾶλλον ἐχρῆν, ἑτέρου παραινοῦντος, οἷς[34] τὴν ἐξουσίαν ὁ νόμος ἐπέτρεψε. κατηγόρει τῶν σεσιωπηκότων, ἅπερ ἐμὲ γράφῃ φθεγξάμενον. οὐδεὶς τὴν ἡμετέραν φωνὴν, οἷς τὴν ἐξουσίαν ὁ νόμος ἔδωκεν, ὑπεκρίνατο· σὺ δὲ τὸν εὐεργέτην τῆς ἑτέρων ἁμαρτίας ἐθέλεις δίκην εἰσπράττεσθαι· οὐ μᾶλλον τοῖς πράγμασιν ἔδει προσέχειν τὸν νοῦν. ἀλλ᾽ οὐ τοὺς εἰρηκότας σε, τίνες[35] εἶεν περιεργάζεσθαι, τί γὰρ ἄμεινον ἕξειν οἴει τοῖς χρωμένοις τὰ πράγματα, πρεσβύτου, καὶ μὴ νέου, τύχαις εἰσηγησαμένου τὴν πρᾶξιν; θαυμάζω δὲ πῶς οὐ συνιὴς ἀνεύθυνόν με, δι᾽ ὧν ὁμολογεῖς καθιστῶν, ἀλλ᾽ οὐκ ἠδικηκότα τοῖς σοῖς ἐλέγχων ἐπιχειρήμασιν. ἐπαινῶν γὰρ τὸ πραχθὲν, λανθάνεις σεμνύνων τὸν εἰσηγησάμενον τὸν κίνδυνον ὑποστῆναι. ἢ τοίνυν κακίζων τὴν πρᾶξιν διάβαλλε· ἢ τὸ γεγονὸς τιμᾶν, ἀποδέχου τὸν αἴτιον τί δεῖ λόγων; εἴ σοι δοκῶ πλημμελεῖν, περὶ τῆς ἐλευθερίας ἐσπουδακὼς, δῆλος εἶ δουλεύειν ἐθέλων

λων

[32] μεμνήκατε W. μεμηνύκατε m. M.

[33] δίκης W. et m. M.

[34] γρ. ᾧ τὴν m. M.

[35] τίνος m. M.

λων Θηβαίοις τὴν Σπάρτην. εἰ δὲ καὶ μέχρι ῥημάτων αἰσχρὸν εἶναι τοῦτο Λακεδαιμονίοις ὁμολογεῖς, συνέβη δ' ἂν ὑποθεμένης τῆς πολιᾶς, εἴπερ ἐσιώπων ἐγώ. πῶς παρανόμων κατηγορεῖς, δι' ὃν οἱ νόμοι φυλάττονται τῆς πατρίδος, καὶ σὺ τυγχάνεις ἐλεύθερος; συλλογίσασθαι οὖν δὴ βούλομαι διὰ βραχέων, καὶ δεῖξαι τὰ πεπραγμένα καθ' ἕκαστον. ἔπαυσα Θηβαίων τὴν ὕβριν· ἠλευθέρωσα πολεμίων μετ' εὐκλείας τὴν πόλιν· ἐφύλαξα Μεσήνην Λακεδαιμονίοις ἀκέραιον. διεκώλυσα τὴν παρ' Εὐρώτα γενέσθαι Θηβαίοις ὑπήκοον. τίνες οὖν αἱ τούτων ἀμοιβαί; κατηγορία, καὶ δίκη, καὶ προσδοκώμενος κίνδυνος. ἐκεῖνο δὲ προσθεὶς ὧδε καταβήσομαι. ἡ παροῦσα κρίσις, ἢ πολλοὺς διδάξει προκινδυνεύειν τῆς πόλεως, ἢ λόγον ποιεῖσθαι ταύτης οὐδένα, σιωπὴν τιμῶντας ἀπράγμονα.

ΑΛΛΗ ΜΕΛΕΤΗ.

ΘΕΩΡΙΑ.

Ἐν Κορίνθῳ γέγονεν ἑταίρα τὶς εὐπρεπὴς, Λαῒς, ἐραστὰς πολλοὺς ἐπισπωμένη τῷ κάλλει. ἐντεῦθεν πολλῆς ὑποφθειρομένης νεότητος, γράφει τὶς ἀπελαύνειν τῆς πόλεως Λαΐδα. ἔπεισε· μετὰ ταῦτα πολλῶν κατὰ τὴν πόλιν γινομένων μοιχῶν, καὶ νόμου κειμένου τὸν λαμβανόμενον ἐπ' αὐτοφώρῳ μοιχὸν ἀποκτίννυσθαι, πολλοὶ τὴν ἀπὸ τοῦ νόμου ζημίαν ὑπέμενος·[1] καὶ γράφει τὶς Λαΐδα πάλιν κατάγειν· ἑτέρου τινὸς ἀντιλέγοντος.

Μελετῶμεν τὸν ἀντιλέγοντα.

[1] ἐπέμενος m. M.

ΠΡΟ-

ΠΡΟΘΕΩΡΙΑ.

ΕΠΑΘΟΝ τὴν ψυχὴν, καὶ συνήλγησα τοσαύτην ἀδοξίαν Κορίνθῳ κατασκευαζομένην ὁρῶν, καὶ πεῖσαι τινὰς ἐπιχειροῦντας ἐφ᾽ οἷς ἐγνώκασι περὶ Λαΐδος μεταμελεῖσθαι, καὶ λύσειν ἐθέλοντας τὰ δεδογμένα καλῶς. παρῆλθον τοίνυν ἐπὶ τὸ βῆμα, Κορίνθιος εἶναι δοκῶν, αὐτόν γε δή που τὸν τῆς ἐπιδείξεως χρόνον. ἤδη μὲν οὖν ὁ τῆς Λαΐδος συνήγορος ἀπηριθμήσατο μοιχείας, καὶ φόνους, καὶ τῆς ἑταίρας ἐγκώμια· Λαΐδα κατάγειν ἄνω καὶ κάτω συμφέρον δεικνύς. ἡμεῖς δὲ τὰ πεπραγμένα Λαΐδι καθ᾽ ἡμῶν, καὶ τὴν ἤδη περὶ τοῦ μὴ μένειν κρατήσασαν ψῆφον· εἶτα τὸ μὴ δεῖν μεταβάλλεσθαι· μηδὲ τὴν πόλιν παρὰ τοῖς Ἕλλησιν ἀδοξεῖν, θεραπεύουσαν ἑταίραν· καὶ τὰ τοιαῦτα διέξιμεν. εἰ δέ τις τὸ πλῆθος τῶν εἰρημένων σκοπῶν, δίδωσι τὸ πλέον τοῖς ἀντιλέγουσιν, οὐκ ὀρθῶς ἔγνωκε. πᾶσι γὰρ τούτοις τὸ συμφέρον μόνον ἀντίῤῥοπον. οὕτω μὲν ἑκατέρῳ τὰ τῶν ἀγώνων ἴσα δοκεῖ. τὸ πέρας[2] δὲ τῷ μέλλοντι καταλείπεται χρόνῳ, πότερον δεῖ κυροῦν ἢ λύειν τὸ ψήφισμα.

[2] τὸ δὲ πέρας m. M.

ΛΟΓΟΣ ΑΝΤΙΛΕΓΟΝΤΟΣ.

Αἰσχύνομαι, νὴ τὴν σωφροσύνην, συμβούλων δεομένην τὴν πόλιν ὁρῶν, τὴν ἀκολασίαν ἀπελαύνειν αὐτῇ παραινούντων. τὸ γὰρ μὴ τιμᾷν αὐτόθεν τὴν ἀρετὴν, καὶ περιπόθητον εἶναι νομίζειν, ἀλλὰ διδόναι λόγον τοῖς προσποιουμένοις μὲν Λαΐδι συνηγορεῖν, ἐν ἀδοξίᾳ δὲ καθιστάναι πειρωμένοις τὴν πόλιν, ἐγκαλύπτεσθαι τοὺς καὶ ὁπωσοῦν βεβιωκότας σωφρόνως παρασκευάζει. ἐπειδὴ δέ τινες ὑμᾶς οὕτω διέθηκαν, ὥς τε πόρνας αὐτῶν ἐπαινούντων ἀνέχεσθαι, φέρε κοινῇ τὸ συμφέρον σκοπῶμεν· ὅπως μὴ τοὺς δι' ἔρωτα νικωμένους ταῖς ἡδοναῖς, κριτὰς ἅμα καὶ συμβούλους ποιούμενοι, περὶ τῶν μεγίστων, ἡμεῖς ἐξαμάρτωμεν. ἄλογον γὰρ τοὺς μὲν οὕτως ἀτόπῳ πράγματι συνεροῦντας, μὴ κατοκνεῖν φανερὰν τὴν αὐτῶν αἰσχρὰν ἡδονὴν τῷ πλήθει ποιεῖν· ἡμᾶς δὲ τὴν εὐκοσμίαν περιφρονοῦντας ὀφθῆναι. ἐγὼ μὲν οὖν τὰς παρανόμους ἀποστρέφομαι μίξεις· καὶ τοὺς περὶ ταύτας ἐπτοημένους, οὐκ ἀγαθοὺς εἶναι νομίζω. ὥστε μοι καὶ πολλάκις ἐννοεῖν ἐπεισεν, ὥς τινες ἐνυβρίσαι τοῖς νόμοις βουλόμενοι, τοιοῦτον ζῆν ἐπετήδευσαν βίον, ἐν ἀδοξίᾳ πᾶσαν καθιστῶντα τὴν πόλιν. ἐξὸν γὰρ, εἰ μὴ κρατεῖν ἐβούλοντο τῶν ἡδονῶν, προσελθόντας περὶ γάμου κόρης διαλεχθῆναι πατρὶ, καὶ μέτριον ἦθος παρεχομένους, ἀνύσαι τὸ σπουδαζόμενον, καὶ τὴν ἐπιθυμίαν πληροῦν, ὅ τε καὶ τὸ δοκεῖν μὴ ἁμαρτάνειν ἐνῆν· καὶ τὴν πόλιν παρὰ τοῖς Ἕλλησιν εὐδοκιμεῖν· σωφρόνων ἀνδρῶν ταύτην ἔχειν δοκούντων, εἵλοντο μᾶλλον τὸ κοινῇ συμφέρον περιφρονεῖν, καὶ τὸν ἴδιον βίον ἀτιμαζόμενον περιορᾷν, ἢ τῶν νενομισμένων τὶ πρᾶξαι. καλόν γε πειθαρχεῖν τοιαύτῃ φύσει, πρὸς ἀτοπίαν παρακαλούσῃ τὴν πόλιν. γνοίη δ' ἄν τις αὐτῶν τὴν τῆς ἀτοπίας ὑπερβολὴν, εἰ τὰ[1] πρώην γεγεννημένα διὰ βραχέων ἀκούσοι διηγουμένου.

ἡμῖν

[1] εἰ τὰ] ſic W. εἶτα M.

ἡμῖν πρότερον ἦν οὐχ ἧττον τῶν ἄλλων Ἑλλήνων ἐπὶ σωφροσύνῃ μέγα φρονεῖν· οὐ γὰρ εἶχεν ἡ πόλις Λαΐδα· καὶ τὰς ἰδίας ἐστέργομεν πάντες γυναῖκας· ὥστε συνέβαινε τήν τε Κόρινθον παρὰ πᾶσιν εὐδοκιμεῖν, καὶ τοὺς ἐνοικοῦντας ἐν εὐδαιμονίᾳ διάγειν, εὐνοίας θεῶν φυλαττούσης τὴν πόλιν. πεφύκασι γὰρ οἱ θεοὶ, τοῖς ἐπιτηδεύουσιν ἀρετὴν ἀμοιβὰς διδόναι κοινὴν εὐπραγίαν· καὶ παῖδας ἐξ εὐγενείας κηρυττομένους. ταύτης μὲν οὖν ἀπέλαυε τῆς εὐημερίας ἡ πόλις. δαίμων δέ τις σκαιὸς τῇ παρούσῃ τότε τύχῃ βασκαίνων, ἐκ τῶν βαρβάρων, ἦν γὰρ Σικελική, κομίζει τῇ πόλει Λαΐδα, θηράσαι νεότητα, καὶ πρὸς ἀτόπους ἡδονὰς ἐρεθίσαι δεινήν. πόλιν τε πλουτοῦσαν ἄπορον[4] ἱκανὴν ἀποδεῖξαι. ἑταίρα γὰρ ἐπαγωγὸν πρᾶγμα νεότητος· καὶ πλουτεῖν ἐκ τῆς τοιαύτης ἐργασίας πεπαιδευμένη. πολλὰς ἐκένωσεν αὕτη χρημάτων οἰκίας. ποτὲ μὲν μειρακίου προσποιουμένη πλουσίου ἐρᾷν, μέχρις ἂν ὑφάψειεν ἐκ ἐνόντα τούτῳ τὸν πόθον· ποτὲ δὲ φεύγουσα τὸν ἐραστὴν, καὶ νενευκυῖα πρὸς ἕτερον, πλείονα προκαλουμένη τῶν χρημάτων τὴν δόσιν· ἄλλοτε πρὸς πόλεμον τοὺς ἀντεραστὰς ἐρεθίζουσα, καὶ διαμιλλᾶσθαι πρὸς ἀλλήλους ταῖς δωρεαῖς, δι' ὧν ὑπάρχει τὸ νικᾷν μόνον τῷ τὸν ἕτερον ὑπερβάλλοντι. τοιαύτην γὰρ ἔχουσι τέχνην αἱ πόρναι, δελεάζουσι[5] τοὺς νέους, εἰς αὐτὰς δαπανᾷν τὰς οὐσίας. ὁ γὰρ ἀτόπως ἐρῶν, φορητὸν ἡγεῖται τὴν ἔνδειαν. καὶ μᾶλλον ἕλοιτ' ἂν, οἶμαι, πενίᾳ συζῆν, ἢ τὸν ἀντεραστὴν ὁρᾷν τῇ ποθουμένῃ τιμώμενον. ἐντεῦθεν ὑπῆρχεν αὐτῇ λυμαίνεσθαι τὴν πόλιν διχόθεν. ὅ, τε γὰρ πλοῦτος ἅπας πρὸς αὐτὴν ἐκομίζετο, φιλοτιμουμένων τῶν ἐραστῶν, καὶ πειρωμένων αὐτὴν δόσει χρημάτων οἰκειοτέραν αὐτοῖς καταστῆσαι· ἥτε νεότης, οὐδὲν ἔτι χρήσιμος ὑπῆρχε τῇ πόλει, μελέ-

[4] durior haec constructio sic est resoluenda: ἱκανὴν οὖσαν (id est δυναμένην) ποιεῖν πόλιν τινὰ ἐκ πλουσίας ἄπορον.

[5] δελεάζουσι] sic W. et m. M.

μελέτης ἀμελοῦσα πολεμικῆς, καὶ περὶ τὰς θύρας Λαΐδος ἀσχολουμένη.[6] πολλάκις ἐκίνησε γύναια σεμνὰ πρὸς ζῆλον τοῦ βίου, πλουτοῦσα λίαν, καὶ περιπόθητος τοῖς πολλοῖς γιγνομένη· ὡς γὰρ τοὺς συνοικοῦντας ἑώρων ἀμελοῦντας μὲν τῆς πρότερον εὐνοίας αὐτῶν, περὶ πλείονος δὲ τὴν ἑταίραν πεποιημένους, καὶ τὸν οἴκοι πλοῦτον ἐπ' ἐκείνην μετάγοντας (σύνηθες γὰρ τοῖς ποθοῦσιν ἑταίραν, ἐφ' ᾧ μάλιστα τὰς συνοικούσας εὐφραινομένας ὁρῶσιν, ὑφαιρεῖσθαι τοῦτο, καὶ ταῖς ἐρωμέναις χαρίζεσθαι, ἐνδεικνυμένοις ὅσῳ τῆς νόμῳ δεθείσης ἐκείνην προκρίνουσι) ταῦτα τοίνυν ὁρῶσαι, ποτὲ μὲν προσεποιοῦντο τὴν τῶν ἀνδρῶν ἀγνοεῖν πρὸς τὴν Λαΐδα συνήθειαν· ἄλλοτε δὲ πρὸς αὐτοὺς τὴν σωφροσύνην ἀποθαυμάζουσαι, καὶ πλείστην τῆς ἀκρασίας κατηγορίαν ποιούμεναι, πρὸς τὴν εὔνοιαν αὐτοὺς ἐπειρῶντο τὴν προτέραν ἀναγαγεῖν. ὡς δὲ τοὺς λόγους αὐτῶν οἴκοι οἱ ἄνδρες ἐπῄνουν· ἐν ἀγορᾷ δὲ τοῖς τῆς ἑταίρας ἐγοητεύοντο ῥήμασι· πέφυκε γὰρ πόρνη, καὶ σώφρονα πεῖσαι καταφρονεῖν ἀρετῆς, καὶ λόγοις ποικίλοις θηρεῦσαι πρὸς ἔρωτας. ὡς οὖν ἦν ἄμαχον τὸ κακὸν, καὶ τελευτῶντες οἱ ἄνδρες οὐδὲ φοιτᾶν ἔτι πρὸς τὰς συνοικούσας ἠξίουν, αἱ μὲν, πολλοῦ[7] σωφροσύνην τιμῶσαι, κρατεῖν τοῦ χρήματος[8] ἐδυνήθησαν, ἔνιαι δὲ τῇ φύσει νικώμεναι, ζηλωτὸν εἶναι τὸν Λαΐδος κρίνασαι βίον· καὶ δίκην παρὰ τῶν συνοικούντων ταύτην λαμβάνειν ἡγούμεναι, πωλεῖν ἐνόμισαν δεῖν τοῖς βουλομένοις τὴν ὥραν. ἐντεῦθεν, ὡς οἶμαι, λύπας τινὲς ἀμυνόμενοι, καὶ ταῖς τῶν ἐχθρῶν ἐπιτιθέμενοι συμφοραῖς, προχείρως ἐπεσπῶντο πρὸς ὅπερ ἐβούλοντο τὰς δι' ἐρημίαν τῶν ἀνδρῶν ζηλωτὸν οἰομένας εἶναι τῆς Λαΐδος τὸ πρᾶγμα. δεινὸν γὰρ ἐρεθίσαι γυναῖκα σωφροσύνης καταφρονεῖν, ἀνὴρ ἑταίρα

[6] σχο. διατρίβουσα m. M.

[7] αἱ μὲν πολλοῦ] sic etiam W. sed leg. αἱ μὲν ἐκ πολλοῦ scil. χρόνου. iam pridem, iam a longo tempore.

[8] τοῦ χρήματος] scil. τῆς σωφροσύνης. in possessione manere pudoris et castitatis. σχήματος in t. W. et m. M. sed in margine W. vulgata est.

ἑταίρᾳ συνὼν, καὶ ταῖς ἡμέραις ἐπισυνάπτων τὰς νύκτας. οὐκοῦν ἀμεῖψαι τὴν φύσιν ἴσχυσαν ἔτι τὰ γύναια, ἐπιλαβομένην[9] ἅπαξ ἡδυπαθείας· ἀλλ' ἔτι καὶ νῦν ἁμαρτάνουσιν, εἰ μή τις αὐτὰς τρόπος κωλύσειε. Μέλλων δὲ κατάπλους[10] ἐπὶ τὴν ἑταίραν τῶν Ἑλλήνων ἀπαριθμεῖσθαι, τὴν ἀδοξίαν τὴν ἐμὴν καὶ τῆς πόλεως δεδιὼς, ἐγκαλύπτομαι. τοῦτο μὲν εἰς ἀνάμνησιν ἄγων τῆς πατρίδος τὰς συμφοράς· τοῦτο δὲ λέγειν ἀναγκαζόμενος, ἃ μὴ πρέπει τοῖς ἀξίως τῆς Κορίνθου γραφεῦσι.[11] καὶ δέδοικα μὴ δόξω τὶς εἶναι μισόπολις, φέρων εἰς μέσον τὰ μὴ καλῶς πραχθέντα ἐν ταύτῃ. τὸ γὰρ ἀτόπου πεπραγμένου τινὸς, οὐκ ἐθέλειν ἠρεμεῖν, καὶ τῇ σιωπῇ τὸ πάθος ἀμβλύνειν, ἀλλὰ δίκην βούλεσθαι τῶν γεγενημένων λαβεῖν, εἰς ἐπίδοσιν πέφυκε μᾶλλον ἄγειν τὴν ὕβριν. ἀλλ' ἐπειδὴ μεῖζον ἄτοπον εἶναι δοκεῖ περιϊδεῖν νόσημα μεγέθει νικῶν, καὶ μέλλον ἐπινέμεσθαι πάλιν τὴν Κόρινθον, ἄμεινόν τε διελέγχειν λόγῳ τὸ πραχθὲν, ἢ δέξασθαι δευτέρας ἁμαρτίας ἀρχήν· οὐκ ὀκνήσω τὰ πρώην γεγενημένα φέρειν εἰς μέσον, εἰ καὶ τοῦ τῆς πόλεως ἤθους καὶ τῆς ἐμῆς πολιτείας, ἔξω τὸ πρᾶγμα δοκεῖ. πάντες, οἷς τῶν Ἑλλήνων ἔρως ἀκολασίας εἰσῆλθε, φανερὰν τοῖς σφῶν πολίταις καταστῆσαι τὴν πονηρίαν αἰδούμενοι, πολιτευομένης παρ' ἡμῖν, ὡς οὐκ ἔδει, τῆς περιβοήτου Λαΐδος, καὶ δεδιότες μὲν τὸν οἴκοι σωφρονισμὸν, τῆς δὲ παρ' ἡμῖν ὡς ἔοικεν ἀδείας κατεγνωκότες, ἴσως δὲ καὶ τῆς πόλεως καταγελῶντες, ὅτι τῆς ἀκολασίας ἐστὶν ὁρμητήριον, ἔπλεον ἐπὶ τὴν ἡμετέραν, οὐδὲν ἕτερον ἢ πορνοβοσκὸν εἶναι νομίζοντες. διὰ ταῦτα τοίνυν θεῶν, οἶμαι, τινὸς προνοίᾳ, οἱ τῶν πολιτῶν ἐπιεικεῖς τε καὶ σώφρονες πάντες, πᾶσιν ὁρῶντες ἔνοχον τοῖς ἀτόποις τὴν πόλιν, κακιζο-

[9] inter vulgatum ἐπιλαβ. et simplex λαβομένην quod est in W. et m. M. adhuc ambigo.

[10] κατάπλους] sic W. κατάπλουν M.

[11] ἴσ. γραφῶσι m. M.

κιζομένην τε καὶ δυσαπαλλάκτῳ μέμψει συνεχομένην, μίαν λύσιν εὗρον τῶν δυσχερῶν, μεταφέρειν ἑτέρωσε τὴν τελουμένην[12] κακίαν· καὶ περὶ σωφροσύνης γράφουσι ψήφισμα, καλόν γε νὴ τὴν Ἀθηνᾶν, καὶ τῆς προαιρέσεως τῶν Λαΐδι συνεργούντων[13] ἀλλότριον, εἶναι μὲν ἐν τῇ πόλει μηκέτι Λαΐδα· οἰκεῖν δὲ ταύτην ἀπελθοῦσαν ὅποι[14] καὶ βούλεται τῶν ὅρων ἔξω τῆς χώρας·[15] ὅπως μήτε τὰς ἡμετέρας ἐπιμιγνυμένη γυναῖκας ὑβρίζοι μήτε τῶν νέων διαφθείροι τὰς γνώμας. ἔδει δὲ ἄρα προσγράψαι, μηδὲ τὸ λοιπὸν ἐξεῖναι κατάγειν, ἢ θάνατον εἶναι ζημίαν κατὰ τοῦ πείθειν ἐπιχειροῦντος. οὕτω γὰρ οἱ χρηστοὶ τῆς Λαΐδος συνήγοροι τουτοισὶ τοῖς σεμνοῖς οὐκ ἂν ἐχρήσαντο ῥήμασι. καί φησιν· ἀλλ' ἀπελαθείσης ἐκείνης, ἡ νεότης ἀδικεῖ τὰς νόμῳ δοθείσας· καὶ πολλαὶ Λαΐδες ἀντὶ μιᾶς ἐν τῇ πόλει γεγόνασι. δεῖν οὖν κατάγειν, καὶ τὰς ἡδονὰς τῶν νέων δι' ἐκείνης ἀναπληροῦν· οὕτω γὰρ στήσουσι τὴν ἄτοπον περὶ τὰς ἐλευθέρας[16] ὁρμήν. ἔδει τοὺς τοιούτων λόγων συμβούλους ἑτέραν πόλιν οἰκεῖν, Λαΐδι συζῶντας, ἐν ᾗ σωφροσύνης χωρὶς πολιτεύονται.[17] εἰ μὲν γὰρ οὐκ ἐνῆν διάγειν, ἢ ζῆν ἁπλῶς, ἀκολασίας ἐκτὸς, παρῄνουν Λαΐδα, καὶ πολλὰς ἑταίρας κατάγειν, ὅπως ἂν ἀδεῶς διατρίβωμεν, τὴν συνοικοῦσαν ἕκαστος ἔχοντες. ἐπειδὴ δὲ τὴν σωφροσύνην κόσμον οἶδα τοῖς ἐπιτηδεύουσι φέρουσαν, καὶ τοὺς εὖ φρονοῦντας περὶ ταύτην ἐσπουδακότας ὁρῶ· καὶ γὰρ πόλεις ὀρθοῖ, καὶ δόξαν πλείστην, καὶ χρημάτων πλοῦτον περιποιεῖ· παῦσαι παράθεσιν ἁμαρτημάτων ποιούμενος, καὶ τὸ μὲν, αἱρεῖσθαι· τὸ δὲ φεύγειν παραινῶν· δέον[18] ἐφ' ἑκάστῳ τὸ συνοῖσον σκοπεῖν· καὶ προ-

[12] num ζηλουμένην? an τὴν οὔπω τελουμένην *nondum consummatum*? in W. et m. M. est hoc schol. ἐνεργουμένην κακ.

[13] συμβαινόντων. (συνεργούντων) m. M.

[14] ταύτης ὅποι m. M.

[15] id est, ac si dixisset, ἔξω τῶν τῆς χώρας ὅρων.

[16] σχ. ἐλευθέρας φησὶ τὰς μὴ πορνευομένας, παρ' ὅσον οὐ δουλοῦνται τοῖς τῆς πορνείας κακοῖς. W. et m. M.

[17] non improbo coniecturam Mor. πολιτεύωνται. possit quoque legi πολιτεύσονται vel πολιτεύσωνται.

[18] δέον] sententia postulat

πρόφασιν ἐπιζητεῖν εὐπρεπῆ, δι᾽ ἧς ἡ πόλις τῆς ἑκατέρου[19] βλάβης ἐλευθέρα φανῇ. πρὸς θεῶν, πότερον ἄμεινον εἶναί σοι δοκεῖ, ἑκατέρου[20] κρατεῖν, ἢ θάτερον μὲν ψήφῳ κυροῦν, τὸ δὲ ἕτερον παῦσαι. ἴσως ἂν τὸ πρότερον ὁμολογήσεις ἐρυθριῶν. οὐ γὰρ ὁ τὰ μέτρια πλημμελῶν, ἀλλ᾽ ὁ μηδενὶ τῶν φαύλων νικώμενος, εὐδαίμων ἂν εἰκότως νομίζοιτο. μενάτω τοίνυν ὡς ἔχει Λαΐς· καὶ τὰ τῆς εὐκλείας ἐξ ἡμισείας τέως κατώρθωται. οὔτε γὰρ ἡ νεότης περὶ ἐκείνην κωμάζουσα[21] περιφρονήσει τὰ τακτικά, καὶ ὃν ἔδει πλοῦτον ὑπὲρ[22] τῆς πόλεως ἀναλοῦν, εἰς εὐωχίας πολυτελεῖς καὶ μέθην, καὶ τὰς αἰσχρὰς δαπανήσει τῶν ἡδονῶν· ἥτε πόλις οὐ δόξει μεταβεβλῆσθαι, περὶ ὧν[23] καὶ σὺ καλῶς ἔχειν ἄκων ὁμολογεῖς. δι᾽ ὧν γὰρ ἔφης οὐκ αὐτόθεν[24] βούλεσθαι Λαΐδα μετακαλεῖν· ἀλλ᾽ ἵνα τὰς ἐν τῇ πόλει σωφρονεῖν παρασκευάσωμεν, ἔδειξας οὐκ ὂν αὐθαίρετον οἰκεῖν ἐν Κορίνθῳ Λαΐδα. εἰ γὰρ ἀγαθὸν ἔκρινας αὐτό, μὴ χείρονι παραβάλλων ἑτέρῳ, οὐκ ἂν τὴν αἰτίαν προσέγραφες· παραμυθούμενος τὸ πλημμέλημα τῷ δοκοῦντι συμφέρειν. ἀλλ᾽ εἰ νομίζεις δύνασθαι σωφρονεῖν τὰς ἤδη νενικημένας ταῖς ἡδοναῖς, αἷς ἐπικουρεῖν τῇ τῆς Λαΐδος καθόδῳ νενόμικας. εἰσί που πάντως ἕτεροι τρόποι δι᾽ ὧν πείσομεν ἠρεμεῖν, καὶ μὴ πρὸς ἡδονὰς ἀτόπους ἐκφέρεσθαι. οὐ γὰρ αὐταῖς ἐπ᾽ ἐξουσίας δρᾷν ὅ, τι καὶ βούλονται συγχωρήσομεν. ἀλλὰ πρῶτον[25] μὲν νόμῳ παιδαγωγήσο-

εἰ δὲ δεῖ. Sed satius est suspicari, hic aliquid deesse, e. c. εἰ δὲ φιλονεικεῖς, ὡς δέον.

[19] f. τῆς ἀφ᾽ ἑκατέρου.

[20] ἑκατέρου bene si habet, erit idem atque ἀμφοτέρων. ambo obtinere, tam castitatem et seueritatem morum, quam licentiam et intemperantiam.

[21] χο ἐρωτικῶς εἰσερχομένη. W. et m. M.

[22] περὶ W. et m. M.

[23] περὶ ὧν] id est περὶ τούτων ἃ καὶ σύ.

[24] αὐτόθεν] id est ἁπλῶς, διὰ μηδεμίαν ἄλλην αἰτίαν, ἀλλὰ μόνον δι᾽ αὐτὴν τὴν Λαΐδα.

[25] πρῶτον] sic W. πρώτων M.

γήσομεν αὐτῶν τὴν προαίρεσιν, ὡς ἂν τὴν ἀπὸ τοῦ νόμου ζημίαν ἀναδυόμεναι, σωφρονεῖν ἀναγκάζονται.[26] ἔπειτα τὰ χρηστὰ παραινοῦντες λόγοις ἐπιεικέσιν ἀνακτήσασθαι πειρασόμεθα τὰς οὐ τῇ φυγῇ Λαΐδος, ζήλῳ δὲ μᾶλλον, ὡς φαίην ἂν ἔγωγε, διεφθαρμένας. εἰ δὲ πρὸς ἀκολασίαν ἐρῶσι, καὶ τοὺς ἡμετέρους[27] οὐ προσίενται λόγους· ἄμεινον ἔγωγε κρίνω ταύτας Λαΐδι τῶν αὐτῶν ἀξιοῦν· ἢ Λαΐδα τῷ κακῷ δοῦναι προσθήκην. εἰ γὰρ ἴδωσιν ἐκείνην τῇ καθόδῳ τοσαύτης ἀξιωθεῖσαν τιμῆς, ἐπὶ τῆς αὐτῆς μενοῦσι προαιρέσεως, εὔκλειαν ἐμποιεῖν αὐταῖς ταύτην ἡγούμεναι. ὥς τε καὶ πρὸς εὐδοξίαν κοινῇ, καὶ πρὸς ἀσφάλειαν, οὐ συνοίσει λυθῆναί τι τῶν δεδογμένων. ὅτε[28] γὰρ μένουσα μὲν ὡς ἔχει, δίδωσιν ἔννοιαν, ὡς φαύλην ἡμεῖς τιμωρίαν ὡρίσαμεν ταῖς ἀνάξια διαπραττομέναις τῆς πόλεως· μετακαλουμένη δὲ καὶ περὶ τῶν λοιπῶν δεδιέναι παρασκευάζει· πρόδηλον ὡς οὐ σωφροσύνης, ὡς αὐτὸς φῄς, ἀκολασίας δὲ κατιοῦσα γίνεται πρόφασις. ἀλλ' ἴσασιν ἅπαντες, εἰ μὴ λίαν εἰσὶν εὐήθεις, τοῦ ψηφίσματος τὴν διάνοιαν· καὶ τὴν πόλιν κακίζουσι τοιούτοις ἐπιτρέπουσαν γράφειν, ὅ, τι καὶ βούλονται. παῦσαι τοίνυν τοῖς ὁμολογουμένως αἰσχροῖς συνεργῶν[29] εὐνοίας προφάσει. καλῶς τὴν νεότητα σωφρονεῖν ἡ πόλις παιδεύσει, πόνοις ἀρίστοις τὸ πλημμελὲς ἀπελαύνουσα. καὶ γὰρ ἐπὶ θήραν ἰέναι, τοξεύειν τε, καὶ τοῖς ὅπλοις ἀναγκάσει χρῆσθαι τὴν μάχιμον ἡλικίαν, ὥστε μηδὲ χώραν εἶναι ταῖς ἡδοναῖς· καὶ γὰρ ἐξ ἡδυπαθείας ἔρως πέφυκε γίνεσθαι, καὶ τρυφῆς. ταύτης τοίνυν ἀναιρουμένης, ἀντεισφερομένης δὲ μελέτης πολεμικῶν, ἠρεμοῦσιν αἱ περὶ ταῦτα φροντίδες. ἀλλ' ὁ χρηστὸς οὑτοσὶ πάντων ὑπεριδὼν, ἑνὸς μόνου γίνεται πεῖσαι κατάγειν Λαΐδα, καὶ περὶ τούτου πᾶσαν πεποίηται τὴν σπουδὴν, ἐρρῶσθαι τῷ συμ-

[26] lege ἀναγκάζωνται.
[27] lege τὰς εὐμενεστέρας. W. et m. M. dant μὲν ἑτέρας.
[28] ἔτι γὰρ W. et m. M.
[29] f. συνερῶν. Saepe ista duo inter se permutantur συνεργῶν et συνερῶν.

συμφέροντι φράσας τῆς πόλεως. ἐπτόηται γὰρ, ὡς ἔοικε, περὶ τὴν ἄνθρωπον· καὶ μόνην ἡγεῖται σώματος ἔχειν τὴν ὥραν λαμπράν. ὅθεν θεραπεύων τὸν ἔρωτα, τὴν ποθουμένην αἰτεῖ. φέρε δὴ πρὸς θεῶν, εἰ ἀποδεξαμένων ὑμῶν τὰ ἐπαφρόδιτα ταῦτα, καὶ γέμοντα πολυλογίας ἐρωτικῆς, τὴν πολλήν τις ἀτοπίαν ὁρῶν καταγνώσεται τοῦ πεπεικότος ἑταίραν ἐπὶ διαφθορᾷ τῶν νέων κατάγειν, ἣν ὅπως σωθῶσιν ἀπελάσατε· ὁ δὲ πεπεικὼς πρὸς τὸν αἰτιώμενον φήσει, ἄνθρωπε, τί μᾶλλον τοῦ γράψαντος, ἢ τῶν πεπεισμένων κατηγορεῖς; ἐγὼ μὲν γὰρ τότε νομίσας συμφέρειν παρῄνουν· τὴν δὲ πόλιν, εἴπερ μὴ καλῶς ἔχειν ἐδόκει, παρὰ γνώμην κυροῦν, οὐδεὶς ἦν ἀναγκάζων.[30] εἰ ταῦτα λέξει, οὐχ αὐτῷ μὲν κοῦφον ἐργάσεται[31] τὸ πλημμέλημα, τὴν αἰτίαν δὲ πᾶσαν ὑμῖν ἀναθήσει; εἶτα πῶς οὐκ αἰσχρὸν ταῦτα λεγόντων ἀνέχεσθαι· ἐξ ὧν τοῖς μὲν ἡμαρτηκόσιν ἀπολογίας ἔσται καταφυγή· τῶν δὲ ἠσελγημένων ἡ πόλις τὴν ὕβριν ὀφλήσει. πρὸς δὲ τούτοις, οὐδὲ φύσιν ἡγοῦμαι ἔχειν,[32] τὴν αὐτὴν νομίζειν ἀκολασίας ἅμα καὶ σωφροσύνης αἰτίαν. καὶ διώκειν μὲν ἵνα μὴ πρὸς ἀτόπους ἔρωτας ἐξάγῃ τοὺς νέους· κατάγειν δὲ πάλιν, ὅπως εὐκοσμίας γένηται πρόφασις. ὥσπερ ἂν εἴ τις ἐξ οὐρίας φερομένου τοῦ σκάφους, καὶ τῶν ἀνέμων κατὰ πρύμναν πνεόντων ἡδύ τι καὶ προσηνὲς, μεταστρέψας τοὺς οἴακας, τὴν ἐναντίαν πορεύοιτο, τοῖς αὐτοῖς οἰόμενος πνεύμασι τὸν ἕτερον πλοῦν κατορθοῦν. καὶ πῶς ἂν ἐντεῦθεν τὸ ἀκόλουθον σώζοιτο; εἰ γὰρ ἔννομος ἡ φυγὴ, μετακαλεῖν οὐ συμφέρον· εἰ δὲ τὸ παρεῖναι Λαΐδα λυσιτελὲς, τί μάτην ἠδικοῦμεν τὴν ἄνθρωπον; εἰ γὰρ ὅτε τὸ κατὰ Λαΐδος ἐγράφετο ψήφισμα, ἐνδείξασθαί τις ταύτῃ βουλόμενος, ὅτι τῆς

[30] malim ὁ ἀναγκάζων.

[31] ἐργάσεται] sic B. ἐργάζεται M.

[32] φύσιν ἡγοῦμαι ἔχειν] id est νομίζω οὐδὲ φύσει δυνατὸν εἶναι. per naturam verum fieri posse nego, vt eadem Lais in causa habeatur et intemperantiae et castitatis.

τῆς πρὸς αὐτὴν εὐνοίας οὐδὲν προτιμᾷ, παρελθὼν ἐπειρᾶτο πείθειν τὸ ψήφισμα ἀκυροῦν· πότερον ἀπεδέχεσθε ἂν τοὺς λόγους, ἢ νομίσαντες λῆρεῖν, οὐκ ἠνέχεσθε τὸν δῆμον ἐξαπατῶντος ἀκούειν. εἰ μὲν γὰρ εἰκότα λέγειν τὸν Λαΐδος ἡγεῖσθε συνήγορον, τί μάτην τῆς ἀνθρώπου κατεψηφίζεσθε; εἰ δὲ τὸν σκοπὸν ἐγνωκότες αὐτοῦ, πάθει δουλεύοντα, τῆς ἀτοπίας τῶν ῥημάτων λόγον οὐκ ἐποιεῖσθε, πῶς εἰκὸς τοὺς τὰ αὐτὰ νενοσηκότας ἐκείνῳ, νῦν ἀποδέχεσθαι; ἄλογον τέ μοι φαίνεται, πόλιν εὐνομουμένην, καὶ μετὰ Λακεδαιμονίων καταλύσασαν τῆς Ἑλλάδος τὰς τυραννίδας, Λαΐδα δορυφορεῖν, καὶ σκοπεῖν ὅπως τὰς ἀτόπους τῶν νέων ἡδονὰς δεῖ θεραπεύεσθαι. ἀλλ᾽ ἄμεινον περὶ ταύτην ἀσχολεῖσθαι, φησί. καὶ μὴ βιαίως διὰ τὰς μοιχείας ἀναιρουμένους, εἰς ὀλιγανθρωπίαν ἄγειν τὴν πόλιν. καὶ πῶς οὐ κρεῖττον εἰς ἀγαθοὺς εὐαριθμήτους τελεῖν, ἢ πλῆθος κακιζόμενον ἔχειν; εἰ γὰρ ἑνὸς πονηρία κοινὰς ἀπεργάζεται συμφοράς,[33] τί δρᾶν εἰκὸς αὐτὴν, ἐκφερομένην εἰς πλείονας. ἐπειδὴ δὲ σεμνὸς εἶ, φόνους καταλέγων ἡμῖν, καὶ τῆς πόλεως ἐρημίαν, ὧν ἐκείνη παροῦσα[34] δέδωκεν ἀφορμὴν, ἕξιν ἀκόλαστον ταῖς τῶν νέων ἐνθεῖσα ψυχαῖς· οὐκ ὀκνήσω[35] λέγειν, ὡς ἔγωγε τῶν παρανομούντων ἡδέως ἂν αὐτόχειρ γενοίμην. πότε πλὴν[36] τοσούτοις δείξεις διὰ μοιχείαν ἐννόμως ἀνῃρημένους ὅσους ἡ μιαρὰ κεφαλὴ τεθέαται περὶ τὸ αὐτῆς ἐργαστήριον ἐσφαγμένους παρανομώτατα; πόσαι τοὺς συνοίκους ὁρῶσαι Λαΐδι συζῶντας, χηρείαν ἐδάκρυσαν, οὐδὲ παισὶν ἔχουσαι παραμυθεῖσθαι τὴν συμφοράν; πολλοὺς διεκώλυσε παῖδας ἔχειν, ἐξ ὧν πεφύκασιν αἱ πόλεις ἀσφάλειαν ἔχειν, καὶ πλήθει κρεῖτ-

[33] σχο. φησὶ γὰρ Ἡσίοδος, πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα. W. et m. M.

[34] ἐκείνη παροῦσα] interponendum videtur μή. tum post ἀφορμὴν deesse videntur haec ferme: ἐγώ σοι φόνους καταλέξω, ὧν ἐκείνη παροῦσα δέδωκεν ἀφορμήν.

[35] post ὀκνήσω videtur γὰρ vel δὲ deesse.

[36] πλὴν recte deest W. verum eius loco malim γὰρ aut σύ.

κρείττους γίνεσθαι τῶν ἐναντίων. αἵ τε γὰρ δυνάμεις ἀνθοῦσι προστιθεμένης ἡλικίας ἀεὶ, δυναμένης πονεῖν· οἵ τε στρατευόμενοι περὶ τῆς Φύσεως* κινδυνεύοντες, αἱροῦνται πίπτειν καλῶς, ἢ μετὰ τῶν παίδων ζῶντες δουλεύειν. ὧν φροντίδα παροῦσα ποιεῖσθαι Λαῒς τοὺς πολίτας ἐκώλυεν. ὥστε λέληθας δι' ὧν συναγορεύεις τῆς Λαΐδος κατηγορῶν· καὶ τῶν γεγενημένων παρούσης καὶ μὴ, συμφορῶν αἰτίαν ἀποδεικνύς. ἐπίχες τοίνυν ἀρετῆς ἀκολασίαν προτιμῶν, καὶ ταύτην ἐκείνης ἀφορμὴν εἶναι νομίζων. μὴ γὰρ τοσαύτην ὀφλήσωμεν ἀδοξίαν, ὡς δεῖσθαι Λαΐδος σωφρονιζούσης τὴν πόλιν. εἰ γὰρ ἐκείνην λέγεις σεμνότητα παιδεῦσαι τὴν Κόρινθον, πῶς τῶν Ἑλληνίδων αἱ λοιπαὶ πόλεις χωρὶς Λαΐδος πολιτεύονται; πῶς δὲ εἰ τὸ κοινὸν καταλήψεται τέλος αὐτὴν, (ὡς εἴθε μηδὲ τὴν ἀρχὴν παρῆλθεν εἰς φῶς) ἡ πόλις διάξει σωφρόνως. ἐρεῖς, εὖ οἶδα, πολλὰς ἐκείνη Λαΐδας πρὶν ἀποθανεῖν ἀποδείξει τῇ πόλει. τοῦτο γάρ σοι τυγχάνει τὸ σπουδαζόμενον, μόνους ἡμᾶς ἀκρασίαν νοσεῖν ἀποδεῖξαι πάντας. εἰπὲ γάρ μοι πότερον πρὶν ἥκειν[37] ἐν Κορίνθῳ Λαΐδα, τὴν διαβολὴν ἔχεν ἡ πόλις; ἢ συνεισῆλθεν ἐκείνῃ τὸ νόσημα; οὐδεὶς οὕτως ἀτιμάζων ἐστὶ τὸ δίκαιον, ὡς μέμψασθαί τι περὶ τῶν ἀρχαίων ἡμῖν. οὐκοῦν ἐκ τοῦ μηδὲν γενέσθαι πρὸ ταύτης αἰσχρὸν, τῆς ὕστερον ἀδοξίας αἰτία φαίνεται. βούλομαι δέ σοι διὰ βραχέων εἰπεῖν, οἷα ἦν τὰ ἡμέτερα, πρὶν τὴν ἑταίραν εἰσπηδῆσαι τῇ πόλει· ἡμεῖς ἐδείξαμεν ἐν θαλάττῃ τριήρεις, καὶ τῇ καινότητι τῆς ἐργασίας ἐθαυμαζόμεθα· ἀμέλει Σαμίοις ὕστερον ναυπηγουμένοις, ἄνδρας ἐπέμψαμεν, τῆς τοιαύτης ἐπιστήμονας τέχνης. οὐκ ἤρκεσε δὲ μόνον εὑρεῖν· ἀλλ' ἐχρησάμεθα ταύταις, Κερκυραίοις ναυμαχοῦντες, τοῖς ἡμετέροις ἀποίκοις· οὐ γὰρ ἦν ἀξιόχρεως ἀνταγωνιστὰς εὑρεῖν, ἢ οὓς ἀπῳκίσαμεν. ἐφάνημεν χρήσιμοι τοῖς Ἀθηναίοις

ἐν

* Φύσεως] malim Φυσάσης, pro patria.
37 ἥκειν] lege οἰκεῖν.

ἐν τῷ πρὸς Αἰγινήτας ἐπικουροῦντες πολέμῳ. ἠλευθερώσαμεν δουλείας Ἀθηναίων τοὺς Ἕλληνας. οὐ γὰρ ἠνειχόμεθα, δυνάμενοι παῦσαι τὰ δυσχερῆ, μὴ γενέσθαι τοῖς ἀδικουμένοις προστάται. πλείστας ἀπῳκίσαμεν πόλεις, τὴν Ἑλλάδα τῇ προσθήκῃ τοῦ γένους εὐεργετοῦντες. ταῦτα τὰ πρώην ἡμῶν κατορθώματα. ἀντεισῆκται δὲ νῦν ἀντὶ τῶν χρηστῶν τούτων μέθη, καὶ ἔρωτες, καὶ κῶμοι, καὶ πολυτελεῖς ἑστιάσεις· ἃ παῦσαι δεῖ τοὺς τῆς [38] δόξης ὀρεγομένους. ἀλλ᾽ οὐ τῆς πόλεως ὅλης, φησὶν, ἐστὶ τὸ βούλευμα·[39] ἑταῖραι δὲ τῶν ἀδόξων τινὲς ζηλοτυποῦσαι,[40] διαπείθουσι τοὺς οἰκείους πορνοβοσκοὺς[41] τὸ κατ᾽ ἐκείνης ψήφισμα γράψαι, προστησαμένους ἕνα σχηματιζόμενον ἐπιείκειαν. ἔοικας, ἄνθρωπε, τοὺς πορνοβοσκοὺς ἐσπουδακέναι σεμνύνειν, καὶ βούλεσθαι τὰς ἑταίρας εὐδοκιμεῖν, ὅτι τῇ Λαΐδι τὴν αὐτὴν ἐπιτηδεύουσι τέχνην. ἐντεῦθεν τοσούτων ἀγαθῶν αἰτίας ἀποδεικνύειν ἐπιχειρεῖς· μηδὲ τοὺς προγόνους αὐτῶν ἀποστερῶν τῆς εὐφημίας. εἰ γὰρ δοίημεν ἐκείνων εἶναι τὸ πᾶν, χάριν αὐτοῖς[42] ὁμολογῆσαι προσήκει. καὶ |. φαίην ἂν ἔγωγε θαῤῥῶν αὐτοὺς ὑπὲρ τοῦ παντὸς ἀπολελογῆσθαι βίου, εἴ γε παρὰ τῶν εἰς ἡμᾶς πεπλημμεληκότων ἀξίαν τῶν ἁμαρτημάτων δίκην εἰσπραττόμενοι φαίνονται. εἰ δὲ τὴν πόλιν οἱ Λαΐδος συνήγοροι προπηλακίζοντες, τοὺς κοσμίως τραφέντας, πορνοβοσκοὺς ὀνομάζουσι, μανία τὸ χρῆμα·[43] καὶ δίκην εἰσπράξασθαι δεῖ τῆς ἀτοπίας τῶν λόγων· ὑπονοεῖν τε κἀντεῦθεν ἔξεστιν, ὅσον πρὸς ἀκολασίαν ἐπτόηνται. διὸ πάντα λέγειν τολμῶσι τοὺς μὴ ταῦτα[44] φρονοῦντας, περὶ τὴν ἄνθρωπον, ἧς τοὔνομα πολλάκις λέγειν ὀκνῶ. οὐδὲν γὰρ ἀναδύεται δυσ-

χερὲς

[38] melius abest τῆς a W.

[39] τὸ βούλευμα] plebiscitum significat, quo Lais expulsa Corintho fuit.

[40] ζηλοτυποῦσαι] scil. Laidem.

[41] τοὺς οἰκείους πορνοβοσκοὺς] maritos, patres, fratresque suos.

[42] ἴσ. αὐταῖς.

[43] χῆμα W. et m. M.

[44] malim ταὐτά. subaudi αὐτοῖς.

χερὲς πονηρὰ φύσις, καταφρονοῦσα τῶν νόμων, καὶ πάντα τολμᾶν ᾑρημένη. ἐντεῦθεν καὶ συναινοῦσιν ἑταίραις, καὶ πρὸς τὸ δοκοῦν τὰς προσηγορίας τῶν πραγμάτων μετασκευάζουσι, ῥᾳστώνην μὲν τὴν ἀκρασίαν· ἀνήμερον δέ τι χρῆμα, τὴν σωφροσύνην ἡγούμενοι. τί οὖν θαυμαστὸν, εἰ τοὺς σώφρονας ὕτοι πορνοβοσκοὺς ὀνομάζουσι; τῶν αὐτῶν δὲ ἂν εἴη καὶ τοὺς ἐναντίες, οἷοί περ αὐτοὶ τετυχήκασι, τοῖς σεμνοτέροις τιμᾶν ὀνόμασι. πρὸς δὲ τούτοις, ἴσως κἀκεῖνό σε λανθάνει, ὡς οὐδ᾽ οἷός ἐστιν ἄλλως γενέσθαι τῇ πόλει τὸ χρήσιμον, ἢ τοὺς[45] μὲν ὁρῶντας ἀλυσιτελές τι πραττόμενον, κοινῇ συνελθεῖν καὶ βουλεύσασθαι· ἕνα δὲ προχειρισαμένους, γράφειν[46] τὸ ψήφισμα· τοὺς δὲ λοιποὺς ἀκούσαντας διαγνῶναι, πότερον ὀρθῶς, ἢ παρὰ τοὺς νόμους ἐγράφη. ταῦτα τοίνυν ἐπράχθη· καὶ τὴν τοῦ γράψαντος γνώμην, κοινὴ ψῆφος ἐκύρωσεν, εὔκλειαν θηρωμένη τῇ πόλει. ἕκαστος γὰρ πλὴν ὀλίγων, οἷς ἡγεμὼν αὐτὸς ὑπάρχεις[47] τοῦ τρόπου, οἰόμενος τροφεῖα καταβάλλειν τῇ θρεψαμένῃ, προθύμως ἐχειροτόνει τὸ δόξαν καλῶς· ὥστε λανθάνεις πᾶσαν κακίζων τὴν πόλιν τοῖς ἐγνωσμένοις ἐπιτιμῶν. ἐπεὶ καὶ σὺ νῦν μόνος μὲν εἰσηγῇ τὰ χρηστὰ δὴ ταῦτα· συνεργοῦντας δὲ τοὺς τῆς αὐτῆς σοι προαιρέσεως ἔχεις, εὖ οἶδα. ἆρ᾽ οὖν μόνος δόξεις Λαΐδι χαρίζεσθαι, τῶν δὲ συμπραττόντων οὐδείς; οὐ δῆτα. τί δὲ πειθομένων τούτων ἐμοὶ, καὶ τιθεμένων[48] τῶν σῶν μηδενὶ,[49] μόνος ἄρα καρποῦμαι τὴν εὔκλειαν; καὶ μὴν οὐδεὶς εἴρηκε πώποτε, ἡ πόλις τῷ δε πεισθεῖσα, κατεψηφίσατό τινων, τὸ δέ[50] τι πλημμελούντων· ἀλλὰ χωρὶς τῆς τοῦ πεπεικότος προσθήκης, τὸ πεπραγμένον ἐπιφημίζουσιν ἅπαντες· τῇ ψηφισαμένῃ πόλει τὸ πᾶν λογιζόμενοι. ὡς γὰρ ἐν τοῖς πολέ-

45 malim ἢ τῷ τὰς.

46 aut ad γράφειν ſubaudiendum eſt δι᾽ αὐτοῦ, aut leg. κελεύειν γράφ·

47 ὑπάρχει W. et m. M.

48 τιθεμένων poteſt defendi, ſcil. τὴν ψῆφον ſubaudiendo. malim tamen compoſitum, προστιθεμένων, aut συντιθεμένων.

49 μηδὲν m. M.

50 δὲ πλ. m. M.

πολέμοις ἐκπεμπομένων τινῶν. τὴν ἐφ᾽ ἑκάτερα δόξαν τῆς τύχης, τὸ κοινὸν καρποῦται τῆς πόλεως· τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν, οὐκ ἐνίοις χρὴ τῆς ἑταίρας λογίζεσθαι τὴν φυγὴν, ἵνα μὴ πολλοὺς ἀδικήσωμεν, ἐξ ὧν ὀλίγους σεμνύνομεν. ἔστω δέ τινας, ὡς σὺ φὴς, ἀλλὰ μὴ πάντας ἐκβεβληκέναι Λαΐδα. τί μᾶλλον δίκαιον κατάγειν τὴν πεφευγυῖαν ψήφῳ, καλῶς ἔχειν δοκούσῃ τοῖς σώφροσιν. πάνυ τοίνυν ἠχθόμην, ὅ τε τοὺς παλαιοὺς νομοθέτας ἔφη, μὴ κωλύειν ἑταίρας ἔχειν τὴν πόλιν.[51] ὁ γὰρ χρηστὸς τῆς πόλεως κηδεμὼν ἐλάνθανε τὰ καλὰ, καὶ τὰ μὴ τοιαῦτα συγχέων· καὶ τὰ διαῤῥήδην ἐγνωσμένα καλῶς, τῷ μὴ κεκωλυμένῳ ταυτὸν εἶναι νομίζων. οὐ γὰρ εἰ μὴ φανερῶς καὶ λέγουσι τὰς ἑταίρας διώκειν, τιμῶν καὶ δωρεῶν ἀξιοῦν ἤδη προστάττουσιν. ἀλλ᾽ οὐκ εἴργει μένειν τὰς οὔσας ὁ νόμος· ἀλλ᾽ οὐδὲ τὰς ὑπερορίους ἐκέλευσε δέχεσθαι. οὐδὲ τὰς ἐπ᾽ ἀδικήμασι πεφευγυίας κατάγειν γέγραφεν οὐδεὶς, οὐδὲ σωφρόνων ἀνδρῶν εἶναι νομίζω. μὴ τοίνυν τὴν σὴν προαίρεσιν νόμον ὀνόμαζε· μηδὲ τῶν νόμων, καὶ τῆς πόλεως κατηγόρει. αἰσχρὸν γὰρ βούλεσθαι μὲν διὰ τοὺς νόμους νικᾷν, ἔχειν δὲ γνώμην ἐναντίαν ἐκείνοις. καὶ φάσκειν μὲν, ὑπὲρ εὐκοσμίας κεῖσθαι τοὺς νόμους· ἐφεῖναι δὲ πάλιν αὐτοὺς τοῖς ζῆν ἐθέλουσιν ἀκόσμως,[52] δεικνῦναι. ἐπειδὴ δὲ Λαΐδι συνηγορῶν τῶν Ἀθηναίων ἐμνήσθης, καὶ πολλὰς ἑταίρας ἔφης παρ᾽ ἐκείνοις εὐδοκιμεῖν, τὴν Ἀσπασίαν ἐκείνην, τὴν Μυῤῥίνην, τὴν Θεοδότην, καὶ ἄλλας πολλάς. τὴν δὲ Φρύνην ὡς δή τι θαυμαστὸν λέγων, ἐν Δελφοῖς ἔφης ἑστάναι χρυσῆν. μὴ παύσαιντο τὰς τοιαύτας θαυμάζοντες· μᾶλλον δὲ καὶ τὴν Λαΐδα προσλάβοιεν, ὅσοι τἀναντία τῇ πόλει φρονοῦσι. τί δὲ παθὼν,[53] πολιτείαν προφέρεις ἑτέραν, καὶ νόμους. οἷς οὐδὲν ἡμῖν ἐστὶ κοινόν· αὐτίκα γοῦν τοῖς Ἀθηναίοις οὐ σύνηθες κατὰ τὴν ἑτέρων ζῆν πολιτείαν· ἀλλ᾽ ἔχουσι νόμους ἰδίους· οἰ-

κοῦσιν

51 τῇ πόλει W. et m. M.

52 f. post ἀκόσμως deest ἀκύρους.

53 παθὼν perinde bonum et probum est, atque μαθὼν, quod Atticis est vsitatius.

κοῦσιν[54] ὡς οἴονται κάλλιστα. τί τοίνυν ἡμᾶς ἀναγκάζεις, τοῖς ἤθεσιν ἐκείνων ἀκολουθεῖν; ἢ πᾶς οὐκ ἐγκαλύπτῃ τὰ παρὰ πᾶσιν ὀνείδη συλλέγων, δουλεύων ἡδοναῖς, μηδὲ τοῖς κεχρημένοις μέχρι παντὸς ἐσπουδασμέναις; πᾶσι γάρ, εἰ μή τις τούτῳ προσέοικε, μεταμέλειά τις τῶν πρότερον ἡμαρτημένων εἰσέρχεται. εἰρημένων δὲ πολλῶν ὑπὸ σοῦ, καὶ πάντων κακῶς, ἓν σου μόνον δικαίως ἀπεδεξάμην· ὅτι προσφέροις ἐχρήσω παραδείγμασι τῇ διανοίᾳ τῇ σῇ, τὰς ἑκασταχοῦ πόρνας ἡμῖν καταλέγων. ἀλλ' εἴπερ ὑμῖν, ὦ ἄνδρες Κορίνθιοι, μέλει τῆς εὐκοσμίας (μέλειν δὲ καὶ λίαν ἡγούμεθα) δίκην ἀξίαν τῆς ἀτοπίας ἐκτίσει οὗτος. ἔστι δὲ αὕτη τις. μὴ τυχεῖν τῆς ἐλπίδος, μηδὲ τὴν ποθουμένην ἰδεῖν. οἴεται γὰρ ἴσως δόξειν ἐπαφρόδιτος εἶναι παρ' αὐτῇ, τὸ ψήφισμα κατιούσῃ πολλάκις, καὶ τὸν ἀγῶνα διεξιών· ὃ μὴ γενέσθαι θεοὶ οἱ κηδεμόνες τῆς πόλεως ἐπινεύσοιτε, δίκην τὸν ἀλιτήριον τοῦτον, τῇ εὐσεβείᾳ[55] πρέπουσαν εἰσπραττόμενοι. οὐδὲν γὰρ οὕτω τοῖς ἐρῶσιν ἀνιαρόν, ὡς ἐλπὶς τοῦ ποθουμένου πέρας οὐκ ἔχουσα. οἶμαι δὲ τὸν χρηστὸν τουτονὶ πρὸς ἑαυτὸν πρότερον διαλέγεσθαι.[56] εὐπρόσωπός ἐστι Λαΐς· λάμπει ὥρᾳ σώματος, ἀσμένως τοὺς εἰσφοιτῶντας εἰσδέχεται·[57] τοὺς ἀπαντῶντας ὀνομάζει φιλτάτους· αἱ χάριτες αὐτῇ διακονοῦσι· τὸ ταύτῃ δουλεύειν οὐκ ἀηδές. εἶτα τῆς τοιαύτης χηρεύομεν; φέρε καὶ ἀπούσῃ[58] δείξω τῇ Λαΐδι κεχαρισμένον,[59] τὸ πᾶν ἐμαυτῷ κατορθῶν. πῶς οὖν ἔσται τοῦτο; δεῖ με τῆς πόλεως προ-

[54] aut leg. eſt ἔχοντες νόμους ἰδίους, οἰκοῦσιν, aut ſeruato ἔχουσι deeſt aliquid et locus ad hunc ferme modum eſt ſanandus: ἀλλ' ἔχουσι νόμους ἰδίους, οἷς ἑπόμενοι (aut ſimile quid) οἰκοῦσιν. —

[55] τῇ σεβείᾳ (ſic) W. lege τῇ ἀσεβείᾳ impietati

[56] ἑαυτὸν δι. m. M.

[57] προσδεχ. m. M.

[58] σπουδῇ in margg. W. et M.

[59] κεχαρισμένον in neutro etiam in W. eſt, cum ſcholio ἀπόδεκτον. malim tamen legi κεχαρισμένος. demonſtrabo, me gratificatum fuiſſe Laidi. iactabo ad eam officium meum, tametſi totum, quod egero atque peregero, meam in gratiam peregero.

προνοεῖσθαι δοκεῖν, ὡς ἂν χειροήθεις τοὺς πολίτας εὑρὼν, ἔξω πειθομένους περὶ τῆς καθόδου ῥαδίως. καὶ πρῶτος οἶδα ὅτι πάντων ἔσομαι παρ᾽ ἐκείνῃ, τῆς τοσαύτης εὐκλείας αὐτῇ πρόφασις γεγονώς. οὐδὲν προτιμᾷ τῆς ἐνταῦθα διαίτης· οἶδε γὰρ πολύχρυσον ὂν τὸ χωρίον. διακονήσω τῇ προθυμίᾳ τῆς ἐρωμένης. μὴ καταλείψω πρόφασιν ὕστερον, τὴν ἐμὴν ἀνιῶσαν ψυχήν· ὡς εἴπερ ἔγραψά τι περὶ Λαΐδος ἔπειθον ἄν. δοκῶ φοιτῶσαν ἤδη τὴν φιλτάτην ὁρᾶν. ταῦτα διανοηθείς· ὁ γὰρ ἐρῶν ἐλπίδα κέκτηται παραμυθουμένην τὸ πάθος· οὐκ ὀκνεῖ[60] πρὸς ὑμᾶς τὴν αὐτοῦ δηλῶσαι διάνοιαν. κεφάλαιον τῶν εἰρημένων· νῦν αἵρεσίς ἐστιν ὑμῖν ἀκολασίας καὶ δόξης. εἰ μὲν οὖν ἀποψηφίζεσθε, δόξετε τῆς σωφροσύνης καταφρονεῖν· εἰ δὲ τιμῶντες τοὺς προγόνους, ἔχεσθε τῆς αὐτῶν ἀρετῆς· ἀνακόψατε τὴν παῤῥησίαν τῶν τοιαῦτα λέγειν τολμώντων, οὐ λήσομεν, ἐπ᾽ ἀμφότερα φερομένης τῆς ψήφου.[61] πολλοὶ γὰρ οἱ καταπλέοντες ἐνθάδε. κοινόν ἐστιν ἐμπόριον τῆς Ἑλλάδος ἡ πόλις. πολλοὶ πρὸς ὑμᾶς ἥξουσι τῆς εὐσεβείας μεθέξοντες, ὅταν τελῶμεν Ποσειδῶνι τὰ Ἴσθμια. πῶς οὖν εὔλογον οὕτως εὐσεβοῦντας εἰς τοὺς θεούς,[62] εὐκλείας τοσαύτης ἀξιοῦν ἄνθρωπον, ἑτοίμως προϊεμένην τοῖς ὠνουμένοις τὸ σῶμα;

60 ὀκνήσω m. M.

61 non obscura manebit sententia nostra, vtram in partem cadat, siue tuebimur vetus decretum de Laide exterminanda, siue abrogabimus, eique reditum decernemus.

62 πρὸς θεοὺς m. M. περὶ θεοὺς W.

ΑΛΛΗ

ΑΛΛΗ ΜΕΛΕΤΗ.

ΘΕΩΡΙΑ.

Νόμος τὸν τύραννον μὴ θάπτεσθαι, καὶ τὸν ἀποκτείναντα δωρεὰν λαμβάνειν· Κάλλαισχρος ἀποκτείνας Κριτίαν τὸν υἱὸν τυραννοῦντα αἰτεῖ θάψαι.

ΚΑΛΛΑΙΣΧΡΟΥ ΛΟΓΟΣ.

ΕΙΚΟΣ μὲν ἦν με, ὦ Ἀθηναῖοι, τοὺς νόμους ὑμῖν ἀποδεδωκότα διὰ τοιαύτης σφαγῆς, οἵαν οὐδεὶς ἄν ποτε προσεδόκησεν ἔσεσθαι, μήτ' ἐπὶ τῆς ἐκκλησίας ὁρᾶσθαι, μήτε λέγειν ἐν ὑμῖν περὶ μηδενὸς ὑπομένειν· ἀλλ' ἐν σκότῳ καθήμενον, δακρύειν ἔτι τὰ Κριτίᾳ τετολμημένα. ἐπεὶ δὲ καὶ σφόδρα τοῦτό με βουλόμενον ποιεῖν, ἀναστῆσαν ἄγει πρὸς ὑμᾶς [1] ὃ μόνον, ἂν ὑμεῖς ἐθελήσητε, [2] δύναιτ' ἂν λυθῆναι τῶν ἡμετέρων κακῶν· δέομαι πάντων ὑμῶν, πρῶτον μὲν ἔχειν μοι συγγνώμην τοῦ δεῦρο ἐλθεῖν ὑπομεῖναι· ἔπειτα τῶν τε λόγων ἀκοῦσαι πρᾴως, καὶ δοῦναί μοι χάριν ἀντὶ τῆς ἐπανελθούσης ὑμῖν πολιτείας, τὸ γῇ κρυφθῆναι μικρᾷ τὸν ὑπὸ πατρὸς δεξάμενον τὴν πληγήν. χαλεπὸν μὲν οὖν εἶξαι καὶ συγχωρῆσαι, κἂν οἱ πλείους πείθωνται, τοὺς ἀνήκεστόν τι παρὰ Κριτίου πεπονθότας. ἡ γὰρ ὧν ἠδίκηνται μνήμη, πᾶν μικρὸν εἰς τιμωρίαν ἡγεῖσθαι ποιεῖ. ἐγὼ δὲ τῶν οὕτω διακειμένων, ἀλγούντων μέν, οὐχὶ θαυμάζω. τὸ ἐναντίον γὰρ ἂν ἦν θαυμαστόν, εἰ τοιαῦτα πεπονθότες, μὴ χαλεπῶς ἔφε-

1 παρ' ὑμᾶς m. M.
2 θελήσετε Bau.

ἔφερον. δέομαι δὲ ὅμως[3] ἀκολουθῆσαι τοῖς ἄλλοις· πρῶτον μὲν, ἐνθυμουμένους ὅτι οὐ Κριτίαν αὐτοὺς δεήσει βέλτιστον νομίσαι τήμερον· τὸν ἐκείνου δὲ πεπαυκότα τὴν ἀδικίαν ἐλεῆσαι. ἔπειθ' ὅτι πολὺ μείζω δόξαν οἴσονται, τῶν οὐ μέγιστα ἐγκαλούντων, οἱ τὰ δεινότατα πεπονθότες. μείζονος γὰρ οἶμαι μεγαλοψυχίας ἀπόδειξις, τοὺς μᾶλλον ἠδικημένους ἐν τῷ καιρῷ τῆς τιμωρίας ὁμοίους τοῖς οὐ τοιαῦτα αἰτιωμένοις γενέσθαι. εἰκότως δὲ, ὦ Ἀθηναῖοι,[4] διακόπτει μου τὸν λόγον δάκρυα.[5] τίς γὰρ τῶν πώποτε δεδυστυχηκότων ἀνθρώπων τηλικαύτας ἔσχεν εἰς ὀδυρμοὺς ἀνάγκας. οὐ γὰρ ἐπὶ τούτοις, ὦ Ἀθηναῖοι, γυναῖκα ἠγόμην ἐγὼ, καὶ παῖδας[6] ἐπιδεῖν ηὐχόμην· οὐδ' ἐπὶ τούτοις Κριτίαν γενόμενον ἔτρεφον· οὐδ' ἐπὶ τούτοις ἐπαίδευον, ὅπως ἐλαύνῃ[7] καὶ λυπῇ τὸν δῆμον τῶν Ἀθηναίων. ἀλλ' ὅπως λειτουργῇ μὲν τοῖς οὖσι· λειτουργῇ δὲ τῇ γνώμῃ· λειτουργῇ δὲ τῷ σώματι· δύνηται δὲ, ἐν τοῖς αὐτοῦ πολίταις φιλοτιμούμενος, ἐξαριθμεῖν ναυμαχίας, πεζομαχίας, αἰχμαλώτους, χρήματα, τρόπαια· τὰ μὲν, ἐν τῇ γῇ, τὰ δὲ, ἐν τῇ θαλάττῃ. ἤλπιζον αὐτὸν βλέψειν εἰς τὸν Ἀριστείδην[8] ἐκεῖνον[9] εἰς Νικίαν, εἰς Περικλέα, καὶ τί λέγω τοὺς ἔξω τοῦ γένους. ἤλπιζον αὐτὸν ἔσεσθαι τοῦ Σόλωνος μιμητήν· τοῦτο μὲν τῆς φύσεως αὐτῆς ἐπὶ ταῦτα ἀγούσης· τοῦτο δὲ τῶν ἐμῶν πρὸς αὐτὸν νουθεσιῶν. οὐ γάρ ἐστιν ὅτε ἐπαυσάμην λέγων, Κριτία· Καλλαίσχρου παῖς εἶ, τοῦ Κριτίου, τοῦ Δρωπίδου· Δρωπίδου τοῦ Σόλωνος ἀδελφοῦ. ζήλωσον τοὺς πατέρας· θὲς νόμους συμφέροντας· γράψον τοιαῦτα ψηφίσματα· μηδὲν ἡγήσῃ τῆς πατρίδος κάλλιον. ὑπὸ τοιαύτης ἤλπιζον, ὦ θεοὶ,[10] γηροτροφήσεσθαι πολιτείας, τοῦ παιδὸς μὲν ἃ χρὴ ποιοῦντος, ἐμοῦ δὲ συνευδοκιμοῦντος.

[3] ὅλως m. M.

[4] ὦ θεοὶ B. sed in marg. vulg. est. et sic etiam paulo post.

[5] τὰ δάκρυα B.

[6] παῖδας] sic B. παῖδα M.

[7] ἐλαύνοι B.

[8] χο. τὸν Λυσιμάχου m. M.

[9] ἐκεῖνον] sic B. αὐτὸν M.

[10] ὦ Ἀθηναῖοι m. M.

τος. καὶ γὰρ ὑπισχνεῖτο μὴ χείρων ἔσεσθαι τοῦ γένους ὁ κατάρατος Κριτίας. τί οὖν αὐτὸν ἕτερον ἐποίησεν; πόθεν ἡ μεταβολή; τίνος κατηγορῆσαί με δεῖ; ὦ πονηρὸν χωρίον,[11] αἰγὸς ποταμοί· ὦ δυστυχοῦς ναυμαχίας ἐκείνης, ἣ Λακεδαιμονίοις μὲν παρέδωκε τὴν τύχην· ἐμὲ δὲ ἀπώλεσεν. εἰ γὰρ μὴ τὰς ναῦς εἷλεν ἐκεῖ Λύσανδρος, οὔτ' ἂν εἴργετο τοῦ Πειραιῶς ὁ σῖτος· οὔτ' ἂν ὁ λιμὸς ἡμᾶς ἀνήλισκεν· οὐ τὰ τείχη κατεσκάπτομεν· οὔτε πᾶν τὸ κελευόμενον ἐποιοῦμεν· οὐδ' ὁ μετακινήσων τὴν πολιτείαν ἐφάνη. νῦν δὲ ἡ μὴ δικαίως τὸν πόλεμον κρίνασα τύχη, τήν τε πόλιν ἐταπείνωσεν, καὶ τῆς ἐμῆς οἰκίας ἀνέδειξε τύραννον. ὃν ἐγὼ μὲν ἠξίουν ἐμποδὼν ἵστασθαι, τῷ Πείσωνι, τῷ Μηλοβίῳ, τῷ Δρακοντίδῃ, τῷ Χαρικλεῖ, τοῖς ἄλλοις, καὶ τὸ πλῆθος ὑμῶν ἰσχυρότερον τῶν παρανόμους δυναστείας ἐπιθυμούντων ποιεῖν. ὁ δὲ, οἴμοι, πάντων αὐτὸς ἔδοξεν εἶναι πονηρότατος· καὶ τῶν ὑπὸ τοῦ κοινοῦ τολμωμένων, τὸ πλέον τῆς αἰτίας ἐπ' ἐκεῖνον ἤρχετο· καὶ ὅτε δὴ τὰ πράγματα ὑπ' αὐτῶν[12] εἴχετο, καὶ πᾶς μὲν χρηστὸς παρέωστο, τῶν κακούργων δὲ καὶ μοχθηρῶν, καὶ κακίστων ἦν τὸ δύνασθαι, πολλοί τε τῶν ἐπιεικεστέρων, οἱ μὲν ἔφευγον, οἱ δὲ ἀπέθνησκον. ὡς μὲν οὖν ἐμαυτοῦ συμφορὰν, τὴν Κριτίου μανίαν ἐποιούμην, καὶ ζῶντί τε ἠχθόμην,[13] καὶ ἀπελθεῖν ηὐχόμην, ἴσασιν οἱ τῶν ἐπιτηδείων μοι καὶ[14] συνόντες τότε, καὶ παραμυθούμενοι. ἐλθὼν δέ ποτε παρ' ἐκεῖνον, καὶ[15] μόνον ἀπολαβὼν, τί ταῦτα, ἔφην, Κριτία; δεσπότης ἀντὶ ῥήτορος; τύραννος ἀντὶ δημαγωγοῦ; ταῦτα ἐπῄνουν; ταῦτα ἐθαύμαζον; ἐπὶ ταῦτα σε ἤσκουν; οὐκ ἐπανήξεις εἰς τὸ γένος;[16] οὐκ ἀποθήσῃ[17] τὴν νόσον; οὐ σωφρονήσεις ποτέ; ἀπόδος τῇ πόλει μὲν τοὺς νόμους· σαυτὸν δὲ τῷ πατρί. καὶ

μάλιστα

[11] γρ. τὴν πόλιν in marg. B.

[12] ὑπ' ἐκείνων B. et m. M. sed in m. B. ὑπ' αὐτῆς.

[13] ζῶντι ἠχθ. m. M.

[14] μοι τότε καὶ m. M.

[15] εἰ καὶ m. M.

[16] γένος in B. superscr. est τέλος.

[17] ἀποθήσει B.

μάλιστα μὲν καὶ τοὺς ἄλλους πεῖσον αἰδεσθῆναι τὴν ἐνεγκοῦσαν· εἰ δὲ τοῦτό γε οὐ δυνατὸν, ἀνάγκασον· εἰ δὲ καὶ τοῦτό γε ἀμήχανον, φύγωμεν φυγὴν καλήν. ἐδόκουν, τὰ τοιαῦτα παραινῶν, φλυαρεῖν· καὶ δεύτεροι λόγοι κατεγελῶντο· καὶ τρίτοι κατεφρονοῦντο· καὶ μόνον εὔδαιμον ἐδόκει, τὸ τυραννεῖν. ὁρῶν οὖν ὑμᾶς μὲν πάντα τρόπον ἀδικουμένους· Κριτίαν δὲ ἀνιάτως ἔχοντα, λαβὼν ἐγχειρίδιον ὑπὸ μάλης, εἰσῆλθον[18] εἰς τὸ δωμάτιον, οὗ τὰς πονηρὰς βουλὰς[19] ἐβούλευε· καὶ τοῖς μὲν ὀφθαλμοῖς ἐκεῖνον, τῇ γνώμῃ δὲ τὸν δῆμον ὁρῶν, καὶ τὸν μὲν μισήσας ὧν ἔδρα, τὸν δὲ ἐλεήσας ὧν ἔπασχε, προὔθηκα τὰ πρὸς ὑμᾶς τῶν πρὸς τὴν φύσιν δικαίων· καὶ γίγνομαι γέρων οὐκ ἀγεννὴς ὑπὲρ νόμων ἀνῃρημένων· καὶ περιεῤῥύη τῇ τῇδε δεξιᾷ τὸ αἷμα τοῦ Κριτίου· καὶ δι᾽ ἑνὸς παραδόξου φόνου, καὶ οἷος ἂν οὐδεὶς ἕτερος ἔχει[20] λέγειν, πάντα ἅπασιν ἀποδέδοται· βουλευταὶ, βουλευτηρίοις·[21] δικασταὶ, δικαστηρίοις· ταῖς ἀρχαῖς, οἱ ἄρχοντες· ὁ δῆμος, τῇ Πνυκί· οἱ φυγάδες, τῇ πόλει. δέομαι τοίνυν ἀποδοθῆναι καὶ Κριτίαν τῇ γῇ· οὐχ᾽ ὡς οὐ πονηρόν· ἀλλ᾽ ὡς ἀγαθοῦ πατρός. ἀλλὰ καινὰ, φησιν, αἰτεῖς. καὶ ὑπερβαίνων ἃ λαβεῖν ἔξεστιν, ἃ μὴ δίδωσι ὁ νόμος, ζητεῖς ἔχειν. ἐγὼ δὲ οἶδα μὲν καινὰ ζητῶν· οἶδα δὲ καὶ ἐπὶ[22] καινοῖς τοῦτο ποιῶν. τί οὖν θαυμαστὸν, καινὴν λαβόντας χάριν, καινὴν δοῦναι δωρεάν· ἢ ταῦτα τῶν εἰωθότων, τυράννου σφαγέα παιδὸς ἀναφανῆναι πατέρα. ἔχεις εἰπεῖν μοι παρελθὼν πολλὰ παραδείγματα ταύτης τῆς πράξεως ἀπὸ τῆς Ἑλλάδος ταύτης; ἀλλ᾽ ἐξ Ἰταλίας; ἀλλ᾽ ἐκ Σικελίας; ἀλλ᾽ ἐκ τῶν Σκυθῶν;[23] ἀλλ᾽ ἀπὸ Θρακῶν; ἀλλ᾽ ἀπὸ τῆς Ἀσίας; οὐ πανταχοῦ τῶν τὰς τυραννίδας ἁρπαζόντων, οἱ γονεῖς μὲν κοινωνοὶ γίγνονται τῆς ἐξουσίας, ἄγρυπνοι δὲ διατελοῦσιν, ἐπεγείροντες τοὺς φύλακας, καὶ δι᾽ ὅσων ἔχουσι τειχί-

ζον-

[18] αἰσελθὼν B.
[19] συμβουλὰς B.
[20] ἔχοι B.
[21] βουλευτηρίῳ B.
[22] οἶδα δὲ καὶ ἐπὶ] ſic B. καὶ deeſt M.
[23] ἀπὸ Σκ. m. M. Σκυθίων B.

ζοντες τὴν δυναστείαν, ὑποπτεύοντες, δεδιότες, τρέμοντες, ὅπως μηδὲ εἰς αὐτοὺς[24] ἀφαιρήσεται[25] τὰ παρόντα σκοποῦντες; ἀλλ' ἐγὼ τἀναντία· τυραννοῦντος μὲν, ἔστενον· ηὐχόμην δὲ τὸν κτενοῦντα φανῆναι· πάντων δὲ ἐπτηχότων, οὗτος ἐκεῖνος ἐγιγνόμην. καὶ νῦν περιεστᾶσι καὶ ξένοι καὶ πολῖται τὸν νεκρόν· καὶ ὁ ἐπιστάμενος πρὸς τὸν οὐκ εἰδότα λέγει· τοῦτον ἀπέκτεινεν ὁ πατήρ· καὶ τοῦ[26] τὸν παῖδα ἔχειν, τὴν πόλιν κρεῖττον ἡγήσατο ἔχειν τὴν αὐτῆς πολιτείαν. ἆρά τῳ δοκῶ δεινόν τι ποιεῖν, καινῆς ἐπὶ τοιούτοις μεμνημένος τῆς χάριτος; ἐπέδωκεν Ἐρεχθεὺς τὴν παῖδα, τοῦ θεοῦ κελεύοντος· οὐ γὰρ ἦν αὐτῷ διαφυγεῖν τὴν ἀπὸ τῶν λογίων ἀνάγκην· ἢ, πάντες ἂν ἧκον[27] ἐπ' αὐτὸν, ὡς ἂν Εὐμόλπῳ προδιδόντα τὴν πόλιν. ταῦτα καὶ περὶ Κόδρου λέγειν ἔχοι τις ἄν. καὶ γὰρ οὗτος τῷ θεῷ πειθόμενος, ἀπέθνησκεν, ἀρχὴν ἐντεῦθεν καὶ τιμὰς[28] τοῖς παισὶ καταλιπών. καὶ ἅμα ᾔδει πρῶτος ἀπολούμενος, τῶν πολεμίων κρατησάντων· τὴν οὖν ἀναγκαίαν τελευτὴν, εἰς σχῆμα μεθίστη βέλτιον. ἐμὲ δὲ οὔτε ὁ Πύθιος ὥπλισεν ἐπὶ Κριτίαν, οὔτε φόβος, ὡς ἐπ' ἐμὲ τρέψοιτο τελευτῶν[29] ὁ παῖς· τὸ γὰρ ἀλγεῖν με τοῖς ὑπ' ἐκείνου πραττομένοις, ἀποχρῶν ἐνομίζετο. οὐδεὶς δ' ἄν με καὶ φονέα τοῦ παιδὸς ἠξίωσε γενέσθαι ὑμῶν μὲν οὐδείς· αὐτὸς δὲ ἐμαυτὸν ἀπῄτησα τὸν φόνον· καὶ γέγονε καὶ τοῦτ' ἀφορμὴ τοῖς βουλομένοις ἡμᾶς ἐγκωμιάζειν. νῦν μὲν γὰρ ὁ Κυναίγειρος, καὶ ὁ Καλλίμαχος, καὶ ὁ Λεώς· καὶ ὧν ἐμεμνήμην ἄρτι, κοσμοῦσιν[30] ἐν

τοῖς

[24] μηδεὶς αὐτοὺς m. M.
[25] ἀφαιρήσηται B.
[26] τοῦ] τοῦτον B.
[27] ἀνῆκαν m M.
[28] καὶ τιμ. ἐντ. m. M.
[29] verba sic videntur ordinanda — τελευτῶν ὁ παῖς. οὐδεὶς δ' ἄν με καὶ φονέα τοῦ παιδὸς ἠξίωσε γενέσθαι. τὸ γὰρ ἀλγεῖν με τοῖς ὑπ' ἐκείνου πραττομένοις ἀποχρῶν (scil. εἰς ἀπολογίαν) ἐνομίζετο. ὑμῶν μὲν οὐδείς (scil. ἀπῄτησέν ἐμε τὸν τοῦ παιδὸς φόνον.).
[30] sic distingue ἐμεμνήμην ἄρτι, et hi, quos modo commemorabam, κοσμοῦσιν — M. dat ἐμεμνήμην, ἄρτι κοσμ.

τοῖς λόγοις τὴν πόλιν ἥξει δὲ ὡς εἰκὸς εἰς τοὺς ἐπαίνους καὶ τὸ παρ' ἡμῶν πεπραγμένον, ὅτι ȣ̔́τω τις ἀνὴρ Ἀθηναῖος ἐγένετο φιλαθηναιότατος, ὡς ἐξὸν αὐτῷ μετὰ τȣ̃ παιδὸς τυραννεῖν, αὐτὸς τὸν αὐτȣ̃ διέφθειρεν, ἵν' ὁ δῆμος κρατῇ. ἆρ' ἄξιον ῥητόρων με δεινότητος ἡττηθέντα ἀπελθεῖν, δι' ὃν αὐτοῖς ἔξεστι τοῖς ῥήτορσιν ἐπὶ τȣ̃ βήματος λέγειν; ἑτέρα, φησι, λάμβανε· καὶ τίς ἂν πρέπῃ[31] Καλλαίσχρῳ μετὰ τοιοῦτον ἔργον δωρεά, πλὴν ταύτης, ἵνα στέφανον[32] λάβω, καὶ κηρυχθῶ λαβὼν, ἐφ' ἅπερ[33] ἔλαβον, ὦ θεοὶ,[34] ξίφος; ἀλλ' ἐν Πρυτανείῳ σίτησιν; συνειδὼς μου τῇ χειρὶ ταῦτα, ἃ σύνοιδα; ἀλλὰ πλέθρα γῆς; δεῖ γὰρ ἔτι μοι μέλειν οὐσίας; μία λέλειπται δωρεὰ, μόνη μία, ταχέως ἀφανισθῆναί μοι τὸν νεκρὸν, ὃν ὑμεῖς μὲν εἰκότως μισεῖτε· ἐγὼ δὲ μὴ οἰκτείρειν ȣ̓κ ἔχω· καί τοί γε τὸ ξίφος ἐπ' αὐτὸν λαμβάνων, οὐχ οὕτω διεκείμην. ἀλλ' ὡς ȣ̓κ ἄταφον ἐκρίψων μόνον, ἀλλὰ καὶ κατακόψων τὸ σῶμα, καὶ πᾶσαν αἰκίαν αἰκιούμενος· τοσοῦτος ἦν ὁ θυμός. ἐπεὶ δὲ ἔπληξα καὶ κατήνεγκα· καὶ ὁ μὲν τύραννος ἐπέπαυτο, τὸ σῶμα δὲ ἔκειτο, κατὰ μικρὸν εἰς τὸ πατὴρ εἶναι τȣ̃ πεσόντος ἐπανηρχόμην. ἡ μὲν γὰρ ὕβρις, ἣν ὕβριζεν, ἀντὶ τȣ̃[35] πατρὸς ἐποίει με δυσμενῆ· ἡ τελευτὴ δὲ, ἀντὶ πολεμίου πατέρα. καὶ νῦν πάντα εἰσέρχεται τὴν ψυχὴν, ὧν οὐδὲν τότε· ὅτι τȣ̃τον μέν τοι τὸν ἀπεσφαγμένον, ἐγὼ καὶ ἔσπειρα, καὶ ἐγέννησα, καὶ ἔθρεψα, καὶ εἰς φράτορας εἰσήγαγον, καὶ εἰς δημότας ἐνέγραψα· καὶ παῖδα προσεῖπον· καὶ πρὸ τῆς μανίας ἐπῄνεσα πολλάκις. οὐδὲν

γὰρ

[31] πρέποι B.

[32] ἵνα στέφανον] ſic B. ἵνα deeſt M.

[33] ἐφ' ἅπερ — non intelligo niſi ſi ſic diſtinguantur — κηρυχθῶ, λαβὼν (ſubaudi ἐπὶ ταῦτα) ἐφ' ἅπερ ἔλαβον, τὸ ξίφος. ego qui ſumſi in manus ſicam, eorum cauſa, quorum vindicandorum cauſa, odii, ſicam in manus ſumſi, vt λαβὼν non cnm στέφανον cohaereat, ſed cum τὸ ξίφος, et τὸ ξίφος tacite iterari debeat etiam ad ἔλαβον.

[34] ὦ Ἀθηναῖοι m. M.

[35] recte abeſt τȣ̃ a B.

γὰρ ἔτι με τῶν τότε παροξυνόντων κινεῖ. οὐκέτι τυραννεῖ Κριτίας· οὐκέτι τρέφει δορυφόρους· οὐκέτι φρουρὰν μεταπέμπεται καθ' ὑμῶν καὶ τῶν νόμων·[36] οὐκέτι δακρύων ἐμπίπλησι τὴν πόλιν. οἴχεται τὸ ταῦτα ποιοῦν. τὸ δὲ ἀναίσθητον ἔῤῥιπται, αἰσθόμενον οὐδὲν[37] τῶν ποιουμένων· κἂν πάνυ πολλοὶ τῶν ὑπ' αὐτοῦ τι πεπονθότων ἐναλλῶνται τῷ σώματι, καὶ περιέλκωσι, καὶ παίωσι· τοῦτο δή με τὸ σῶμα τὸ μηδαμῶς[38] αἰσθανόμενον, ἕλκει, καὶ κάμπτει, καὶ πάσχειν τι ποιεῖ πρὸς αὐτό· καὶ οὐκ ἐᾷ τὸν ἔμπροσθεν ἐκεῖνον εἶναι· οὐδὲ εἰ σφόδρα βουλοίμην, πείσαιμ' ἂν ἐμαυτὸν, ὡς οὐκ ἐξ ἐμοῦ γεγέννηται· ἕως δ' ἂν τοῦτο μὴ δύνωμαι, πᾶσα ἀνάγκη πάσχειν τι πρὸς τὸν νεκρόν. ἤδη τις ἀπεκήρυξε τὸν υἱόν· ἀλλ' ὁ πολλὰ καταβοήσας[39] ὁ κρίνας, ὁ διώξας, ὁ πεποιηκὼς ἀλλότριον· ὁ λιμώττοντα περιορῶν· ὁ νοσοῦντος ἀμελῶν, ὁ μηδὲ θνήσκοντι σπεισάμενος, πρὸς τεθνεῶτα διηλλάγη, καὶ προσῆλθε, καὶ ἥψατο, καὶ δάκρυσιν ἐτίμησε, καὶ πατρῴων μετέδωκε ἠρίων[40] καὶ οὐδεὶς ἐμέμψατο, εἰ πρὸς τὴν ἐν τῇ ψυχῇ κακίαν χαλεπήνας, πρὸς τὸ μὴ δεχόμενον ἔγκλημα μετεβάλετο. ἀνάσχεσθε δὴ κἀμοῦ μεταβαλλομένου, καὶ χωρίζοντος ἀπὸ τῶν αἰτιῶν τὸν νεκρόν. εἰ μὲν γὰρ δύνασθέ με ποιῆσαι μὴ γεγονέναι πατέρα Κριτίου, ποιήσατε, καὶ οὐδὲν ἀκούσεσθε τοιοῦτον· εἰ δ' ἐκεῖνο ἄλυτον, καὶ οὐδὲ θεῶν τῳ δυνατὸν, ἐνέγκατε τὰ τῆς φύσεως, πρὸς θεῶν,[41] ἧς τὴν ἰσχὺν ἀκριβέστερον ἴδοι τις ἂν ἐν τοῖς θηρίοις· τὰ γὰρ ἄγρια καὶ ἀνήμερα

καὶ

[36] in B. superscr. est τὸν νόμον.

[37] ἀναίσθητον — αἰσθόμενον οὐδὲν] videtur idem vitiose iterare. Sed secus est. redde sic: id (corpus puta) quod sensus per se expers est, vel in quo sensui locus nullus est, iacet nil sentiens eorum, quae nunc aguntur.

[38] μηδενὸς] m. M. et B. in t. sed in m. vulg. est.

[39] in B. est spatium vacuum relictum paene unius versus integri.

[40] ἠρίων] sic B. et m. M. sed in B. vulg. superscr. est.

[41] δαιμόνων m. M.

καὶ λογισμὸν οὐκ ἔχοντα, καὶ προαποθνήσκει τῶν ἐγγόνων, καὶ τεθνεῶτα θρηνεῖ. τί οὖν παράλογον, ἄνδρα Ἀθηναῖον τῶν χρηστοτέρων ἴσως εἶναι δοκοῦντα, τὸ τῶν θηρίων παθεῖν· εἰ δὲ τοῦτο μὲν οὐκ ᾔτουν, ἕτερον δέ τι, καὶ λαβὼν ἀπηρχόμην· εἶτά μοι τὶς ἐντυχὼν συγγενὴς, ἢ δημότης, ἢ ἄλλος πρεσβύτης ἄνθρωπος, πατὴρ, τοσοῦτον ἤρετο, Κάλλαισχρε, εὖ[42] διδόντων Ἀθηναίων ὅ, τι ἐθέλεις αἰτεῖν, εἶδές τι πρὸ τοῦ Κριτίου νεκροῦ, καὶ νῦν ἀπέρχῃ, χρυσίον παρὰ τοῦ δήμου φέρων, οὐ τεθαμμένου τοῦ σώματος. ἐξὸν δὲ ἀμφοῖν εὐδοκιμεῖν. καὶ οἷς ἔκτεινας, καὶ οἷς ἔθαψας; ἢ τοῦτο ἔδεισας, μὴ σὺ μὲν ἐπαγγέλλῃς,[43] οἱ δὲ οὐ[44] δῶσιν;[45] οὐκ οἶσθα τὸν τῆς πόλεως τρόπον; πῶς οὐκ[46] ἂν ἐπὶ τούτοις, ὦ Ἀθηναῖοι,[47] κατέδυν; οὐδὲ γὰρ ὡς οὐκ ἐστὲ φιλάνθρωποι, καὶ πρὸς ἔλεον ἕτοιμοι, λέγειν ἂν εἶχον, οἵ γε ὑπὲρ μὲν ἀλλοτρίων νεκρῶν πόλεμον ἤρασθε πρὸς Θηβαίους, μεγάλους ἐξ αὐτῶν ὧν ἐκίνησαν ἤδη γεγενημένους, τοὺς δὲ ἐν Μαραθῶνι τῶν βαρβάρων ὑμῖν μαχεσαμένους ἐθάψατε· τοὺς μετ' Ἐρετριέων ἐπιθυμοῦντας καὶ Ναξίων εἰς Σοῦσα καὶ τὰς Ἀθήνας μετενεγκεῖν· τὴν αὐτὴν δὲ γνώμην καὶ περὶ Ἀμαζόνας ἐσχήκατε. τὸ δὲ ἔτι μεῖζον, ἅλωσις μὲν πόλεως ἐν δράματι, θρηνοῦντα τὸν δῆμον ἔδειξεν. Αἴας δὲ ἀφαιρούμενος[48] παρὰ Σοφοκλεῖ[49] ταφῆς, ταῦτα ποιεῖ. καὶ μακρὸν ἅπαντα καταλέγειν, ἃ τῆς ὑμετέρας, ὦ Ἀθηναῖοι,[50] φιλανθρωπίας ἐστὶν ἐπιδείγματα. τὸ οὖν, ἐμὲ ταῦτα εἰδότα, καὶ ὅτι γε τούτοις μᾶλλον, ἢ τῷ πλήθει φιλοτιμεῖσθε τῶν τροπαίων, μὴ τολμῆσαι λόγους ἀξίους τῶν ὑμετέρων ἠθῶν πρὸς ὑμᾶς εἰπεῖν, τίνα ἂν εἶχε λόγον; ἀδικοῦντος γὰρ ἦν τοῦτό γε τὴν πόλιν, τὸ μὴ οἴεσθαι χάριτος οὕτως ἐπιεικοῦς τεύξεσθαι· καὶ ἦσαν ἂν οἱ δικαίως ἐπιτίμων, εἰ μὴ ἔχων ἐλπίδας καὶ νῦν αὐτῷ τὸν δῆμον

[42] aut delendum est εὖ, aut eius loco σοὶ leg.

[43] ἐπαγγείλῃς B.

[44] σοὶ δὲ οὐ in M.

[45] διδῶσιν B. et m. M.

[46] οὐκ deest B. et m. M.

[47] θεοὶ B.

[48] ἀποστερούμενος B.

[49] τῷ Σοφ. B.

[50] εἰσὶν ὦ θεοὶ B.

δῆμον ὅμοιον ἔσεσθαι. ἔτι τοίνυν τὸ μὲν ἀξιοῦν θάπτειν, πατρός ἐστιν, εὐνοίᾳ τῇ πρὸς ὑμᾶς ἐπὶ τὸν υἱὸν ἥκοντος·[51] τὸ δὲ ἀμελεῖν τοῦ σώματος, διαβάλλοντος τὸν φόνον, ὡς ἀπὸ μίσους τοῦ πρὸς ἐκεῖνον, πεπραγμένον.[52] εἰ γὰρ ἐγὼ νῦν ἐπ' ἄλλοις ἦν, καὶ περὶ ἕτερα τὴν σπουδὴν ἐποιούμην, οὐδὲν τοῦ κειμένου προτιμῶν, τίς οὐκ ἂν εἶπε δικαίως, τῇ πόλει μικρὰ κεχάρισται Καλλαίσχρος· μᾶλλον δὲ οὐδ' ὁτιοῦν, εἰ χρὴ τῇ γνώμῃ τὰ τοιαῦτα κρίνεσθαι. οὐχ ὁρᾷς ὡς βραχὺς αὐτῷ τοῦ νεκροῦ λόγος; ὁ δὲ εἰς ἡδονὰς ἀφῆκεν αὐτόν. πάλαι ὡς ἔοικεν οὗτος ἐπιβουλεύων ἀποκτεῖναι Κριτίαν, ὀψὲ δεδύνηται. τούτων με, ὦ Ἀθηναῖοι, ῥύσασθε τῶν λόγων, καὶ δότε ἀνθρώπῳ μὴ λίαν φαύλῳ περιστεῖλαι τὰς ἑαυτοῦ συμφοράς. νόμον οὖν, φησιν, εὖ ἔχοντα, σοὶ χαριζόμενοι, λύσομεν;[53] μηδαμῶς. ἀλλ' ἔστω μὲν ὁ νόμος κύριος κατὰ τῶν ἢ ὑπὸ δούλου τινὸς, ἢ τῶν δορυφορούντων, ἢ κόλακος, ἢ καὶ γυναικὸς τὴν πληγὴν δεξαμένων· καὶ γὰρ ὑπὸ τῶν τοιούτων γίγνονται πληγαὶ πολλάκις ἀμελουμένων·[54] πατρὶ δὲ θάπτειν ἐπιτρεπέτω, τὴν προσηγορίαν τοῦ κτείναντος αἰσχυνθείς. δοκεῖ δ' ἔμοι γε κἂν αὐτὸς ὁ νομοθέτης, εἴ τις αὐτῷ προεῖπε θεῶν, ὅτι ἔσται τις πατὴρ οὕτω δημοτικὸς, καὶ πάντα ὕστερα τῆς ἐλευθερίας ἄγων, ὥστ' αὐτὸς ἐκκόψει[55] παῖδα τύραννον· προσγράψαι ἂν, τῷ δὲ[56] τοιούτῳ, ἐξέστω καὶ θάπτειν. οὐ γὰρ δὴ σοφίᾳ γε τῶν ἄλλων διαφέρων, καὶ κατὰ τοῦτο νομοθετεῖν ἠξιωμένος, ἠγνόησεν ἂν ὡς ἁμιλλᾶσθαι δεῖ τοὺς εὖ παθόντας τῇ τιμῇ πρὸς τὴν τῶν πεποιηκότων τόλμαν, καὶ τὸν πλέον τι τῶν ἄλλων δεδρακότα. πλέον τι τῶν ἄλλων ἔχοντα ἀποπέμπειν. καὶ νῦν ὅπερ οὐκ ἐλπίσας ἐκεῖνος οὐ προσέθηκεν· εἰ τοῦθ' ὑμεῖς ἑωρακότες προσγράψετε, πῶς ἀδικήσετε;

51 ἴσ. εἴκοντος m. M.
52 πεπραγμένου B.
53 λύσαιμεν B.
54 ἀμελουμένων] id est ὅταν αἱ μὲν γυναῖκες ὑπὸ τῶν ἀνδρῶν, οἱ δὲ κόλακες ὑπὸ τῶν τρεφόντων ἀμελῶνται.
55 malim ἐκκόψαι.
56 τῷ τοι δέ. m. M.

κήσετε; τούς τε γὰρ πατέρας οὕτως ἂν μᾶλλον ἐπὶ παῖδας παρακαλέσετε τυράννους, εἰ γνοῖεν ὡς ἀποκτείναντες, θάψουσι· τούστε παῖδας εὐλαβεστέρους ποιήσετε, τοιούτων αὐτοῖς εὐθὺς[57] ἐγγύθεν τῶν σφαγέων ἐφεστηκότων. καὶ νῦν μή μοι στρέφῃς[58] ἄνω καὶ κάτω τοῦ νόμου τὰς συλλαβάς. εἰ δὲ[59] ἀκμαζούσης τῆς τυραννίδος, εἶπον ἠρέμα σοι προσελθὼν, ὅτι ταῦτα τὰ δεινὰ δύναμαι μὲν ἐγὼ παῦσαι μόνος, εἰ δυνηθείην[60] ἀφειδῆσαι τοῦ παιδὸς, δέδοικα δὲ τὰ κατὰ τῶν τοιούτων νενομοθετημένα νεκρῶν· ἆρ' οὐκ ἂν ἅπαντα ὑπισχνοῦ, πᾶν ἔλαττον ὃ δώσεις οὗ λήψῃ νομίζων; εἶθ' ἃ, ζητῶν ἐλευθερίαν, ἔδωκας ἂν, νῦν ἔχων, οὐ δώσεις, ἀλλ' ἀκριβολογήσῃ πρὸς ἄνθρωπον, οὐκ ἀκριβολογησάμενον; εἰσὶ καὶ πατράσι περὶ παίδων κείμενοι νόμοι, πολὺ τούτων τῶν γεγραμμένων σεμνότεροι, παρ' αὐτῆς παγέντες τῆς φύσεως· οἳ βούλονται τοὺς γεγεννηκότας περὶ πλείονος αὐτῶν τὰ τεχθέντα ποιεῖσθαι, καὶ πᾶσι τοῖς ὑπὲρ αὐτῶν ἥδεσθαι πόνοις. καὶ τί ἂν λέγοι τις γῆν ὑπὲρ τούτων σπειρομένην, καὶ θάλατταν πλεομένην, καὶ χρήματα ἀθροιζόμενα, καὶ πόνους, καὶ ἀγρυπνίας, καὶ λόγους, καὶ γνώμας. ἀλλ' ἣν πολέμιοι κρατήσαντες πόλεως, αἵρεσιν τοῖς πατράσι διδῶσιν, ἢ αὐτοὺς ἀποθνήσκειν,[61] ἢ τοὺς παῖδας ἐφορᾷν, πάντες ἂν εὐθέως ὑπὸ τὰ ξίφη τρέχοιεν. γίγνεται δὲ κἂν ταῖς ἀρρωστίαις ἴσα, παρὰ τῶν θεῶν τῶν τοκέων αἰτούντων, αὐτοὺς μὲν ἀπελθεῖν, ζῆν δὲ τοὺς ἐξ αὐτῶν, τούτων οὐδένα ὅτε ἐτυραννεῖσθε τῶν νόμων ἐζήτησα,[62] οὐδὲ ἐξέκρουσέ μου τῆς δεξιᾶς οὐδεὶς τὸ[63] σιδήριον, οὐδὲ ἐξέλυσε τὴν ὀργήν· οὐδὲ τὴν ὁρμὴν ἐκώλυσεν· οὐδὲ ἡνίκα τὴν πρώτην πληγὴν λαβὼν, ἐβόα Κριτίας, μὴ πάτερ· ἔστησε

μου

57 εὐθὺς deest B. et m. M.

58 μή μοι στρέφῃς] sic dedi. B. omittit μὴ, et M. μοι.

59 post εἰ δὲ B. recte omittit καί.

60 εἰ δὴ οἰηθείην B. sed in marg. vulg. est. εἰ δεῖν οἰηθείην m. M.

61 θνήσκειν m. M. et W.

62 τε post ἐζήτησα recte abest a B. et m. M. ἐξήτησα m. M.

63 εἰς τὸ m. M.

μοῦ[64] τὴν χεῖρα τοὔνομα, καὶ[65] πρὸς τὸν οὐ πατέρα μέγα δυνάμενον, εἰ ῥηθείη μόνον. ἀλλ᾽ ἤκουσεν εὐθέως, ἀπέθνησκε. καὶ γὰρ αὐτὸς μητέρα οὖσάν σοι τὴν Ἀττικὴν ἀδικεῖς. ἀντίθες δὴ τῷ νόμῳ τοὺς νόμους· καὶ παῦσαι φιλονεικῶν. καὶ γὰρ εἰ σφόδρα τὶς ὀργίζεται Κριτίᾳ διὰ τὴν ἄγαν ὠμότητα, καὶ κατ᾽ αὐτὸ τοῦτο μᾶλλον ἂν τιμῴη τὸν τῶν τηλικούτων ἀπηλλαχότα κακῶν. τὸ γὰρ ἐκείνῳ μείζονα τὴν ὀργὴν φέρον, τοῦτο καὶ τῷ κτείναντι[66] μείζονα[67] τὴν τιμήν· ἀφαιρήσομεν οὖν, φησι, τῆς ὡρισμένης τιμωρίας; οὐ τιμήσετε δὲ τὸν ἀποδόντα τοὺς νόμους, καὶ ταῦτα τῆς δωρεᾶς οὐ λαμπρότητα ἐχούσης, ἀλλὰ παραμυθίαν; καὶ μὴν εἰ καὶ σφόδρα ἄξιον[68] πλέον τι τῶν τὰ ἄλλα πονηρευομένων πάσχειν τὸν τύραννον· ὥσπερ οὖν ἄξιον, ἔχει τὸ πλέον τοῦτο Κριτίας· πέπτωκεν ὑπὸ τοῦ πατρός· οὗ τί γένοιτ᾽ ἂν ἀλγεινότερον, ἢ τὸ τὸν προσδοκώμενον σύμμαχον εἶναι[69] τοῦτον εἶναι τὸν παίοντα·[70] οὐκοῦν τοῖς μὲν ὑπ᾽ ἄλλων ἀποθνήσκουσι, δεῖ τινα τιμωρίαν ἐπεῖναι καὶ μετὰ τὸν θάνατον· ὁ δ᾽ ὑπὸ τοῦ πατρὸς, ἐν τῷ παρ᾽ ἐκείνου, μείζω δίκην ἔδωκε τοῦ θανάτου. καὶ πολὺ κουφότερον, ὑπ᾽ ἄλλου κατενεχθέντα μὴ τυχεῖν ταφῆς, ἢ πληγέντα ὑπὸ τοῦ πατρὸς ταφῆναι. τὸ μὲν γὰρ οἶδε πάσχων· τὸ δὲ, οὐδαμῶς. ὅλως δὲ οὐχ ἵνα μὴ Κριτίας ὑβρίζηται δέομαι· ἀλλ᾽ ἵνα ἐγὼ μὴ παντάπασιν ἐξενεχθῶ τῶν τοῖς πατράσιν ἐστηκότων ὅρων. εἰ μὲν γὰρ ἀξιοῖ μέ τις τῇ βουλῇ προσελθόντα, κωνείου τυχόντα ἀποθανεῖν, καὶ τοῦτο ἐκείνη ποιήσει, βαδίζειν ἕτοιμος ἐκεῖσε, καὶ χρῆσθαι τῷ φαρμάκῳ. πάντως οἷς βαρὺ τὸ ζῆν, κέρδος ὁ θάνατος. εἰ δ᾽ οὐκ ἐθ᾽ ὅπως ἂν τοῦτο ἀνάσχοισθε, ἐκ τῶν

64 ἐστησέ μοι m. M. et B.

65 τοὔνομα, ὄνομα καὶ B.

66 κτείνοντι B.

67 post μείζονα deesse videtur φέρον·

68 atqui si dignum est — (vt profecto est,) habet Critias hanc praeferentiam.

69 σύμμαχον εἶναι, τοῦτον] sic B. εἶναι deest M.

70 τὸν παίοντα] προδότην B.

τῶν ἐνόντων μοι βοηθήσατε. τί γάρ με δεήσει ποιεῖν. εἰπάτω τις ἀναστάς. παρακαθῆσθαι τῷ νεκρῷ διαφθειρομένῳ,[71] καὶ πάσχοντι πάντα, ἃ ποιεῖν ὁ χρόνος πέφυκε; καὶ τίσιν ὀφθαλμοῖς ταῦτα ὄψομαι; πῶς οἴσω τοῦ μὲν σώματος ἐξελεγχομένου; κυνῶν δὲ ἤδη προσιόντων; ἀλλ' ἀπελθὼν οἴκοι καθεδοῦμαι,[72] καὶ παρὰ τῶν ἀγγελλόντων τὰ τοιαῦτα δέχωμαι, ὡς ὄρνιθες καὶ κύνες μερίζονται τὸν νεκρὸν, καὶ αὐτοῦ τὸ μὲν ἀνάλωται, τὸ δὲ ἐσθίεται; καὶ ποίοις ὠσὶ τοιούτων ἀνάσχωμαι λόγων; πῶς δ' ἂν ἁψαίμην ἐπὶ τοιούτοις τροφῆς; οὐκοῦν ἀνάγκη λιμῷ τεθνάναι. καὶ ποῦ τοῦτο ὑμῖν καλόν; ἐμοὶ μὲν γὰρ οὐ πικρόν. δέομαι δὴ καὶ ἀντιβολῶ πρὸς παίδων, πρὸς γυναικῶν· οὕτω μηδεὶς ἕτερος ὑμῖν[73] ἐπισταίη Κριτίας· εἴξατε, συγχωρήσατε. τοῖς μὲν τὰ δεινότατα πεπονθόσιν, ἀρκείτω τὸ μηκέτι. τοῖς δὲ οὐ τηλικαῦτα, τὸ μὴ δεδοικέναι. δότε μοι τὸν κείμενον ἀντὶ στεφάνου. δότε μοι τὸν υἱόν· νῦν γὰρ αὐτὸν οὕτω δύναμαι καλεῖν· ἀντὶ σιτήσεως. δότε μοι νεκρὸν, ἀντὶ εἰκόνος. μισείσθω μὲν Κριτίας· ἐλεείσθω δὲ ὁ πατήρ. ἥξουσι ξένοι πολλαχόθεν πολλοὶ ἐπὶ τὰς παρ' ὑμῖν[74] πανηγύρεις. τούτοις, ἂν μὲν θάψω, καὶ συνέσομαι, καὶ διαλέξομαι· καλῶς μοι καὶ τῶν προτέρων[75] καὶ τῶν ἐπ' ἐκείνοις ἐχόντων. εἰ δ' ἔχοιεν ὁρᾷν ὀλίγα τῶν ὀστῶν Κριτίου, φεύξομαι ὡς ἔχω τάχους. αἰσχυνόμενος οἷς αἰτήσας λαβεῖν. οὐκ ἠδυνήθην. τί δεδοίκατε; ὦ Ἀθηναῖοι. μὴ κύριος καταστὰς τοῦ σώματος, ἐκφορὰν ποιήσομαι περιφανῆ, κλίνην ὑψηλὴν, καὶ κάλλος ἐνταφίων, καὶ θρῆνον γυναικῶν· εἶτα τούτοις μνῆμα μέγα προστεθῇ; οὐκ ἔστιν. οὐχ οὕτως ἀμαθὴς ἐγὼ τῶν τοῖς ἀτυχοῦσι πρεπόντων. ἣν γὰρ δὴ νεύσητε καὶ δῶτε, δύο οἰκέτας τῆς νυκτὸς παραλαβὼν, μικρᾷ γῇ καλύψω σῶμα ἄθλιον, πονηρᾷ ψυχῇ δεδουλευκός· σημεῖον δὲ οὐδὲν ἐπέσται τῶν γνωριζόντων τάφους,[76] ὥστε τὸν ἐπιστάντα μὴ ἔχειν εἰ-

πεῖν

[71] διεφθαρμένῳ B. et m. M.
[72] κάθωμαι B.
[73] ὑμῶν ἕτερος B.
[74] ἡμῖν B. et m. M.
[75] πατέρων B.
[76] ἐπέσται τάφου m. M.

πεῖν ὅτι τοῦτο τάφος. ἀκούσεται δὲ τοῦτο κρυπτόμενος· τοῦτό σοι Κριτία τῆς καλῆς δυναστείας τὸ πέρας· τοῦτ' ἆθλον τῶν καλῶν[77] ἡδονῶν. οὗτος ὁ καρπὸς τῆς πολυευκτου τυραννίδος. ἄταφος εἶ καὶ ταφεὶς, ἐκ δωρεᾶς τεθαμμένος· πρὸς δὲ τοὺς διψῶντας ἔτι τιμωρίας, καὶ οὐχ ἱκανὸν νομίζοντας τὴν σφαγὴν, ἐκεῖνο λέγω. δώσει Κριτίας, δώσει καὶ ταφεὶς δίκην. τούτοις μάλιστα Κωκυτοὶ καὶ Πυριφλεγέθοντες ῥέουσιν. εἰς τούτους, ὦ κακόδαιμον, ἐμπεσῇ τοὺς ποταμούς· καὶ ἃ παρὰ τῶν ποιητῶν ἀκούων, οὐκ ἐβούλου προσέχειν, τὸν Τάνταλον, τὸν Σίσυφον, τὸν Ἰξίονα, τὸν Τιτυόν· ταῦτα νῦν ὡς οὐ λόγος ἄλλως ἦν εἴσῃ καλῶς. τίς σε τότε ἐξαιτήσεται Λακεδαιμονίων. τίς σε τότε ὀνήσει Καλλίβιος; ὁ τραγῳδίαν μὲν διδάσκειν αἰσχρὸν νομίζων, τυραννεῖν δὲ καλόν.

[77] θαυμαστῶν B. et m. M.

Μ Ε Λ Ε Τ Η.

ΠΡΟΘΕΩΡΙΑ.

Τύραννος ᾔτησεν ἐξ ἀστυγείτονος πόλεως, μειράκιον ὡραῖον, ἀπειλῶν πόλεμον, εἰ μὴ λάβοι. ἐδέξατο τὸν πόλεμον ἡ πόλις· ἐπῆλθεν ὁ τύραννος· πολιορκουμένης τῆς πόλεως ὁ πατὴρ ἀποκτείνας τὸ μειράκιον. ἔρριψεν ἀπὸ τοῦ τείχους. ἀπελθόντος τοῦ τυράννου, κρίνεται φόνου.

ΠΑΤΡΟΣ

ΠΑΤΡΟΣ ΑΠΟΛΟΓΙΑ.

ΕΙΗι ἂν καὶ τοῦτο τῆς ἐμῆς ἀτυχίας, ὦ ἄνδρες, τὸ τινὰς ἐπιχειρεῖν πείθειν ὑμᾶς, ὡς ἄρα ἐμοῦ βελτίους περὶ τὸν ἐμὸν υἱὸν καὶ γεγόνασι[1] καὶ εἰσίν. ἐγὼ δὲ εἰ μὲν ὡς ἀθλιώτατον[2] ἀνθρώπων ἁπάντων παρῄνουν ὑμῖν ἀποκτεῖναί με, καὶ χρηστοὺς καὶ φιλανθρώπους, καὶ εὐεργέτας ἐμαυτοῦ τοὺς ταῦτα ποιοῦντας ἡγούμην ἄν. οἷς γὰρ ἐν λύπῃ τῇ μεγίστῃ ζῆν ἀνάγκη, τούτοις κέρδος οὐ μικρὸν ἡ τελευτή. ἐπεὶ δὲ ἐκ κατηγορίας καὶ ψήφου, καὶ οἷα ἠκούσατε αἰτιώμενοι, πειρῶνται τοῦτο ποιεῖν· οὐ γὰρ[3] τὸ μηκέτ' εἶναι, τὸ δὲ ἐπὶ τοιούτοις ἀποθανεῖν δεινότατον εἶναι νομίζων, οἶμαι δεῖν τινὰ ποιήσασθαι περὶ ὧν οὐκ ὤκνησα[4] εἰπεῖν[5] ἐν ὑμῖν ἀπολογίαν. δεῖ δὲ καὶ ὑμᾶς, ὦ ἄνδρες, τοῖς, ὥσπερ ἐγώ, κακῶς διακειμένοις βοηθεῖν μᾶλλον, ἢ τοῖς μετὰ τύχης ἐπιτιθεμένοις,[6] τοῖς ἅπανθ' ὑπὲρ ὑμῶν, καὶ ὅλης τῆς πόλεως καὶ προαιρουμένοις καὶ πράττουσιν. οὐδὲ γὰρ ἂν ἔχοι λόγον, τὸν εὐνοίᾳ τῇ πρὸς ὑμᾶς ἅπαντας νενικηκότα, τοῦτον ὡς περὶ τοὺς οἰκείους τοὺς αὐτοῦ πονηρότατον, ἀποθανεῖν. τὸ μὲν οὖν δίκαιον ἦν, ἐᾶσθαί με νῦν τῷ τάφῳ προσεδρεύειν· καὶ μήτε νύκτα, μήτε μεθ' ἡμέραν ἀπαλλάττεσθαι τοῦ τὸν φίλτατόν μοι παῖδα δεδεγμένου χωρίου. τοῖς μὲν γὰρ ἄλλοις ὑμῖν καιρὸς, ἐν ἱεροῖς τε διατρίβειν, καὶ θυσίαις, καὶ ὕμνοις· προσδοκήσασι μὲν τὰ δεινότατα, πεπονθόσι δὲ οὐδὲν ὧν φοβεῖσθαι παρῆν. τῷ δ' ἀπολωλεκότι ἐμοὶ,[7] δακρύειν τε αὐτὸν, καὶ θρήνῳ συνεχεῖ τιμᾶν, καὶ τῶν παραμυθουμένων ἀκούειν· οἷς ἐγὼ πολ-

λὴν

[1] ἐγένοντο m. M.
[2] ἀθλιωτάτως Wolf.
[3] γὰρ recte abest a W.
[4] ὤκνησ' ἂν ἐν ὑμ. ἀπ. εἰπ. m. M.
[5] εἰπεῖν] imo vero ποιεῖν.
[6] idem est ac si dixisset, ἢ τούτοις, οἳ ἐπιτίθενται τοῖς
[7] παῖδα ἐμοί m. M.

λὴν οἶδα χάριν. ἐπειδὴ δὲ πεφήνασί τινες ἕλκοντες ἀπὸ τοῦ τάφου, καὶ κρίνοντες[8] ἄνθρωπον, οὐδὲ ὀρθοῦσθαι δυνάμενον· καὶ δι' ἐμοῦ τὸ κοινὸν διαβάλλουσιν, εἰ δόξει τρέφειν πολίτας, οὐ διὰ τὸ τὴν πόλιν φιλεῖν· τὸ δὲ[9] τοὺς αὐτῶν μισεῖν τὰ τοιαῦτα τολμῶντας· δέομαι πάντων ὑμῶν μὴ ἀνάσχησθε, μήτε τῇ πόλει, μήτε ἐμοί, χείρονος δόξης γιγνομένης· ἀλλ' οἵων ἂν ἠξιώσατε δικαστῶν τυχεῖν ὅμοια μὲν ἐμοὶ βεβουλευμένοι· ὅμοια δὲ[10] κατωρθωκότες· ἐφ' ὁμοίοις δὲ κρινόμενοι, τοιούτους ὑμᾶς αὐτοὺς ἐμοὶ παρέχετε τήμερον.[11] ἐγὼ μὲν οὖν ἐγνώκειν, ὦ ἄνδρες, μηδέ ποτε ὧν ὑπὲρ ὑμῶν πέπονθα μνημονεῦσαι πρὸς ὑμᾶς· δεῖ γὰρ οἶμαι, τὸν φιλόπολιν πανταχοῦ μὲν πρὸ αὐτοῦ ποιεῖσθαι τὸ κοινόν· ὠφεληκότα δέ τι, καὶ ἔργον ἀνδρὸς ἀγαθοῦ διαπεπραγμένον, αὐτόν τε τοῦτο σιγᾶν· καὶ ἑτέρου λέγοντος ἐρυθριᾶν. ἐπεὶ δὲ ἀναγκάζουσιν οὗτοι λέγειν ἃ ἥκιστ' ἂν ἐβουλόμην (ἡ γὰρ ἀπολογία πᾶσα ἐν τούτοις ἐστίν, ὦ ἄνδρες) μὴ τοῦ λέγοντος, τῶν δὲ οὐκ ἐώντων αὐτὰ σιωπᾶσθαι, τούτους ἡγεῖσθε τοὺς λόγους. οἱ οὐ τοῦτο μόνον καὶ ἐμὲ καὶ ὑμᾶς ἀδικοῦσιν, ἀλλ' ὅτι καὶ τῷ τυράννῳ τῆς λύπης οὐ μικρὸν ἀφαιροῦσι κρίνοντες καὶ πράγματα παρέχοντες ἀνθρώπῳ, ὃν ἐκεῖνος αὐτῷ πάντων ἔχθιστον ἡγεῖται. ἀλλὰ τούτοις μὲν ἴσως ἀνάγκη πάντα ὑπηρετεῖν ἐκείνῳ· ὑμᾶς δὲ δεῖ[12] τοὺς οὐδεμίαν αὐτῷ χάριν ὀφείλοντας, καὶ ἅμα ὀμωμοκότας, μὴ δι' ὧν[13] ἂν ἡσθείη ὁ θεοῖς ἐχθρὸς ἐκεῖνος ποιεῖν, ἀλλὰ μᾶλλον ἐξ ὧν ἀνιάσαιτο. τοῦτο δ' ἂν γένοιτο, εἰ καὶ[14] πρὸ τῆς ἀπολογίας ὑμεῖς ἅπερ εἰκὸς ἦν παρ'[15] ἐμοῦ, ταῦτα καὶ[16] πρὸς ὑμᾶς αὐτοὺς λέγετε. ἠγαγόμην, ὦ ἄνδρες, γυναῖκα κατὰ τοὺς τῆς πόλεως

[8] κρίναντες W.
[9] τὰ δὲ m. M.
[10] poſt δὲ deleui ἐμοὶ ſecundum quod W. omittit.
[11] παράσχετε m. M.
[12] poſt δεῖ deeſt ἐναντιοῦσθαι vel ſimile quid.
[13] ὧν ὁ θ. ἐχ. ε. ἡσθήσεται π. ἀ. μ. ἐ. ὧν ἀνιάσεται m. M.
[14] εἰ κακὸν τ. m. M.
[15] lege περί.
[16] καὶ recte abeſt a W.

λεως νόμους, καὶ παῖδας ηὐξάμην ὁ δυστυχὴς ἐκ τούτων μοι γενέσθαι τῶν γάμων, ἐμοί τε καὶ τῇ πόλει βοηθούς, λέγοντας, γράφοντας, στρατευομένους, τὸν ὑπὲρ τῆς ἐνεγκούσης ἡδέως δεχομένους θάνατον. ᾔτουν δὲ καὶ ἀγαθούς, καὶ μάλιστα δὴ σώφρονας. οἱ δὲ, ἔδοσαν, ὡς οὐκ ἔδει, τοῦτον[17] δὴ τὸν ὑφ' ὑμῶν ἐπαινούμενον· λαμπρὸν μὲν τὴν ἰδέαν· βέλτιστον δὲ τὸν τρόπον. τὸν αὐτὸν τῇ μὲν ὥρᾳ, πάντας ὀφθαλμοὺς ἐφ' ἑαυτὸν ἕλκοντα· τῇ δὲ σωφροσύνῃ, παριόντα τὴν ὥραν· καὶ τὸν δεῖνα εἴπων ἄν τις, τὸν καλὸν προσέθηκεν. ἐγὼ δὲ ὁ κακοδαίμων ἀκούων, ἔχαιρον; καὶ τοῖς θεοῖς ᾤμην δεῖν καὶ τούτου χάριν ἔχειν. ἔμελλον δὲ ἄρα ὑπὸ ταύτης ἀπολεῖσθαι τῆς καλῆς δωρεᾶς. ἐγὼ μὲν οὖν αὐτὸν ἔτρεφον, ὡς εἰκὸς τὸν τοιοῦτον, πάσῃ προνοίᾳ, πάσας ἐπιβουλὰς ἀνείργων· ἐδεῖτο μὲν γὰρ οὐδὲν τῆς τῶν[18] ἐφεστηκότων φυλακῆς· ὅμως δὲ εἵποντο παιδαγωγοὶ, τοῦ μηδὲ ψευδῆ τινὰ διαβολὴν ἐπ' αὐτὸν ἐλθεῖν. ἐπεὶ δὲ ἀνάλωτος ἦν τοῖς ἁπάσῃ μηχανῇ κατὰ τῶν ὡραίων χρωμένοις, καὶ οὔτε ξένος οὐδεὶς, οὔτε πολίτης, οὔτε πλούσιος, οὐκ ἀνδρεῖος, οὐ σοφὸς, οὐκ ἀπ' ἄλλου του περίβλεπτος, ἔπειθεν αὐτῷ προσέχειν· ἔγνωσάν τινες διὰ τοῦ τυράννου καταισχῦναι τὸ σῶμα, καὶ τὸν οὐ πειθόμενον βιάσασθαι· καὶ βαδίζοντες ὡς εἰκὸς παρ' ἐκεῖνον· σὺ δὲ τυραννῶν, ἔλεγον, καὶ δυνάμενος φοβεῖν, καὶ θηρεύων ἡδονὰς, τὰ μὲν οὐδενὸς ἄξια μειρακύλλια συλλέγεις· τοῦ καλλίστου δὲ τῶν ὑπὸ τὸν ἥλιον οὐκ ἀπολαύσῃ, καὶ ταῦτα ἐγγὺς ὄντος; εἶτ' οἶμαι διηγοῦντο περὶ τῆς τριχὸς, περὶ τοῦ προσώπου, περὶ τῶν χειρῶν, περὶ τῶν ἄλλων καὶ ὡς καὶ τοῖς ζωγράφοις ἆθλος[19] ἐστι τὸ μειράκιον· ἐλεγχούσης τῆς ὥρας τὴν τέχνην. τούτοις αὐτὸν κινοῦντες, καὶ ἀνάπτοντες, καὶ ποιοῦντες[20] ὧν οὐκ εἶδεν[21] ἐραστὴν, πείθουσι τὴν ἀναίσχυντον ἐκείνην ἀποστεῖλαι πρεσβείαν καὶ ὅ, τε δῆμος

17 τοιοῦτον m. M.
18 ἐκ τῆς τῶν m. M.
19 ἆθλον W. et m. M.
20 καὶ ποιοῦντες desunt W. et m. M.
21 οἶδεν W. et m. M.

μος συνεληλύθει· καὶ οἱ πεμφθέντες παρῆσαν· καὶ ἦν ἐλπὶς τούτων δή τι τῶν ἐπιεικεστέρων[22] αἰτήσοντας ἀφῖχθαι, οἷον ὅπλα, σῖτον, στρατιώτας, τὸ τῶν φυγάδων τισὶ διαλλαγῆναι. δεινὰ μὲν, οἶμαι,[23] καὶ ταῦτα· πολεμοῦντα ἄνθρωπον ἐλευθερίᾳ καὶ νόμοις, τοῖς μετὰ τούτων ζῆν αἱρουμένοις, ὑπὲρ τοῦ τινὸς τυχεῖν διαλέγεσθαι. ὅμως δὲ ἦν ἄν τις αὐτῷ λόγος. ὁ δὲ, τί διὰ τῶν πρέσβεων; ὦ γῆ καὶ ἥλιε, καὶ πικρὰ τῆς ἐμῆς οἰκίας μοῖρα! ἐπειδὴ χαίρω μὲν ἐγὼ ταῖς τῶν μειρακίων μίξεσι, τρέφει δέ τις παρ' ὑμῖν υἱὸν πατὴρ, οἷον οὐδένα οὐδεὶς ἐν οὐδεμιᾷ πόλει (καὶ εἶπε τίνα καὶ τίνος) πέμψατέ μοι τὸν νέον, πεισόμενον, ὅ, τι ἂν ἐμοὶ δοκῇ. ἐγὼ μὲν οὖν ἐπὶ τούτοις συγκαλυψάμενος, καὶ πληγεὶς τὴν ψυχὴν, ἄφωνος ἐν τοῖς τῶν φίλων ἐκείμην γόνασι μικρὸν τεθνεῶτος διαφέρων· μόλις αἰσθανόμενος τοῦ θορύβου, ὃν ὑμεῖς, αἰσχυνόμενοι μὲν θεοὺς, αἰσχυνόμενοι δὲ ἀλλήλους, αἰσχυνόμενοι δὲ τὴν φύσιν, ἐθορυβεῖτε. καὶ ταῦτα προσθέντων ἐκείνων, ὡς εἰ μὴ τὸ σῶμα παραδοίητε πολεμήσεσθε· οἰόμενοί[24] γε τῷ φόβῳ τῆς ὑμετέρας περιέσεσθαι σωφροσύνης. ὑμῖν δὲ ἄρα τῶν προσδοκωμένων πόνων, δει-

[22] δή τινα ἐπιεικέστερα W. et m. M.

[23] οἴμοι W. et m. M.

[24] ad οἰόμενοι in W. scriptum est hoc schol. δέον οὕτως εἰπεῖν. ὁ δὲ τί διὰ τῶν πρέσβεων αἰτεῖ, ἐπειδὴ χαίρω μὲν ἐγὼ καὶ τὰ ἑξῆς εἶτα μετὰ τὸ δοκεῖ εὐθὺς συνάψαι, προσθέντων καὶ τῶν πρέσβεων καὶ ταῦτα, ὡς εἰ μὴ τὸ σῶμα παραδοίη τε πολεμήσεσθε, ἔπειτα ἐπενεγκεῖν, οἰόμενος ἐκ τοῦ τοιαῦτα διὰ τῶν πρέσβεων ἀπειλεῖν τῆς ὑμετέρας περιέσεσθαι σωφροσύνης τῷ φόβῳ τῶν ἀπειλῶν, δέον οὕτως εἰπεῖν. ὁ δὲ διὰ μέσου ἔθηκε τὸ, ἐγὼ μὲν οὖν ἐπὶ τούτοις, μέχρι τοῦ θορυβεῖτε. εἶτα θέλων τῆς προτέρας πάλιν ἐννοίας ἅψασθαι, ἐπήγαγε τὸ, καὶ ταῦτα προσθέντων ἐκείνων, καὶ τὰ ἑξῆς, ᾧ ἀκόλουθον ἦν, ὡς ἔφαμεν εἰπεῖν, οἰόμενος τῷ φόβῳ γε τῆς ὑμετέρας περιέσεσθαι σωφροσύνης· ὅθεν τοῖς ἁπλῶς διεξιοῦσι σόλοικον εἶναι δοκεῖ. ἐπεὶ δὲ εὕρηται καὶ οἰόμενοι, φαμὲν ταύτην τὴν μεταχὴν πρὸς τὸ θορυβεῖτε εἶναι. οὕτως. ὃν ὑμεῖς ἐθορυβεῖτε ὑπολαμβάνοντες περιέσεσθαι τὸν τύραννον τῆς ἡμετέρας. λέγω δὴ τοῦ ἐμοῦ καὶ τοῦ παιδὸς σωφροσύνης τῷ φόβῳ τῶν ἀπειλῶν, ὅπερ ὑπὸ τῶν ἐφεξῆς ἐλέγχεται καὶ νικᾶ, οἰόμενος γράφεσθαι. οἰόμενος m. M.

δεινότερον ἐδόκει τὰ τοιαῦτα παρ' ὑμῶν δίδοσθαι· καὶ τοῖς οὖσι παρ' ἐκείνῳ μειρακίοις συνήχθεσθε· καὶ δίκην ἥδιστ' ἂν ὑπὲρ τῶν ὑβρισμένων ἐλάβετε. ὑμεῖς μὲν οὖν ἀπηλαύνετε τοὺς πρέσβεις· ὁ δ' ὧν ἀπήγγειλεν[25] ἀτυχήσας, εὐθὺς ἐπῄει τὰ ὅπλα, ἡνίκα τοὺς πρέσβεις ἀπέστειλεν, ἐν χερσὶν,[26] ὡς εἰκὸς, ἔχων, ὅπως ὑμῖν ἀπαρασκεύοις ἐπίθοιτο. καὶ αὐτίκα μεστὴ μὲν ἦν ἡ χώρα τῶν πολεμίων· οἱ γεωργοὶ δὲ, ὅ, τι ἠδύναντο τῶν σκευῶν ἄγοντες, εἰς ἄστυ συνέῤῥεον· καὶ ἐξιέναι μὲν καὶ μάχεσθαι, προεμπεσόντος τοῦ πολέμου καὶ τῶν δεινῶν, οὐκ ἐνῆν· κατακεκλεισμένους δὲ τῶν τῆς πολιορκίας ἀνέχεσθαι τῶν κακῶν[27] ἔδει. ἦν δὲ βαρέα μὲν τὰ παρόντα, φοβερὰ δὲ τὰ μέλλοντα· σύμμαχος δὲ οὐδαμόθεν. ὁ τύραννος δὲ μέγας. καὶ βοὴ μὲν παρ' ἐκείνοις ἡ τῶν πολιορκούντων· ἀθυμία δὲ παρ' ὑμῖν ἡ τῶν συγκεκλεισμένων. ἐνταῦθα ἐγὼ τῶν μὲν ἐπιτηδείων ἢ συγγενῶν, οὐδένα εἰς βουλὴν παρεκάλουν· κατ' ἐμαυτὸν δὲ καθίσας, ἐμαυτῷ διελεγόμην, ὡς ἄν τις ἑταῖρος ἑταίρῳ. ὦ πατέρων, ἔφην, δυστυχέστατε σύ· ὦ κατὰ σαυτοῦ τε καὶ τῆς πατρίδος κάλλος υἱέος[28] κτησάμενε· τὴν μὲν περιεστηκυῖαν τὸ τεῖχος στρατιὰν ὁρᾷς. καὶ τὸν μανίας γέμοντα τύραννον· καὶ τοὺς ἅπαντα ποιεῖν ὄντας ἑτοίμους ὑπὲρ ἐρῶντος δεσπότου· καὶ ὡς οὐκ ἔστιν σωθῆναι τῇ πόλει, τοῦ κακοῦ προϊόντος. τούτων δ' αἴτιος, παῖς ὁ σὸς, καὶ τὸ τοῦ παιδὸς κάλλος. κἂν μὴ τοῦτο ἢ ἀπόληται,[29] ἢ τοῦ τυράννου γένηται, λύσις οὐκ ἔστι τοῖς παροῦσιν. ἐπεὶ οὖν ἡ μὲν ὕβρις ἄφορητον, ἡ τελευτὴ δὲ οὐ τοσοῦτον, σωσάτω τὴν πόλιν, μετὰ τῆς αὐτοῦ σωφροσύνης. ταῦτα ἐδόκει τὴν πρώτην ἡμέραν κράτιστα ταῦτα[30] τὴν δευτέραν· ταῦτα τὴν τρίτην· καὶ οὐδὲν ἦν ὃ τούτων ἐδύνατο

νομι-

[25] lege ἐπήγγειλεν *postularat*

[26] ἐν ταῖς χερσὶν W.

[27] τῶν κακῶν W.

[28] κάλλος υἱέος] sic W. κάλλος υἱοῦ m. M. et t. M. καλὸν υἱέα.

[29] ἀπόληται] sic W. ἀπόλυται M.

[30] post ταῦτα recte W. et m. M. δὲ omittunt.

νομισθῆναι βέλτιον. λαβὼν δὴ τὸ ξίφος, πάλιν κατεθέμην· καὶ πάλιν λαβὼν, ἔῤῥιψα. καὶ πολλάκις ἑκάτερον· καὶ μετὰ δακρύων ἕκαστον. εἶτ᾽ ἐνίκα τῇ πατρίδι τὸν υἱὸν ἐπιδοῦναι.[31] καὶ πλήξας πολλάκις τὸ πρόσωπον, καὶ τίλλων τὰς τρίχας, καὶ πρὸς τὸν ἐμαυτοῦ δαίμονα εἰπὼν, ἐμπλήσθητι τῶν ἐμῶν κακῶν, ἔπεισα,[32] δι᾽ ὧν ἔδειξα, τὸν τύραννον μηκέτι τὰ μηκέτ᾽ ὄντα ζητεῖν· καὶ ἡ τελευτὴ τοῦ παιδὸς, καὶ τῷ πολέμῳ γεγένηται τελευτή. ἐπὶ τούτοις ἐπένθησα, ἔθαψα, τοῦ σήματος[33] εἰχόμην. ᾤμην δ᾽ αὐτοῦ καθῆσθαι.[34] καὶ δὴ τοῦτον ὁρῶν προσιόντα τὸν χρηστὸν, ἐνόμιζον ταυτὸ[35] τοῖς ἄλλοις ποιήσοντα ἥκειν, καὶ παραμυθήσασθαι.[36] ὁ δὲ ἐπιστὰς, καὶ βοήσας ἄγριον· ἀνίστω, φησὶν, ὦ πονηρότατε σύ. καὶ ἕπου, δίκην δώσων τούτων ὧν καὶ νῦν ἔλεγεν, ὦ ἄνδρες. φησὶ γάρ με τὸν υἱὸν ἀπεκτονέναι· καὶ ἠρώτα εἰ μὴ τοῦτ᾽ ἀληθές; καὶ εἰ μὴ δεινόν. ἐγὼ δὲ, δεδρακέναι μὲν ὁμολογῶ τοῦτο τὸ ἔργον· κακίαν δὲ ἐμαυτοῦ καταγινώσκειν οὐκ ἔχω. διὰ τί; ὅτι τὴν αἰτίαν οὐδεὶς ἂν[37] δύναιτο δεῖξαι τοῦ πεπραγμένου πονηράν. τῆς αἰτίας δ᾽ οὐκ οὔσης τοιαύτης, οὐδ᾽ ἂν ἐκεῖνο δύναιτο πονηρὸν νομισθῆναι. τουτὶ γὰρ ὅσον ἐστὶ, πολλαχόθεν μὲν ἄν τις μάθοι. μάλιστα δὲ ἐκ τῶν περὶ τῆς βλάβης νόμων· ἐν οἷς οὐ μικρὸν διαφέρει τὸ, ἑκόντα, ἢ ἄκοντα· κἂν τοῖς φονικοῖς δὲ, ἴσον[38] εὕροι τὶς ἄν. τί δέ; οἱ στρατηγοὶ, οὐ καὶ τὰς αὐτῶν ναῦς πολλάκις κατέκαυσαν, καὶ τὸν καρπὸν διέφθειραν· καὶ ταῦτα ποιήσαντες, ἐστεφάνωνται. οὐ γὰρ ἵνα τοὺς ἀριστεύσαντας,[39] ἀλλ᾽ ἵνα τοὺς ἐναντίους τούτοις βλά-

[31] ἐπιδοῦναι] sic W. ἀποδοῦναι M.

[32] ἔπεισα cohaeret cum τὸν τύραννον μηκέτι ζητεῖν.

[33] σώματος W. et m. M.

[34] post καθῆσθαι aut circa deesse videtur ἐφ᾽ ἡσυχίας. videbar mihi quietus ibi (ad monumentum filii) sedere; sed ecce —

[35] ταυτὸν W.

[36] malim παραμυθήσεσθαι.

[37] ἂν δύναιτο] sic W. ἂν deest M.

[38] malim τὸ ἴσον.

[39] W. dat τὰς στεύσαντας, vnde efficio τὰς πιστεύσαντας, illos, qui sibi copias illas, classem, commeatus, arma credidissent.

βλάψωσιν ἔπραξαν. τῆς τοίνυν γνώμης εὐδοκιμούσης, ἀπήλλακται καὶ τὸ πραχθὲν αἰτίας. καὶ σὺ τοίνυν μὴ δι' ὃ γέγονε παρεὶς, αὐτὸ λέγε τὸ γεγενημένον μόνον· ἀλλ' ἔασον τούτους ἀπὸ παντὸς,[40] ὦ χρηστὲ, τὴν ψῆφον ἐπενεγκεῖν. ἂν μὲν τοίνυν ἐπιδεῖξαι δυνηθῇς, ὡς ἐγὼ τὸν ἐμαυτοῦ παῖδα ἐμίσουν, καὶ ὑγιαίνοντος ἠχθόμην, καὶ ἀῤῥωστοῦντος ηὐφραινόμην, καὶ προσιόντος ἀπεστρεφόμην· καὶ παίων καὶ ἄγχων διετέλουν· καὶ καταρώμενος αὐτῷ πολλάκις ἐπεδείχθην, πρὶν ἄνδρα γενέσθαι ἀποθανεῖν. εἰ μέν τι τούτων ὁ διώκων αἰτιᾶσθαι δύναιτο, καὶ οὐκ αἰτιᾶσθαι μόνον, ἀλλὰ καὶ παρέχεσθαι μάρτυρας,[41] ἀποκτείνατε, κατακόψατε, καταποντίσατε· λόγος οὐδεὶς ἐστί μοι. εἰ δ' ὃν ζῆν ἐβουλόμην, ἀφῃρέθην, ἐλέησον τὸν ἐζημιωμένον. ποῦ γὰρ ἂν ἔχοι λόγον, τὸ μὲν τῆς χειρὸς ἔργον εἰς ἐξέτασιν ἄγειν· ἃ δὲ φρονῶν ταῦτ'[42] ἔδραν, ὑπερπηδᾷν. ἐβουλόμην, ὦ ἄνδρες, τὸν τύραννον ἐν τῇ πολιορκίᾳ πέμψαντα κήρυκα εἰς ὑμᾶς εἰπεῖν, ὅτι νενίκηκε παρ' ὑμῖν μὴ δοῦναι τὸν νέον· ὑμεῖς δὲ ἔκδοτέ μοι τὸν τούτου πατέρα, καὶ παύσω τὸν πόλεμον; τότ' ἂν εἴδετε καλῶς, ὅς τις ἐγὼ πρὸς τὸν ἐμαυτοῦ. αὐτὸς γὰρ ἂν παριὼν[43] ἔγραφον τὸ περὶ τῆς ἐκδόσεως ψήφισμα· μᾶλλον δὲ καὶ πρὸ τοῦ ψηφίσματος, ἔτρεχον ἂν ὑπὸ τὰ τοῦ τυράννου ξίφη. καὶ οὐδὲν ἂν ἔδεισα τῶν δεινῶν, ἐν ἐκείνῳ μέλλων διὰ τούτων κερδανεῖν τὸ ζῆν ἐμοὶ τὸν υἱόν. διὰ τί γὰρ οὐκ ἂν ἐπέδωκα ἐμαυτὸν ὑπὲρ ἐκείνου. οὐκ ἐπιεικής; οὐ κόσμιος; οὐ φιλοπάτωρ; οὐχ οἷος ἐνδοξοτέρους μὲν ποιῆσαι τοὺς αὐτοῦ προγόνους; τῶν κοινῶν δὲ ἁπτόμενος, μηδενὸς ὕστερος γενέσθαι· πλέον γὰρ οὐδὲν ἐρῶ· οὐκ ᾔδειν ὅτι καὶ δημηγορῶν καὶ στρατηγῶν ἐκεῖνος, νοῦν τε[44] ἔχων μετὰ κάλλους, ὑμᾶς μὲν ποιήσει μείζους· τὸν πατέρα δὲ καὶ τεθνεῶ-

τα

40 ἀπὸ παντὸς] ſcil. τοῦ γεγενημένου. e toto facto et omnibus adiunctis eius vna ſpectatis.

41 μαρτυρίας m. M.

42 τοῦτ' m. M.

43 παριὼν] ſic W. παρὼν M.

44 τε] praefero γε,

τα[45] λαμπρότερον; ἐῶ τἄλλα· ἀλλ' εἴ τις ὑμᾶς ἔροιτο τοὺς κατηγοροῦντας, διὰ τί τοῦτο ποιεῖτε; λυπεῖσθαι φαίητ' ἂν ὑπὲρ τοῦ μειρακίου. εἶθ' ὑμεῖς μὲν λυπεῖσθε τεθνεῶτος, ἐγὼ δὲ χαίρω; πάνυ γοῦν τοῖς μετὰ τὸν θάνατον διαβέβληκα τὸν φόνον. ὁρᾶτε ὡς λευχειμονῶ; καὶ ἐπὶ λουτρὰ βαδίζω; καὶ δειπνῶ πολυτελῶς; καὶ ἐν συμποσίοις ᾄδω; οὐκ ἐν τέφρᾳ κεῖμαι; οὐκ ἔοικα νεκροῖς; οὐκ ἐπιθυμῶ τελευτῆς; ταῦτ' οὖν ἐζήτουν, ὧν γενομένων ἀπόλωλα; καὶ οὐδὲ τῶν θηρίων ᾐσχυνόμην τὴν περὶ τὰ τέκνα φιλοστοργίαν; τίς οὖν ἡ τοῦ πραχθέντος αἰτία; ἐμὲ γὰρ δεῖ τοῦτ' ἀποκρίνεσθαι; οἱ δικάζοντες δὲ,[46] οἱ περιεστηκότες· ἅπασα δὲ ἡ πόλις οὐκ ἂν εἴποι, παῖδες, γυναῖκες; ἀλλ' ἐμὲ δεῖ περὶ ὧν ἅπαντες ἴσασι λέγειν; δύναμις ἐπεληλύθει[47] πολλὴ καὶ μεγάλη· στράτευμα δεινὸν καὶ χαλεπόν· ἱππεῖς, ὁπλῖται, σφενδονῆται. αἱ κῶμαι διεφθείροντο· τὰ βοσκήματα ἡρπάζετο· τὰ δένδρα ἐτέμνετο. κύριος μὲν ἦν τῆς χώρας ὁ τύραννος· ἐβούλετο δὲ καὶ τῆς πόλεως. καὶ τὰ μηχανήματα ἑωρῶμεν· καὶ κραυγὴ πολλὴ, καὶ λοιδορία, στρατηγοῦ πρὸς ταξίαρχον· ταξιάρχου δὲ[48] πρὸς στρατιώτας· στρατιωτῶν πρὸς τοὺς ἄρχοντας. φόβοι δὲ πανταχοῦ προσέπιπτον, ὁμοίως ταράττοντος τοῖς λόγοις. ἡμέρα ἐν μὲν ἦν ταραχῇ· νύκτες δ' ἐν ἀγρυπνίᾳ· τροφὴ δὲ οὐκ εἰς κόρον. τὸ δὲ τῆς πολιορκίας πέρας, ἔτι μὲν ἀπῆν· ἑωρᾶτο δὲ τοῖς λογισμοῖς. εἰ μὲν οὖν οἷός τε ἦν, ἢ, ἀπὸ τῶν ἐπάλξεων βέλει τοῦ τυράννου τυχεῖν, ἢ λόγῳ πεῖσαι παρ' αὐτὸν ἐξελθὼν ἀπελθεῖν, ἢ δύναμιν ἐξαγαγὼν ἐκβάλλειν τὴν ἐπελθοῦσαν, ἠδίκουν οὐ παραταττόμενος. εἰ δὲ τούτων μὲν οὐδὲν ὑπῆρχε ποιεῖν, κίνδυνος δὲ ἦν ἁλῶναι τὸ ἄστυ· φάρμακον δὲ ἦν μόνον τοῦ κακοῦ, μηκέτ' εἶναί με πατέρα, τὴν μόνην ἴασιν τῶν δεινῶν, ἐχαρισάμην τῇ πόλει. εἰ καιρὸς ἦν γνώ-

μην

[45] τεθνεῶτι m. M.
[46] βαδίζοντες οἱ δὲ π. m. M.
[47] ἐπεληλύθει] sic W. ἐπεληλύθη M.
[48] probo quod W. δὲ omittit.

μην ἀπαιτῶν, ἠγόρευσα[49] ἄν· εἰ ταλάντων ἀριθμὸν, ἐπέδωκα ἄν· εἰ ἔξοδον, ἐξῆλθον ἄν· εἰ μάχην, ἐμαχόμην ἄν. νῦν οὖν, ἀπῄτει γὰρ ὁ καιρὸς τὸν υἱὸν, οὐδὲ τοῦτο ἔφυγον. δεῖ γὰρ ἀπεύχεσθαι[50] μὲν μὴ προσπεσεῖν τὰς τοιαύτας ἀνάγκας· ἐπειδὰν δὲ ἔλθωσι, μηδὲν ἀνώτερον[51] τῆς πόλεως νομίζειν. ἔλαβεν ἡ πόλις, ὃν ἔθρεψεν· ἔλαβεν ὃν ἐπαίδευσεν· ἔλαβεν ὃν ηὔξυσεν· καὶ οὐδὲν ἠδίκησε τοῖς αὐτῆς χρησαμένη. οὐ τοῦτ᾽ ἐν τοῖς ἱεροῖς τότε καὶ παρὰ[52] τοὺς βωμοὺς ἅπαντες ηὔχοντο; γέροντες, μητέρες,[53] θυγατέρες, καὶ πάντα ἱερέων γένη, παύσασθαι τοῦ θυμοῦ τὸν τύραννον, καὶ λῆξαι[54] τῆς πολιορκίας; καὶ τὴν δύναμιν ἀπαγαγεῖν; τί οὖν; εἴ τις ὑμῖν[55] τῶν πολιτῶν, ὧν ηὔχεσθε τυχεῖν, ἔδωκεν, οὗτος πεπονήρευται; οὐκ ἀκούετε τὸν Πύθιον[56] οὕτω πολλάκις βεβοηθηκέναι τῶν πόλεων, πατέρων χρησμοῖς ὑπηρετησάντων; καὶ οἱ μὲν παῖδες ἐτέθυντο, τὰ δὲ δεινὰ ἵστατο· οὕτω καὶ θεοῖς ἀρέσκει σῶμα ἓν ὑπὲρ πόλεως ἀπιέναι. ὑπὲρ μὲν οὖν τῶν ἀδήλων, ἐπ᾽ ἐκείνους δεῖ καταφεύγειν· δήλου δὲ ὄντος τοῦ λυσιτελήσοντος, αὐτοῖς ἐκ τῶν φαινομένων βοηθεῖν· οὐκ ἦν τόθ᾽ ἡμῖν περὶ γῆς ὅρων ὁ κίνδυνος, ὥστε μὴ πάντα ποιεῖν τὸν εὔνουν· ἀλλ᾽ ἡ πολιορκία τὸν ὄλεθρον ἠπείλει τῇ πόλει· τοῦτ᾽ οὖν ἐποίει τὴν πρᾶξιν ἀναγκαίαν. οὗτος μὲν οὖν ἐρωτᾷ με, εἰ μὴ δεινὸν τὸ τεθνάναι τὸν παῖδα; ἐγὼ δὲ αὐτὸν ἀντερήσομαι, εἰ μὴ δεινὸν κατασκαφῆναι τὴν πόλιν. ὅτι γὰρ ἑλὼν ὁ τύραν-

νος

49 ἠγόρασα M.

50 ἀπεύχεσθαι] sic W. ἐπεύχ. M.

51 ἀνωτέρω. m. M.

52 περὶ m. M.

53 post μητέρες videtur υἱοὶ deesse.

54 λῆξαι] sic W. λύσαι M.

55 ὑμῶν m. M.

56 ad Πύθιον addunt W. et m. M. hoc schol. λοιμοῦ ποτε καταλαβόντος τὰς Ἀθήνας, ἐχρησεν ὁ θεὸς, μὴ παύσεσθαι τὸ δεινὸν, πρὶν ἂν τῶν πολιτῶν τις τὰ ἑαυτοῦ τέκνα ἐπιδῷ πρὸς ἀναίρεσιν. Λέως τις ἔχων τρεῖς θυγατέρας, Φρασιθέαν, Θεοπόμπην καὶ Εὐβούλην, προθύμως ἐπιδέδωκεν· ὅθεν αὐταῖς τὸ ἱερὸν ᾠκοδομήθη, τὸ καλούμενον λεωκόριον. W. dat λέων et νεωκόρ.

νος τοῦτ' ἂν ἐποίησε περιαλγῶν. πᾶς τις ἂν ὁμολογήσειεν. ἀγανακτεῖς οὖν ὅτι μὴ τεῖχος μὲν τουτὶ κατηνέχθη, καὶ τῶν ἐνοικούντων, οἱ μὲν ἔθνησκον· οἱ δὲ, ἤγοντο; ἐκεῖνο μὲν, οἱ ἐν ἡλικίᾳ καὶ γέροντες· τοῦτο δὲ, γυναῖκές τε καὶ παῖδες; ἀγανακτεῖς ὅτι μὴ πῦρ ἀνάλωσε τὴν πόλιν; καὶ κρίνεις ἄνθρωπον, δι' ὃν ἔχεις τὰ ἴδια, τὰ δημόσια, τὰ ἱερὰ, τοὺς νόμους, τὰ ὅπλα, τὰ χρήματα, τὰς γυναῖκας, τὰ τέκνα, τοῦτ' αὐτὸ τὸ δύνασθαι γράφεσθαι, καὶ καθίζειν δικαστάς; ἐδέδοκτο γὰρ, φησὶ τῷ δήμῳ πολεμεῖν, καλῶς γε ποιοῦντι,[57] καὶ δόξης ἐπιθυμοῦντι, καὶ οὐκ ἀνεκτὸν ἡγουμένῳ, τυράννου χορηγεῖν ἡδοναῖς. ἀλλ' ὥσπερ ὑμῖν ὑπὲρ ἐμοῦ ταῦτα, οὕτως ὑπὲρ ὑμῶν ἐμοὶ ποιεῖν, ἃ πεποίηκα προσῆκε. δεῖ γὰρ τὸν δῆμον ἑκάστου τῶν πολιτῶν προβεβλῆσθαι·[58] τοῦ δήμου δὲ ἕκαστον τῶν πολιτῶν μᾶλλον, ἢ τῶν αὑτοῦ κήδεσθαι· ἐπολεμεῖσθε ἑκόντες ὑπὲρ τῆς ἐμῆς οἰκίας: ἀπὸ τῆς αὐτῆς τοίνυν οἰκίας, ἧκεν ὑμῖν ἡ τοῦ πολέμου λύσις. ἢ καθήμενον ἔδει με τρυφᾶν, καὶ πρὸς ἐμαυτὸν[59] λέγειν· ὡς εὐδαίμων γε ὁ παῖς· ὅλη πόλις κακοπαθεῖ καὶ τρίβεται, καὶ ἀπόλλυται· ἵνα μηδὲν τοῦτον μήτε μεῖζον, μήτε ἔλαττον ἀνιάσῃ. οὐ δῆτα· ἀλλ' εἶπον πρὸς ἐμαυτὸν ἃ χρῆν,[60] καὶ συνεβούλευσα, ὧν οὐχ εὕρισκον κάλλιω. καὶ γὰρ εἰ μηδεὶς ὑμῶν εἶπε πρὸς τὸν πλησίον, ὅτι[61] τοῦτον δὲ[62] οὕτω περιορᾶν τὴν πόλιν ἀναλουμένην· μηδὲ ἐμέμψατο τῷ τὸ περὶ τοῦ πολέμου ψήφισμα γεγραφότι· μηδ' αὐτὸς τῷ[63] ταῦτα δεξα-

57 πονοῦντι m. M.

58 βεβλῆσθαι W.

59 ἑαυτὸν W. et m. M.

60 χρὴ m. M.

61 ὅτι redundat, vt solet, vbi alterius oratio repraesentatur.

62 δὲ] sic recte W. Illum vero ita ferre aequo animo ciuitatem sui causa pereuntem vel attritam! scil. estne ferendum? per *illum* significat pater ipse semet. Etiamsi nemo diceret ad vicinum suum: Feremusne hunc hominem committere, vt sui causa tota ciuitas pereat? [illegible] M.

63 τῷ] malim αὐτῷ etiamsi tandem nemo esset, qui ipse sibi ideo succenseret, quod plebiscitum hoc suscepisset, h. e. assensu suo probasset et sibi passus esset imponi.

δεξαμένῳ. ἀλλ᾽ οὕτω γε[64] σιδηροῖ πάντες ἦσαν, ὡς μηδὲ σιγῇ τοῖς γιγνομένοις ἀλγεῖν· πολλὰ γὰρ ὧν οὐκ ἂν φθέγξοιτό τις[65] ἐννοηθείη ἄν. ἐμοὶ δὲ τοῦτο,[66] πάσης ἀπαιδίας, ὦ ἄνδρες, πικρότερον. εἰ δ᾽ οὐδὲν τῶν δεινῶν δεινὸν ἐδόκει· ἀλλ᾽ ἦν ὁμοίως ἅπασι γλυκὺς[67] ὁ πόλεμος, ἀνδράσι, γυναιξὶ, παισὶ, γέρουσιν, ἐλευθέροις, οἰκέταις· αὐτὸ τοῦτό μ᾽ ἐχρῆν αἰδεσθῆναι, τὸ διὰ τὴν πρὸς ἐμὲ σπουδὴν εἰρήνης ἥδιον[68] νομίζειν τὸν πόλεμον. ἠμειψάμην τοίνυν ἀντιδόσει πρεπούσῃ, τὴν προθυμίαν· ἢ καθήμενον ἀναμένειν με ἔδει τὸν ἐροῦντα πρὸς ἐμὲ, ἄνθρωπε, σὺ κύριος εἶ τὴν πόλιν εἶναι, ἢ μή· κάλλιον δὲ σῶσαι ταύτην ἢ διαφθεῖραι· οὐκ ἀναστὰς δράσεις τὶ νεανικὸν, καὶ δείξεις τῇ πόλει πάντα κεκτημένος;[69] δειχθήτω νεκρὸν τὸ μειράκιον τῷ τυράννῳ, καὶ σεσώσμεθα. ἀλλ᾽ οὐδ᾽ εἰ τὸ[70] τεῖχος κατεσείετο, ταύτας ἄν ποτε τὰς φωνὰς ἀφήκατε πρὸς ἐμέ; ἀλλ᾽ ἐγὼ ταύτας ἡγούμην ἀκούειν παρ᾽ αὐτῶν τῶν πραγμάτων· οὐ δὴ τὸν πόλεμον ὑμᾶς ᾑρῆσθαι, τὴν ἐμὴν ἐκώλυε φιλοτιμίαν· ἀλλ᾽ αὐτὸ τὸ πρὸς[71] τοσαύτην ἰσχὺν ἀντᾶραι φειδοῖ τοῦ παιδὸς, τὸν πατέρα τοῦ παιδὸς ἐπὶ τὴν πρᾶξιν παρεκάλει. ἀλλ᾽ ᾤχετ᾽ ἄν, φησὶν, ἀπειπὼν πρὸς τοὺς πόνους ὁ τύραννος, καὶ οὐκ ἦν δῆλον ὡς πάντως περιέσαι. λαβὼν μὲν, ὦ ἄνδρες, τὸ μειράκιον, ᾤχετ᾽ ἄν· μὴ λαβὼν δὲ, οὐκ ἄν. πολὺς γὰρ ἦν καὶ σφοδρὸς ὁ ἔρως, καίων καὶ ἐγκείμενος· καὶ μηδὲ ἀναπνεῦσαι διδούς. τί τούτου σημεῖον;

64 aut ἀλλ᾽ οὐχ οὕτω γε leg. est, quod M. subiicere videtur, aut ἀλλ᾽ οὐχ ὧδε γε eodem sensu. attamen non ita profecto ferrei, h. e. sensus omnis exsortes omnes futuri fuissent.

65 ἐφθέγξατό τις m. M.

66 τοῦτο] id est, τὸ ἐννοηθῆναί τινας κακοήθη τινὰ καὶ ἐχθρὰ κατ᾽ ἐμοῦ. ἃ οὐκ φθέγξαιτο.

67 γλυκύων m. M.

68 ἥδιον] subaudi τι. alias possit quoque ἡδέω legi.

69 demonstrabis, quaecunque tuae potestatis sint, ea te omnia eo habere atque tenere, quo ea reip. consecres, et tradas, si contigat, vt illa iis opus habeat.

70 ἀλλ᾽ οὐ δὴ τὸ W.

71 ἀλλὰ τὸ πρὸς W.

μεῖον; ἐξεῖπεν ἃ κρύπτειν ἔδει,[72] καὶ ταῦτα διὰ πρεσβείας, ὃ μηδεὶς ἤκουσε μηδαμοῦ· μειρακίου κάλλος ἐπ' ἐκκλησίας ᾐτεῖτο. ἆρ' οὖν οὐ λαβὼν ᾐσχύνθη καὶ κατέδυ· καὶ τῷ[73] μὴ τυχεῖν ἐγένετο βελτίων; ἥκιστά γε. ἀλλ' οὕτως ἔκφρων ἦν, καὶ μόνου τοῦ κτήσασθαι τὸν ἐρώμενον· ὥστε ἀναστὰς αὐτὸς ἧκεν ἄγων τὴν δύναμιν· οἰόμενος δεῖν καὶ σώματα, καὶ χρήματα ἀναλίσκειν· καὶ μηδὲν τῶν εἰς τοῦτο φερόντων παραλιπεῖν· πᾶσαν ταλαιπωρίαν ἀξίαν τοῦ ἄθλου νομίζων. οὕτω δὲ λίαν ἐπιθυμῶν, εἶχε καὶ παρασκευαῖς[74] θαῤῥεῖν· πολὺς μὲν αὐτῷ πλοῦτος ἐν βασιλείοις· καὶ οὗτος,[75] ἐγγύς.[76] πολλὰ δὲ ὅπλα, καὶ ῥώμη, καὶ τέχνη στρατιωτική· ἅμιλλα δὲ πρὸς αὐτοὺς τῶν ἀκολουθούντων,[77] ὅστις αὐτῷ τὸν ἐρώμενον θηράσας,[78] φέρων εἰς χεῖρας ἐνθείη· τῷ μὲν, ἐπέῤῥει πολλαχόθεν· καὶ ἅμα τοῖς ἡμετέροις ἐχρῆτο. καὶ τῶν ἀστυγειτόνων αὐτῷ πολλοὶ παρῆσαν οἱ συνεργοί· μισοῦντες μὲν, τῷ φόβῳ δὲ αὐτὸν θεραπεύοντες. ἡμῖν[79] δὲ καθ' ἑκάστην ἡμέραν, χείρω τὰ πάντα ἐγίνετο· τῆς μὲν χώρας ἐστερημένης· τῶν πυλῶν δὲ κεκλεισμένων· τοῦ σίτου δὲ οὐκ ἀναχομένου πολιορκίαν μακράν· οὐ γὰρ ἔφθημεν δόντες ἀποκρίσεις, καὶ κατακεκλείσμεθα. καὶ ὁ λιμὸς[80] πλησίον. τί οὖν ἂν ἐκεῖνον τοῦ τείχους ἀπέστησεν; ἔρως κατεῖχεν· ἡ δύναμις συμπαρεκάλει. παρ' αὐτοῦ τε τοῦ χρόνου, πολλαὶ δίδονται[81] πολλοῖς πολιορκηθεῖσαι πόλεις. ὅλως δὲ οἴεσθε βαρεῖαν ἐκείνῳ τὴν ὑπὲρ τῶν τοιούτων γενέσθαι προσεδρίαν; γένοιτο γὰρ ἄν τι πόνων ἐρῶντι κουφότερον, ἐν οἷς εἰσὶν ἐλπίδες κρατήσειν τῶν ἐρωμένων; ἀνιαρὸν μὲν οὖν αὐτοῖς, τὸ μὴ ὑπὲρ τῶν τοιούτων ταλαιπωρεῖν,

72 ἐδόκει W.
73 τῷ] sic W. τὸ M.
74 παρασκευῆς m. M.
75 οὗτος] malim οὕτως.
76 πολὺς m. M.
77 idem est ac si dixisset ἅμιλλα τῶν ἀκολούθων πρὸς ἑαυτούς. aemulatio, contentio famulorum inter sese.
78 θαῤῥήσας W. et m. M.
79 ἡμῖν] sic W. ὑμῖν M.
80 λοιμὸς m. M.
81 malim δέδονται.
82 γεγενῆσθαι m. M.

πωρεῖν. καὶ δύο ἀπαλλαγὰς τοῦ πάθους ἴσασιν οἱ μανικώτεροι μόνας, ἢ ἀπεθανεῖν. οἱ τύραννοι δὲ ὅσῳ μᾶλλον οἴονται προσήκειν αὐτοῖς πανταχοῦ κρατεῖν, μᾶλλον φιλονεικοῦσιν. οὐχ ἑωρᾶτε τὸν ἄνθρωπον ἄνωθεν οἷα ἔδρα περὶ τὸν νεκρὸν περιχυθείς; καταφιλῶν· ἀκριβῶς ἕκαστον τῶν μελῶν καταθεώμενος· αἱμάττων αὐτὸν ἡδέως, τοῖς τοῦ μειρακίου τραύμασιν; οὐ μικροῦ[83] τὸ σῶμα λαβὼν ἐκόμισεν οἴκαδε; τοῦτον οὖν ἔπεισεν ἄν τι[84] ζῶντος ἀπέχεσθαι τοῦ παιδὸς, ὃν μόλις ὁ θάνατος; οὐκοῦν πᾶσα ἦν ἀνάγκη τέλος τῆς πολιορκίας γενέσθαι τὴν ἅλωσιν· καὶ ἔχειν αὐτὸν, οὐχ ἓν ἔτι μειράκιον, ἀλλὰ πολλοὺς μὲν ἡλικιώτας τοὐμοῦ,[85] πολλοὺς δὲ νεωτέρους, πολλὰς δὲ γυναῖκας καὶ κόρας· ὧν τὰς μὲν, αὐτὸς ἂν ὕβριζε, τὰς δὲ, τοῖς δορυφόροις ἐδίδου. ἀλλὰ θῶμεν βούλεσθαι καθελόντα τὸ τεῖχος, καὶ ἑλόντα τὸ μειράκιον, μηδενὸς ἂν αὐτὸν ἐφάψασθαι τῶν ἄλλων· ἀλλ᾽ ἀπελθεῖν ἂν, ὥσπερ ἑκόντων δεδωκότων φίλον καὶ σύμμαχον· ἀνοικοδομήσαντα[86] τὸ πεπτωκὸς τοῦ τείχους, καὶ στεφανώσαντα[87] τὸν δῆμον. ἀλλ᾽ εἰ καὶ τῶν ἄλλων ἁπάντων ἔμελλε φείσεσθαι[88] καὶ τοῦτο ἦν τις ὁ πείθων θεὸς, ὅτι μετὰ τὴν ἅλωσιν ἀποχρήσει[89] τῷ νενικηκότι τὸν παῖδα μόνον ἔχειν· οὐδ᾽ οὕτως ἦν μοι καλὸν ὁρᾶν αὐτὸν ἐπὶ τοιούτοις ἀγόμενον· οὐδὲ αὐτῷ γε ἐκείνῳ ζῆν μᾶλλον ἐπὶ τοιούτοις, ἢ θνήσκειν. ἔστι γὰρ καὶ ζωὴ θανάτου πικροτέρα· καὶ θάνατος ζωῆς ἡδίων, ὅταν ἀπαλλαγὴν αἰσχύνης ὁ θάνατος φέρῃ.[90] πόσοι σφᾶς αὐτοὺς ἀπέκτειναν τυραννούμενοι, τοῦ μηκέτι ζῆν ἐν ἀνομίᾳ; πόσοι δ᾽ ἑαυτοὺς κατεκρήμνισαν, πολεμίων ἐπικειμένων, τοῦ μὴ ἁλόντας δουλεῦσαι; ὁ δὲ ἐμὸς, οὐ δουλεύσειν ἔμελλε· καί τοι

καὶ

83 μικρὸν W. et m. M.
84 ἴσ. τις ζ. m. M.
85 τοῦ μοῦ m. M.
86 ἀνοικοδομήσαντα] sic W. et m. M. ἀνοικοδομήσοντα t. M.
87 στεφανώσαντα] sic W. et m. M. στεφανώσοντα t. M.
88 φείσασθαι W. et m. M.
89 ἀποχρήσει] sic W. ἀποχρήσῃ M.
90 φέρεις m. M.

καὶ τοῦτο δεινόν. ἀλλ᾽ ἀναγκασθήσεσθαι μηκέτ᾽ ἄῤῥην εἶναι· τελεῖν[91] δὲ εἰς γυναικῶν ἀριθμόν· καὶ ἀκούσεσθαι παρὰ τῶν εὐνούχων, ὅτι χθὲς μὲν εἰσῆγον αὐτῷ παλλακὴν, τήμερον δὲ σὲ καλεῖ· σὺ δὲ ὅπως αὐτὸν ὡς μάλιστα ἥσεις,[92] μηδὲν ὧν ἂν αἰτῇ, διωθούμενος. ἐν τοιούτοις[93] δὲ νυκτερεύων, ἀπὸ τοιούτων δὲ ἐξιών· ἀντὶ δὲ παιδείας τῆς οἴκοι, μανθάνων ἃ τέρπειν τύραννον ἐπὶ τῆς εὐνῆς δύναται. καὶ τί ἂν ἔπραττε, τῆς ὥρας αὐτῷ παρελθούσης. αὐτοῦ διῆγεν ἂν ἀπεῤῥιμμένος; ἀλλὰ δεῦρο ἂν ἐπανήει;[94] καλήν γε παῤῥησίαν ἀπὸ καλῶν τῶν ἔργων φέρων. ἐμὲ δὲ τί χρῆν ποιεῖν, ἀκολουθεῖν αὐτῷ; καὶ τὸν Ὑμέναιον ᾄδειν; ἀλλ᾽ ἐνταῦθα μένοντα τοῖς παρ᾽ αὐτοῦ φιλοτιμεῖσθαι πράγμασιν; ὡς πρὸ τῆς γυναικὸς παρὰ τῷ τυράννῳ κέκριται; καὶ πάντα ὑπ᾽ αὐτοῦ νενίκηται πρόσωπα; καὶ παρὰ τίνος ἔγημεν[95] ἂν ὕστερον; πῶς δ᾽ ἂν καὶ παῖδας ἐνουθέτησε. τίνος δ᾽ ἂν ἐκοινώνησεν ἑορτῆς; ποίων δ᾽ ἐκκλησιῶν; ποίων ἀγώνων; ποίων θυσιῶν; οὐ γὰρ καὶ τὴν προσηγορίαν ἀπολέσας, ὠνομάζετ᾽ ἂν ἀπὸ τῆς ὕβρεως; λαμπρός γε ὁ βίος, μηδ᾽ οἰκέταις ἔχειν ἀντιβλέπειν τοῖς αὐτοῦ. τί οὖν ἔδει ζῶντα ἐπιθυμεῖν θανάτου, ἐξὸν θανάτῳ βίον τοιοῦτον διαφυγεῖν; νῦν δὲ ζῇ[96] καὶ τελευτήσας· ᾄδεται γάρ. τότε δ᾽ ἂν ἐτεθνήκει ζῶν· ἄφωνος ὢν ὑφ᾽ ὧν ἐπεπόνθει. ἐξήρπασα τὸν παῖδα τῷ ξίφει τυραννικῆς ὕβρεως, ἐπεὶ μὴ ἄλλως ἐξῆν. καὶ γὰρ εἰ λῃσταὶ διώκοντες ἐμέ τε κἀκεῖνον, ἔμελλον ἐκεῖνον τοιαῦτα λαμβάνοντες ὑβρίσειν, ἐπὶ τὴν αὐτὴν ἂν ἦλθον καὶ τότε πρὶν ἁλῶναι βοήθειαν. τοιαῦτα γὰρ δεδιδάγμεθα παρὰ τῶν νόμων, καὶ τῆς δημοκρατίας. οὕτως, εἰ καὶ μηδὲν τῷ κοινῷ κέρδος ἔφερεν

φόνος,

[91] τελῶν m. M.

[92] ἥσεις] sic W. *laetifices, exhilares.* a verbo ἥδειν, quod in actiuo rarissime inuenitur vsurpatum. οἴσεις M.

[93] ἐν τούτοις W.

[94] ἐπανήρχετο in margg. W. et M.

[95] ἄγοιμεν W.

[96] νῦν μὲν ζῇ W. et m. M.

φόνος,[97] ὑπὲρ αὐτοῦ γε τοῦ περὶ τῶν ἐσχάτων κινδυνεύοντος, ἀναγκαίως ἐπράττετο· εἰ γὰρ ἀποθανεῖν ἐχρῆν ὑπὲρ σωφροσύνης, καὶ τοῦ μὴ ταύτης ἐκπεσεῖν, οὐκ ἂν ἐλαττόνων ἐωνεῖτο τὰ μείζω; ἀλλὰ πρὸς μὲν ταῦτα οὐδὲν ἔχουσι λέγειν. τὸ δὲ μὴ μετὰ τοῦ δήμου γεγονέναι τὸ ἔργον, αἰτιῶνται. καὶ τί, φησὶν, ἐκώλυεν εἰπόντα ὃ ποιήσεις πρὸς αὐτὸν, καὶ πείσαντα, οὕτως ἐπὶ τὸ ἔργον ἐλθεῖν. ὅτι πρῶτον μὲν οὐχ ὁρῶντος ἦν, ὦ ἄνδρες, τὸν κατειληφότα καιρόν. οἷον γὰρ ἦν μεταφέρειν ὑμᾶς ἀπὸ τῶν πύργων ἐπὶ τὴν ἐκκλησίαν, καὶ κελεύειν καταθεμένους τὰ ὅπλα λόγων ἀκούειν καθημένους· καὶ τοῖς μὲν πολεμίοις ἀφεῖναι κατασείειν τὸ τεῖχος· εἰς δὲ τὴν ὑπὲρ ἑνὸς σώματος βουλὴν ἄγειν· ἐν ᾗ μακροὺς ἀνάγκη γενέσθαι τοὺς λόγους· πολλοὶ γὰρ ἂν παρῆλθον ἐναντιωσόμενοι·[98] οἱ μὲν, ἐμοὶ φθονοῦντες· οἱ δὲ, τῷ μειρακίῳ· τοὺς δ' ἂν τὸ τῷ τυράννῳ βούλεσθαι χαρίζεσθαι μαχομένους ἀνίστη. πᾶσι δ' ἂν ἦν εὐπρόσωπος ὁ λόγος, ὡς οὐκ ἔννομα ταῦτα· οὐδὲ εἰωθότα. εἰ γὰρ νῦν οὐδὲ ἐπὶ πεπραγμένοις δύνανται κατέχειν αὐτοὺς, ἀλλὰ πείθουσι τοὺς σεσωσμένους ἀγανακτεῖν, καὶ τὸ μηκέτι πολιορκεῖσθαι νομίζειν βλάβην· τίνες ἂν ἦσαν διδόντες περὶ τοῦ πράγματος γνώμην, καὶ ὧν ὁ τύραννος ἐπεθύμει, μήπω διεφθαρμένων. ἀλλ', εἰ δοκεῖ, δῶμεν ἐκκλησιῶν τε εἶναι τὸν τότε καιρὸν, καὶ λόγων, οὐχ ὅπλων· καὶ μήτε τὴν πολιορκίαν ἐμποδὼν εἶναι τούτοις, μήτ' ἂν οἷς ἔλεγον ἀντειπεῖν μηδένα μήτε τῶν ἄλλων, μηθ' ὅσοι νῦν κατηγοροῦσιν. ἀλλὰ καὶ οὕτως, ὦ ἄνδρες, κάλλιον ἦν[99] ταῦτα περὶ τῶν ἐμῶν ἐψηφίσθαι. ἐκεῖνο[100] μὲν γὰρ ἐδίδου τοῖς διαβάλλειν ὑμᾶς βουλομένοις λαβήν· ὅτι μὲν ὁ πατὴρ παρῆλθεν[1] ἀφοσιούμενος[2] καὶ τρόπον τινὰ τιθεὶς

97 ὁ φόνοι W.
98 αἰτιασόμενοι m. M.
99 post ἦν videtur ἐμὲ deesse.
100 ἐκεῖνο] si vos sententiam vestram rogassem.
1 ἀπῆλθεν m. M.
2 ad ἀφοσιούμ. addit W. hoc schol. τὸ εἰκὸς πληρῶν.

θεὶς ὑπὲρ τοῦ παιδὸς ἱκετηρίαν, ὅπως μηδεὶς χαλεπήνοι[3] πρὸς τοῦτον, δι' ὃν πολιορκεῖται τὸ ἄστυ. ὁ δῆμος δὲ ἀπεχρήσατο τοῖς ῥήμασιν εἰς φόνον. καὶ ὁ μὲν, εἶπεν, ἀποκτείνατε, ὅπως ἀκούσειε βοώντων, ὅτι σώσομεν.[4] οἱ δ' οὐκ ἐθελήσαντες εἰς τὴν διάνοιαν βλέψαι τοῦ λέγοντος, ἀπὸ ψιλῶν τῶν συλλαβῶν τὸν νέον ἀπώλεσαν. ταύτας ἀνεῖλον, ὦ ἄνδρες, τὰς βλασφημίας, οὐδὲ εἴασα κεῖσθαι ψήφισμα, δόξαν οὐ καλὴν οἶσον ὑμῖν, ὅλον δὲ τοῦ πατρὸς ἐποίησα τὸ ἔργον, περὶ οὗ λέγειν μόνου ἀναίσχυντον, ὡς μισῶν ἀπέκτεινα. τῷ δὲ δι' ἐκεῖνον πολιορκουμένῳ δήμῳ, τάχ' ἂν τις τοῦτο περιῆψε, τί οὖν ἔδει με τὸν δῆμον τὸ μὲν ὠφελεῖν, τὸ δὲ βλάπτειν, καὶ κακὸν ἀγαθῷ μιγνύειν, ἐξὸν ἀμιγῆ τοῦ χείρονος αὐτῷ παραχεῖν τὴν εὐεργεσίαν; πότερον δ' ἂν καὶ ἔδρασεν ὁ δῆμος; ἐπέτρεψεν ἂν κτεῖναι; τί οὖν ἠδίκηται πεπραγμένων, ἅπερ ἐπῄνεσεν ἄν; ἀλλ' εἶργεν ἄν, εὖ φρονεῖν τοὺς ἀντιλέγοντας νομίζων; καλῶς οὖν ἐποίησα μὴ παραδοὺς αὐτῷ τῆς καθ' αὐτοῦ ζημίας ἀφορμήν. ἀλλὰ γὰρ δεινοί τινές εἰσιν, ὦ ἄνδρες· καὶ τοὺς τὰ τιμιώτατα ὑπὲρ τῆς πόλεως προϊεμένους, ὥσπερ τοὺς προδότας, ἐλαύνειν. πρὸς οὓς ὀλίγα διαλεχθεὶς, καταβήσομαι. τί δεδοίκατε, ὦ βέλτιστοι, μὴ παρελθὼν ἐγὼ, καὶ παραθεὶς τὴν ἐπίδοσιν τὴν ἐμαυτοῦ ταῖς εὐδοκιμούσαις,[5] παρ' ὑμῖν· καὶ τὴν νῦν ἄδειαν τοῖς ἐκ τῆς πολιορκίας φόβοις. σίτησιν, ἢ χαλκῆν εἰκόνα, ἢ στέφανον παρὰ τῶν πολιτῶν αἰτήσω; ἀλλὰ μάταιος ὑμῖν οὗτος ὁ φόβος. οὐ γὰρ οὕτως ἀναίσθητος ἐγὼ τῆς ἐμαυτοῦ τύχης, ὥστ' ἐπὶ τοῦ βήματος ἔτι φαίνεσθαι τὸν τάφον ἀφεὶς· καὶ μεμνῆσθαι δωρεῶν, ὧν τὸ ζῆν ἀνιαρόν.[6] ἀλλὰ μὴ σιγῶντες ἐμοῦ, παρὰ τῶν ταμὰ θαυμαζόντων γένηται; καὶ γράψει[7] τὶς παρελθὼν ὑπὲρ ἐμοῦ ταῦτα; ἃ οὐκ ἄν ποτε αὐτὸς

ὑπὲρ

[3] leg. est aut χαλεπαίνοι, aut χαλεπήναι, aut χαλεπήνῃ.
[4] σώσωμεν W. et m. M.

[5] εὐδοκιμούσαις· π. ὑ. τ. νῦν m. M.
[6] ἀνιαρὸν] sic W. ἀνιαρὸν M.
[7] malim γ. άψῃ in coni. ob praemissum γένηται.

ὑπὲρ ἐμαυτοῦ; ἀλλὰ θαῤῥεῖτε, ὦ βέλτιστοι, θαῤῥεῖτε. καὶ γὰρ ἂν ἅπαντα ὁ δῆμος ὁμοῦ διδῷ, τὸν ληψόμενον οὐχ εὑρήσει. μὴ γὰρ φανείη τὶ τερπνὸν ἐμοὶ[8] μηδὲν ἔτι πλὴν θανάτου. οὐ δεδοίκατε, πρὸς τῶν θεῶν, μὴ τῷ τὰ τοιαῦτα ποιεῖν, δόξητε πρὸς τὸν τύραννον ἀποβλέπειν, καὶ τἀκείνου θεραπεύειν· καὶ τῆς δυστυχοῦς ὥρας τοῦ μειρακίου αὐτοὶ μηνυταὶ γεγενῆσθαι. καὶ νῦν ἐκεῖνον παραμυθεῖσθαι τῷ[9] πράγματα ἐμοὶ παρέχειν; τί βούλεσθε πλέον ὑμῖν γεγενῆσθαι;[10] ἀπολώλεκα τὸν υἱὸν ἐκεῖνον τὸν καλὸν, ἀπολώλεκα. οὐκ ἔτ' αὐτὸν εἰς διδασκαλεῖον ὄψεται βαδίζοντα οὐδείς· οὐκέτ' ἐκεῖθεν ἀναστρέφοντα· οὐκέτ' ἐν παλαίστραις· οὐκέτ' ἐν γυμνασίοις. ὁ εὔπαις ἐκεῖνος. ὁ μακάριος ἐγὼ, κεῖμαι. πέπτωκα. τὸν τάφον τοῦ παιδὸς ἀντὶ τοῦ παιδὸς ἔχω. ἀλλ' οὐκ ἀρκεῖ ταῦτ' οὔθ' ὑμῖν, οὔτε τῷ τυράννῳ. δεῖ δέ με πάντως ἀποθανεῖν; καλῶς. τί οὖν δεῖ κατηγορίας; τί δὲ ψήφου, τί δὲ συκοφαντίας; γράψατε παρελθόντες ἐκδοῦναί με τῷ τῶν καλῶν[11] ἐραστῇ· οὐδὲν ἀντερῶ· οὐδὲ φθέγξομαι, οὐδ' ἐχθροὺς ὑμᾶς, ἀλλ' ἐπιτηδείους ἡγήσομαι, διδόντας με ἀνθρώπῳ, παρ' ᾧ τάχιστα ἀποθανεῖν ἀνάγκη. ὡς πονηρὸν δὲ καὶ ὠμὸν καὶ ἄδικον εἰς τὸν ἐμαυτοῦ παῖδα γεγενημένον, μή με ἀποκτείνητε, ὦ ἄνδρες, μηδὲ ποιήσητε χείρους ἐμοῦ τοὺς ἄλλους πατέρας· εἴ ποτε, ὃ μὴ γένοιτο, καιρὸς ἔλθοι τὴν ἴσην ἀπαιτῶν μεγαλοψυχίαν. ταυτὶ δὲ ἀπεύχεσθαι μὲν χρή· προσδοκᾶν δὲ τοὺς εὖ φρονοῦντας. ἐπεὶ κἀν τοῖς οὖσιν ὑμῖν παιδίοις, ὁρῶ τινὰς ἐπαγγελλομένους κάλλος, οἷον πάλιν κινῆσαι τὸν τύραννον. ἂν οὖν ὁ μὲν, καὶ ἐρᾷ[12] καὶ πρεσβεύηται τὰ τοιαῦτα, αἰτῶν, καὶ ἀπειλῶν· ὑμεῖς δὲ αἱρήσησθε[13] πολιορκεῖσθαι, καὶ πολεμεῖν· πῶς οὐ δεῖ τοὺς ὁμοίους[14] ἐμοὶ τὰ δεινὰ λύσοντας ἔχειν;

[8] ἐστὶ m. M.

[9] τῷ] sic W. illum (tyrannum) solari studio vestro molestias mihi creandi. τὸ M.

[10] γενέσθαι m. M.

[11] τῷ καλῷ m. M.

[12] ὁρμᾷ — αἰτῶν m. M.

[13] αἱρήσεσθε W.

[14] malim ὁμοίως in aduerbio. idem est ac si dixisset

ἔχειν. τούτου[15] δ' ἂν ἐπιτυγχάνητε, ἐὰν τὸν πρῶτον πεποιηκότα μηδὲν ἠδικηκέναι ψηφίσησθε. καὶ πρὸς θεῶν, ὦ πατέρες παίδων ὡραίων, ἢν αὖθις ἀπὸ μιᾶς αἰτίας[16] ἐπέλθῃ πόλεμος· καὶ ὁ λόγος ᾖ περὶ τῶν ὅλων τῇ πόλει· μηδὲν ὑμῖν φαινέσθω κακὸν, ὃ δύναιτ' ἂν τοῦτο παῦσαι τὸ κακόν. ἀλλ' ἀκολουθήσατε γενναίως τῷ παραδείγματι, κόσμον καὶ ὑμῶν αὐτῶν, καὶ τῶν ἀπόντων παίδων, τὴν τοιαύτην ἡγούμενοι τελευτήν. καὶ μὴ τοὺς συκοφαντοῦντας δείσητε μᾶλλον· ἢ ἃ παθεῖν ἀνάγκη τήν τε πόλιν, καὶ τοὺς αἰτηθέντας ὑπὸ τῶν νενικηκότων. κακῶς τις ὑμᾶς[17] ἐρεῖ τῶν πολιτῶν; ἀλλ' ἡ πόλις ἅπασα θαυμάσεται· μᾶλλον δὲ ἅπασα δημοκρατουμένη πόλις. οὐκ ἐψεῦσθε τοὺς υἱεῖς· ἀλλὰ τοῖς περὶ αὐτῶν συνέσεσθε λόγοις, οἵων καὶ αὐτὸς ἀκούω νῦν ὑπὸ τῶν χρηστῶν καὶ δικαίων βουλομένων εἶναι πολιτῶν. τί οὖν, ὦ κακῶς ἐρῶν τύραννε; ὦ τῆς φύσεως ἀλιτήριε,[18] παῦσαι τοιαῦτα κωμάζων. δεῖσον θεούς· φοβήθητι ψόγον· οὐ καταγελάσεις τῆς τοῦ διὰ σὲ μειρακίου πεσόντος ψυχῆς· ἢ νῦν ὡς εἰκὸς μετὰ τῶν τὰς αὐτῶν πατρίδας ῥυσαμένων,[17] ταῖς αὐτῶν σφαγαῖς, συνδιαιτᾶται. ὦ παῖ, τὴν μὲν ἐπιμέλειαν οἶσθα τὴν ἐμὴν, μεθ' ἧς ἐτράφης· μεθ' ἧς ἐπαιδεύθης· καὶ ὡς ὁπότε ἀῤῥωστοίης, ἐδεόμην τῶν θεῶν ἐπ' ἐμὲ μετενεγκεῖν τὴν νόσον. πολέμου δὲ ἐκ τῆς σῆς ἰδέας περιστάντος τὴν πόλιν, καὶ τοῦ καιροῦ σοι ζῆν οὐκ ἐπιτρέποντος, οἴχῃ μὲν οὐκ ἀδόξως δέ. ἀλλ' ἐμὲ μὲν ἐν θρήνοις καταλέλοιπας· σαυτοῦ δὲ τοὔνομα ἐν ᾠδαῖς· οὕτω μὲν

πῶς οὐ συμβήσεται ὑμῖν ἀνάγκη τοῦ ἔχειν τοὺς τὰ δεινὰ λύσοντας ὁμοίως ἐμοί, qui facere poteritis, quo minus opus habeatis iis, qui discrimina vestra modis discutiant similibus, atque ego discussi.

[15] τούτου] id est τοῦ ἔχειν τοὺς λύσοντας.

[16] ἀπὸ μιᾶς αἰτίας] sic et W. a quacunque tandem causa. Sed an Græci sic loquuntur? num potius leg. ἀφ' ὁμοίας αἰτ.

[17] ὑμᾶς] sic W. ἡμᾶς M.

[18] schol. in marg. W. ἀλιτήριος ὁ κακὸς καὶ ἀλλότριος (sic).

[19] ῥυσαμένων] sic W. ῥυσομένων M.

μὲν ἀνδρείως ὑπακούσας τοῖς ἀναγκαίοις· οὕτω δὲ αὐτὸς ὀκνοῦντα τὸν πατέρα ἐγείρας. ὡς γὰρ ἤσθετο, ὦ ἄνδρες, τὰ πράγματα ἡμᾶς ἐπὶ τοῦτον ἄγοντα· ἐρῶ γάρ, κἂν ἀπιστῶσί τινες, ὡς εἶδεν ἐφεστηκότα με, καὶ ὠχριῶντα, καὶ δακρύοντα. καὶ τρέμοντα τὴν χεῖρα,[20] τὸ θαυμάσιον ἐκεῖνο, καὶ πάσης τιμῆς ἄξιον ἐφθέγξατο· μὴ μέλλε πάτερ· λύε ταχέως τὴν πολιορκίαν· ἐγὼ δὲ ἕξω τὸ καλὸν τὴν σωφροσύνην ἐντάφιον. τοιοῦτοι περὶ ὑμᾶς, ὦ ἄνδρες, γεγενήμεθα. καὶ τοιαύτη μὲν ἡμῖν ἡ τύχη· τοιαύτη δὲ ἡ γνώμη. εἰ δ' ὑμῖν οὕτως ἀπολελογημένος, ἄξιος εἶναι θανάτου δοκῶ,[21] καταγνῶτε. ἐγὼ δὲ οὐδ' οὕτως ἐμαυτὸν καταμέμψομαι.

20 τὴν χεῖρα τρέμουσαν m. M.
21 νομίζομαι m. M.

ΑΛΛΗ ΜΕΛΕΤΗ.

ΠΡΟΘΕΩΡΙΑ.

Νόμος τὸν ἐπὶ τῆς ἐκκλησίας ὀφθέντα ξένον, ἀποθνήσκειν ὑπὸ τοῦ στρατηγοῦ. ξένος ὀφθεὶς ἐπαγόμενος,[1] ἔφη τί μηνύσειν ἀπόρρητον· ἀπέκτεινεν αὐτὸν ὁ στρατηγός. μεταταῦτα ἡ πόλις ἐτυραννήθη. καταλυθέντος τοῦ τυράννου, κρίνεται συνειδότος.[2]

1 leg. ἀπαγόμενος.
2 leg. videtur ὡς συνειδώς.

ΣΤΡΑΤΗΓΟΥ ΑΠΟΛΟΓΙΑ.

Τὰ μὲν ἀπὸ τῆς τυραννίδος, ὦ ἄνδρες, κακὰ, καὶ τὸ πάντων τῶν ἐν ἀνθρώποις δεινῶν ταύτην εἶναι χαλεπωτάτην, ἱκανῶς ὁ κατήγορος ἐνδεδεῖχθαί μοι δοκεῖ, καὶ τὸν λόγον ἐξισωκέναι ταῖς συμφοραῖς. τὸ δ' ὡς ἐγώ τι τούτων ἐφ' ὑμῖν συμπαρεσκεύασα, καὶ ἦν μοι βουλομένῳ δεσπότην ἐπιστῆναι τῇ πόλει, τοῦτο δὲ, οὐδενὶ λόγῳ μὰ τοὺς θεοὺς ἐφαίνετό μοι δεικνύειν ἔχειν.[3] ὑμεῖς δ' εἰ μὲν τὴν φύσιν τοῦ πράγματος ἔγκλημα ἐμοὶ ποιεῖσθε[4] καὶ ὧν ὑπὸ τοῦ τυράννου πεπόνθατε, παρὰ τῶν οὐδὲν ὑμᾶς ἠδικηκότων οἴεσθε δεῖν δίκην λαβεῖν· χρήσασθε ὅ, τι βούλεσθε. εἰ δὲ χωρίς ἐστιν ἅτε ὑπ' ἐκείνου πεπόνθατε. καὶ τὸ πονηρὸν ἐμὲ περὶ τὴν πόλιν γεγονέναι, μή με περιίδητε τοῖς κατὰ τῆς τυραννίδος ἀπολλύμενον λόγοις· μηδὲ τὴν ἀπ' ἐκείνης ὀργὴν εἰς ἕνα τῶν ὑφ' ὑμῶν πεπιστευμένων ἐφῆτε. ἔοικα δὲ πάντων τῶν ἐν τῇ πόλει δυστυχέστατος εἶναί τις, εἰ τῶν μὲν ἄλλων ἕκαστος εὐθυμεῖ τε, καὶ στεφανηφορεῖ, καὶ τῆς τῶν πραγμάτων μεταστάσεως ἀπολαύει· μόνος δ' ἐγὼ, καὶ τῶν τῆς τυραννίδος ἐπειρώμην δυσχερῶν, καὶ τῶν τῆς ἐλευθερίας καλῶν ἀπεστέρημαι. καί μοι δοκοῦσιν οἱ πάνυ φάσκοντες τήν τε δημοκρατίαν ἀγαπᾷν, καὶ τυραννίδι πολεμεῖν, τὰ μὲν τῆς τυραννίδος ἐπιτείνειν χαλεπὰ, τοῖς δ' ἀπὸ τῆς ἐλευθερίας ἐναντιοῦσθαι καλοῖς. τὸ γὰρ ἐπηρεάζειν καὶ ψευδέσιν αἰτίαις ὃν τύχοι τῶν πολιτῶν ἀποκτεῖναι ζητεῖν ψήφῳ δικαστῶν ἠπατημένων, τοσούτῳ δεινότερον τοῦ παθεῖν τοιοῦτον ἐξ ἐπιτάγματος, ὅσῳ τὸ μὲν τῷ καιρῷ συμβαίνει, καὶ τὸ τῶν ἀδίκων ὑπομεῖναί τι τὸν δουλεύοντα, σύνηθες· ἐν δὲ νόμοις δοκοῦσι ἰσχύειν, καὶ δημοκρατίας σχήματι, τὸ παρὰ τοὺς νόμους ἀποθανεῖν, τῷ

τε

[3] malim ἔχων.
[4] ποιεῖσθε] sic W. ποιεῖσθαι M.

τε ἀποθνήσκοντι, μεῖζον εἰς συμφορὰν, καὶ τοῖς ψηφιζομένοις αἰσχύνη· εἰ τὰ τῆς τυραννίδος ἐπὶ τῆς ἐλευθερίας, οἱ μὲν πάσχοιεν, οἱ δὲ μιμοῖντο. ὥστ᾽ εἴπερ ὑμῖν μέλει τοῦ καθαρῶς ἐπανήκειν τὴν πολιτείαν, καὶ τὸν τοῦ φεύγοντος λόγον μετ᾽ εὐνοίας ἀκούσατε. οἶμαι δ᾽ οὐχ ἁμαρτεῖν εἰπὼν, ὡς ἐγὼ μὲν κινδυνεύω περὶ τοῦ σώματος· κοινῇ δὲ ἡ πόλις περὶ τῆς δόξης, καὶ τοῦ πότερον αὐτὴν δεῖ δοκεῖν εὖ φρονεῖν, ἢ νοῦν οὐκ ἔχειν; ἐπειδὴ γὰρ οὐχ ὥσπερ τὸ λέγειν, οὕτω καὶ τὸ στρατηγεῖν ἐπὶ τοῖς βουλομένοις ἐστίν· ἀλλ᾽ ὃν ἂν ὑμεῖς ἕλοισθε κρίναντες ἐπιτήδειον εἶναι τὰ μέγιστα τῶν ὑμετέρων διοικεῖν, οὗτος[5] ἀποδέδεικται τῶν δυνάμεων κύριος. εἰ μὲν ἐμοῦ τὰ δίκαια παρεχομένου, μὴ τὰ παρ᾽ ὑμῶν ἐναντιωθείη, τῷ κρινομένῳ μὲν ἡ σωτηρία· τῇ πόλει δὲ εὐδοκιμεῖν ἀπὸ τοῦ χρηστοῖς αὐτὴν ἐπιτρέπειν συμβήσεται. εἰ δ᾽ ὑμεῖς τὰς τῶν συκοφαντούντων βλασφημίας, τῆς ὀρθῆς ἀπολογίας προθήσετε, τεθνήξομαι μὲν ἐγὼ, δόξετε δὲ ὑμεῖς ἐπ᾽ ἀνοίᾳ πάντας ἀνθρώπους νικᾶν, εἰ οὓς, ὡς πονηροτάτους ἀποκτείνειν ἐμέλλετε, τούτους ἐπὶ τὸ στρατηγεῖν ἤγετε. ἀναμνῆσαι δ᾽ ὑμᾶς, ὦ ἄνδρες, βούλομαι, τῆς ἡμέρας ἐκείνης, ἐν ᾗ ποιούμενοι τὰς ἀρχαιρεσίας ὑμεῖς, πολλοὺς ὑπερβάντες, ἐμὲ τῶν δυνάμεων ἡγεῖσθαι κατεστήσατε. συνείλεκτο μὲν γὰρ ὁ δῆμος· ἡ βουλὴ δὲ ἦν περὶ στρατηγῶν αἱρέσεως. θόρυβος δ᾽ οὐ μικρός· καὶ λόγων πλῆθος, καὶ φωναὶ τοιαῦται ῥητόρων, ἐν τοῖς ὅπλοις ἐστὶν ἡ σωτηρία· τῶν δὲ ὅπλων αὐτῶν ἐν ᾧ στρατηγῷ τὸ πλεῖστον. καὶ προσήκει τοῦτον, οὐ τῶν τυχόντων, τῶν δ᾽ ἐξητασμένων εἶναί τινα." ὁ δεῖνα μὲν, τὸν δεῖνα ἐπῄνεσεν· ὑμεῖς δ᾽ οὐ προσείχετε· ἕτερος ἕτερον ἐθαύμασεν· ὑμεῖς δ᾽ οὐκ ἠνέχεσθε. καὶ περὶ τρίτον, οἶμαι, καὶ τέταρτον ταυτὸ ἦν, οἱ ἐπαινοῦντες, οἱ μὴ πειθόμενοι. τῶν μὲν γὰρ, τοὺς προγόνους ᾐτιᾶσθε· τοὺς δὲ οὐ καλῶς τεθράφθαι· τοὺς δὲ, ἀπείρως ἀγώνων ἔχειν· τοὺς δὲ, βραδεῖς εὑρεῖν τὸ δέον· τοὺς δὲ οὐκ ἀρκεῖν ἐπιτελέσαι τὸ δόξαν.

ἐπεὶ

5 οὗτος] sic W. οὕτως M.

ἐπεὶ δ' ἐμοῦ τις ἐμνήσθη, πάντες οὖν, ὦ ἄνδρες, (καὶ γὰρ εἰ φορτικώτερον εἰπεῖν, οὐ σιωπήσομαι) ἅπας οὖν ὁ δῆμος ἀνεθορύβησε· καὶ ὡς ἂν ἀκούσας ὃν ἐζήτει πάλαι, διετέθη[6] καὶ σὺν ἡδονῇ καὶ χρησταῖς ἐλπίσιν ᾑρεῖτο. παραλαβὼν δ' οὖν ἐγὼ τὰ πράγματα, καὶ πειρώμενος μὴ ψεῦσαι προσδοκίας τοὺς ἑλομένους, οὐχ ὅπως ἂν εὐπαθήσαιμι τῇ δυνάμει, καὶ μείζω ποιήσαιμι τὴν οὐσίαν ἐσκόπουν, ἀλλ' ὅπως ἂν γένοιτο τὰ κοινὰ βελτίω· καὶ μηδὲ ἓν παροφθείη· τοῦτο φροντίζων διετέλουν. ἴσασιν οἱ στρατιῶται τοὺς ἐμοὺς πόνους· τὰς ἐμὰς ἀγρυπνίας· ἐν ὅσαις μὲν αὐτοὺς ἤσκουν μελέταις· ὅπως δ' ἐτίμων τοὺς ἀγαθούς· ὅπως δὲ ἐπηνώρθουν τοὺς μὴ οὐ τοιούτους· καιροὺς παρατάξεων ζητῶν· χωρίων καταλήψεις· φυλακὴν τοῦ μὴ παθεῖν· ἐπίνοιαν[7] τοῦ δρᾶσαι, ἐνέδρας. βουλεύματα, παρακλήσεις, μάχας· τὰς εἰς τὸ νικᾶν ἀφορμάς. νομίζων δὲ δεῖν τὸν ἄριστον στρατηγὸν, μὴ τοῦ μὲν ἔξω κρατεῖν ἔχειν πρόνοιαν, τῶν δὲ εἴσω τείχους ἠμεληκέναι· τοὺς νόμους οὐδὲ πρότερον ἀγνοῶν, εἶτ' ἄμεινον ἔσπευδον εἰδέναι. καὶ τούτων[8] πλέον, ὅσοι διὰ τῶν στρατηγούντων ἐθέλουσι βεβαιοῦσθαι. ᾔδειν γὰρ ὡς ἡ πόλις,[9] τῶν μὲν πολεμίων κρείττων ἐστί. δι' ὧν δὲ οἰκεῖται νόμων, τούτων οὐκ ἀγανακτεῖ κινουμένων· διὸ δεῖ νικᾶν τοὺς πολεμίους οὐκ ἐν τῷ ἀπελαύνειν·[10] τῷ δὲ τοὺς νόμους ἰσχύειν. πάντας μὲν οὖν ἔγωγε συμφέροντάς τε ἑώρων, καὶ φυλάττειν ἀξίους. μάλιστα δὲ τὸν, ὡς οὐ χρὴ ξένον τῶν ἡμετέρων ἐκκλησιῶν μετέχειν, ἀγορεύοντα. διὰ τί; ὅτι, ὦ ἄνδρες, μεγάλη ῥοπὴ τὸ τὰ βεβουλευμένα λανθάνειν. καὶ τὸ αὐτὸ ψήφισμα κρυβὲν μὲν, κέρδος τοῖς ἐψηφισμένοις· πρὸ δὲ τῶν ἔργων κηρυχθὲν, μάταιον·[11] τὰ δὲ, καὶ

[6] διετέθη] sic W. διετέθει M.

[7] malim ἐπινοίας.

[8] τούτων] sic W. idem est acsi dixisset. καὶ ἐκ τούτων ἐκείνους μάλιστα, ὅσοι. M. dat τούτους.

[9] ἡ πόλις] sic W. ἡ deest M.

[10] fort. οὐκ ἐν τῷ τοὺς πολεμίους ἀπελαύνειν.

[11] μάταιον] id est τὰ μὲν μάταιον partim vanum et infructuosum esse solet, partim etiam noxium adeo.

καὶ αὐτοὺς τοὺς βεβουλευμένους ἔβλαψεν. εἰδὼς οὖν ὅτι τούτου μὲν τοῦ νόμου κρατοῦντος, ἔνι τι καὶ τῶν ὅπλων ὄφελος· ἀνῃρημένου δὲ, πρᾶγμα ἀνόνητον αἱ μάχαι, παρετήρουν ἐν ταῖς ἐκκλησίαις, ὅπως αὐτῶν ἢ τῶν πολιτῶν, οἷς ἀναγκαία ἡ πρὸς τὴν ἐνεγκοῦσαν εὔνοια, καθαρὸς ὁ σύλλογος· καὶ μηδεὶς τῶν ῥαδίως ἂν ἐξαγγειλάντων τοῖς ἐναντίοις τὰ τῇδε νικῶντα, περιῄει.[12] καὶ αὐτός τε πανταχοῦ τοὺς ὀφθαλμοὺς περιῆγον· καὶ οἷς αὐτὸ τοῦτο προσετέτακτο ποιεῖν, ἦσαν οὐκ ὀλίγοι· τὰς γὰρ ἐλπίδας τῶν τροπαίων, ἐν ταῖς ἐκκλησίαις εἶχον· καὶ συμμάχων, ὡς ἄν τις εἴποι, χρησιμώτερον ἦγον,[13] τὸ μηδένα τῶν ἔξωθεν εἰδέναι τὰ ἡμέτερα ἀπόρρητα. διὰ τοῦτο γάρ μοι δοκεῖ καὶ[14] τὸν στρατηγὸν, ἀλλ' οὐ τὰς ἄλλας ἀρχὰς, ἐπὶ τὸν ξένον παρακαλεῖν· εἰδὼς ὅτι μάλιστα τούτῳ μελήσει τῆς περὶ ταῦτα ἀκριβείας, ᾧ μάλιστα συμφέρει[15] μὴ ταῦτα παραβαίνεσθαι. τὸν μὲν οὖν ἄλλον χρόνον, εἶκον οἱ ξένοι τοῖς ἡμετέροις νόμοις· καὶ οὐδεὶς θρασύτερος ἑωρᾶτο τοῦ φόβου. πρώην δὲ συγκαθημένων ἡμῶν, καὶ πολλῆς οὔσης φροντίδος, καὶ περὶ τῶν μεγίστων τῆς σκέψεως· καὶ τοῦ κήρυκος ἐρωτῶντος, τίς ἀγορεύειν βούλεται; καὶ τῶν ἐσκεμμένων ἀνισταμένων, ἐγὼ μὲν ἔβλεπον[16] εἰς ἕκαστον, ὑπηρετῶν τῷ νόμῳ· περιεφοίτων δὲ, οἷς τοῦτο προσέκειτο. βοὴ δὲ ἐξαίφνης καὶ ταραχὴ, ξένος οὗτος εἰσβιάζεται, καὶ καταμανθάνει, τί μὴν[17] εἴρηται; τί δὲ κέκριται; τί μὲν[18] ἔδοξε, τί δὲ οὐκ ἔδοξε; καὶ τὰ τῆς πόλεως, οὐκ οἶδ' ὁπόθεν ἥκων, εἰδὼς ἄπεισιν. ὁ στρατηγὸς ἡσυχάζει· τιμωρία δ' οὐ φαίνεται· ξίφος δὲ οὐδαμοῦ. τούτων[19] πεφηνότων τε καὶ λεγο-

[12] leg. *παρίῃ prodiret*, vel *accederet*.

[13] *ἴσ. ἡγόμην* m. M.

[14] *δοκεῖ καὶ*] hic videtur *ὁ νομοθέτης* deesse.

[15] *συμφέρει*] sic W. *συμβαίνει* M.

[16] *ἐγὼ μὲν ἔβλ.*] sic W. *μὲν* deest M.

[17] *μὴν*] lege aut *μὲν* aut *ἡμῖν*.

[18] *μὲν*] sic W. *δὲ* M.

[19] *τοιούτων* W.

λεγομένων, τί ἐχρῆν με ποιεῖν; ἐπαινέσαι τὸν ἄνθρωπον, καὶ στεφανῶσαι, καὶ κελεῦσαι ῥήματα ἄλλως ἡγεῖσθαι τὸν νόμον, καὶ τοῖς ξένοις ἀνοῖξαι τὰς ἐκκλησίας; ἀλλ᾽ οὐδεὶς ἐρεῖ. τί οὖν λοιπόν; ἀπείργειν, ἔργῳ κυροῦν τὸν νόμον; οὐκοῦν ἐγὼ μὲν ἃ ποιῶν,[20] παρηνόμουν ἄν, ἔπραττον. ὁ δὲ ἐφθέγγετο ταῦτα δὴ τὰ τοῖς ἐπὶ θανάτῳ συνειλημμένοις εἰωθότα, ὧν κοινῇ[21] πᾶσιν ὑπερορᾶν ἐδόκει. ἔπαθεν ἃ δὴ παθεῖν ἐπὶ τοιούτοις ἐτέτακτο. μετὰ ταῦτα τοίνυν ἐμοῦ θαυμαζομένου παρ᾽ ὑμῶν, ὡς ἐπιμελῶς καὶ φιλοπόνως βασανίζοιμι τοὺς συλλόγους, καὶ ὡς ἐῤῥωμένως ἀμυνοίμην τοὺς καταφρονοῦντας τῆς πόλεως, ἐπεισέρχεταί ποθεν ἡ θεοῖς ἐχθρὰ τυραννίς· ἣν ὅτι μεθ᾽ ὑμῶν ἐδυσχέραινον, ἴστε. ὅσα γοῦν ἔδει παρ᾽ ἐμοῦ λεχθῆναι καὶ δοκιμασθῆναι, καὶ βουλευθῆναι, καὶ πραχθῆναι τοῦ παύσασθαι τὰ δεινὰ πάντα, ὑμῖν προθύμως, ὥς γε ἐμαυτὸν πείθω, εἰσενηνέχθαι οἴομαι. καὶ παρῆλθε τὰ τῆς ἀνομίας, καὶ δημοκρατούμεθα πάλιν· καὶ θύετε, καὶ σπένδετε· καὶ πλὴν ἐμοῦ πάντες ἐν εὐθυμίαις. ὁ στρατηγὸς[22] κρίνεται· καὶ τὸ πάντων ἀτοπώτατον, ὡς συναράμενος τῷ τυράννῳ τοῦ καταλῦσαι τοὺς νόμους. τίς οὖν ὁ παρ᾽ ἐμοῦ λόγος; ἁπλοῦς, καὶ δίκαιος. συνειδέναι με φής, καὶ συνεφῆφθαι τῆς τυραννίδος; καλῶς. οὐκοῦν ὅστις τοῦτο οἶδε, φανήτω· μαρτυρησάτω, δειξάτω τοῖς[23] δικασταῖς αὐτόν· πεισάτω τοὺς ὀμωμοκότας, ὅτι με ἀποκτείναντες, οὐκ ἐπιορκήσονται. τοῦτο γάρ ἐστιν ὀρθὴ κατηγορία. οὑτοσὶ κέκλοφε. τίς ἡ πίστις; ὁ δεῖνα μαρτυρεῖ. μεμοίχευκεν ὁ κρινόμενος. πόθεν πεισθῶμεν. ἀπὸ τῶν μαρτύρων. τοῦτο δή,[24] τοῦτο καὶ νῦν ἐμοὶ σωθήτω. συνῄδει ταῦτα τῷ μέλλοντι τυραννεῖν ὁ στρατηγός. γέγραπται τοῦτο. καλεῖ τοίνυν ἐπὶ

[20] ἃ ποιῶν] interpone particulam infitiantem οὐ vel μή. ego patrabam ea, quae si omisissem, legem et ius violassem.

[21] ὧν κοινῇ] interpone ὅτι. quae quoniam tota concio aiebant spernenda esse.

[22] malim μόνος ὁ στρατηγός.

[23] δειξάτω τοῖς] sic W. δειξάτω deest M.

[24] τοῦτο δὴ] sic W. haec verba desunt M.

ἐπὶ τῇ γραφῇ καὶ τοὺς μάρτυρας· εἴτ᾽ ἐλευθέρων, εἴτε δούλων, ὄντινῦν ἐςί σοι καλεῖν· εἰ τῶν τοξοτῶν,[25] εἰ τῶν ὁπλιτῶν, εἰ σφενδονητῶν, εἰ πολιτῶν, εἰ ξένων. τούτῳ γὰρ διαφέρει δημοκρατία τυραννίδος· ὅτι ἐκεῖ μὲν ἀρκεῖ κελεῦσαι τὸν δεσπότην, καὶ δεῖ τελευτᾷν· ἐνταῦθα δὲ πρὶν ἄξια θανάτȣ δειχθῆναι τετολμηκότα τὸν ἐν αἰτίαις, ȣ̓κ ἔςι ζημιοῦσθαι θανάτῳ. σὺ δ᾽ ἀξιῶν ἀπ᾽ αἰτίας με ψιλῆς ἀποθνήσκειν, μέτρια νομίζεις ἀξιοῦν; εἰ γὰρ ὕβρεως ἐνεκάλεις· εἰ γὰρ αἰκίας. εἰ γὰρ κακηγορίας, ȣ̓κ ἂν δικαίως καὶ τότε ἤκουες, ἐπὶ τίνος ἠσέλγαινον; τίνος παρόντος ἔτυπτον· τίς παρῆν ὅτε ἔλεγον κακῶς. σὺ δὲ τὸ μέγιςον τῶν ἀδικημάτων, καὶ ὃ πάντα τὰ ἐν ἀνθρώποις[26] παρέρχεται (τί γὰρ ἂν γένοιτο τυραννίδος ἀσεβέςερον) τοιαύτην δὴ γραφὴν[27] εἰσάγων, σημεῖα καὶ σκιὰς παραφέρων, πείσειν οἴει τοὺς ψηφιζομένους; τῶν ἀδικημάτων, ὦ ἄνδρες δικαςαὶ, τὰ μὲν αὐτȣ̃ μόνου δεῖται τȣ̃ κακουργοῦντος· τὰ δὲ ἐν κοινωνίᾳ πλήθους ἔχει τὴν ἰςχύν. οἷον, ἐπεβούλευσέ τις ἀποκτεῖναι τὸν ἐχθρὸν, ἑσπέρας ἀπιόντα ἀπὸ δείπνου; τȣ̃το καὶ μόνος πράξειεν ἂν, καὶ οὐδὲν δέοιτο πρὸς τὸν φόνον συνεργοὺς παρακαλεῖν, οὐδὲ προλέγειν ὃ δράσει τούτοις, ὧν ȣ̓κ ἂν δέοιτο. πάλιν ἰατρὸς φαρμάκῳ τὸν δεῖνα διέφθειρεν· ἢ μισῶν αὐτὸς, ἢ μισθὸν τȣ̃ φόνȣ λαβών· οὗτος[28] ȣ̓κ ἂν ἐξ εἰκότων κρινόμενος, εἰκότως ἀγανακτοίη, φάσκων[29] παρεῖναι δεῖν τὸν καταμαρτυροῦντα. διὰ τί; ὅτι ἤρκουν εἰς τὸ ἀδίκημα αἱ χεῖρες αὐτῷ καὶ ἡ τέχνη, ὥσπερ ἐκείνῳ τῷ

[25] ὀντινῦν ἐςί σοι καλεῖν. εἰ τῶν τοξοτῶν.] sic W. ὅστις νῦν ἐςὶ καλεῖν· εἰ τοξοτῶν, M.

[26] τὰ ἐν ἀνθρ.] sic recte m. M. sed t. M. ommittit ἐν. W. dat τὰ ἐναντία sed in m. vulg. est.

[27] τοιαύτην δὴ γραφὴν] est resumtio abrupti fili orationis. idem dicit atque quodmodo dixerat, τὸ μέγιςον τῶν ἀδικημάτων.

[28] idem est ac si dixisset ȣ̃τος εἰ κρίνοιτο ἔκ τινων τεκμηρίων, τὴν κατ᾽ αὐτȣ̃ ὑπόνοιαν κινȣ́ντων, ȣ̓κ ἂν ποιοίη τὰ εἰκότα, ἀγανακτῶν ὅτι κρίνοιτο, διὰ τὸ φάσκειν παρεῖναι δεῖν τὸν καταμαρτυρȣ̃ντα.

[29] φάσκων] sic W. φάσκειν M.

τῷ τὸν ἐχθρὸν ἀποσφάξαντι, μετὰ τῶν χειρῶν, ἧκει τὸ ξίφος. καί τοι κἀκείνους ὁρῶμεν βοῶντας, ἄνευ μαρτύρων οὖν ἀπολλύμεθα; καὶ πολλοῖς γε δοκοῦντας εἰκότως ἀγανακτεῖν. ἀλλ' οὐχ ἡ τυραννὶς τοιοῦτον· ἀλλὰ καὶ τὸν ἐρῶντα τοῦ πράγματος, πολλοῖς ἀνάγκη κοινωνῆσαι τὴν διάνοιαν· καὶ τὸν συνειδότα, ὦ ἄνδρες δικασταὶ, μετὰ πολλῶν ἀνάγκη συνειδέναι.[30] τὸν δὲ[31] στρατηγὸν τῷ μὲν συνειδέναι, τοὺς δ' ἄλλους ὅτι σύνοιδε λανθάνειν, πάντων μάλιστα ἀδύνατον.[32] σκοπεῖτε γάρ· ἐκεῖνος ἐμοὶ φράζων ἃ ποιεῖν ἐγνώκει, καὶ τὴν ἐπιθυμίαν ἐκφέρων, οὐ τοῦτ' αὐτὸ[33] νομίζων αὐτῷ λυσιτελεῖν τὸ μηδὲν ἐμὲ τῶν πραττομένων ἀγνοεῖν, προὔλεγεν ἄν· ἀλλ' ὠνούμενος[34] τὸ μηδὲν αὐτῷ κώλυμα παρὰ τῶν ὑπ' ἐμοὶ τεταγμένων, εἴ τις αἴσθησις συμβαίη γενέσθαι. οὐκοῦν ἐχρῆν τὸν ἐκείνῳ συμπράττοντα στρατηγὸν, μάλιστα μὲν ὅλῃ τῇ δυνάμει περὶ τοῦ δεῖν ἐὰν τὸν δεῖνα καταλύειν τοὺς νόμους, διαλέγεσθαι, καὶ διδάσκειν, ὡς ἀρέσκει μοι τὸ τόλμημα· εἰ δὲ μὴ τοῦτο, τοῖς ταξιάρχοις, τοῖς φυλάρχοις, τοῖς ἄλλοις, δι' ὧν ἂν ἦν τοὺς στρατιώτας ἐν ἀκμῇ τῶν καιρῶν κατέχειν. εἰ δὲ ἐγὼ μὲν ᾔδειν· οἱ δὲ ἠγνόουν, καὶ διεκώλυον ἂν, εἴπερ ᾐσθάνοντο· τί πλέον ἂν ἦν τῷ τυράννῳ τῆς ἐμῆς κοινωνίας, ἄνευ τῆς τῶν ὑπ' ἐμοῦ στρατηγουμένων, τοῦ χάριν δὴ ταῦτα διῆλθον; ἵν' ὑμῖν, ὦ ἄνδρες, γένοιτο φανερὸν, ὡς εἴπερ ἦν τι τούτων ἀληθὲς, αὐτὴ τοῦ πράγματος ἡ φύσις πολλοὺς ἂν τούτῳ παρέ-

30 συνεῖναι in marg. W.

31 δὲ] malim δή. τῷ recte habet. (M. coni. ἴσ. τὸ) deſignat tyrannum. imperatorem tyranno quidem conſiliorum exitioſorum conſcium et participem eſſe. τὸ δὲ δὴ τὸν στρατ. συνειδ. μὲν in marg. W.

32 in marg. W. ἢ ἀμήχανον.

33 αὐτὸ h. l. idem eſt atque μόνον. non ideo, quod exiſtimaret, ſuis rebus expedire, me nihil eorum, quae agat, ignorare, et hoc ſolum atque merum, me conſcium eſſe, nil aliud, nullo alio reſpectu, ſibi expedire.

34 ὠνούμενος] ſic W. in marg. t. W. et M. dant ἐννοούμενος.

παρέχε τοὺς μάρτυρας· οἵ, εἰ καὶ τότε ἐσίγων, τὴν λαμπρότητα καὶ τὸ τιμᾶσθαί με παρ' ὑμῶν ὑφορώμενοι, νῦν ἐν τῇ κρίσει καὶ ταῖς βλασφημίαις ἐπέθεντ' ἄν, ὑπὸ τοῦ καιροῦ παρακληθέντες. λυπηρὸν δὲ ὁ στρατηγὸς πολλαχῆ τοῖς ἀκολουθοῦσι, πονεῖν ἐπιτάττων, μεμφόμενος τοῖς ὀκνοῦσιν[35] ἐν ταῖς μάχαις· ἐν ταῖς διανομαῖς τοὺς τοιούτους ἀνιῶν· τούτων δή τινας ἐχρῆν τούτῳ παρεστάναι, καὶ μαρτυρεῖν ὡς ἀληθῆ γέγραπται· καὶ νὴ δία γε, καὶ τῶν ἐμῶν οἰκετῶν οὐκ ὀλίγους. ὅτι μὲν γὰρ πρᾶγμα τοσοῦτον πολλῶν μὲν ἂν[36] ἐδεήθη λόγων, πολλοῦ δὲ χρόνου, καὶ καθ' ἑκάστην ἡμέραν, ἢ συνιόντας αὐτοὺς ἔδει κοινολογεῖσθαι καὶ σκοπεῖν, ἢ δι' ἑτέρων ἀλλήλοις διαλέγεσθαι, καὶ ῥήματα περὶ τοῦ πράγματος πέμπειν τε καὶ δέχεσθαι, δῆλον οἶμαι πᾶσι. τοὺς δὲ ταῦτα διακονοῦντας, εἰ μὲν τῶν οἰκετῶν εἶναί τινας φησὶ, τί μὴ τούτους καλεῖ; εἰ δὲ τῶν ἐπιτηδείων, τί μὴ τούτοις χρῆται; ὁρᾶτε τοὺς συγκατασχόντας τῷ τυράννῳ τὴν ἀρχὴν, ὧν οἱ μὲν αὐτῷ τὸ σῶμα ἐφύλαττον· οἱ δὲ, τὴν ἀκρόπολιν ἐφρούρουν· οἱ δ' ὅ, τι κελεύσειεν ὑπούργουν; τούτους ἂν ἔρησθε περὶ ἀλλήλων, εἰ πρὸ τῆς τυραννίδος ἀλλήλους ᾔδεσαν, φήσουσιν ὡς ᾔδεσαν· οὐ γὰρ ἂν ἕκαστος,[37] μὴ βλέπειν ἔχων εἰς συνεργοὺς, ἐτόλμα. οὐκοῦν εἴπερ καὶ αὐτὸς ἐν τοῖς κοινωνοῦσιν ἦν, καὶ τοῦτ' ᾔδεσαν, ὥσπερ ἀλλήλους, τί οὖν μὴ, ὡς καὶ τῶν ἄλλων, καὶ τούτων εὐπορεῖ; ὅτι, ὦ ἄνδρες, τὰ μὴ πεπραγμένα, μάρτυρας οὐκ ἂν ἔχοι. τοῦτο δὲ τῷ διώκοντι μὲν οὐκ εἶναι, θαυμαστὸν οὐδέν· ἐμὲ δὲ ἀπαιτεῖν εὔλογον· ὑμᾶς δὲ μετὰ μὲν ἐμοῦ ζητεῖν· τὸν δὲ ἀναγκάζειν παρέχεσθαι. ἐμὲ μὲν γὰρ ἡ περὶ τοὺς μάρτυρας σπουδὴ διασώσει· τῆς δὲ ἀρᾶς ὑμᾶς ἐξαιρήσεται. φέρε, εἴ τισιν ἀργύριον οὑτοσὶ

τοσὶ

[35] ὀκνοῦσιν] γρ. ἐν ταῖς τοῦ πολέμου ἐργασίαις· τοὺς οὐ τοιούτους ἀνιῶν. in marg. W.

[36] πολλῶν μὲν ἂν] sic W. μὲν deest M.

[37] ἕκαστος, (subaudi αὐτῶν] μὴ βλ. ἔχων εἰς τοὺς συνεργοὺς, nullus enim eorum quicquam pro se ausus fuisset, si adiutores habuisset nullos, ad quos respiceret.

τοσὶ διδοὺς, ἔπειθεν ἐνταυθοῖ βοᾷν, ὡς συνῄδειν, ὡς ἐκοινώνουν· ἆρ' ὑμῖν ἐξήρκει, καὶ καταγινώσκειν ᾤεσθε δεῖν; ἀλλ' οὐκ ἂν ἐσκέπτεσθε τίνες ὄντες ταῦτα λέγουσιν; εἰ δυσμενεῖς ἐμοί. πολλάκις τῷ τὰ ψευδῆ μαρτυρεῖν;[38] εἶθ' οἱ μάρτυσιν ἂν παροῦσιν ἀπιστήσαντες, τούτων ἀπόντων, τοῖς ῥήμασι τοῦ διώκοντος πιστεύσετε; πολλὴν ἄρα ἀφθονίαν ποιήσετε τῶν ἐθελόντων συκοφαντεῖν, οἱ νῦν μὲν τὸ[39] δεῖν εἰσιέναι μετὰ μαρτύρων, ἢ δοκεῖν φλυαρεῖν, ἔσθ' ὅτε καὶ ἀποκνήσουσιν·[40] εἰ δὲ γνοῖεν ὡς οὐδὲν ἐλέγχων δεῖ, ταῖς δ' αἰτίαις[41] ἡ τιμωρία προσκείσεται, τῶν πολιτῶν ἀεί τις ἀπολεῖται. ῥᾷστον γὰρ πάντων γραψάμενον ἀναισχυντῆσαι. λοιπὸν οὖν, τοῖς μὲν, ἐγκαλεῖν, ὑμῖν δὲ καταψίζεσθαι. τῶν δὲ φευγόντων ἀποφεύγειν μηδένα. ἤδη τοίνυν τὶς ἀπορῶν μαρτύρων, ἐπὶ τὴν γνώμην τοῦ κρινομένου τραπόμενος, καὶ δείξας δεχομένην τὰς μέμψεις, ἔδοξέ τι λέγειν. αὕτη δὲ νῦν λίαν μᾶλλον, ἢ βεβαιοῖ τὴν γραφήν· καὶ διχόθεν ἀφεῖμαι τῆς αἰτίας, τῷ τε τοῦτον ἀπορεῖν μαρτύρων, καὶ τῷ προσήκειν ἐκ τῶν εἰκότων εὔνουν εἶναί με τῇ πόλει. τίς γὰρ οὐκ οἶδεν ὡς οὗτοι κινοῦσι τὴν οὖσαν πολιτείαν, καὶ τῆς ἀπούσης ἐπιθυμοῦσιν· οἵ τινες ἐν μὲν τῇ καθεστώσῃ φέρονται χεῖρον, ἐλπίδας δὲ ἔχουσιν ἐν τῇ μεταβολῇ βελτίους. οἷος ὁ τυραννουμένης πόλεως ἀπεῤῥιμμένος, ποθεῖ τοὺς νόμους καὶ τὴν ἰσηγορίαν· καὶ ταῦτα ἐπανάγειν πειρᾶται. πάλιν ὅτῳ τοὺς νόμους ἰσχύειν οὐ συμφέρει, λύειν ἐπιχειρεῖ τοὺς νόμους. τίνες οὖν οἱ πολεμοῦντες τοῖς νόμοις; ὧν οἱ πατέρες κατ' ἐκείνους ἐκολάσθησαν· οἷς ὀφλήματα πρὸς τὸ δημόσιόν ἐστιν· ὧν ἀτιμία κατέγνωσται· οὓς ἐξείργει τὰ βεβιωμένα τοῦ βήματος· ὅσοι

[38] Sententia est: num fortassis infesti mihi sint, suumque erga me odium prodant falso testimonio dicendo.

[39] probo Morelli coniecturam τῷ, aut alias leg. διὰ τὸ δεῖν.

[40] ἀποκνήσουσι] scil. τὸ συκοφαντεῖν. reformidabunt insontes calumniis vexare.

[41] δ' αἰτίαις] sic W. δι' αἰτ. M.

ὅσοι πολλὰ κεκακουργηκότες ἴσασιν, ὡς μενόντων τῶν νόμων, οὐκ ἔστι μὴ δίκης[42] ὑποσχεῖν. ποῦ τοίνυν με τίθης, ὦ συκοφάντα· τί με πεποίηκεν ἐχθρὸν τῇ πολιτείᾳ; τὸ δεσμωτήριον ᾤκουν; ἐν τοῖς ὀφληκόσιν ἦν· ψήφῳ τῆς παρρησίας ἐστερήμην; δεδήμευταί μοι τὰ ὄντα; πονηρὸς εἰλήμμην; καί τὸ πείσεσθαί τι δεινὸν ἐνῆγε πάντα κινεῖν; ἢ τοιοῦτον μὲν οὐδὲν, χρηστὸς δὲ ὢν, ἐν ἀγνώμοσιν ἐπεδεικνύμην τὸν τρόπον. οὐκ ἐπῃνούμην; οὐκ ἐθαυμαζόμην; οὐ τοῖς ὅπλοις ἐφειστήκειν; οὐ τῶν δυνάμεων ἦρχον; οὐ ζηλωτὸς ἦν; οὐκ εὐδαίμων; οὐ παρ' ὑμῖν λαμπρός; οὐ τοῖς ἐχθροῖς φοβερός; ἔστιν οὖν ὅστις ἂν τοσούτων αὐτὸν ἀγαθῶν ἀποστεροίη; νὴ Δία, ὅγε οὐκ ὢν αὑτοῦ· διατί γὰρ ἂν σωφρονῶν; τί ζητῶν ἀντὶ τῶν ὄντων; ἐγὼ στρατηγίας παρ' ὑμῶν ἠξιωμένος, ἐπῆγον τῇ πολιτείᾳ δεσπότην. ἐν ᾗ τοσοῦτος ἐγεγόνειν, καὶ ὅπως ἄλλος ἐξουσίαν ἄδικον κτήσαιτο, πάντα ποιεῖν ἑτοίμως ᾑρούμην, καὶ γενέσθαι καὶ νομισθῆναι κακός; εἰ γὰρ αὐτὸς ἔμελλον τυραννήσειν, ἐδεξάμην ἂν τύραννος ἀντὶ στρατηγοῦ καταστῆναι· πρᾶγμα δυσσεβὲς ἀντ' ἐννόμου καὶ πολιτικοῦ; τίνος ἐπιθυμῶν; τοῦ τιμᾶσθαι; καὶ τί κάλλιον τῶν παρὰ τοῦ δήμου τιμῶν; ὧν ἄπεστιν ἀνάγκη; ἃς μόνας ἄξιον τιμὰς προσειπεῖν, τύραννος δὲ κολακεύεται μέν· τιμᾶται δὲ ἥκιστα. ᾧ γὰρ ὁ προσκυνῶν καταρᾶται, ποῦ τοῦτον ἐν τιμωμένοις θείη τίς; ἀλλ' ὅπως ἐξείη μοι τρυφᾶν, καὶ γυναῖκας ὑβρίζειν, καὶ χρήματα ἁρπάζειν; ἀλλ' οὐκ ἐν τούτοις ἐτράφην τοῖς ἤθεσιν· οὐδ' ἐπαιδεύθην τοιούτων κακῶν ἐρᾶν. μάρτυρες δ' ὑμεῖς διὰ τῆς στρατηγίας· ἐνὶ γὰρ δὴ τούτῳ χρηστόν τε εἶναι, καὶ ἐκ τοιούτων, καὶ κρείττονα ἡδονῶν. καὶ διὰ πάντων ἀρετὴν ἠσκηκέναι, καὶ ταῖς καλλίσταις ἐσχολακέναι μελέταις· καὶ πάντα ἅ τις ἂν αὐτῷ συνεύξαιτο καὶ πᾶσιν, ἐμαρτυρεῖτε. τοῦ μὲν οὖν ἐκ παιδὸς ἐπιτηδεύειν με τὰ[43] βελτίω, σύμβολον

[42] aut δίκην, aut δίκας leg. est. idem est ac si dixisset οὐκ ἔστιν ἀπελθεῖν ἀζημίας καὶ δίκης οὐχ ὑποσχόντας.

[43] με τὰ sic dedi. μετὰ M.

λον εὐμέγεθες ἡ στρατηγία. ταύτην δέ τις ἤδη ἔχων, καὶ τοῖς μεγίστοις τετιμημένος, ἐξ αὐτῶν ἂν τῶν μισθῶν τῆς ἀρετῆς εἰς τὸ κακὸς εἶναι μετέστη· καὶ τὰ ἆθλα τῆς καλοκαγαθίας, ἀρχὴν ἐποιήσατο τῆς πονηρίας; ἀλλ' οὐ ταῦτα ποιεῖν αἱ τιμαὶ πεφύκασιν· ἀλλὰ μᾶλλον ἂν τοὺς φαύλους ἀποφήνειαν ἀγαθοὺς, ἢ τρέψειαν ἐπὶ θάτερα τὸν βελτίω. οὕτως ἡ στρατηγία τῶν τε ἔμπροσθεν βεβιωμένων ἆθλον ἦν, καὶ παράκλησις τοῦ μᾶλλον ἔχεσθαι τῆς ἀρετῆς. ὁ δὲ καὶ τυραννεῖν αὐτὸς οὐκ ἂν δεξάμενος, ἐν ἐφολκίου μοίρᾳ τυράννῳ προκεῖσθαι δοκεῖ ποτ' ἂν ἐλέσθαι; καὶ πότερον κρεῖττον ἦν ἡγεῖσθαι τοσούτων γενναίων, ἢ δουλεύειν ἑνὶ διεφθαρμένῳ; καὶ στεφανοῦσθαι μετὰ νίκας, ἢ πληροῦν αἰσχρὰς ἡδονὰς ἀνθρώπῳ μεθύοντι; καὶ κηρυγμάτων τυγχάνειν, ἢ προκυλινδεῖσθαι δεσπότου; σὺ δὲ, ὦ ῥαδίως τοὺς ἄλλους κρίνων, ἆρ' ἂν, ὧν περ ἐγὼ, παρὰ τοῦ δήμου τετυχηκὼς, ἐξήμαρτες εἰς τούτους ἃ φὴς[44] ἐμέ; καλῶς γε ποιῶν ἐδυσχέρανας τὸ ῥῆμα. μὴ τοίνυν σαυτῷ μὲν οἴου προσήκειν εἶναι δικαίῳ περὶ τοὺς τετιμηκότας· ἐμὲ δὲ ἐν μέσαις ταῖς τιμαῖς τοὺς πιστεύσαντας προδεδωκέναι. ἀκούετε τοίνυν αὐτοῦ πάντων εὐηθέστατον λέγοντος λόγον· ὡς πλείστου τὴν ἐμὴν προσθήκην ἐπρίατ' ἂν ὁ τύραννος, καὶ ὡς ἦν μοι δύναμις βουλομένῳ συνάρασθαι. τίς γὰρ οὐκ οἶδεν ὅτι πάντες οἱ πολεμοῦντες οἱστισινοῦν, πρίαιντ' ἂν ἡδέως τοὺς τῶν ἐναντίων στρατηγούς; ἆρ' οὖν πάντες οἱ στρατηγοὶ διὰ τοῦτο προδόται; πάντες δωροδόκοι; πάντες τοὺς οἰκείους προδιδόντες; οὐκ ἔστιν. ἀλλ' οἱ μὲν φύσει πονηροὶ, πωλοῦσιν αὐτούς· τὰς δὲ τῶν ἀγαθῶν γνώμας οἱ διαφθείραντες ἂν ῥαδίως οὐ μεταβάλλουσιν. ἀλλ' οἱ μὲν εὔχονται γενέσθαι χείρονας· οἱ δὲ μένουσιν ἐπὶ τοῦ κρείττονος. καὶ οὐ δήπου τὴν ἐκείνων βούλησιν ἐν ἐλέγχῳ δεῖ λαμβάνειν κατὰ τῶν ἀγαθῶν. εἴ τις, ὅτε πρὸς τοὺς ἐχθροὺς παρεταττόμην ἀμέμπτως, αὐτομόλους ἐκεῖθεν παράγων ἐγὼ,

44 ἴσ. ὃς φῇς m. M.

ἐγὼ,[45] ἔκρινέ με προδοσίας, εἰδέναι λέγων τοὺς αὐτομόλους τὴν προδοσίαν, πολλάκις τοῦτο παρὰ τοῖς αὐτῶν[46] εἰρημένον· τὸν στρατηγὸν τῶν ἐναντίων εἴ τις ἔπεισε γενέσθαι προδότην, ἑτοίμως ἀνήνεγκαν. εἰ ταῦτα λέγων, ἠξίου με δοῦναι δίκην, ἔστιν ὅν τινα ἔπειθεν ἄν; οὐχ οὕτω γέ[47] τις ἀνόητος, ὃς οὐκ ἂν ἔδοξε τοὺς πολεμίους φιλεῖν, τῷ περὶ πολλοῦ τοῦτ' ἐκείνους[48] ποιεῖσθαι, κεκοινωνηκέναι[49] ἂν δόξῃ τῆς τυραννίδος· ἐπειδὴ τῷ τυράννῳ μέγ' ἂν ὑπῆρξε τοῦτο, τὸ προσλαβεῖν ἐμέ; ἀλλ' οὐδ' ὅστις γυναικὸς ἐρᾷ σώφρονος, ἀπὸ ψιλῆς τῆς ἐπιθυμίας ᾔσχυνε τὴν οὐδ' ἐπισταμένην τὸν ἐραστήν. μὴ οὖν ὡς ἐκεῖνος ἐβούλετ' ἂν μεθ' ἡμῶν ἀδικεῖν, λέγε· ἀλλ' εἰ συναδικεῖν εἱλόμεθ' ἂν ἡμεῖς ἐκείνῳ, δείκνυε. μηδὲ κρίνε μὲν ἐμέ, κατηγόρει δ' ἐκείνου· νῦν γὰρ οὐκ ἐν ταῖς ἑτέρων βουλήσεσι δεῖ κριθῆναι τὴν ἐμὴν πονηρίαν· ἀλλ' αὐτὴν ἐφ' ἑαυτῆς τὴν γνώμην τοῦ στρατηγοῦ, ἣν οὐκ ἔχων δεῖξαι φαύλην, μὴ συκοφάντει τῇ τοῦ τυράννου. ἀλλὰ μὴν πρός γε τὸ φάσκειν εἶναί μοι δύναμιν, βραχὺς ἐξαρκεῖ λόγος. εἰ μὲν γὰρ ὧν ἐστιν ἀνθρώποις δύναμις, ταῦτα καὶ δὴ πράττουσιν εὐθύς, συμβέβλημαί τι τῷ τυράννῳ, πεπο-

45 ἐγὼ malim abesse, παράγων ad τις referens. fort. natum est illud ἐγὼ ex insequente λέγων, aut e proximo αγων (in voc. παράγων.)

46 ad παρὰ τοῖς αὐτῶν adscriptum est in marg. W. hoc schol. πολίταις ἢ ἄρχουσιν. Sed videtur hoc potius addendum quam subaudiendum esse, et sic quodammodo locus hiulcus integrandus. πολλάκις τοῦτο παρὰ τοῖς αὐτῶν ἄρχουσιν εἰρημένον ἀκούσαντας, ὅτι, τὸν στρατηγὸν εἴ τις ἔπεισε προδότην γενέσθαι ἑτοίμως, τὸν πόλεμον ῥᾳδίως ἂν ἤνεγκαν. a tribunis suis iactitatum sermonibus, hostium imperatori si quis persuaserit, vt facile proditor sit, bellum nulla molestia geri.

47 f. ἔπειθεν ἄν; ἀλλ' οὐχ οὕτω γε verum locum hunc non intelligo. sine dubio complusculа desunt.

48 ad ἐκείνους adscriptum est pro scholio in marg. in W. τοὺς αὐτομόλους.

49 f. εἶτα κεκοινωνηκέναι ἂν δόξω — egone videbor cum tyranno communia agitasse consilia de dominatu inuadendo? —

πεπονήρευμαι, δίκην ὀφείλω. λαμβάνετε. εἰ δὲ μὴ τὸ βούλεσθαι τῶν ἔργων ἡγήσεται, τοῦτό γε δύνασθαι πλέον οὐδέν.[50] μὴ βουληθεὶς οὐκ ἠδίκηκας.[51] ὥστε που δίκαιος εὐθύνεσθαι ὅγε μόνον δυνάμενος.[52] τῷ κυβερνήτῃ ῥᾷστον τὴν αὐτοῦ ναῦν περὶ τοῖς προβόλοις διαφθεῖραι. ἆρ᾽ οὖν ταῦτα οἱ κυβερνῆται ποιοῦσιν; οὔ. διὰ τί; ὅτι μὴ βούλονται. τοῖς ἱερεῦσι ῥᾷστον ἁπάντων ἐκ τῶν ἀναθημάτων τρυφᾶν. ἆρ᾽ οὖν ταῦτα ἀδικοῦσιν, οἵ γε οὐ πονηροί, κατ᾽ αὐτὸ τὸ δύνασθαι;[53] ἥκιστά γε. τοῖς δικασταῖς γνῶναι τὰ μὴ δίκαια ῥᾷστον.[54] διὰ δὲ τὸ τὰ δίκαια τιμᾶν[55] τοιαύτην τὴν ψῆφον τίθενται. καὶ τί δεῖ τ᾽ ἄλλα λέγειν; ἀλλὰ τὸ τὸν οἰκέτην ἀποκτεῖναι καθεύδοντα, καὶ τὸν υἱὸν ἀποπνῖξαι, καὶ πρός γε αὐτὸν ἀποσφάξαι, πόνων πολλῶν ἂν χρήζῃ καὶ πραγματείας; καὶ τί τούτου, ὦ ἄνδρες, ῥᾷον; ἕκαστος οὖν ὑμῶν,[56] ὁ μὲν, τοῦτο, ὁ δὲ ἐκεῖνο πεποίηκεν. ὁ δὲ πάντα ἐφεξῆς; καί τοι γ᾽ ἐχρῆν· εἰ τὸ δύνασθαι πράττειν ἔπειθει. ἀλλ᾽ οὐχ αἱ δυνάμεις ἐμποιοῦσιν ἀνθρώπῳ τὸ βούλεσθαι· τὸ βούλεσθαι δὲ ὑπηρετεῖ πανταχοῦ τῷ δύνασθαι. καὶ νῦν ὁ πονηρὸν[57] οὐκ ἔχων ἐμὲ προσειπεῖν, ληρήσει περὶ τὴν δύναμιν· οὐ μὴν οἷς[58] γε ἐμαυτὸν ἐξαιροῦμαι τῆς αἰτίας· ταῦτα λῆρος. ἀλλ᾽ ἀλήθεια πραγμάτων. τί γὰρ τῶν, ἐπειδὴ κατ-

ἔχεν

50 malim ſic legi εἰ δὲ μὴ τὸ βούλεσθαι τῶν ἔργων ἡγήσεταί τε (enclitice, pro τινὸς) τόγε δύνασθαι πλέον οὐδὲν (ſcil. ποιεῖ.)

51 οὐκ ἠδίκησας] ſic W. οὐκ deeſt M. Sed et γὰρ deeſt poſt μὴ, et leg. ad hunc modum: μὴ γὰρ βουληθεὶς, (ſcil. ἀδικεῖν) οὐκ ἠδίκησας (ſcil. μόνῳ τῷ δυνηθῆναι.)

52 μόνον δυνάμενος] ſubaudi οὐ βουληθεὶς δέ.

53 τὸ δύνασθαι] ſic W. et m. M. τὸ deeſt t. M.

54 γρ. ῥαστώνη in marg. W.

55 τιμᾶν] ſic W. (νικᾶν M.) in τοιαύτην ſubauditur, ſcil. δικαίαν. quia aequum et iuſtum ſummi faciunt, ideo talem quoque ſententiam, h. e. aequam et iuſtam pronuntiant.

56 ἴσ. ἡμῶν m. M.

57 πονηρὸν] ſic W. πονηρὸς M.

58 οἷς] ſic W. (εἰς M.) non ſolummodo ex argumentis, quibus me excuſo conſtat, nugas has eſſe atque deliramenta. ἀλλ᾽ ἀληθείᾳ πραγμάτων, ſed ex ipſa rerum veritate.

ἔσχεν ἐκεῖνος τὰ πάντα,[59] πεπραγμένων ἐμοὶ, τὸ τοῖς τετολμημένοις, ἥδεσθαί με μαρτυρεῖ; τὴν ἀκρόπολιν ᾤκουν; δορυφόροις ἐχρώμην; συνειστιώμην τῷ τυράννῳ; βουλῆς ἐκοινώνουν; φροντίδων; ἀπορρήτων; λόγων, ἔργων; τὰ μὲν ἔπειθον· τὰ δ' ὑπήκουον; ἐξέπεσέ τις τῆς πόλεως δι' ἐμέ; χρημάτων ἐγυμνώθη; γυναικὸς ἐστερήθη; κώνειον ἔπιεν; εἰπέ τις τῶν φερόντων ἄνωθεν ἐπιτάγματα, τοῦτο τοῦ τυράννου· τοῦτο τοῦ στρατηγοῦ; τοὺς ὁπλίτας αὐτῷ παρέδωκα; τῶν τοξοτῶν τινάς; ἐκαρπωσάμην τὴν ἐν τῇ τυραννίδι παρανομίαν; ἔστιν οὖν οὕτω τὶς ἄθλιος, ὅστις τῆς ἐκ τοῦ πράγματος ἀσεβείας μετασχὼν, ἐν ᾧ τῶν ἡδίστων ἦν ἀπολαύειν, τὴν κοινωνίαν ἔφυγεν ἄν; ὥσπερ ἂν εἴ τις τοῖχον διορύξας σὺν ἄλλῳ, καὶ τῶν φόβων τὸ μέρος ὑποστὰς, εἶτ' ἐνὸν ἐπὶ τῆς ἀσφαλείας νέμεσθαι τῶν ἐπίπλων, ἐφ' ᾧ πάντα ἐκινδυνεύετο, μὴ βούλοιτο; τί οὖν, ὦ κακόδαιμον, τηνάλλως ἐκακούργεις; τί δ' ἐν τοῖς χαλεποῖς ἴσχες τὴν κοινωνίαν, ἀλλ' οὐκ ἐκτείνεις μέχρι τοῦ κέρδους; τοὺς δὲ κοινωνοὺς, ὦ ἄνδρες, τῶν ἐμποριῶν, οὕτως ὁρᾶτε ποιοῦντας; τὴν θαλαττάν τις ὑπομείνας, καὶ τὰ τῆς θαλάττης κακὰ, καὶ τῶν ὅρμων ἐπιλαβόμενος, ἀπῆλθεν οἴκαδε κεναῖς ταῖς χερσὶ, τῶν καρπῶν ἄλλῳ παραχωρῶν; ἀλλ' ἐγὼ μόνος ἀνθρώπων τύραννον ἐποίουν, ἐπὶ τῷ μηδὲν εἶναί μοι μέρος τῶν τῆς τυραννίδος ἡδέων; καὶ τίς ἂν πιστεύσειε; πολὺ γὰρ μᾶλλον εἶχε λόγον, οὐ συγκαταπράξαντα τὴν δυναστείαν, καρποῦσθαι γεγονυῖαν ἐθέλειν, ἢ τοὺς ὑπὲρ τοῦ γενέσθαι πεπονηκότα πόνους, ἐν τῷ καιρῷ τῆς ἀπολαύσεως φυγεῖν τὴν μετουσίαν. νῦν δὲ τῇ μὲν στρατηγίᾳ, ἐφ' ἧς ἦν, ἔβλαπτον τὴν τυραννίδα· τοῖς δ' ἀπὸ τῆς τυραννίδος οὐκ ἐχρώμην ἀντὶ τῆς στρατηγίας.[60] ἐκεῖνο δὲ πῶς οὐκ ἄτοπον, τοὺς μὲν τῷ τυράννῳ συνόντας, ἐπ' αὐτῷ

[59] ἴσ. τῶν πάντων ἢ κατὰ πάντα m. M.

[60] ἀντὶ τῆς στρατηγίας] pro praetura, in compensationem iacturae a me factae in praeturae amissione, non vtebar tyrannidis emolumentis.

αὐτῷ τούτῳ[61] τετιμωρῆσθαι. τὸν δ᾽ ἀποδράντα τὴν συνουσίαν,[62] μὴ τούτῳ[63] χρηστὸν ὑπειληφέναι, ἀλλὰ τοῖς τἀναντία τετολμηκόσιν ὁμοίας[64] ἀξιῶσαι τῆς δόξης. τί οὖν τοῦ συνειδέναι τεκμήριον; ἄλλος, φησιν, ἧκε μηνύσων τὴν τυραννίδα· καὶ οὗτος ξένος· σὺ δ᾽ ἐσίγησας. οὐ γὰρ ἐνῆν, ὦ θαυμάσιε, τὸν οὐ προαισθόμενον βοᾶν. αὐτὸ δὲ τὸ μὴ λαβεῖν αἴσθησιν τῶν τεχνικῶς κακουργούντων. οὐ τῶν ἀγνοησάντων ἀδίκημα. εἰ δὲ ἐμὸν ἀδίκημα τοῦτο. διὰ τί μόνου, πρὸς θεῶν; μόνῳ γὰρ προσήκει μοι κήδεσθαι τῆς πόλεως; τοὺς δὲ ἄλλους πολίτας ἀφίεσθαι τῆς προνοίας; καὶ τί λέγω τοὺς πολίτας; οἱ λέγοντες οὗτοι καὶ παρόντες, καὶ γράφοντες, καὶ πείθοντες· καὶ τὴν τῶν ὅλων φυλακὴν ἐν ταῖς αὐτῶν φωναῖς εἶναι λέγοντες· κἂν, εἰ μὴ λήψονται στεφάνους, ἀγανακτοῦντες· διὰ τί νῦν οὐκ ἐπὶ τοῖς αὐτοῖς κρίνονται; καὶ γὰρ αὐτοὶ τῶν οὐκ αἰσθομένων μέν εἰσιν· ἐν δυνάμει δὲ παρ᾽ ὑμῖν. ἀλλ᾽ ἐῶ καὶ τοὺς ῥήτορας. ὁ δὲ ἄρχων οὑτοσὶ, καὶ οἱ πρυτάνεις, καὶ ἡ τὰ πλεῖστα διοικοῦσα βουλὴ, τί μὴ πρὸς τὰς αὐτὰς αἰτίας ἄγονται; ἀλλ᾽ οὐχ οὗτοι κακῶς τῆς αἰτίας[65] εἰσίν. οὐ μὰ τοὺς θεούς. ἀλλ᾽ οὐ καλῶς[66] ἐν ταῖς αἰτίαις ἐγώ. πόσοι γὰρ ἐξότου πόλεις οἰκοῦνται, μείζω φρονήσαντες τῶν πολλῶν, ἐπείθοντο[67] τοῖς νόμοις; οὐδ᾽ ἂν ἀριθμῆσαί τις. πόσοι πρὶν ἐπιτελέσαι τὴν γνώμην, ἑάλωσαν; οὐκ ὀλίγοι. πάντας οὖν οἱ στρατηγοὶ πρὸ τῶν ἄλλων εἶδον; οὐκ ἔστιν. ἀλλὰ τὸν δεῖνα μὲν ὁ στρατηγός· τὸν δεῖνα δὲ ὁ ῥήτωρ· τὸν δέ τις τῶν ἐργαζομένων ἐπ᾽ ἀγορᾶς· τὸν δὲ, οἰκέτης· τὸν δὲ, γυνή·

61 ἐπ᾽ αὐτῷ τούτῳ] scil. τῷ συνεῖναι τῷ τυράννῳ.

62 τὴν συνουσίαν] scil. τοῦ τυράννου.

63 τούτῳ] id est διὰ τοῦτο αὐτὸ, τὸ ἀποδρᾶναι τὴν τοῦ τυράννου συνουσίαν.

64 γρ. μιᾶς in marg. W.

65 lege ἀλλ᾽ οὐχ οὗτοι κακῶς ἐκτὸς τῆς αἰτίας — non hoc ego contendo, iniquum et nefas esse, hos extra culpam haberi; non profecto, ita me dii ament: sed hoc contendo, non recte me reum agi.

66 καλῶς] sic W. καλὸς M.

67 lege ἐπέθεντο, *violarunt leges et iura.*

γυνή· τὸν δὲ, ὅπως ἂν, οἶμαι, τὰ τῆς τύχης συμπέσῃ.[68] ὥσπερ γὰρ τοῖς θησαυροῖς ἐντυγχάνουσιν, οὐχ' οὓς ἄξιον πλουτεῖν· ἀλλ' οἷς ἂν ὁ δαίμων διδῷ· οὕτω καὶ τὰς τοιαύτας παρασκευὰς, πρὸ τῶν ἐν ἀξιώματι, τῶν πολλῶν τις[69] εὑρεῖν εὐτύχησεν. ἔχει δέ που[70] καὶ λόγον τοῖς οὐ πολλοῦ τινος ἀξίοις,[71] ἢ τοῖς ἐν σχήματι, τὰ τοιαῦτα παρέχειν αἴσθησιν. τὸ μὲν γὰρ φοβοῦν[72] ὁ κακουργῶν πειρᾶται λανθάνειν· οὗ δὲ καταφρονῆσαι πρόσεστι, πρὸς τοῦτον ἀνίησί τι τῆς ἀκριβείας. ἂν ἀκούσῃ τὸν στρατηγὸν, ἔφριξεν· ἂν τῶν ἀνωνύμων ὅντινοῦν, ἐθάρσησεν. οὐκοῦν ἐκεῖ μὲν ἐφυλάξατο· ἐνταῦθα δέ τι καὶ παρημέλησεν. εἶθ' οὕτω παρεγυμνώθη τὶ τῶν κεκαλυμμένων. τοιοῦτό τοι[73] καὶ περὶ τοὺς κακουργοῦντας τῶν οἰκετῶν συμβαίνει. οἱ γὰρ ὑφαιρεῖσθαι τὰ τῶν δεσποτῶν ἐπιχειροῦντες, ὑφ' ὧν οὐκ ἄν τις ᾠήθη, πολλάκις ἐμηνύθησαν· ὁ δὲ ταμίας οὐκ ᾔσθετο· καὶ νὴ Δία γε τῶν γειτόνων τὶς ἔγνω τὴν ἐπιβουλὴν πρὸ τῶν ὁμοδούλων. τί οὖν θαυμαστὸν, εἰ κἀν τοῖς κοινοῖς τῆς πόλεως ἴσόν τι γίνεται. καί τις ἐπιβουλεύων τοῖς νόμοις, ὃν ᾤετο κωλύσειν, λαθὼν, ᾧ μελήσειν οὐκ ἐνόμιζε, τούτῳ κατέστη δῆλος. ξένος ἧκεν ἐρῶν; εἰκότως. οὐ γὰρ, εἴ τις ἐπιβουλεύει τῇ[74] πόλει, καὶ τὴν παρασκευὴν, δι' ἧς ἡγεῖται κρατήσειν, ἐν ταύτῃ ποιεῖται τῇ πόλει· τουτὶ γὰρ ἂν εἴη θανατῶντος, οὐ τυραννίδος ἐρῶντος. τίς γὰρ οὐκ ἂν ὑπείδετο, πλῆθος ὁρῶν σωμάτων ἀθροιζομένων· πλῆθος ὅπλων κατασκευαζομένων· συμπόσια, συλλόγους, τοὺς διαθέοντας, τοὺς κολακεύοντας· πάντα ἁπλῶς, ὧν δεῖ τοῖς περιεσομένοις

τοῦ

[68] συμπέσῃ] ſic W. ἐμπέσῃ M.

[69] τις] ſic W. et m. M. τι t. M.

[70] πως W.

[71] poſt ἀξίοις ſubaudi μᾶλλον.

[72] τὸ φοβοῦν appellat magiſtratus, penes quos eſt puniendi poteſtas. Facinoroſi conantur effugere notitiam atque animadverſionem potentium in rep. quorum ſeueritatem metuunt.

[73] lege τι.

[74] recte deeſt τῇ W.

τοῦ δήμου; διὰ δὴ ταῦτα, ἄλλοις[75] μὲν ἐπιβουλεύουσιν. ἑτέρωθι δὲ, ὧν δεῖ πρὸς τὸ ἔργον, ἑτοιμάζουσι. καὶ τοὺς μὲν ἔλαθον, ὧν ἐπιθυμοῦσι γεγονέναι δεσπόται· τοῖς δὲ καταφανεῖς ἐγένοντο, παρ' ὧν ἅρμηντο. μὴ τοίνυν ἃ τῇ τοῦ πράγματος φύσει συμβαίνειν εἴωθε, ταῦτ' ἐπὶ τοὺς στρατηγοὺς δῶς ἰσχύειν. καὶ τὸν ξένον, φησιν, ἀπέσφαξας, φέροντά τι πρὸς ἡμᾶς ἀπόρρητον. πρόσθες, ὅτι τοῦ νόμου κελεύοντος· καὶ τούτους ἐρώτησον, πότεροι τυραννίδα ποιοῦσιν, οἱ τοὺς ὄντας ὑμῖν νόμους βεβαιοῦν οἰόμενοι δεῖν, ἢ οἵ τινες τοὺς βεβαιοῦντας κρίνουσι; γένοιτ' ἂν τι τούτου καινότερον; ἡ μὲν γραφὴ, τυραννίδι με συνήρασθαι φησίν. ἡ δὲ ἀπόδειξις, τὸ πεπεῖσθαί με τοῖς νόμοις ἐστι. καὶ τὸν αὐτὸν τυράννου τε σύμμαχον καλοῦσι, καὶ φύλακα τῶν νόμων. τότ' ἂν εἰκότως ἐκρινόμην· τότ' ἂν ἐμισούμην δικαίως, εἰ τόν τε νόμον εἰδὼς, καὶ τὸν ξένον ὁρῶν, τὴν τοῦ ξένου φωνὴν ἔμπροσθεν ἦγον τοῦ νόμου. ὅλως δὲ τί δεῖ γράφειν τοὺς νόμους, εἰ τῶν πραγμάτων ἡκόντων ὑπὲρ ὧν ἐτέθησαν, εὐχερῶς αὐτοὺς ὑπερβησόμεθα. πῶς δὲ οὐ γελοῖον ἐν τοῖς αὐτοῖς δικαστηρίοις, τοὺς μὲν, ὡς ὑπεριδόντας τῶν νόμων, τοὺς δὲ ὡς ἀκολουθήσαντας τοῖς νόμοις, δοῦναι δίκην. εἶπέ τι φέρειν ἀπόρρητον; ὁμολογῶ. ἐγὼ δὲ οὐ προσεῖχον; ὁμολογῶ. πρῶτον μὲν γὰρ ἡ πρὸς τὸν νόμον αἰδὼς, ἔπειτα ὁ πρὸς τὴν ὄψιν θυμός. τὸ ξένον ἐν μέσοις ὑμῖν τὰ ὑμέτερα ἐκμανθάνειν, τῷ κολάζειν προσῆγε μᾶλλον, ἢ τοῖς ἐκείνου προσέχειν ῥήμασιν. ἔπειτά με καὶ τοιαύτη τὶς ὑπόνοια, νὴ τοὺς θεοὺς εἰσῄει· ὁ ἄνθρωπος οὗτος, ἥκει μὲν ἐχθροῦ γνώμῃ· καὶ παρεκινδύνευσεν ἐπὶ τῷ τὰ τῆς πόλεως εἰδὼς ἀπελθεῖν· ἁλοὺς δὲ, πλάττει τὸ τῶν πολλῶν. τί δὲ τοῦτό ἐστιν; ὁ σαφῶς ἐγνωκὼς, ὅτι τεθνήξεται, πλάττει λόγους, ἐπὶ τῷ τὸ παρὸν[76] διακρούσασθαι. καὶ ταράττει τοὺς ἑλόντας αἰτίαις ψευδέσιν ἐφ' ἑαυτούς. ἐκ μέσων οὖν ἁρπάσαντες οἱ δυσμενῶς τισιν ἔχον-

[75] ἄλλοις] malim τοῖς ὁμοφύλοις, aut τοῖς ἀστοῖς.

[76] ἐπὶ τῷ τὸ παρὸν] sic W. τὸ deest M.

ἔχοντες, δέουσι, στρεβλοῦσι, βασανίζουσι, πᾶσαν ἰδέαν κακῶν προσάγουσιν, ἐξ ὧν στάσεις ἐθέλουσι φύεσθαι, καὶ ὅσα φέρουσιν αἱ στάσεις. ἡγοῦνται γὰρ ἐν τοῖς κοινοῖς θορύβοις, ἢ τὴν σωτηρίαν ἥξειν, ἢ βραδυτέραν τὴν τελευτήν. καὶ πως καὶ τὸ συνεπισπάσασθαι τοὺς ἔξω τῆς αἰτίας, ἔχει τινὰ τοῖς δικαίως ἀπολουμένοις ἡδονήν. ἕνα τούτων ἐνόμιζον καὶ τὸν ξένον ἐκεῖνον, καὶ τῇ πρὸς τὴν πόλιν προνοίᾳ τῇ παρὰ τῶν νόμων,[77] ὀξέως ἐχρησάμην, μή τι ῥῆμα ψευδὲς ἐμπεσὸν, ἀνατρέψῃ πάντα. εἰ δ' οὐκ ὀρθῶς ἐδόξαζον, ἥμαρτον, οὐκ ἠδίκουν. πολὺ δὲ, οἶμαι, διέστηκε, κακῶς ὑπολαβεῖν, καὶ τύραννον ἀγαπᾷν. καὶ οὐ ταυτὸν δήπου, στρατηγὸς εὔνους, καὶ μάντις. ὁ μὲν οὖν φόβος ὃν ἐφοβήθην, εὐνοίας ἦν· τὸ δὲ μηδὲν ἀγνοῆσαι τῶν ἐσομένων, ἄλλης ἐδεῖτο τέχνης. ἔτι τοίνυν αὐτὸς ἐκεῖνος παρεῖχε τὰς ὑποψίας, ὃς ἀφεὶς ἐμὲ, καὶ τοὺς πρυτάνεις, καὶ τὰς ἄλλας τύχας,[78] τὴν ἐκκλησίαν, τῶν νόμων[79] ὑπερβαίνων, ἑώρα, καὶ τῶν λεγομένων καὶ κυρουμένων ἠκροᾶτο· τοῦ δὲ μηνύοντος, οὐ σκαιωρουμένου,[80] τί ποτ' ἦν; ἐλθεῖν ἐπὶ τὸν στρατήγιον· εἰπεῖν ὅ, τι βούλοιτο. συγγενέσθαι τῷ στρατηγῷ καταμόνας, ἐντυχεῖν,[81] διαλεχθῆναι, διηγήσασθαι, διδάξαι πῶς ἔφυ τὸ κακὸν, ποῖ πρόεισιν, τίς ὁ τύραννος, τίνες οἱ συνεργοί. μὴ πρὶν νοῆσαι, τὸν δῆμον βλάψαι τῇ τῶν νόμων ὑπεροψίᾳ· μηδὲ, φάσκοντα κήδεσθαι τῶν νόμων, ἄρξασθαι τῆς εὐεργεσίας ἀπὸ τοῦ καταλῦσαι νόμον· ὃν ᾔδει δήπουθεν κείμενον, εἰ μὴ νὴ Δία τῆς πολιτείας, ἧς ἐφρόντιζε, ξένος ὤν, ἄπειρος ἦν. ἀλλ' ἤδη συνειλεγμένων ἧκεν; ἀναμεινάτω· μικρὸν ἐπισχών· προσίτω τοῖς ἄρχουσιν· οὐδὲ γὰρ εἰς τὴν ἐκκλησίαν ἔμελλε δήπου βοήσεσθαι[82]

τὸ

[77] consentit W. vulgatae. verum dubio caret, post νόμων deesse aut ἰσχύϊ aut ὀργῇ.

[78] malim τιμάς.

[79] lege τὸν νόμον.

[80] σκαιωρουμένου] sic saepissime W. exaratum dat hoc verbum, per αι, loco ευ. m. M. dat ἰσ. σκευωρ.

[81] ἐντυχεῖν videtur delendum, vt idem significans cum συγγενέσθαι.

[82] βοήσεσθαι] sic m. W. sed in t. βιάσασθαι. M. dat βοήσασθαι.

τὸ ἀπόῤῥητον· τοῦτο γὰρ ἦν οὐ καλῶς ἡμῖν παραδιδόντος τὴν θήραν· οὐδ' ὅπως κωλυθείη τὸ κακὸν πράττοντος· ἀλλ' ὅπως εὐθέως ἐν ταραχαῖς εἴημεν· ἃ καὶ ὑμεῖς[83] ἐνθυμούμενοι, καὶ ταυτά μοι περὶ τοῦ ξένου φρονοῦντες, ὁρῶντες ἀγόμενον, παρὸν ἀντιλαμβάνεσθαι, καὶ κελεῦσαι μὴ κτείνειν, εἰάσατε, ἐπετρέψατε, τῷ μὴ παῦσαι, τὴν σφαγὴν, ἐπῃνέσατε τὸν φόνον, τῷ μὴ μέμψασθαι τὸν ἄγοντα, τὸν ἀγόμενον δεῖν ταῦτα παθεῖν ἐκρίνατε. εἰ δ' ἦν ὑμῖν βουλομένοις σώζειν, τίνα ἐμποδών;[84] οὐκ ἤρκει ῥήματα δύο φῆσαι, καὶ τοσοῦτον εἰπεῖν, ἔα τὸν ἄνθρωπον. οὐ γὰρ δή τοῦ δήμου παντὸς ἰσχυρότερος ὁ στρατηγός. οἷς οὖν εἰάσατε κτεῖναι, τὸ γοῦν καθ' ὑμᾶς, καλῶς[85] τὸν φόνον[86] ὁμολογεῖτε. μὴ τοίνυν, εἰ πᾶσιν ἤρεσκεν, ἀπὸ τούτων ἐγὼ μόνος φεύγω, οὗ τὴν γνώμην, ἄνευ τῶν τε πρὸ τῆς τυραννίδος χρόνων, καὶ τῶν παρ' αὐτὴν ἔργων, δεικνύουσιν[87] οὖσαν δημοτικὴν, ἃ καθαιρουμένης ἤδη φαίνομαι πεποιηκώς. οὐ γὰρ, ὅπερ ἦν τοῦ πάλαι συνειδότος, φεύγων ᾠχόμην· οὐδὲ ἔδεισα μὴ κτανθείην μένων· οὐδὲ μίαν ἡγησάμην ἀσφάλειαν, μεταστῆναι. καί τοι προσβαλλόντων ἤδη τῷ τυράννῳ, καὶ τὴν ἐλευθερίαν ἀνακτωμένων, καὶ τοῦ πράγματος ζέοντος, ῥᾷστον ἦν ἤδη που,[88] γυναῖκα λαβόντα καὶ παῖδας, ἐλθεῖν ἑτέρωσε, καὶ ζῆν ἔξω τῶν ὑμετέρων νόμων, ἐπὶ πάσης ἀδείας. ἀλλ', οἶμαι, τῷ μηδὲν ὑμᾶς ἠδικηκότι τῆς πατρίδος οὐδὲν ἥδιον. ἔμενον οὖν θαῤῥῶν, οὐδενὸς ἐξελαύνοντος φόβου. μὴ οὖν, ὦ ἄνδρες, τὸν μεθ' ὑμῶν κατ' ἄγνοιαν τοῦ μέλλοντος ἔννομον φόνον, μᾶλλον οἰηθείητε πονηρίας σημεῖον, ἢ τὸ μὴ ταραχ-

83 ἡμεῖς m. M.

84 malim τί ἦν ἂν ἐμπ.

85 καλὸς W.

86 probo quod Mor. ἔχειν addit. sed et ὁμολογεῖτε debebat corrigere in imperfecto.

87 δεικνύασιν] sic et W. neque prorsus improbo, bene gnarus, substantiuis aut adiectiuis articulisue generis neutrius haud raro adiungi, pro singularibus verborum numeri pluralis. quo de more dixi ad Lysiam. verum Libanius ita non solet. quocirca nullus dubito, hic leg. esse δείκνυσιν in sing. ob insequens ἅ.

88 malim ἦν δήπου.

ταραχθῆναι τῇ καθαιρέσει τȣ̃ τυράννȣ, τῆς ϛρατηγοῦ[89] δικαιοσύνης[90] σύμβολον. μηδὲ τοσούτων ὄντων, τῶν τὴν αἰτίαν λυόντων,[91] σπουδῆς ἐν ϛρατείᾳ,[92] μίσους πρὸς ἀντιπάλους,[93] ἐπιμελείας τῶν νόμων, ἣν ἐποιησάμην ὑπὲρ ὑμῶν, αὐτȣ̃ τȣ̃ μεμενηκέναι παρ' ὑμῖν ἐν τῇ μεταβολῇ τῶν πραγμάτων ὑμεῖς τῇ τῶν κατηγόρων δεινότητι πλέον, ἢ τῇ τῶν ἔργων ἀληθείᾳ δότε. μιαρὸν ἔθνος, ὦ ἄνδρες, τὸ τῶν συκοφαντῶν ἐν ταῖς πόλεσι τρέφεται, κατὰ τῶν κειμένων νόμων, κατὰ τῶν ἐπιεικῶν ἀνθρώπων, κατὰ τῶν ὀμωμοκότων δικαϛῶν. τοὺς μὲν γὰρ ȣ̓δὲν ἀδικȣ̃ντας σπχράττȣσι, τοὺς δὲ νόμους ὅταν τȣ̃το ποιῶσιν, ἀναιροῦσι· τοὺς δὲ ἐπὶ τοῖς ὅρκοις καθημένȣς, μετὰ τῶν κρινομένων εἰς τὰ μέγιϛα ζημιοῦσιν. οἱ μὲν γὰρ ἀποθνήσκȣσιν· οἱ δὲ, μετὰ ἀρᾶς ζῶσι, καὶ παραπέμπȣσιν εἰς παῖδας τὴν βλάβην. ὥσπερ ȣ̓̃ν τοὺς πολεμίȣς κοινῇ τοῖς ὅπλοις ἀναϛέλλομεν, ȣ̈τω δεῖ[94] καὶ τὴν τῶν συκοφαντῶν ἀναίδειαν καὶ βίαν, ὑπὸ τῶν ἀεὶ δικαζόντων ἀνείργεσθαι. δι' ȣ̈ς τὸ μηδὲν ἀδικεῖν ἴσȣς ἔχει κινδύνȣς τῷ πονηρεύεσθαι· καὶ παραπλησίως ὑπὸ τὰς ψήφȣς ὅ, τ' ἐπιεικέϛατος, καὶ ὁ σχετλιώτατος ἄγεται· καὶ πλείους γε τῶν χρηϛῶν, ἢ τῶν φαυλοτέρων ἀπόλλυνται. οἱ μὲν γὰρ ἅμα τοῖς ἀδικήμασιν ὅ, τι ἐροῦσι μεριμνῶσι. τοὺς δὲ, τὸ πιϛεύειν τοῖς βεβιωμένοις, ἀπαρασκεύους παραδίδωσι τοῖς μελετῶσι λέγειν. οἷς ὑμεῖς, ὦ ἄνδρες, ποιήσατε τὴν μελέτην ταύτην μάταιον, καὶ τὴν δεινότητα ἀσθενῆ, καὶ τὴν ἀναισχυντίαν ἄκαρπον· ὡς νῦν γε τὰς ἄλλας ἀφέντες ἐργασίας, ἐφ' αἷς οἱ βέλτιϛοι τῶν πολιτῶν βιοῦσι, καρποῦνται τὰ δικαϛήρια, τὰς γλώττας ἀντὶ ξιφῶν ἀκονῶντες. ἔδωκέ τις φοβηθεὶς, βέλτιϛος, ἐπιεικὴς, ἐπαίνων ἄξιος. ȣ̓κ ἠξίωσε προέσθαι μηδὲν ἀδικῶν, πονηρὸς, τυραννικὸς, πάντα ἠδίκηκε. τῶν οὖν δικαζόντων ἕκαϛος πιϛευέτω ταχέως εἰς τῶν φευγόντων

[89] τȣ̃ ϛρατ W. t. W. et M. dant κωλυόντων.

[90] δικαιοσύνης] sic W. δικαίας ποινῆς M.

[91] λυόντων] sic W. in marg.

[92] malim ϛρατηγίᾳ.

[93] malim πρὸς τȣ̀ς ἀντιπάλȣς.

[94] δεῖ] sic W. δὴ M.

γόντων ἔσεσθαι, καὶ τὴν αὐτοῦ ψῆφον περὶ τῶν ἄλλων, τοῖς ὕστερον αὐτῷ δικάσουσιν εἰς παράδειγμα καταλιπέτω,[95] παιδεύων μὴ προστίθεσθαι τούτοις τοῖς θηρίοις, οἳ πείθουσιν[96] ὑμᾶς, ὃν πρώην ἐπῃνεῖτε, καὶ τοῖς ὅλοις ἐφιστᾶτε, τοῦτο παραδοῦναι τῷ δήμῳ.[97] καὶ τί γένοιτ' ἂν αἴσχιον πόλει, ἢ ὅταν αὐτοὶ οἱ στρατηγοὶ ψήφῳ δικαστῶν ἀπίωσιν,[98] οἷς ἔρις ἐν ὅπλοις[99] ἀποθανεῖν. οὐκ ἴστε, ὅτι πρὸς τῷ[100] μὴ δίκαιον εἶναι κτεῖναι τοὺς ἀναμαρτήτους, καὶ παρασκευάζει[1] τοὺς ἐχθροὺς τῶν ὑμετέρων στρατηγῶν καταφρονεῖν· ὡς οὐκ ἀπ' ἀρετῆς ἐπὶ ταύτην ἀγομένων τὴν τάξιν; νῦν μὲν οὖν ὑμᾶς παρώξυνε τὸ τῆς τυραννίδος ὄνομα, παρὰ τῶν κατηγόρων ἄνω καὶ κάτω λεγόμενον. χρὴ δὲ ἐννοεῖν, ὡς ἤδη τινες θάνατον τοῦ κρινομένου καταγνόντες, αὐτῶν ἐπελάβαντο, μηκέτ' οὔσης ἐπανορθώσεως τῷ κακῷ. μόνου δ' ἑνὸς λειπομένου, τοῦ μέμφεσθαι σφίσιν αὐτοῖς, ὃ μὴ πάθοιτε[2] νῦν ὑμεῖς. καὶ γὰρ εἰ μὲν ἐμέλλετε στρατηγοῦ στερήσεσθαι μόνον, τάχ' ἂν ἦν οὐ μέγα. νῦν δ' ἡμῖν, ὦ ἄνδρες, περὶ τῶν νόμων ὁ λόγος· πᾶς νόμον, ἐγὼ τηρήσας, κρίνομαι. νόμον, τὸν ἐν τῷ κρύπτειν τὰς ὑμετέρας βουλὰς, διδόντα τῶν πολεμίων κρατεῖν. ἂν οὖν ταύτης τῆς φυλακῆς δῶ δίκην, τίς οὐ καταλύσει τοὺς ἱεροὺς, τοὺς στρατιωτικοὺς, τοὺς περὶ τῶν προδοτῶν, τοὺς περὶ σωφροσύνης, τοὺς περὶ τῶν ἱεροσύλων καὶ τυμβωρύχων. ἐῶ τ' ἄλλα, ὦ ἄνδρες· τὰς ἐκκλησίας τίς ἔτι φοβήσεται ξένος; τίς οὐχ ἥξει; τίς οὐ τολμήσει; τίς οὐ παραδὺς καθεδεῖται συλλέγων τὰ νικῶντα παρ' ὑμῖν, τοῖς

τὰ

[95] παράδειγμα καταλιπέτω] sic W. sed in marg. γρ. καταλιμπανέτω. M. dat παραδείγματα λιπέτω.

[96] ἴσ. ἃ πείθει m. M.

[97] lege τῷ δημίῳ *carnifici.*

[98] ἀπίωσιν] scil. ἐκ τοῦ βίου. sic solet Libanius ἀπιέναι vsurpare pro *mori.*

[99] οἷς ἔρις ἐν ὅπλοις] sic W. in marg. qui contendere solent, vt in armis atque acie cadant. οἷς ἔρως ὅπλοις M.

[100] τῷ] sic W. praeterquam quod nefas est. τὸ M.

[1] παρασκευάζει] scil. τοῦτο τὸ ἔθος, τὸ ἀποκτείνειν ἀναμαρτήτους.

[2] πάθητε W.

τὰ λυσιτελοῦντα[3] ζητοῦσι; τί δὲ τῶν ψηφισμάτων οὐ πανταχοῦ γῆς καὶ θαλάττης ἐξενεχθήσεται;[4] ποῖον δὲ ἀπόῤῥητον ἔτι πρὸς Διὸς κρείττω ποιήσει τῶν πολεμίων τὴν πόλιν; ὅταν ἴσασι, μεθ᾽ οἵων βουλευμάτων ἐπ᾽ αὐτοὺς ἴμεν μαχούμενοι; οὐκοῦν οἱ μὲν πέμποντες δεῦρο τοὺς κατασκόπους, ἔσονται πολλοί· οἱ δὲ ταῦτα διακονοῦντες οὐκ ὀλίγοι. ὁ δὲ κολάζων τοὺς ἁλισκομένους, οὐδείς. ἢ τίς, εἰπέ μοι, στρατηγός, πάνυ γε πρὸς τὴν ἐμὴν τιμωρίαν βλέπων, οὐκ εἴσεται τοῦτο, ὅστις ἂν ᾖ, ὅτι τῷ μὲν ἁλόντι ῥᾷστον εἰπεῖν, ὡς ὑπὲρ τῆς πόλεως ἥκοι; τῷ δὲ τὸν νόμον βεβαιοῦντι ταῦτα, ἅπερ ἐμοί, προσβαλεῖ κατήγορος, καὶ γραφή; τίς οὖν οὕτως ἀνόητος, ὃς ὑπὸ τούτων, οὓς εὖ πειρᾶται ποιεῖν, κεῖσθαι βούλοιτ᾽ ἄν; ἃ τοίνυν πρὸς τοὺς ἐπιτηδείους, ὅτε μοι παρῄνουν τοῖς δάκρυσι τῶν παιδίων ἐμαυτὸν ἐξαιτεῖσθαι, διείλεγμαι, ταῦτα καὶ πρὸς ὑμᾶς ἐρῶ. εἰσί μοι παῖδες,[5] ὦ δικασταί, παιδευόμενοι κατὰ τοὺς ὑμετέρους νόμους, καὶ τούτων[6] ἀκούοντες ἀεὶ παρ᾽ ἐμοῦ, ζῆν ὡς ἐκεῖνοι κελεύουσι. τούτους[7] ἀπεῖπον, μηδένα λέγειν[8] ἐπὶ τὸ βῆμα. μὴ γὰρ σῴζοιτο παρ᾽ ὑμῖν στρατηγός, διὰ παῖδας ἐλεούμενος ἢ γυναῖκα κλαίουσαν· ἢ μητέρα δακρύουσαν· ἢ πατρὸς δακρύοντος πολιάν, ἢ φίλους παρεστῶτας. ἐκ τῶν πεπραγμένων ἕκαστος ἀποφευγέτω καὶ κολαζέσθω· κἂν ἄπαις τις ᾖ, δίκαιος, ἀθῷος ἀπίτω. κἂν πολλῶν πατὴρ πονηρός, ἀποθνησκέτω. τίσιν οὖν ὑμᾶς ἀντὶ τῶν παίδων ἀξιώσαιμ᾽ ἂν προσέχειν; τῇ τῶν στρατιωτῶν εὐταξίᾳ, ταῖς ἐξόδοις, ταῖς μάχαις, τοῖς στρατηγήμασι, τοῖς ἔργοις. πέμψατε λάθρα παρὰ τοὺς πολεμίους. εἰ μισοῦμαι παρ᾽ ἐκείνοις, ζητήσατε· καὶ νομίσατε τῆς αὐτῆς εἶναι ψυχῆς, μήτε τοῖς ἔξω, μήτε τοῖς εἴσω τῆς πόλεως ἐχθροῖς ἐπὶ τῇ πόλει[9] διαλέγεσθαι.

[3] τὰ λυσιτελοῦντα] subaudi ἑαυτοῖς.

[4] ἐξενεχθήσονται W. et m. M.

[5] εἰσί μοι παῖδες] sic W. εἰσὶν οἱ π. M.

[6] τούτων abesse malim.

[7] τούτους] sic W. τούτοις M.

[8] lege aut ἕλκειν, aut potius ἄγειν.

[9] ἐπὶ τῇ πόλει] in damn. reip.

γεσθαι. τί σκυθρωποὶ καὶ κατηφεῖς καὶ ταξίαρχοι, καὶ λοχαγοὶ, καὶ στρατιῶται; μνήμη τὶς ὑμᾶς εἰσέρχεται πεζομαχιῶν ἐκείνων, καὶ ὅσα[10] δι' ἵππων νενικήκαμεν, καὶ ποθεῖτε τὸν ἡγούμενον. ἀναμιμνήσκεσθε φροντίδων, καὶ σκεμμάτων, καὶ λύπης, οἷς ἐχρώμεθα, τῆς τυραννίδος ἐπικειμένης; ἱερῶν, ἐν οἷς ἡμεῖς εὐχόμεθα; πομπῶν ἃς ἐπομπεύσαμεν;[11] μυστηρίων ὧν ἐκοινωνοῦμεν; πόνων, οὓς ὑπεμένομεν; ἐλπίδων, ἃς ἠλπίζομεν; ἀλλὰ φέρετε, ὦ ἄνδρες, φέρετε τὴν παροῦσαν κρίσιν. οὐκ ἔστι πόλις, ἣ καθαρεύσει συκοφάντου. κἂν ἀποθάνω τῇ ψήφῳ, καὶ τοῦτο φέρετε. νομίσατέ με βέλει πολεμίων πεπτωκέναι. στρατηγὸς ὑμᾶς ἕτερος παραλήψεται, τὰ μὲν ἄλλα ἴσως βελτίων· εὐτυχέστερος δέ. ἔχων τὶ πρὸς τὴν τελευτὴν παραμύθιον, ἄπειμι. εἶδον τὴν πόλιν ἐλευθέραν· εἶδον ἰσχύοντας νόμους· εἶδον συνιόντα δῆμον. ὁρῶ πρὸς ὕδωρ ἀγῶνας. ἐπὶ ταύτης τῆς ἀσφαλείας τοὺς παῖδας καταλιπὼν, ἀπέρχομαι. ἑνὶ ταράττομαι μόνῳ, μὴ τοῖς στρατηγοῖς ἀμέλειά τις ἐγγένηται περὶ τοὺς νόμους τῷ φόβῳ, καὶ κρίνωσι συμφερώτερον τούτοις χαρίζεσθαι μᾶλλον, ἢ τῶν δικαίων εἶναι. ἀλλ' ὦ τῆς ἐμῆς τάξεως διάδοχοι· μὴ γὰρ δὴ τῶν ἀδίκων κρίσεων[12] γένησθε· μηδεμίαν γραφὴν φοβερωτέραν τοῦ γενέσθαι κακοὶ περὶ τοὺς νόμους ἡγήσησθε· μηδ' ἀναπετάσητε τὰς ἐκκλησίας τοῖς ξένοις. δυοῖν δὲ τούτοιν μάλιστα σώζετε τὴν πόλιν, τῇ τ' ἐν τοῖς ὅπλοις ἰσχύϊ, καὶ τῷ τηρεῖν τοὺς κειμένους νόμους.

10 ὅσα] sic W. ὅσοι M.

11 ἐπομπεύομεν W.

12 τῶν ἀδ. κρίσεων] subaudi ὑποχείριοι. ne committite, vt in potestate sitis illorum iniquorum iudiciorum. Est autem is in eorum potestate, qui eorum terrore agi se ducique patitur, ad agendum omittendumue ea, quae nefas sit fieri aut omitti.

ΜΕΛΕΤΗ.

ΥΠΟΘΕΣΙΣ.

Τὰς πλείους ψήφους κρατεῖν, νόμος ἐκέλευεν. ἑπτὰ δικαστῶν, δύο κατέγνωσαν θάνατον· δύο ἀτιμίαν· τρεῖς φυγήν. ἀξιοῖ φεύγειν ὁ κατεγνωσμένος.

ΟΡΟΣ τὸ ζήτημα.

ΠΡΟΘΕΩΡΙΑ.

ΜΕΣΤΟΝ πάθους καὶ ἀγωνίας τὸ ζήτημα· οὐ γὰρ ἐπ' ἀδήλοις τοῖς ἀδικήμασιν· ἀλλ' ἐπὶ φανεροῖς ὁ λέγων ποιεῖται τὴν πρόσοδον. ἐλήλεγκται γὰρ πανταχοῦ· ὅθεν μίξει τῷ λόγῳ δάκρυα, τὴν συμφορὰν διηγούμενος, ἵνα τῷ μεγέθει τῶν ἀτυχημάτων ἑλκύσαι δυνηθῇ τοὺς ἀκροατὰς πρὸς ἔλεον. δεῖ δὲ αὐτὸν φαίνεσθαι πανταχοῦ τοῖς δικασταῖς ὁμολογοῦντα χάριν· καὶ μάλιστα τοῖς φιλανθρωποτέραν θεμένοις τὴν ψῆφον· ἵνα καὶ τὴν τῶν ἀκουόντων φιλανθρωπίαν καρπώσηται. τὸ γὰρ ἀχαριστεῖν τοῖς φθάσασι, καὶ τὴν ἀπὸ τῶν αὖθις ἀκουόντων ἔχει κατάγνωσιν. ζητήσειε δ' ἄν τις πότερον δι' ἑαυτοῦ τῷ λόγῳ χρήσεται, ἢ συνηγόρου δεήσεται. φύσει γὰρ τοῖς ἀτίμοις λόγων οὐ μέτεστιν. ὅπερ ὁ σοφώτατος Δημοσθένης εἰδὼς, ἤδη καταγνωσθέντος τοῦ Στράτωνος, καλεῖ τοῦτον πρὸς τοὺς δικάζοντας· καὶ ὑπὲρ αὐτοῦ συνίσταται. καὶ πάλιν ἐν τῷ πρὸς Εὐβουλίδην, εἰσάγει μετὰ τὴν τοῦ δήμου κρίσιν καὶ κατάγνωσιν, οἰκείοις τὸν ἤδη κριθέντα λόγοις χρώμενον. ἐνταῦθα δὲ τὸ πρᾶγμα παντάπασιν ἄπορον. οὔτε[1] γὰρ ἐφέσει ἀγωνίζε-

[1] aut οὐδὲ leg. est aut, si οὔτε seruatur, deest aliquid, e. c. οὔτε γὰρ παραγραφῇ, οὔτ' ἐφέσει.

νίζεται, ἵνα καὶ φῇ, ὡς παρὰ δίκην κατέγνωσται· ἀλλ' ἡμεῖς εἰσάγομεν οἰκείοις τὸν κριθέντα λόγοις χρώμενον. οὐ πρῶτοι τοῦτο καὶ μόνοι νομοθετήσαντες· τοῖς δὲ σοφωτέροις τῶν πρὸ ἡμῶν ἀκολουθήσαντες. τὸ δὲ ἀπειροκάλων ὑπομένειν δόξαν φεύγοντες, τοσοῦτον περὶ τῆς ποιότητος ἐροῦμεν μόνον. οὐ γὰρ ὡς πρὸς ἀγνοοῦντας,[2] ἢ καὶ τοὺς ἄμεινον ἡμῶν εἰδότας, οἱ λόγοι γίνονται· τῶν δὲ ἀπειροτέρων ἀκουόντων ἕνεκα. καθόλου τοίνυν ἐπὶ τῶν τιμήσεων, ὅταν μὲν ἑαυτοῖς αἰτῶμεν χαλεπώτερα,[3] ἐσχηματισμένον ἀνάγκη τὸν λόγον προάγεσθαι. οἷον εἰ προκειμένης ἀτιμίας, αἱρούμεθα[4] θάνατον. ὡς ἐπ' ἐκείνου τοῦ ζητήματος· μετὰ Χαιρώνειαν γράφει Δημοσθένην Αἰσχίνης τοῦ λοιποῦ μὴ πολιτεύεσθαι. Δημοσθένης ἑαυτῷ τιμᾶται θάνατον. οὐ γὰρ ἵν' ἀπόλληται[5] τὴν τελευτὴν αἰτεῖ· ἀλλ' ἵν' ἕτερόν τι διαπράξηται. ὅταν δὲ κουφοτέραν αἰτῶμεν συμφορὰν, προκειμένης καὶ τῆς χείρονος, ὡς ἐπὶ τοῦ προκειμένου πλάσματος, ἀσχημάτιστον καὶ καθαρὸν τὸ αἰτούμενον, ἀπ' εὐθείας τοῦ λέγοντος ποιουμένου τοὺς λόγους. πεπεισμένοι δὲ ὑμᾶς εὐγνώμονας ὑπάρχειν ἀκροατὰς, ἡγοῦμαι μήτε τῷ τάχει τῶν προοιμίων, μήτε τῇ καταστάσει μέμψασθαι. ποῦ γὰρ ἡμᾶς μηκύνειν ταῦτα καιρὸς, δευτερολογίας δύναμιν τοῦ ζητήματος ἔχοντος; καὶ πάντα μετὰ ἀκριβείας τῶν ἀκουόντων εἰδότων. εἰ δὲ πρὸς ἕκαστον τῶν ὑποπιπτόντων οἰκείως καὶ γοργῶς ἀπηντήκαμεν, καὶ μετὰ πάθους μὲν τὰ προοίμια· ἐλεεινὴν δὲ τὴν διήγησιν καὶ τὰς ἀντιθέσεις πεποιήμεθα, τὸ πλεῖστον τοῦ πάθους ἐν[6] τοῖς ἐπιλόγοις τηρήσαντες,[7] καὶ ὥσπερ ἐν κοινῷ τόπῳ τὸν ἔλεον ἐν τῷ τέλει καταπραττόμενοι, καὶ πάντα μετὰ ἀκριβείας διήλθομεν, οἱ σὺν ἐπιστήμῃ ἐπαινεῖν μαθόντες, οὐκ ἀγνοήσουσιν.

[2] post ἀγνοοῦντας subaudi μᾶλλον.

[3] χαλεπώτερα] aut sic cum W. et m. M. leg. est, aut si vulgata χαλεπώτερον seruatur, addendum erit ἐπιτίμιον.

[4] malim αἱροίμεθα.

[5] malim ἀπόληται in aor. 2.

[6] malim ἐν abesse.

[7] τηρεῖν h. l. est *reseruare*.

ΚΑΤΕΓΝΩΣΜΕΝΟΥ ΛΟΓΟΣ.

ΕΙΔΩΣ ὑμᾶς, ὦ ἄνδρες πολῖται, καὶ τοῖς ἀτυχοῦσι τῶν πολιτῶν συναχθομένους, καὶ πρὸς τὴν ἀγνώμονα καὶ πονηρὰν τύχην ἐναντίως διακειμένους, ἀπήτηκα, σωτηρίαν μὲν οὐδ᾽ ἡντινοῦν, οὐδὲ ἀσφάλειαν αἰτήσων· κατέγνωσμαι γὰρ ἐπὶ τοῖς ἐσχάτοις· καὶ δεῖσθαί μοι καιρὸς περὶ τούτων οὐκέτι· ἄλλα δὲ παρ᾽ ὑμῖν δεησόμενος ἥκω, ἃ τοῖς ἀτυχοῦσιν εἰς παραμυθίαν λείπεται. τουτέστι τὴν τῆς ἐνεγκούσης ἀλλοτρίωσιν. εἰς τοῦτο γὰρ ἤδη τἀμὰ περιέστηκε πράγματα, ὥστε τὴν ἀειφυγίαν ἐν μέρει τῆς μεγίστης φιλανθρωπίας παρ᾽ ὑμῖν αἰτεῖν νῦν. εἰ μὲν οὖν ἴσην πάντες, ἢ μίαν κατ᾽ ἐμοῦ τὴν ψῆφον ἤνεγκαν οἱ δικάσαντες, οὔτ᾽ ἂν ἐδεήθην προσόδων· οὔτ᾽ ἂν ὑμᾶς εἰσελθὼν αὖθις ἠνώχλησα· ἀλλ᾽ ἀναμείνας ἂν τὸν δήμιον, ἀπηλλαττόμην· ἐπειδὴ δὲ με θανάτῳ, καὶ φυγῇ, καὶ ἀτιμίᾳ μερίζουσιν, οὐκ ἔχω τίς γένωμαι. μίαν δὲ ταύτην εὗρον παραμυθίαν, τὴν ἀπὸ τῆς ὑμετέρας φιλανθρωπίας ῥοπήν. καὶ δέομαι ταῦτα κατ᾽ ἐμοῦ κυρώσατε, ἃ καί τισιν ἤδη τῶν δικαστῶν ἔδοξε. τοῖς μὲν οὖν δικασταῖς, οὐδὲν ἐγκαλῶ. καὶ γὰρ δίκαιον οὕτω με καὶ φρονεῖν περὶ αὐτῶν καὶ λέγειν. οὐδὲ γὰρ τῇ τῶν δικαζόντων, τῇ δὲ τῶν ἀγωνιζομένων τύχῃ τὸ πρᾶγμα τῆς ἥττης κρίνεται. εἰ γὰρ ἠγνόησάν τινες, καὶ διδασκόμενοι, τοῦτο οὐκ ἐκείνοις, τῷ δὲ ἀτονήσαντι συνειπεῖν, ζημία γίγνεται. διὸ πρὸς μὲν τούτους οὐδέν· πρὸς δὲ τοὺς ἐπηρεάζειν ἐμοὶ συνεχῶς εἰθισμένους, καὶ μηδὲ κόρον τῶν κατ᾽ ἐμοῦ κακῶν τὴν ἐμὴν ποιουμένους συμφοράν· ἀλλὰ καὶ μακρότερα χαλεπαίνοντας τοῦ δαίμονος, ἀπήντηκα εἴπως ἄρα δυναίμην πείσειν ὑμᾶς, μὴ τῇ τῶν κατηγόρων ὑπερβολῇ, τῇ δὲ τῶν ἀτυχούντων συμφορᾷ, τὴν ἀκοὴν ἐνδοῦναι καὶ τὸν ἔλεον. μέλλων δὲ τὴν ἐμαυτοῦ τραγῳδεῖν, ὦ ἄνδρες πολῖται, τύχην, εὐ-

τολ-

τολμότερος πρὸς τὸ δακρύειν καὶ παρακαλεῖν γίνομαι· δεδοικὼς μὲν μὴ τοὺς κακοήθεις πάλιν οὐ διαφεύξομαι· οὐ μὴν ἀλλὰ καὶ ὑμᾶς εἰδὼς τοῖς ἀτυχοῦσι τῶν πολιτῶν μᾶλλον ἢ τοῖς ἐπηρεάζειν βουλομένοις χαριζομένους, καὶ ῥέποντας.[8] καὶ γὰρ ὅτ' ἐκινδύνευον πρότερον, ἑώρων τοὺς πολλοὺς ὑμῶν συμπαθῶς κινουμένους, εἰς οὓς καὶ νῦν καταφεύγω· ἵνα καὶ τὴν τῶν δικαστῶν κρίσιν βεβαιώσητε, καὶ τὴν πολλὴν τῶν κατηγόρων ὠμότητα παύσητε. καὶ ἐμοὶ τῷ δυστυχοῦντι φιλανθρωποτέραν τὴν συμφορὰν καταστήσητε. ἐξ οὗ γάρ, ὦ ἄνδρες πολῖται, τῇ πόλει γεγένημαι, παρηκολούθησέ μοι πονηρός τις δαίμων καὶ βάσκανος, οὔτε τὴν ἡσυχίαν,[9] οὔτε τὴν πολιτείαν ἡμῖν ἐπιτρέπων ἀκίνδυνον, ἐν ἀγοραῖς, ἐν θεάτροις, ἐν ἐκκλησίαις, ἐν πανηγύρεσι· πανταχοῦ τὰ ἐμὰ πολυπραγμονῶν μόνα· λέγοντι πολλάκις ἐβάσκαινεν· ἐκκλησιάζοντι συνήδρευε· βουλευομένῳ συμπαρῆν· δικαζομένῳ, προὐξένει τὰ χείρονα· ὢ πόσα πρὸς τοῦτο ἡμῖν ὠδυράμην πολλάκις· ὢ πόσας κατ' ἐμαυτὸν ἀφῆκα φωνάς. συγχώρησον ἡμῖν,[10] ὦ τύχη, πρᾶξαί τι λυσιτελέστερον· ἔασον ἀπόνασθαί μου τῆς προθυμίας τὴν πόλιν· δημοτικός εἰμι· λέγειν ἱκανός· πολιτεύεσθαι δυνάμενος. κἂν πολεμίων ἐπίῃ στρατός, οἶδα αὐτῷ ὑπὲρ τῆς ἐνεγκαμένης παρατάττεσθαι. διὸ οὐκ οἴσει μου τὴν ὑπὲρ τῆς πόλεως προθυμίαν, οὐδὲ φάλαγξ. ταῦτα καὶ τὰ τοιαῦτα πολλάκις ἐγὼ κατὰ τοῦ δαίμονος. ὁ δὲ ὥσπερ ἐπὶ τἀναντία παρακαλούμενος, ἐφήδρευε παιδαγωγῶν ἡμᾶς ἐπὶ τὰ χαλεπώτερα· οὔτε κοινῇ, οὔτε ἰδίᾳ συγχωρῶν τὰ ἀμείνονα. συμπαραθέων δὲ ἡμῖν ἄνω καὶ κάτω, οὐδὲ μετὰ τὴν συμφορὰν σπένδεται. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; τί δὲ περὶ τῶν αὐτῶν ἐνοχλεῖν καὶ δεύτερον; ἴστε γὰρ ἅπαντες τὰ κατ' ἐμοῦ δόξαντα· καὶ ὡς εἰσηγόμην εἰς δικαστήριον, καὶ ὡς κατήγοροι καθ' ἡμῶν

8 f. καὶ ταύτῃ ῥέποντας.

9 οὔτε τὴν ἡσυχίαν] sic W. haec verba desunt M.

10 συγχώρησον ἡμῖν,] sic W. ἡμῖν deest M.

ἡμῶν εὐπρεπεῖς.[11] καὶ ὡς, ὁ δεῖνά φησιν ἀδικεῖ τῶν πολιτῶν[12] δεικνύς τὶς ἐμὲ· τὰ καὶ τὰ διαπραττόμενος, καὶ τάδε ποιῶν. πόσας ἐνδείξεις· πόσας ἀπαγωγὰς καταπραττόμενος· καὶ τέλος ἀνηρπαζόμην· καὶ παραδοθεὶς, ἠγόμην πρὸς τοὺς δικάζοντας. ἐγὼ δὲ, τὰ μὲν, ἀνιώμενος. τὰ δὲ πρὸς τοὺς κατηγόρους ἀγωνιζόμενος· τὰ δὲ ὑπὸ τοῦ πάντα πολεμοῦντος ἐλαυνόμενος δαίμονος, τὰς μὲν πρώτας ἀπεκρουόμην γραφάς. καὶ πρὸς ἕκαστον τῶν κατηγόρων ἐπήρκεσα. τέλος δὲ κατ᾽ ἐμοῦ συνθέντες ἄτοπα, οἷά τινες μηχανοῤῥάφοι κακῶν, συνεργὸν τῆς γραφῆς τὴν κατ᾽ ἐμοῦ τύχην κτησάμενοι, αἴρουσι[13] παρὰ τοῖς δικασταῖς·[14] καὶ τὴν νικῶσαν ἀπάγονται[15] ψῆφον. ἐγὼ δ᾽ ὥσπερ οἱ δυσσεβεῖς ἐπὶ γῆς βλέπων, ἔστενον. τῇ[16] τῶν δικαζόντων ἐξουσίᾳ κείμενος. καὶ περιμένων ἐκεῖθεν χεῖρον,[17] ἢ μέτριος τὸ ἀτύχημα, καὶ ἀεὶ πληγήσεσθαι προσδοκῶν· ἐνταῦθα τοίνυν, ὦ ἄνδρες πολῖται, πῶς τὴν τῶν δικαζόντων ὑμῖν φιλανθρωπίαν διηγήσομαι; οὐ γὰρ ἐπῆρε πάντας εἰς ἀπανθρωπίαν αὐτοὺς ἡ τῶν κατηγόρων ἀπόνοια· οὐδὲ ἡ πάντα μοι χαλεπαίνουσα τύχη τοσοῦτον ἴσχυσεν, ὡς ὁμογνώμονας περὶ θάνατον γενέσθαι σύμπαντας· ἀλλ᾽ οἵ γε πλείους αὐτῶν καὶ κατηγόρων ὠμότητα, καὶ τύχης ἤλεγξαν πονηρίαν, καὶ δεδώκασιν ἡμῖν μικροῦ πάντες τὸ σώζεσθαι· βαθμῷ τινι πρὸς φιλανθρωπίαν καταβεβηκότες· καὶ ἀπὸ τῶν χαλεπωτέρων μεταδραμόντες[18] ἐπὶ τὰ κουφότερα. ὡς εἶναί μοι μέσην τὴν συμφορὰν, καὶ μετρίαν καὶ χείρονα· εἴη δὲ ταύτην καθ᾽ ἡμῶν ἰσχύσαι, ἣν αὐτοί τε λαβεῖν ἱκετεύομεν, ὑμῖν τε πρέπει φιλανθρωπεύσασθαι. ἀλλ᾽ ἐρεῖ τις, παρελθὼν παρὰ τὸν νόμον ἀξιοῖς. τῶν

[11] num εὐτρεποῖς parati?

[12] τῶν πολιτῶν cohaeret cum τις ciuium quidam ait, me designans.

[13] lege αἱροῦσι.

[14] γρ. δικάζουσι m. M.

[15] Scholium in marg. W. λαμβάνουσι.

[16] malim εἰς γῆν βλέπων ἔστενον, ἐν τῇ —

[17] post χεῖρον subaudi μᾶλλον.

[18] καταδραμ. m. M.

τῶν γὰρ τὴν φυγὴν κατεγνωκότων, πλείους οἱ λειπόμενοι. καταρίθμει τὰς γνώμας, μὴ τοὺς δικάζοντας, ἄνθρωπε· καί μοι τὰς ψήφους ὅρα, ἀφεὶς ἐξ[19] ἡμισείας μερίζειν τοὺς κατεγνωκότας. τί γνώμας εἰς δύο μερίζεις πλείονας; τί δὲ καταλέγεις ἡμῖν τῶν δικαστῶν τοὺς τέσσαρας, ἀπεσχισμένους τοῖς βουλεύμασι. μέριζε κατ' ἄνδρα τὴν βούλησιν· καὶ τοὺς τὴν φυγὴν κατεγνωκότας, εὑρήσεις πλείονας. σὺ δέ μοι τὰς γνώμας συνάπτων, ἀπὸ τούτων οἴει παρακρούεσθαι.[20] οὐχ οὕτως ὁ δῆμος παρακρούεσθαι πέφυκεν. οἶδε τὰς γνώμας· οἶδε τοὺς δικάσαντας, μεθ' οἵας βουλῆς ἐκύρωσαν· θάνατον ἐξ αὐτῶν τινες, ἀτιμίαν ἕτεροι· φυγὴν οἱ πλείους εἰρήκασιν. εἰ μὲν οὖν διπλῆς οὔσης τῆς τιμωρίας, τὴν ἐλάττονα παρὰ τὸν νόμον ἐζήτουν, καλῶς εἶχεν ὁ παρὰ σοῦ λόγος. ἐπειδὴ δὲ τριπλῆν τὴν τιμωρίαν κατ' ἐμοῦ ἐξήνεγκαν, μὴ τὰς δύο συνάπτων ἅμα, νίκα τούτῳ τὴν λειπομένην τῷ σοφίσματι. πρὸς θεῶν, εἰ δὲ θάνατον ᾔτουν προσκὼν ἐγὼ, ἢ τὴν ἀτιμίαν κατά τινας τῶν δικασάντων, οὐκ ἂν εὐθὺς ἀνεβόησας, ἄνθρωπε, παρὰ τὸν νόμον αἰτεῖς· καὶ φεύγειν ἐξὸν, ἀτιμίας ἐρᾷς; οὐ δίδωσί σοι, κἂν ἐπιθυμῇς, τὸν θάνατον. δεῖ γὰρ ἐκείνην τὴν ψῆφον νικᾷν, ἣν οἱ πλείους τῶν δικαζόντων εἰρήκασιν. εἶτα σὺ μὲν, εἴπερ ἄλλου τινὸς ἐπεθύμουν ἐγὼ, τὴν φυγὴν διὰ τὸ πλῆθος ἀντέδωκας τῶν δικασάντων, ἐμοὶ δὲ αἰτοῦντι τὴν ἀναχώρησιν κατὰ νόμου οὐ δίδως· ἵνα δέ σε μετὰ ἀκριβείας πιστώσωμαι, αὐτό σοι τοῦ νομοθέτου γυμνάσω τὸ βούλημα. εἰδὼς γὰρ ὅτι πολιτεία νομοθετεῖ, παρ' ᾗ πλείους δικάζουσι, τὰς πλείους ψήφους κρατεῖν προσέταξεν, ᾔδει γὰρ ἀκριβῶς, ὅτι τῇ φύσει διαλλάττουσι πάντες ἁπλῶς οἱ δικάζοντες. καὶ ὁ μὲν τὴν γνώμην ἀπάνθρωπος· ὁ δὲ ἑτέρου μᾶλλον χρηστότερος. καὶ ὁ μὲν

19 τὰς ἐξ m. M.

20 malim παρακρούεσθαι. id est ἐξαπατήσειν. Scholium in marg. Mor. adscriptum ἐξαπατᾶσθαι non ad hoc primum, sed ad sec. παρακρούεσθαι erat referendum.

μὲν, ἀδικία προσφιλής· ὁ δὲ δικαιοσύνῃ σύντροφος· καὶ τῷ μὲν ὕβρις δοκεῖ τῶν ἐν τῷ βίῳ τὸ χαλεπώτερον·[21] τῷ δὲ, κυβεία καὶ μέθη. ἄλλος καθ' ἱεροσύλων ἄσπονδος· ἕτερος πολέμιος τοῖς κατὰ τῶν τετελευτηκότων χεῖρας ἐπιβάλλουσι. καὶ ἄλλος πρὸς ἄλλο τι τῶν ἀδικημάτων παροξύνεται πλέον. τὸν μὲν, ἐλύπησεν ἄδικος φόνος· τὸν δὲ, εἴ τις τοὺς γεγεννηκότας κακῶς διέθηκε· φύσει γὰρ οἱ ἄνθρωποι καὶ μᾶλλον πάντων οἱ δικάζοντες, πρὸς πάντα μὲν ἀεὶ τὰ δυσχερῆ χαλεπαίνουσι· πλέον δὲ, ἃ πονηρά τις ὄντως ὑπείληφε. διὰ τοῦτο πολλοὶ μὲν ἀνδροφόνους ἔσωσαν, ἐπ' ἀδίκοις φόνοις ἡδόμενοι· πολλοὶ δὲ καὶ κατὰ τούτων[22] ἀπάνθρωπον ψῆφον εἰσήνεγκαν, φόνου μισοῦντες καὶ πρόσρημα. ἄλλοι τὸν πλεονέκτην ἀφῆκαν, ὡς οὐδὲν ἀδικήσαντα· τῇ τῆς πλεονεξίας ἡδονῇ καὶ αὐτοὶ κατεχόμενοι. κἂν τὸν ὑβριστὴν ἴδῃς μετὰ τὴν δίκην ἀνεύθυνον, νόμισον ὕβρει χαίρειν τοὺς δικάζοντας. καί τοί γε πολλοὶ μισεῖν οὕτως ὕβριν ἐγνώκασιν, ὡς καὶ τὸν μικρόν τι λοιδορησάμενον, πυρὶ παραδοῦναι καὶ μάστιξι. τοσούτων τοίνυν ὄντων, οἷς ἥδονται καὶ μισοῦσιν ἄνθρωποι, καλῶς ὁ τὸν νόμον τιθεὶς προσέταξε τὰς πλείους ψήφους κρατεῖν. ᾔδει γὰρ πολλάκις περιπεσεῖν τοὺς δικάζοντας ἀνομοίοις τοῖς δόγμασι καὶ ἄλλον ἄλλό τι πλέον κατὰ τῶν δικαζομένων ψηφίζεσθαι· τὸν μὲν, ἂν οὕτω τύχῃ, δημεύειν· τὸν δὲ ἀειφυγίαν, ἢ θάνατον· ἄλλον ἀτιμίαν, ἢ βρόχον, ἢ καὶ μέχρι ῥημάτων αὐτῶν τὴν ζημίαν ὁρίζοντα τῷ κατεγνωσμένῳ. εἰδὼς τοίνυν τοῦτο πολλάκις συμβησόμενον, οὕτως ἐνομοθέτησεν, ἵνα τοὺς δικαστὰς ταῖς γνώμαις μετρήσαντες πέρας τοῖς ἀτυχοῦσι τὴν πλείονα τούτων ψῆφον ποιώμεθα. ἀλλ' ἐροῦσιν, ἕτερον εὐθὺς κατασκευάσαντες λόγον· ὡς πολλοὺς τῶν ἐνοικούντων πονηροὺς γενέσθαι προξενήσομεν, εἰ ταῦτα τούτῳ χαρισόμεθα. ὢ παραδόξου λόγου, καὶ πονη-

[21] malim χαλεπώτατον.

[22] κατὰ τούτων] id est τῶν ἀδίκων φόνων. verum ſententia contrarium poſtulat κατὰ τῶν δικαίων. neque dubito, Libanium ita ſcripſiſſe.

πονηρᾶς ἐπινοίας κατ' ἐμοῦ πάλιν, καὶ τέχνης καὶ σοφίσματος; ἄνθρωπε· μὴ γὰρ δωρεὰν αὐτῷ μετὰ τὴν κατάγνωσιν; καὶ πανηγύρεως μετέχειν ἀξιῶ μετὰ τὸν ἔλεγχον· ἵνα καὶ πολλοὺς πονηροὺς εἶναι συμβήσεται; τιμωρίαν, οὐ δωρεὰν αὐτῷ· φυγὴν, οὐ πανήγυριν. ἀγνοεῖς ὅτι πολλοῖς ἡ φυγὴ πολλάκις θανάτου χαλεπωτέρα νομίζεται· ὁ μὲν γὰρ ἐκ καταγνώσεως ἀποθανὼν, πολλάκις κἂν ἐν οἰκείᾳ τῇ γῇ κρύπτεται. ὁ δὲ ἐπ' ἐρημίας τοῦτο παθὼν, τοῦ πεσόντος ἐν οἰκείᾳ τῇ γῇ δυστυχέστερος. ὥστε μικροῦ λανθάνεις ἡμῖν καὶ συνιστάμενος, δι' ὧν βλάπτειν ἐσπούδακας. βούλει σοι δείξω πηλίκην αὐτῷ συμφοράν; πρῶτον μὲν ἱερῶν καὶ γένους χίζομαι· καὶ πατρίδα ταύτην ἔω, καὶ τάφους προγόνων, καὶ μνήματα, καὶ δόξαν πατέρων, καὶ διηγήματα. οὐκέτι τοῖς πατρῴοις θεοῖς· ἀλλὰ δαίμοσι ξένοις καὶ πλάναις[23] προσεύξομαι. ποσάκις οἴει με στενάξαι τὴν ἐνεγκαμένην ποθήσαντα. ποσάκις ὀδύρεσθαι, γένος ἐπιζητοῦντα, καὶ συγγενεῖς, καὶ προσήκοντας. ἆρα κουφοτέρα τῆς ἀτιμίας ἡ πλάνη; ἆρα ταῦτά σοι φιλανθρωπότερα θανάτου φαίνεται; ἵνα δέ σοι καὶ πρὸς τοῦτον ἀπαντήσω τὸν λόγον, ὡς οὐδὲ πονηροὶ δι' ἐμὲ πλείους γενήσονται, οὕτω λογίζου, καὶ ὅρα. τοὺς ἀνδροφόνους κολάζομεν· καὶ πολλοὺς ἐπὶ φόνοις ἁλόντας ἡ πόλις ἀνήρηκεν. ἆρ' οὖν οὐκέτι φόνοι γενήσονται, οὐδὲ κατ' ἀνδροφόνων ἔσται γραφὴ, ὅτι πολλοὺς ἁλόντας ἀνῃρήκαμεν; πικροτάταις καὶ τοὺς μοιχοὺς ἀμυνόμεθα[24] τιμωρίαις· ἀλλ' οὐδὲ ταῦτα πρὸς σωφροσύνην ἀρκέσει[25] τοῖς ὕστερον. εἰσὶν οἱ κατὰ τῶν ἱεροσύλων ὡρισμένοι κίνδυνοι. πῶς οὖν ἱεροσυλοῦντες συνεχῶς τινες ἁλίσκονται; εἰσὶν ἀχαριστίας γραφαὶ, προαγωγείας ἐγκλήματα, πορνείας, ἀσελγείας, πονηροῦ βίου. κατὰ πάντων ἀπόκεινται[26] γραφαὶ καὶ κίνδυνοι. ἆρ' οὖν οὔτε πορνεύουσί τινες, οὔτε μοιχεύουσιν

[23] aut πλάνοις aut πλανήταις leg. videtur.

[24] ἀμυνόμενοι W. et m. M.

[25] ἀρκεῖ m. M.

[26] ὑπόκειται W. et m. M.

σιν ἕτεροι, οὐδὲ ἀχαριστοῦσιν[27] ἄνθρωποι, ὅτι δειναὶ κατὰ τῶν ἁλισκομένων αἱ τιμωρίαι; πολλοῦ γε μὴν τὸν ἐμὸν ἂν ἐτιμησάμην[28] θάνατον, τοσαύτην εὐεργεσίαν τῇ πόλει φέροντα, εἰ τοσοῦτον ἀποθανὼν ἴσχυσα,[29] ὡς μηκέτι πταίειν ποιεῖν τοὺς ὕστερον. ἄνελε τοίνυν καὶ τοὺς περὶ τούτων νόμους. τί γὰρ ἔτι κέρδος τῇ πόλει ἔσονται,[30] οὐκέτι ὄντος τοῦ πταίοντος; ἀλλ᾽ οὐχ οὕτω ταῦτα πέφυκεν· ἀλλὰ φύσει καὶ τύχῃ διώρισται. οὐ γὰρ τῇ τῶν τιμωριῶν ὑπερβολῇ, οὐδὲ τῇ τῶν νόμων ἀπειλῇ κακουργεῖν οἱ πλεῖστοι ἀπέχονται· ἀλλὰ τῷ προαιρεῖσθαι σωφρονεῖν, καὶ βούλεσθαι. τοιγαροῦν εὐτυχῆ καλοῦμεν τοῦτον καὶ ὄλβιον, οὐχ ὃν ἂν ἴδωμεν μόνον κακουργοῦντα μηδὲν, ἀλλὰ καὶ ὃν μηδὲν ἀδικηθῆναι παρεσκεύασεν ἡ τύχη. οὕτως οὐ διὰ τοὺς ἁλισκομένους, καὶ κινδυνεύοντας σωφρονοῦσί τινες, ἀλλὰ διὰ τὴν ἀρίστην τοῦ βίου πρόθεσιν, σωφρονοῦσι καὶ σώζονται. ποῦ τοίνυν ἔτι σοι καιρὸν ἔχει τὸ σκευώρημα, ὡς ἡ ἐμὴ φυγὴ πολλοὺς εἶναι πονηροὺς ποιήσει τῇ πόλει· ἀλλὰ μέχρι τίνος ἡμῖν ἐπιβαίνεις[31] ἄνθρωπε; σπεῖσαί μοι δυστυχοῦντι παρὰ τὸ προσῆκον. συγχώρησόν μοι τὴν ἐμὴν ὀδύρεσθαι τύχην. τί μου τῇ φυγῇ βασκαίνεις; τί δὲ με κωλύεις τῆς ἐπ᾽ ἐρημίας ὁδοῦ; ἐλεεινός εἰμι· οἰκτῶν, οὐ βασκανίας ἄξιος. εἰ τοῖς ἡμετέροις κακοῖς ἐπεμβαίνειν ἔγνωκας· εἰ τὴν ἡμετέραν συμφορὰν κέρδος νενόμικας, δύναμαί σοι ζῶν ἡδονὴν μᾶλλον προξενῆσαι, καὶ γέλωτα. ὁρᾷς; ἂν ἀποθάνω, λήθῃ παραδώσεις τὴν κατ᾽ ἐμοῦ γραφήν. ἂν οἰκῶ τὴν πόλιν, τὴν ἀτιμίαν ἔχων, τάχα πού σε καὶ λυπήσω, μόνον φανείς. ἂν δὲ τὴν ἐρημίαν, δύνασαί μου καθ᾽ ἑκάστην ἀκούων τὴν πλάνην ἥδεσθαι· ὥσθ᾽ ὅσον ἐγὼ τῇ φυγῇ δυστυχέστερος, τοσοῦτον σὺ γενήσῃ τοῖς ἀλλοτρίοις ἀμείνων κακοῖς. ταῦτα, ὦ ἄνδρες πολῖται, πρὸς τοὺς ἐπηρεάζοντας ἐμοὶ καὶ πολεμοῦντας εἴρηται.

ἐγὼ

27 ἀχαριστήσωσιν m. M.
28 χρ. ἄξιον ἡγησάμην.
29 ἴσχυον m. M. ἴσχυσον W. voluit ἰσχύσω aut ἰσχύσῃ.
30 γενήσονται m. M.
31 ἐπιμένεις m. M.

ἐγὼ δὲ κἂν ἐπταικέναι δοκῶ, καὶ δεινῶν ἄξιος τῇ πόλει, καὶ τοῦ λοιποῦ τῆς ἐνεγκούσης ἀλλότριος· μέχρι τούτου στῆναι τῇ πόλει εὔχομαι τὸν Φθόνον, καὶ μὴ περαιτέρω χωρεῖν τὰ δυσχερῆ. Φθόνε, καὶ δαῖμον,[32] καὶ Βασκανία, καὶ τύχη πονηρὰ, σὺν ἐμοὶ τὴν πόλιν ἐκλείπετε· καὶ δεινῆς ἀπαλλάττετε τὴν ἐνεγκοῦσαν στάσεως· κατὰ μηδενὸς ἔτι τῶν πολιτῶν χορεύοντες, ἀρκέσθητε τῇ κατ' ἐμοῦ τρυφῇ· ἱκανὸν τοῦθ' ὑμῖν καθ' ἑνὸς δημοτικοῦ νεανιεύσασθαι. ἰδοὺ προλείπω τὴν πόλιν. ἰδοὺ τῶν κοινῶν ἀπαλλάττομαι. μηδεὶς ἔτι μοι τῆς αὐτῆς ἀπολαύσοι[33] τύχης, ὦ πατρῷοι θεοί. ἐβουλόμην καὶ τοῖς στρατηγοῖς διαλεχθῆναι καὶ ῥήτορσι· καὶ παρόντων ὑμῶν, ὀλίγα τινὰ πρὸς αὐτοὺς ἀποκρίνασθαι. μηδεὶς ἄδικος ὑμᾶς, ὦ σύμβουλοι, κινείτω Φθόνος. ἑαυτοὺς[34] τοῖς τῆς πολιτείας καλῶς[35] συνδιανείματε.[36] εἷς ὑμῖν ζῆλος ἔστω καὶ πόθος, ἡ περὶ τὴν πόλιν ὁμόνοια. εἰ τὴν ἐμὴν τύχην[37] ἀεὶ λογίζεσθε, λυσιτελέστερον οἶδ' ὅτι βουλεύσεσθε. τί οὖν, ὦ ἄνδρες πολῖται· τί μέλλετε; ἐγὼ μὲν γὰρ ἤδη καὶ τοῖς φίλοις[38] ἀπεταξάμην, καὶ τοῖς συγγενέσι, καὶ προσήκουσι. δότε μοι τὴν ἐρημίαν ἀντὶ τῆς ἐνεγκαμένης. δότε μοι πόλιν τὴν τοῦ δαίμονος. ἄρα τίς ἡμᾶς μετὰ ταῦτα τύχη δέξεται; ποῦ με λαβὼν πάλιν ὁ Φθόνος διαβήσεται; ποίοις ὑμᾶς προσοίσει φέρων τοῖς ὄρεσι; ποῦ θαλάττης ἢ γῆς ἀποθήσεται; ἀλλ' ὁρῶ γὰρ ὑμᾶς συγνοτέρους γεγενημένους ἅπαντας. τάχα μου τῇ τύχῃ συναλγήσαντες, ἑτοίμως δοῦναι τὴν χάριν ταύτην ψηφίζεσθε.

32 καὶ δαῖμον] interponi velim κακέ.

33 ἀπολαύσει W. et m. M.

34 ἑαυτοῖς m. M.

35 lege καλοῖς.

36 εἴκετε m. M.

37 ψυχὴν m. M.

38 σχ. ἀφωσιωσάμην καὶ τὸ εἰκὸς ἐπλήρωσα.

ΑΛΔΗ

ΑΛΛΗ ΜΕΛΕΤΗ.

ΘΕΩΡΙΑ.

Τῷ κατορθώσαντι πόλεμον, ἐπέτρεπεν ὁ νόμος ὅ, τι βούλεται γέρας αἰτεῖν, καὶ παρέχειν·[1] αὐτοῦντι πολιορκουμένης πόλεως, ῥήτωρ μόνος ἀποτολμήσας τὴν ἔξοδον, εἰς λόγους ἦλθε τοῖς ἐναντίοις, καὶ πείθει καταλῦσαι τὴν προσεδρείαν· καὶ χρῆται τῷ νόμῳ δωρεᾶς ἀξιοῦντι[2] τυχεῖν. ἀντιλέγει στρατιώτης ἀνὴρ, ὡς τῷ κρατοῦντι δι' ὅπλων, οὐ τῷ πείθοντι λόγοις, νέμοντος ἆθλα τοῦ νόμου.

ΠΡΟΘΕΩΡΙΑ.

Ἔχεις ἐκ τῆς κωμῳδίας παραλαβὼν, ὡς ὑπέρογκόν τι καὶ σοβαρὸν, καὶ πολλή τις ἀλαζονεία, στρατιώτης ἀνήρ. εἴ τις ὑμῶν τὸν Μενάνδρου φαντάζεται Θρασωνίδην, οἶδεν ὃ λέγω· στρατιωτικὴν γὰρ, φησιν, ἀηδίαν νοσοῦντα τὸν ἄνθρωπον, εἰς ἀπέχθειαν αὐτῷ κινῆσαι τὴν ἐρωμένην· καὶ γέγονεν ἀμέλει προσηγορία τῷ δράματι, τοῦ Θρασωνίδου τὸ μῖσος. ταῦτα λαβὼν ἐγὼ κατὰ νοῦν, εἰκότως, οἶμαι, τῷ πλάσματι στρατιώτην εἰσήγαγον. τίνα γὰρ ἄλλον εἰκὸς πόλεμον κατορθωκότι φθονεῖν· ἢ ὅτῳ τέχνη πρόσεστι τὰ πολέμια;[3] ὥστε

[1] *παρέχειν*] sic et W. et potest defendi, si *ἐπιτρέπειν* h. l. pro *iubere* accipitur, quo sensu saepe occurrit apud scriptores graecitatis recentioris. malim tamen legi *παρέχει*. m. M. dat *παρεῖχεν*.

[2] *ἀξιοῦντι*] id est *κελεύοντι*.

[3] *πρόσεστι πολέμια.* ἴσ. *πολεμικὰ* m. M.

ὥστε τὰ μὲν[4] ὑπεροψία τὶς ἔμφυτος μετεωρίζει τὸν ἄνδρα· τὰ δὲ βασκανία δάκνει, καὶ φθόνος καὶ τοιούτοις δύο νοσήμασι, τῷ μὲν ὀδυνώμενος, τῷ δὲ, τὰς ὀφρῦς ἀνασπῶν, διασύρειν ἐπιχειρεῖ τὴν τοῦ ῥήτορος νίκην· οὐ ψιλὴν ἁπλῶς δυσμενῶν ἀναχώρησιν ἀξιῶν ὁρίζεσθαι τρόπαιον· ἧτταν δὲ καὶ δρασμὸν, καὶ τραύματα, καὶ σφαγὰς, καὶ πλῆθος αἰχμαλώτων, καὶ λάφυρα. τοιαῦτα φυσᾷ, καὶ σοβεῖ,[5] καὶ θυμοῦσθαι δοκεῖ· ἐκφυγόντων δὴ τῶν πολεμίων τὴν αὐτοῦ δεξιάν. εἴτε γὰρ τῶν ἐπὶ ῥώμῃ θαυμαζομένων ἀνὴρ, εἴτε τῶν μαχομένων κακῶς,[6] διχόθεν εἰς ἀντιλογίαν ἐξάγεται· τῆς μὲν δειλίας τοιούτου παραπετάσματος δεομένης, καὶ κρυπτομένης ὀργῇ πεπλασμένῃ· τῆς ἀνδρείας δὲ θυμουμένης,[7] ὅτι προσῆκον ἔργον αὐτῇ, ῥητορικὴ προλαβοῦσα[8] διήνυσε. τὸν μὲν οὖν στρατιώτην, τοιοῦτον ἄν τις μελετήσειε τρόπον. ἐγὼ δὲ (ῥητορεύειν γὰρ οἶδα μᾶλλον, ἢ πολεμεῖν) τὸν ὁμότεχνον ἐμαυτῷ δικαίως ἐξελεξάμην, πολλαῖς ἀνθοῦντα πρὸς αἴτησιν δωρεᾶς ἀφορμαῖς. ἥ, τε γὰρ ἐπικουρία τοῦ νόμου, καὶ τὸ τῶν ἀκροατῶν εὐμενές. τίς γὰρ πολέμου καὶ μάχης ἀπαλλαγεὶς, τὸν αἴτιον οὐ προσίεται. δίδωσιν τὴν οἷον ἐθέλει γέρας αἰτεῖν, παῤῥησίαν. δεῖ δὲ μὴ[9] λίαν αὐτὸν καλλωπίσαι τὸ πεπραγμένον· ἀλλ᾽ ὅσον μὴ τὸν δῆμον ἄνανδρον δεῖξαι. τὸ γὰρ ἄτολμον ὀνομάσαι τὴν πόλιν, καὶ τρέμουσαν τὴν τῶν ἐχθρῶν προσβολὴν, αὔξει μὲν τὴν γενομένην εὐεργεσίαν. ὅσῳ δὲ[10] μείζους ὑποφαίνει τοὺς φόβους. τοσούτῳ μᾶλλον αὐτῷ κοσμουμένου[11] τοῦ κατορθώματος, διαβάλλει τοῖς ἀκροωμένοις

4 πῶς μὲν in marg W.

5 ſcholium in marg. W. ἀλαζονεύεται.

6 κακῶς] declaratur per inſequens δειλίας.

7 θυμούσης W. et m. M,

8 προλαβοῦσα] ſic recte m. M. quod praeuenta eſſet a rhetorica opus perficiente, quod ſibi (fortitudine militari) conveniſſet. t. M. dat προσλαβ.

9 μὲ μὴ m. M.

10 δὲ γὰρ m. M.

11 αὐτοῦ κοσμουμένῳ τ. κ. δ. δὲ τ. ὀ. αὐτὴν τ. κ. ἀ. π. τῆς ἰδίας π. m. M. etiam W. dat κοσμουμένῳ.

μένοις αὐτὸν, τὴν κοινὴν ἀνανδρίαν πρόφασιν τῆς οἰκείας ποιούμενον εὐφημίας. ἀλλ' εὑρήσει τέχνην ὁ ῥήτωρ καὶ τὴν οἰκείαν ἀραίζουσαν πρᾶξιν καὶ τοῖς ἀκούουσιν ἄλυπον· εἰ[12] τὴν πόλιν ἀπαράσκευον εἶναι πρὸς μάχην ὑποθοῖτο, καὶ τῶν ἐναντίων[13] ἄφνω ποιησαμένων ἐκ πόλεως ὁμόρου τὴν ἔφοδον. τοιούτοις χρώμενος δικαιώμασιν, ἀξιόν τι[14] καὶ κομψὸν ἀναμίξαι πειράσεται τοῖς λεγομένοις· εἰρωνευόμενός τε καὶ διαπαίζων τὸν στρατιώτην, καὶ κωμῳδῶν ἀγριαίνοντα, καὶ τὰς παρ' ἐκείνου λοιδορίας πράως ἀποκρουόμενος. πρέπει γὰρ οἶμαι τὸν μὲν[15] ἦθος ὀργίλον τε καὶ τραχὺ τυγχάνειν· τὸν δὲ τρόπον ἥμερόν τε καὶ προσηνῆ·[16] τοιοῦτον ἀποτελούσης ἑκάτερον τῆς ἐπιστήμης[17] οὕτως ὑμῖν τὴν παροῦσαν διατυπώσας ὑπόθεσιν, εὐξαίμην ἂν ῥήτορος ἄξιον ὀφθῆναί σοι[18] τὸν λόγον.

Μελετῶμεν τὸν ῥήτορα.

12 ἦν W.

13 ἐναντίων] sic W. ἐναντίον M.

14 ἀστεῖόν τι m. M.

15 lego τοῦ μὲν — τοῦ δέ. τὸ μὲν W. τῷ μὲν — τῷ δὲ m. M.

16 τρόπος ἥμερός τε καὶ προσηνὴς m. M.

17 τῆς ἐπιστήμης] arte vel vitae genere, cui eorum quisque deditus esset.

18 σοι deest m. M.

ΡΗΤΟΡΟΣ ΛΟΓΟΣ.

ΗΚΩ, τοὺς[19] ἐπιόντας ἐχθροὺς μόνος ὑμῖν[20] ὠθήσας[21] τῇ γλώττῃ. καὶ λέλυται πόλεμος ἄνευ κινδύνου σωμάτων· ἄνευ χρημάτων δαπάνης. καὶ δευτέρας οὐκέτι πολιορκίας ἐλπὶς ἡμῖν ἐνοχλεῖ. πρὸς μὲν γὰρ τὴν ἐν ὅπλοις ἧτταν, πολλάκις ἄνθρωποι παροξύνονται, τὴν νίκην ἡγούμενοι καὶ πρὸς αὐτοὺς ποτὲ διαβήσε-

19 τοὺς μὲν ἐπ. W. et m. M.

20 ἡμῖν W. et m. M.

21 malim ἀπωθήσας.

βήσεσθαι.[22] ὅταν δὲ σφῶν αὐτῶν κατεγνωκότες παραχωρῶσι,[23] βεβαίως πεφύκασιν ἠρεμεῖν ὅθεν ἡμῖν ὁ γενναῖος, Φιλοπόλεμος νῦν ἀσφαλῶς ἀνεφάνη καὶ σχηματίζεταί πως ἀγανακτεῖν, ὅτι μὴ πεῖραν οἱ δυσμενεῖς λαβόντες αὐτῦ τῆς ῥώμης ἀπῆλθον. καὶ πρὸς[24] ἀγῶνα χειρῶν, δεηθεὶς μου τῆς τέχνης εἰς τὴν ἐν λόγοις ἅμιλλαν, νικᾷν ὁ στρατιώτης ἐλπίζει τὸν ῥήτορα. ἐγὼ δὲ τὴν αὐτὴν καὶ πρὸς τῦτον πάρειμι φέρων ἀσπίδα, δι' ἧς ἐκείνους ἀπεωσάμην· καὶ δι' ἧς πάλιν εἰκότως ἡγοῦμαι κρατεῖν· ἄτοπον γὰρ, εἰ παρὰ τοῖς ἐμὲ πολιορκοῦσιν ἀκροαταῖς πιθανῶς ῥητορεύσας, ἀπίθανος δόξω τῷ δι' ἐμοῦ σωθέντι συλλόγῳ. ὁ μὲν οὖν τῆς πόλεως νόμος, εἰς θέατρόν μοι τὸν δῆμον ἀγείρει. δωρεὰν οὐ τὴν μὲν ἐν ἐξουσίᾳ[25] διδοὺς τῆς δὲ, κωλύων τυχεῖν. ἀλλὰ τῆς αἱρέσεώς μοι τὴν ἄδειαν ἐπιτρέπει καί μου πυνθάνεται, τίνος ἐρᾷς; καὶ τὴν ἐν πάσαις ἐμοὶ δοκοῦσαν εἶναι καλλίστην, ἐκτίνειν ἐγγυᾶται τὴν πόλιν. ὁ μὲν οὖν νόμος οὕτως. ὁ δὲ παρὰ τὸ βῆμα πολεμικὸς, δικαστήριον ποιεῖταί μοι[26] τὸ θέατρον· καὶ πρὸς τὴν ἐμὴν ἐμποδὼν ἔστηκεν ἀμοιβήν· τοσοῦτον τοῖς νόμοις μαχόμενος, ὅσον τοῖς πολεμίοις ἐχρῆν. εἰ μὲν οὖν στρατιώτης δόξαι βουλόμενος, πραγμάτων ἐθέλει καὶ νόμων ἄπειρος φαίνεσθαι, καὶ τὴν ἐν τούτοις ἀμαθίαν αὐτῦ, δεῖγμα τῆς οἰκείας τέχνης ἡγεῖται· καλῶς εὗρεν ὅθεν εἰδέναι τα πολέμια δόξει. εἰ δὲ βασκαίνει τοὺς λόγους,[27] ὑφαρπάσαντας νίκην

[22] *μεταβήσεσθαι* m. M.

[23] *παραχωρῦσι* W.

[24] *πρὸς*] malim *παρεὶς*, omissa manuum pugna, arte mea in opem vocata in certamine argumentorum sperat se superiorem futurum.

[25] bene si habet locus, erit *δωρεάν τινι ἐν ἐξουσίᾳ διδόναι*, idem atque *διδόναι τινὶ τὴν ἐξουσίαν τῦ διδόναι ἄλλῳ δωρεάν τινα.* Sed nescio an potius sic reliquerit Libanius. *ὁ τὴν μὲν ἐξουσίαν διδοὺς αἰτεῖν. dans facultatem, aliud munus petendi.* m. M. omittit *ἐν*.

[26] *ποιεῖ μοι* W. et m. M.

[27] *τοῖς λόγοις* W. sed tum deberet quoque *ὑφαρπάσασι* legi. verum utrumque recte dicitur *βασκαίνειν τινὶ* et *τινα.*

νίκην, ὅπλοις ὀφειλομένην, ἴσω ὅτι μεῖζον ἐντεῦθεν δοτέον μοι γέρας, εἰ τρόπαιον ἀλλοτρίοις ὀργάνοις προσῆκον, ὅπλοις ἔστησα τοῖς ἐμοῖς. ἐν μέσοις εἰπὼν πολεμίοις, καὶ τούτοις ὅπλα φέρουσι, καὶ περιεστηκόσι τὸ ἄστυ, καὶ τῷ μὴ τολμῆσαι τοὺς ἔνδον ἐξιέναι, μεῖζον τόλμημα κτησαμένοις. τοιοῦτον ὑμῖν ἆθλον ἠγωνισάμην, ὀπίσω τὴν ἰδίαν ἀσφάλειαν τάξας, ὧν ᾠήθην τῇ πόλει συμφέρειν. ὡς γὰρ τῶν πολεμίων ὁ δρόμος, οὐ δέδωκε τῇ φήμῃ καιρὸν ἀγγελίας· ἀλλ' ἡ θέα τὴν ὑμετέραν εὐθὺς κατείληφεν ἀκοήν. (τό, τε γὰρ τάχος τῶν ἐναντίων, ἥτε βραχεῖα τῶν πόλεων ἐν μέσῳ διάστασις· [28] ὅμοροι γάρ· καὶ τὸ μηδεμίαν αὐτοὺς ἐφ' ἡμᾶς πολέμου πρόφασιν ἔχειν, ἀφείλετο τῆς ἐφόδου τὴν αἴσθησιν.) ὡς οὖν διέλαθε τὸ στρατόπεδον, ἕως ἔμελλε κείρειν ἤδη τὴν γῆν, δεινή τις ἄφνω σύγχυσις ἦν, τῶν ἀγρῶν ἐνταῦθα [29] κεκενωμένων, καὶ τῆς ἐκείνων ἐρημίας πιεζούσης τὴν πόλιν· θόρυβον γὰρ ἐκίνει τὸ πλῆθος, καὶ φόβον ὁ θόρυβος· πολλῆς μὲν νεότητος, πολλῆς δὲ πολιᾶς εἰσιούσης, ὑποζυγίων τε καὶ θρεμμάτων ἐφεπομένων. τῆς δὲ ταραχῆς τὸ κεφάλαιον αἱ γυναῖκες ἦσαν, ὀλοφυρόμεναί τε, κοπτόμεναί τε, καὶ λιπαροῦσαι τοὺς ἐντυγχάνοντας, ὅ, τι δύναιντο βοηθεῖν καὶ παῖδας ἕλκουσαι μὲν τοὺς ἄρτι μαθόντας βαδίζειν. φέρουσαι δὲ τοὺς οὔπω τοσαύτην ἄγοντας ἡλικίαν· ἑκατέρους ἐλεεινὰ [30] στάζοντας δάκρυα· τοὺς μὲν ἤδη φρονοῦντας αἰσθήσει τῶν δυσχερῶν· τοὺς δὲ πρώην τεχθέντας, ὅτι τὰς μητέρας ὀδυρομένας ἑώρων, τὰ δὲ πρῶτα, τῶν πολιτῶν σύλλογος ἦν γνώμην ἕκαστος, ἣν ἡγεῖτο συνοίσειν, διδούς. λόγοι τε πανταχοῦ, καὶ λοιδορίαι, τῶν μὲν ῥητόρων αἰτιωμένων τοὺς στρατηγούς· ἐπιτιμώντων δὲ τούτων ἡμῖν. οἱ μὲν γὰρ ἐκκλησιάζειν ἠξίουν τοὺς ῥήτορας· μὴ γὰρ δεῖν ἄνευ βουλῆς ἀγωνίζεσθαι· οἱ δὲ πολεμεῖν ἤδη

[28] διάστασις·] sic W. διάστασιν· M.

[29] ἐνταῦθα hic accipi debet pro ἐνταυθοῖ cum rusticani, rure deserto et vacuefacto, agminatim huc in vrbem confluerent.

[30] ἑκατέροις ἐλεεινὰς m. M.

ἤδη τοὺς στρατηγούς, οὐ περιμένοντος[31] τοῦ καιροῦ σχολὴν ἐκκλησίας. ὡς οὖν ἐν τούτοις ἡμῖν ὑπῆρχεν ἡ πόλις· καὶ τὸν πλησίον μὲν ἅπας, ἑαυτὸν δὲ οὐδεὶς ᾐτιᾶτο· ἡγεῖτο γὰρ ἕκαστος τῇ μέμψει τοῦ πέλας ἀνέγκλητος εἶναι· εἶδον ὅτι τὸν προεστάναι τῶν κοινῶν ἐγχειροῦντα, πρέπει, τοσούτου καλοῦντος κινδύνου, ἀφειδῶς ἑαυτὸν ἐπιτρέψαι τοῖς πράγμασι, καὶ μὴ καραδοκεῖν ὅ, τι δόξει τοῖς ἄλλοις· μηδὲ τὴν οἰκείαν ἔχειν ἐλπίδα τῆς ἑτέρων ἠρτημένην φροντίδος· ἀλλὰ τὴν αὐτοῦ ῥαθυμίαν, κοινὴν προσδοκᾶν ἔσεσθαι βλάβην. ταῦτα τοῖς λογισμοῖς ἐξετάσας. τοῖς ἔργοις ἐπεδειξάμην· οὐ γὰρ ἐπειδὴ τοῦ ἄστεος ἐκτὸς ἐγενόμην, μετεμέλησε τῶν ἔνδον ἐμοὶ δεδογμένων· οὐ τὴν χρόαν μετέβαλον· πρὸς τὴν τῶν ὅπλων[32] κίνησιν. οὐ τὴν γνώμην ἐστράφην τῇ θέᾳ τοῦ πλήθους. οὐ τῆς ὁδοῦ προβαινούσης, σχολαίτερον[33] ἐπὶ τοὺς ἐναντίους ἐβάδιζον. εἰωθότων ἀεὶ τῶν ἐπὶ τὰ δεινὰ φερομένων, πόῤῥωθεν μὲν ὡς ἔχουσι τάχους πορεύεσθαι· καταβραχὺ δὲ συστέλλειν φόβῳ τὸν δρόμον. οὐ τοιοῦτον ἐγὼ πέπονθα πάθος· οὐδὲ μεταξὺ πολλάκις τῆς πορείας ἱστάμενος, ἐμαυτῷ διελέχθην· ἐμοὶ τί[34] δεῖ πολέμου καὶ προσηκόντων ἑτέροις ἀγώνων. ῥήτωρ εἰμί· οὐδεὶς λόγων δημιουργὸς, ὅπλων εὐθύνας ὑπέχει· εἰσὶ καὶ ἡμῖν ἀγῶνες, οὐ μικρῶν δεόμενοι πόνων. δῶμεν τοῖς στρατηγοῖς τὰ αὐτῶν διαπράξασθαι· τὰ γὰρ ἐμὰ, λόγοι πρὸς δῆμον, πρὸς δικαστὰς, πρὸς πολεμίους, ὅταν εἰρήνην[35] σπείσασθαι βούλωνται. ταῦτα καὶ παραπλήσια τούτοις ἡ τέχνη μὲν ἐννοεῖν μοι παρεῖχεν· ἡ δὲ περὶ τὴν πόλιν οὐ συνεχώρει σπουδή. ὅθεν ἐχώρουν δοκιμάσων μου τῇ σωτηρίᾳ τῶν πολεμίων τὴν γνώμην. ὁ μὲν οὖν πολὺς ὅμιλος καὶ στρατιώτης, ὡς εἶδον, εὐθὺς ἀνεβόησε λαβεῖν τε καὶ κτεῖναι. τὰ δὲ τέλη[36] τῆς στρατιᾶς, τὸ θυμού-

μενον

31 παραμένοντος m. M.
32 τὴν ὄψιν τῶν ὅπ. m. M.
33 ἀργότερον m. M.
34 ἐμοὶ τί] malim δὲ interponi.
35 σχο. μετὰ σπονδῆς ποιῆσαι m. M.
36 schol. ἤγουν οἱ ἄρχοντες W.

μενον καὶ ἀγριαῖνον τοῦ πλήθους ἀνέστελλον. ὑποθωπεύοντές τε καὶ παραινοῦντες, μὴ δεῖν ὀργῇ καὶ τάχει ποιεῖν, ὃ λογισμῷ καὶ σχολῇ πάρεστι πράττειν. καὶ ἅμα τὸν ὄχλον οὑτωσὶ τιθασσεύοντες,[37] ἠρέμα μοι τοῦ θράσους ἐπέπληττον. καὶ πόθεν ἐς τόδε τόλμης προήχθην θαυμάζοντες ἐπυνθάνοντο· καὶ τελευταῖον[38] ἀλλήλους ἐκέλευον ἐνδοῦναι τὸ δοκοῦντά μοι λέγειν, ἐπιθυμοῦντες ὅτι ποτε φθέγξομαι[39] γνῶναι. οὕτω δὴ τούτων διακειμένων πρὸς τὴν ἀκρόασιν, καὶ τῷ παραλόγῳ μου τῆς εὐτολμίας ἡσυχίαν ἀγόντων, ὅπως ὅθεν μοι θαῤῥεῖν ἐπῆλθεν, ἀκούσωνται καὶ τῶν πρᾳοτέρων καρτερεῖν ἀξιούντων τοὺς τραχυτέρους, ὅσα μὲν ἔφην τότε δύσκολον[40] ἔργον ἁπάντων μεμνῆσθαι. τῶν γὰρ ὀξέως ῥηθέντων, ὀξεῖα φιλεῖ γίγνεσθαι λήθη. οἷς δὲ μάλιστα κηλουμένας αὐτοῖς ᾐσθόμην τὰς ἀκοάς, κατὰ τὸ συμβαῖνον τῆς μνήμης ὑμῖν διηγήσομαι. οἴεσθε, ἔφην, μεγάλην εἶναι ῥοπὴν τὴν εὔνοιαν τῶν θεῶν; κατένευσαν ἅπαντες. πότερον οὖν τοῖς ἀδίκως ἐπιστρατεύουσιν, ἢ τοῖς ἐπιόντας ἀμυνομένοις, ταύτην εἰκὸς συνελθεῖν; εὔδηλον,[41] ἔφην, ὡς τοῖς ἐν δίκῃ τὸν πόλεμον ποιουμένοις. πάλιν ἔδοξαν πειθαρχεῖν, τῷ προτέρῳ χρησάμενοι σχήματι. ἐνταῦθα δὲ μετὰ ποίων ἥκουσιν ἐγκλημάτων, ἠρόμην. καὶ τὸν πόλεμον αἰτίαν ἔχειν[42] ἀπῄτουν ἐξ ἧς θεῶν εὔνοια γίγνεται. οἱ δέ, δικαίαν μὲν ὤκνουν πρόφασιν πλάττειν, τὸν ἔλεγχον ὑφορώμενοι. τὴν ἀληθῆ δὲ λέγειν ᾐσχύνοντο. εἰς τοιαύτην ἐγὼ περιστήσας, καὶ συνελάσας αὐτοὺς ἀπορίαν. διεξῆλθον, ἡλίκον μὲν ἅπασιν ἡσυχία καλόν· ἡλίκον δὲ πόλεμος δυσχερές. τοῦ δὲ μὴ δοκεῖν ἀσθενείᾳ τῆς πόλεως, τὴν μὲν[43] ἀνυμνῆσαι· τὸν δέ,[44] ψόγῳ περιβαλεῖν τὰς συνοικούσας ἡμῖν ἀρετὰς ἀπηριθμησάμην· καὶ τὰ πλεῖστα τῶν εἰρημένων, ἔπαινος ἦν τῶν ἐνθάδε τὰ πολεμικὰ μετιόντων· καὶ μετεῖχε τῆς εὐφημίας

37 τιθασσεύσαντες m. M.
38 τελευτῶντες m. M.
39 malim φθέγξωμαι.
40 τό τε δῆλον m. M.
41 εὔκολον m. M.
42 ἔχειν] malim ἐκείνην.
43 τὴν μὲν] scil. τὴν ἡσυχίαν.
44 τὸν δὲ] puta τὸν πόλεμον.

μίας τὸ μέρος, ὁ τῆς δωρεᾶς μοι φθονῶν. ἐντεῦθεν αὐτοῖς μέγαν ἐπέσεισα[45] φόβον· διδάσκων ὡς ἤδη λαμπρῶς κεκινημένους ὑμᾶς, καὶ τὴν ἐκτὸς περιβόλων ὠδίνοντας ἔξοδον, μόλις ἐπέχον ἐπειγομένους. τοιγαροῦν εἰς τοῦτο μετέθηκα τὰ πράγματα φέρων· ὥστε τὸ πολιορκούντων[46] στρατόπεδον ᾤχετο, πεπεισμένον λυσιτελεῖν αὐτῷ τὴν διάλυσιν. τοσοῦτον ὑπὲρ ὑμῶν ἀναδεξάμενος κίνδυνον, καὶ πόλεμον σεμνῶς διαλύσας· οὐ γὰρ ταπεινόν τι προήχθην εἰπεῖν, οὐδὲ φόβῳ πολιορκίας καθεῖλον τὸ φρόνημα· ἐπανήειν εἰς ἄστυ θέαμα πᾶσιν ἀνέλπιστον. οὔκουν ἤνεγκα τὸν ὄχλον τῶν προσιόντων, περιεστώτων, ἀσπαζομένων, πυνθανομένων, ἀπιστούντων μηνύοντί μοι τὴν τῶν ἐχθρῶν ἀναχώρησιν. ἐποίει δὲ ἄρα τὴν ἀπιστίαν τό, τε παράδοξον, καὶ τὸ λίαν οὕτως ἔχειν ἐπιθυμεῖν. φυλαττόμενοι γὰρ μὴ τύχωσι μάτην τοσαύτης ἀπολαύσαντες ἡδονῆς, ἠπίστουν, ἠρώτων, ὅρκον εἰσέπραττον· πάλιν ἠπίστουν· ἠρυθρίων ὁμολογεῖν, ὡς οὐ πεθαρχοῦσιν ὀμωμοκότι. πολλοὺς ἐπὶ τὰς ἐπάλξεις ἀνήγαγεν ἡ τῆς ἀπιστίας ὑπερβολὴ, μόνοις τοῖς ὀφθαλμοῖς τὸ σαφὲς ἐπιτρέψαντας. ἐντεῦθεν ὑμῖν ὡσπερεὶ κῆρυξ ὁ νόμος βοᾷ· δότε τῷ σεσωκότι τὴν πόλιν ἣν βούλεται δωρεάν. οὕτως ἐπηγγειλάμην τοῖς οὕτως εὐεργετοῦσιν. ὡς γὰρ τοῦ νόμου ταῦτα φωνὴν λαβὼν[47] ὑμῖν ἀναγνώσομαι.[48] οὗτος ὁ νόμος ἐστὶν, ὁ συνέχων τὴν πόλιν. οὗτος ὁ πλείστους αὐτῇ προξενῶν εὐεργέτας. τοῦτον οὐκ ἂν ἁμάρτῃ τὶς ἑλλανοδίκην ἀρετῆς[49] ὀνομάζων· ἆθλα νέμοντα πᾶσιν οὐ πυγμῆς, ἢ πάλης ἀγωνισταῖς· ἀλλὰ τοῖς ὡς ἕκαστος ἔχει τέχνην[50] πολέμου κρατοῦσι. ταῦτα σαφῶς τοῦ νόμου

45 ἔσεισα W. et m. M.

46 aut τὸ πολιορκοῦν, aut τὸ τῶν πολιορκούντων leg. est.

47 lege λαβόντος. nam redit ad νόμου. nam haec verba me recitare iuuat tanquam e persona legis, vt hominis animati vocalis facti.

48 ἀναγνώσεται m. M.

49 γ. κριτήν.

50 τέχνην] malim τέχνης. ὡς τέχνης idem est atque ὡς κατὰ τὴν τέχνην. aut διὰ ταύτης τῆς τέχνης, ἣν ἕκαστος ἔχει. *bellum profligantibus eam per artem, quam quisque callet.*

μου βοῶντος, εὕρηταί τις ἐκ οἶδ᾽ ὅπως διαςρέφειν πειρώμενος· ὅτι, φησὶ, τοὺς πόλεμον κατορθοῦντας τιμῶσιν οἱ νόμοι· τὸ δὲ πρᾶγμα τὸ σὸν, ἐ πολέμε κατόρθωμα. τίνα γὰρ ἐπιόντα σοι τῶν ἐναντίων[51] κατήνεγκας; τίνα τραυματίαν εἰργάσω; ποίαν αὐτὸς ἐδέξω πληγήν; τίς ὤφθη διώκοντός σου δραπέτης; τίς ὑπὸ σοῦ πεπτωκὼς ἐγυμνώθη; τίς ὅλως εἰπέ μοι τῆς νίκης ὁ τρόπος; ἱππεύων ἠρίςευσας; ὅπλοις ἐφάνης εὐδοκιμῶν; ἀκοντίζων ὅλην ἐτάραξας φάλαγγα; πυκναῖς εὐςόχως ἐχρήσω βολαῖς; πόσους ἄγων ἧκες ἡμῖν αἰχμαλώτους; ποῦ σοι τὰ λάφυρα; ποῦ σοι τὸ τρόπαιον ἕςηκεν; οὐδὲν, ὦ παρόντες, ἀπέοικεν οὗτος τῶν θεωμένων ἱππικὴν ἀγωνίαν· οἵ τινες ἀκινδύνως ἄνωθεν ϛχηματίζονται τὰ τῶν ἐφεςηκότων τοῖς ἅρμασιν, οὐδὲν ὧν ϛχηματίζονται ποιεῖν ἐπιςάμενοι. ἐγὼ δὲ τὸν ςρατιώτην ἠξίουν αὐτὸν, ἐν τοῖς κινδύνοις ἐπιδείξασθαι τὴν ἀνδρίαν· οὐ τῶν ἀγώνων ἤδη σαφῶς λελυμένων, πολεμικῶν μαθημάτων ἡμῖν καταλέγειν ὀνόματα. ὥσπερ ἂν εἴ τις ἀθλητὴν ἑαυτὸν ὀνομάζων, ἀγομένων μὲν Ὀλυμπίων, ἡσυχάζοι· πεπαυμένων δὲ καὶ πέρας λαβόντων, ἐγγυμνάζοι τοὺς ἄλλους· ἀντὶ παλαιςοῦ, παιδοτρίβης γενόμενος· ἀπόκριναι δή μοι, βραχὺ τῦ βήματος ἀποςάς· κατ᾽ ὀλίγον γὰρ ἐπιὼν, μικρῦ μοι τὼ χεῖρε προσάγεις. ποῦ διώρισεν ὄργανα νίκης ὁ νόμος, ἵππον, ἀκόντιον, τόξον, ἀσπίδα; ποῦ μόνοις ἐπιτρέπει τούτοις νικᾷν; καὶ τοὺς μὲν ὧδε κρατοῦντας ἀμείβεται[52] δωρεαῖς· ἂν δὲ ῥητορεύων τὶς ἀριςεύῃ, πρὸς τῦτόν ἐςιν ἀγνώμων; θῶμεν δὲ ὅμως τὸν νόμον σαφῶς οὑτωσὶ διωρίσθαι[53] ἂν κατορθώσῃ τὶς πόλεμον ὁπλίτης, ἢ τοξότης, ἢ καλῶς ἀκοντίζειν εἰδὼς, ἢ τελῶν εἰς ἱππέας, τὴν δοκοῦσαν αὐτῷ καρπούσθω τιμήν. ταῦτα δῶμεν εἰρῆσθαι τῷ νόμῳ, καὶ μηδεμίαν αὐτῷ γεγράφθαι μνήμην ῥητόρων. φημὶ τοίνυν ἐγώ· καὶ μή μοι θορυβείτω

[51] τῶν ἐναντίων] sic W. τῶν omittit M.

[52] ἀμείβεται] sic W. ἀμείβεσθαι M.

[53] διωρίσθαι] sic dedi e lect. W. διώρισαι. M. dat διορίσαι.

βείτω πρὶν ἀκοῦσαι[54] μηδείς· οὐδ' οὕτως ἂν ἀλόγως τυχεῖν ἐθέλειν δωρεᾶς. σκοπεῖτε γάρ· τοὺς νόμους οἱ γεγραφότες, ὅσα τῶν πραττομένων εὐκόλως συμβαίνειν οὐ πέφυκεν, οὐδαμοῦ προσδιώρισαν· οἷον περὶ σωφροσύνης νομοθετοῦντες, γυναικός τε μοιχείαν, καὶ βίαν τιμωρούμενοι κόρης· οὐ προστιθέασιν, ἂν θυγατέρα πατὴρ ἁλῷ βιασάμενος, ἢ νεανίας,[55] οἰκείας μητρὸς ἐρασθείς. ὅ, τι δέοι παθεῖν· ὡς οὔτε ῥᾳδίως τὰ τοιαῦτα τολμώμενα.[56] κἂν ἄρα πραχθῇ, πρόδηλον ὄν, ὡς δίκην ὑφέξει[57] τῶν ἐλαττόνων ἁμαρτημάτων εὐθυνομένων. οὕτω τοίνυν τοῖς εἰωθόσι πολεμίους ἀποσοβεῖν δωρεὰς τάξας ὁ νόμος, τοὺς ῥήτορας ἐσιώπησεν, ἡγούμενος αὐτῶν ὑπερβαίνειν τὴν τέχνην τὸ τόλμημα. τίς γὰρ ἂν ἤλπισεν ἄνδρα λέγειν μόνον εἰδότα γυμνὸν εἰς ὡπλισμένους ἐχθροὺς ἐμβαλόντα, στρατόπεδον ὅλον ἰσχύϊ λόγων ἀπώσασθαι. εἰ τοίνυν ὡς παράδοξον ἔτυχε τοῦτο τῷ νόμῳ παραλειφθὲν, οὐκ ἀπεικότως μὲν ᾔτουν τὸ γέρας. μείζονα τόλμαν[58] ἐπιδειξάμενος τῶν ὅπλοις εὐδοκιμούντων. τῆς γάρ[59] ἐλάττονος ἀρετῆς, τῆς ἐν χερσὶν ἀριστείας φημὶ, γέρας ἐκ τῶν νόμων ἐχούσης, οὐκ ἔστιν ἄμισθον εἶναι τὴν μείζονα. τῆς δὲ κρείττονος τιμωμένης, οὐ τὴν ἥττονα πάντως[60] τιμᾶσθαι προσήκει. τοιγαροῦν εἰ μὴ τοῖς ἁπλῶς πολεμίους ὠθοῦσιν ἆθλα παρεῖχεν ὁ νόμος· ἀλλὰ τοῖς καινῷ τινι καὶ παραδόξῳ τρόπῳ τοῦτο ποιεῖν[61] δυναμένοις· σὺ μὲν οὐκ ἂν ᾔτησας ἀριστεύων.[62] οὐ γὰρ οἶμαι παράδοξον ὅπλοις διώκειν ἐχθροὺς ἐπιόντας. ἐγὼ δ' ἂν εἰκότως εἰσεπραξάμην· οὐ γὰρ σύνηθες ῥήτορι, πόλεμον ἀπωθεῖν. εἶτά με ἐρωτᾷς ποῦ σοι τὸ τρόπαιον ἕστηκε; μέγα μου τρόπαιον ἡ πόλις, ἀσφαλῶς ἑστηκυῖα.

καὶ

54 ἀκούσῃ m. M

55 νεανίσκος W. et m. M.

56 χ. ὑπάρχουσι W. et m. M.

57 ὑφέξειν m. M.

58 τόλμαν] sic W. τόλμην M.

59 γάρ] μὲν W.

60 πάντα W.

61 τοῦτο ποιεῖν] sic W. τοῦτο deest M.

62 malim ἀριστεῖον, praemium virtutis.

καὶ τί τοσοῦτον ὑπὲρ μιᾶς διατείνομαι[63] δωρεᾶς; εἰ γάρ τις ὀρθὸς γένοιτό μοι κριτὴς, πολλαῖς ἂν τὴν ἐμὴν εὐεργεσίαν ἀμείψαιτο. οἱ μὲν γὰρ νόμῳ χειρῶν πολέμου κρατοῦντες, ἄλλος ἄλλον ἀντιστρατιώτην τρεψάμενος, τῆς ἰδίας ἕκαστος ἀριστείας μίαν δικαίως κομίζεται δωρεάν. ὁ δὲ στρατὸν ὅλον ἀποσοβήσας ῥώμῃ ῥητορικῇ·[64] ὅσα τῷ καταλόγῳ τῶν ἀριστέων ὀφείλεται γέρα τῆς νίκης ὅπλοις ἀθροιζομένης, μόνος ἂν εἰκότως ἅπαντα φέροιτο. καὶ γὰρ εἴ τι τῶν δημοσίων ὑπερηφάνοις ᾠκοδομεῖτο δαπάναις· ἐκάλει δὲ τοὺς οἰκήτορας ὁ καιρὸς εἰς δημοτελῆ χρημάτων φορὰν, ἑκάστῳ θαλλοῦ στέφανον ὑπισχνούμενος φιλοτιμίας μισθόν· εἰ τοίνυν πάνδημον εἰσφορὰν τῆς χρείας εἰσπραττομένης, φιλόδωρός τις ἀνὴρ καὶ πλούτῳ πολὺς, ἧκεν οἴκοθεν ἄγων τὸν ἐκ πάντων συλλεγόμενον ἔρανον· ἔδει τοσούτοις αὐτὸν, κοσμηθῆναι στεφάνοις, ὅσοις ἤμελλον ἅπαντες, κοινῆς γεγονυίας τῆς ἐπιδόσεως. καὶ ποῦ μοι δεῖ τοιαύτης εἰκόνος. εἰ γὰρ μὴ τοὺς πολεμίους ῥητορεύων ἀπεωσάμην, ἐν ὑμῖν δὲ δημηγορῶν ἔπεισα θαῤῥῆσαι τὴν ἔξοδον, ἁρπάσαντάς τε τὰ ὅπλα συναντῆσαι τοῖς ἐπιοῦσιν· ἔδει τροπῆς γενομένης, τυχεῖν μὲν ὑμᾶς ἀμοιβῆς· τυχεῖν[65] δὲ τὸν σύμβουλον· ὑμᾶς μὲν ἀνδρείως ἠγωνισμένους· ἐμὲ δὲ φρόνημα γενναῖον ὑμῖν ἐμβαλόντα. οὐδὲ γὰρ ὁ Νέστωρ ἄτιμος ἦν ἐν τοῖς Ἀχαιοῖς· τῷ σώματι μὲν οὐ μέγα τι συντελῶν· τί γὰρ ἂν ἔδρασεν ἄνθρωπος εὖ μάλα πρεσβύτης, τρίτῃ συζῶν γενεᾷ; σοφίᾳ δὲ πλεῖστα τοὺς Ἕλληνας ὠφελῶν, ὑπὲρ τὴν Ἀχιλλέως μελίαν, καὶ τὴν Αἴαντος ἀσπίδα, καὶ τὸ δόρυ τοῦ Διομήδους, καὶ τὰ βέλη τοῦ Τεύκρου· ὥστε τὸν ἄρχειν λαχόντα τοῦ στόλου, τοῦ Διὸς δεηθῆναι, τὴν Ἀθηνᾶν ἱκετεῦσαι, προσεύξασθαι τῷ Λητοῦς, δέκα δωρήσασθαι τοῖς Ἕλλησιν ἄνδρας, οὐ τῷ Φθιώτῃ παραπλησίους· οὐ ζηλοῦντας

[63] schol. in marg. W. διατείνομαι τὸ μάχομαι καὶ τὸ βεβαιῶ.

[64] num ῥητορικῆς? sed tum dixisset, ῥώμῃ τῆς ῥητορικῆς scil. τέχνης.

[65] fort. τυχεῖν δὲ καὶ τὸν σύμβουλον.

τας τὸν Σαλαμίνιον· οὐ τὸν Αἰτωλὸν μιμουμένους· οὐ τὸν ἕτερον παῖδα τοῦ Τελαμῶνος· ἀλλὰ τὴν γλῶτταν προσεοικότας τῷ γέροντι, ἰσχυριζόμενον, τῆς εὐχῆς αὐτῷ προβαινούσης, τὴν Πριάμου πόλιν εὐκόλως ἁλῶναι. εἶτα δι' ὑμῶν μὲν τοὺς ἐχθροὺς ἀπελάσας, τῆς προσηκούσης ἂν ἔτυχον χάριτος· μόνος δὲ τὸ πᾶν εἰργασμένος, ἄμισθος ἄπειμι; μὴ δῆτα, μὴ τὸ τῶν φθονούντων ὑμεῖς πάθοιτε[66] νόσημα, οἳ τοὺς εὐεργέτας ἀποκνοῦσι τιμᾶν· οὐ μέμψιν δεδιότες ἀχαριστίας·[67] τὸ δὲ δοκεῖν εὖ παθεῖν αἰσχυνόμενοι. ἐγὼ μὲν οὖν[68] εἰ καὶ φιλίου στρατεύματος πάροδον διεκώλυσα μόνην, οὐκ ἂν ἠλευθέριασα γέρας αἰτῶν. ἴσμεν γὰρ ὅπως χαλεπὰ τὰ τοιαῦτα καὶ λίαν ἐπιζήμια γίνεται. εἶτα στρατὸν μὲν οἰκεῖον ἐνθένδε παριέναι βουλόμενον, πείσας ἑτέραν ἐλθεῖν, δικαίως ἂν ἔτυχον ἀμοιβῆς· ἐχθρῶν δὲ λύσας πολιορκίαν, ἄτιμος ἔσομαι; ἀλλ' εἰ καὶ μὴ πάντας, τοσούτους δὲ τῶν πολεμίων ἔπεισα μόνους καταλεῖψαι τὴν μάχην, ὅσους ἂν ἀγαθὸς ἐτρέψατο στρατιώτης, εἰκότως ἂν μοι τιμὴν εἰσπράξαι δοκῶ τὸν δῆμον· ἐλαττουμένου τοῦ δέους αὐτῷ, μειώσει τῶν ἐναντίων. ἣν τοίνυν ἀήττητον οὗτος ἀντιλογίαν καλεῖ, δι' ἧς ἐπαγγέλλεται χειροῦσθαι τὸ δικαστήριον, πρὸς ἣν ἀσθενῆ μοι φησὶ καὶ σαθρὰν εἶναι τὴν ἐπιστήμην· αὕτη τοιοῦτον αὐτῷ μεμηχάνηται τρόπον. ἀποθαυμάζων δὴ περιέρχεται, καὶ πάντων οἷς ἂν συναντήσειε πυνθανόμενος, εἰ πολεμικόν τις ἀξιοῖ γέρας λαβεῖν, μὴ συστάντος πολέμου. τίς γάρ, φησιν, ἰατρὸν ἐθεάσατο μισθὸν εἰσπραξάμενον, μὴ νοσούντων ἀνθρώπων· ἢ κυβερνήτην, μὴ πλεόντων· ἢ τὸν οὐ πολεμοῦντα, τροπαίου τιμήν; ἡ μὲν τῶν παραδειγμάτων κομψότης πολλή, καὶ δεινὴ τοὺς ἀπόνως ἀκούοντας δελεάσαι· οὐ μὴν πρὸς ἔλεγχον ἄμαχος. οὐ γὰρ ἔστιν ἀνάλωτον εἶναι τὸ ψεῦδος. ὁ γὰρ τῶν σωμά-

[66] πάθητε W.

[67] οὐ μέμψιν οὐ δεδιότες τ. ἀχ. non eo, quod nulla ducantur formidine ignominiae ab oblivione contemtuque acceptorum benificiorum contrahendae.

[68] οὖν deest m. M.

σωμάτων θεραπευτὴς, οὐ μόνον οὓς ἰᾶται νοσοῦντας, ἀργύριον εἰσπρᾶξαι δίκαιος, ἀλλὰ καὶ οἷς δίαιταν παραδίδωσιν, ἄνοσον αὐτοῖς τὸ σῶμα φρουροῦσαν, ἐν ὑποψίᾳ νόσου καὶ φόβου.[69] Φέρε δὴ, πρὸς θεῶν, εἰ λοιμοῦ τῇ πόλει προσβάλλειν ἐπειγομένου, καὶ τοὺς ἀγροὺς ἤδη κατειληφότος, μία ξυνωρὶς ἰατρῶν, ὁ μὲν φαρμάκοις ὀδυνηροῖς, καὶ σιτίοις[70] ἀνιῶσι τὸν κεχρημένον, καὶ ποτοῖς δίψης χαλεπωτέροις, καὶ καύσεσι, καὶ τομαῖς, ὑπισχνεῖτο τὴν ἴασιν, ὅταν ὑμῖν[71] συνοικήσῃ τὸ νόσημα· ὁ δὲ πρὶν εἰς ἄστυ τὸ δεινὸν εἰσιέναι, διαλύειν ὑμῖν ἐπηγγέλλετο· πότερος ἂν, ὦ παρόντες, ἡδίων ἐφάνη. καὶ μείζονος ἄξιος δωρεᾶς; οὐ παύσῃ,[72] φήσειεν ἄν τις εἰκότως, ἐμοὶ τὰ πρόχειρον ἔχοντα τὴν ἀπόκρισιν ἐρωτῶν; τίς γὰρ ἐξὸν ὑγιαίνειν, ἕλοιτ' ἂν νόσον ἐμπεσοῦσαν ἀποφυγεῖν; εἰ δὲ δεῖ[73] τοῖς Ἀσκληπιάδαις ἐνδιατρίψαι τὸν λόγον, καὶ δευτέραν ἐντεῦθεν ἐπίνοιαν ἐξευρεῖν· ὁ μὲν ἔτι προσιόντα τὸν λοιμὸν ἀπελάσας, κοινὴν ἅπασι πορίζεται ῥῶσιν·[74] ὁ δὲ νόσον εἰσπηδήσασαν ἔνδον, καὶ τὰ σώματα δίκην φλογὸς νεμομένην, ἀποσβέσαι πειρώμενος, πολλοὺς μὲν ἴσως δυνήσεται τοῦ πυρὸς ἐξελέσθαι. πολλοῖς δὲ μάτην ἐπικουρίαν προσάξει παντοδαπήν· τῆς ἰατρῶν ἐπιστήμης τῷ πάθει παραχωρούσης. ἄνευ δὲ τούτων, ὁ μὲν, ἀλύπου καὶ καθαρᾶς, καὶ νοσῶδες ἐχούσης οὐδὲν, ὑγείας αἴτιος ἅπασι γίγνεται. ὁ δὲ πολλοῖς τῶν μόλις ἀποσωθέντων λείψανόν τι τοῦ πάθους ἐν τοῖς σώμασιν ἱδρυνθὲν ἄπεισι πολλάκις καταλιπών. ὅσον οὖν ἐν τούτοις πρὸς ἀλλήλους ἐστὶ τὸ διάφορον, τοσοῦτον ἀμείνων ὁ μέλλοντα πόλεμον παύσας τοῦ καταλύσαντος γεγονότα. τά τε ἄλλα, καὶ ὅτι νῦν μὲν ὀρθὴ πρὸς εὐθυμίαν ἡ πόλις, καὶ μία διὰ πάντων εὐφροσύνη διέρχεται, καὶ λύπης ἐλευθέρα, καὶ ἄκρατος ἡδονὴ φοιτᾷ πανταχοῦ.

[69] recte coniecit Mor. φόβῳ.

[70] ſchol. βρώμασι in margg. W. et M.

[71] ἡμῖν m. M.

[72] παύσῃ] ſic W. παύσει M.

[73] δεῖ] ſic W. δὴ M.

[74] malim ῥῦσιν, Rettung, a. v. ῥύεσθαι.

χοῦ. ὅπου δὲ βίαιον ἵσαται τρόπαιον, ἐκεῖ σύγχυσις ἀθυμίας τε καὶ χαρᾶς ἐν μιᾷ γίγνεται πόλει· ἐνταῦθα μὲν χορεία, καὶ κῶμος· ἐνταῦθα δὲ, πένθη[75] καὶ δάκρυα· ἐνταῦθα δὲ φροντίδες ἀνιαραί. τῶν μὲν, τοὺς οἰκείους, ὡς οὐκ ἐβούλοντο, δεξαμένων· τῶν δὲ, θρηνούντων πεσόντας. τῶν δὲ, τραυματίαις συναχθομένων. νίκη γὰρ χειροποίητος, καὶ τοῖς κρατοῦσιν ὀδύνας φιλεῖ προξενεῖν. οὕτως ἄρα πανταχόθεν λυσιτελέστερον, ὃν ἠρίστευσα τρόπον κρατεῖν, καὶ πόλεμον ἄδακρυν, τὸ τοῦ λόγου, νικᾶν, ἤπερ αἵματι καὶ πληγαῖς κρίνειν τὰς μάχας. ἐπειδὴ δὲ καὶ κυβερνήτῃ με προσεικάζει μισθοὺς ἀπαιτοῦντι, μὴ πεπλευκότας ἀνθρώπους, οὐ λανθάνει κακῶς ἡμᾶς ὑπογράφων,[76] τὰ μηδὲν ἐοικότα[77] πρὸς μίμησιν βιαζόμενος. καὶ παράλληλα κρίνων τὰ πλεῖστον διεστηκότα. εἰ γάρ με χρὴ παραβάλλεσθαι[78] πρὸς ἄνδρα τοὺς οἴακας ἰθύνειν εἰδότα, δεῖ τὴν παράθεσιν κυβερνῶντα[79] μὲν ἔχειν ἐμέ· ὁλκάδα δὲ λῃστρικὴν ναυτιλλομένην ἡμῖν ἐπιοῦσαν, βουλευομένην αὐτοῖς ἀνδράσι καὶ φορτίοις ἑλεῖν μου τὸ σκάφος· εἶτα πάντων ὑπὸ δέους ἐν κοίλῃ νηῒ κρυπτομένων, ἐμὲ μόνον ἐπιβάντα[80] τοῦ λέμβου, καὶ προσιόντα τοῖς πειραταῖς, καὶ πόῤῥω τρεψάμενον ἅπαν ἐκεῖνο τὸ λῃστρικὸν, καὶ ταύτῃ τὴν ἡμετέραν διασώσαντα[81] ναῦν. οὕτω παραβάλλων ἡμᾶς, οὐ δόξεις[82] ἀνομοίων ἐξεταστὴς εἶναι πραγμάτων. ἴσως τοίνυν καὶ περιττὴν ἡμῖν προσβολὴν ἐποίσει ταύτην, ὡς εἰ τὴν πόλιν συνέβη διὰ μάχης ἐλθεῖν, τήν τε τύχην ἐξίσου τὰ τάλαντα τεῖναι[83] τῆς νίκης, οὐδεὶς ἂν ἐπινίκιον ᾔτησε δωρεὰν, ἀμφοτέρων ἐφάμιλλα λελυπηκότων ἀλλήλους· ὥστε, φησὶν, ἀλόγως ὁ ῥήτωρ ποιεῖται τὴν αὐτη-

75 πένθος m. M.

76 ὑφογράφων] illudens. simile ductum a fuco qui oculis et genis illinitur.

77 μὴν ἐοικ. m. M.

78 χ. συγκρίνεσθαι m. M.

79 κυβερνήτην m. M.

80 ὑποβάντα τοῦ πολέμου m. M.

81 σώσαντα W. et m. M.

82 δόξει m. M.

83 νεῖμαι m. W. et m. M. dat πλάστιγγας νεῖμαι τῆς δίκης, ἄδεις.

αἴτησιν· τῷ γὰρ ἑκατέρους ἴσα παθεῖν, παραπλήσιον τῷ μηδετέρους δεινόν τι παθεῖν· οὕτως ἔρρωτο ἄν σοι, καὶ χώραν εἶχεν ὁ λόγος, εἴπερ ἐξ ἀντιῤῥόπου παρασκευῆς, ἡμῶν τε κἀκείνων[84] ὁ πόλεμος ἦν· τότε ἂν ἀλόγως τιμᾶσθαι ἠξίουν, τῆς μάχης ἢ λελυμένης ἡμῖν, ἢ παραπλησίως ἑκατέροις ἠγωνισμένης[85] νῦν δὲ, τοῦτό σοι τὸ σοφὸν ἠλίθιον καὶ γέμον ἀνοίας ἐστί· τοσοῦτον γὰρ ἄνισος ἦν ἡ παράταξις, ὅσον οἱ μὲν ὡπλισμένοις προσῄεσαν ἡμῖν δὲ τὸ πλῆθος ἄφρακτον ἔτι, καὶ ἀπαράσκευον ἦν· ἀνελπίστου συμβάσης πολιορκίας, καὶ τῆς ἡμετέρας ἀπραγμοσύνης εἰς ῥαθυμίαν ἀγούσης. τοῖς ἡσυχάζουσιν εἰωθὸς, μὴ ῥαδίως ὑποπτεύειν τι δυσχερὲς, ἐκ τῆς ἰδίας τὴν ἀλλοτρίαν τεκμαιρομένοις προαίρεσιν. καὶ τοῖς μὲν πολεμίοις, ἡ πατρὶς ἦν ἐν σκέπῃ, τοῦ κινδύνου διεστηκυῖα τῆς συμπλοκῆς· γύναιά τε, καὶ παῖδες, καὶ ὅσον ἐξ ἡλικίας, ἢ φύσεως, ἢ νόσου πολεμεῖν ἀδύνατον ἦν,[86] κατὰ πολλὴν ἀσφάλειαν[87] οἴκοι διέτριβεν· ἔτι τε θεῶν ἱερὰ, καὶ τάφοι πατρῷοι, καὶ τὰ τῶν προσόδων, αὐτοῖς ὑπῆρχεν ἀκέραια· μηδενὸς ληιζομένου τὴν γῆν· ἡμῖν δὲ ὑπὲρ ἁπάντων εἰς ἀνερρίπτειτο κύβος·[88] καὶ οὐκ ἦν ἅπαξ ἀποτυχόντας, φυλάξασθαι τοῦ λοιποῦ μὴ τοιαῦτα παθεῖν. φύσει γὰρ ἀεὶ τοιοῦτον ὁ πόλεμος· τοὺς μὲν ἐκ περιουσίας αὐτῷ κεχρημένους, κἂν διαμαρτῶσιν, οὐ καθεῖλε τελέως· ὅσοις δὲ τὰ προσόντα πάντα σαλεύει καὶ μιᾶς ἤρτηται μόνης ἐλπίδος, εἶναί τε, καὶ διεφθάρθαι, τούτοις ἄρδην ἠτυχηκόσιν, ἅμα τε[89] βλάβης μεστὸς ὑπάρχων ἐλέγχεται· καὶ ὅπως αὐτὸν ἐσαῦθις φυλάξωνται, χώραν οὐ δίδωσιν, ἅπαντα διαφθείρας ἀθρόως.

84 ἡμῖν κἀκείνοις m. M.

85 ἠγωνισμένοις W. et m. M.

86 ἀδύνατον ἦν] non improbo. bene habet. et potest defendi. malim tamen ἀδύνατα ἦν, id est οὐκ ἐδύνατο non poterant. W. dat ἀδύνατον τ' ἦν.

87 ἡσυχίαν m. M.

88 ἀνὴρ ῥίπτει τὸν κύβον m. M.

89 post ἅμα τε abest καὶ a W. quod si servetur, pro ἅμα leg. sit ἀνίας.

ὡς. ἐπειδὴ τοίνυν τοσούτοις[90] ἡλαττούμεθα τρόποις, νίκην εἰκότως ὁρίζομαι, καὶ καλῶ τὴν τοῦ πολέμου διάλυσιν. ἀκριβεῖ δὲ λόγῳ φαίη τις ἂν εὐτυχέστερον ἡμᾶς ἀπαλλάξαι τῶν δυσμενῶν· εἴπερ ἡμῖν μὲν ἀζημίως κατέστη τὰ πράγματα· τοῖς δὲ δαπάνης, οἷον[91] εἰκὸς, ἐδέησε πλείστης, εἰς ἐφοδίαν τε χρείαν· καὶ σύστασιν οἰκείας παρασκευῆς· καὶ ξενοτροφεῖν ἴσως ἠναγκασμένοις· οὐ σμικρὸν δὲ κἀκεῖνο, ὅτι τὸ μὲν ἡμέτερον, αἰσχρᾶς ἀπήλλακται δόξης· οἱ δὲ, διπλοῦν ὄνειδος ἀποφέρονται· ἀδικίας μὲν ἐπελθόντες οἷς εἶχον οὐδὲν ἐγκαλεῖν· ἀνανδρίας δὲ, μὴ θαρρήσαντες ἔργῳ τὴν ἐπιβουλὴν παραδοῦναι. οἱ γὰρ ἑτέροις ἐπιστρατεύοντες, εἰ πρὶν εἰς χεῖρας ἐλθεῖν διαλύσονται,[92] μείζονος κληρονομοῦσιν αἰσχύνης. ὥσπερ ὁ τὸν πλησίον εἰς ἅμιλλαν προκαλούμενος, εἰ[93] μεταγνοὺς ἀμαχεὶ καταλύσει τὴν πρόκλησιν· δοκοῦσι γὰρ οἱ τοιοῦτοι σφῶν αὐτῶν καταγνόντες, ἀποθέσθαι τὴν ἔριν· οὐ τιμῶντες τὴν ἡσυχίαν· καταφρόνησίν τε καὶ μῖσος ἑαυτοῖς περιάπτουσιν, μισούμενοι τῆς προαιρέσεως· περιφρονούμενοι δὲ τοῦ μὴ πέρας λαβεῖν αὐτοῖς τὸ ἐγχείρημα. ἐγὼ δὲ καὶ τὸ θῆλυ τῶν πολεμίων ἡγοῦμαι πικρῶς αὐτοῖς ὀνειδίζειν· καὶ λέγειν ἀλλήλαις διηγουμένας. οἵους ἡμῖν τρέφει στρατιώτας ἡ πόλις. ἦλθον ἐχθρῷ συμβούλῳ χρησάμενοι. ἦλθον φυγόντες ἕνα τοσοῦτοι· ἦλθον ὁπλῖται ῥήτορα δραπετεύσαντες. οὐκ ἂν ἡμεῖς, ἃς ἀνάνδρους καλοῦσι, τοῦτο πεπόνθαμεν. τοιαῦτα στοχάζομαι τὰς ἐκείνων γυναῖκας πυκνὰ[94] πρὸς ἀλλήλας διεξιέναι· καὶ κόρον οὐκ ἔχειν διαβολῆς. φύσει γὰρ ἅπασαι ῥᾳδίως ἄρχονται λοιδορεῖν,[95] καὶ πέρας οὐκ ἴσασι λοιδορούμεναι. οὐ μὴν οὐ τὰς τῶν γυναικῶν οἶμαι διαβολὰς, μεταστήσειν αὐτοῖς

τοῖς

90 post τοσούτοις deest aut ἂν aut οὐκ. Si prius, haec est sententia. futurum fuisset certo certius, vt mulctaremur, si ita euenisset. sin autem posterius, istaec. quia tot modis mulctati non sumus.

91 ὥσπερ m. M.

92 διαλύσωνται lege, pari modo paulo post praeferam καταλύσῃ.

93 εἰ] εἶτα m. M.

94 πικρὰ m. M.

95 λοιδοροῦσαι, πέρας m. M.

τοῖς, ἣν ἀπῆλθον ἔχοντες γνώμην. ἐῤῥιζωμένης αὐτοῖς τῆς, παρὰ τὴν[96] ἐμὴν, νουθεσίαν πειθοῦς. ἄνευ δὲ τῶν εἰρημένων, πλεονέκτημα μέγα, καὶ νίκης ἐνέχυρον τοῖς ἐξαίφνης ἐπιστρατεύουσι, τὸ τῆς ἀδικουμένης πόλεως ἀπαράσκευον· εἴπερ οἱ μὲν ἐν ἐξουσίᾳ πολλῇ, ταράττοντος οὐδενὸς, σφᾶς αὐτοὺς καταστήσαντες· εἶτα ἐπέρχονται· ἡ δὲ, τοῦ συνειδότος αὐτὴν ὑπτίαν ἐργαζομένου, ῥαστώνην ἄγουσα τέως, οὐκ οἶδεν ὅ τι γένηται, θορύβῳ συνεχομένη. οἷον ὑφίσταται πολλάκις ἀπράγμων ἀνὴρ, καὶ λίαν ἐπιεικὴς, ὅταν αὐτῷ δίκην τὶς ἀπροσδόκητον λάχῃ. εἰς καιρὸν δὲ ἄρα δικαστηρίου μνήμην πεποίημαι, καὶ κατηγόρου, καὶ φεύγοντος. οἶμαι γὰρ ἅπασιν εἶναι καταφανὲς, ὡς πολεμίῳ μὲν ἐπιόντι, προσέοικεν ὁ κατήγορος. ἀμυνομένου δὲ τάξιν ὁ κρινόμενος ἔχει· εἰ τοίνυν ἐν δικαστηρίῳ φεύγοντός ἐστι νίκη, τὸ μὴ παθεῖν τι δεινόν· καὶ πολεμουμένων ἂν λέγοιτο τρόπαιον, τὸ μὴ πεπονθέναι τὶ δυσχερές. φέρε δὴ καὶ ἄλλην ἐκ τοῦ δὲ τοῦ γυμνασίου[97] θηράσωμεν ἀφορμήν· εἴ τινά τις γραψάμενος, ἔπειτα καταγνοὺς ἑαυτοῦ, μηδαμῶς ἐπεξέλθῃ,[98] τοῦτο μείζων ἀπόδειξις· ὡς οὐδὲν ὁ τὴν γραφὴν ὑποστὰς ἐπλημμέλησεν, ἤπερ τῶν δικαζόντων ἡ ψῆφος, ἀθῷον αὐτὸν ἀπολύουσα. τοὺς μὲν γὰρ ἴσως ὑποπτεύσειεν ἄν τις ἢ δώρων προέσθαι τὸ δίκαιον, ἢ λόγων ἀπάτῃ παρακρουσθέντας· ἢ πρὸς ἔλεον κατενεχθέντας τοῦ κρινομένου. ὁ δὲ γραψάμενος μὲν, ἑαυτοῦ δὲ κατεγνωκὼς, ἀνύποπτος γίνεται δικαστής· ᾧ προσήγαγε τὴν γραφήν· τί δή μοι βούλεται τὸ παράδειγμα, δῆλον,[99] ὅτι πρὸς τοὺς ἐναντίους ὁρᾶ,[100] σαφεστέραν μαρτυρίαν ἀρετῆς ἡμῖν καταλείψαντας,[1] ἤπερ εἰ μάχῃ νικηθέντες ἀπῆλθον· οὕτω γὰρ ἂν ὑπῆρχεν αὐτοῖς, ἀντὶ δικαστῶν αἰτιᾶσθαι τὴν τύχην,

96 περὶ τὴν m. M.

97 schol. γυμνάσιον ὁ ἀγὼν καὶ ὁ τόπος εἰς ὃν γίνεται. W. et m. M.

98 ὑπεξέλθῃ m. M.

99 ἢ δῆλον W. et m. M.

100 ὁρῶ W.

1 ἡμῖν μαρτ. ἐκ τῆς ἀρ. κ. m. M.

χην, ἀλόγως[2] τὸν ἀγῶνα βραβεῦσαι[3] ὁρᾷς ὡς πανταχόθεν σεμνότερόν μου τὸ τρόπαιον διαφαίνεται[4] τῶν ἐν χερσὶν ἱσαμένων; τάχα τοίνυν ἀπορήσας λοιπὸν, ὅπως μέμψεται[5] τὸ πραχθὲν, προσποιήσεται τοῦ μέλλοντος κήδεσθαι χρόνου· καὶ δεδιέναι μήποτε πάλιν ἐπιστρατεύσωσιν, ὡς οὐδὲν ὑπομείναντες, ἱκανὸν ἡσυχίαν ἄγειν αὐτοὺς[6] ἀναγκάσαι. τὴν μὲν γὰρ ἔνοπλον νίκην,[7] ἀθάνατον δέος τοῖς ἡττημένοις ἐμβάλλειν· τὴν δὲ τῶν λόγων πειθὼ, μὴ φοβερὰν εἶναι τοῖς πεπεισμένοις. ἐγὼ δὲ τὰς μεγάλας ἔχθρας ἡγοῦμαι βίᾳ μὲν ὑποχωρούσας ἐπισφαλεῖς εἶναι· καὶ χρόνον βραχὺν ἠρεμεῖν· καὶ μῖσος ὕπουλον ἔχειν· καὶ μικρᾶς παραπεσούσης ἔριδος, ἀναφύεσθαι. τοὺς ἑκουσίους δὲ πεπαυμένους,[8] ἐρυθριᾶν αὖθις[9] ὀφθῆναι· ἐπεὶ καὶ τοὺς ἄγαν ἐρῶντας ὁρῶμεν, εἴ τις αὐτοὺς βίᾳ διαλῦσαι πειράσεται, φιλονεικότερόν τε ποθοῦντας[10] καὶ μᾶλλον ἐξαπτομένους, ἕως ἑαυτῶν καταγνόντες αὐτοὶ τὴν ἰδίαν ἰάσονται νόσον. εἰ μὲν οὖν ὑφ᾽ ἡμῶν[11] βιασθέντες ἀπῆλθον, ὀλίγον ἂν[12] εἴξαντες τῷ καιρῷ, καὶ προϊόντες τοῦ χρόνου, τὸν ἐκ τῆς συμφορᾶς ἀποτριψάμενοι φόβον, πάλιν ἐπειρῶντο τῆς τύχης, εἰ πρὸς αὐτοὺς παρ᾽ ἡμῶν αὐτομολεῖν ἐθελήσει· τοιαύτη γὰρ ἡ θεός· οὐδενὶ βεβαίως ἀνέχεται συνοικεῖν· ὥστε καὶ τῷ ταύτης ἀνωμάλῳ πιστεύσαντες, καὶ τῆς προτέρας ἀμείνω ποιησάμενοι[13] δύναμιν, δευτέραν ἴσως πολιορκίαν ἐπῆγον. ταῦτα μὲν, εἰ πρὸς ἀνάγκην τὴν ἀναχώρησιν ἐποιή-

[2] ἀναλόγως m. M.

[3] βραβεῦσαι] sic et W. neque damno. potest vulgata sic accipi, ac si dictum esset αἰτιᾶσθαι, ὅτι ἡ τύχη — ἐβράβευσε. malim tamen legi βραβεύσασαν.

[4] ἀναφαίνεται m. M.

[5] μέμψεται] sic W. μέμψηται M.

[6] αὐτὸν m. M.

[7] δίκην m. M.

[8] παυσαμένους m. M.

[9] post αὖθις aut post ὀφθῆναι deesse videtur ἐρίζοντας aut tale quid.

[10] ποθοῦντας] sic W. παθοῦντας M.

[11] ὑφ᾽ ἡμῖν m. M.

[12] ἴσως ἂν m. M.

[13] πορισάμενοι m. M.

ἐποιήσαντο. νῦν δὲ παιδευθέντες λυσιτελεῖν αὐτοῖς τὴν διάλυσιν, οὐ καινοτομήσουσι τὸ συμφέρον· οὔτε βουλήσονται προσάπτειν αὐτοῖς ὑπόνοιαν ἀμαθίας, τῷ δοκεῖν ἐξ ἀπάτης ἐμῆς καταλῦσαι τὴν προσεδρίαν. τί δὲ[14] τῆς προτέρας αὐτῶν καταγνόντες[15] παρασκευῆς, αὖθις ἐπέρχοιντο. εἰ μὲν γὰρ ἐνδείᾳ μηχανημάτων μὴ καθεῖλον τὴν πόλιν· δέος ἂν ἦν καὶ φροντὶς, μὴ πλείους οἴκοι κατασκευάσαντες μηχανὰς, πάλιν τειχομαχεῖν ἐθελήσωσιν. εἰ δὲ κατὰ πολλὴν ἄδειαν βουλευσάμενοι, καὶ τὴν ἐμὴν πικρῶς ἐξετάσαντες συμβουλήν· τίς γὰρ ἐχθροῦ νουθετοῦντος, ἀμελῶς ἀκροᾶται; πειθέντες[16] αὐτοῖς τὰ λεχθέντα συμφέρειν, ἔργῳ μου τὴν[17] παραίνεσιν ἔκριναν ἔχειν καλῶς· οὐκ ἀνέξονται τὴν ἰδίαν ὑβρίσαι χειροτονίαν. ὅλως δὲ τίνες εὐτραπέλως[18] οὕτω καὶ μειρακιωδῶς μεταφέρονται, ὥστε τῆς αὐτῆς πόλεως ἐθέλειν κρατεῖν, καὶ πάλιν μὴ βούλεσθαι· καὶ πάλιν ἐπιθυμεῖν· καὶ τῇδε κἀκεῖσε τὴν γνώμην καθάπερ ἐν μέθῃ σαλεύεσθαι; ἔστι τοίνυν ἔμφυτον, ὡς εἰπεῖν, πᾶσιν ἀνθρώποις ὅταν τι διαπράξασθαι βούλωνται, ὅσον μὲν ἐγγὺς γίνονται τοῦ τυχεῖν, ἐκμαίνεσθαι μᾶλλον, καὶ τῇ σπουδῇ προστιθέναι· ὅσον δὲ πόῤῥω διΐστανται, κατὰ μικρὸν ἀναπίπτειν καὶ παύεσθαι. εἶτα πλησίον μὲν ὄντες, ἀπῆλθον, ἥξουσι δὲ, μεταστάντες; καὶ τὰ μὲν ὅπλα φέροντες, οἷς ἐξάπτεται στρατιώτου θυμὸς, ἔγνωσαν δεῖν ἠρεμεῖν· ἀποσκευασάμενοι δὲ, δόξαν αὐτοῖς ἡσυχάζειν, στρατεύσονται;[19] καὶ νῦν μὲν ἀφυλάκτους ὄντας ἡμᾶς (οὐ γὰρ ᾐσθόμεθα προσβαλλόντων[20]) πολιορκοῦντες ἀπεῖπον, εἴξαντές μου τοῖς λόγοις· ἡγούμενοι δὲ τοῦ λοιποῦ δι' ἀσφαλείας μᾶλλον, ἢ πρότερον ἡμῖν εἶναι τὴν πόλιν, πειράσονται παραστήσεσθαι; οὐκ ἔστιν. οὐ γὰρ οἶμαι τὸν σὸν ἔχουσι λογισμόν. ἀλλὰ γὰρ οὐκ οἶδα ὅτι

σὲ

[14] malim ἔτι δέ.

[15] κατεγνωκότες π. α. ἐπέρχονται. m. M. malim αὖθις ἂν ἐπέρχοιντο.

[16] πείσαντες m. M.

[17] μὲν τὴν m. M.

[18] χ εὐκινήτως W. et m. M.

[19] στρατεύονται m. M.

[20] προσβαλλόντων] sic W. προβαλλ. M.

σὲ χρὴ καλεῖν· εἴτε θρασὺν, εἴτε δειλίας μεστόν· ἄρτι μὲν γὰρ ἠγανάκτεις, ὅτι σου τῶν χειρῶν τοὺς ἐναντίους ἐξήρπασα· νυνὶ δὲ μήπως ἐπιστρατεύσωσι δέδοικας· πῶς γὰρ οὐ στρατεύσονται θαῤῥοῦντες φησὶν, εἴ τις ἐκείνοις ἀγγείλειεν[21] ὅτι σε δωρεαῖς τετιμήκαμεν. ὑποπτεύουσι γὰρ εἰκότως ἡμᾶς ἐξ ἀνανδρίας ἐσχάτης εὐεργέτην ὁρίζεσθαι τὸν διαλύοντα μάχην· καὶ τὸ συμπλοκῆς ἀπηλλάχθαι, μέγα τρόπαιον κρίνειν. τί οὖν οὐχὶ καὶ τὸν νόμον αὐτὸν ἐξαλείφεις, ὡς κουφίζοντα τοὺς ἐχθροὺς καὶ θαῤῥεῖν προτρεπόμενον, αἷς δωρεῖται τοὺς πόλεμον κατορθοῦντας τιμαῖς; δῆλον γὰρ ὅτι δεδιέναι τὰς μάχας ὑποπτευόμεθα· δωρεαῖς ἀμειβόμενοι τὸν διαλῦσαι δυνάμενον. ἀνελὼν τοίνυν τὸν νόμον, ἕτερον τίθει, χρήμασι ζημιοῦντα τὸν ἀπελαύνοντα δυσμενεῖς· ἵνα δὴ φιλοπόλεμοι δόξωμεν, θυμούμενοί τε καὶ ζημίᾳ κολάζοντες τὸν οὐκ ἐῶντα προβαίνειν εἰς μῆκος τὴν συμπλοκήν. ὁρᾷς εἰς ὅσον ἀτοπίας ἀκολουθῶν σοι προῆλθεν ὁ λόγος; ταῦτα μέν τοι πάντα καὶ σοὶ πάρεστι νῦν ἐπ' ἐξουσίας εἰπεῖν· καὶ τούτοις ἀκροάσασθαί σου λέγοντος. εἰ δὲ τῶν πολεμίων ἡμῖν τὸ ἄστυ περιθεόντων, καὶ τῆς σωτηρίας ἡμῖν ἐν ἀπορίᾳ πολλῇ κεκλεισμένης·[22] καὶ πάντων ἀλλήλους ὅ, τι δέοι ποιεῖν ἐρωτώντων· εἰ τότε τὸν δῆμον ἀγείρας παρελθὼν, ὑπεσχόμην τὸν ὑπὲρ ἁπάντων ἀναδέχεσθαι κίνδυνον. καὶ τῶν περιεστώτων ὑμᾶς ἀπαλλάξειν κακῶν, εἴ γε ταῦτα διαπραξάμενος, ὅ, τι ἂν μοι δοκῇ λήψομαι[23] γέρας· ἕκαστος ἂν μοι πρῶτος ἠπείγετο χειροτονῆσαι τὴν αἴτησιν· εἰ καὶ μὴ νόμος ἔκειτο παρ' ὑμῖν, τοὺς τὰ τοιαῦτα κατορθοῦντας τιμᾶν ἐπιτρέπων. τὰ δεινὰ γὰρ ἕως μὲν πάρεστι, χαλεπά τε καὶ δύσκολα φαίνεται· κατορθωθέντα δὲ ῥάδια, καὶ παντὸς εἶναι δοκεῖ· ἄλλως τε κἂν ἰάσηταί τις εὐκόλως. μᾶλλον γὰρ εἰώθασιν οἱ πολλοὶ τὸν μόλις αὐτοὺς εὖ ποιοῦντα τιμᾶν, ἢ τὸν εὐχερῶς

τι

[21] ἀγγέλλοιεν m. M.

[22] κεκλεισμένης W. cum schol. in marg. ἀττικῶς λείπει τὸ σ.

[23] malim λήψωμαι.

τι δωρούμενον· ὅθεν ὑμῖν[24] ἥδιστα ἂν ἐπέδειξα πόλιν ἀρτίως ἁλοῦσαν, ὅπως ταῖς ἑτέρων γνοίητε συμφοραῖς, οἵων ὑμᾶς ἐῤῥυσάμην. ἡ γὰρ οὕτως ἔχουσα τύχης, τὸ μὲν πλεῖστον αὐτῆς μέρος εἰς ἔδαφος κλίνει· ὀλίγον δὲ περιλείπεται, τοῦ πάλαι σχήματος ὑπόμνημα τοῖς παριοῦσι. καὶ γυνὴ μὲν ἐν ἀνδρὸς ὀφθαλμοῖς βιαίως ὑβρίζεται κόρη δὲ μητρὸς ἐναντίον· καὶ παῖδες ἐν ὄψεσιν ἀποσφάττονται πατρικαῖς· καὶ βρέφη πολλάκις ἐκ μητρῴων ἀνθέλκεται τιτθῶν· ἀλλὰ κἂν ἐπίτεξ οὖσα τυγχάνῃ τις, αὐτῷ τῷ[25] τόκῳ συνδιαφθείρεται. ἔστι καὶ σωμάτων ἀτάφων ἰδεῖν ὅσον τὶ πλῆθος[26] καὶ πρεσβύτας ἐξ αὐτῆς ἑλκομένους τῆς πολιᾶς, δι' ἐῤῥιμμένων ἀγομένους νεκρῶν· καὶ τούτων ἐνίοτε παίδων οἰκείων δακρύειν μὲν βουλομένους· οὐ μὴν συγχωρουμένους τῷ μεγέθει τῆς λύπης· εἰσὶ γάρ, εἰσὶ, συμφοραὶ μείζους δακρύων. οὐ μετρίων, οἶμαι, κακῶν ἡμᾶς ἠλευθέρωσα. σκοπεῖτε δὴ μὴ[27] λάθητε τοὺς ἐχθροὺς[28] ἐφ' ὑμᾶς ἐρεθίζοντες. εἰ γὰρ ἀκούσονται λόγοις φαυλότερον ὀφθῆναί με παρ' ὑμῖν ἀνδρὸς λόγων ἀπείρου, κατεγνωκότες ὡς εἰκὸς ἑαυτῶν, οἵῳ ῥήτορι πεισθέντες ἀπῆλθον, ἐπιστρατεύσονται πάλιν· ὕβριν ἡγούμενοι, βεβαίως πειθαρχῆσαι[29] συμβούλῳ, μηδὲ τοὺς αὐτοῦ[30] πείθειν εἰδότι πολίτας. ὅσοι γὰρ παραινοῦντι πεισθέντες, ὑφ' ἑτέρων ἀτιμαζόμενον ὁρῶσι τὸν πείσαντα· οὐ τοιοῦτον ἔτι σύμβουλον εἶναι τοῦτον νομίζουσιν, οἷον πρὸ τῆς ἀτιμίας ἡγοῦντο. χωρὶς δὲ τούτων, μεγάλην ῥοπὴν αὐτοῖς ὑπάρξειν ἡγήσονται τὴν ὑμετέραν ἀγνωμοσύνην. τίς γάρ, ἔτι καλοῦντος καιροῦ, ζηλώσει με ῥήτωρ, εἰς τὴν ἐμὴν ἀφορῶν ἀτιμίαν; τίς δὲ στρατιώτης

[24] ἡμῖν W. ἡμῖν ὑπέδειξα π. m. M.

[25] τῷ omittit W. ex more graeco.

[26] f. ὅσον δή τι πλῆθος multitudo quaedam, quaecunque tandem illa est.

[27] δὲ μὴ m. M.

[28] νεκροὺς m. M.

[29] ἡγούμενοι, βεβαίως πειθ. dicitur ille alicui βεβαίως πειθαρχεῖν, qui constanter in ea manet sententia, neque inde recedit, in quam ab alterius oratione fuisset inductus.

[30] αὐτῷ m. M.

ώτης ἀγωνιεῖται προθύμως· τοὺς ῥήτορας εὐλαβούμενος· μὴ δωρεαῖς αὐτῷ γένωνται κώλυμα· δίκαια λέγοντες, ὡς εἰ τὸ μεῖζον κατόρθωμα· μεῖζον[31] γὰρ ἡ πάντας διασώζουσα νίκη, τῆς ἐνίους μὲν ῥυομένης, ἐνίους δὲ μηδαμῶς δυναμένης· οἷα φιλεῖ κατάστασις πολέμου ποιεῖν, εἰς χεῖρας ἰόντος.[32] εἰ τοίνυν τὸ μεῖζον ἄμισθον γέγονεν· οὐδὲ τὸ ἔλαττον δή που τιμᾶσθαι προσήκει· τοῦ γὰρ ὅλως μὴ τιμᾶν εὐεργέτην, δεινότερον τὸ δωρεῖσθαι μὲν ἀμοιβαῖς τοῖς μικρὰ κατορθοῦσιν· ἀποστερεῖν δὲ τοὺς μείζω πεποιηκότας· τὸ μὲν γὰρ ἁπλοῦν ἐστι πάθος ἀχαριστία. τὸ δὲ, νοσήματα δύο ψυχῆς, ἀγνωμοσύνη, καὶ φθόνος· καὶ μὴν οὐκ οἶδα ὅθεν ὁ φθόνος, εἰπέ μοι, πρόφασιν εὗρεν· ἔνθα μὲν γὰρ πολλῶν ἐστι κοινὸν τὸ πραττόμενον, εἰκότως ἀλλήλοις βασκαίνουσιν, ἕκαστος τὸ πλέον ἔχειν[33] φιλονεικῶν, οἷα τῆς πλείονος μοίρας αὐτῷ πεπραγμένης· ὅπου δὲ τὸ πᾶν ἑνός ἐστιν ἀνδρὸς, ποίαν εἰκὸς πάροδον[34] εἶναι τῷ φθόνῳ; εἰ γὰρ πολλῶν μίαν πρᾶξιν πεποιηκότων, ὅταν εἷς ἐν ἅπασι λαμπρῶς[35] ὑπερέχῃ, καὶ τὸ πλεῖστον περιφανῶς ἐργάσηται μέρος, εἴκουσιν οἱ λοιποὶ, καὶ φέρουσιν ἐγκρατῶς, τιμωμένου, πῶς ἂν ἔχοι λόγον φθονεῖσθαι τὴν ἐμὴν δωρεὰν, οὐδὲ κοινὸν ἐσχηκότος τὸ πεπραγμένον.[36] θαυμάζω δὲ εἰ κακίας μὲν ὑπέχουσι δίκην οἱ ῥήτορες, ἀρετῆς δὲ ἆθλα μὴ κέκτηνται· καὶ προδότης μὲν ἁλοὺς σωφρονίζομαι· οὐ τιμῶμαι δὲ, κοινὴν ἅπασι δεδωκὼς σωτηρίαν; καὶ μὴν εἰ τὸ σῶσαι λόγοις τὴν πόλιν ἀνόνητον ὑπάρχει τῷ σεσωκότι· καὶ τὸ προδοῦναι λόγοις, ὡς ἔοικεν, ἀνεύθυνον ἔσται τῷ πλημμελήσαντι. ἆρ' οὖν εἰ τοῖς ἐναντίοις ἔδωκα γνώμην ὑποχειρίους ἡμᾶς ἐκείνοις ἐργαζομένην, ἀθῷον ἄν με παρεῖδες, τὴν

[31] μείζων W.

[32] lege ἰόντας. qui redit ad ἐνίας.

[33] ἔχει W.

[34] παράδοξον W. et m. M.

[35] malim λαμπρός.

[36] aut οὐδὲν κοινὸν ἐσχηκότος τοῦ πεπραγμένου, aut οὐδένα κοινωνὸν ἐσχηκυῖαν τῶν πεπραγμένων. m. M. dat σύνοδον ἐσχηκυῖαν τῶν πεπρ.

τὴν προδοσίαν αἰσθόμενος; εἰ μὲν γὰρ ἀφῆκας ἀζήμιον, πανταχόθεν τῇ πατρίδι[37] διαλυμαίνῃ· μήτε τοὺς ἁμαρτάνοντας κρίνων, καὶ τιμᾶσθαι τοὺς εὖ ποιοῦντας μὴ συγχωρῶν. εἰ δὲ πλημμελοῦντα, τὴν πρέπουσαν εἰσέπραττες δίκην, πῶς εὖ ποιήσαντα τὴν προσήκουσαν χάριν ἀποστερεῖς;[38] δεῖ γὰρ οὐ σωφρονίσαι μὲν πονηρίαν· ὑπερορᾶν δὲ χρηστότητος· οὐδὲ πράττειν ἐξ ἡμισείας τὸ δίκαιον· ἐπεὶ καὶ τὰς τιμωρίας οἱ νόμοι διώρισαν· οὐ μισοῦντες οὓς σωφρονίζουσι· ἀλλ' ἀμείνους αὐτούς τε ποιοῦντες· καὶ τοὺς ἄλλους δέει τοῦ τοιαῦτα παθεῖν· ὥστε τιμῶσι τε καὶ κολάζουσι πρὸς ἕνα σκοπὸν, ὅπως ἀγαθοὺς ἅπαντας εἶναι προτρέψωνται·[39] μᾶλλον δὲ τιμὴ μὲν ἅπασα, καὶ τὸν εἰληφότα πρὸς εὔνοιαν τῇ πόλει μείζω παρακαλεῖ· καὶ τοὺς ἄλλους εἰς μίμησιν ἄγει καὶ ζῆλον· τιμωρία δὲ θάνατον ἐπιφέρουσα, τὸν τεθνεῶτα μὲν, οὐκέτι δήπου χρήσιμον ὑμῖν ἀπεργάζεται· τοὺς δὲ λοιποὺς ἴσως[40] παρόμοια πράττειν εἴργει τῷ φόβῳ· καὶ πονηροὺς μὲν ἐλέου τυχόντας, δέον τιμωρίαν αὐτοὺς ὑποσχεῖν, ἔνι γενέσθαι χρηστοὺς καὶ τοῖς φειδομένοις εὔνοιαν ἔχειν. ἀγαθοὶ δὲ τὰ εἰκότα μὴ τιμηθέντες, οὐκ ἔστιν ὅπως δυνήσονται[41] τοῖς οὐ δεδωκόσι τὰς ἀμοιβὰς εὐνοεῖν· ἀφῃρημένης τοίνυν εὐνοίας, συναφαιρεθήσεται τὸ βούλεσθαι, τοῦ[42] κινδύνου καλέσαντος, εὖ ποιεῖν· ὥστε πλέον τῇ πόλει λυμαίνεται τοῦ πονηροὺς μὴ κολάζειν, τὸ χρηστοὺς μὴ τιμᾶν. πρὸς ἅπασι δὲ τοῖς εἰρημένοις, ἐκεῖνο λέγω· εἰ πολέμου συστάντος, τὴν ἡσυχίαν αὐτὸς ἄγειν εἱλόμην, ὡς ἂν μὴ τέχνην ἐπαγγελλόμενος, μάχης κοινωνεῖν ἀναγκάζουσαν, οὔτε δωρεᾶς ἄξιος ἦν,[43] οὔτε τιμωρίας ὑπεύθυνος· ἄτοπον οὖν τὴν σώσασαν ὑμᾶς ῥητορείαν, μηδὲν πλέον κερδᾶναι τῆς ἡσυχίας. τίς δὲ οἶδε, φησὶν, εἰ μαθώ-

37 τῇ πατρίδι] sic W. τῇ deest M.

38 ἀποστερεῖν W.

39 προτρέψωνται] sic W. προτρέψονται M.

40 malim ἴσως fortassis.

41 δυνήσονται] sic W. δυνήσωνται M.

42 τοῦ abest a W. non male.

43 ἦν ἡμῖν m. M.

μισθώσας σαυτὸν τοῖς ἐναντίοις, ἔπεισας[44] οἴκοι δοκεῖν ἡσυχάζειν, ἕως ἂν δωρεὰν αἰτήσας λάβῃς, εἶτα μικρὸν ὕστερον ἄφνω προσπεσόντας, τὴν πόλιν ἑλεῖν; ταῦτα δίδως ὑπονοεῖν, ἄνευ γνώμης τοῦ δήμου, μόνος ἐκείνοις εἰς λόγους ἐλθών. καὶ τίς ὠνεῖται προδότην, ἔχων ἤδη τὴν πολεμίαν; τίς γὰρ ἀνύσαι ῥᾳδίως τὴν χρείαν ἐξ οἰκείας δυνάμενος ἀρετῆς· ἀλλότριον ἑαυτῷ πρὸς τοιαύτην μισθοῦται διακονίαν; ὅσα μὲν γὰρ δι' ἡμῶν αὐτῶν κατορθοῦμεν, συνέσεως δίδωσι δόξαν, ἢ ῥώμης, ἤ τινος ἄλλου πλεονεκτήματος, ὅτῳ καὶ πέπρακται· ἡ δὲ διὰ προδοσίας κλοπὴ, τῷ προδιδόντι μᾶλλον αἰσχύνην, οὐ τοῖς ἐκ τούτου κρατήσασιν εὔκλειαν φέρει· καὶ τούτοις μὲν, οὐ σεμνόν· ἐκείνῳ δὲ φαῦλον ὄνομα γίνεται. οὔκουν πρίασθαι δι' ἐμοῦ τὴν πόλιν ἠξίουν, ἣν ᾤοντο δι' αὐτῶν εὐκόλως χειροῦσθαι· ὅπερ εἰς ἔργον ἐλθεῖν, ἡ ἐμὴ διεκώλυσε προδοσία. ἐπειδὴ γὰρ εἰς λόγους ἐλθεῖν ἐκείνοις[45] ἐβουλευσάμην, τὸ ἐφ' ἑκάτερα ἐκβησόμενον τῷ λογισμῷ διατυπώσας, τοιαῦτα πρὸς ἐμαυτὸν διελέχθην· ἂν μὲν εὖ παρασχὼν,[46] διανύσω τὸ τόλμημα, πρῶτον μὲν γέρας ἕξω τὴν εὔκλειαν· ἔπειτα δὲ ὕστερον[47] ἣν ἐθέλω τιμήν· ἂν δὲ διαπέσῃ μοι τὸ ἀγώνισμα, καὶ γένωμαι πολεμίας ἔργον χειρὸς, σεμνὸν ἐντάφιον περικείσομαι,[48] τὴν ὑπὲρ τῆς πόλεως εὔνοιαν· καὶ τὸ μὴ πολέμῳ δουλωθεῖσαν ἰδεῖν· οὗτος ὁ λογισμὸς ἐξήγαγέ με τῶν περιβόλων· τούτῳ παραδοὺς ἐμαυτὸν, ἀφόβως ἐπορευόμην. οὐ χολαζούσης μοι ταράττεσθαι τῆς φαντασίας ὑπὸ τῆς περὶ ταῦτα φροντίδος. τὰ μὲν οὖν πλεῖστα τῶν πρὸς ἐκείνους ῥηθέντων, ἄρτι διεξιὼν, ἐπαυσάμην. τὸ δὲ πέρας τῆς συμβου-

[44] ἔπεισεν m. M. aut prorſus delendum eſt οἴκοι, aut alio transferendum, vt ſic legatur: ἔπεισας δοκεῖν ἡσυχάζειν, ἕως ἂν τὰς οἴκοι δωρεὰν αἰτήσας λάβῃς.

[45] ἐκείνοις] ſic W. ἐκείνους M.

[46] εὖ παρασχὼν] num ἐμὲ παρασχὼν copiam mei faciendo hoſtibus, vt me, quomodocunque velint, vtantur.

[47] δευτέραν ἣν m. M.

[48] περικείμενος ἄπειμι m. M.

βουλῆς (νῦν γὰρ ἐπῆλθέ μοι κατὰ νοῦν) τοσούτου γέμει φρονήματος, ὡς οὐ μετρίαν αὐτοῖς ἐμβαλεῖν ἀθυμίαν. εἰ γάρ μου τῆς νουθεσίας, ἔφην, ὑπερορᾶτε, καὶ κρατεῖ[49] παρ' ὑμῖν ἡ τῶν ἀλλοτρίων ἐπιθυμία, ἐμὲ τόνδε πρῶτον λαβόντες, ἀποκτείνατε. καὶ τῆς ὑμετέρας αὐτῶν ἀδικίας, ἐκ τῆς ἐμῆς ἀπάρξασθε τελευτῆς. εἶδον εὐθὺς ἐμβλέψας ἑκάστῳ, πάντας ἐν θαύματι, μᾶλλον εἰς νοῦν εἰληφότας, ὡς εἰ λόγους ἐπιτηδεύων ἀνήρ, φιλοκίνδυνος οὕτω, καὶ πρὸς θάνατον ἀκρατής, ποῖον εἰκὸς εἶναι τὸ μάχιμον; τεκμηράμενοι τοίνυν ἐξ ἑνὸς ἀνδρὸς τὴν πόλιν, ἀπῄεσαν· τοιούτους εὐχόμενοι σφίσιν οἴκοι γενέσθαι συμβούλους. ἀπράκτων οὖν βαδιζόντων ἐπ' οἴκου, ἡ μὲν εὐθυμία παρεκελεύετό μοι θᾶττον, ὡς ὑμᾶς εἰσιόντα, τοῖς εὐαγγελίοις εὐφρᾶναι. τῷ δὲ παραδόξῳ τοῦ πράγματος, μένειν ἠναγκαζόμην. καὶ γιγνώσκων βεβαίως αὐτοῖς δεδόχθαι τὴν ἀναχώρησιν· ὅμως εἱστήκειν ἀπιόντας ὁρῶν, εἰς ὅσον τῆς πορείας ἐνῆν διικνεῖσθαι τὴν ὄψιν. καίτοι τίνα μὲν ἐμαυτόν, τίνα δὲ σὲ τὴν ἡμέραν ἐκείνην εἰκότως ἂν θείην. βούλει σὲ μὲν ἀνδρεῖον ἀγωνιστὴν εἶναι τῆς πάλαι τεθρυλλημένης τῶν ἡρώων φορᾶς· ἐμὲ[50] δὲ φιλόψυχόν τε καὶ ἄτολμον, οἵα τοὺς ἐν λόγοις ἀεὶ τρεφομένους[51] ὑμεῖς οἱ τὰ πολέμια γυμναζόμενοι σκώπτειν εἰώθατε; τότε τοίνυν ὁ ῥήτωρ ὁ τρέμων τὰς μάχας, τὸν στρατιώτην[52] διέσωσε. σὺ μὲν γὰρ ἐτύγχανές που μάλα[53] κρυπτόμενος· ἐγὼ δὲ καὶ σέ, καὶ τὴν πόλιν τῶν περιεστηκότων ἀπήλλαξα φόβων, εἶτά με προδοσίαν καλεῖς, τὸ μηδὲ περιμεῖναι τοῦ δήμου τὴν γνώμην, ὡς εἰ τοὺς ἐχθροὺς ἔπειθες ἐξιὼν καθημένους ἀργεῖν, ἕως ἐκκλησιάζομεν, καὶ χρόνον ἡμᾶς ἀναμεῖναι τοσοῦτον, ὅσον ἂν[54] ἤρκει μοι παρὰ τὰς ἑκάστου θύρας φοιτᾶν, καὶ συγκαλεῖν ἅπαντας, καὶ συνάγειν, καὶ λέγειν, καὶ ἀντιλέγειν· ἀλλ' εἰ καὶ τοὺς πολεμίους ἐνῆν περιμεῖναι τὴν ἡμετέραν σύνοδον καὶ βουλήν, ἐγώ τε τούτους ἐκ τῆς ἐκκλη-

49 κρατεῖται m. M.
50 ἐμαυτὸν m. M.
51 τεθραμμένους m. M.
52 τὸν ἥρω τὸν στρατ. W.
53 μᾶλλον m. M.
54 ὅσον ἂν] sic W. ὅσον deest M.

ἐκκλησίας ἀποσαλεὶς, ἐτρεψάμην· οὐδ᾽ οὕτως ἄν μοι δωρεᾶς τυχεῖν συνεχώρεις. εἰ γὰρ νῦν τὸ πᾶν αὐτὸς διανύσας, παρὰ τὴν ἀξίαν σοι φαίνομαι γέρας αἰτεῖν, ποίας ἂν ἀμοιβῆς ἄξιος ὤφθην, εἰ τὸ κατόρθωμα κοινὸν ἐγεγόνει τῇ χειροτονίᾳ τοῦ πλήθους; ὁ γὰρ μέγα τι πρᾶξαι διανοούμενος, οὐ μὴν εὖ βεβουλεῦσθαι θαῤῥῶν, ἕως ἕτεροι καταινεύσουσιν,[55] οὐχ ἑαυτῷ προξενεῖ τῆς συμβουλίας[56] τὴν εὔκλειαν· ἀλλὰ μᾶλλον οἷς ἐπίστευσε κρίνειν, ἣν ἐσκέψατο, γνώμην. εὐήθης δὲ ὢν περὶ λόγους, τοῦτο σφόδρα κακοήθως ποιεῖς· προδοσίας ἐμοὶ[57] περιάπτων ὑπόνοιαν· ὅπως ἀντὶ τοῦ κομίσασθαι χάριν, ἀρκέσῃ μοι τὸ δίκην μὴ δοῦναι. οὐ μὴν ἀποχρήσει μοι τοῦτο· οὐχ οὕτω τοῖς ἀπατᾶν ἐθέλουσι πρόκειμαι. αἰτήσω δὲ χάριν, λειπομένην μὲν τῆς ἀξίας. τί γὰρ ἀντίῤῥοπον σωτηρίας, ἧς ὑπὲρ ὑμῶν κατεφρόνησα· ἀρκοῦσαν δὲ ὅμως τῷ ληψομένῳ. καὶ μὴν εἰ μισθαρνεῖν ἐπεχείρησα, καὶ τοιοῦτόν μοι καθ᾽ ὑμῶν ἐμελετήθη σκευώρημα, οὐκ ἂν προσῄει μου παρ᾽ ὑμῖν πρὸς αἴτησιν δωρεᾶς ἡ διάνοια· οὐδ᾽ ἂν ἠνείχετο τοσοῦτον ἀναισχυντεῖν· ἀνεδύετο δ᾽ ἂν ἐρυθριῶσα, καὶ ὑπεστέλλετο, ταραττομένη τῷ συνειδότι. μέλλων δὲ καταλύειν ἤδη τὸν λόγον, βούλομαι βραχέα προσθεῖναι τοῖς εἰρημένοις. πολλὰ πρὸς φυλακὴν αὐταῖς ἐπινοοῦσιν αἱ πόλεις, χαρακώματα, καὶ τείχη, καὶ τάφρους· καὶ πολλὴν μὲν ἀσπίδα, πολλὴν δὲ ἵππον, καὶ βελῶν ἀφθονίαν. εἷς δὲ πάσαις ἐν ἅπασι τούτοις ὑπάρχει σκοπὸς ἐπιόντα πόλεμον ἀποκρούσασθαι. ὥστε τὴν χρείαν ὑμῖν, ἣν οὕτω πολλὰ καὶ παντοδαπὰ μόλις ἀνύει ταῖς πόλεσιν, εἷς ἀνὴρ ἄοπλος ἴσχυσεν. ὅθεν ἐπειδὴ τῶν δυσμενῶν ἀπιόντων εἴσω πυλῶν ἐγενόμην, χορός. οἱ συνήθεις περὶ ἐμὲ γεγονότες· εἶτα πυθόμενοι τὴν ἄπρακτον[58] δι᾽ ἐμοῦ τῶν ἐχθρῶν ἀναχώρησιν, ἔχαιρον, ἐπῄνουν, ἐζήλουν, τὸν μόνον δημαγωγὸν, τὸν μόνον φιλόπολιν,

[55] malim καταινεύσωσιν.

[56] εὐβουλίας m. M.

[57] ἡμῖν m. M.

[58] leg. videtur εὔπρακτον facilem confectu.

λιν, τὸν μόνον εὐεργέτην ἀποκαλοῦντες. ἐμνημόνευσέ τις τοῦ νόμου, καὶ τῆς ἐντεῦθεν ὀφειλομένης μοι χάριτος. ποίαν αἰτεῖς δωρεάν; ἕτερος ἤρετο. πάντως ὑπολαβών τις, ἔφη, χρυσίον· δεῖ γὰρ χρημάτων αὐτῷ. εἰκόνα μᾶλλον, ἔφη τις ἕτερος. φιλότιμος γάρ. ἑκάτερος δὲ μου τῆς γνώμης διήμαρτεν. οὐ γὰρ χρυσίον, οὐ χρώματα.[59] τοιοῦτον δὲ λήψομαι γέρας, ὡς ἐν αὐτῷ τῷ λαβεῖν, εὖ ποιῆσαι τοὺς δεδωκότας. τί οὖν αἰτῶ; τοὺς ὑμετέρους υἱεῖς εἰς ἐμὴν φοιτῆσαι παλαίστραν· καὶ ῥήτορας μᾶλλον ἢ στρατιώτας παιδεύεσθαι· δάκνομαι γάρ, πολλοὺς ἐπὶ στρατείαν ἥκοντας νέους ὁρῶν· τοὺς Ἑρμῇ δὲ καὶ Μούσαις ἀνακειμένους, βραχὺν ἀριθμόν. ἀλλὰ τῇ πείρᾳ μαθόντες, ὅσῳ τῶν ὅπλων οἱ λόγοι τῇ πατρίδι λυσιτελέστερον, πληρώσατε νέων μοι τὸν χορόν. σύ τε ἂν σωφρονῇς, εἰ παῖς ὢν σοι τυγχάνει, τοῖς ἐμοῖς συγκαταλέξεις[60] αὐτὸν θιασώταις. οὐ βιάσῃ τὸ πατρικὸν μετελθεῖν ἐπιτήδευμα. καὶ σὲ δ' ἂν ὀψέ τι μαθεῖν ἐνουθέτησα, εἰ μὴ τῆς ἡλικίας ἑώρων ἐκβάντα τοὺς ὅρους, ὧν ἄχρι παιδεύεσθαι ῥᾴδιον. καὶ φύσιν ἄμουσον καὶ νωθῆ σοι προσοῦσαν ἠσθόμην, καὶ τῇ πατρίδι πανταχόθεν ἀνόνητον. ὃς οὔτε πεποιηκώς τι λυσιτελές, οὔτε τὸν πράξαντα τὴν ἐκ τῶν νόμων ἐᾷς κομίσασθαι χάριν. τοιγαροῦν εἴ ποθεν ἡ πόλις λάβῃ φωνήν, φήσειεν ἄν σοι, δικαίως καταβοῶσα· ἐπειδὴ παρεῖδες ἐμὲ κινδυνεύουσαν, βούλει καὶ σωθεῖσαν ἀχάριστον δεῖξαι τῷ ῥυσαμένῳ. μὴ σύ γε· ἀδικεῖς μὲν τοὺς νόμους· ἀδικεῖς δὲ δὲ τὸν ῥήτορα. τοὺς μέν, οὐκ ἐῶν εἶναι κυρίους. τὸν δέ, τοῦ γέρως ἀποστερῶν. μὴ γὰρ τοὺς ῥήτορας ἀγαπῶσα, τοὺς στρατιώτας μισῶ; τὴν αὐτὴν πρὸς ἕκαστον εὔνοιαν ἔχω τῶν ἐμῶν σωτήρων· καὶ πᾶσιν ἀμέλει νομοθετῶ δωρεάς, ὃς ἂν ἐμὲ διασώσῃ πολεμουμένην οὔτε πρὸς σὲ ἂν ὤφθην ἀγνώμων, τοιαῦτα πεποιηκότα· ἀλλὰ κἂν ὅπλοις, κἂν λόγοις, κἂν ὁπωσοῦν εὐπρεπῶς διαφύγω προσιόντα

[59] χρήματα m. M.
[60] ἐγκαταλέξεις W. et m. M.

ιόντα μοι κίνδυνον, τὸν εὐεργέτην ἀμείψομαι. τοιαῦτα τὴν ἡμετέραν εἰκάσειεν ἂν τις πρὸς τοῦτον εἰπεῖν. τὴν δὲ πολεμίαν, τί. εἰκότως, ὦ ξένε, μοι ξυναλγεῖς· ἢ τις μάτην μὲν δεδαπάνημαι, τοσοῦτον ἀποστείλασα πλῆθος. μάτην δὲ πολέμου κράτος ὠνειροπόλησα. ἤνεγκα δ' ἂν γενναίως τὴν ἧτταν, ὑπὸ σοῦ νικωμένη. τὰ γὰρ εἰωθότα συμβαίνειν κακὰ, πρᾳότερον τοὺς πεπονθότας λυπεῖ. νῦν δέ μοι τὸ καινὸν τῆς ἀδοξίας ὀδυνηρότερον γίνεται· εἷς ἀνὴρ, ὅλης ἐγκρατὴς ἐμοῦ τῆς στρατιᾶς· μάχῃ[61] ἀπαίδευτος, πολεμεῖν ἠσκημένης· γυμνὸς, ὡπλισμένης. οὐκοῦν ἐμοῦ μὲν ὕβρισε τὸ στρατόπεδον· σοῦ δὲ τὴν τέχνην περιττὴν ἀπέδειξεν ἐν ἀγῶνι πολέμου. ὀρθῶς ἄρα τοῦτον ἐθέλεις ἀμύνασθαι τῇ ζημίᾳ τῆς δωρεᾶς. τοιαῦτα πόλεως ἑκατέρας ὡς εἰκὸς φθεγξαμένης, ὑμεῖς, ὦ παρόντες, τουτονὶ μὲν εἶναι τὴν πολεμίαν· ἐμὲ δὲ τὴν πατρίδα νομίσαντες, δότε τῇ πόλει τὸ γέρας.

61 μάχῃ] id est πρὸς μάχην. malim tamen μάχης. non enim ἀπαίδευτος τέχνῃ sed τέχνης dicitur. cauendum tamen edico, ne μάχης hoc cum proximo ἠσκημένης copuletur, id quod cum στρατιᾶς cohaeret.

ΑΛΛΗ

ΑΛΛΗ ΜΕΛΕΤΗ.

ΠΡΟΘΕΩΡΙΑ.

Πλούσιος ἀριστεύσας, ᾔτησεν εἰς τὴν δωρεὰν, τοὺς φυγάδας ἐπανελθεῖν· αὖθις ἀριστεύσας, ᾔτησε τοὺς ἀτίμους ἐντίμους γενέσθαι. τρίτον ἀριστεύσας, καὶ δεσμωτῶν αἰτησάμενος λύσιν, τυραννίδος ἐπιθέσεως ὑπὸ ῥήτορος κρίνεται.

Μελετῶμεν τὸν φεύγοντα.

ΛΟΓΟΣ ΠΛΟΥΣΙΟΥ

Φεύγοντος.

ΟΜΕΝ *εὐσεβὴς, ὦ δικασταὶ, καὶ φιλάνθρωπος δῆμος, ἀμφότερά μου θαυμάζει, καὶ δικαίως· τήν τε κατὰ πολεμίων ἀνδρείαν, καὶ τὴν ὑπὲρ τῶν ἀτυχούντων ἐπαγγελίαν. οὐ γὰρ κακίας τὴν αἴτησιν ἔλεγχον, ἀλλ' ἀρετῆς ἐπίδοσιν ἔκρινεν. ὅθεν αἰτοῦντος, ἤκουε μὲν εὐμενῶς· ἐδίδου δὲ ἀνυπόπτως τὴν χάριν.*[1] *καὶ προθυμότερος τοῦ λαμβάνοντος ἦν, τὴν ἐκ τοῦ πράγματος ὠφέλειαν κρίνων. ἐπειδὴ δ' ὁ σοφὸς οὗτος, καὶ τῷ λόγῳ δημοτικὸς, κατηγορεῖ μὲν ἐμοῦ· φθονεῖ δὲ τοῖς εὐτυχοῦσι· μισεῖ δὲ τὴν εὐνομίαν, καὶ τυραννίδος ὑποψίαν ἐμβάλλει κατὰ τοῦ τοσαύτην τῆς ψυχῆς δεδωκότος τὴν πεῖραν· ἓν ἔτι μοι λείπεται πρὸς τὴν τῆς ἀριστείας ἀμοιβήν· ψῆφος δικαστῶν ἀκριβὴς, οἷος ἔσομαι πολίτης, ἐξ ὧν περὶ τοὺς κινδύνους ἐγενόμην, ἀναζητοῦσα. καὶ τοσοῦ-*

τον

[1] τὴν χάριν] sic W. τὴν deest M.

τον τοὺς συκοφάντας μισοῦσα ῥήτορας· ὅσον ἐγὼ τοὺς ἀλιτηρίους ἀποστρέφομαι δυσμενεῖς. ὁ μὲν οὖν κατήγορος μόνοις ἀεί με χολάζοντα τοῖς ὅπλοις εἰδὼς· καὶ γραφὰς οὔτε γραψάμενον, οὔτε φυγόντα πώποτε· μεγάλαις ἥκει τὸν νοῦν ἀναρτήσας ἐλπίσι, καὶ νικᾶν σοφιζόμενος οἴεται πάντως, ὃν οὐδὲ μιμεῖσθαι μαχόμενος ἤθελεν· ἐγὼ δὲ βῆμα, καὶ δικαστὰς ἄρτι πρώτως[2] ἰδὼν, μᾶλλον ἢ οὗτος τεθάῤῥηκα. εἰ μὲν γὰρ ἕτεροι μὲν οἱ τότε τιμήσαντες, ἄλλοι δὲ οἱ νῦν δικάζοντες ἦσαν, καὶ οὔτε τῆς δι' ἡμᾶς[3] ἀσφαλείας, οὔτε τῆς εἰς ἐμὲ μετείχετε ψήφου, εἰκότως ἂν εὐλαβούμην, μὴ μελέτην οὗτος καὶ βίον ἔχων τὰ δικαστήρια, περιέσται ῥαδίως τοῦ μηδὲν ἕτερον τέως, ἢ πολεμίους νικᾶν ἐγνωκότος. ἐπεὶ δὲ μέρος ὑμεῖς μοι τοῦ τετιμηκότος γεγόνατε δήμου, καὶ τὰς ἐμὰς ἀεὶ μετὰ τῶν ἄλλων ᾄδετε νίκας· οὐκ εὐλαβοῦμαι τοῦ κατηγόρου τὴν τέχνην· οὐ δέδοικα γλῶτταν γενναίαν, ψευδεῖς ἔχουσαν[4] λογισμούς. οἱ μὲν οὖν ἄλλοι τῶν ἀριστέων, σιτήσεως τυχεῖν ἢ ἀτελείας δεόμενοι, ἑαυτοὺς, οὐ τὴν παρέχουσαν[5] ὠφελεῖν σπουδάζουσι πόλιν· καὶ μόνοι τοῦ γέρως ἀπολαύουσιν· ὡς μόνοι τῶν δεινῶν μετασχόντες κινδύνων. ἐγὼ δὲ τοὺς ταῦτα ποιοῦντας οὐκ αἰτιώμενος, ἑτέραν ἐτραπὴν· καὶ δωρεὰς ᾔτουν, ἐξ ὧν ἐμοὶ μὲν ἔχειν οὐδὲν ἐγίγνετο πλέον· οἱ δὲ ἀτυχοῦντες εὐδαιμονεῖν πολῖται· καλὸν εἶναι νομίζων, καὶ τοῖς ἡμετέροις ἤθεσι πρέπον, τοὺς παρὰ τὴν μάχην γενναίους, μεγαλόφρονας παρὰ τὸν τῆς εἰρήνης εἶναι καιρόν· καὶ τοὺς πολλῶν ἡμᾶς ἀπαλλάξαντας κινδύνων, τοὺς ἰδίᾳ πταίσαντας ἐπανορθοῦσθαι πολίτας. παντὸς μὲν οὖν διὰ ταῦτα κατεφρόνησα κέρδους· καὶ οὐ μεταμέλει μοι τῆς εὐβουλίας· περιέστησε[6] δέ μοι τὸ πρᾶγμα συκοφάντης ἄνθρωπος· καὶ κακίας ἔλεγχον ποιεῖται, τὰ φιλανθρωπίας γενόμενα

[2] πρῶτον m. M.

[3] δι' ἡμᾶς] sic W. δ' ἡμᾶς M.

[4] num ἐρῶσαν, an ἐμῶσαν, an τεκοῦσαν?

[5] παρέχουσαν] scil. τὸ γέρας.

[6] schol. in marg. W. εἰς τὰν- ἀντίον ἔστησε.

μενα χάριν. ἐβουλόμην μὲν οὖν, μήτε τῶν τῆς πόλεως ἔτι μνησθῆναι κακῶν, μήτε τοῖς εὐπαθοῦσιν ὀνειδίσαι τὴν χάριν. μικροψύχου νομίζων ἀνδρὸς εἶναι καὶ ἀπειροκάλου τὸ πρᾶγμα. νῦν δὲ ἡ πονηρὰ τούτου βουλὴ, καὶ ἡ παράδοξος κατ' ἐμοῦ τῆς τυραννίδος γραφὴ, ἀναγκάζει με συντόμως τά τε περὶ τὸν πόλεμον ὅπως εἶχεν εἰπεῖν, καὶ μεθ' ἧς ταῦτα ᾔτουν διηγήσασθαι γνώμης. ἔχει γὰρ οὕτως. πάλαι παρ' ἡμῖν, ὦ δικασταὶ, φορὰ πονηρῶν, καὶ δωροδόκων, καὶ οἷος οὗτος γέγονε, ῥητόρων, οἱ μικρὰς ἔχοντες κατὰ τῶν πολιτῶν ἀφορμὰς, εἰς ὕψος τὰς αἰτίας ἦγον. θορύβου δὲ καὶ κραυγῆς τὰς ἐκκλησίας πληροῦντες, τῶν ὁρίων ἐλαύνειν ἔξω τὸν δῆμον, τοὺς οὐδὲν ἢ μικρὸν λυπήσαντας, ἔπειθον, τῇ τῶν κρειττόνων μεταστάσει τὰς πρώτας ἔχειν αὐτοὶ τιμὰς τῆς πολιτείας ἐλπίζοντες. ὡς δὲ οἱ μὲν, τοὺς γενναίους, καὶ μεγαλόφρονας ἤλαυνον πολίτας, ἐκηρύττετο δὲ τοῖς πολεμίοις τὸ πρᾶγμα. ἐλάνθανε δὲ οὐδὲν αὐτοὺς τῶν γιγνομένων, τότε πρῶτον μεγάλας κατὰ τῆς πόλεως ἔσχον ἐλπίδας, ὅτε τοὺς ἀμύνοντας οὐκ εἶχεν ὁ δῆμος· ὅτε τῶν διωκόντων πλείους ἦσαν οἱ φεύγοντες. ἐπτέρωσε μὲν οὖν τοὺς δυσμενεῖς ἡ μεγάλη τῆς πόλεως ἄνοια, τῇ πολλῇ τῶν φυγάδων ἐρημίᾳ καταφρονεῖσθαι τοὺς λειπομένους ποιοῦσα. ὡς δὲ οἱ μὲν κατελθεῖν διὰ τοὺς ἔνδον συκοφάντας κατέδεισαν· οἱ δὲ ἐξελθεῖν διὰ τοὺς περικαθημένους ἔφριττον δυσμενεῖς· πρῶτος τῶν πολιτῶν ὡπλιζόμην. καὶ τοῖς πολλοῖς ἀρετῆς ἐφάνην εἰκών· συῤῥαξάντων δὲ ἡμῶν τοῖς ἐπελθοῦσιν, ἀσπὶς μὲν τέως ἀντέκρουεν ἀσπίδι· χρησιμώτερα δὲ ἡμῖν τῶν βελῶν ἦσαν τὰ ξίφη· καὶ πολλάκις μὲν αὐτοὶ παρ' ἡμῶν· πολλάκις δὲ ὑπ' ἐκείνων ἡμεῖς ἠλαυνόμεθα. ἐνδεδωκότων δὲ τῶν σὺν ἐμοὶ, καὶ τὴν ἐπὶ τὸ τεῖχος περισκοπούντων, μόνος λοιπὸν κατὰ πάντων ἐχώρουν· μόνος τὴν πυκνὴν τῶν πολεμίων διέῤῥηξα φάλαγγα· καὶ θαῤῥεῖν μὲν αὖθις τοὺς ἐμοὺς διὰ τὴν ἐμὴν ἐποίουν ἀνδρείαν· οἱ δὲ τότε ὡς ἐφ' ἔρημον ἥκοντες, οὐ μεθ' ὁμοίου τοῦ σχήματος ἀνεχώρουν, ἀλλ' οἱ μὲν ἔπιπτον· οἱ δὲ ἡλίσκοντο· οἱ δὲ τὸν

περὶ

περὶ τῆς ψυχῆς ἔθεον δρόμον· ἐκ πολλῶν ὀλίγοι· καὶ πολλοὶ κατ' ὀλίγους, καὶ οὐδὲ τὴν αὐτὴν δραπετεύοντες. θυμοῦ μὲν οὖν ἡ πέμψασα πόλις ἐνεπίμπλατο μείζονος, οὐχ ὅσους ἔπεμψεν, οὐδ' οἵους ἤλπιζεν ἀπολαβοῦσα τοὺς ἑαυτῆς· ἐκκλησίαν δὲ ὁ δῆμος μετὰ τὴν νίκην ἐποίει· καὶ περὶ τῆς ἐμῆς ἐβουλεύετο δωρεᾶς. καλοῦντος δέ με τοῦ κήρυκος τῇ κοινῇ τοῦ δήμου φωνῇ, καὶ λαβεῖν ὅσα ἤθελον ἐπιτρέποντος, οὐ στεφάνους ἔχειν, οὐδὲ ἀτέλειαν ἤθελον· οὐ χαλκῆς τυχεῖν ἐδεόμην εἰκόνος. ἀλλ' ἐπειδή μοι προσδοκώμενος αὖθις[7] ἔμελλε πόλεμος, καὶ φήμη πονηρά, καὶ πολεμίων ἰσχύς, πανταχόθεν ἐγειρομένων, τοῦ μὲν πολλοῦ κατεφρόνησα κέρδους· τῆς δὲ κοινῆς ἀσφαλείας ἀντεποιούμην· καὶ μίαν εἶδον σωτηρίας ὁδόν, μηδένα εἶναι τῆς πόλεως ἔξω· μηδὲ τοὺς διὰ συκοφαντίαν φεύγοντας, προσθήκην ἐὰν τοῖς πολεμίοις γενέσθαι μεγάλην. διὰ ταῦτα φιλανθρώπου τυχεῖν ἠξίωσα ψήφου, ἀνδρῶν εὐχόμενος τὴν πόλιν μᾶλλον γενναίων ὁρᾶν γέμουσαν, ἢ πλούτου μείζονος τὴν ἐμὴν ἀπολαύουσαν. οἰκίαν καὶ οὐκ ἐγὼ μὲν οὕτως· ἐμέμφετο δέ μου τὴν κρίσιν ὁ δῆμος· ἀλλὰ τῆς περὶ τὸν πόλεμον εὐψυχίας λαμπροτέραν τὴν περὶ τῆς δωρεᾶς ἐνόμιζεν αἴτησιν· καὶ διὰ ταῦτα μόνον εὔνουν, μόνον φιλόπολιν, μόνον ἐκάλει δημοτικόν. ὡς δὲ πλήρης ἦν τῶν οἰκείων ἡ πόλις, τοὺς μὲν φυγάδας ὁ δῆμος ὁρῶν, τῆς ἔχθρας ἐπελανθάνετο· καὶ πολίτας ἐκάλει χρηστούς. οἱ δὲ τὴν μέλλουσαν ἰδεῖν ηὔχοντο μάχην· ἀμοιβὴν τῆς εὐεργεσίας τὴν προθυμίαν εἰσφέρειν σπουδάζοντες. φανέντος δὲ τοῦ καιροῦ, καὶ τῶν πολεμίων ἡμᾶς αὖθις ἐπιτρεχόντων καὶ μείζονα λυπεῖν ἡμᾶς ὧν ἔπαθον ἐλπιζόντων· πρῶτοι τῶν πυλῶν ἔξω· πρῶτοι τῶν γενναίων ὁρμήσαντες πολιτῶν, ἐπὶ τοῦ τῆς φάλαγγος ἔστησαν μετώπου. μόνους δὲ ὁρῶν αὐτοὺς τῆς ἐμῆς προαιρέσεως μιμητάς, τούτοις ἐπέταττον· μετὰ τούτων ἠγωνιζόμην. τοσοῦτον αὐτῶν ἀρετῇ, καὶ δρόμῳ προέχων, ὅσον ἐκεῖνοι τῶν ἄλλων. δευτέρας

δὲ

7 post αὖθις videtur ἥξειν deesse.

ἀλλ' οἱ πολέμιοι σφαλέντες ἐλπίδος, ἀνεχώρουν μὲν, οὐ μετεμέλοντο δέ· ἀλλ' ὥσπερ οἱ περὶ τὴν παλαίστραν ἀγωνιζόμενοι, τὴν τρίτην ἰδεῖν ἀνέμενον πεῖραν· καὶ τὸν αὐτὸν καθ' ἡμῶν θυμὸν μετὰ μείζονος εἶχον παρασκευῆς. καὶ δυοῖν αὐτοῖς ὡρίζοντο θάτερον· ἢ τὴν ἡμετέραν θᾶττον ἑλεῖν, ἢ μηκέτι πρὸς τὴν οἰκείαν[8] ἐπανελθεῖν, ἐμοὶ μὲν οὖν ἡ πόλις τὸ γέρας αὖθις κατ' ἐξουσίαν ἐδίδου· καὶ τὰς πολλὰς κατέλεγε δωρεὰς, κρίνειν με τὸ καθ' ἡδονὴν ἐπιτρέπουσα. ἔχων δὲ ἐγὼ πεῖραν τῆς ἀγαθῆς αἰτήσεως, καὶ ὅσα τὸν δῆμον οἱ κατελθόντες ὤνησαν φυγάδες, ἡδέως λύειν τὰς τῶν πολιτῶν ἐσπούδαζον ὕβρεις. ὁρῶν γὰρ ὅτι πολλοὶ τῶν μεγάλα πράττειν ὑπὲρ τῆς πόλεως εἰδότων, καὶ πολλὴν τῆς εἰς τὸν δῆμον εὐνοίας δειξάντων τὴν πεῖραν, ἄτιμοι μὲν ἐξ ἐντίμων, ἄδοξοι δὲ ἐξ ἐνδόξων γεγόνασι· καὶ τὴν προθυμίαν ἡ ὕβρις ἀνέκοπτε· μίαν πάλιν τῆς ἀριστείας ᾔτησα δωρεὰν, τοὺς διὰ συκοφαντίαν ἀτίμους, τῆς ἀρχαίας ἀπολαύειν αἰδοῦς· καὶ μηδὲν τῶν ἄλλων διαφέρειν τοὺς ἐκ τῶν αὐτῶν γεγονότας· ἀλλὰ κοινωνοὺς εἶναι νόμων ἅμα καὶ πολιτείας, καὶ μάχης. ἐπαινεσάντων δὲ πάλιν, καὶ φιλόπολιν[9] αὖθίς με διὰ ταῦτα, καὶ δημοτικὸν ὀνομαζόντων, ἐλύετο μὲν θᾶττον ἡ ἀτιμία· προθυμότεροι δὲ ἦσαν οἱ τιμηθέντες, πάντα λοιπὸν σὺν ἡμῖν ἀγαπῶντες ποιεῖν τε καὶ πάσχειν. θαῤῥήσαντες δὲ μᾶλλον ἡμεῖς, καὶ μίαν ἐν πᾶσι σπουδὴν ὁρῶντες, οὐκέτι τὰς τῶν πολεμίων ἰδεῖν ἀνεμείναμεν ἐφόδους· οὐδ' ἐν ἐκείνοις εἶναι παρέχομεν, τὸ ποιεῖν ἡμᾶς ὅταν ἐθέλωσιν ἀνδρείους. λογιζόμενοι δὲ καλῶς, ὡς οἱ τοῖς πρώτοις στρατεύσασιν ἀντεπιόντες, καὶ τοὺς κινδύνους εἰς τὴν ἐκείνων μεταστήσαντες γῆν, τὴν ἐκ τῆς ἀνδρείας δόξαν, μετὰ τῆς τοῦ δικαίου λαμβάνουσι μοίρας, καὶ τὴν ἀρετὴν ἄμεμπτον αὐτοῖς, ἡ πρώτη δείκνυσιν ἔφοδος. ταῦτα εἰδότες ἐπὶ τὴν ἐκείνων ὡρμήσαμεν γῆν· μείζονι διδάξαι πείρᾳ τοὺς ἀνοήτους σπουδάζοντες, οἵαν θήραν μετῆλθον. οἱ δὲ (κατέπληττε

τε

[8] οἰκίαν W.

[9] φιλότιμον W. ſed in marg. vulg. eſt.

τε γὰρ αὐτοὺς νεότης ἄοκνος, καὶ πρόφασιν ῥαθυμίας οὐκ ἔχουσα) μικρὸν εἰς χεῖρας ἐλθόντες, ἐπὶ πόδα ἀνεχώρουν· ὥσπερ τινὰ Γοργὼ τὴν ἐμὴν ὁρῶντες ἀσπίδα. ἐπειδὴ δὲ πᾶσα μὲν αὐτῶν κατείληπτο χώρα, φεύγειν δὲ οὐδὲ βουλομένοις[10] ἐνῆν· μηχανήματα δὲ ἡμῖν ἡτοίμαστο, καὶ κατὰ τοῦ τείχους ὅλος ὁ πόλεμος ἦν, ἔγνωσαν ὅπερ ἐχρῆν· πρεσβεῖαι γὰρ εὐθὺς πρὸς ὑμᾶς· καὶ λόγοι ταπεινοὶ, καὶ φρόνημα μέτριον· καὶ πολλαὶ τῶν ταῦτα πεισάντων αὐτοὺς ποιεῖν ἦσαν κατηγορίαι. ἡμεῖς δὲ (φιλάνθρωπος γὰρ καὶ πρὸς ἐκείνους ὁ δῆμος) τοὺς ἀπὸ τῶν τειχῶν προτεινομένους ἠλεήσαμεν παῖδας. τοὺς πολλοὺς τῶν πατέρων ᾠκτείραμεν θρήνους· καὶ νεότητος ἐφεισάμεθα δυστυχοῦς, ἐξ ἀβουλίας πάλαι θρασυνομένης. γενομένων δὲ τῶν σπονδῶν, καὶ τοῦ δήμου λαμπρῶς διὰ τὴν ἐμὴν πάλιν ἀναχωρήσαντος νίκην, τρίτος ἡμῖν περὶ δωρεᾶς ἐγίγνετο λόγος· καὶ ὁ περὶ τοῦ γέρως ἀνεγινώσκετο νόμος. καί τις τῶν ἐν μέσῳ καθημένων, τοιούσδε πρὸς ἐμὲ διεξήρχετο λόγους· ἡμεῖς, ὦ γενναιότατε, πολλὰ καὶ καλὰ παθόντες ὑπὸ σοῦ, οὐδὲν τέως τὸν σὸν ὠφελήκαμεν δόμον·[11] οὐδὲ δωρεὰν ἔχεις· ἀλλὰ μόνος τῶν ἀριστέων, μεγάλα μὲν ὑμᾶς ἐκ τῆς ἀνδρείας, μείζονα δ' ἐκ τῶν αἰτήσεων ὤνησας. τοσαύτην προσθήκην ἀνδρῶν ταῖς τῆς πόλεως παρασχόμενος χρείαις. οὓς γὰρ ἀπατώμενος ὁ πᾶς ἤλαυνε δῆμος, μόνος σωφρονῶν ἐπανήγαγες· καὶ νῦν τρίτην σοι χάριν ὑπὲρ τρίτης ὀφείλομεν ἀριστείας. οὐκοῦν χρήματα αἴτει· ἀτέλειαν λάμβανε. τὰ χρησιμώτατά σοι λοιπὸν σκόπει τῆς πόλεως δῶρα. πλουτεῖ διὰ σὲ σωμάτων ἡ πόλις· πλουτείτω σου μᾶλλον καὶ δι' ἡμῶν χρημάτων ὁ οἶκος.[12] ἐγὼ δὲ ταῦτα

10 βουλομένοις] sic W. βουλομένην M. et in marg. βουλομένης.

11 οἶκον W. et m. M.

12 potest ferri dum sic construatur: ὁ οἶκός σου πλουτείτω χρημάτων μᾶλλον (subaudi ἢ πρότερον) καὶ δι' ἡμῶν. verum haec postrema non satis placent. num ergo leg. μᾶλλόν τι δι' ἡμᾶς χρημ.? sed W. cum vulgata consentit.

τα καὶ πάλαι σκοπῶν, καὶ τότε ἀκούσας, οὐδὲν μᾶλλον τῆς ἐμῆς ἐφρόντιζον οἰκίας· οὐδὲ ὅπως πλέον ἕξω τὶ προὐνοήθην. ἀλλ' ἀρκοῦντα πλοῦτον νομίζων, ὅσα μοι τύχη δικαία, καὶ προγόνων εὔλογος δέδωκε κλῆρος· ταῦτα μὲν καὶ τὰ τοιαῦτα διέπτυον. τὸ δὲ λεῖπον τῇ κοινῇ τῆς πόλεως εὐδαιμονίᾳ ζητῶν, τῶν δεσμῶν τοὺς παρὰ τὸ οἴκημα ταλαιπωροῦντας ἀφῆκα· οὐ τὰς ἐκείνων ἀποδεξάμενος πράξεις· οὐδὲ δορυφόρους ἔχειν αὐτοὺς ἐπὶ τῆς καλῆς τυραννίδος ἐλπίζων· ἀλλὰ σκοπῶν, ὅπερ εἰκός· ὡς πονηρὰ φύσις, ἀνελπίστου τυχοῦσα συγγνώμης, δυσωπεῖται[13] τὴν χάριν, καὶ μεταβάλλει τοὺς τρόπους, καὶ μετανοεῖν οὐκ ἐᾷ τοὺς τιμήσαντας. λαβόντες δέ μου καὶ ταύτην παρὰ τοῦ δήμου τὴν χάριν, καὶ πολλῶν πάλιν ἀναπεπνευκότων δι' ἐμὲ πολιτῶν· οἱ μὲν ἄλλοι πάντες, τὴν ἐμὴν ἐθαύμαζον μεγαλοψυχίαν, καὶ τοιοῦτον ἔφασκον οὔπω πολίτην ἰδεῖν. μόνος δὲ ὁ βάσκανος οὗτος περιστρέφει τὰ πράγματα, καὶ τυραννίδος ὑποψίᾳ ἐμβάλλει, τὴν[14] ὑπὲρ τῶν ἀτυχούντων σπουδὴν ἔλεγχον τῆς κατὰ τῶν εὐτυχούντων ἐπιβουλῆς ποιεῖσθαι νομίζων. φθόνος μὲν οὖν αὐτὸν ταῦτα λέγειν πικρός, οὐκ ἀγαθὴ τῆς πόλεως κεκίνικε πρόνοια; τί γάρ με μὴ ταύτην ἐπὶ τῶν φυγάδων τὴν κατηγορίαν ἐγράψατο; τί δὲ μὴ ἐπὶ τῶν ἀτίμων φιλόπολις ἐφάνη κατήγορος; ἀλλὰ τοὺς μὲν ἐπανελθόντας, τοὺς δὲ τιμωμένους ὁρῶν, ἐκαρτέρει· οὐκοῦν τὴν νῦν βασκανίαν ἡ τότε σιωπὴ διελέγχει· καὶ μόνοις ἄχθεσθαι τοῖς δεσμώταις δοκεῖ, ἀθρόον νῦν ἄγων εἰς μέσον, ἃ κατὰ διαφόρους μοι πέπρακται χρόνους. ἀλλὰ τοὺς πονηροτάτους φησὶ τῆς τιμωρίας ἐλευθερῶν, τῆς τυραννίδος βεβαιοῖς τὴν ὑπόνοιαν. τί τὸ μέλλον, συκοφάντα,[15] μαντεύῃ κακῶς· παρὸν τὸ φθάσαν ἐξετάζειν καλῶς. τίς δὲ τῶν σῶν ἀνέξεται λόγων, παῖδας ἐλευθέρους δι' ἐμέ· καὶ σωφρονοῦντα γυναῖκα·

[13] χ. αἰδεῖται in margg. W. et M.

[14] sic leg. et distinguendum videtur ὑποψίαν ἐμβάλλει, τὴν

[15] συκοφαντίᾳ m. M.

γαια· καὶ θαῤῥοῦσαν βλέπων νεότητα; ἐγὼ μὲν οὖν ἔλεγχον ἔχω τῆς γνώμης, τὰ τρόπαια. σὺ δὲ ἐκ ποίας με ταῦτα νοσεῖν ἐπιθυμίας ὑπολαμβάνεις; πόθεν δὲ τυραννίδος ἔρως τοιαύτης ἐκράτει ψυχῆς; τῆς παρὰ πάντων χάριν νὴ Δία τιμῆς; ἀλλ' ἑκούσιος εὔνοια πόλεως, ἀναγκαίας αἱρετωτέρα τιμῆς· καὶ εὔλογος αἰδὼς, λαμπροτέρα πικροῦ νενόμισται φόβου. ὁ μὲν γὰρ μόνῃ τύχῃ κρατῶν, καὶ τὴν ὠμότητα, καλὸν τῆς ἀρχῆς νομίζων ἐνέχυρον, δεδιὼς πολιτεύεται καὶ τρέμων, καὶ ἀεί τι παθεῖν προσδεχόμενος ὅμοιον.[16] ὁ δὲ, τοὺς πολλοὺς ταῖς εὐεργεσίαις καταδουλούμενος, καὶ φρόνημα ἔχων ὑπὲρ μὲν τῆς πόλεως μέγα· πρὸς δὲ αὐτὴν ἴσον[17] ἀμετάθετον ἔχει τὴν εὔνοιαν· ἀεὶ τῆς μνήμης ἀνανεούσης τὴν χάριν. πολλὴ γοῦν μοι παρὰ πᾶσιν ὑπῆρχεν αἰδὼς, καὶ προσηγορίας ἀπήλαυον ἐντίμου. τῶν πολιτῶν τοὺς μὲν εἶναι, τοὺς δὲ καὶ εὖ εἶναι πεποιηκώς· ἀλλ' οὐ τιμῆς ἕνεκα πλούτου δὲ μείζονος χάριν πρὸς τὴν ἀκρόπολιν ἔβλεπον; καὶ πῶς οὐκ ἄλογον, διδόμενον μὲν παρὰ τῆς πόλεως ἀποστρέφεσθαι πλοῦτον· οὐκ ὄντα δ' ἐλπίζειν· ἀλλ' οὐ διὰ ταῦτα; ἀλλὰ διὰ τί με τυραννίδος ἐρᾶν ὑπολαμβάνεις; τοὺς μισοῦντάς με κολάζειν ἐβουλόμην πολίτας; καὶ τίς ἀριστέα μισεῖν ποτε τῆς σῆς ἀναιδείας ἐτόλμησε; τίς οὐ δεσπότην ἄλυπον ἡγεῖται, τὸν πολλῶν κινδυνεύοντα χάριν. ἐμοὶ μὲν οὖν πλείους τῶν παρὰ τῆς ἐκκλησίας ἐγκωμίων, οἱ παρὰ[18] τοὺς οἴκους ἐτύγχανον ἔπαινοι· καὶ φθόνος οὐκ ἐνίκα τὴν εὔνοιαν. ἐξετάσωμεν δ' εἰ δοκεῖ, καὶ τὰς τῶν δι' ἐμοῦ τετιμημένων βουλάς· πότερον ἀεὶ τοῖς ἐμοῖς ἀκολουθεῖν ἤθελον λογισμοῖς; ἢ στρατηγοῦντι μὲν ἠκολούθουν, τυραννεῖν δὲ οὐκ ἐπέτρεπον; εἰ μὲν γὰρ τὴν ἀσπίδα ῥίψας, ἢ δίκην ἀσεβείας ἁλοὺς, σωθῆναι ταῖς τούτων ἐδεόμην φωναῖς, καὶ ἴσην ἀπῄτουν χάριν, πάντα αὐτοὺς

[16] ὅμοιον] id est ὠμὸν, praecessit enim de crudelitate.

[17] post ἴσον deleui καὶ, quod abest a W.

[18] παρὰ] malim κατά.

αὐτοὺς ᾤμην προθύμως[19] ποιεῖν; τὴν τῆς ἀχαριστίας φεύγοντας μέμψιν. εἰ δὲ δικαίας εὐεργεσίας αἰσχρὰν ἀπῄτουν τὴν ἀμοιβήν· καὶ δημοτικῆς αὐτοὺς ὕβρεως ἀπαλλάξας, τυραννικῆς ἔπειθον δουλείας ἀνέξεσθαι;[20] πόσοι τὴν ἐμὴν κατέλευον κεφαλήν; πόσοι τὰ ξίφη κατὰ τῆς ἐμῆς ὤθουν πλευρᾶς; καὶ τὸ δικαίως προσῆν; δευτέροις γὰρ περιπίπτειν οὐκ ἐζήτουν κακοῖς, οἱ τῶν πρώτων μόλις ἀπαλλαγέντες. ὅτι μὲν οὖν τυραννίδος[21] ἔχειν ἀρχὴν οὔτε ἤθελον, οὔτε βουλομένῳ παρῆν, ἑτέρας ὁ λόγος οὐ δεῖται προσθήκης. εἰ δὲ δὴ καὶ τὰ μάλιστα ταύτην εἶχέ μου τὴν νόσον ἡ γνώμη, καὶ τὴν ἀκούσιον ἀρχὴν τῆς ἑκουσίου προετίμων εὐνοίας, πολλῶν ὅπλων πρὸς ταῦτα, καὶ μεγάλης ἐδεόμην παρασκευῆς. ποίας οὖν ἐμὰς κατὰ τὴν πόλιν κεκρυμμένας εὗρες ἀσπίδας; ποῦ μου[22] τῶν τόξων αἱ ἀποθῆκαι; ποῦ δὲ τὰ πολλὰ συνέκλεισα βέλη; ὅλον εἰσελθὼν ἄνθρωπέ μου περισκόπει τὸν οἶκον· κἂν τοῦδε πλέον τοῦ θώρακος εὕρῃς, ἔδειξας τὴν τυραννίδα· ἐφείσω τῆς πόλεως·[23] οὐ μάτην ἐφάνης σοφὸς, ἀναμφίλεκτον εὑρὼν τῶν ἐμῶν ἀπορρήτων τὸν ἔλεγχον. ταῦτα γὰρ σαφῆ τυραννίδος τεκμήρια. ταῦτα τῶν κεκτημένων ἐλέγχει τοὺς τρόπους. εἰ δὲ τούτων εἰπεῖν ἔχεις οὐδὲν, παῦσαι λοιπὸν ἐμοὶ μείζονα μὲν τῆς δυνάμεως· ἐναντία δὲ τῇ βουλήσει προβαλλόμενος· ἀλλ᾽ ἑτέραν, φησὶν, αἰτεῖν, ἔδει σε[24] δωρεάν· καὶ πόθεν ἦν μοι τοσαῦτα τῷ δήμῳ λυσιτελεῖν; ποία δέ μου τοὺς πολεμίους οὕτω κατέπληττεν αἴτησις; πολλὴν ὁ δῆμος προσθήκην, ἐκ τῶν ἐμῶν ἔχεν αἰτήσεων· καὶ ἔγωγε ἡδέως ἂν τοῦ σοφοῦ κατηγόρου πυθοίμην· ὅτε μεθ᾽ ἡμῶν οἱ πολλοὶ παρετάττοντο φυγάδες, καὶ συναίτιοι τῆς δευτέρας ἡμῖν ἐγίγνοντο νίκης, πότερα καλὴν εἶναι τὴν ἐμὴν ὑπελάμ-

[19] προθύμας m. M.

[20] malim ἀνέχεσθαι.

[21] f. τυραννίδα. nam ἀρχὴν accipio aduerbialiter pro prorsus, plane, omnino.

[22] μοι W.

[23] ἐφείσω τῆς πόλεως bene si habet, aliquid aliud significare nequit, quam: ἔσωσας τὴν πόλιν.

[24] ἔδει σε] sic dedi. ἔδεισε M.

λάμβανεν αἴτησιν, καὶ δημοτικοὺς ἡμᾶς μετὰ τῶν ἄλλων ἐκάλει; ἢ μόνος τὸν τῆς τυραννίδος ἐμαντεύετο πόθον. εἰ μὲν γὰρ τὴν τῶν ἀνδρῶν προθυμίαν ὁρῶν, τὴν τοῦ λαβόντος ἐπῄνει προαίρεσιν, καὶ τὸν ψηφιζόμενον ἀπεδέχετο δῆμον· πῶς οὐ δεινὰ ποιεῖ, τούτοις νῦν ἐγκαλῶν, ὧν τότε τὰς πράξεις ἐθαύμαζεν. εἰ δὲ τὴν νίκην ὁρῶν, τοὺς συνδράσαντας ἐμίσει πολίτας, καὶ τὸ μόνος ἡττᾶσθαι τοῦ μετὰ τούτων νικᾶν αἱρετώτερον ἔκρινεν. πῶς οὐκ ἔλεγχον αὐτὸς ταῦτα τῆς περὶ τὸν δῆμον ἔχει κακίας, καὶ τυραννίδος ἀπίστου κατηγορῶν, φανερᾶς προδοσίας φέρεται μέμψιν. ὅτι μὲν οὖν τοῦ κοινῇ συμφέροντος χάριν ἡ αἴτησις γέγονεν, αἱ πολλαὶ δι' ἐμοῦ δεδηλώκασι νίκαι. ἐμοὶ δ' αἰτεῖν ὁ τῆς πόλεως δέδωκε νόμος, πάντα ἐπιτρέπων τοῖς ἀριστεῦσι κατ' ἐξουσίαν λαμβάνειν. καί μοι λέγε τὸν νόμον αὐτόν.

ΝΟΜΟΣ.

Τοὺς δὲ ἀριστέας νόμος[25] λαμβάνειν[26] ὅ, τι ἂν ἐθέλωσι γέρας.

Ἔφθασέ σου τὴν συκοφαντίαν ἡ πόλις. νόμῳ τὴν ἐξουσίαν ὁρίσασα, καὶ πολλὰ μὲν προτείνουσα πράγματα.[27] τὸ δὲ καθ' ἡδονὴν αἱρεῖσθαι ποιοῦσα. σὺ δὲ τὴν ἐξουσίαν εἰδώς, μέμφῃ τὴν κρίσιν, ὥσπερ ἢ νομοθέτης σοφώτερος ὤν, ἢ μεγάλα βλέπων τὴν πόλιν ἐκ τῆς ἐμῆς ἠδικημένην αἰτήσεως. καὶ οὐδὲ ἐκεῖνο λογίζῃ, ὅτι τὴν ἐμὴν μεμφόμενος αἴτησιν, τὴν τῆς πόλεως φιλοτιμίαν ὑβρί-

[25] *νόμος*] vocabulum hoc h. l. abesse malim. sunt enim verba ipsa legis, et lex de se ipsa non praedicat.

[26] *λαμβάνειν*] sic W. recte subaudi *δεῖ*. *λαμβάνει* M.

[27] *πράγματα*] res quas quis postulare iure possit. malim tamen *προστάγματα* postulata, flagitata.

ὑβρίζεις· καὶ μνησικακεῖν ἀναγκάζεις τοὺς ἑκουσίας ἐπιλελησμένους. τί δ' ἂν οἱ πολέμιοι βλέπειν εὔξαιντο μεῖζον, ἢ παλαιῶν ἡμᾶς μεμνημένους ἀδικημάτων, τῆς νεωτέρας ἐπιλανθάνεσθαι χάριτος· καὶ τὸν κατ' ἐκείνων θ μὸν εἰς τοὺς οἰκείους ἐκδαπανῶντας πολίτας;[28] τῆς μὲν οὖν ἐμῆς πολιτείας μάρτυρες γεγόνασι χρόνοι. ὁ δὲ, οὐδὲν ἕτερον ἔχων, ἢ ὅσα δικαίως ἔπραξα λέγειν, αὖθις τὴν αὐτὴν ἀναβοήσει φωνήν. ἀλλ' οἱ τυραννίδος φησὶν ἐπιθυμοῦντες, φυγάδας, καὶ ἀτίμους, καὶ δεσμώτας εὐεργετοῦσι, συνωμότας ἔχειν αὐτοὺς τῆς κακίας βουλόμενοι. τί δὲ οἱ τὸν δῆμον ἀγαπῶντες πράττουσιν ἄνθρωποι, κινδύνων ἐλπιζομένων μεγάλων; οὐ συμμάχους ἐγείρουσιν; οὐ παρακαλοῦσι τοὺς ἀμελεῖς; οὐ πάντας παντὶ πολεμεῖν παρασκευάζουσι σθένει; ἐγὼ μὲν οὖν ταῦτα τῆς κοινῆς χάριν ᾔτησα χρείας· καὶ τῆς ἐμῆς ὁ δῆμος ἀπέλαυσεν εὐνοίας, συμμάχους ἀγαθοὺς ἐπὶ τῆς ἀνάγκης τοὺς ἀφεθέντας εὑρών. σὺ δὲ μίαν πᾶσι[29] παρέχεις προαίρεσιν· καὶ μόνος ἑκὼν ἀγνοεῖς, ὡς οἱ μὲν τυραννεῖν ἐπιχειροῦντες, τοιούτων δέονται συμμάχων. οὐ μὴν οἱ[30] διὰ τὴν χρείαν τοιούτους τῷ δήμῳ περιποιοῦντες[31] συμμάχους, τυραννίδος ἐρῶσιν· ἀλλὰ καὶ φιλανθρωπίας χάριν καὶ σωτηρίας ἕνεκα τοῦ δήμου· ταῦτα καὶ τὰ τοιαῦτα, φιλοπόλιδες πράττουσιν ἄνθρωποι. μὴ τοίνυν τὰς τῶν τυράννων βουλὰς, ἐπὶ τὴν ἐμὴν ἄγε προαίρεσιν· ἀλλὰ σκόπει τὰς νίκας πόσαι, καὶ διὰ τίνων, καὶ τίνας γεγόνασι χάριν. εἰ μὲν γὰρ μνησικακοῦντες τοῖς τετιμηκόσιν ἐφαίνοντο, καὶ τῶν κοινῶν οὐ μετέχοντες κινδύνων· οὐδὲ λύσιν τοῦ μίσους τὴν ἑκούσιον νομίζοντες ἀφε-

[28] post πολίτας videtur tale quid deesse ἐμφυλίῳ στάσει ἐπιτρίβεσθαι ob praecedentem infinitiuum ἐπιλανθάνεσθαι. vt orationis membra inter se similia sint.

[29] μίαν πᾶσι quicunque expulsos reuocant, infamibus honorem restituunt, nexos liberant, his tu omnibus vnum idemque tribuis propositum, tyrannidem puta inuadendi.

[30] οἱ] ὁ m. M.

[31] περιποιοῦντες] sic W. περιποιοῦντας M.

ἄφεσιν, εἶχεν ἂν ἡ ὑποψία λόγον, τὴν μελετωμένην προβλέπουσα κακίαν. εἰ δὲ πολλὰ μὲν οὗτοι ποιεῖν· πολλὰ δὲ, εἰ δέοι, παθεῖν[32] διὰ τὸν τιμήσαντα[33] δῆμον ᾑροῦντο,[34] καὶ ὧν μὲν ἔπαθον ἐπελάθοντο, τὰ δὲ τῆς πόλεως ᾠκειοῦντο δεινά· τί τυραννίδος ὑπηρέτας καλεῖς τοὺς κοινὴν σωτηρίαν ἐκ τῶν ἰδίων ἀνύσαντας πόνων; ὅτι δὲ πίστιν ὁ τῆς κατηγορίας οὐκ ἔχει λόγος, ἐκεῖθεν ἂν μάλιστα θεωρήσητε. εἰ γὰρ τῶν πολεμίων τὸ πρῶτον[35] περικαθημένων ἡμᾶς, καὶ τοῦ δήμου περὶ τῆς μελλούσης ἐκκλησιάζοντος μάχης, καὶ ὅθεν περιέσται ζητοῦντος· τῶν σοφῶν τις ἀναστὰς ῥητόρων, καὶ τὴν ἐμὴν μιμούμενος πρόνοιαν, μίαν εἰσηγήσατο τῷ δήμῳ νίκης ἐλπίδα, τὴν τῶν φυγάδων ἐπάνοδον· τί ποιεῖν ἂν, ἢ τί λέγειν τὸν σοφὸν οἴεσθε τοῦτον; εἰ μὲν γὰρ ἀντέλεγε, καὶ τὴν ὁμόνοιαν κατεμέμφετο, πῶς οὐ κώλυμα τῆς κοινῆς σωτηρίας ἐγίγνετο; εἰ δὲ τὸ λεχθὲν ἀπεδέχετο, καὶ δημοτικὸν ἐκάλει τὸν ῥήτορα· πῶς οὐκ ἄτοπον ἐπαινεῖν μὲν, πρὸ τῆς πείρας, τὸ πρᾶγμα; μετὰ δὲ τὴν νίκην, κατηγορεῖν. εἰ μὲν οὖν οἱ πολλὰ λέγειν παρ' ὑμῖν εἰδότες, τῶν πολλὰ πράττειν ὑπὲρ ὑμῶν δυναμένων, ἰσχύουσι πλέον, παραχωρῶ τῷ κατηγόρῳ, καὶ φέρω τὴν τύχην ἀλύπως, περὶ τὰ τῆς πόλεως κολαζόμενος τρόπαια. εἰ δὲ δίκης ὑμῖν, καὶ νόμων ἀρχαίων, καὶ πολίτου μέλει χρηστοῦ, ἡδέως ἂν ὑμῶν πυθοίμην· τίνων ὑμεῖς ἀδελφοί; τίνων δὲ γεγόνατε πατέρες; εἰ μὲν γὰρ τῶν ἀφεθέντων,[36] ἐπὶ τῆς αὐτῶν ἕκαστος οἰκίας τοὺς ἐμοὺς ἔχετε συνηγόρους. εἰ δὲ τῶν σωθέντων, τὰς ἐμὰς ἐρυθριάσατε νίκας· τὸν τιμήσαντα ζηλώσατε δῆμον. τοὺς τὴν ἐξουσίαν δεδωκότας, φυλάξατε νόμους. καὶ δείξατε πᾶσιν, ὅτι μόνος τῶν ἀριστέων εὐσεβείᾳ τὴν ἀνδρείαν ἐκόσμησα· οὔτε

ὑπὸ

[32] malim καὶ παθεῖν.
[33] τιμήσοντα W.
[34] διῃροῦντο W. et m. M.
[35] τὸ πρῶτον] sic W. τὸ deest M.
[36] ἀφεθέντων, subaudi ἀδελφοὶ καὶ πατέρες ἐστέ.

ὑπὸ τῶν πολεμίων κακῶς τοὺς ἐντίμους παθεῖν, οὔτε ὑπὸ τῶν ἐντίμων τοὺς ἀτυχεῖς ἐάσας πολίτας.

ΑΛΛΗ ΜΕΛΕΤΗ.

ΘΕΩΡΙΑ.

Φήμη ἦν συνεῖναι τὸν πλέσιον τῇ τε πένητος γυναικί· ἔθηκεν ὁ πένης νόμον, κελεύοντα τὲς μοιχοὺς ἀκρίτως ἀποκτιννύναι. ἐγράψατο ὁ πλούσιος. εἷλε, καὶ κρίνει αὐτὸν ὁ πένης μοιχείας.[1]

ΠΛΟΥΣΙΟΥ ΚΑΤΗΓΟΡΙΑ.

Εἰ μὲν ἐβούλετο τὸν νόμον, ὦ δικαςαὶ,[2] γενέσθαι κύριον οὑτοσὶ, τὸν ἔναγχος περὶ τῶν μοιχῶν ὑπ' ἐμοῦ τεθειμένον, ἐκ ἂν νῦν ὑμῖν ἠνωχλοῦμεν γραφόμενοι καὶ κατηγοροῦντες. ἀλλ' ὑπῆρχεν ἂν τοῖς περὶ τὰς γυναῖκας ἀδικουμένοις, αὐτοῖς βοηθεῖν. ἐπεὶ δὲ ὁ πλούσιος ἐκεῖνο[3] κεκωλυκὼς, τἔτο[4] ἀναγκάζεται ποιεῖν· δέομαι πάντων ὑμῶν, ἐνθυμηθέντας ὡς εἰσὶν ὑμῖν γυναῖκες, οὕτω ποιήσασθαι τὴν ἀκρόασιν· καὶ μὴ ταυτὸν παθεῖν τοῖς περὶ τἔ νόμου δικάσασιν ἐκείνοις. ἐν οἷς ἐγὼ καὶ δικαιότερα, καὶ πάσῃ συμφέροντα τῇ πόλει λέγων, τούτε καὶ τῆς τούτε δεινότητος, καὶ παρασκευῆς, ἀπῆλθον ἡττηθείς. ἐξ ὧν συνέβη τἔτον μὲν φρονῆσαι[5] μέγα· τους

[1] post μοιχείας addit W. ἐκ τἔ ἀντιθέτε τὸ προοίμιον. Η μελέτη.

[2] ὦ ἄνδρες m. M.

[3] ἐκεῖνο] fcil. τὸ τὸν νόμον κύριον γενέσθαι.

[4] τἔτο] fcil. τὸ γράφεσθαι καὶ κατηγορεῖν.

[5] φανῆσαι m. M.

τοὺς δὲ ἐψηφισμένους ὑπ' ἐνίων ἀκοῦσαι κακῶς· ὡς ἄρα τὴν πρὸς τὸν πλούσιον χάριν περὶ πλείονος αὐτῶν τε καὶ γυναικῶν, καὶ παίδων πεποίηνται· ἔοικε δὲ οὐ παντάπασιν ἄχρηστόν μοι γεγονέναι τὸ περὶ τὸν νόμον ἐκεῖνον.[6] εἰ γὰρ καὶ μὴ γενέσθαι κύριος ἠδυνήθη διὰ τὰς ἐν τοῖς ἀγῶσι φιλοτίμους ἁμίλλας τούτου, ἀλλ' ἄμεινόν γε περὶ τῶν ἐμαυτοῦ κακῶν ἐδίδαξε· καὶ δέδωκεν οὐ μικρὰν ἀπόδειξιν εἰς τὴν νυνὶ ταύτην κατηγορίαν, ἡ κατὰ τοῦ νόμου τότε παρὰ τούτου γεγενημένη.[7] ὃς γὰρ ἐξ ἁπάντων μόνος τῶν πολιτῶν ἔδεισε, μὴ γένηται τοῖς περὶ τὰς γυναῖκας ἀδικουμένοις ἡμῖν κατὰ τῶν ἀδικούντων ἐξουσία τοῦ φόνου· πῶς οὐ σαφῶς ὡμολόγησεν, ἐμὲ μὲν εἰκότως τὰ τοιαῦτα νομοθετεῖν, αὐτῷ δὲ καὶ πεπρᾶχθαί τι τοιοῦτον καὶ τολμᾶσθαι, καὶ οὐδὲ λήξειν. πολλῆς οὖν ἀργίας ἦν ἅμα καὶ δυστυχίας, καλοῦντος ἐφ' ἑαυτὸν τοῦ μοιχοῦ τὸν γραψόμενον, μήθ' ὑπακοῦσαι, μήτε δίκην τῆς παροινίας λαβεῖν. προσήκει δ' ἂν[8] καὶ ὑμᾶς ὀργισθῆναι, καὶ δύο μιᾷ διαπράξασθαι ψήφῳ· δίκην τε ὑπὲρ[9] ὧν ἐγὼ πέπονθα λαβεῖν, καὶ τοῖς οὔπω ταὐτά μοι[10] πεπονθόσι διατηρῆσαι τοὺς γάμους· οἳ καὶ μᾶλλον ἐμοῦ κερδανοῦσιν ἀπὸ τῆς δίκης. τὰ μὲν γὰρ ἐμὰ κακὰ, κἂν μυριάκις οὗτος ἀποθάνῃ, μενεῖ[11] καὶ οὐδεὶς ἂν δικαστὴς οὐδὲν αὐτῶν λῦσαι δύναιτο. τοῖς δ' οὔπω τούτου πεῖραν ἐν ταῖς ἑαυτῶν εἰληφόσι γυναιξὶν, ὑπάρξει τὸ μηδὲ λαβεῖν ποτέ. εἰ μὲν οὖν ἐλάνθανε τὴν πόλιν τὰ τούτῳ πεπραγμένα καθ' ἡμῶν, ἴσως ἂν ὑπ' αἰσχύνης ἔκρυπτον σιωπῇ κακὸν ἀγνοούμενον. ἐπεὶ δὲ πολὺν ἤδη χρόνον λέγοντές τε καὶ ἀκούοντες περὶ τούτων οὐ πέπαυσθε, λόγον οὐδένα εἶχε κατοκνεῖν ἐμὲ μνησθῆναι πρὸς ὑμᾶς, ὧν οὐδὲ τοὺς κομιδῇ

6 τὸ περὶ τὸν νόμον ἐκεῖνον] σπούδασμα puta.

7 aut delenda sunt verba παρὰ τούτου γεγενημένη. aut sic leg. est: ἢ ἡ κατὰ τοῦ νόμου τότε παρὰ τούτου λεγομένη ἦν.

8 ἂν] lege αὖ.

9 f. δίκην τ' ἐμὲ ὑπέρ.

10 ταὐτά μοι] sic W. ταῦτά μοι M.

11 μένει in. M.

μηδὴ νέους ἀνηκόους εἶναι νομίζω· καὶ μάλιστα μὲν οἶμαι δώσειν τουτονὶ τιμωρίαν ὧν οὐ βούλεται σωφρονεῖν. εἰ δ' ἤδη τηλικοῦτός ἐστιν, ὥστε μόνῳ τῶν ἁπάντων αὐτῷ δεδόσθαι μοιχεύειν, ἃς ἂν ἐθέλῃ· καὶ μήτε κατήγορον, μήτ' ἔλεγχον δεδοικέναι[12] μηδένα· ἀλλ' οὖν οὐδὲ τοῦτό μοι μικρὸν,[13] τὸ περὶ τῶν ἐμαυτοῦ συμφορῶν, ἐν ὑμῖν ὀδύρεσθαι. φέρει γάρ τινα παραμυθίαν τοῖς τὰ μέγιστα ἠδικημένοις, τὸ περὶ αὐτῶν εἰπεῖν. πρότερον μὲν οὖν εὖ φρονεῖν ὑπελάμβανον τοὺς πένητας, γαμεῖν αἱρουμένους. τὰ μὲν γὰρ παρ' αὐτῆς ἕξειν τῆς γυναικὸς αὐτοὺς, τά τε ἄλλα συμπονούσης, καὶ τὰ ἀπὸ τῶν χειρῶν συνεισφερούσης. τὰ πλείω δὲ παρὰ τῶν παίδων, εἰς ἀνδρός τε ἡλικίαν ἡκόντων, καὶ γηροτροφούντων. νῦν δέ μοι δοκοῦσιν οἱ μὴ φεύγοντες τῶν πενομένων τὸν γάμον, παραφρονεῖν· πολὺ δὲ πλέον τούτων, οἱ τὰς καλὰς ἀγόμενοι γυναῖκας· οὐ γὰρ αὐτοῖς ἄγονται μᾶλλον, ἢ τοῖς διαφθεῖραι δυναμένοις· ὁποῖόν τι καὶ περὶ ἐμὲ γεγένηται. τῆς γάρ μοι γυναικὸς μετεχούσης ὥρας, ὦ δικασταὶ, καὶ κατὰ τοῦτο ἐπαινουμένης, ἐξιούσης τε πολλάκις ἔνδοθεν, κατὰ τὴν ἀεὶ συμβαίνουσαν ἀνάγκην· οἷα[14] δὴ τὰ τῶν ἐν πενίᾳ γυναικῶν, αἱ τὰ τῶν θεραπαινῶν ἐπιεικῶς αὐταῖς διακονοῦσι. ταύτην οὖν οὗτος ἰδὼν, τὸ μὲν πρῶτον, ὡς εἰκὸς, ἐθαύμασεν· εἶτα προσεῖπεν· εἶτα προσπέμπων λόγους τε ἐρωτικοὺς, καὶ χρήματα, καὶ ἐλπίδας· πολὺν χρόνον, ὡς ὕστερον ᾐσθόμην, οὐ πείθων· τελευταῖον ἔπεισεν. ἡ δὲ, ἐμοῦ μὲν ὑπερεώρα, καὶ παρόντος ἐδυσχέραινε, καὶ ἐξιόντος ἔχαιρε· δήλη τε ἦν ὅλως πρὸς ἕτερον ὁρῶσα. τῆς τοίνυν ἐμῆς οὗτος ἀπολαύων γυναικὸς, εἰσιών τε παρ' αὐτὴν ὁπότε ἀσφαλὲς, ἄγων τε ὅποι βούλοιτο, καταδεδουλωμένος

τὴν

[12] post δεδοικέναι μηδένα deest aliquid. κολαστέος ἤδη, ἵνα μὴ τυραννίδι ἐπιθῆται, ἢ ἔοικεν ἐπιχειρήσειν vel simile quid.

[13] μικρὸν] scil. παραμύθιον, vel κέντρον πρὸς τὸ εἰπεῖν.

[14] οἷον W. et m. M.

[15] προσπέμπων] sic W. προπεμπ. M.

τὴν ψυχὴν τῆς ἀθλίας, καὶ πρὸς ἅπαν ἔχων ὑπακούουσαν τῇ συνεχείᾳ τῆς ὕβρεως, καὶ μέθης, οὐκ εἶχε λανθάνειν. καὶ ἦν ἡ πόλις μεστὴ τούτου τοῦ λόγου· κἀν τοῖς κουρείοις, κἀν τοῖς μυροπωλείοις, κἀπὶ τῆς ἀγορᾶς, κἀν ταῖς οἰκίαις, πολὺ τοῦτο ἦν, μοιχεία τολμᾶται κατὰ τὴν πόλιν. ἔστι δὲ ὁ μὲν τολμῶν, ὁ πλούσιος. τοῦτον τὸν θαυμαστὸν λέγοντες. ὁ δ' ἀποστερούμενος τῆς γυναικὸς, ὁ πένης· τοὐμὸν ὄνομα προστιθέντες. ἐγὼ δὲ τὸν πολὺν χρόνον οὐδὲν εἰδὼς διῆγον· οὔτε γὰρ τῶν ἐχθρῶν τις οὕτως ἦν ὠμὸς, ὥστε ὀνειδίσαι προσελθών· τούς τε φίλους ὄκνος εἶχε τοιούτων ἀγγέλους γενέσθαι. τῆς φήμης δὲ αὐξομένης, καὶ τῆς αἰσχύνης ὑπερβολὴν ἐχούσης, ἔδοξε τοῖς ἐπιτηδείοις τοῖς ἐμοῖς δεινὸν εἶναι μηδέποτέ με ταῦτα πυθέσθαι. καὶ προσελθόντες, καὶ βλέψαντες εἰς γῆν, καὶ σιγήσαντες χρόνον τινὰ, καὶ δακρύσαντες, ὦ βέλτιστε, ἔλεγον, ἔδει μὲν ἡμᾶς ἀμείνω σοι μηνύειν ἔχειν, τῶν πραγμάτων δὲ οὐ τοιαῦτα διδόντων, ὅτι μὲν λυπήσομεν εἰπόντες, οὐκ ἀγνοοῦμεν. εἰπεῖν δ' ἂν εἴη μᾶλλον ἢ σιγῆσαι, τῶν φίλων. καὶ διεξῄεσαν δὴ ταῦτα ἃ νῦν ἐγὼ πρὸς ὑμᾶς. ὡς μὲν οὖν ἐξέστην ἐμαυτοῦ, καὶ ὡς κατηνέχθην ἀκούσας, μικρὸν ἀπέχων μανιῶν, ἴσασιν οἱ τότε παρόντες. μόλις δ' οὖν ἐπ' ἐμαυτοῦ γενόμενος, ἐσκόπουν ὅπως ἂν τοῦτον, ἢ ἀμύνωμαι, ἢ τῷ φόβῳ ποιήσαιμι βελτίω. καὶ λογιζόμενος εὕρισκον τὸν τοὺς νόμους ἐν ἀρχῇ τεθεικότα τῇ πόλει, τὰ μὲν ἄλλα διελόντα καλῶς, καὶ τάς τε ἀρετὰς, ᾗ χρῆν τετιμηκότα· καὶ τοῖς τὰ ἄλλα ἀδικοῦσιν, οὐ καλῶς[16] προσενηνεγμένον· τοῖς μοιχοῖς δὲ τούτοις οὐ πᾶν[17] ὅσον ἐχρῆν ἐπενεγκόντα. ἀλλ' ἂν μέν τις ἀφαιρῆταί τῳ χρημάτων,[18] ἔδωκεν εὐθὺς ἀμυνομένῳ κτεῖναι· καὶ

[15] οὐ καλῶς] si καλῶς h. l. idem valet atque ἐπιεικῶς, φιλικῶς, bene habet; sin aliter; malim οὐ κακῶς *non male*, h. e. ita, vt par erat.

[17] πᾶν] scil. τῆς ζημίας.

[18] f. ἀφαιρῆται τὸν κεκτημένον τῶν τι χρημάτων. patet e membro opposito.

καὶ καθαρὸς ὁ τοῦτο δεδρακὼς νενόμισται. τὴν γυναῖκα δὲ ἂν ἀφαιρῆταί τις τὸν γεγαμηκότα, ἐκβαλὼν, γράφου, φησί· καὶ τοῖς θεοῖς εὔχου δικαστηρίου τυχεῖν. κτεῖναι δὲ οὐκ ἔδωκεν. ὃ δὴ καὶ πολλὰς πεποιηκέναι μοιχείας ἡγούμενος, νόμον ἐτίθουν,[19] ὦ δικασταί. τοῖς ἔμπροσθεν μὲν παραλειμένον· σωφρονεῖν δὲ καὶ τὸν οὐχ οὕτω πεφυκότα ἀναγκάζοντα. οἱ μὲν οὖν ἐπιεικεῖς καὶ μέτριοι, καὶ τῶν οὐ καλῶν ἐπιθυμιῶν κρείττονες, ἐθαύμαζον, ἐπῄνουν, πάλαι τοῦτον ἔφασαν ἔδει κεῖσθαι τὸν νόμον. ὁ δὲ λαμπρὸς οὑτοσὶ καὶ μέγας, καὶ τὰς τῶν πενήτων οἰκίας καταθέων εἰδὼς ἐφ᾽ ἑαυτὸν πρώτας κεισόμενον τὸν νόμον, ἠγανάκτει, διέβαλλεν, ἔτρεμεν· ἐμισθοῦτο ῥήτορας· ἐνικράτει λόγοις τῶν δικαίων· καὶ κεκωλυκὼς κύριον γενέσθαι τὸν νόμον· παρακολουθῶν μοι μετὰ πολλῶν κολάκων, κατεγέλα, τωθάζων,[20] καὶ νομοθέτην καλῶν. πάντων οὖν βοώντων, ὡς αὐτὸν ἐξελέγχει μοιχεύοντα διὰ τῆς καλῆς κατηγορίας,[21] ἥκω μεθ᾽ ὑμῶν αὐτὸν τιμωρησόμενος. ἂν ἄρα οἷός τε ὦ. ὁ δὲ, δεινὰ φησὶ πάσχειν, εἰ μηδενὸς αὐτὸν[22] καταμαρτυροῦντος ἀπολεῖται. οὐδὲν γὰρ οἴεται τὴν πόλιν ἅπασαν εἶναι, δημαγωγοὺς, ῥήτορας, ἰδιώτας, φυλὰς τοσαύτας, πολίτας, μετοίκους, ξένους· ὧν ἁπάντων ἐν ταῖς ψυχαῖς κατεγνωσμένος, περιέρχεται, τὰ τούτῳ πραττόμενα καὶ εἰδότων ἀκριβῶς, καὶ οὐ σιωπώντων. ἴστε δὲ, ὦ δικασταὶ, ὡς πολλάκις μὲν εἴρηται, ὡς πολλάκις[23] δ᾽ ἀκηκόατε. τίνα οὖν ἄν τις μείζονα μαρτυρίαν ἐν δικαστηρίῳ παράσχοιτο τοῦ[24] καὶ τοὺς δικάζοντας πρὶν[25] τοῦ εἰσελ-

[19] ἐτίθην m. M.

[20] post τωθάζων deesse videtur Σόλωνα vel Δράκοντα vel tale quod nomen clari legislatoris.

[21] τῆς καλῆς κατηγορίας] sic W. καλῆς deest M.

[22] malim αὐτοῦ, nam, quod meminerim, verbum hoc non cum accusatiuo, sed cum genitiuo construitur.

[23] ὡς πολλάκις μὲν εἴρηται, πολλ.] sic recte W. πολλ. μὲν εἴρ. ὡς πολλ. M. Ego mallem sic fuisse expressum. ἴστε δὲ, ὦ δικασταὶ, ἃ πολλ. ἀκηκόατε. πολλ. γὰρ εἴρηται ἐν ὑμῖν.

[24] τῷ m. M.

[25] post πρὶν recte W. omittit τοῦ.

εἰσελθεῖν καταψηφίσασθαι τοῦ φεύγοντος. ὅταν οὖν τούτων ἐχόντων οὕτως, ἐμὲ καλεῖ[26] συκοφάντην, καὶ ὑμᾶς μετ᾽ ἐμοῦ καλεῖ, καὶ πάντας ὅσοι τὴν πόλιν οἰκοῦσι· καὶ μετὰ τούτων τοσούτων, τὴν θεόν. θεὸν γὰρ τὴν φήμην εἶναι παρὰ τῶν σοφωτάτων ἀκηκόαμεν[27] ποιητῶν. καὶ ταύτῃ πειθόμενοι, τοὺς μὲν, ἀμείνους, τοὺς δὲ χείρους ἡγούμεθα. καὶ ὁ μὲν προδότης, ὁ δὲ ἀνδροφόνος, ὁ δὲ τυμβωρύχος· ἕτερος ἕτερόν τι τῶν τοιούτων ἔδοξεν· οὐχ ἑωρακότων μὲν ταῦτα τολμώμενα τῶν ταῦτα λεγόντων, τῇ φήμῃ δὲ ἀπιστεῖν οὐκ ἐχόντων, ἣν ἀνάγκη τὴν ἀρχὴν ἀπὸ τῶν πεπραγμένων λαμβάνειν. καὶ ταύτης γε δὴ τῆς θεοῦ τὰ μέγιστα ὁρῶ τὰς πόλεις ἀπολαυούσας· ἣ μηδὲ τὰ λίαν ἐν σκότῳ πραττόμενα λανθάνειν ἐᾷ, πάντα εἰς φῶς ἄγουσα, καὶ παραδιδοῦσα τοῖς ἀνθρώποις, καὶ δηλοῦσα τοὺς πάντα μηχανωμένους. ἐμοὶ θεράποντας καὶ θεραπαίνας, οὐκ ἔδωκεν ἡ τύχη,[28] πράττουσα τὸ αὑτῆς· ἄλλοις γὰρ ἄλλα νέμει. νῦν μὲν οὖν οἰκέτας μάρτυρας καλεῖν οὐκ ἔχω· πῶς γὰρ τούς γε οὐκ ὄντας; καλῶ δὲ τὰς ὑμετέρας φωνὰς, καὶ ἃ πέπυσθε τούτῳ πεπρᾶχθαι πρὸς τὴν ἐμὴν γυναῖκα, τὴν δυστυχῆ, τὴν ὑπὸ τῆς τούτου περιουσίας κατενεχθεῖσαν. οὐδὲ γὰρ ἂν[29] τοῦτ᾽ ἔστιν εἰπεῖν, ὡς εἰ καὶ σφόδρα ἤρα, πείθειν οὐκ ἂν ἴσχυεν ἀργυρίου σπανίζων. τίς γὰρ ὑμῶν οὐκ οἶδε τὸν τούτου πλοῦτον μέγαν, τὸ χρυσίον, τὰς συνοικίας, τὰ ἀνδράποδα, τὰ βοσκήματα, τὴν γῆν, τοὺς καθ᾽ ἕκαστον μῆνα τόκους. ἀνὴρ δὲ ὁ αὐτὸς ἐρῶν τε, καὶ πλουτῶν, ταχέως ἂν παραστήσαιτο γυναικὸς γνώμην. οὐδὲν γὰρ οὕτω δεινὸν τρέψασθαι σωφροσύνην, ὡς τὸ δύνασθαι προϊέναι. καὶ γὰρ ἂν τὴν πρώτην ἀποκρούσηται πεῖραν, ἕτερα ἦλθε πλείω, καὶ ἕτερα[30] τοσαῦτα. καὶ ἡ καθ᾽ ἡμέραν προσθήκη, πρὸ τῆς νίκης οὐχ ἵσταται· τοῦτο, ὦ δικασταὶ, προδότας ποιεῖ, τὸ μεγάλῃ τιμῇ τὰ πράγμα-

τα

26 καλῇ W.
27 μεμαθήκαμεν m. M.
28 τέχνη W.
29 αὖ W. et m. M.
30 καὶ πάλιν ἕτερα W.

τα τοὺς πολεμίους ὠνεῖσθαι. τοῦτο πείθει τῶν πρὸς τὴν πατρίδα δικαίων ὀλιγωρεῖν. τοῦτο τὰς πολλὰς εἰργάσατο μοιχείας. καί τινα ἤδη καὶ ζῶσαν ἐν ἀφθίνοις, ἡ τοῦ πλείονος ἐπιθυμία καθείλκυσεν. εἰ δὲ καὶ πλουτοῦσα γυνὴ τὸ πλέον ἐθαύμασε, τί θαυμαστὸν τὴν τοῦ πένητος παθεῖν τι πρὸς χρυσίον; καὶ ταῦτα οὐ συγγνώμην ἔχων ἐκείνῃ λέγω· μὴ γὰρ ἔστω γυναικὶ μηδὲν τιμιώτερον ἀνδρός· ἀλλ' ὅτι λόγον εἶχε τὴν οὐκ εὐποροῦσαν ἐκπλαγῆναι πρὸς τὰ πεμπόμενα χρήματα· καὶ δεξαμένην ὧν ἐδεῖτο, ὧν διδοὺς[31] ἔχρηζεν ἀντιδοῦναι. λέγω δὲ ταῦτα οὐ κατὰ πάσης γυναικὸς πένητος· ἔστι γάρ, ἔστιν εἶναι καὶ πενομένην ἀνάλωτον· ἀλλ' ὅτι τῷ πλουτοῦντι βουλομένῳ τοιαῦτα ἀδικεῖν, τὸ πολλὰ κεκτῆσθαι συμπράττειν πολλαχοῦ δύναται. ὄντων τοίνυν καὶ τούτων οὐ μικρῶν τεκμηρίων, ἐλεγχόντων ἃ δοκεῖ πεποιηκέναι, πολὺ μεῖζον ἐστὶ καὶ τὸ ῥηθησόμενον.[32] εἰ γὰρ αὖ μὴ μοιχὸς οὗτος ἦν, ὦ ἄνδρες, τί τῷ νόμῳ τῷ φύλακι τῶν γάμων ἐμάχετο. μᾶλλον δέ, εἰ μὴ μοιχὸς οὗτος ἦν, φθάσας ἂν ἐμέ, τοῦτον αὐτὸς ἐτίθει τὸν νόμον, τούτῳ πρὸς τὴν φήμην ἀνταγωνιζόμενος· καὶ φανερὸν ἅπασι ποιῶν, ὅτι ἐγὼ μέν τοι ὁ πονηρὸς καὶ κακὸς ἀκούων, καὶ τῶν πολιτῶν τοὺς γεγαμηκότας ἀδικῶν, τοιαῦτα ἐπὶ τοῖς μοιχοῖς νομοθετῶ. τίς οὐκ ἂν ἐπῄνεσεν, ὦ ἄνδρες, τότε; τίς οὐκ ἂν ἠγάπησε; τίς οὐκ ἂν κατηράσατο τοῖς τολμῶσι τἀναντία λέγειν; τίς οὐκ ἂν ἐθαύμασε καὶ ἐκύρου τὸν λόγον; ὁ δέ, τοσοῦτον ἀπεῖχε τοῦ τοιοῦτόν τι ποιεῖν, ὥστε καὶ τὸν νομοθετοῦντα ἐμὲ πολέμιον ἡγεῖτο κεκραγώς, ἀπειλῶν, συνάγων κατὰ τῶν γραμμάτων τοὺς οὐ καλῶς τῷ λέγειν χρωμένους. ὅτ' οὖν ταῦτα ἐποίεις τότε ἐμαρτύρεις μοιχεύειν. τί γὰρ ἔδει τὸν οὐδὲν ἑαυτῷ συνειδότα τι τοιοῦτον, δεδοικέναι τὴν τιμωρίαν; εἰ δὲ κατὰ τῶν ἱεροσύλων ἐτίθην νόμον, σὺ δὲ ἠγανάκτεις, οὐκ ἂν ἦν ὁμολογία τοῦτο, τοῦ τὰ τῶν θεῶν ὑφῃρῆσθαι;

εἰ

31 malim ὧν ὁ διδούς.

32 malim ἐστὶ τὸ νῦν ῥηθησ. aut πολὺ καὶ μεῖζόν ἐστι τὸ ῥηθησ. multo vel maius etiam est —

εἰ δὲ κατὰ τῶν τὰ κοινὰ κλεπτόντων, σὺ δὴ ἤχθου,[33] οὐκ ἂν ἐν τοῖς κεκλοφόσιν[34] ἦσθα; εἰ δὲ κατὰ τῶν προδοτῶν, σὺ δ' ἠναντιοῦ τῷ νόμῳ, οὐκ ἂν δῆλον ἐποίεις, ὡς ἔξω βλέπεις; οὐκοῦν καὶ νῦν τῷ τοῖς κατὰ τῶν μοιχῶν γραφομένοις ἀντιτετάχθαι, τὸ κατὰ σαυτοῦ ταῦτα γεγράφθαι ὁμολογεῖς. δεινὸν δὲ εἰ τὸ μὲν τοῖς μοιχοῖς πολεμεῖν, σωφροσύνης ἐστὶ σημεῖον· τὸ δὲ βοηθεῖν μὴ τοῦ μοιχεύειν δόξει τεκμήριον. οἶδα τοίνυν ὅ, τι τὴν μὲν φήμην φθονούντων ἔργον εἶναι φήσει. φθονεῖσθαι γάρ ἐστιν ἐπιεικῶς[35] τοὺς εὐποροῦντας ὑπὸ τῶν πενομένων. δεῖ γὰρ ἡμᾶς, ὡς ἔοικεν, ὦ ἄνδρες, μὴ τἄλλα μόνον, ἀλλὰ καὶ τοῖς δικαστηρίοις ὑβρίζεσθαι. τί γὰρ μεῖζον ἄν τις ἀκοῦσαι κακὸν, ἢ εἰ τοῖς ἑτέρων τὶς αὐτὸν ἀγαθοῖς ἀποπνίγεσθαι λέγει.[36] ἡμεῖς δὲ ἡμῖν μὲν αὐτοῖς καὶ παισὶ[37] τἀγαθὰ παρὰ τῶν θεῶν αἰτοῦμεν. συμφορὰν δὲ ἡμετέραν, τὴν ἑτέρων εὐτυχίαν οὐδεπώποτε ἐκρίναμεν, ἡδέως δ' ἂν σε ἐροίμην, εἰ μόνῳ σοι χρήματά ἐστι πολλὰ τῶν ἐν τῇ πόλει. ἀλλὰ μήποτε οὕτω πράξοιμεν κακῶς, ὥσθ' ἕνα μόνον οἶκον εὖ πράττειν ἐν αὐτῇ. πῶς οὖν, ὦ σοφώτατε, μετὰ πολλῶν εὐπόρων[38] μόνος φθονεῖσθαι λέγεις. καὶ γὰρ εἰ φύσει τοῦτο τοιοῦτον ἦν,[39] πάντας ἔδει τοὺς εὐπόρους πολλὰ καὶ δεινὰ παρὰ τούτων[40] ἀκούειν· εἴπερ ἀνάγκη φθονεῖσθαι μὲν διὰ τὸ πλουτεῖν· τοὺς δὲ φθονουμένους διὰ τοιαῦτα[41] συκοφαντεῖσθαι. ἀλλ' ὁρᾷς ὅτι καὶ[42] τοὺς ἄλλους φιλοῦμεν, καὶ

[33] δὲ ἤχθου m. M.

[34] κεκλοφόσιν] sic recte W. et m. M. nam perfectum medii huius verbi non vsurpatur. κεκλοπόσιν t. M.

[35] εἰκὸς m. M.

[36] λέγειν W. malim λέγῃ.

[37] παισὶ] sic in margg. W. et M. πᾶσι t. W. et M.

[38] malim εὐπορῶν in nom. partic. quamuis vna cum multis sis diues, tamen tu solus te esse odio quereris.

[39] φύσει τοιοῦτον ἦν] vt diuitiae necessario secum afferrent, et ex se gignerent inuidiam publicam.

[40] παρὰ τούτων] digito quasi demonstrat pauperes.

[41] ταῦτα m. M.

[42] primo καὶ respondet, non proximum secundum, sed illud

καὶ θαυμάζομεν, καὶ συγχαίρομεν εὐποροῦσι, καὶ συνευχόμεθα τὰ ὄντα σφίσιν ἐπιδοῦναι· καὶ κοινοὺς γονέας ὀνομάζομεν τοῦ πλήθους. καὶ οὐδεὶς οὐδένα μοιχεύειν φησί. διὰ τί; ὅτι οὐδὲ μοιχεύει. καὶ σὺ τοίνυν, εἰ σωφρονεῖν ἐβούλου, τῶν αὐτῶν ἐτύγχανες ἄν. νῦν δὲ οὐ τὸ πλουτεῖν· τὸ δὲ ἀδικεῖν, τὴν φήμην ταύτην ἐποίησεν. ἐπεὶ εἰ μῖσος ἦν ὑπὸ φθόνου περὶ σὲ γεγενημένον, καὶ ὅπως ἀπολῇ, ταῦτα ἐλέγετο, ἦν ἂν ἕτερα καὶ μείζω τούτων, καὶ πολὺ δεινότερα, πᾶσαν ἐκπολεμῶσαι σοι δυνάμενα τὴν πόλιν. τίνα ταῦτα; νεώτερά σε βουλεύειν ᾐτιῶντο ἄν· καὶ τὴν ἰσηγορίαν δυσχεραίνειν· καὶ μείζονα τῶν πολιτῶν[43] ἀξιοῦν εἶναι· καὶ ζητεῖν ἀντὶ τῶν νόμων γενέσθαι. καὶ οὐκ ἂν ἦν ἀπίθανος ὁ λόγος, πάντων, ὅσοι δὴ πώποτε δημοκρατίας κατέλυσαν, μετὰ πλούτου τοῦτο πεποιηκότων. νῦν δὲ πολλήν μοι λέγεις τῶν φθονούντων μωρίαν εἶναι, εἰ βουλόμενοί σε ποιῆσαι κακῶς, μὴ μειζόνως ἐποίουν. τότε μὲν γὰρ ὅλην ἂν σοι τὴν πόλιν ἐπῆγον· νῦν δ' οὐ τοσούτους ἐπὶ σὲ τῶν πολιτῶν ἐκίνουν. οὐ γὰρ ἴσον εἰς ὀργὴν δουλείας φόβος, καὶ γυναικὸς ὕβρις. διὰ τί οὖν ἐκεῖνο ἀφέντες, τοῦτο λέγουσιν; ὅτι τὸ μὲν, οὔπω διανενόησαι· τὸ δὲ εἴργασαι. εἶθ' ὥσπερ ὑπὲρ τῶν καλούντων σε μοιχὸν, δεδιὼς μὴ ψευδῆ δόξαιεν λέγειν, ἦλθες νόμου κατηγορήσων, οὐκ ἐῶντος μοιχεύειν, δεικνὺς ὡς ἔργα τὸν λόγον ἐποίησε. καὶ τίνα, φησὶ, παρέβαινον, ἐν τῷ κατηγορεῖν, νόμον;[44] καὶ τί δαί;[45] οὐκ ἐξῆν μοι κατηγορεῖν; ἢ τῶν ἀτίμων εἰμί τις. σὺ δὲ οὐκ εἶ μὲν ἄτιμος, ἦσθα δὲ ἂν εἰκότως, παῖδας ἑτέρων ἀτίμους πεποιηκώς. οὐδ' αὖ μὴ μετέχων τῆς περὶ ταῦτα[46] ἐξουσίας, ἐγράφου· μετεῖχες γάρ. κρίνεται δὲ οὐ τοῦτο τήμερον. εἴτ' ἐξὸν, εἴτ' οὐκ ἐξὸν ἐγράφου· ἀλλ'

lud, quod paulo poſt legitur, καὶ οὐδεὶς οὐδένα (ſubaudi τούτων) μοιχεύειν φησί.

[43] πολλῶν m. M.

[44] νόμων m. M.

[45] καὶ τί δὲ W. et m. M.

ſic diſtinguo καί. (ſubaudi a communi φησὶ item haec ait, hac oratione vtitur) τί δαί οὐκ ἐξῆν;

[46] ταῦτα] ſcil. τὸ γράφεσθαι καὶ κατηγορεῖν.

ἀλλ᾽ εἰ μὴ τῷ γράψασθαι σαυτοῦ καταμεμαρτύρηκας· ἐπεὶ καὶ βαδίζειν διὰ τῶν στενωπῶν ἔξεστι, καὶ βαδίζοντας ἀναβλέπειν· ἀλλ᾽ ἐὰν πολλάκις διὰ ταυτοῦ βιαδίζῃς, οὐκ ἀγούσης ἀνάγκης, καὶ βλέπῃς ἄνω πολλάκις γυναῖκα νέαν καὶ καλὴν, οὐδέν σοι προσήκουσαν περισκοπῶν, ποιεῖς μὲν, ἃ μὴ κεκώλυται νόμῳ· ποιῶν δὲ ἐφ᾽ ὅτῳ ταῦτα ποιεῖς, δεικνύεις. οὕτω δὴ καὶ νῦν τοῦ γεγράφθαι μὲν οὐκ ἀπαιτοῦμεν δίκην· οὐδὲ τοῦτ᾽ ἔστι τὸ ἔγκλημα· τὸ γεγράφθαι δὲ σημεῖον ὧν ἐγκαλοῦμεν, ἀξιόπιστον εὑρίσκομεν· καὶ τὸν ἀπὸ τοῦ καταληφθῆναι θάνατον ἀνελὼν, τῷ[47] παρὰ τῆς ψήφου σαυτὸν ὑποτέθεικας. οὐ γὰρ ἔτ᾽ ἂν ἔχοις ἄγε ὡμολόγηκας ἀρνεῖσθαι. τοῦ νόμου γὰρ ὁ μῶμος τὴν τῆς μοιχείας ὁμολογίαν ἔχει. ἀλλ᾽ οὐ διὰ τοῦτο, φησὶν, ἐγραψάμην. ὁρῶν δὲ αὐτὸν, οὔτε δίκαια οὔτε συμφέροντα λέγοντα. πῶς οὐ δίκαια πρὸς Διός; οὐ δίκαιον τοῦ γήμαντος ἣν ἠγάγετο εἶναι; οὐ δίκαιον τῇ πόλει γνησίους τίκτεσθαι παῖδας; τί δ᾽ οὐχὶ καὶ συμφέρον τὰς γονὰς τοῖς πατράσιν ἀνυπόπτους εἶναι; οὕτω γοῦν μετ᾽ εὐνοίας πλείονος καὶ στρατεύοιντ᾽ ἄν.[48] ἀλλὰ τὸ ἄκριτον κτείνειν, οὐ δίκαιον. καὶ τί δεῖ κρίσεως ὅταν ἐπὶ τῆς εὐνῆς τῆς ἐμαυτοῦ σε λάβω· τί δὲ[49] φαινομένου τοῦ κακοῦ,[50] λαγχάνειν δίκην; ἂν δὴ παρελθὼν εἰς ἀλλοτρίαν οἰκίαν, καὶ συμπεπλεγμένος ἀλλοτρίᾳ γυναικὶ, καὶ ἀντὶ τοῦ γήμαντος συγκατακείμενος, μὴ σφάττηται εὐθὺς ἐπὶ τῆς κλίνης, ἐν ᾗ τοιαῦτα ὑβρίκει·[51] ἀλλ᾽ εἰς δικαστήρια καλῆται,[52] καὶ νόμους μεμελετηκὼς εἰσίῃ· καὶ τοὺς ἐξαιτησομένους εἰσάγῃ· καὶ ὁ τὰ τοιαῦτα πεπονθὼς, ξίφους ὄντος, καὶ πικρᾶς οὕτω μίξεως ὁρωμένης, ἀνέχηται καὶ προπέμπῃ τὸν μοιχὸν, ὥσπερ

47 τῶν W. et m. M.

48 malim τρέφοιντ᾽ ἄν. a patribus alantur.

49 δὲ] δαὶ W. ego malim τί δεῖ,

50 τοῦ κακοῦ] sic W. τοῦ omittit M.

51 ταῦτα ὑβρίζει m. M.

52 καλῆται] sic W. καλῶται M.

ὥσπερ εὐεργέτην, μέχρι θυρῶν. ταῦτα, ὦ πλούσιε, δίκαια; τὸ δὲ χρήσασθαι θυμῷ καλῷ πρὸς φόνον, οὐ δίκαιον; ἀλλὰ τῆς ὑστεραίας ἀνέχεσθαι τῶν παραμυθουμένων, καὶ φοβούντων, καὶ λεγόντων, καὶ σὺ [53] δὲ οἴσεις τὸν πλούσιον; οὐ γὰρ κακόν τι προσλαβὼν ἕτερον ἄπει; πῶς οὖν, ἐρεῖς, εἴπερ δίκαιον τοῦτ᾽ [54] ἦν, οὐκ ἦν ἐν τοῖς παλαιοῖς νόμοις; πόσα δὲ καὶ ἄλλα τῶν νῦν δικαίων οὐκ ἦν ἐν τοῖς παλαιοῖς νόμοις, ἃ προϊὼν ὁ χρόνος εὗρεν; οὐ καθ᾽ ἕκαστον, ὡς εἰπεῖν, μῆνα νόμους ὁρᾷς, τοὺς μὲν, λυομένους. τοὺς δὲ, γραφομένους, τῶν πραγμάτων αὐτῶν τὰ τοιαῦτα εἰσηγουμένων, ὅτι βέλτιον τοῦτ᾽ ἀντ᾽ ἐκείνου κρατεῖν; εἰ γὰρ καὶ πάνυ θαυμάσιοι τὴν φύσιν οἱ πάλαι τεθεικότες τοὺς νόμους, ἀλλ᾽ ἄνθρωποί γε. διαφυγεῖν δέ τι τῶν δεόντων ἀνθρώπου διάνοιαν, οὐχὶ θαυμαστόν; ὁ μὲν οὖν νόμος, [55] τοῦ νόμου [56] βελτίων· καὶ δι᾽ αὐτὸ τοῖς ἄλλοις ἅπασιν ἤρεσκε· σὲ δὲ ἐλύπει μόνον. καὶ διὰ τοῦτο ἠγανάκτεις. καί τοι πονηρός γε ὢν, πάντας ἂν εἶχεν ἀγανακτοῦντας. ἀλλ᾽ οὐ τὰ σὰ νοσοῦσι. διόπερ οὐδ᾽ ἐδεδοίκεσαν. [57] τὴν τοίνυν τῶν ἄλλων σιωπὴν, μᾶλλον ἄν τις ποιήσαιτο σημεῖον τοῦ λυσιτελεῖν τὸν νόμον, ἢ τὸν τούτου φόβον τοῦ μὴ συμφέρειν. καὶ μὴν ἐνίκων, φησίν· ἀλλὰ κακῶς. πόσοι δὲ πρὸ σοῦ πλούσιοι νενικήκασι κακῶς; ἠσέβησαν οὖν οἱ δικάσαντες; οὐ μὰ Δία· ἀλλ᾽ ἐξηπατήθησαν. ἔστι δὲ

οὐκ

[53] Etiam tu, vt alii multi tulerunt, ferto diuitem, auctor tibi ſim. non enim malo auctus abis. h. e. quid faceres, ſi is te praeterea vulneraſſet? quod non fecit, non magis tu vulneris tum poenas aufferres, quam nunc ignominiae.

[54] τοῦτ᾽] τὸ φονεύειν τὸν μοιχὸν ἐπ᾽ αὐτοφώρῳ ληφθέντα.

[55] νόμος] ὁ νέος, ὁ ὑπ᾽ ἐμοῦ εἰσηγμένος puta.

[56] τοῦ νόμου] τοῦ παλαιοῦ puta, τοῦ μηδὲν ἀγορεύοντος περὶ τοῦ δεῖν τὸν μοιχὸν φονεύειν.

[57] οὐδ᾽ ἐδεδοίκεσαν] ſic W. et m. M. quapropter etiam nulla formido eos inceſſit, poenarum puta, a me moechis ſcriptarum, ne ſcilicet eas ipſi tolerent. quemadmodum tu metuis, ne tibi flagitiorum tuorum poenae dandae ſint. ἐν ἐδεδ. t. M.

οὐκ ἴσον ἑκόντα προέσθαι τὸ δίκαιον, ἢ παρακρουσθέντα. τὸ μὲν γὰρ ἐστὶ τῆς τοῦ χαριζομένου κακίας· τὸ δὲ τῆς τῶν τἀληθῆ διαστρεφόντων τέχνης. μέμψαιτο[58] δ' ἂν οὐδεὶς ἀντὶ τοῦ δράσαντος[59] τὸν πεπονθότα.[60] οὐδὲ γὰρ ὁ κῆρυξ τούτους ἀφεὶς, ἐκείνοις καταρᾶται. μὴ τοίνυν με διάβαλλε[61] πρὸς ἐκείνους τοὺς δικαστὰς, οἳ μετ' ἐμοῦ παρὰ τῆς σῆς ἠδίκηνται ῥώμης· ἣ πολλῇ πανταχοῦ κέχρησαι ἐπ' ἀγορᾶς, ἐν βουλευτηρίοις[62] ἐν ἐκκλησίαις, ἐν τοῖς δικαστηρίοις. οὐκοῦν ἐκράτεις μὲν οὐ δικαίως. νόμον δὲ καλῶς ἔχοντα καὶ βοηθοῦντα τοῖς γεγαμηκόσιν ἔδεισας. τῷ δέει δὲ, τὸ μοιχεύειν ὡμολόγησας. τὴν δ' ἀπὸ τοῦ γράψασθαι φησὶν ὑποψίαν ἔδεισας ἴσως·[63] ἀλλ' ἦν μεῖζον ἐν τῷ μὴ γράψασθαι τὸ δέος. τὸ μὲν γὰρ,[64] εἶχε φόνον, τὸ δὲ,[65] κρίσιν. καὶ πρὸς μὲν τοῦτο,[66] λόγων οὐκ ἀπορήσειν· πρὸς ἐκεῖνο δὲ,[67] ἕξειν οὐδέν. ἡγήσατ' οὖν ἀσφαλεστέραν τῆς πρὸς τὸ σιδήριον[68] τὴν πρὸς τὰ τεκμήρια[69] μάχην. χωρὶς δὲ τούτων, πολλὰ καὶ θεῶν ὀργῇ ποιοῦσιν ἄνθρωποι, δι'

ὧν

58 μέμψαιτο] ſic W. μέμψαι M.

59 τοῦ δράσαντος] id eſt τοῦ διαστρέψαντος τὴν ἀλήθειαν τοῦ πράγματος καὶ τὴν τοῦ δικαστοῦ διάνοιαν.

60 τὸν πεπονθότα] id eſt τοῦτον, οὗ ἡ διάνοια ταῖς συκοφαντίαις διεστράφη.

61 διάβαλλε] ſic W. διαβάλλετε M.

62 βουλευτηρίοις] ſic W. ſed vulg. βουλευτηρίῳ ſuperſcriptum eſt.

63 f. ἔδεισα μὲν ἴσως.

64 τὸ μὲν γὰρ] ſcil. ἐᾶν κύριον γενέσθαι τὸν παρὰ σοῦ νόμον. ſi paterer, legem a te latam in moechos perferri, metuendum mihi erat ſicae tuae ſupplicium.

65 τὸ δὲ] ſcil. γράφεσθαι ἐμὲ τὸν σὸν νόμον ſin autem accuſarem legem tuam, nil aliud, quam actionis diſcrimen erat ſubeundum.

66 πρὸς μὲν τοῦτο] ſcil. τὴν κρίσιν.

67 πρὸς ἐκεῖνο δὲ] ſcil. τὸν φόνον. poſt ἀπορήσειν, aut poſt ἕξειν deeſſe videtur ἔμελλον.

68 τῆς πρὸς τὸ σιδήριον (ſcil. μάχης).

69 τὰ τεκμήρια] ſic W. et m. M. τὸ τεκμήριον M.

ὧν αυτοὶ σφῶν αὐτῶν ἀναφαίνονται κατήγοροι· καὶ τοὺς κρίνοντας αὐτοὺς αἷς παρέχονται ἐπισπῶνται λαβαῖς. καὶ νῦν πλείους ἐκείνοις[70] τῆς τούτου κακίας ποιοῦντες τὰς ἀποδείξεις, δεύτερα τοῖς προτέροις σημεῖα προσέθηκαν. τί δ᾽ εἰ τὴν μὲν ἐκ τῆς ὑποψίας αἰσχύνην ᾔδει ῥαδίως, πολὺν ἤδη χρόνον[71] ἐν αὐτῇ βεβιωκώς· τὸν δὲ κρινοῦντα αὐτὸν, οὐκ ἐνόμιζεν ἔσεσθαι διὰ τὸν πλοῦτον, καὶ τὴν ὑπερηφανίαν, καὶ τὰς πανταχοῦ τραγῳδουμένας χορηγίας. ἀπὸ τῆς αὐτῆς τοίνυν αἰτίας αὐτὸς ἔδωκεν.[72] ἀλλ᾽ οὐ δι᾽ ἑτέρου τοῦτο ἔπραττε. τῶν μὲν γὰρ βελτίστων οὐδένα ἂν ἔπειθε. κόλαξ δὲ οὐκ ἂν εἶχεν ἐπεισάγειν τοῖς περὶ τοῦ νόμου λόγοις, αὐτοῦ τε καὶ προγόνων αὐτουργίας.[73] καὶ πόσῳ, φησὶ, βέλτιον θηράσαντα[74] ἕλκειν, ἀλλὰ μὴ διώκειν ἀπὸ σημείων. ὅτι χαλεπὸν τῷ πένητι τὰς ὑπὲρ τῆς τροφῆς ἀφέντι φροντίδας, μοιχὸν φυλάττειν καθήμενον. ἔπειθ᾽ ὑπὲρ μὲν τοῦ κτεῖναι λαβὼν, πᾶν ἂν ὑπομεῖναί μοι δοκῶ. κρίνειν δὲ καὶ τότε[75] μέλλων

[70] ἐκεῖνος W. ἐκείνως m. M. lego ἐκεῖνοι, quod ad *deos* referetur.

[71] mallim sic distingui ᾔδει, (scil. ἑαυτῷ προσοῦσαν) ῥαδίως πολὺν ἤδη χρόνον quippe qui iam per longum tempus facile illam malam famam tolerasset. πολὺν dedi. in W. est πολὴν, paulo minus vitiose, quam vulg. πολλήν.

[72] In W. est ἔδοξεν cum ω super ο et κ super ξ scripto. lege ἐδίωξεν, aut, si mauis, in imperfecto, ἐδίωκεν, propterea ipse quoque per se persecutus est in iure legem meam diues, aduersus eam egit ipse, non alium subornauit.

[73] legendum est λειτουργίας.

[74] θηράσαντα] subaudi σε quanto melius faceres, si tu me traheres in iudicium, captum, deprehensum in flagrante delicto. εἰληφότα ἐμὲ μοιχεύοντα, ἄνθρα ἐν ἄρθροις. Planius sic dixisset πόσῳ βέλτιον ἦν ἐμε, (sic ait diues ad pauperem) ὑπὸ σοῦ κατηγορεῖσθαι, ληφθέντα ἐπ᾽ αὐτοφώρῳ, ἢ εἰς ὑποψίαν ἄγεσθαι ἐκ φιλῶν τινῶν σημείων. Respondet pauper, actor, ὅτι χαλεπὸν —

[75] καὶ τότε] id est ἐάν σε λάβω μοιχόν. Iam vero, si nil aliud, praeterquam anceps discrimen fori tricosi relictum etiam tum sit, si te in facinore deprehendero; quidni hoc (scil. τὸ κρίνειν σε) iam nunc facio, vt te in ius vocem?

μέλλων, τί μὴ τοῦτ' ἤδη ποιῶ; τίνα τῶν τεκμηρίων κατεγνωκὼς ἀσθένειαν; οὐ μυρίους ἴσμεν ὑπὸ τούτων ἁλόντας; δότω δὴ καὶ αὐτὸς δίκην, ὑπὸ πολλῶν, καὶ λίαν ἐναργῶν ἐξεληλεγμένος, ὑπὲρ ὧν ἐπίςασθε, ὦ δικαςαὶ, ψηφιεῖσθε τὸ τήμερον. ἃ πέπραχε, πολλάκις μὲν εἰρήκατε· πολλάκις δὲ ἀκηκόατε, περὶ ὧν τοῖς ἀπιςοῦσιν ὀμωμόκατε·[76] ὑμεῖς τοῦτον ὁρῶντες, ἠγανακτεῖτε· καὶ προσιόντα[77] ἀπεφεύγετε. πολλάκις ὑμεῖς τοῦτον ἀπὸ τῆς πράξεως ὠνομάζετε μᾶλλον, ἢ οὗπερ ὁ πατὴρ ὀνόματος ἔθετο. καὶ τὸν μοιχὸν εἰπών τις, τοῦτον ἂν εὐθὺς ἐδήλωσε. καὶ τῆς ἐμαυτοῦ με συμφορᾶς ἀναισθήτως ἔχοντα ᾐτιᾶσθε· οὐκ ὦτα ἐςὶ τούτῳ τῷ ταλαιπώρῳ; οὐκ ὀφθαλμοί; οὐ συγγενεῖς; οὐ φίλοι; οὐκ οἶδεν οὐδέν; οὐκ ἀκήκοεν οὐδέν; πότε διδάξει τὸν πλούσιον, εἰς δικαςήριον εἰσελθὼν, ὡς τῆς ἡδονῆς ταύτης οἱ καρποὶ πικροί; καὶ ἐπειδὴ βραδέως ᾐσθόμην ὡς οὐκ ἔτ' ἔχω τὸ γύναιον, πολλοὶ τῶν γεγαμηκότων ἐδέοντο μου προσιόντες, ὅπως ἐκκόψαιμι τὸν λυμεῶνα τοῦτον, καὶ δοίης, φασὶ, περὶ τῶν γυναικῶν θαῤῥεῖν. ἥκω δὴ τοῦτο δράσων, καὶ βοηθήσων ὑμῖν, οὐκ ἐμαυτῷ γε. τὸ μὲν γὰρ ἐμαυτοῦ[78] ἀνίατον· ὑμέτερον δ' ἂν εἴη κέρδος τῶν οὔπω τοιαῦτα θρηνούντων. κοινὴν μὲν οὖν ἁπάντων δίκαιον εἶναι τὴν σπουδήν· διαφερόντως δ' ἂν οἱ πενόμενοι φροντίζοιεν, ὧν οὗτος μεμαθήκει καταφρονεῖν, καὶ καθ' ὧν χρῆσθαι[79] τῇ μελέτῃ. εἰ γὰρ, ὃ μὴ γένοιτο, ἀποφύγοι, καὶ τοῦτο αὐτῷ δώητε, τίς ἔςαι λαβὼν ἐξουσίαν, ὃς φοβούσης τῆς ψήφου τοιαῦτα ἔδρα; οὐκ ἐμοὶ μόνῳ γύναιον

[76] Saepe vos, si flagitia huius hominis in congressibus iactarentur, iureiurando affirmastis vera esse, quae dicerentur, ad eos, si qui essent, qui dictorum veritatem suspectam haberent.

[77] προσιόντος W, et m. M. sed in W. vulg. superscr. est.

[78] ἐμὸν m. M.

[79] χρῆσθαι potest defendi subaudiendo repetendum a communi μεμαθήκει. (quamquam μεμάθηκε in perfecto malim.) Sed hoc durius est. quapropter videtur aut χρῆται leg. aut εἴωθε χρῆσθαι.

γύναιον ἐστὶν. ὦ δικασταὶ, καλόν· ἀλλ᾽ ἴσως καὶ ὑμῶν τισίν· οὗτος μὲν γὰρ ἀκριβῶς οἶδεν ὅσοις· ἐγὼ δὲ, οἶμαι, τισί. δείσατε τοίνυν ὅσοις ἐστί. μᾶλλον δὲ ἁπλῶς ἅπαντες, οἷς εἰσὶ γυναῖκες, δείσατε. ὡς τοῖς γε ἐπὶ τοῦτο[80] ἐνεχθεῖσιν. ἀκούω τέρψιν αὐτὸ τὸ μοιχεύειν ἔχειν· κἂν μὴ κάλλους ἀπολαύειν ᾖ. εἰ δὲ δὴ καὶ θεῶν τις ὑμῖν ἠγγυᾶτο μὴ προσάψασθαι τοῦτον, ὦ δικασταὶ, πῶν ὑμετέρων οἴκων,[81] οὐκ ἂν εἰκότως ἐμὲ καὶ οὕτως ἠλεεῖτε, ὦ παῖδες εἰσί τε καὶ οὐκ εἰσί; ποτὲ μὲν γὰρ εἶναι δοκοῦσιν ἐμοί. ποτὲ δὲ οὐκ ἐμοί. καὶ κάθημαι βουλευόμενος· ἐκβαλῶ τῆς οἰκίας ὡς οὐκ ἐμοὺς; ἀλλὰ θρέψω, καὶ σπέρμα ἐμαυτοῦ νομίσω; εἰ δὲ καὶ λίαν τοῦθ᾽ οὕτως ἔχει, θῶμεν γὰρ, ὦ δικασταὶ, τίς τῶν ὀνειδῶν αὐτοὺς ῥύσεται; τίς ἀνέξεται μετὰ παῤῥησίας πολιτευομένων; τίς οὐκ ἐπιστομιεῖ; τίς οὐκ ἀφέλξει τοῦ βήματος; τοὺς δὲ οὐδὲ ἐξ ὅτου[82] γεγόνασιν εἰδότας, λέγειν τολμᾶν καὶ δημηγορεῖν; οὐκοῦν ἀνάγκη συγκαλυψαμένους, ἀποτρέχειν. καὶ τί τοὺς παῖδας λέγω; οὐ γὰρ καὶ αὐτὸς ἀπολώλεκα τὴν φωνήν; εἰ γάρ ποτε παρελθὼν εἴπω τι τῇ πόλει μὲν συμφέρον, λυπηρὸν δὲ ἐνίοις, εὐθύς τις ἐπαναστὰς, ἐρεῖ· καλῶς γε ὑμῖν οὗτος φυλάξει τὴν πολιτείαν· καὶ γὰρ καὶ τὴν οἰκίαν τὴν ἑαυτοῦ. τῇ δὲ τῆς γυναικὸς συγγενείᾳ μετέσται χώρας τινὸς βελτίονος; πόθεν; ὁρᾶθ᾽ ὁπόσων ἀτιμίαν[83] εἷς ἀνὴρ κατέχει; διὰ τί γεννᾷς καὶ πλουτεῖς; τίνος ταύτην ἀδικήματος ἐπράξω δίκην; χρυσίον σε ὑφειλόμην;[84] ἀλλ᾽ ἀργύριον; ἀλλ᾽ ἐσθῆτα; ἀλλ᾽ ἐγγὺς τῶν σῶν ἀγρῶν χωρίον πριάμενος, ἀπετεμόμην τῆς γῆς; οὐδὲν τούτων εἴποις ἂν, τῶν γε οὐ πεπραγμένων. διατί οὖν ὃ μόνον ἦν μοι κτῆμα; γυνὴ γὰρ πένητι κτῆμα μόνον. τοῦτο ὑφελόμενος ἔχεις; κάλλους ἐπεθύμεις; εἶτα

ἐν

[80] τοῦτο] scil. τὸ μοιχεύειν. a natura qui ad hoc vitium, corruptelam matronarum, proni feruntur.

[81] οἰκιῶν W.

[82] ἐξ ὅτου] sic W. et m. M. ἐξότου M.

[83] ἀτιμίαν] sic W. ἀτιμίας M.

[84] ἀφειλόμην W. et in. M.

ἐν ταῖς ἑταίραις τοῦτο οὐκ ἐνῆν; ἀλλ' οἶμαι ταύταις μὲν χρώμενος, οὐδένα ἂν ὕβριζες, οὐδὲ ἠδίκεις, οὐδ' ἐποίεις ἄθλιον· ἡδονὴ δὲ ἦν σοι τὸ ταῦτα[85] δύνασθαι· διὰ τοῦτο τὰς μὲν, ὑπερέβης, ἐμοὶ δὲ ἐπέθου. εἶτ' οὐ καταψηφιεῖσθε τούτου, τοῦ τοιαῦτα τρυφῶντος; ἀλλ' ἀνέξεσθε, χορηγίας λέγοντος, καὶ τριηραρχίας, καὶ ὡς ἡμεῖς οἱ ἐνταῦθα πένητες οὐδαμοῦ; ἀλλ' οὐκ ἄξιον, ὦ δικασταὶ, τῶν τοιούτων ἀναλωμάτων τοιούτους ἀπαιτεῖν τοὺς μισθούς. οὔτε γὰρ ἔννομον, οὔτε ἀνεκτόν. ἀρκεῖ γὰρ αὐτοῖς ἂν ταῦτα καλῶς καὶ προθύμως ποιῶσιν, ἐπαινεθῆναι μοιχείας δὲ ἐξουσίαν μηδεὶς ἐν δημοκρατουμένῃ πόλει ζητείτω. εἰ γὰρ οὐδὲ τοῖς ἀριστεύουσι, παρ' ὧν ἡ σωτηρία τῇ πόλει, τοῦτο δώσομεν· πῶς οἱ μικρὰ ἀπὸ πολλῶν εἰσφέροντες, τοῦτο λάβωσιν; ἡμεῖς ἀπὸ χρημάτων μὲν οὐδὲν ὠφελεῖν τὴν ἐνεγκοῦσαν ὁμολογοῦμεν· οὐ γὰρ ἐστὶν ἡμῖν· οὐδὲ ἐποίησεν ἡμᾶς τῶν εὐπόρων ἡ τύχη· ἃ δ' ἀπ' ἀνδρῶν εὔνων τε ὑμῖν καὶ προθύμων γένηται,[86] πάντα πεπλήρωται καὶ οὐκ ἂν ἐλέγξαις ἡμᾶς ἐν ταῖς τοιαύταις φοραῖς κακοὺς, ἢ βραδεῖς. θαυμάζω δὲ εἰ μηδὲ τούτους, οὓς ἤγαγες ὑπὲρ σοῦ δεησομένους, αἰσχύνῃ· οἱ οὐκ ἐλάττω σου περὶ ταῦτα[87] ἀνηλωκότες, ἔχοντες αὐτῶν εἰπεῖν πολλὰς μὲν ἐπιδόσεις, πολλὰς δὲ λειτουργίας ὅμως ἐπίστανται σωφρονεῖν. ἐπεὶ καὶ νῦν ἄκοντές μοι δεῦρ' εἰσεληλυθέναι δοκοῦσι· κατεγνωκότες μὲν τῶν τούτῳ τετολμημένων, καὶ εἰδότες ὡς διὰ τοῦτον τὸ πλουτεῖν διαβέβληται. ταῖς πολλαῖς δὲ ἱκεσίαις αὐτοῦ, καὶ τοῖς δάκρυσιν ἠναγκασμένοι· οἷς πολλὰ ἀγαθὰ γένοιτο, καλῶς τοῖς οὖσι χρωμένοις. ἀλλ' οὐχὶ σὺ τοιοῦτος, ὦ κατὰ πενήτων πλουτῶν· ἀλλ' οἴει δεῖν ἃ τοῖς τυράννοις, ταῦτα ἐξεῖναί σοι,[88] μενόντων ἤδη τῶν νόμων. ἀλλ' οἵδε σε ἀπαλλάξουσιν ἐμοῦ τήμερον· καὶ οὐ γένῃ ἂν δυνατώ-

τερος

[85] ταῦτα] fcil. τὸ ἀδικεῖν, τὸ ἀθλίους ποιεῖν.

[86] γένοιτο m. M.

[87] τούτους W. et m. M. fed in marg. W. vulgata eft.

[88] f. ἐξεῖναι καὶ σοί.

περος τῶν δικαστηρίων ἐν τούτῳ. τεθνεῶτος δέ σου τάχ' ἂν ὑπάρξειε καὶ τῷ νόμῳ τεθῆναι, τῆς σῆς ἀπηλλαγμένῳ δυναστείας.

ΑΛΛΗ ΜΕΛΕΤΗ.

ΘΕΩΡΙΑ.

Φήμη ἦν συνεῖναι τὸν πατέρα τῇ τοῦ παιδὸς γυναικί. ἔθηκεν ὁ πατὴρ νόμον, ἐξεῖναι τοὺς παῖδας ἀκρίτως[1] ἀποκτιννῦναι. τίθησι καὶ ὁ παῖς νόμον ἐξεῖναι τοὺς μοιχοὺς ἀκρίτως ἀποκτιννῦναι.

ΛΟΓΟΣ ΚΑΤΑ ΜΟΙΧΩΝ.[2]

Ἐπειδὴ τῆς τῶν νέων εὐκοσμίας πεφροντικέναι[3] φησὶν ὁ πατὴρ διὰ τοῦ νόμου, δέξασθε καὶ παρ' ἐμοῦ νόμον, μετριωτέρους ὑμῖν[4] δυνάμενον καταστῆσαι τοὺς μοιχούς. δεῖ δὲ ὑμᾶς[5] καὶ τοῦτο νομίσαι τίθεσθαι παρὰ τοῦ πατρός. ὁ γὰρ τά τε ἄλλα με[6] πεπαιδευκὼς, καὶ τὴν γνώμην οὕτω μοι παρασκευάσας, ὥστ' ἤδη καὶ νόμους ὑπὲρ γάμων ἐπιχειρεῖν εἰσφέρειν·[7] πῶς οὐκ ἂν εἰκότως αἴτιος εἶναι δοκοίη τῶν ὑπ' ἐμοῦ τήμερον γιγνομένων; ὃ καὶ θαυμάσαι τις ἂν, εἰ συναγωνίζεσθαι τῷ παιδὶ δέον, καὶ τὸν νόμον ἐπαινεῖν, καὶ συμπράττειν ὅπως ἔσται κύριος·

[1] ἀκρίτας Bav.
[2] ἡ μελέτη Bav.
[3] πεφροντικέναι] sic dedi a φροντίζω. πεφροντηκέναι M. πεφρόντικε B. et in marg. ἀντιληπτικὴ, ὅτι ἔξεστι νόμους γράφειν.
[4] ἡμῖν B.
[5] δεῖ δὲ καὶ ὑμᾶς καὶ B.
[6] ἄλλα με πεπ.] sic B. με deest M.
[7] in marg. B. adscriptum est ἐσχηματισμένον ὅλον τοῦτο τὸ πλάσμα.

ριος· ὁ δ᾽ ὥσπερ ἀδικούμενος, εἰ μὴ κοινωνήσοι μοι[8] τῆς δόξης, ἐναντιωσόμενος ἥκει· καὶ ταῦτα πάντων τῶν ἐμῶν καὶ μικρῶν, καὶ μεγάλων ὁμοίως μετεσχηκώς· πάλαι μὲν οὖν διενοούμην, ὦ ἄνδρες δικασταὶ, τουτονὶ θεῖναι τὸν νόμον, ἀφ᾽ οὗ τὴν γυναῖκα ταύτην, ἣν ἔχομεν, ὁ πατὴρ ἡμῖν εἰς τὴν οἰκίαν εἰσήγαγεν· ὁ δὲ πολλὰ δὴ πολλαχοῦ βλάπτων τοὺς νεωτέρους ὄκνος, πολύν τινά μοι χρόνον ἐν τῷ μέλλειν κατανάλωσεν. ὡς δὲ εἶδον τὸν πατέρα τῷ νόμῳ τοὺς μὲν δικαστὰς, ἀκύρους πεποιηκότα τῶν παίδων, τοῖς γονεῦσι δὲ τὴν ἐκείνων ἐπιτρέποντα σφαγήν· οὕτως ἤδη καὶ αὐτὸς παρεκλήθην εἰς μέσον ἐνεγκεῖν, ἃ πάλαι βουλόμενος ἀνεβαλλόμην· ὃν γὰρ, καὶ μηδενὸς τοιούτου[9] προεισενηνεγμένου νόμου, δικαίως ἂν ὑπὲρ σωφροσύνης ἔθεσθε, τοῦτον ἡγούμην ὑμᾶς[10] ἑτοιμότερον προσήσεσθαι, διδόντα τοῖς γεγαμηκόσι κατὰ τῶν μοιχῶν, ἃ τοῖς γονεῦσι κατὰ τῶν παίδων δεδώκατε. τὰ μὲν οὖν ἄλλα, πιστεύω τὸν νόμον εὖ ἔχειν δόξαι· φοβοῦμαι δὲ ἓν, ὦ ἄνδρες δικασταὶ, μόνον, μὴ τῷ τὸν μὲν γράφοντα νέον τε εἶναι καὶ παῖδα, τὸν δὲ ἀντιλέγοντα πρεσβύτερόν τε καὶ πατέρα, βλάβη γένηται τοῖς ὀρθῶς γεγραμμένοις·[11] ἀλλ᾽ εἰ μὲν μὴ πολλοὺς μὲν ἤδη πρεσβυτέρους ἑωράκειτε[12] τὰ τῶν νέων ἁμαρτάνοντας, πολλοὺς δὲ νεωτέρους πολλῶν ἄμεινον πρεσβυτέρων εὑρηκότας τὸ δέον, καλῶς ἂν ἐποιεῖσθε τὸν χρόνον κριτήν· ἐπειδὴ δὲ αἱ φύσεις ἰσχυρότεραι τοῦ τῶν ἐτῶν ἀριθμοῦ, τί θαυμαστὸν, εἰ καὶ πατὴρ ἐκφέρεται τοῦ προσήκοντος, καὶ παῖς λέγει τι βέλτιον.[13] εἰ μὲν οὖν μὴ τὴν χείρω[14] μοι δόξαν ὁ πατὴρ κατεσκευάκει διὰ τοῦ νόμου, τὸν ἐμὸν

τοῦτο

8 εἰ μὴ κοινωνήσοι μοι] sic B. ἢ μὴ κοινωνήσαι μοι M. malim tamen εἴ μοι κοινωνήσει τῆς δόξης.

9 τοιούτου] sic B. τοσούτου M.

10 ὑμᾶς] sic B. ἡμᾶς M.

11 γραφομένοις B.

12 ἑωράκειτε] sic B. ἑωράκατε M.

13 τι βέλτιον] sic B. τι deest M.

14 τὴν χείρω] sic B. τὴν deest M.

τοῦτο[15] εὐθὺς ἂν ἐπεχείρουν λυσιτελοῦντα δεικνύειν. ἐπεὶ δὲ εἰς ἐμέ τινες ἐβλέπετε, τούτου νομοθετοῦντος, καὶ τοιοῦτος ἐνίους, ὡς εἰκὸς, εἰσήρχετο λογισμὸς, ὅτι οὗτος μέν τοι τὸν παῖδα πονηρὸν εἰς αὐτὸν εὑρηκὼς, αὐτὸς ἐπιθυμεῖ κτεῖναι· καὶ τοῦτο ἐσπούδακεν, οὐ τοῖς ἄλλοις ἐπικουρῆσαι πατράσιν, ἀλλ᾽ αὐτῷ χαρίσασθαι μιαροῦ παιδὸς σφαγήν· φέρε ὑμῖν ἀπολογήσομαι, μάρτυρι τῷ πατρὶ χρώμενος. ἔπεμπές με, ὦ πάτερ, νέον ὄντα κομιδῆ παρὰ τοὺς διδασκάλους; ἐνταῦθα ἔλαβέν τινα αἰτίαν, ὧν οἱ πολλοί; κατῄσχυνά σε τοῖς ἐμαυτοῦ πράγμασιν; οὐ δῆτα μεταταῦτα τῆς μητρὸς ἀποθανούσης· ἧς ζώσης, οὐκ ἄν ποτε τοῦτον ἔθηκας τὸν νόμον, ἐκώλυε γὰρ ἄν· ἠπείχθην πρὸς γάμον; ἐμνήσθην σοι περὶ γυναικὸς, ὡς ἄν τις, ἀφέλκων ἐμαυτὸν τῆς μετὰ σοῦ διαίτης; οὐδὲ τοῦτο. ἀλλ᾽ ὁ μὲν γυναικὸς[16] ἐνάγων με πρὸς γάμον, οὗτος ἦν, ὦ ἄνδρες δικασταὶ, καὶ λέγων, γυναικὸς ἡμῖν, ὦ παῖ, δεῖ, γυναικὸς, ἢ τῶν τε ἔνδον ἐπιμελήσεται, καὶ τὴν ἐπὶ τῇ μητρί σου λύπην καταπαύσει, πληροῦσά μοι[17] τἀκείνης, καὶ καθιστᾶσά πως τὴν οἰκίαν εἰς τὴν προτέραν τάξιν. ἐγὼ δ᾽ ἂν ἐρυθριῶν ἔλεγον, ὅτι ταῦτα ἕξει μὲν οὕτως, ὅπως ἂν αὐτὸς ἐθέλῃς· δεῖ δὲ ἴσως οὐχ οὕτω ταχέως γαμεῖν.[18] οὐδὲ πενθοῦντας ἔτι δεῖπνα παρασκευάζειν, καὶ κρατῆρας ἱστάναι, καὶ δαιτυμόνας συγκαλεῖν, καὶ ὑμέναιον ᾄδειν· ὁ δὲ ληρεῖν με ἔφη· δεῖν γὰρ ἤδη τὴν ἀντ᾽ ἐκείνης ἐσομένην εἰσελθεῖν. εἶξα, ὦ ἄνδρες[19] καὶ συνεχώρησα· καί τοι σαφῶς ἐπιστάμενος, ὅτι τὸ πρᾶγμα τοῦτο, ὁ γάμος, πολλοῖς πολλῶν καὶ μεγάλων αἴτιον κατέστη κακῶν· οἱ μοιχοὶ γὰρ, ὦ πάτερ, καθ᾽ ὧν νῦν ἐγὼ νομοθετῶ, μυρίοι. καὶ οὓς οὐκ ἂν ᾠήθης, ἥψαντο εὐνῆς ἀλλοτρίας. καὶ οἱ φυλάττειν δίκαιοι, πολλάκις αὐτοὶ διέφθειραν·

καὶ

15 τοῦτον B.

16 recte abest γυναικὸς a B.

17 καταπαύσαιμι, πληρωσάτω μοι B.

18 ταχέως γαμεῖν] sic B. ταχέως deest M.

19 ὦ ἄνδρες δικασταὶ B.

καὶ τοῦτο τὸ δέος, ἔτι νέος ὤν, ἐλάμβανον παρὰ τῶν ποιητῶν. καὶ τί ἄν σοι διηγοίμην; οἶσθα γὰρ ἃ λέγουσιν· ἀλλ' ὅμως κινδυνεύειν αὐτὸς ἡγούμην ἐν τῷ τοῦ μέλλοντος ἀδήλῳ μᾶλλον, ἢ τῇ τοῦ πατρὸς ἐπιθυμίᾳ μάχεσθαι. ὡς τοίνυν ἐδέδοκτο γαμεῖν, οὐδ' ἐν τοῖς ἑξῆς ἐστὶν εἰπεῖν, ὡς ἐγώ τι τοῦτον ἐλύπουν. οὐ γὰρ ὁ μὲν ἑτέραν ἐβούλετο λαμβάνειν,[20] ἐγὼ δὲ ἄλλην. οὐδ' εἰς ἔριν ἦλθον αὐτῷ περὶ τούτων· οὐδ' ἐζυγομάχουν· τοσοῦτον δὲ ἠρόμην μόνον. ἐκ σωφρόνων δέ ἐστιν, ὦ πάτερ, καὶ μεμελέτηκε σωφρονεῖν; ᾔδειν γάρ, ὦ ἄνδρες δικασταί, ὅτι τούτου μὲν τοῦ καλοῦ παρόντος, καὶ πενία γυναικός, καὶ δυσειδία, κοῦφον, καὶ ὅ, τι ἂν εἴπῃ τις·[21] ἀπόντος δέ, καὶ πλοῦτος, καὶ ὥρα, καὶ γένος, οὐδὲ μικρὸν εἰς παραμυθίαν μέρος. τί γὰρ ἄν τις ἀγαθὸν ἀντιθείη τοσούτῳ κακῷ; τῷ δ' ἄν τις ἐνέγκαι τηλικαύτην πληγήν.[22] ἢ δεινὸν μὲν ἂν ἦν, εἰ καὶ λανθάνειν ἐδύνατο· νῦν δ' ἅμα τε πράττεται, καὶ θρυλλεῖται. καὶ ὁ πρώτως αἰσθόμενος, ἄλλῳ μηνύει, κἀκεῖνος ἑτέρῳ, καὶ οὗτος ἄλλῳ· καὶ οὕτος ὁ λόγος[23] εἰς ἀγορὰν ἐλθών, ᾄδεται. διὰ ταῦτα, ὦ ἄνδρες δικασταί, τῶν ἄλλων οὐδενὸς μνησθεὶς, ὑπὲρ σωφροσύνης ἐδεόμην μανθάνειν. ὁ δὲ ἄγριον εἰς ἐμὲ βλέψας, ἐγώ φησι τούτων γέγονα δοκιμαστής·[24] ἐγὼ τὴν κόρην οἶδα. θάρρει περὶ τῆς ἀρεσκούσης ἐμοί· ταῦτα ἀκούσας, ἡσύχαζον, καὶ ἄφωνος ἦν· καὶ ᾤμην δεῖν τῇ τούτου γνώμῃ γαμεῖν. ἐλάβομεν τὴν νύμφην, ἠγάγομεν,[25] εἴχομεν· ἆρ' οὖν τι μετὰ ταῦτα ἠδίκουν; εἰπάτω. καὶ οὐ τῶν ἐμαυτοῦ γε μόνον, ἀλλὰ καὶ τῶν τῆς γυναικὸς πρὸς αὐτὸν ἔργων ἕτοιμος ἐγὼ ποιεῖσθαι τὴν ἐξέτασιν. οὐχ ὁμοίως ἀμφοῖν ἐπεμελήθη; οὐχ ὥσπερ τῶν ἐμῶν, οὕτω καὶ τῶν σῶν ἐφρόντιζε, τροφῆς, ἐσθῆτος, εὐνῆς; οὐ λύπης, οὐχ ἡδονῆς ἐκοινώνησέ σοι, καθ-

20 γαμῶν B.

21 εἴποι τις B.

22 malim τί δ' ἀντεισενέγκαι τηλικαύτῃ πληγῇ.

23 malim καὶ οὕτως ὁ λόγος in aduerbio.

24 δοκιμαστὴς] sic B. δικαστὴς M.

25 ἤγομεν B.

καθάπερ ἡ μήτηρ πρότερον; οὐκ εἰσιόντα ἔξωθεν προσιοῦσα[26] ἐθεράπευεν;[27] οὐκ ἐξιόντα προὔπεμπεν[28] εὐχομένη ταχέως ἐπανελθεῖν; οὐκ ἄδηλόν σοι κατέστησε τῆς ἐμῆς μητέρος τὴν τελευτὴν, πάντα ποιοῦσα τἀκείνης; καὶ τούτων, ὦ πάτερ, γιγνομένων, ἔστιν ὅτε ἐμεμψάμην, ἢ κατεβόησα τῆς γυναικὸς, ὡς ἂν οὐ τἀμὰ προτιμώσης, ἀλλὰ μεριζομένης ἀκριβῶς εἰς ἐμέ τε καὶ σέ; ἀλλ' ἐάν τις μου καταμαρτυρήσῃ παρελθὼν, ἢ δοῦλος ἢ ἐλεύθερος γράψον, εἴπερ οἷός τε, τούτου χαλεπώτερον κατὰ τῶν παίδων νόμον. οὕτως οὖν ὑποπεπτωκότος ἐμοῦ τοῖς σοῖς βουλεύμασι, καὶ οὐδενὸς ἐμαυτὸν ποιοῦντος κύριον· ἀλλὰ σοὶ πάντων ἁπλῶς παρακεχωρηκότος, τίς αἰτία τοῦ καλοῦ τούτου νόμου; τί τούτοις δίδως ὑποπτεύειν, ὡς ἔστι τις ἡμῖν ἐπὶ τῆς οἰκίας πόλεμος, δεόμενος ὀξείας σφαγῆς, ἣν δεῖ πεπράχθαι. πρὶν τινα εἰδέναι διότι· ἀλλ' εἰ καὶ μὴ[29] τὸν νομον τιθεὶς, νῦν γε ἡνίκα τέθεικας, ἔλεγξον τὴν ἐμὴν κακίαν, καὶ τὰς αἰτίας ὅρισον· καὶ μὴ δίδου τοῖς περιεστηκόσιν, ἄλλα ἄλλοις νομίζειν· ἢ οὐκ οἴει τούτων πολλοὺς, τοὺς μὲν πρὸς ἑαυτὸν ἕκαστον, τοὺς δὲ πρὸς ἀλλήλους πολλὰ τοιαῦτα λέγειν, ἃ οὐκ ἄν ποτε ἐγὼ φθεγξαίμην. ἃ γὰρ οὐδ' ἀκοῦσαι φορητόν; πῶς ἂν ταῦτα εἰπεῖν ὑπομείναιμι; πλὴν τοσοῦτον ἐρῶ, ὅτι τούτων οἱ μὲν ἀδικεῖν ἐμὲ νομίζουσι· καὶ πρὸς τοῦτον σὲ τὸν νόμον ἁμαρτάνοντα ἡκέναι·[30] ἕτεροι δέ γε ἴσως ἀδικεῖσθαί με φασι καὶ δυστυχεῖν· καὶ διὰ τοῦτο μισεῖσθαι. παρελάμεθα τῶν πολλῶν τὰς ὑπονοίας, εἰπόντος σοῦ[31] τὰ τοῦ παιδὸς πονηρεύματα. ἀλλ' οὐκ ἐθέλεις, οὐκοῦν ἱκανή μοι τοῦτο ἀπολογία, καὶ διὰ τοῦτό γε, ἤδη τοῦ νόμου κειμένου, τούτοις πρὸς ὑμᾶς ἐχρησάμην, ὦ ἄνδρες δικασταὶ, τοῖς λόγοις, ὅπως κἀκ τούτου μάθητέ μου τὴν ἐπιείκειαν, καὶ

ὡς

[26] προσιοῦσα] sic B. προϊοῦσα M.

[27] ἐθεράπευσεν B.

[28] προὔπεμψεν B.

[29] ἀλλ' εἰ καὶ μὴ] sic B. (subaudi ἤλεγξας τὴν κακίαν) ἀλλ' εἰ μὴ καὶ M.

[30] videtur leg. καὶ πρὸς τοῦτό σε βλέποντα τὸν νόμον, ὀργῇ ἁμαρτάνοντα, τεθεικέναι.

[31] εἰπόντος σοῦ] sic B. εἰπόντες M. et omittit σοῦ.

ὡς οὐδαμοῦ ταῖς ὁρμαῖς ἠναντίωμαι τοῦ πατρός· ὃς γὰρ οὐδ᾽ ἐν τηλικούτοις βιωσόμενος φόβοις ἐτόλμησα ῥῆξαι φωνὴν, τί τῶν ἄλλων οὐκ ἐνήνοχα σιγῇ. τούτου τοίνυν ἀκούων ἀναγινώσκοντος νόμον κρίσεως ἀποστεροῦντα τοὺς παῖδας, καὶ φάσκοντα[32] οὐκ ἄλλως εὖ οἰκήσεσθαι τὴν πόλιν, καὶ ὑμᾶς ἀναχομένους ὁρῶν· ἥκειν ἡγησάμην καὶ ἐμαυτῷ[33] καιρὸν, θεῖναι νόμον, ὃν τὸ πάλαι θεῖναι βουλόμενος, ὅπερ ἀρχόμενος ἔφην, οὐκ οἶδ᾽ ὅπως ἐκ ἐθάῤῥησα. καὶ σκοπεῖτε, πρὸς Διὸς, εἰ μὴ καλὸς καὶ πρέπων τῇ πόλει, καὶ τοῖς ἄλλοις τοῖς περὶ τὸν γάμον[34] ὁμολογῶν· τῷ καταλαβόντι φησι,[35] μοιχὸν ἐπὶ τῇ γυναικὶ, κτείνειν εὐθὺς ἐξεῖναι τὸν ὑβρίζοντα. ἀλλ᾽ ὁ πατὴρ ἀγανακτεῖ, καὶ ἀντερῶν ἥκει. διὰ τί, πάτερ,[36] οὐ μέτεστί μοι τοῦ νομοθετεῖν;[37] ἄτιμος ἐν τῇ πόλει περιέρχομαι; καὶ δέον με κύπτειν[38] εἰς γῆν, ἐγὼ δὲ τῶν μεγίστων ἐμαυτὸν ἀξιῶ, καὶ νόμους γράφω; εἰ μὲν οὖν ἄλλος με τῆς παῤῥησίας ἐκβέβληκεν, οὐκ οἶδα· τοῖς δὲ[39] τῆς πολιτείας νόμοις, οὔπω τοῦτο πέπονθα. οὐκοῦν νομοθετῶ μὲν, ἐξόν μοι τοῦτο ποιεῖν· γράφω δὲ ὑπὲρ τῶν ἐμαυτῷ προσηκόντων· καὶ οὐκ ἂν με φαίη τις πρᾶγμα ἀλλότριον ἁρπάζειν· οἷον εἰ περὶ νεῶν,[40] ἢ ἵππων,[41] ἢ ὁπλιτῶν, ἢ φόρων, ἢ τείχους,[42] ἢ μετοίκων, ἢ τελωνῶν[43] νόμους ἐτίθην, εἰκότως ἂν ἐδόκουν τὰ τῶν στρατηγῶν, καὶ ῥητόρων καὶ ὅλως τῶν πρεσβυτέρων ὡς ἐμαυτὸν ἕλκειν· κατὰ δὲ τῶν μοιχῶν, ἡμῖν πρέπει τοῖς νεωτέροις γράφειν· καὶ θαυμαστὸν οὐδέν. νέαις γὰρ, ὦ πάτερ, συνοικοῦμεν. ἂν δὲ δὴ καὶ διαφερούσαις ἑτέρων τὴν ὄψιν, οἵαπερ ἡμῖν ἐστὶν ἡ γυνή· καὶ γὰρ τοῦτο ὁ πατὴρ ἐσκέψατο· ὅπως τοὺς ὀφθαλ-

μοὺς

32 φάσκοντος B. et m. M.
33 ἐπ᾽ αὐτῷ B.
34 τῶν γάμων m. M.
35 καταλαβόντι φησὶ,] sic B. καταλαβὼν τὶς, φησι, M.
36 ὦ πάτερ B.
37 τοῦ νομοθ.] sic B. τὸ νομοθ. M.
38 καὶ δέομαι κύπτ. P.
39 τοῖς δὲ] sic B. τῆς δὲ M.
40 νεῶν] sic B. de nauibus. νέων M.
41 ἱππέων B.
42 ἢ τείχους] num ἢ ἀτελείας?
43 τελῶν B.

μοὺς εὐφραίνῃ τῷ συνοικοῦντι τὸ σῶμα τῆς γυναικός. ὁ δὴ τὴν τοιαύτην ἔχων, πρᾶγμα[44] εἰκὸς πέπονθε, φυλακὴν ἅπασαν τῷ κάλλει περιτιθείς. οὕτως οὐκ ἐξὸν μόνον, ἀλλὰ καὶ περὶ τῶν μάλιστά μοι προσηκόντων τίθημι νόμον. καὶ ὅστις οἶδεν ἀκριβῶς τὰ ἡμέτερα, πολλοὺς δὲ οἶμαι,[45] καὶ τὴν σπουδὴν οὗτος ἐπαινεῖ τὴν ἐμήν. πρῶτον τοίνυν ὡς σαφὴς καὶ δικαίως ἔχων ὁ νόμος, ὁρᾶτε. μὴ κρινέτω, φησι, μοιχὸν ὁ λαβών· ἀλλ' αὐτὸς σφαττέτω. τί τοῦδε σαφέστερον; καὶ μὴν ἐν τῷ μοιχὸν εἰπεῖν, πάντα ἁπλῶς περιλαμβάνει μοιχόν, κἂν νέος ᾖ, κἂν μὴ νέος· κἂν ἄγνωστος, κἂν γνώριμος, κἂν συνήθης, κἂν μή, κἂν τῶν ἔξωθεν, κἂν τῶν ἔνδοθεν·[46] ὅλως οὐδὲν ὑπεξείλετο, οὐ γένος, οὐ τύχην, οὐχ ἡλικίαν. τί τοῦδε δικαιότερον;[47] ἀλλὰ μὴν ὡς συμφέρων ὁ νόμος, παντί που δῆλον. ἐγὼ γὰρ οἶδ' ὅτι σώζουσι μὲν τὰς πόλεις αἱ στρατεῖαι·[48] ποιεῖ δὲ τοὺς ἐξιόντας εὐψύχους, τὸ μέγιστον τῶν ἄθλων, γνήσιοι παῖδες· ἂν δέ μοι[49] τούτων τὰς γονὰς ὑπόπτους ποιῇ τις, ὦ πάτερ, φαῦλον ποιεῖ ὁπλίτην τὸν ὑπὲρ τοιούτων μαχόμενον. οὐκοῦν ὁ συνέχων τὴν σωφροσύνην νόμος, οὗτος φρουρεῖ τὴν πόλιν. θαυμάζω δὲ καὶ τίνος[50] ποτε εὐπορηκὼς ὁ πατὴρ λόγου, κωλύσων ἥκει τὸν νόμον· τὸ μὲν γὰρ ἰσχυρὸν ἐκεῖνο, τὸ μηδένα δεῖν ἄκριτον ἐν δημοκρατίᾳ θνήσκειν, ἀπολώλεκε. πῶς; οὐδεὶς τῶν παλαιῶν νόμων πατέρα κύριον πεποίηκε τῆς τῶν παίδων ψυχῆς· ἀλλὰ τύπτειν μὲν, καὶ τραπέζης ἀπελαύνειν, καὶ μὴ διαλέγεσθαι, καὶ ῥήμασι[51] χαλεποῖς ἀνιᾶν, καὶ τὰ τοιαῦτα, δέδοται τῷ πατρί. καὶ οὐδὲν ἐπὶ ταῦτα δεῖ δικαστῶν, οὐδὲ ψήφων. ἀποκτεῖναι δὲ, καὶ διαχρήσασθαι, καὶ κατακόψαι νέον, μὴ δεξάμενον

[44] πραγματείαν B.

[45] οἴομαι B. f. πολλοὺς δ' οἴομαι εἰδέναι.

[46] post ἔνδοθεν deleui καὶ quod abest a B.

[47] δικαιότερον] δεῖ καὶ ἕτερον B.

[48] στρατεῖαι] sic B. στρατηγίαι M.

[49] δέ καὶ μοι B.

[50] καὶ τίνος] sic B. καὶ deest M.

[51] καὶ ῥήμασι] sic B. καὶ omittit M.

μενον αἰτίαν ἐν μέσῳ, μὴ τυχόντα δικαστῶν, μὴ μεταλαβόντα λόγου, δεινὸν ἐδόκει, καὶ ἀσεβὲς, καὶ πόῤῥω δημοκρατίας. καὶ τί λέγω σφαγήν; οὐδ᾽ ἀποκήρυξιν ἀκρίτως[52] ὁ παῖς ἐκ τῶν παλαιῶν ὑποστήσεται νόμων. ὁ δ᾽ οὐδὲ τῆς οὐσίας τῆς τοῦ πατρὸς ἄνευ κρίσεως στερηθεὶς ἂν, ἀποθανεῖται, τὴν αἰτίαν ἀγνοῶν τοῦ θανάτου; τί δὲ καὶ φεύγει δικαστήριον ὁ πατὴρ, εἴποι τις ἄν. τὸ γὰρ ἔγκλημα τοῦ δόντος δήπουθεν, οὐ τοῦ ληψομένου τὴν δίκην· λέγει φησί τινα αἰτίαν. ἔλεγξον. ὅρα διδόντα δίκην.[53] ἀλλ᾽ οὐδὲν λέγεις τηλικοῦτον; παῦσαι θυμούμενος.[54] ὀργῇ δὲ ζεούσῃ πατέρων, οὐκ ἐξέδωκαν οἱ νόμοι τὴν νεότητα τὴν πόλεως εἰδότες, ὅτι κρατεῖ πολλάκις ὀργὴ λογισμῶν. ἀλλ᾽ αἰσχρὸν διηγεῖσθαι παίδων ἁμαρτήματα πατράσι; σφαγὴ δὲ καλοῦ τινος γίνεται τεκμήριον; καὶ μὴν[55] ἐν μὲν τῷ δικαστηρίῳ τοῦτο δόξας ἀδικεῖν, ὅπερ ἠδίκηκε μόνον ὁ παῖς, ἀποθανεῖται·[56] κρίσεως δὲ μὴ γεγενημένης, οὐδὲν ὅ, τι οὐκ ἠδικηκέναι δόξει· τοῖς γὰρ τὴν οὖσαν οὐκ εἰδόσιν αἰτίαν, πᾶν εἰκάζειν ἀνάγκη· καὶ οὕτως ἀθλιώτερος πατὴρ ὁ κτείνας τοῦ κρίναντος. διὰ μὲν δὴ ταῦτα, οἱ παλαιοὶ νόμοι κρίσιν ἐποίησαν· καὶ οὐκ ἀπεστέρησαν[57] αὐτοὺς, ὧν τοῖς οἰκέταις μετέδωκαν· οὐδένα γοῦν οἰκέτην ἄκριτον, ὦ πάτερ, ἀποκτενεῖς. ἀλλ᾽ ὅμως ἐκεῖνα τὰ ἀρχαῖα καὶ μακρῷ βεβαιωθέντα χρόνῳ, πάντα ὕθλον[58] ἀπέφηνας· καὶ πεποίηκας τῶν παίδων τοὺς πατέρας σφαγέας. οὐδεὶς ἐναντιοῦταί σου τῷ νόμῳ· κρατείτω μετὰ τῶν ἄλλων φονικῶν·[59] ἢ εἰ βούλει γε καὶ πρὸ ἐκείνων ἐπαινείσθω· τοῦτ᾽ αὐτὸ μέν τοι πεποίηκεν ὁδὸν τῷ κατὰ τῶν μοιχῶν νόμῳ· καὶ τοσούτῳ ῥᾷον ἐμοὶ τοῦτον, ἢ σοὶ θεῖναι τὸν πρότερον ἐκεῖνον, ὅσῳ πρὸς παράδειγμα

μὲν

52 ἄκριτος B.

53 λέγει, φησί (nisi potius λέγε in imperatiuo leg. est) τινα αἰτίαν. ἔλεγξον. ὅρα διδόντα δίκην.] sic B. haec verba desunt M.

54 f. παῦσαι ἂν θυμ.

55 μὴ B.

56 ἀποφανεῖται B.

57 ἀπεστέρησαν αὐτοὺς. ὧν ἅπερ ἄκριτον ἀποκτάνεις caeteris omissis B.

58 in marg. B. ἆθλον.

59 τῶν φονικῶν B.

μὲν ἐγὼ βλέπων, γράφω· σὺ δὲ καινότατα πάντων ἠξίους. παίδων οὖν ἀκρίτων ἀποθανουμένων, μοιχῷ τὸ ἴσον οὐκ ἐπικείσεται; τί γὰρ κωλύει, φησὶ, τὸν εἰλημμένον κρίνειν; ἐγώ σοι πρὸς τοῦτο ἀποκρινοῦμαι, πάτερ· πρῶτον μὲν[60] βαρὺ τῷ πάσχοντι, τοσοῦτον κακὸν ὁρῶντι[61] ἀνέχεσθαι, καὶ κατέχειν δεξιὰν ὑπὸ τῆς ἐν ὀφθαλμοῖς ὕβρεως ἐπειγομένην[62] πρὸς φόνον· ἔπειτα, πολλάκις ἔργα λόγων ἐν δικαστηρίοις ἡττήθη· καὶ ὁ μὲν μοιχὸς ἔδοξε σωφρονεῖν, ὁ δὲ ἠδικημένος, συκοφαντεῖν. πολλὰ γάρ ἐστι τὰ τοῖς κρινομένοις βοηθοῦντα πολλάκις; ἐμπειρία πραγμάτων, δόξα τοῦ φεύγοντος, πλῆθος συνηγόρων· ἤδη δέ τινα καὶ πολιὰ καὶ χρόνος ἐῤῥύσατο· καὶ ὃν ἰδὼν οὐκ ἂν εἴποις τὰ τοιαῦτα ἁμαρτάνειν. οὗτος μοιχεύει, καὶ ταύτην ἣν οὐκ ἂν ὑπολάβῃς. πολλὰ μὲν γὰρ τῶν ἀδικημάτων ἀκοῦσαι μέν ἐστιν ἀπίθανα, πράττεται δέ. καὶ εἰ μὲν καὶ νῦν[63] γίγνεταί τι τοιοῦτον, ἔξεστι ζητεῖν. αἱ γοῦν τραγῳδίαι, γέμουσι παραδόξων κακῶν· ἃ δ' οὐ χρὴ[64] νομίζειν ἐπ' ἐκείνων ἑστάναι τῶν χρόνων· τῆς γὰρ αὐτῆς οὔσης φύσεως, εἰκός τι καὶ νῦν τὰ[65] αὐτὰ τολμᾶσθαι· δικαστηρίου δεῖ τῷ μοιχῷ;[66] τί οὖν, ἂν νεώτερος ὁ γραφόμενος ᾖ; τί δ' ἂν ἐν πατρὸς ὁ μεμοιχευκὼς ἡλικίᾳ; οὐκ οἴει τοὺς μὲν ἐπιτιμήσειν, τοὺς δὲ ἀπιστήσειν, τοὺς δὲ ἀφεῖναι κελεύσειν;[67] τί δ' ἂν οἱ μέλλοντες μαρτυρεῖν τὸν μοιχὸν ποιῶνται[68] πρὸ τοῦ παθόντος κακῶς; οὐκ ἀνάγκη τῇ περὶ τὴν γυναῖκα συμφορᾷ καὶ ζημίαν προσεῖναι συκοφαντίας; ἔασον δή με, πρὸς Διός, ὦ πάτερ, θεῖναι τὸν νόμον, καὶ παῦσαι λυπῶν· ὡς νῦν μὲν

60 τὸ μὲν B.

61 ὁρῶντα B.

62 ἐπειγομένην] sic recte B. redit enim ad δεξιάν. M. dat ἐπειγομένων.

63 μὲν καὶ νῦν] sic B. καὶ deest M.

64 ἃ δ' οὐ χρὴ] sic dedi. cohaerent enim cum δικαστηρίου paulo post. ἃ δ' οὖν χρὴ B. ἃ οὐ χρὴ M.

65 καὶ νῦν τὰ] sic B. νῦν deest M.

66 δικαστήρια τῶν μοιχῶν B.

67 κελεύσειν] sic B. κελεύειν M.

68 ποιῶνται] sic B. ποιοῦνται M.

μὲν με ἀνιᾶς· κυρωθέντος δὲ οὐκέτι. ἀλλὰ μέμφῃ γράφοντα; σὺ τούτων αἴτιός μοι γεγένησαι διὰ τῆς γυναικός. εἰ γὰρ μὴ ταύτην πρός με ἐθαύμασας, μηδὲ ὥραν ἐπῄνεσας, μηδὲ γαμεῖν ἠνάγκασας, ἀφείμην ἂν τῶν νυνὶ τούτων φροντίδων καὶ φόβων· νῦν δὲ γάμος καὶ δέος νομοθέτην με πεποίηκεν. ἢ πόθεν οἴει τὰς πολλὰς ταυτασὶ τολμᾶσθαι μοιχείας; οὐκ ἀπὸ τοῦ τοῖς μοιχοῖς ἐκ τῶν κρίσεων διαδύσεις[69] ὑπάρχειν; δεῖ δέ ποτε[70] τοῦτο τὸ κακὸν ὡς ἐλάχιστον γεγενῆσθαι· δεῖ δὲ τοῦδε τοῦ νόμου, βοηθήσοντος μὲν τοῖς γεγαμηκόσιν, ἐπισχήσοντος δὲ τὴν ἀφόρητον ταύτην ὕβριν. κερδανοῦμεν δέ τι καὶ ἕτερον, ὦ ἄνδρες δικασταί, μέγιστον, οἱ τὴν πόλιν οἰκοῦντες. ἢν γὰρ ἀκριβεστέραν γένηται περὶ τὰς γυναῖκας ἡ πρόνοια, καὶ τοῖς ἡδέως κακῶς λέγουσι τουτοισὶ κλείσομεν τὰ στόματα. ὡς νῦν γε ἐμπιπλᾶσι τὴν ἀγορὰν τοιούτων[71] λόγων, ὁ δεῖνα τὴν τοῦ δεῖνος. κἂν ἀπιστῇ τις, ὅρκος εὐθέως. ὁ δὲ ἀκούσας, ἀντὶ τοῦτον[72] εἰπόντα ἐπιχεῖν, ἑτέρῳ γίγνεται διδάσκαλος. καὶ προϊὸν, εἰς φήμην τὸ πρᾶγμα καθίσταται. εἶθ' οἱ ποιηταὶ μεῖζω τούτων καταβλάπτουσιν ἡμᾶς, θεὸν τὴν φήμην πεποιηκότες, καὶ μαρτυροῦντες τοῖς κακῶς ἀγορεύουσιν. οὓς παύσομεν, ὦ πάτερ, διὰ τοῦ νόμου. οὐ γὰρ ἔτι πιστὰ δόξουσι λέγειν, ἐφεστηκότων τοῖς μοιχοῖς τῶν ὑβριζομένων μετὰ ξίφους.[73] βοηθείτω τοίνυν ὁ νόμος τῇ πόλει πάντως καὶ ἡμεῖς αὐτοῦ τὸ μέρος ἀπολαυσόμεθα. ἀλλὰ πολλοί φησι τοὺς ἐχθροὺς δι' ἀπάτης ὡς αὐτοὺς εἰσαγαγόντες, ἀποκτενοῦσιν[74] ὡς μοιχοὺς ψευσάμενοι· καὶ τίς οὕτως ἀνόητος ἢ κακοδαίμων, ὦ πάτερ, ὥστ' ἧς λαμβάνει μείζω δοῦναι δίκην ἂν ἐθελήσαι; ἢ νομίζεις ἴσην εἶναι ζημίαν ἀποθανεῖν,

69 διαδύσεις] sic B. διαλύσεις M.

70 δεῖ δέ ποτε] sic B. δεῖ δήποτε M.

71 τούτων τῶν B.

72 ἀντὶ τοῦ τὸν] sic B. τοῦ deest M.

73 τοῦ ξίφους B.

74 τενοῦσιν B.

θανεῖν, καὶ περὶ τὴν γυναῖκα ὑβρίσθαι; οὐκ οἶσθ' ὅτι τῷ μὲν μετὰ τὴν πληγὴν οὐδενὸς αἴσθησις, τὸν δ' ἐν αἰσχύνῃ ζῆν ἀνάγκη; τί φῄς; ἀποθανεῖταί τις ὡς μοιχὸς σωφρονῶν; καὶ πῶς ὁ κτείνας βιώσεται, αὐτὰ[75] πεπονθέναι δοκῶν; ἐμοὶ γὰρ, ὦ πάτερ, τοῦτ'[76] εἶναι δοκεῖ πάντων ἀφορητότατον. σὺ δὲ οὐχ φρονεῖς·[77] οὐδὲν τοσοῦτον,[78] οὐ δήμευσις τῶν ὄντων· οὐ πήρωσις σώματος, οὐ θάνατοι τέκνων· οὐ φυγὴ καὶ πλάνη κατὰ τὴν ξένην· οὐ δήμιος· οὐ κώνειον· οὐ τὸ ἄταφον ἐῤῥίφθαι·[79] διὰ τοῦτο μάλιστα τὰς τυραννίδας μισῶ, ὅτι μεγίστην τέρψιν ἡγοῦνται τὰς τοιαύτας ὕβρεις· τοῦτο καὶ πραττόμενον,[80] καὶ δοκοῦν ἐσχάτη συμφορὰ,[81] δεξαίμην ἂν μᾶλλον, ἢ μοιχείας δόξαν οὐκ οὔσης, κατασκεδάσαι τῆς οἰκίας. θάῤῥει δὴ[82] περὶ τῶν σωφρονούντων, ὦ πάτερ· τῶν δὲ οὐχ οὕτως ἐχόντων, μὴ πάνυ κηδώμεθα· μηδὲ πλάττωμεν[83] φόβους, ἵνα μή τινα[84] ἀναγκάσωμεν εἰπεῖν. σὺ δὲ τὸν μὲν οὐ μοιχὸν δι' ἔχθραν ἀποθανεῖσθαι νομίζεις· παῖδα δὲ βέλτιστον ὡς πονηρὸν οὐκ ἀποθανεῖσθαι νομίζεις κακίᾳ πατρός; τί δ' ἂν λελυπηκὼς ὁ πατὴρ ᾖ τὸν παῖδα· καὶ δι' αὐτό γε τοῦτο μισεῖ τὸν υἱόν; ὅτι οἶδεν ἠδικημένον· δώσομεν αὐτῷ τὴν ἐξουσίαν τοῦ φόνου; οὐχ ὁρᾶτε καὶ νῦν[85] τινὰς πρὸς τοὺς ἑαυτῶν, χαλεπούς; τίνας

δὴ

[75] αὐτὰ] id est ὑβρίσθαι περὶ τὴν γυναῖκα.

[76] τοῦτο] scil. τὸ δοκεῖν ὑβρίσθαι εἰς τὴν γυναῖκα.

[77] σωφρονεῖς B.

[78] post οὐδὲν τοιοῦτον videtur deesse παρὰ σοὶ κέκριται vel simile quid. scil. ἐπὶ τῇ μοιχείᾳ. tu moechum nulla dignum censes eiusmodi poena, quales hae sunt, confiscatio bonorum —

[79] post ἐῤῥίφθαι deesse videtur ἐγὼ δέ.

[80] recte B. verba sic ordinat: τοῦτο (scil. τὸ ὑβρίσθαι εἰς τὰς γυναῖκας καὶ) πραττόμενον, καὶ δοκοῦν (subaudi μόνον, ἐστί.)

[81] ἐσχάτην συμφορὰν B. fort. μεγίστην ἡγοῦμαι συμφοράν. deinde deest ἀποθανεῖν vel simile quid: hoc dedecus siue reapse oblatum est, siue solummodo putatur, extrema est calamitas. Mori malim, quam —

[82] δὴ] δὲ B.

[83] τῶν δὲ πλάττομεν B.

[84] post τινα videtur ὄντα deesse.

[85] καὶ νῦν] scil. οὔπω δοθείσης αὐτοῖς ταύτης τῆς τοῦ φονεύειν ἀδείας.

δὴ τῆς ἀδείας δοθείσης, νομίζομεν ἔσεσθαι; μὴ γὰρ ἱκανὸν οἴεσθε, ὦ ἄνδρες δικασταί, δεσμὸν εἶναι τὴν φύσιν; ἀλλὰ κρατεῖ μὲν ὡς τὰ πολλά· ὅταν δὲ τὰ νοσήματα τῆς ψυχῆς ἐῤῥωμενέστερα γένηται, διακόπτεται καὶ ὁ πατὴρ, ἄλλό τι[86] φαίνεται, τοῦ τῆς ψυχῆς ἀναγκάζοντος πάθους. εἰ δέ σοι βούλει πεπηγέναι τὸν νόμον, ὃν τέθεικας, εἶκε καὶ τῷδε· ὡς φιλονεικῶν γε, κἀκεῖνον κινεῖς· κατέγνωκας γὰρ τῆς γυναικός τινα ἀκρασίαν; σὺ δὲ, ὦ πάτερ, κατέγνωκας τοῦ παιδός τινα μοχθηρίαν; ἀλλ' ὅμως τὸ μέλλον ὑφορώμενος, νομοθετεῖς· ἀνεπίφθονον δὴ[87] κἀμὲ τὸ μέλλον ἀξιῶσαι μείζονός τε καὶ ἀπονωτέρας φροντίδος· ἐπεὶ νῦν γε ἡ γυνὴ, μάλα ἐπίπονον τοῖς φυλάττουσιν ἔχει[88] τιμᾷ γὰρ αὐτὴ[89] νῦν μὲν ἐμὲ νῦν δὲ τοῦτον. οὐ γὰρ ὁμοῦ τὰς ἐξόδους. ὦ ἄνδρες δικασταὶ, ποιούμεθα. ἀλλὰ σοφόν τι τοῦτο πρὸς τὴν γυναῖκα εὕρηκεν ὁ πατήρ· ἀγοράζει μὲν αὐτὸς οἴκοι μένοντος ἐμοῦ· διατρίβει δὲ οἴκοι, περιπατοῦντος ἐπ' ἀγορᾶς ἐμοῦ· ὡς ἢ ἐμοὶ σύνεστι τὸ γύναιον ἢ τούτῳ. κἂν ὁ γεγαμηκὼς ἀπῇ, τὸν κηδεστὴν ἀντὶ τοῦ γεγαμηκότος ἔχει φύλακα. ἀλλὰ καὶ κατ' αὐτὸ μέν τοι τοῦτο προσήκει τόνδε κυρωθῆναι τὸν νόμον, ἵνα παύσηταί ποτε τῇ γυναικὶ παρακαθήμενος ὁ πατὴρ, καὶ μεριμνῶν καὶ πονῶν, καὶ τῶν κοινῶν ἀμελῶν. εὐθὺς γὰρ αὐτὸν ἀποστήσει τῆς γυναικὸς οὗτος ὁ νόμος, ἱκανὸς[90] φύλαξ σωφροσύνης καθιστάμενος. ὡς ἔδει γε, ὦ ἄνδρες δικασταὶ, ζῆν ἡμῖν ἔτι τὴν μητέρα· καὶ οὐδὲν ἂν τῶν νῦν τούτων ἐπράττετο· τί γὰρ ἂν ἔδει μοι νόμου,[91] τῶν ἐκείνης ὀφθαλμῶν εἰς φρουρὰν ἀποχρώντων; νῦν δὲ ἐπειδὴ τέθνηκεν, εἰς τοῦτο ἥκω, καὶ νομοθετῶ καὶ λύω τῷ τε πατρὶ καὶ ἐμαυτῷ τὰ παρόντα πράγματα. ἴθι δὴ, ὦ πάτερ,

86 ἄλλο τι] id est οὐ πατήρ.
87 δὲ B.
88 ἔχει] scil. τὴν φροντίδα.
89 τιμᾷ γὰρ αὐτή·] sic dedi e lect. B. τιμᾷθ' αὐτή. M. dat τίνα ταύτην.
90 ἱκανὸς] sic B. ἱκανῶς M.
91 νόμων B.

σερ, ἀπαλλαγεὶς τῶν ἔνδον· δὸς[92] σαυτὸν ὅλον τοῖς κοινοῖς· καὶ τὴν γυναῖκα τῷ νόμῳ· συνεχῆ ποιοῦ τὴν πολιτείαν· καὶ νόμισον ἄλλος γεγονέναι τήμερον· προσέρχου τῷ δήμῳ· λέγε γνώμην[93] ἐν τῇ βουλῇ· πρέσβευε·[94] στρατήγει· ποίησαί τινα[95] καλὴν ἀποδημίαν. μέλλει[96] μέν σοι τῆς ἐμῆς γυναικός; οἶδα· καὶ οἵδε πάντες τοῦτο ἴσασι καλῶς, ὡς πολὺ τῶν ἄλλων κηδεστῶν ἐν τοῖς πρὸς ἐκείνην διήνεγκας· ἀλλ' ἱκανὴν ἐκεῖθεν δόξαν ἐσχηκώς, κτῆσαι τὴν ἀπὸ τῶν μειζόνων· ἄλλως θ' ὅτε καὶ παῖδα παρέχου[97] τῇ πόλει νόμους δυνάμενον γράφειν. ἐγώ σοι συλλήψομαι τῶν πολιτευμάτων, οὐδὲ μικρὸν χαριζόμενος,[98] συνεξιὼν οἴκοθεν· συνεισιὼν οἴκαδε· μονονοὺ[99] συμπεφυκώς·[100] δουλεύων ταύτην τὴν ἡδίστην δουλείαν, ἂν ἄρα ἀναμάρτητος εἶναί σοι δόξω. καὶ μὴ πρῶτος πατέρων κατ' ἐμοῦ χρήσῃ τῷ νόμῳ. καὶ δῆτα ἀναστὰς λέγε τούτων ἐναντίον, τί ποιῶν καὶ τί μὴ ποιῶν, ἐγὼ διαφεύξομαί σου τὴν δεξιάν· κἂν μὴ πείθωμαι, πᾶν ὅσον καλόν, ἀπόκτεινον· οὐ δεῖ μεμνῆσθαί με χωρίων; οὐ μεμνήσομαι. οὐ δεῖ προσάπτεσθαι χρημάτων; οὐ προσάψομαι. οὐ δεῖ προστάττειν οἰκέταις; οὐκ ἐπιτάξω. λινίδιον[1] δεῖ φοροῦντα ἀνέχεσθαι; ἀνέξομαι. λιμώττοντα φέρειν; οἴσω. σιγᾶν, οὐ φθέγξομαι. χαμαὶ καθεύδειν; τοῦτο ποιήσω. πάντα σοι χαριοῦμαι ταῦτα· καὶ οὐκ ὄψει με περὶ ταῦτα θρασύν.[2] μοιχοὺς δὲ ἔξεστω μοι μισεῖν, καὶ νόμους κατ' αὐτῶν γράφειν. φήσει[3] δέ με καὶ τἄλλα ὁ πατὴρ φαιδρότερον γεγονέναι· καὶ οὐκ ἀηδῆ συγγενέσθαι. νῦν μὲν γὰρ ἐπι-

92 δὸς] sic B. δὺς M.
93 γνώμας B.
94 πρέσβευσε B.
95 τινα] τὰ κοινὰ B.
96 μέλει B.
97 παράσχοις B.
98 f. οὐδὲ μικρὸν ἐμοὶ χαριζόμενος, ne vel exiguum quidem aliquid indulgens mihi.
99 καὶ μονονοὺ B.
100 συμπεφυκὼς] sic B. πεφυκὼς M.
1 λινίδιον] num λήδιον pannuciam, *ein zerrissenes Hemde*? Sed fort. idem dicit vulgata.
2 ἴσ. βραδὺν m. M.
3 φησὶ B.

ἐπιτιμᾷ πολλάκις, τί σκυθρωπάζεις, ὦ τέκνον; τί τοῖς πενθοῦσιν ἔοικας; ἐγὼ δὲ τότε μὲν ἔλεγον οὐδέν· νῦν δὲ φράσω· τὸν νόμον τοῦτον, ὦ πάτερ, κατὰ τῶν μοιχῶν θεῖναι[4] μὲν βουλόμενος, ἀεὶ δὲ μέλλων, ἐβαρυνόμην, καὶ ὥσπερ ὠδῖναι ἤλγουν τὴν καρδίαν· εἰ δὲ κυρωθείη τήμερον· καὶ συγχωρήσαις, καὶ τοῦτο ὑπομείναις· ὄψει μειδιῶντα τὸν κατηφῆ· ὄψει βλέποντα ἐλεύθερον τὸν κατεπτηχότα· ἐποίει δέ με λογισμός τις τοιοῦτον ὡς μὲν ἂν σὺ φαίης, εὐήθης· ἐποίει δ' οὖν[5] ᾤμην ἐνδεέστερον τὸν παλαιὸν νόμον ὀργίζεσθαι τοῖς μοιχοῖς, ὡς καὶ πολλοὺς[6] ἐπ' ἀλλοτρίους παρακαλεῖσθαι γάμους· τοὺς μὲν δοῦναι δυναμένους· τοὺς δὲ πιστευομένους.[7] μετὰ δὴ τοῦτον τὸν νόμον, οὐκέτ' ὄψει με τὸν ἔμπροσθεν· ἀλλ' οἷον εἰκὸς τὸν ὑπὲρ γυναικὸς ἱκανῶς τεθαῤῥηκότα. σὺ μὲν κήρυττε πάτερ τοῖς περιεστηκόσι τούτοισι νέοις, ὅτι, ὦ παῖδες, φυλάττεσθε τὰς τῶν πατέρων ὀργάς· ἐγὼ δὲ ἀντικηρύξω[8] καὶ αὐτὸς, καὶ[9] πρεσβυτέρῳ καὶ νέῳ, καὶ ξένῳ καὶ πολίτῃ καὶ παιδὶ, καὶ πατρὶ, σωφρόνει, καὶ φύλαττε[10] τὴν τοῦ γεγαμηκότος δεξιὰν, ὡς τῆς αὐτῆς νῦν εἰσδεξομένης καὶ τὴν ὕβριν[11] καὶ τὴν σφαγήν. ἐγὼ δὲ πρῶτος σιδηροφορᾶν βιώσομαι· κἂν ὁντινοῦν λάβω, τῷ σιδήρῳ χρήσομαι· καὶ οὐδὲν ἔσται μοι παίδων αἰδεσιμώτερον· ἀλλ' ἀκονησάμενος τὸ ξίφος, ἔχων ἀναπαύσομαι· καὶ φανέντος ποτὲ μοιχοῦ, τοῦ πατρὸς, δεήσομαι[12] βοηθεῖν.

[4] εἵνεκεν θεῖναι B.

[5] ἐποίει δ' οὖν] sic m. M. *at faciebat tamen.* ἐπεὶ δ' οὖν t. M.

[6] τοὺς πολλοὺς B.

[7] πιστευομένους] propterea, quod nemini viderentur tale dedecus contracturi, tale flagitium commissuri esse, ob aetatis maturitatem aut honorum grauitatem.

[8] ἀντικηρύττω B.

[9] ὁ καὶ πρ. B.

[10] φρίττε m. M.

[11] f. ὡς τῆς αὐτῆς εὐνῆς συνεισομένης καὶ τὴν ὕβριν quoniam idem cubile et probri et vltionis conscium sit futurum.

[12] προσδεήσομαι B.

ΑΛΛΗ ΜΕΛΕΤΗ.

Υ Π Ο Θ Ε Σ Ι Σ.

Νόμος, τὸν ἄνδρα τὴν προῖκα τῆς μοιχευθείσης ἀποκερδαίνειν. ἐπείρασέ τις τὴν ἑαυτȢ γυναῖκα ὡς ἀλλότριος ἐπὶ μοιχείᾳ· καὶ εἷλεν. ὁ πατὴρ τὴν αἰσχύνην πτοηθεὶς, ἐπέδωκεν ἑτέραν προῖκα. ὁ δὲ καὶ ταύτην ἐφ' οἷς καὶ τὴν προτέραν κατέσχε· καὶ ὁ πατὴρ αὖθις ἑτέραν ἐπέδωκεν. ὡς δὲ ταῦτα πολλάκις ἐκεῖνος μὲν ἐποίει, ἣδ' ἠπατᾶτο, τελευταῖον ὁ πατὴρ ἀμφοτέρους ἀποκτείνας κρίνεται.

Ἡ ϛάσις ἀντέγκλημα.

ΠΡΟΘΕΩΡΙΑ.

Δυϛυχὴς ὁ πατὴρ, καὶ τῶν πώποτε πατέρων ὁ δυϛυχέϛατος· ξίφος γὰρ πρὸ μικροῦ κατὰ νυμφίȢ καὶ παιδὸς νεονύμφου, ἐπέσεισε. καὶ θερμὸν ἔτι τὸ ξίφος, καὶ αἱ χεῖρες τȢ λύθρου ἐναποϛάζουσιν. ὅθεν δεῖ τῷ λόγῳ καὶ πάθους ὡς ἔνι μάλιϛα. καὶ ὁσάκις μνησθῇ τῆς παιδὸς, καὶ ἐπιϛενάζει[1] τῷ λόγῳ, καὶ ἀποκλαύσεται τῆς τύχης ἑαυτόν· καὶ τινα δαιμόνων τελχῖνα βαρὺν καταιτιάσεται, ὃς καὶ τῆς θυγατρὸς τὰς φρένας εἰς τȢτο κακοῦ μετέϛρεψε, καὶ τὴν αὐτȢ χεῖρα κατὰ τῆς παιδὸς ἐξεβίασε.[2] τὸ μὲν οὖν δυϛυχὴς εἶναι πατὴρ,

ȣκ

[1] malim ἐπιϛενάξει in futuro.

[2] apud scriptores recentiores βιάζειν cum compositis in actiuo vsurpatum reperitur. vetustiores et probatiores solummodo medium vsurpant, quos cum Libanius imitetur, malim h. l. ἐξεβιάσατο.

οὐκ ἀπαρνήσεται· τὸ δὲ κακὸς, τοῦτο δ' ὡς οἷόν τε μὴ εἶναι διαγωνιεῖται· καὶ προσαποδεῖξαι σπεύσει, τὰ τῆς αὐτοχειρίας ἀβούλητα. ὅθεν καὶ τὸ ἐφορμοῦν[3] θεραπεύσει, καὶ τὰ τῆς ἀνάγκης, ἐπιβεβαιώσει. ὀλίγα μὲν τῆς παιδὸς ἐφαπτόμενος· καὶ τὰ πολλὰ εἰς τὸ τῆς γυναικὸς ἀνάγων εὐεξαπάτητον· ἵνα μὴ πάντη ἀνεύθυνον δοκοίη διαχρήσασθαι. τὸ δὲ πᾶν τῆς σκευωρίας, τῷ νυμφίῳ προσάψει, καὶ τοῦ ὅλου δράματος ἐκεῖνον εἶναι ποιητὴν ἰσχυρίσεται· ἐπάξει μέν τοι καὶ ὅπως τὰ πρῶτα κἀκείνου ἐκήδετο· ἵνα πανταχόθεν τὸ θηριώδης εἶναι δοκεῖν ἐξέλῃ, καὶ τὸ βεβιάσθαι ἀντεισάξῃ. οὕτω τοι καὶ οἱ παῖδες ἂν εἶεν, οἱ καὶ τὸν πατέρα ἀδικεῖν ἀρξάμενοι, μετὰ τοῦ παντὸς γένους, μετὰ τῆς ὅλης πόλεως· καὶ αὐτοὶ ἐπὶ σφᾶς αὐτοὺς μονονουχὶ τὸ ξίφος ἄραντες· καὶ ὁ πατὴρ, ὁ τὴν ὕβριν τοῦ γένους ἐκκόψας· καὶ τὸ τῆς πόλεως εὔφημον ἐν πλείονι τοῦ πατὴρ εἶναι θέμενος·

[3] quapropter etiam laborabit in demonstranda malignitate genii cuiusdam abominabilis, bonis gaudiisque suis insidiantis eaque corrumpere gestientis. ἐφορμεῖν dicitur de myoparone piratico, nauibus onerariis, e portu soluentibus, insidiante, easque in altum euectas depraedante.

ΚΡΙΝΟΜΕΝΟΥ ΦΟΝΟΥ ΑΠΟΛΟΓΙΑ.

Εἰ μὴ πατέρας ὑμᾶς ὄντας ᾔδειν, ὦ ἄνδρες, τάχα τι καὶ λέγειν δοκεῖν ᾤμην ἂν τὸν κατήγορον· καὶ τὰ πατέρων ἐν οὐ πατράσι διαβάλλειν ἐπιχειρῶν, ἦν ἂν οὗτος οἶμαι πολὺ πιθανώτερος. ἐπεὶ δὲ πατέρες[4] μὲν ὑμεῖς, καὶ τὴν περὶ τοὺς παῖδας φιλοστοργίαν οὐκ ἀγνοεῖτε· καὶ τοῦτο μόνον ὁ κατήγορος ἀφελέσθαι

[4] πατέρες] sic etiam Wolf. Nam πάτρες, (vt Mor. dedit) in vsu non est.

λέσθαι μετὰ τῆς τύχης οὐκ ἴσχυσε· πατὴρ δὲ καὶ αὐτὸς δυστυχὴς μὲν ἄλλως, καὶ πατέρων ἁπάντων ἐλεεινότατος. κακὸς δὲ περὶ τὴν φύσιν ἑκὼν οὔτ᾽ αὐτὸς γεγένημαι, οὔθ᾽ οὗτος ἂν εἰπεῖν ἔχοι, δέομαι ὑμῶν, καὶ πάνυ δέομαι, μή μου πρότερον καταψηφιεῖσθε, μηδ᾽, ὡς ἄδικον περὶ τοὺς ἐμοὺς ἀποκτείνητε, πρὶν ἂν αὐτοὶ λογίσησθε[5] παρεστάναι τῷ βήματι τῷ λογισμῷ· μὴ γὰρ δή ποτε τοῖς ἔργοις εἰς τοῦτο τύχης ἐλθεῖν, δόξαιτε καὶ πηλίκα μὲν ἡ φύσις δύναται παρὰ τοῖς πατράσι συλλογιεῖσθε. τίνα δὲ καὶ παῖδες τολμήσαιεν, ὡς εἰς τοσοῦτον ἐγεῖραι τοὺς τεκόντας ἔχθος, ὡς καὶ ξίφει τὴν δεξιὰν ὁπλίσαι καθ᾽ ὧν ἔτεκον· καὶ μεθ᾽ οὓς οὐκέτι τὸ καλεῖσθαι πατέρες ἕξουσιν. εἰ μὲν οὖν ὡς ἁπλῶς ἀτυχῶν ἐγὼ κρίνομαι παρ᾽ ὑμῖν, καί τις εὐθύνας εἶδε παρά τε τῶν[6] νόμων τοῖς, πρὸς οὓς τὰ τῆς τύχης οὐκ εὐμενῆ· καὶ τοῦτο τῷ κατηγόρῳ τὸ σπούδασμα, κτεῖναι τὸν μηδ᾽ ὅπως ἔσεται βουλόμενον· ἡκέτω μὲν μετὰ ξίφους ὁ δήμιος, ὁ δὲ βέλτιστος εὐθυνέτω. ὑμεῖς δ᾽ ἐπὶ τούτοις ποιεῖσθε τὰς ψήφους· μὴ μέλλετε· ὡς χαριεῖσθε μέν, εἰ οὕτω πατέρα δυστυχῆ μετὰ καὶ τῶν προσόντων συνεκκόψετε[7] κακῶν· καὶ τὸ ζῆν ἀφαιρήσεσθε, τὸν εἰς τοσοῦτον συμφορᾶς ἀφικόμενον, ὡς ταῖς αὐτὸν αὑτοῦ χερσὶν ἀφελέσθαι τὸ πατὴρ ὄνομα, τοῦτο δὴ τὸ γλυκὺ μὲν τοῖς ἄλλοις· οὐ γὰρ δὴ τοιοῦτον καὶ ἡμῖν ὁ δαίμων παρῆκεν. εἰ δ᾽ ἕτερος μὲν ἀτυχεῖ καὶ οἰκτείρεται· ἕτερος δὲ κακουργεῖ καὶ κολάζεται· κατελεήσατε τῆς τύχης τὸν μηδὲν μὲν ἠδικηκότα, μείζω δὲ τῶν ἁπάντων ἠτυχηκότα· καὶ παῖδας μὲν αὐτὸν καὶ τεκόντα καὶ θρεψάμενον· οὐκέτι δὲ καὶ τῶν ἐλπίδων

πίδων

[5] λογίσησθε — τῷ λογισμῷ durum. num ergo ſic leg. *πρὶν ἂν αὐτοὶ νομίσητε παρεστάναι τῷ βήματι, τῷ γε λογισμῷ* priusquam vosmetipſi vobis viſi fueritis, tanquam rei, adſtare tribunali, ſaltim imaginatione tenus.

[6] *γρ. παρὰ τούτων* m. M.

[7] malim in optatiuo *συνεκκόψαιτε*, ſed non permittit inſequens *ἀφαιρήσεσθε*. pro quo legi non poteſt *ἀφαιρήσασθε*. quia in aoriſto primo medii non haec forma, ſed *εἰλάμην* vſurpatur.

πίδων ἀπωνάμενον, ἃς ἐπὶ τούτοις, ὦ θεοὶ, καλὰς καὶ γενναίας ὑπέτρεφον μεθ' ὧν πρώην ἐβίουν· καὶ νῦν οἰχομένων ξυνοίχεσθαι κἀμοὶ βέλτιον ἂν εἴη. ἓν μὲν οὖν τοῦτο καὶ πρῶτον τῆς ὑμῶν φιλανθρωπίας δέομαι· δεύτερον δὲ μηδὲν εἰς δίκην τοῦ πρότερον[8] τούτου λειπόμενον. ὅτι πατὴρ μὲν ὁ κρινόμενος ἐγώ· καὶ πρὸς γένους οἱ πεπτωκότες· καὶ συγγενῆ τὰ κακά· καὶ δεῖ με διὰ τούτων βαδίζειν[9] ἐπὶ τὸ πείσειν. ἐπεὶ ὡς οἱ μὲν ἠδίκουν· ἐγὼ δὲ τὴν ὕβριν ἀπεκρυόμην. τούτου μὲν οὖν ὁ χρηστὸς οὗτος αἴτιος, τοιαύτην μοι προθέμενος αἵρεσιν δυοῖν[10] τούτοιν ἑλέσθαι θάτερον, ἢ μηδὲν εἰπεῖν ἀνεχόμενον, μετὰ κακούργων κεῖσθαι, ἢ μὴ κακουργεῖν ἐλέγχειν πειρώμενον αὐτὸν,[11] ἀνακαλύπτειν ὡς ἐπὶ θάτερον[12] τὰς ἐμαυτοῦ συμφοράς. ἔοικε δ' ἡ τύχη μετὰ τοῦ παρόντος καὶ τοῦτό με τῶν πατέρων ἀφαιρεῖσθαι σπεύδειν, τὸ μὴ[13] τὰς τῶν παίδων ὕβρεις περιστέλλειν, ὡς οἷόν τε. ἂν οὖν ἐγὼ μὲν ἀναμνησθῶ τοῦ θαυμαστοῦ νυμφίου, καὶ τῶν καλῶς τῆς παιδὸς ἐπιτηδευμάτων· καὶ τὰ μὲν ἀθρόα προσεπιῤῥεύσῃ τὰ δάκρυα,[14] τὰ δὲ τῆς φωνῆς ἐκκόψεται· τὰ δὲ τῶν λόγων οἰχήσεται, μὴ περιίδητε τῷ πάθει τῆς μνήμης ἐκκρουόμενον τὰ πολλά· ἀλλ' αὐτοὶ προσαναπληροῦν πειρᾶσθε τὰ τὸν ἐμὸν ἐκπεφευγότα λογισμόν· συγκεχυμένον οὕτω πολλοῖς τοῖς κακοῖς, καὶ μηδ' ὅ, τι καὶ χρὴ λέγειν ἀκριβῶς ἔχοντα ξυνορᾶν. τοῦτο γὰρ ἐμοὶ μὲν ἔσται τοῦ μὴ κακουργεῖν[15] δικαία τις ἐπικουρία. ὑμῖν

δ'

8 malim προτέρῳ.

9 fort. βαδίζειν ἐπὶ τὸ πάθειν, ὡς οἱ μὲν — βαδίζειν, εἰ πάσω ὡς οἱ μ. Wolf.

10 post δυοῖν deleui τοίνυν quod recte abeſt a Wolf.

11 idem eſt ac ſi dixiſſet ἢ πειρώμενον ἐλέγχειν ὅτι μὴ κακοῦργος εἰμί.

12 f. ὡς ἐπὶ θεάτρῳ tanquam in ſcena.

13 aut prorſus delendum eſt μὴ, aut cum δὴ] mutandum.

14 προσεπιῤῥεύσῃ τὰ δάκρυα,] ſic Wolf. τὰ δάκρυα deſunt Mor. adduntur haec explicationis ergo, vt ſciatur, quidnam deſignetur illo τὰ μὲν — Nam proximum τὰ δὲ τῆς φωνῆς idem valet atque ἡ φωνή. quapropter etiam leg. videtur ἐκκεκόψεται in paulopoſtfuturo; pari modo τὰ τῶν λόγων ſunt οἱ λόγοι.

15 τοῦ μὴ κακουργεῖν] id eſt

δ᾽ οὐκ ἀγεννὴς βεβαίωσις, ὡς τὰ πάντα ψηφίζεσθε[16] εὔορκα. ἠγαγόμην, ὦ ἄνδρες, γυναῖκα κατὰ τοὺς τῆς πόλεως νόμους· καὶ παίδων ἀκοῦσαι πατὴρ ἐπηυξάμην ὁ δυστυχής· ὡς μὲν[17] τοῖς τεκοῦσιν ἡμῖν πάνθ᾽ ὁπόσα καὶ χρηστοὶ παῖδες[18] γενησομένων· ὡς δὲ τῇ τε πόλει καὶ τῷ δήμῳ χρησιμευσόντων, ἐν στρατηγίαις, ἐν χορηγίαισι, ἐν δημαγωγίαις, ἐν εἰσφοραῖς, ἐπ᾽ εἰρήνης ἔνδον, ἐν πολέμοις ἔξωθεν· οἱ δ᾽ ἄρα θεοὶ, τὸ μέν τι καὶ ἔδοσαν, τὸ δ᾽ ἐπέσχον. παῖδα μὲν γὰρ ἐχαρίσαντο· καὶ πατὴρ ἐντεῦθεν ὠρόμην ἐγὼ, καὶ τοῦτο προσάπαξ, ὡς ἂν, οἶμαι, τῶν θεῶν, καὶ ταῦτα βίᾳ πειθομένων, καὶ τοῖς ἐμοῖς ἱερείοις οὐ πάνυ τοι[19] τὸν νοῦν προσεχόντων. τὸ δέ μοι καὶ μέχρι παντὸς ταυτηνὶ φυλάξαι τὴν προσηγορίαν· τοῦτο δ᾽ ὡς ἔοικεν, οὔτ᾽ ἐκείνοις ἐδέδοκτο, οὔτ᾽ αὐτῷ μοι τοῦ λοιποῦ περίεστιν. ἀλλὰ ταῦτα μὲν τῆς ὑστέρας βαρυδαιμονίας, καὶ τοῦ μετέπειτα πονηροῦ Τελχῖνος. τῷ[20] δ᾽ οὖν τότε, μεθ᾽ ἡδονῆς ἐδεχόμην τὸ πρᾶγμα[21] θεῶν δῶρον ἡγούμην τὴν παῖδα. καὶ τοῦ παντὸς γένους ἐκεῖθεν ὥσπερ τι δεδόσθαι μοι ζώπυρον. ἐπεὶ δὲ καὶ μεῖραξ ἐγεγόνει, καὶ τῆς φρονούσης ἡλικίας ἥπτετο, καὶ τὴν μορφὴν[22] οὐκ ἄσημος ἦν, ἀλλά τι καὶ κάλλους τῷ προσώπῳ ἐνέλαμπε. καὶ τὸν νοῦν, ὥς γε ἐδόκει τέως, οὐ πάνυ τῆς ἔξωθεν ὥρας ἐλείπετο. ἐγὼ μὲν ἐνουθέτουν· ἡ δὲ μήτηρ ἐπαίδευεν ἐπὶ τῇ ταλασίᾳ, διαπονουμένην πάνθ᾽ ὅσα γυναικῶν ἔργα. ἐγὼ δὲ ὁ τότε μὲν πατὴρ· (οὐ γὰρ ἔτι. καὶ νῦν παραμένει μοι τοῦ-

πρὸς τὸν ἔλεγχον ὅτι μὴ κακουργῶ.

[16] ψηφίζεσθε] sic W. ψηφίζεσθαι M.

[17] ὡς μὲν — ὡς δὲ —] partim — partim.

[18] ὅσα καὶ χρηστοὶ παῖδες] scil. γίνονται τοῖς τοκεῦσιν, ea spe, fore, vt, qui mihi ex vxore mea nascerentur liberi, munia mihi meaeque vxori praestarent ea omnia, quae liberi bonae indolis suis parentibus praestare solerent.

[19] lege τι.

[20] τῷ] subaudiri potest χρόνῳ. ego tamen τὸ in neutro praeferam.

[21] τὸ πρᾶγμα] scil. τὸ γενέσθαι μοι παιδίον, aut τὸ κεκλῆσθαί με πατέρα.

[22] post μορφὴν deleui μὲν quod recte abest a W.

τοὔνομα τοῦτο· ὡς εἴθε μηδὲ τὴν ἀρχὴν μήτ᾽ ἐκείνη μήτηρ, μήτ᾽ αὐτὸς ἐγὼ πατὴρ ἠκούσαμεν· τὸ γὰρ νῦν ἐπὶ τοιούτοις θρηνεῖν, πάντως ἂν τὸ μηδὲ τεκεῖν ὅλως παρείλετο.) τότε δ᾽ οὖν ὅμως, τί μὲν ἐπὶ σωφροσύνῃ τῆς παιδὸς οὐκ ἐτεχνώμην; τί δὲ οὐ παρῄνουν; κάλλους μὲν ἤδη, λέγων, ἱκανῶς ἔχεις, ὦ παῖ· τοῖς θεοῖς οὕτω καὶ τῇ τύχῃ δοκοῦν. καὶ τά γε δῶρα τῆς φύσεως οὐ μεμπτά. δεῖ δέ σε καὶ τοῖς ἔξωθεν τὰ περὶ σαυτὴν[23] ἐποικοδομεῖν. ὥστε καὶ τὴν ψυχὴν μηδὲν ἧττον ἐπανθεῖν, ἢ τὸ σῶμα· τούτου μὲν γὰρ τὴν φύσιν ἅπας θαυμάσει· κἀκείνης εἶναι δῶρα τὰ τῆς ὥρας νομίσει. ἢν δὲ σὺ σωφρονοίης, καὶ πᾶν ὅ, τι καὶ παρθένοις πρέπον ἐπιτηδεύοις· τοῦτο δὲ, οὐκ ἔσται τῶν ἁπάντων οὐδεὶς, ὃς οὐχὶ ἀεὶ εἶναι τὸ καλὸν φαίη. ὡς εἴγε τὸν μὲν τοῦ προσώπου λειμῶνα καλὸν ὑποφαίνεις· τὰ δὲ τῆς ψυχῆς, ὃ μὴ θεοὶ δοῖεν, τοῖς χείροσι τῶν ἔργων καταρρυπαίνεις, καὶ τὸ μὲν τῆς σωφροσύνης ἀπέσται καλόν· τὸ δὲ τῆς αἰδοῦς οὐ προσέσται σεμνὸν, ἐς οὐδὲν ἄν σοι καὶ τὰ τῆς ὥρας περιστάιη. αἰσχυνεῖς μὲν γὰρ τὸ γένος· αἰσχυνεῖς δὲ σαυτὴν, μετὰ καὶ τῆς μορφῆς. τὴν δὲ τοῦ σώματος ἀγλαΐαν ἐπελέγξει[24] σοι τὸ τῆς ψυχῆς ἄκοσμον. ἐπὶ τούτοις καθ᾽ ἑκάστην πολλὰ μὲν ἐπέρρει μοι τὰ παραδείγματα· πολλαὶ δ᾽ εἰσήγοντο τοῦ προτέρου γένους, ἐφ᾽ ἑκατέρου τρόπου τὴν δόκησιν ἔχουσαι. καὶ τῶν μὲν τοὺς ἐπαίνους εἰς μέσον προὐτίθουν· ὁπόσας ἢ λόγοις ἄνδρες ἐθαύμασαν, ἢ ποιηταὶ τοῖς ἔπεσιν ἀπεσέμνυναν. τὰς δὲ, διελοιδόρουν, ὁπόσαι μὴ πρὸς καλόν τι τῆς ὥρας ἀπώναντο. ὡς οὖν ἐγὼ μὲν ἔλεγον· ἡ δ᾽ οὐκ ἀηδῶς τοὺς λόγους ἐδέχετο· ὁ δὲ χρόνος θᾶττον ἐπιτρέχων, τὸ τῆς ἡλικίας παρεῖχεν ἐπὶ γάμον.[25] ἐνταῦθα ἐγὼ μὲν ἐσκοπούμην, ὅπως καλῶς ἕξει

23 malim τὰ παρὰ σαυτῆς decora a te repetenda, quae tu ipsa tibi debebis, quae vt a temet ad te proficiscantur, opera tibi danda erit.

24 malim ἀπελέγξει.

25 ἐπὶ γάμον] sic et W, sed videntur haec duo vocabula in vnum ἐπίγαμον contrahenda esse, cuius haec sit significatio: maturum matrimonio, nubile.

ἕξει μοι τὰ τοῦ κήδους. καὶ τῶν μὲν τὸ γένος ἐξηρευνώμην· τῶν δὲ τοὺς τρόπους διεσκοπούμην· τῶν δ' ἄλλως ἀπεπειρώμην. ἀλλ' ὁ δαίμων ἐκεῖνος, ὃς εἰς τοῦτό με συμφορᾶς παρήγαγεν, ἕτερον ὡς ἔοικε τρόπον ἡμῖν ἀντεπαλαμᾶτο· ὃς τοὺς μὲν ἄλλους παραδραμεῖν ἔπεισε· τῷ δὲ πάντων κακίστῳ ξυνάψαιμι[26] τὸ θυγάτριον κατηνάγκασεν. ἤγετο μὲν οὖν τὰ τοῦ κήδους. καὶ παρῆσαν τοὺς τῆς θυγατρός μοι γάμους συνεορτάσοντες ἑταῖροι, ξένοι, πάντες οἱ τοῦ γένους, οἱ τῆς πόλεως. τῶν εἰσέπειτα συμφορῶν εἶπεν ἄν τις φιλότιμον θέατρον. ἐγὼ δὲ ὁ δείλαιος· οὐ γὰρ ἐπὶ τούτοις ᾤμην ἀποτελευτῆσαί μοι τὰ τῆς τύχης, δᾷδας γαμηλίους ὑπανῆπτον· καὶ τῆς θαυμασίας ἐκείνης παιδὸς προεπόμπευσα· καὶ τὰ βελτίω προσεπηυξάμην· καί τι τῆς εὐχῆς καὶ τῷ καλῷ νυμφίῳ προσέθηκα. ὡς γένοιτο μὲν ἐκεῖνος εὐδαίμων πατήρ, ὦ θεοί. γένοιτο δ' ἐμὲ καὶ πάππον ἀκοῦσαι μετὰ πατρός. οὐκ ᾔδειν δὲ ἄρα, ὡς τὰ μὲν τῆς εὐχῆς ἀποπεσεῖται πάντως ἀτελεύτητα. ταῖς δὲ χερσὶ ταύταις, ὑφ' ὧν τὴν μὲν ἐθρεψάμην, τὸν δ' ἐνυμφοκόμουν ξίφους, οἷ μοι καὶ σφαγέος[27] ἅψομαι· καὶ τούτους ἀνελεῖν ἐκβιασθήσομαι, παρ' οἷς καὶ μόνοις[28] τὰς ἀμείνους ἔτρεφον ἐλπίδας· οὓς ἐπὶ μακρὸν βιῶναι τοὺς θεοὺς ἐλιπάρουν· παρ' ὧν τὰς τελευταίας ἐσχηκέναι[29] τιμάς, καὶ τἄλλ' ὅσια τῶν οἰχομένων. ἔθυον μὲν οὖν ἤδη τοὺς γάμους καὶ τὸ γαμήλιον πῦρ ὑπανάπτων, ἔχαιρον· ὁ μετ' οὐ πολὺ τὰς ἐπιθανατίους ἀναψόμενος δᾷδας. καὶ τὴν ἐπικηδείαν πομπὴν ἐκπομπεύσων. ὡς δὲ τὰ τοῦ γάμου ἦν ἐπὶ τῷ τέλει, ἐντεῦθεν ὁ μὲν εἶχε τὸ[30] θυγάτριον, ὑπὸ νόμοις ἀγόμενος· ἡμεῖς δὲ καὶ υἱωνοὺς ὠνειρώττομεν

ἐπι-

[26] *ξυνάψαιμι.*] diuide vocabulum hoc in iſtaec duo *ξυνάψαι με.* me coegit, vt filiam peſſimo copularem. *ἴσ. ξυνάψασθαι* m. M.

[27] *σφαγέως* W.

[28] f. *παρ' οἷς καὶ μόνοις.* ob. vel *per quos vel ſolos.*

[29] *ἐσχηκέναι*] neque tempus praeteritum conuenit, (futurum melius quadraret] et deeſt aliquid, e. c. *προσεδόκων.*

[30] *εἶχε τὸ*] ſic W. *εἴχετο* M.

ἐπιδεῖν, οἱ μετ' οὐ πολὺ καὶ τὴν μόνην παῖδα προσαφῃρημένοι. αὕτη τῶν καθ' ἡμᾶς ἀτυχημάτων ἀρχή· τοῦτο τῶν ἡμετέρων συμφορῶν τὸ προοίμιον. ὡς γὰρ οἴκοι μετὰ τῶν ἕδνων τοὐμὸν[31] εἶχε θυγάτριον, καὶ δεσπότης ἦν τοῦ τῆς γυναικὸς σώματος, βουλεύεται βουλὴν ἀνοσιωτάτην, καὶ τοῦ κήδους ἀνάξιον. ὁρᾷ τὰ χρήματα· λογίζεται τὴν ἀφαίρεσιν· συλλογίζεται τὸν νόμον, ὑφ' οὗ τὸ μηδὲν ἔχειν τὴν μοιχευομένην διώρισαι. ἐντεῦθεν ἐπιβουλεύειν ἄρχεται τῇ γυναικί. καὶ τὰ τῆς ἐπιβουλῆς (ὦ Ζεῦ καὶ Ἥρα, καὶ πάντες ἄλλοι δαίμονές τε καὶ θεοὶ γαμήλιοι) ἐπὶ τὴν τῆς γυναικὸς ἀπάτην ὥρμησε. καὶ τὸν μοιχὸν αὐτὸς σχηματισάμενος, ἀγγελίας καὶ λόγους ὁ θεοῖς ἐχθρὸς προσέπεμψεν,[32] οἷς ἂν καὶ μοιχὸς ἀληθὴς χρήσαιτο· καὶ δῶρα προὔτεινε, καὶ ὑποσχέσεις προὐβάλλετο. δι' ὧν ἂν καὶ σωφρονοῦσα γυνὴ, ῥᾳδίως ἂν εἰς ἀπάτην προήχθη. ἡ δὲ, καὶ προσάπαξ ἐνοχλοῦντα, καὶ πολλάκις ἀποσεισαμένη, τελευταῖον τὸ μὲν, ὑπαχθεῖσα τοῖς δώροις, τὸ δ' ἀπατηθεῖσα τοῖς ὑπεσχημένοις; τί γὰρ εἰς ἀπάτην ἁπλούστερον γυναικός; ἢ τί τῆς μιαρᾶς ἐκείνης ἐπιβουλῆς δολιώτερον, ἣν ὑπὸ παλαμναίῳ τῷ δαίμονι κακὸς κακῶς ἐκεῖνος ὁ κατάρατος ἐσκευώρησε; παρορᾷ μὲν τοὺς ἐμοὺς λόγους, οὓς πολλοὺς πολλάκις αὐτῇ περὶ σωφροσύνης ἐπήντλουν· παρατρέχει δὲ τὴν ἐντεῦθεν τοῦ γένους αἰσχύνην. τὸν δὲ τοῦ ἀνδρὸς οὐχ ὑφορᾶται δόλον· καὶ γίνεται τοῦ λοχήσαντος λάφυρον. καὶ τὸ λοιπὸν ὁ καλὸς ἐκεῖνος, καὶ τῷ τῆς πόλεως καλῷ, δηλαδὴ τοῖς νόμοις, ἐπὶ τὰ πάντων αἴσχιστα χρώμενος, τὴν μὲν, ὡς ἀληθῶς μοιχευθεῖσαν, τῆς οἰκίας ἀπέκλεισεν. αὐτὸς δ' ὁ τὸ ξύμπαν δρᾶμα συσκευασάμενος, οὐ μόνον τὸ μηδέν τι παθεῖν ἐδικαίωσεν, ἀλλ' ἤδη καὶ τῆς προικὸς ἀποκερδαίνειν ἠξίου. τὸν γὰρ νόμον, ὡς ἔοικεν, ἐπὶ γυναιξὶ μόναις γεγράφθαι τὴν ἀρχὴν ᾤετο. ἐπεὶ δὲ καὶ ταῦτ' ἐπυθόμην ἐγὼ, καὶ τὸ θυγά-

[31] ὁ μὲν m. M. προέπεμψεν W. et m. M. ἐξίστα-
[32] προσέπεμψεν] sic dedi. ψεν M.

θυγάτριον ἤδη κινδυνεύουσαν εἶδον ἐκβεβλῆσθαι μεθ᾽ ὕβρεων, τὰ μὲν πρῶτα οὐκ εἶχον ἐπὶ τοῖς παροῦσιν, ὅ, τι καὶ χρήσομαι·[33] ἀλλ᾽ εἱστήκειν αὖος ὅλος, ἀπόπληκτος. τὸ γὰρ τῆς συμφορᾶς ἀπροσδόκητον, ὅλον μοι τὸν νοῦν διέσεισεν.[34] ὀψὲ δὲ οὖν ἀνανήψας. καὶ τὸν νοῦν εἰς ἑαυτὸν συλλεξάμενος, τὰ μὲν τὴν τοῦ γένους ἀδοξίαν ὑφορώμενος, εἰ ταῦθ᾽ ἡ πόλις πύθοιτο· τὰ δὲ καὶ μέχρις ἅπαξ τὴν μὲν ἠπατῆσθαι· τὴν δὲ οὕτω[35] σκευωρήσασθαι ὑποτοπήσας, ἑτέραν ἐπέδωκα προῖκα· καὶ γάμον δεύτερον, ὡς ἂν εἴπῃ τὶς, ἀπὸ δευτέρων ἕδνων ἐκρότησα.[36] τί μὲν εἰς ὄνειδος οὐκ ἐπειπὼν τῇ θυγατρί; τί δὲ, πρὸς ὕβριν οὐκ ἐπαπειλήσας; τί δὲ πρὸς ὀργὴν, οὐκ ἐπιπλήξας; ἐκείνῳ δὲ τὰ μὲν, παραινέσας· τὰ δ᾽ εἰ χρημάτων δέοιτο, παρ᾽ ἑκόντων λαβεῖν ὑποσχημένος, σιγᾷν ἐδεόμην· μὴ καί τις αἴσθησις τοῦ κακοῦ τοῦδε τῇ πόλει προσβάλοι. κἀγὼ μὲν οὕτως ἄμφω ξυνάψας, καὶ συνδήσας δῆθεν αὖθις πρὸς εὔνοιαν, ᾤμην ἤδη τοῦ λοιποῦ κακουργοῦντας παύσειν· οἱ δ᾽ αὖθις ὁ μὲν, τὸν δόλον ἠπήρτυεν· ἡ δ᾽ ἐπὶ τοσοῦτον ἦλθεν ἀνοίας, ὡς καὶ ταυτὰ τοῖς προτέροις παραχθῆναί[37] τε, καὶ πρὸς ὕβριν τοῦ γένους ἀσχημονῆσαι. καὶ πάλιν ὁ μὲν, ἀπεκέρδαινεν· ἡ δ᾽ ἀπεκλείετο. ἐγὼ δ᾽ ὁ κακοδαίμων, καὶ τρίτον γάμον ἀπὸ τῶν ἐμῶν ἐτέλουν χρημάτων. καὶ τῇ μὲν, πάλιν ἐνεβριμώμην· τὸν δ᾽ ἀνεῖναι τῆς σκευωρίας ἠξίουν,[38] ἑαυτοῦ πάντα τὰ τῆς γυναικὸς εἰδότα. ὡς δ᾽ οἱ μὲν ταῦτα, καὶ πάλιν οὐδ᾽ ἐπαύοντο[39] σκευωρούμενοι, ἐγὼ δὲ τὴν μὲν οἰκίαν ἑώρων εἰς τὸ παντελὲς τῆς περιουσίας ἐκκενουμένην·

[33] malim χρήσωμαι.

[34] διέσειεν W.

[35] τὴν δὲ οὕτω] lege τὸν δὲ οὔπω *eum autem*, generum meum, *dolos hos comparasse, nondum suspicatus.*

[36] malim συνεκρότησα.

[37] παραχθῆναι] sic W. πραχθῆναι M.

[38] hic videntur quaedam deesse.

[39] sic lego et distinguo: ὡς δ᾽ οἱ μὲν ταυτὰ καὶ πάλιν (scil. ἐποίουν) vt autem illi rursus eadem agitabant, οὐδ᾽ ἐπαύοντο neque finem nequitiarum faciebant.

νην· τὴν δὲ πόλιν ἁπανταχῆ τῆς ὕβρεως γέμουσαν· τὴν μὲν, τῆς ἄκρας ἀνοίας ἀποστραφεὶς, τὸν δὲ τῆς οὕτως ἀτόπου κακουργίας ὡς προσῆκε μυσαχθεὶς, θυμὸν ἐπ' αὐτοὺς ἀναλαμβάνω δίκαιον· καὶ τῶν κοινῶς ἐπ' ἀλλήλοις[40] ἐξαμαρτανόντων κοινὴν καταψηφίζομαι καὶ τὴν δίκην· καὶ μιᾷ πλήξας τοὺς πολλὰς[41] κατὰ καρδίας πλήξαντας, τοὺς μὲν, ἀπαλλάττω τοῦ βίου, καὶ τῆς ἐντεῦθεν αἰσχύνης· τὸ δὲ γένος τοὐμὸν καὶ τὴν ὅλην πόλιν, τῆς ἐκεῖθεν ὕβρεως. ἐγὼ μὲν οὖν ἐπὶ τούτοις ἀτυχὴς[42] μὲν, εἰ καί τις ἄλλος πατέρων, δόξειν ὑπώπτευον· κακὸς δ' οὔτ' αὐτός ποτε μὰ τοὺς θεοὺς ἐλογιζόμην.[43] οὔθ' ἑτέρους τοῦτ' αὐτὸ κακουργεῖν[44] ὑπολήψεσθαι. ἀλλ' ἠξίουν τῶν πολλῶν τούς γε μετριωτέρους, μάλιστα μὲν ἐμὲ οἰκτείρειν τῆς συμφορᾶς· εἰ δ' οὖν ἀλλὰ τὴν τύχην·[45] ὀκνῶ γὰρ τοὺς παῖδας λέγειν αἰτιᾶσθαι. ὁ δ' ὥσπερ ἐπιχαίροντά με τῷ κακῷ τοῦ γένους ὁρῶν, καὶ φαιδρότερον γεγενημένον, οἷς ἐκεῖνοι πεπτώκασιν, ἔπου, φησὶ δώσειν δίκας ὧν κατὰ παίδων τετόλμηκας· καὶ ψιλὸν ἐπὶ τούτοις τοῦ φόνου προβάλλεται τοὔνομα. ἐγὼ δ' οἶμαι προσήκειν, μὴ τὸ πραχθὲν αὐτὸ καθ' αὑτὸ μόνον προφέρειν· μήθ' οὕτως[46] εὐθύνας ἀπαιτεῖν τὸν εἰργασμένον, εἰ μὴ καὶ τὴν γνώμην μεθ' ἧς εἴργασται πύθοισθε. πολλὰ γὰρ τῶν πραγμάτων φαυλοτέραν ἔχει τὴν κλῆσιν. ἀλλ' εἰ καὶ τὸν τρόπον προσεπιθήσει τις, εὐθὺς καὶ τὸ δοκοῦν φαῦλον, ἀπέωσται· καὶ τὰ τῶν κακούργων

40 ἐπ' ἀλλήλοις] ſic et W. et recte, ſed idem eſt atque ἐπ' ἀλλήλους vel εἰς ἀλλήλους vt alii loqui ſolent, maritus in vxorem deliquerat, et rurſus vxor in maritum.

41 id eſt τὰς πολλὰς πληγὰς κατὰ τῆς ἐμῆς καρδίας πλήξ.

42 γρ. εὐτυχὴς m. M.

43 poſt ἐλογιζόμην excidiſſe videtur εἶναι, neque ipſemet ego me ſceleratum eſſe autumabam.

44 κακουργεῖν] id eſt κακουργίαν. in W. ſic eſt diſtinctum: τοῦτ' αὐτὸ, κακουργεῖν, ὑπολ.

45 Sententia poſtulat, εἰ δ' οὖν μὴ, (ſcil. ἔμελλόν ἐμε οἰκτείρειν) ἀλλ' οὐκ ἐμὲ, ἀλλὰ τὴν τύχην.

46 poſt οὕτως videtur ἁπλῶς deeſſe.

γων[47] ὁ δράσας ἐκπέφευγε. καὶ νῦν ὁ μὲν κατήγορος, ψιλὸν ἐπιφέρει τὸ εἰργασμένον· καὶ εἰ μὴ τοὺς παῖδας ἀπέκτεινα, τοῦτο καὶ μόνον, τῶν ἄλλων ἀποχωρίσας, πολλάκις καὶ πυκνὸν ἐρωτᾷ. ἐγὼ δὲ τὸ μὲν εἰργάσθαι παράπαν, οὐκ ἔξαρνος γίνομαι. τὸ δ' ὅτι καλῶς, τοῦθ' ὑμᾶς ἀναδιδάξαι πειράσομαι. εἴπου καὶ τὸν χρηστὸν τουτονὶ καὶ τοῦ πατρὸς περὶ τοὺς παῖδας φιλοστοργότερον καταιδέσαι δυνήσομαι, βαρύτερον ἡμῖν καὶ τῆς τύχης ἀναφανέντα. τῶν ἀδικημάτων, ὦ κατήγορε, τῶν μέν τις καὶ δίκας ἀπέτισεν, ὅσα περ ἢ πρὸς ἔχθραν κακουργήσας πεφώραται, ἢ πρὸς κέρδος ἀφορῶν ἐπεβούλευσεν ἢ καὶ τρόπον ἕτερον σκευωρήσας ἐλήλεγκται· ἐφ' οἷς δ' ὁ μὲν ἠδικηκὼς πέπτωκεν, ὁ δ' οὐ προεπιβουλεύσας, ἀλλ' ὡς ἀδίκως ὑπ' ἐκείνου παθὼν πρότερον, οἷς εἶχε,[48] δικαίως ἠμύνατο· τοῦτον δ' οὔποτ' ἂν οὐδεὶς οὐδὲν, οὔθ', ὡς οἶμαι, νόμος, οὔτε δικαστὴς αἰτιάσαιτο. εἰ μὲν οὖν ἔχεις τὶ καὶ σὺ τούτων[49] εἰπεῖν, διάβαλλε[50] περὶ τὴν φύσιν ὠμόν. καί τοι τίς οὐκ οἶδεν, ὡς πατὴρ[51] μὲν ὁ δυστυχὴς περὶ τοὺς παῖδας ἐγὼ· ἐκεῖνοι δὲ πεπτωκότες;[52] ἡ μὲν κόρη τῶν νεογάμων, ἐφ' ᾗ πρὸ μικροῦ καὶ γαμηλίου πυρὸς ἡψάμην, καὶ μέχρι καὶ εἰς παστάδα προὐπόμπευσα. καὶ πάνθ' ὁπόσα καὶ πατὴρ ἀγαθὸς ἐπεύξαιτο τοὺς θεοὺς, ὑπὲρ τῆς παιδὸς ἱκέτευσα· εἰ καὶ τὸ[53] μηδέν τι τῆς εὐχῆς ἐκείνης ἀπωνάμην. καὶ τῶν θυμά-

[47] τὰ τῶν κακούργων] subaudi ὀνείδη vel etiam κολάσματα.

[48] gemino potest modo hic locus distingui, siue sic: οἷς εἶχε, iis telis, iisue modis, quibus potuit, δικαίως ἠμύνατο, siue sic: οἷς εἶχε δικαίως, (id est τούτοις τοῖς τρόποις, οἷς τὸν ἐχθρὸν ἀμύνεσθαι δίκαιον ἦν) ἠμύνατο.

[49] τούτων] scil. ὅτι ἐγὼ πρὸς ἔχθραν κακουργήσας πεφώραμαι, ἢ πρὸς κέρδος ἀφορῶν, ἐπεβούλευσα, ἢ καὶ ἕτερόν τινα τρόπον σκευωρήσας ἐλήλεγμαι.

[50] f. διάβαλλε τὸ πέρα τῆς φύσεώς μου ὠμόν. aut τὸ παρὰ τὴν φύσιν praeter naturam; secus atque natura fert.

[51] πατὴρ] sic W. subaudi εἰμί. Mor. dat πρίν.

[52] f. ἐκεῖνοι δὲ οἱ πεπτωκότες.

[53] aut τὸ aut τι est delendum.

θυμάτων ὧν[54] ἐπιτελουμένοις τοῖς γάμοις ἀνόητά γε,[55] ὡς ἔοικεν, ὁ δείλαιος ἐκαλλιέρουν. ἐκεῖνος δ' ὁ τὴν τοῦ παντός μοι γένους ἐρημίαν συσκευασάμενος, καὶ τὰ φίλτατα ἐκπολεμώσας. νυμφίος μὲν ἦν· παῖς δ' οὖν καὶ οὗτος ἐμὸς, κἂν γονῆς ἑτέρας, ὡς ἀπὸ τῆς ἐμῆς ποτε θυγατρὸς ἐγνωρίζετο. οὗτοι μὲν οὖν πάντες ὁπόσοι τοῦ βήματος ἐπιστατεῖν εἰλήχασι, καὶ νόμοις τὴν πόλιν ἰθύνειν, πατέρες τέ εἰσι· καὶ τὴν ἐντεῦθεν περὶ τοὺς παῖδας φιλοστοργίαν οὐκ ἀγνοοῦσι. σὺ δὲ, εἰμὴ οὔπω πατὴρ ἔφθης[56] πρὸς τῆς τύχης γενόμενος, συγγνωστὸς μὲν οὐδ' οὕτως ἂν εἴης· τί γὰρ ὧν οὐκ οἶσθα τὴν φύσιν, περὶ τούτων διατείνεσθαι τολμᾷς ἐπ' ἐκκλησίας; εἴης δ' ἂν ὅμως περὶ[57] τὸ δοκεῖν θρασύνεσθαι μετριώτερος· οἷς οὐκ ἀπό τινος κακουργίας, ἀλλ' ἐξ ἀγνοίας, τὸν μηδὲν ἠδικηκότα διαβάλλειν ἐπιχειρεῖς. εἰ δὲ πατὴρ μὲν εἶ καὶ αὐτὸς καὶ παῖδας πρὸς θεῶν ἔχεις ἐπιδεῖν τε καὶ θρέψασθαι, ὅρα μὴ κακοῦργός τις εἶναι περὶ τοὺς σαυτοῦ δόξεις. καί που καὶ σύνοιδάς τινα περὶ τοὺς παῖδας τρέφων ἀπέχθειαν· οἷς δὲ[58] σαυτὸν ἔγνως περὶ τὴν φύσιν σκαιὸν, οὕτω καὶ τοὺς ἄλλους ἔχειν οὐ δικαίως νομίζεις. εἰ δ' οὐκ ἀπηχθανόμην, δῆλον ὡς οὐδὲ φθόνος οὐδεὶς, τὴν ἐμὴν κατὰ τῶν φιλτάτων ὥπλιστε δεξιάν. εἰ γάρ τις τὸ δυσμεναίνειν τῶν πατέρων ἐξέλοιτο, πάντως καὶ τὸ φθονεῖν συνεξείλετο· ἢ μισεῖν μὲν[59] καὶ φθονεῖν ὄντα πατέρα,

[54] ὧν idem h. l. valet atque ἃ ἐπιτελουμένοις, quod in duo vocabula ἐπὶ τελ. diuidi velim.

[55] ἀνόητά γε m. M.

[56] ἔφθης sic W. ὤφθης M.

[57] περὶ] f. πρὸς.

[58] non intelligo, num leg. ὡς δὲ, id quod ſuadet inſequens οὕτως, et quemadmodum tu tibi conſcius es importunitatis alicuius erga neceſſitudines tuas; ita exiſtimas, in quo admodum falleris, alios quoque pari modo duros et inhumanos erga liberos eſſe.

[59] μισεῖν μὲν] huic μὲν reſpondere videtur, quamquam raro et inſolenti modo, ἀλλὰ paulo poſt pro δέ. verum neſcio, an parum honeſtum dictu ſit affirmare eum, qui pater ſit, et is quidem de genere non belluino, ſed humano, proli ſuae infeſtum eſſe et inuidentiae plenum. Verum tamen facile dictu ſit, affirmare, cupidine lucri,

ρα, καὶ τοῦτον ἄνθρωπον, μὴ καὶ λέγειν οὐ καλόν; ἃ γὰρ οὐδὲ θῆρες περὶ τὰ ἔκγονα δράσειν ἀνάσχοιντο, ταῦτα πῶς οὐκ ἂν ἀνθρώπῳ προσάπτειν αἰσχρόν· καὶ τούτῳ μὴ βαρβάρου λαχόντι παιδείας· ἀλλ᾽ ὑπὸ νόμοις καὶ δημοκρατίᾳ τραφέντι, καὶ γυναῖκα κατὰ τοὺς νόμους ἀγομένῳ, καὶ παῖδας ἐπιδεῖν ἐπευξαμένῳ, καὶ ἰδόντι θρέψασθαι, καὶ θρεψαμένῳ, εἰς καλὸν τῶν ἐπὶ τούτοις ἀπόνασθαι πόνων· ἀλλὰ τὸ πρὸς κέρδος τοιαῦτα κακουργεῖν, εὐχερές; ἂν εἰπεῖν ἔχεις; [60] καί τοι τί κέρδος ἐντεῦθεν ἀνδρὶ βελτίσῳ προσγινόμενον εἰπεῖν ἂν ἔχεις; [61] νὴ Δία, τοὺς τῶν πεπτοκότων κλήρους ἀνελέσθαι, καὶ τὴν οἰκίαν ἐντεῦθεν χρήμασιν ἐπαυξῆσαι; ὡς καλόν γε, ὦ θεοί, τὸ κέρδος· ἀνθρώπου [62] τῆς αὐτῆς φύσεως, τῆς αὐτῆς πόλεως ἀφελέσθαι τὸ ζῆν· καὶ οὐδὲ τοῦτον ἕνα· οὐδ᾽ ἁπλῶς ἄνθρωπον; ἀλλ᾽ οὓς ἔτεκεν; ἀλλ᾽ οὓς ἔθρεψεν; ἀλλ᾽ οὓς ἐπαίδευσεν; ἀφ᾽ ὧν ἐπιδεῖν καὶ παῖδας πλείους ἤλπισεν, τούτους αὐτοχειρὶ διαχρήσασθαι, ἵν᾽ αὐτὸς ἔχῃ πλουτεῖν, ὅθεν ὁ νόμος οὐκ ἐφῆκεν. ἡδέως δ᾽ ἂν ἐροίμην σε τὸν οὐκ οἶδ᾽ ὅθεν, οὐδ᾽ ὅπως ἡμῖν ἐπιφυόμενον, καὶ δυστυχῆ πατέρα πάλαι, καὶ τὸ πολὺ τῆς ψυχῆς προσαφῃρημένον μετὰ τῶν παίδων· θεατρίζειν ἐπὶ μέσου βήματος ἀναγκάζοντα τὰς αὐτοῦ συμφοράς· καὶ λέγειν ἃ καὶ λεγόντων ἑτέρων, αὐτὸς ἂν εἰκότως κατεδυόμην. πόσων ταλάντων αὐτὸς, εἴπου σοι τέκνα περίεσι, τιμήσαις ἂν [63] τὸ πατὴρ εἶναι πρὸς τῆς αὐτοῦ δεξιᾶς ἀφελέσθαι. εἶτα σὺ μὲν οὐδ᾽ ἂν τοῦ παντὸς πλούτου προδοῦναι τὴν φύσιν κομπάζεις· ἐγὼ δ᾽ οὕτω σμικρολόγος περὶ τὰ πᾶσιν ἀνθρώποις τιμιώτατα; καὶ ἃ βάρβαροι, καὶ τί λέγω βάρβαροι, [64] ἀλλὰ καὶ

[60] et [61] pro vtroque ἔχεις malim ἔχοις legi.

[62] leg. ἄνθρωπον.

[63] post τιμήσαις ἂν deesse videtur ἄ τις σε βάλοιτο τὸ πατὴρ εἶναι πρὸς τῆς σεαυτοῦ δεξιᾶς ἀφελέσθαι. quanti aestimares h. e. quanti venderes operam dextrae tuae) si quis postularet, vt tu tua manu tibi dulce patris nomen eriperes, h. e. liberos tuos iugulares.

[64] καὶ τί λέγω βάρβαροι] sic W. haec verba desunt M.

καὶ θῆρες, καὶ πᾶν ὅσον τῆς γῆς ἀγριώτατον πλεῖστου τιμῶνται· μᾶλλον δὲ τοῦ παντός. καὶ πως ἀποβαλόντες, εἰ τύχοι, καὶ τὰς ψυχὰς αὐτὰς, καὶ τὸ ζῆν αὐθαιρέτως καταπροΐενται; ἀλλ' οὐχ οὕτως ἐγὼ τοῦ τε δικαίου καὶ τῶν νόμων ἀξύνετος, ὡς μὴ ξυνιδεῖν, ὡς περιόντας μὲν ἐκείνους, καὶ καλῶς πολιτευομένους, καὶ τύχης εὖ ἥκοντας, παῖδάς τε προσειπεῖν ἔξω καὶ πατὴρ αὐτὸς ὑπ' ἐκείνων ἀκοῦσαι, τοῦτο δὴ τὸ πᾶσιν ἀνθρώποις εὐκταιότατον. καὶ τὰ μὲν τῶν προσόντων μεταδοῦναι νόμῳ πατέρων τὰ δ' αὖθις αὐτὸς ὁπηνίκα, καὶ ὅτῳ, καὶ ὅσον δεοίμην τῆς ἐκείνων εὐδαιμονίας παρ' ἑκόντων κομιεῖσθαι. εἰ δ' ἐκεῖνοι μὲν οἰχήσονται, τὸ δὲ ζῆν ἐμοὶ περιέσται, στερήσομαι μὲν ἁπάντων, ὁπόσων ἂν ἐχαρίσαντο περιόντες· τὸ δὲ καλεῖσθαι πατὴρ μετὰ καὶ τῶν ἄλλων προσαπολέσας, ἀθλίως καὶ κακοδαιμόνως βιώσομαι. ἢν δέ μοι καὶ ἡ χεὶρ ἀθεμίτως ταῦτα καὶ μὴ προσηκόντως ξυνείσεται,[65] ἃ νῦν εὐλόγως, οἶμαι, καὶ κατὰ νόμον ξύνοιδεν· ἐκεῖνοι μὲν οὐδὲν ἧττον αὖθις[66] οἰχήσονται· ἐγὼ δὲ οὐ μόνον ὧν ἐκεῖθεν ἀποκερδᾶναι οὐχ ὁσίως ἤλπισα, παρὰ τῶν νομοφυλάκων τούτων ἀποκεκλείσομαι· ἀλλὰ καὶ μετὰ τοῦ κακοῦργος εἶναι δοκεῖν, καὶ τῶν περὶ τὴν φύσιν πονηρῶν ὁ σκαιότατος, καὶ τὰς ἐπὶ τοῖς ἀσεβοῦσι δίκας ἀποίσομαι· καὶ δημίου χεὶρ τὴν ἐμὴν δεξιὰν μετ' οὐ πολὺ διαδέξεται. εἰ δὲ καὶ τοῦτο δοίη τὶς, ὡς ἔσται τὶς τῶν ἁπάντων οὕτω μὲν ἄδικος περὶ τοὺς κοινοὺς τῆς φύσεως νόμους· οὕτω δὲ τῶν ἔξωθεν[67] τῇ πόλει νενομοθετημένων ἐς τὸ παράπαν ἀμύητος· ἀλλ' οὖν τό γε τοῖς ὅ, τι καὶ τύχοι κακουργεῖν βουλομένοις[68] τὰ μάλιστα σπουδαζόμενον,[69] δηλαδὴ τὸ λαθεῖν[70] κακουργήσας

[65] ξυνείσεται] sic W. ξυνοίσεται M.

[66] αὖθις non intelligo quid sibi h. l. velit. non magis, quam quid ἔξωθεν [67].

[68] f. βουλομένοις εἰς τὰ μάλιστα.

[69] σπουδαζόμενον] sic W. et m. M. σπουδαζόμενος t. M.

[70] f. δηλαδὴ πῶς λαθεῖν.

σας δυνήσεται· τοῦτο δὲ πάντως ὅλαις[71] ἂν μηχαναῖς ἐθηρώμην, ὡς μηδὲ τὴν ἀρχὴν ὅλως[72] ὁμολογεῖν τε ξίφους ἐφάψασθαι[73] καὶ τὴν ὄντως ἀτυχῆ ταυτηνὶ δεξιὰν ἐπικεχρωσμένην ἔτι τῷ τῶν παίδων λύθρῳ προτείνειν, μόνον οὐ τὸ τοῦ δημίου ξίφος ἑαυτῷ ἐπακονῶντα. ὡς ἔγωγε οὐδὲν ἕτερον τὰς δυστυχεῖς ταύτας χεῖρας αἰτιασαίμην ἄν, εἰ μὴ τοῦθ᾽ ὅτι μὴ κατ᾽ ἐμὲ[74] τρίτον προσέθηκαν· ἵν᾽ εἶχον τὸ μηκέτ᾽ ἀλγεῖν, τοῦ κακοῦ μηδὲν αἰσθανόμενος· μήθ᾽ ὑπὸ σοῦ τανῦν ἐπ᾽ ἐκκλησίας ἐρεσχελούμενος· ἦν ἄν μοι τρόπος ἕτερος, εἰ δυσμενῶς εἶχον, καὶ ὅλον τὸν θυμὸν ἀποπλῆσαι, καὶ τὸ καταφανὴς ἐπὶ τοιούτοις γενέσθαι φυλάξασθαι, εἰ μέ τι τῶν ἐκείνοις προσόντων ἔθελγε, παρ᾽ ἑκόντων εἶχον ἂν κομισάμενος· εἰ δὲ καὶ πρὸς τὴν δόσιν ἀνένευον, ἀλλ᾽ ἦν ὑφελέσθαι δόλῳ παρακρουσάμενον· εἴ μέ τι δυσμεναίνειν εἰς τοσοῦτον ἐκείνοις ἔπειθεν· ἦν ἂν τοὺς μὲν ἀλλοτρίας ἔργον γεγονέναι χειρὸς, ἐμὲ δὲ τὸ μὴ δοκεῖν ἀπενέγκασθαι. εἰ δὲ καὶ φαρμάκοις ἀνελεῖν ἐπεχείρουν, ποῖος ἄν τις τῶν ἁπάντων ᾔσθετο; νῦν δ᾽ οὔτε κακουργεῖν εἱλόμην, καὶ λαθεῖν οὐκ ἐμηχανώμην. τίς οὖν καὶ πῶς ὁ τῶν παίδων ὄλεθρος ἐκεῖνος ἐγίγνετο; ζῆλος ἦν ὑπὲρ τοῦ γένους αἰσχυνομένου, καὶ θυμὸς δίκαιος· ἀλλ᾽, οἴμοι· δεῖ γάρ με καὶ πάλιν ἐκτραγῳδεῖν τὸ κακόν· καὶ πάλιν οὐδὲν ἧττον καὶ πεπτωκότας τὰ μὲν αἰσχύνειν, καὶ μηκέτ᾽ ὄντας, ὡς κακῶς δεδρακότας, τοὺς παῖδας· τὰ δ᾽ ὑπὲρ ἐκείνων, καὶ τῆς ἐκείνων τόλμης[75] αὐτὸν ἐγκαλύπτεσθαι. ἔρως ἐκεῖνον ἠνώχλει χρημάτων· καὶ τοῦ μὲν τῆς γυναικὸς ὑπερεφρόνει κάλλους· τῆς δὲ προικὸς μᾶλλον ἤπερ ἐκείνης ἡλίσκετο. ἐντεῦθεν ὁ μὲν, δόλους ἐπήρτυεν· ἡδ᾽ ὑπήγετο. καὶ ὁ μὲν ἐξὸν ἀνὴρ καλεῖσθαι, μοιχὸς ἤθελεν εἶναι· καὶ ἦν ὑπὸ

[71] ὅλαις] id est πάσαις.

[72] ὅλως videtur scholium dictionis τὴν ἀρχὴν esse. pro τε proximo malim τοῦ.

[73] post ἐφάψασθαι deest aliquid.

[74] κατ᾽ ἐμὲ etiam in W. est, sed sine dubio leg. est καὶ ἐμὲ vt Mor. in marg. praecepit.

[75] f. καὶ τῆς κατ᾽ ἐκείνων τόλμης (subaudi ἐμῆς.)

ὑπὸ νόμοις εἶχε, ταύτην ὑποκλέπτειν ἐπεχείρει. ἤδ' οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις ἑάλω τε[76] πειρῶντος, καὶ τοσαύτην ἄνοιαν ἀκρασίᾳ συνέμιξεν, ὡς μηδὲ μετὰ τὴν πρώτην πεῖραν τἀνδρὸς ὑπιδέσθαι τὸ πικρὸν ἐκεῖνο ἐνθύμιον· καὶ φρονῆσαι μὲν ἀξίως τοῦ γένους· ἐμὲ δὲ τὸν πατέρα καταιδεσθῆναι, τηλικαῦτα τούτοις ἐπαισχυνόμενον. ἤκουσεν ἡ πόλις τοῦ σκευωρήματος· ἤχθέσθη καὶ πρὸς ἄμφω τοὺς τὸ καινὸν ἐκεῖνο δρᾶμα ἐκμελετήσαντας. τὰ τῆς φήμης ἐπήρετο· τὰ τῆς αἰσχύνης ἐπηύξετο· καὶ τὸ κακὸν ἐπ' ἀγορᾶς μέσης ἐπόμπευε. καὶ τὸ λοιπὸν διὰ γλώττης ἤδετο πανταχοῦ, ὁ παλαμναῖος, καὶ μοιχείας ἑτέρας ἐφευρετής· ἡ σώφρων ἐκείνη θυγάτηρ,[77] καὶ νοῦ πολλοῦ γέμουσα καὶ φρενῶν. τρίτος ἐπὶ τούτοις ἐγώ· καὶ τὸν δεῖνα τὶς προσειπὼν, ἐπέσκωψεν ἂν, καὶ τὸν τῆς θαυμασίας κόρης πατέρα προσέθηκε. τί οὖν ἔδει με πρὸς θεῶν ποιεῖν, ὦ κατήγορε; βαδίζειν ἐπ' ἀγορᾶς ἀπὸ τῆς ὕβρεως καλούμενον; δημηγορεῖν ἐπὶ βήματος, ὑπὸ τῶν δεινῶν τούτων ῥητόρων καταγελώμενον; καὶ τίσιν ἂν ὀφθαλμοῖς ἢ δικαστὰς προσεῖδον, ἢ φίλους προσειπεῖν ἐθάῤῥησα, ἢ καί τῳ τῶν ἄλλων ξυνήθων προσδιαλέξασθαι. πῶς δ' ἂν ταῖς ἀκοαῖς ταύταις ἤνεγκα, τῶν μὲν, ἐπιχλευαζόντων ἀκούων· τῶν δὲ καὶ γελωμένων[78] τῶν γε μετριωτέρων τῆς τύχης·[79] τῶν δὲ καὶ τοῖς οὐκ εἰδόσι διηγουμένων, ὡς οὗτος τῆς δεῖνος ὁ πατήρ; καὶ νυμφίον ἔχε πολλῷ τῆς κόρης σεμνότερον. ἢ ταῦτα βαρέα μὲν ἀκούειν, καὶ οὐδ' ἐπὶ σμικρὸν ἀνεκτὰ τοῖς γε νοῦν ἔχουσιν; ἔδει δὲ νουθετοῦντα πειρᾶσθαι σωφρονίζειν· ταῦτα γὰρ πρὸς[80] ὑγιαίνοντος ἔργα. οὐκοῦν ἐνου-

[76] ἑάλω τε] sic W. ἑάλωκε M.

[77] θυγάτριον m. M.

[78] neque γελωμένων intelligo, neque τελαμένων, quod in W. est. num leg. τῶν δὲ κατελεούντων. aliis commiseratione me prosequentibus.

[79] qui quidem aequiores essent, quam sors mea aduersus me fuisset.

[80] πρὸς] lege πατρός. est oratio ficta accusatoris, patrem infelicem increpantis. cui defensor statim occurrit — ἐκεῖν — Rursus accusator ἀλλ' ἐπὶ

ἐνουθέτουν, παρῄνουν· ἀλλ' ἐπὶ τὰ τῆς χειρὸς τελευτᾷν, τῶν λόγων ἀπελεγχομένων; οὐκοῦν ἐπὶ τοῦτο κἀγὼ τελευτᾷν ὥρμησα μετὰ τὰς πολλὰς παραινέσεις ἐκείνας· μετὰ τὰς μυρίας ἐκπλήξεις τὰς πρότερον· μετὰ τὰς ψιλὰς τοῦ φόνου προσδοκίας, ἃς αὐτοῖς πολλάκις ἐπέσεισα. τὸ δὲ[81] γὰρ δεδιέναι, φρουρὰν αὐτοῖς οὐ παροπτέαν ἐπιστήσειν ἐδόκουν ὁ μάταιος, καὶ τοῖς ἁπαλοῖς ἐξαπορήσας λόγοις, τοῖς δριμυτέροις ἐπιστύφειν διενοούμην. ἃ δράσειν ἤμελλον, ταῦτα πρὸ τῶν ἔργων ἐπαπειλούμενος. ὥστ' οὐδὲν οὐδ' οὕτω τοῖς λόγοις ἐπέραινον, ὁπλίζω μετὰ τοῦ δικαίου τὴν χεῖρα, καὶ πρὸ τῆς χειρὸς τὴν γνώμην· καὶ τῶν Ἀσκληπιαδῶν μιμοῦμαι τοὺς σοφωτέρους· οἳ πρὸς τοὺς καυτῆρας καὶ τὴν τομὴν ἀφορῶσιν, ἐπειδὰν εἰς οὐδὲν αὐτοῖς τὰ φάρμακα τελευτήσῃ. τοῦτο τέλος τοῖς μὲν, τοῦ δόλου, καὶ τῆς μιαρᾶς ἀπάτης ἐκείνης· ἡμῖν δὲ τῆς ἐκεῖθεν ἀδοξίας· οὐ γὰρ δήπου καὶ τῆς ἀτυχίας ἔχω λέγειν. ἐξέκοψα μοιχὸν ἄνδρα τῆς πόλεως. ἀνεῖλον νυμφίον πολέμιον· ἐπέθηκα καὶ φόβον τοῖς κηδεσταῖς·[82] ἐτήρησα τοῖς πατράσι τὰς περιουσίας. ἐδίδαξα τοὺς ἄνδρας, τὴν νόμῳ γημαμένην στέργειν. ἐφόβησα τὰς γυναῖκας ἀποκλίνειν πρὸς ἕτερον,[83] παρ' οὓς οἱ πατέρες αὐτῶν ἠγάγοντο. ἐπετείχισα τὴν ὑποψίαν τοῖς γένεσι. τίς γὰρ ἂν εὐνὴν ἑτέρου κακῶς ὑποκλέπτειν ἔτι τολμήσειεν, οὕτω μέχρι καὶ σήματος ὁρῶν τὸν μοιχὸν κολαζόμενον. τί μοι τὸν λόγον

τὰ τῆς χειρὸς — verum quid hic ſibi velit ἀλλὰ, non video. num leg. παρῄνουν, ἀλλὰ μάτην. vel ἄλλα ἐποίουν.

[81] aut δὲ prorſus delendum eſt, quemadmodum margo M. quoque admonet a libris nonnullis id abeſſe, aut cum τε mutandum eſt.

[82] κηδεσταῖς] generis, vt ſibi metuant a ſoceris.

[83] malim πρὸς ἑτέρους, ad alios, παρ' οὓς id eſt παρὰ τούτους, οὓς praeter eos, praeteritis iis, quos ipſarum patres ἠγάγοντο ſibi generos adſciuiſſent, aut in domum gentemque ſuam induxiſſent. ἄγεσθαι h. l. raro ſignificatu eſt vſurpatum, pro generum ſibi aliquem deligere.

λόγον ἐπιταράττειν ἐπιχειρεῖς· καὶ τοῦ μοιχὸς ὀνόματος μεταξὺ λεγομένου δραξάμενος, μέγα τι καὶ χελτιάζων ἀνέκραγες· ἀλλ' οὐ μοιχὸς ὁ πεσὼν, οὐδ' ἡ κειμένη μεμοίχευτο; τίνα γάρ σοι καὶ δοκοῦσι τὰ μοιχῶν, ὦ βέλτιστε; ἀλλὰ καὶ πάλιν[84] μετὰ τῶν δεινῶν ἐπιῤῥεῖ μοι τὰ δάκρυα. δεῖ γάρ με δυστυχῆ τινα τοῦτον ἀγῶνα δραμεῖν, καὶ τοῖς αὐτὸν αὐτοῦ κακοῖς, ὡς ἔοικε, πολλή τις ἀνάγκη σώζεσθαι· ὡς εἴθε λέγειν παρῆν μηδὲν αἰσθανόμενον. νῦν δ' ἀλλὰ δεῖ με δυοῖν κακοῖν ἀντέχεσθαι[85] βαλλόμενον. καὶ νῦν μὲν ἐπιστομίζειν πειρᾶσθαι τουτονὶ τὸν καὶ τῆς τύχης βαρύτερον· νῦν δ' ὡς οἷός τε πρὸς τὴν τοῦ πάθους ἀπομάχεσθαι μνήμην, αὐτῆς μου τῆς ψυχῆς μέσης καθικνουμένην, καὶ ὅλας δακρύων πηγὰς ἐκ τῶν ὀφθαλμῶν ὀχετηγοῦσαν· ὡς καὶ τὸν νοῦν καταβαπτίζειν, καὶ καθ' ὁδὸν οὐκ ἐᾶν προβαίνειν τοὺς λόγους. σκοπητέον δ' οὖν ὅμως, ὦ ἄνδρες, τίς μὲν ὁ μοιχὸς, τίνα δὲ καὶ τὰ τῆς μοιχευομένης. οὐκοῦν ὁ μοιχεύων, πρῶτα μὲν δεῖται προαγωγῶν, μαστροπίδων, θεραπαινίδων, λόγους, τοὺς μὲν, εἰς ἔρωτα, καὶ γυναικῶν[86] ἀπάτην ἐπετεχνάσατο. τοὺς δὲ πολλάκις, εἰ τύχοι καὶ[87] προσεπιχαράξας τῷ πίνακι, καὶ[88] τὸ πάθος ἐσήμηνε. δῶρα πολλὰ, τὰ μὲν, παραυτίκα προὔτεινε, τὰ δὲ μετ' οὐ μικρὸν[89] ὑπισχνεῖται. ἐπὶ δὴ τούτοις, ἡ κόρη προσίεται τοὺς λόγους, τὰ δῶρα, τὰς ἀγγελίας, τὰ γράμματα· καὶ πρὸς ὅπερ ἐκεῖνος ὁ γεγραφὼς ἐθέλει, κατένευσεν. ἔπειτα δέχεται τὴν ὑπόσχεσιν. ἐκεῖνος λαμβάνει τὸ ξύνθημα· καὶ πέρας ἔχει τὸ τόλμημα. τούτων οὐδὲν ἐνταυθοῖ παρῆκεν, οὐθ' ἡ σεμνὴ παῖς ἐκείνη καὶ σώφρων, οὐθ' ὁ καλὸς ἐκεῖνος νυμφίος, ὁ μᾶλλον τῆς ἐμῆς περιουσίας,

ἢ

84 malim ἀλλὰ γὰρ καὶ πάλιν.
85 f. νῦν δὲ ἅμα δεῖ με — ἀνέχεσθαι — tolerare, ſuſtinere.
86 γρ. γυναικὸς W. et m. M.
87 et 88 verumque καὶ deeſt W. prius ferri poſſe cum putem, tum poſterius abeſſe debere nullus dubito.
89 μικρὸν] lege μακρὸν non multo poſt h. e. paulo poſt.

ἢ τῆς παιδὸς ἐραστής· ἀλλ᾽ ἐπ᾽ ἀμφοῖν καὶ τὰ τῶν ἀλλοτρίας εὐνῆς πειρωμένων πάντα τετέλεσται· καὶ τῶν ὅσα γυναικὸς παραγομένης, οὐδὲν ἐνεδέησεν. ἀλλ᾽ ὁ μὲν ἀγγελίας καὶ δώρων ὑποσχέσεις προὔπεμπεν. καὶ ἦσαν οἱ ταῦτα φέροντες· ἡ δ᾽ ἡδέως ἐδέχετο· καὶ τὸ δὴ μεῖζον καὶ τελευταῖον, ὡς ἐπὶ τοιούτοις ξυνῄεσαν ἄμφω, καὶ τέλος εἶχεν ἡ σκηνή. καὶ τὸ δρᾶμα· ὁ μὲν, τὸ τοῦ μοιχοῦ περικείμενος προσωπεῖον ἐλάνθανεν· ἡ δ᾽ ὡς ἀλλοτρίῳ περιεπλέκετο· καὶ τοὔργον ἦν, ὡς οὐκ ἐν εἰδόσι γιγνόμενον. ὅπου δὲ ταῦτα πάντα ξυνεληλύθησαν,[90] πρὸς Διὸς, πῶς οὐ μοιχεία τὸ σκευωρούμενον. περὶ μὲν οὖν τῆς παιδὸς τοσοῦτον ἐγὼ δυστυχής. καὶ τοῦτο τὸ μέρος ὁ κακοδαίμων,[91] ὡς μηδὲ πλειόνων δεῖσθαι λόγων, ὡς οὐ πάλαι προὔδωκε τὴν σωφροσύνην ἐκείνη· εἰ γὰρ τὸ βούλεσθαι πανταχοῦ τοῖς νόμοις ὑπεύθυνον, καὶ τὰ τῆς γνώμης ἀνιχνεύειν προὔργου τοῖς δικασταῖς, τό γε μὴ[92] τινα τῶν ἀλλοτρίων εἶναι τὸν ἐξαπατῶντα,[93] οἶμαι, τοῦ μεμοιχεῦσθαι ταύτην δοκεῖν ἐξελέσθαι, ὅτι μηδὲ τὸν ὡς ἀποκτενοῦντα τὸ βέλος ἐπιῤῥίψαντα μὲν, οὐκ εὐτυχήσαντα δὲ τὴν βολὴν, τοῦ δοκεῖν ἀνδροφόνον τὸ μὴ τὰ καίρια τυχεῖν ἀπολύσεται· οὐδὲ τὸν νυκτὸς ἐπιθέμενον μὲν ὡς ὑφαιρησόμενον, φωραθέντα δὲ πρότερον τοῦτ᾽ αὐτὸ, τὸ μὴ λαβεῖν, ὡς ἀνέγκλητον ἐξαιρήσεται·[94] καὶ τῇ προαιρέσει τὴν μοιχείαν ἐπέγραφε. καὶ τοσαύτας εἶχε προῖκας, ὁπόσα τὸν νοῦν ἐκείνη πρὸς ἑτέρους ἀπέκλινε. καί μοι τίς ἂν καὶ τολμήσας[95] φθέγξασθαι μὴ μοιχὸν εἶναι τὸν τὰ[96] τοιαῦτα πειρώμενον. αὐτὸς ἐκεῖνος

90 aut ξυνεληλύθεισαν aut ξυνεληλύθεσαν leg.

91 f. τοσοῦτον λέγω· Δυστυχὴς εἰς τοῦτο τὸ μέρος, καὶ κακοδαίμων de filia tantum dico: Infelix fuit hac ex parte, et genio irato nata.

92 ἴσ. οὐ τό γε μὴ μ. M.

93 post ἐξαπατῶντα deesse videtur οὐκ ἄν.

94 ἐξαιρήσεται] sic W. ἐξαιρήσετε M.

95 lege τολμήσαι. Ecquis iam audebit coram me negare, moechum illum esse, qui talia patrauerit?

96 τὸν τὰ] sic W. τόνδε M.

νος οἷς τὴν ἐμὴν παῖδα τὰ τῶν μοιχευομένων[97] κατέκρινε, τούτοις ἑαυτὸν ἐπὶ[98] τοῖς αὐτοῖς ἐνεχόμενον προδήλως ἀπέφαινεν. οὐ γὰρ ἂν ἐκείνην μὲν ἀποκλείεσθαι δίκαιον, τὴν παθοῦσαν, τὴν ἠπατημένην, τὴν τὰ μείζω πάντων ἐξυβρισμένην· τὸν δ' οὕτω παρακρουσάμενον, καὶ τὴν ὅλην ἐπεσκευακότα ὕβριν, ἀζήμιον εἶναι, καὶ παντάπασι[99] πρόδηλον· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ, τὸ δὴ μεῖζον, προσαποκερδαίνειν τῆς ὕβρεως. εἰ δ' οὐκ ἐκεῖνος τὰ τῶν μοιχῶν ἐκακούργει, τί τὴν συνοικοῦσαν λοιπὸν ὡς ἀπὸ μοιχικῶν νόμων ἐξώθει τῆς οἰκίας; οὔτε γὰρ ξίφους ἔργον γένοιτ' ἄν τι, μὴ παρούσης ἀνδροφόνου χειρός· οὔτ' ἄν τις,[100] μοιχείας ὑποσταίη γραφὴν, μὴ προὔφεστῶτος τοῦ τὴν εὐνὴν ὑποκλέψοντος. ἔπειτα τίς οὐκ ἂν μυσαχθείη τῆς πονηρίας ἄνδρα, γυναικὸς ὑβριστὴν, νυμφίον τοῦ κήδους πολέμιον, ξύνοικον τοῦ γένους ἐπίβουλον· καὶ τοσαύτης ἀδοξίας κέρδος μικρὸν ἀνθελόμενον[1] καὶ τοῦτο πικρὸν, καὶ θεοῖς ἀποτρόπαιον· καὶ ταῦτα, παρὸν κεκτῆσθαι μετ' εὐδοξίας, καὶ προσαπολαύειν μετὰ καὶ τῆς γυναικὸς βέλτιον, εἰ σωφρονεῖν ἐκεῖνος ἠπίστατο. εἰ δὴ μοιχὸς οὗτος ἦν, καὶ μοιχῶν ἁπάντων ἔχθιστος. καὶ τοσούτῳ μᾶλλον κολάζεσθαι δίκαιος, ὅσῳ καὶ πολλῷ καινότερον ἐφεῦρε πονήρευμα· τί μὴ δικαιότατα πέπτωκεν, ὦ σὺ καὶ ὑπὲρ τὸ δέον φιλάνθρωπε. εἰ δ' ἐχρῆν τοιαύτην πονηρίαν ἐκκόψαι τῆς πόλεως, αὐτὸς ἐγὼ πρὸς ἐκείνου τηλικαῦτα περιύβρισμαι· αὐτὸς ἐγὼ τολοιπὸν καὶ καλῶς ἠμυνάμην· καὶ κακῶς ὑπ' ἐκείνου παθὼν, οὐ κακῶς ἐπήνεγκα καὶ τὴν δίκην· καὶ ἄμφω τῆς ἐκ τοῦ ζῆν ἀδοξίας ἔπαυσα. κατὰ τοῦτο τὸ μέρος ἐκεῖνοι πεσόντες

παρ

[97] locus hic deprauatus est. vtcunque mollias addendo παθῶν post μοιχευομένων. Verum tamen aliud melius requiro.

[98] aut ἐπὶ prorsus est delendum, aut latet in eo v. ἐπιτιμίοις.

[99] παντάπασι] num ἀπαντῶν πᾶσι? non satis placet.

[100] pro τις dat W. γυνή. possit vtrumque copulari. γυνή τις.

[1] ἀνθελόμενον] sic W. et m. M.

παρ' ἡμῶν εὐηργέτηνται. τί γὰρ ἂν τοῦ κακῶς καὶ μετ' αἰσχύνης βιῶναι λέγειν ἔχοι τὶς αἴσχιον; εἰ δ' ἐκεῖνοι νοῦν γενναῖον ἐτύγχανον ἔχοντες· καὶ λογισμὸν ἐκ μεταμελείας ἀνελάμβανον σώφρονα· οὐκ ἂν αὐτοὶ ἑαυτοῖς[2] τοῦθ', ὅπερ ἡμεῖς,[3] πάλαι προὔλαβον δράσαντες, ἐξότου περ πανταχῇ τὸ κακὸν διακεκωδώνιστο· καὶ τὰ κάλλιστα τῶν ὀνομάτων, εἰς τὰ πάντων αἰσχίω μετέβαλον· ἀντὶ μὲν νυμφίου μοιχός· ἀντὶ δὲ γυναικὸς ἐννόμου, καὶ σώφρονος, ἀκόλαστος, καὶ τῆς εὐνῆς προδότις ἀποκαλούμενοι; πόσοι τοῦ κακῶς ἀκοῦσαι τὸ μηκέτι ζῆν ἀντηλλάξαντο. ἤδη τινὲς ὕβριν εἰς τὸ σῶμα δεξάμενοι, βίᾳ τυχὸν πολεμίων, εἴθ' ὑπὸ ἑτέρας ἡστινοσοῦν ἀνάγκης, πίπτουσι μετὰ τὴν ὕβριν αὐτόχειρες· καὶ τὸ τῇ γνώμῃ σωφρονεῖν ἐπιβεβαιοῦσι, κἂν τὸ σῶμα ἡ τύχη ἐξεβιάσατο. τί γὰρ τοῦ μοιχὸν εἶναι δοκεῖ σχετλιώτερον; τί δὲ γυναικὶ σωφροσύνῃ τὴν τοῦ ἀνδρὸς[4] καταισχύνειν εὐνὴν οὐ κουφότερον; ὑπὲρ τίνων καὶ πατέρες μαχόμεθα, καὶ ἄνδρες φέρουσι πίπτοντες. ὅτι παῖδές που πάντως καὶ γυναῖκες ἡμῖν τὰ τιμιώτατα· κἂν τις εἰς τὰ φίλτατα ἐξυβρίσῃ, τὰ ὅπλα εὐθὺς ἁρπάζομεν. ὑπὲρ τίνων καὶ πόλεις ἔχομεν, καὶ νόμους[5] ταττόμεθα, καὶ ὅπλα φέρομεν, καὶ βουλὰς ἀθροίζομεν· καὶ πρὸς βῆμα φθεγγόμεθα· τοὺς δὲ τυραννεῖν ἑλομένους, καὶ τὰς ἀκροπόλεις περισκοποῦντας, οὐ τούτου[6] γε ἕνεκα καὶ μισοῦμεν, καὶ κολάζομεν, καὶ πᾶν ὅ, τι καὶ δεινόν,[7] μικρὸν καὶ οὐδὲν

[2] in W. eſt αὐτοὺς ἑαυτοί, hactenus recte, quod accuſatiuum dat. malim tamen αὐτοὶ ἑαυτοὺς, nam accuſatiuus hic vtique neceſſarius eſt. ipſi in ſemet id exſecuti eſſent, quod ego ſum. h. e. ipſi ſemet interfeciſſent.

[3] ἡμᾶς] ſcil. ἐδράσαμεν αὐτούς.

[4] probo Morelli coniecturam, ſed hactenus, vt ſcribam τοῦ τὴν τἀνδρὸς (id eſt τοῦ ἀνδρός.)

[5] νόμοις W. et m. M. aut ſervanda vulgata, aut, ſi νόμοις praeferamus, leg. erit ὑποταττόμεθα.

[6] τούτου] ſcil. τοῦ ὑβρίζεσθαι ὑπ' αὐτῆς τοὺς παῖδας καὶ τὰς γυναῖκας.

[7] πᾶν, ὅ, τι καὶ δεινὸν] ſubaudi παρὰ τοῦτο ἓν καὶ μόνον ἐξεταζόμενον.

οὐδὲν ὡς ἐπὶ τυραννίδι νομίζομεν; ἑκοῦν ἃ πρὸς ἑτέρους τοὐμὸν γένος αἰσχύνοντας διεπραξάμην ἄν, δικαίως ταῦτα καὶ τοὺς οἰκείους ὑπ' αὐτῶν περιυβρισμένος διέθηκα. καί τοι τοῦτο πολλῷ χεῖρον καὶ πλείονος γέμον αἰσχύνης, ἤπερ εἰ παρά του τῶν πολεμίων ἀδοξεῖν ἠναγκάζοντο. ἐκεῖ γὰρ μόνης τῆς βίας ἂν ἐδόκει τὸ κακόν· ἐνταῦθα δὲ πρὸς τὴν γνώμην ἡ φαυλότης ὁρᾷ. τὸ δ' ἑκόντας ἐξαμαρτεῖν, οὔτε τινὰ παρὰ τοῖς νόμοις ἀποφέρεται συγγνώμην. καὶ τὸ παντελῶς ἀδοξεῖν προσεφέλκεται. εἰ μὲν οὖν ἕτερόν τινα τρόπον ἐνῆν τὴν ὕβριν ἀποσκεδάσαι, τηλικαύτην[8] ἀδοξίαν ἀποφυγεῖν τῆς τυχούσης τιμησαμένον δίκης, ἐμοὶ μὲν τοῦτο, οὔτε πρότερον ἐπῄει λογίσασθαι. ἀλλ' οὐδὲ νῦν ἔχω ξυνορᾶν, ὅπως οὕτω τι μέγα καὶ δεινὸν αἶσχος ἑτέρως ἄν τις ἐνθυμηθεὶς, ἀποτρίψαιτο. εἰ δὲ νῦν ὁ κατήγορος ξυνῆκέ τι σοφώτερον· ἐγὼ μὲν ξυγγνωστὸς ἂν εἴην, ὡς ἐς τοσοῦτον κακοῦ μέγεθος, ἀξίαν καὶ τὴν τομὴν ἐφευράμενος· καὶ τοῦτο μόνον τὸ τὴν ἐπιπονωτέραν ἴσως τραπέσθαι, κακίζεσθαι δίκαιος· καὶ ἅμα ἄνθρωπος τὸ πολὺ τοῦ φρονεῖν, μᾶλλον δὲ τὸ πᾶν ἀφῃρημένος· οἷς ὁ θυμὸς μετὰ βαρείας οὕτω τοι[9] τῆς ἀθυμίας πολὺς κατὰ καρδίαν ἐπιχεθεὶς,[10] ὅλον μοι τὸν νοῦν συνεθόλωσεν. ὁ δ' οἷς[11] οὐ πρὸς ξυμβουλὴν τοῦτό μοι τὸ σοφὸν. φέρων κατέθηκε πρότερον,[12] εὐλόγως ἂν, οἶμαι, νομίζοιτο τῶν ἁπάντων ἀνδρῶν ὁ σκαιότατος· καὶ τοῖς τῶν πολιτῶν ἀλόχων κακοῖς καὶ τοῦτο τῆς ἐκκλησίας καρπούμενος. εἰ δὲ καὶ βαθύτερόν τι διαλογιεῖσθε,[13] γνοίητ' ἂν, ὡς μέχρις ἂν ἐπὶ τῆς πόλεως εἶχον ἐκεῖνοι τὰ σώματα, καὶ τὸ αἶσχος ἐπήνθει· καὶ τὸ κακὸν ἐπεκώμαζε. μᾶλλον μὲν οὖν οὐκ ἔθ' ὅπως μὴ καὶ τὸ τῆς φήμης πτερὸν ταχὺ φερόμενον, τὴν ὕβριν

ἀπαν-

8 f. καὶ τηλικαύτην.

9 τοι] malim τι.

10 malim ἐπιχυθεὶς.

11 ὁ δὲ οἷς] id est ὅτος δὲ ὅτι —

12 πρότερον] id est πρὸ τοῦ δρᾶσαι ἐμὲ τὸν φόνον.

13 διαλογιεῖσθε] sic W. διαλογιεῖσθαι M.

ἁπανταχῇ διεσύριττε· καὶ ζώντων ἂν, τὰ τῆς αἰσχύνης συνέζη τε πάντως, καὶ συνηύξετο. καί που καὶ πολὺς τοιοῦτος ὑφεῖρπε λόγος παρὰ τοῖς ἀστυγείτοσι, παρὰ τοῖς ἐνταυθοῖ ξένοις. παρ' ἡμῖν αὐτοῖς ἄνθρωπος εἷς ὅλην πόλιν, ὅλον γένος ἐξύβρικε. καὶ οὔθ' ὁ τῆς κόρης πατὴρ, οὔθ' οἱ τοῦ λοιποῦ γένους· οὔθ' οἱ τῆς πόλεως Φροντισαὶ, τὴν ὕβριν περιαιροῦσιν· ἀλλ' ἡ μὲν Φήμη, οὕτω πικρά τις καὶ πάνδημος· καὶ οὐκ ἔσθ' ὅποι οὐ Φέρεται. ὁ δὲ πατὴρ οὐ λογίζεται τὴν ὕβριν; τὸ δ' ἄλλο γένος οὐχ ὑφορᾶται τὴν ἀδοξίαν. οἱ δὲ σεμνοὶ καὶ νομοφυλακοῦντες οὗτοι, κάθηνται, ὥσπερ γεγηθότες ἐφ' οἷς ἡ πόλις αἰσχύνεται. καὶ οὔτε τῶν νόμων παραβαινομένων ὑπεραλγοῦσιν, οὔτ' αὖ τῶν[14] ὅρκων Φόβος οὐδεὶς αὐτοὺς ὕπεισιν. οἷς ἔμπεδα τὰ τῶν νόμων τηρεῖν[15] ἐπωμόσαντο. τὸ γένος περιύβρισται· τοῖς δὲ τοῦ γένους λόγος οὐδείς. ὁ τῶν ὅλων πατὴρ Ζεὺς τὸ ἐπὶ τούτοις[16] ἠτίμασται· ὁ δὲ πατὴρ οὐκ ἀλγεῖ. Ἥρας γαμηλίου θεσμὸς ἠδίκηται· τοῖς δ' ἐπὶ τοῦτο[17] τεταγμένοις, τοῦ πράγματος ὅλως οὐκ ἠμέλησεν·[18] ἡ πόλις ὅλη μετὰ καὶ τῆς δίκης αὐτῆς ἀδοξεῖ· τῶν δὲ δικαστῶν οὐκ ἔστιν ὃς οὐκ ἀποσιωπᾷ. τούτους μετήλλαξα τοὺς λόγους ἐγώ· ταύτας μετήμειψα τὰς Φωνάς· τηλικαύτην ἀδοξίαν ἔπαυσα. καὶ νῦν τό, τε τῆς Φήμης πικρὸν ἔσβεσται. καὶ οὔτ' ἐμοῦ τὸν πατέρα, οὔτε τοὺς λοιποὺς τοῦ γένους, οὔθ' ὑμᾶς αὐτοὺς, οὐδ' ἂν τῶν πάνυ Φιλαιτίων ἔχοι τις αἰτιᾶσθαι· ἀλλ' ἔτι πολὺς οὗτος ὁ λόγος παρὰ τοῖς ξένοις, παρὰ τοῖς αὐτόχθοσιν· ἐπὶ θεάτρων, ἐπ' ἀγορᾶς, ἐπ' ἐκκλησίας· ὡς οὐκ ἦν ἄρα ἐπὶ μακρὸν λήσεσθαι, τοὺς ἐπὶ τοιαύτης ὑβρίζοντας πόλεως· οὐδὲ πρὸς δημοκρατίας οὕτω σεμ-

[14] οὔτ' αὖ τῶν] sic W. οὔτ' αὐτῶν M.

[15] malim τηρήσειν.

[16] τὸ ἐπὶ τούτοις] quantum in ipsis est. pro parte eorum virili.

[17] ἐπὶ τοῦτο est in W. quoque, neque prorsus damnem, vt quod defendi queat; malim tamen ἐπὶ τούτῳ.

[18] lego ἐμέλησεν. est enim a μέλει curae est, non ab ἀμελῶν.

σεμνῆς περιόψεσθαι[19] τὸ δεινὸν ὑφέρπον τὲ καὶ λωβώμενον. ἀλλ' ὁ συζευξάμενος τὸν γάμον πατὴρ, καὶ τὰ πατρὸς ἐτήρησε, καὶ ὁμόγνιον Δία, καὶ Ἥραν συζυγίαν ἐτίμησε πρότερον· καὶ νῦν οὗτος τούς τε τοῦ γένους, τήν τε πόλιν ἀδοξίας οὐ τῆς τυχούσης ἐξείλετο· καὶ γάμων ὕβριν ἐξέκοψε· καὶ οὔτε τῆς παιδὸς ὑπεισῆλθέ τις οἶκτος αὐτὸν, οὔθ' ὅσα ἐφ' οἷς ἔτρεφεν ἐκείνην,[20] ἀνάλωσεν, ἐπῆλθε τῷ λογισμῷ. οὔθ' ὡς οὐδὲν πατέρων ὀφθαλμοῖς γλύκιον τοῦ παῖδας ὁρᾷν ἔχειν, ἐσκέψατο· ἀλλ' ὑπερεῖδε πατρικῶν σπλάγχνων ἀνάγκην· ὑπερεῖδε τοὺς ἐπὶ παιδοτροφίᾳ πόνους. οὐκ ἐλογίσατο τὴν περὶ τοὺς γάμους δαπάνην· οὐκ ἐσκέψατο τοὺς μετέπειτα παῖδας, οὓς εἶχεν ἂν εἰ μὴ τὴν κόρην ἐφ' οἷς εἷλε[21] μετεπορεύσατο· ἀλλ' ἐπὶ τοὺς νόμους ἔβλεψεν, ἐπὶ τὴν πόλιν ὅλους ἀφῆκε τοὺς λογισμούς· εἶδεν ὡς τὸ μηδὲν παρ' ἐκείνοις οἱ νόμοι, καὶ τὰ τῆς πόλεως περιύβρισαι. καὶ παραυτίκα ὅλος τοῦ δικαίου καὶ τῆς θρεψαμένης γίγνεται. καὶ δραμάτων τὴν οἰκίαν ἐνέπλησεν, ἵν' ἔχῃ μηδὲν ἡ πόλις αἰσχύνεσθαι. καὶ οὐδὲ δικαστῶν καὶ βήματος, ἐπὶ τούτοις ἠνέσχετο. ἀλλ' ἐξ ἧς οἰκίας, ἀφ' οὗ γένους τὸ κακὸν ἀνεφύη, παρ' αὐτῶν ἐκείνων ἔκρινε δεῖν ἐκκεκόφθαι. ὅτι δὲ καὶ τὰ τῆς τιμωρίας οὐδὲν μείζω τοῦ πονηρεύματος, ἀναλογίσασθε, ὦ ἄνδρες, ὅσα καὶ ὅπως τοὺς τηλικαῦτα ἐξαμαρτάνοντας ὁ νομοθέτης[22] ἐκόλασεν. εἶδε κἀκεῖνος τὸ πολὺ τοῦ κακουργήματος· καὶ παρ' αὐτίκα ἐπὶ τὴν σφαγὴν ὥρμησε· καὶ τὸ ξίφος ἐπέσεισε. τίνος οὖν ἂν εἴη λόγου, ποίας δὲ δίκης, παρ' ὑμῖν[23] εὐθυνόμενον ἑστάναι τὸν, ἅπερ ἂν καὶ ὑμεῖς, ἐργάσα-

[19] malim περιόπτεσθαι. non decuiſſe remp. aut exſpectandum a rep. non fuiſſe tam graui, vt ſineret malum. —
[20] ἐφ' οἷς ἔτρεφεν ἐκείνην] id eſt ἐπὶ τῇ τροφῇ ἐκείνης, vel ἐν τῷ τρέφειν αὐτήν.

[21] εἷλε] ſcil. πλημμελοῦσαν. μετεπορεύσατο] id eſt ἐτιμωρήσατο.
[22] ὁ νομοθέτης] ſic W. ὁ deeſt M.
[23] ἡμῖν .W, et m. M.

γάσασθαι οὐκ ἂν ἀποκνήσαντα; εἰ μὴ[24] ξίφους ὁ νομοθέτης τουτὶ τὸ δεινὸν ἐτιμήσατο. ἐπέξιθί μοι τὸ γράμμα, καὶ τοῦ βήματός τι ἀποστήσομαι. εἰδ᾽ οὖν,[25] ἀλλ᾽, ὅτι μὴ μοιχὸς ἐκεῖνος, ἐξέλεγχε. εἰ δὲ τοῦτο μὲν[26] πρὸς τῆς ἀληθείας, ἐκεῖνο δὲ[27] παρ᾽ ἡμῶν, μᾶλλον δὲ ὑπὸ τῶν νόμων ἀφῄρησαι, μὴ μάτην σύ γε γίνου κατήγορος· ἢ γὰρ οὐκ αἰσχύνῃ, πρὸς τῆς Δίκης αὐτῆς, οὕτω γραφόμενος ἄτοπα, πατέρα ἄνθρωπον,[28] καὶ τοῦτον ὡς οἶμαι, καὶ πάντες ἴστε, μετριώτερον τοὺς τρόπους καὶ λήματος καὶ ὀργῆς ἀνθρωπικώτερον ἔχοντα· καὶ μὴ κατὰ τοὺς τῶν θηρῶν ἀγρίους ἐπιπηδῶντα.[29] καὶ τί λέγω περὶ τῶν ἐμῶν, καὶ οὓς αὐτὸς καὶ γάμοις ἔζευξα, καὶ ἔθρεψα, καὶ ἐπαίδευσα; ἀλλὰ τίνα τῶν τῆς αὐτῆς πόλεως· ἀλλὰ τίνα τῶν ἐξ ἀστυγείτονος· ἀλλὰ τίνα τῶν πορρωτέρω· μόνον ἁπλῶς ἄνθρωπον, δοκῇς ἂν ἐθελῆσαι[30] κτείνειν δίκης ἄνευ καὶ νόμων. ἀλλὰ τί μὴ τοὺς τῆς φύσεως αὐτῆς ἀφεὶς,[31] οὓς ἄν τις καὶ ἄκων οἰκτίσαι, ἀνθρώπους γε ὄντας ἄνθρωπος, ἀπὸ τῶν φαυλοτέρων ποιοῦμαι τοὺς λόγους; ὁρᾷς τοὺς φυτηκομοῦντας τούτους ἐπὶ τῶν ἀγρῶν, οὐδ᾽ οὗτοί ποτε τοῦ τῶν φυτῶν στοίχου, μὴ ὅτι δένδρον ὅλον, ἀλλ᾽ οὐδὲ κλάδον ἐκκόπτου-

σιν

24 *εἰ μὴ*] num *ἢ μὴ* aut annon legislator huic crimini ſicam pro poena ſanxit? tu negabis, ſicam a legislatore huic crimini conſtitutam eſſe poenam? *Woblan dann. Lieſs einmabl dieſes Geſetz.*

25 *εἰδ᾽ οὖν*] ſcil. *ὁ νομοθέτης ἐτιμήσατο τουτὶ τὸ δεινὸν ξίφους.* ſin autem hoc quidem concedis, at hoc tamen doce, peremtum moechum non fuiſſe.

26 *τοῦτο μὲν*] hoc veritas ipſa tibi eripit, ſcil. *αὐτὸν μὴ γενέσθαι μοιχόν.*

27 *ἐκεῖνο δὲ*] ſcil. non licere moechum ferro iugulare.

28 f. *ἄνθρωπον ἀνθρώπου.*

29 poſt *ἐπιπηδῶντα* deeſt aliquid, c. c. *τοῖς ἐμοῖς. καί τοι τι λέγω περὶ τῶν ἐμῶν.* quamquam ne hoc quidem ſatis eſſe ſuſpicor.

30 *ἐθελῆσαι*] ſcil. *ἐμέ*, videorne tibi is eſſe, qui voluerim — vel hominem modo, (animal, quod eſſet humana forma et mente praeditum) occidere?

31 f. *τοὺς τῆς αὐτῆς φύσεως κοινωνοὺς* (vel *μερίτας*) *ἀφεὶς.* transmiſſis iis, qui eiusdem naturae tecum ſunt participes.

σιν ἀλόγως, εἰ μὴ πρότερον αὐτῦ καταγνοῖεν τὸ ἄκαρπον. καὶ οὐ τὴν αὐτὴν περὶ μόνα ταῦτα γνώμην ἔχουσιν· ἀλλ' οὐδὲ ποάν τινα τῦ κηπεύματος τὸ φαυλότατον, οὐχ ὑπούσης αἰτίας, ἀπέσπασαν. ποῦ δέ σοι καὶ κατηγορίας ἄξιον, τὸ καθελεῖν οὓς ὁ νόμος ἐπέτρεψεν; εἰ δ' ἐμὲ δεῖν φόβῳ νενόμικας γράφεσθαι, τί μὴ καὶ τοὺς δικαστὰς, ὅτι καὶ παρ' αὐτῶν ὀκ ὀλίγοι πεπτώκασιν ἔννομα· ξίφος ἐνταῦθα, κἀκεῖ πάντως· καὶ τοὔργον ἕν· καὶ ἡ χεὶρ ἐπίσης ἐξώπλισαι. καὶ τόν γε τῶν πεπτωκότων τρόπον ἔνεστιν ἰδεῖν, ὀκ ἀνόμοιον· μοιχοὶ καὶ κακοῦργοι καὶ παρ' ἐκείνοις. τῦτο δὴ τὸ κακὸν καὶ νῦν ἤνθησεν ἐκ τῆς ἐμῆς οἰκίας· ἐκ τῦ αὐτῦ μοι γένυς· ὦ θεοὶ ἐφέσιοι· καὶ τοιῦτον μῦσος ὑμεῖς ἐπ' οἴκου τελῦμενον ἰδεῖν ἠνέχεσθε· τάχα πυ καὶ παρὰ τὴν ὑμετέραν ἑστίαν ἐκμελετώμενον. εἰ δὲ πάντα παρ' ἀμφοτέροις ταῦτα,[32] καὶ τῦ πεσεῖν ἄξιοι,[33] δῆλον ὅτι καὶ παρ' ἀμφοῖν τὸ μὴ κακίζεσθαι[34] λείπεται. ἀπέκτεινα μὲν, ἀλλ' ὀ νυμφίον· ἐξέκοψα μὲν, ἀλλ' ὀ παῖδα. ἐφηψάμην ξίφυς· ἀλλ' ἐν οἷς ὁ νόμος ἐφῆκεν.[35] ὥπλισα τὴν δεξιάν· ἀλλ' ἔνθα καὶ νομοθέτης[36] τὸν δήμιον. μοιχὸν ἀνεῖλον, καὶ τὴν μοιχευομένην προσέθηκα· καὶ τό γ' ἀξίως ἀπεκτονέναι, τὸ καὶ φόνον εἶναι δοκεῖν ἀφαιρεῖται· ὀκ ἀφαιρεῖται τὸν φόνον[37] εἶναι τὸ πρᾶγμα ἄλλο τι, ἢ ὅτι δικαίως ἠγώνισμαι. εἰ δὲ τοιοῦτος ὁ τρόπος, οὐδ' εὐθύνας ἐπὶ τοιούτοις ἀπαιτεῖν εὔλογον. οὐ καθαρὸν πολίτην ἀφειλόμην τῆς πόλεως· ἀλλ' ὑβριστὴν, ἀλλὰ μοιχόν· ἀλλ' εἰ οἷός τ' ἦν, καὶ πολλάκις ἀπολέσθαι δίκαιον.

[32] ταῦτα] imo vero ταὐτά.

[33] circa ἄξιοι deesse videtur οἱ τοιῦτοι.

[34] κακίζεσθαι] segnes, imbelles, ignauos esse.

[35] γρ. ἐφήκει m. M.

[36] malim ὁ νομοθέτης.

[37] τὸν φόνον] imo vero τὸ φόνον. illud τὸ non cum φόνον, sed cum εἶναι cohaeret. Idem est ac si dixisset, ὅτι δικαίως ἠγώνισμαι (hoc est ἔδρασά τι μεστὸν ἀγωνίας) τῦτο, καὶ τῦτο μόνον, καὶ ὀδὲν ἄλλο, πεποίηκε τὸ πρᾶγμα ὀκ εἶναι φόνον. quod facinus hoc arduum iure merito peregi, hoc solum eripit facto titulum caedis. h. e. efficit, vt ei nomen caedis minus conueniret.

καιον. οἷς μὲν γὰρ ἠδίκει, πεπτωκὼς οὐκ ἠδίκηται. οἷς δ' ἀξίαν ἐδέχετο τὴν πληγὴν, οὐδ' ἡ πόλις προσεζημίωται. ἐχρῆν δ', οἶμαι, καὶ τοὺς ἐξ Ἀσκληπιοῦ τῶν σωμάτων ἀποκόπτειν ὁπόσα[38] καὶ σέσηπε καὶ τὸν φυτηκόμον ὁπόσους ἂν φωράσειε τῶν κλάδων ἀποθνήσκοντας· καὶ τοὺς πατέρας οὐδὲν ἧττον τοῦ γένους ἐκκαθαίρειν τὸ ἄκοσμον. οὐ μᾶλλον ὑπὲρ αὐτῶν τοῦτο μηχανωμένους, ἤπερ τῆς πόλεως, ἣ τούτους ἐθρέψατο. τὸ γὰρ ἄνδρα πονηρὸν ἐξελέσθαι πόλεως, ἴσον τῷ καὶ μέλος διεφθορὸς σώματος ἐκτεμεῖν. ἀλλ' ἐνταῦθα μὲν οὐδὲν ἔχουσι λέγειν οἱ μηδὲν ἧττον τῆς τύχης ἐμπηδῶντες ἡμῖν οὗτοι. τὸ δ' ὅτι μὴ κοινωνησάμενος τῷ δήμῳ τὴν γνώμην, ἐπλήρουν, τοῦτο δὲ γραφῆς τιμῶνται καὶ δίκης. ἐγὼ δ' εἰ μὲν ᾔδειν ἕτερόν τι τὸν δῆμον περὶ τῶν ἐμῶν βουλευσόμενον. ἀλλ' οὐ τοῦθ', ὅπερ αὐτῷ μοι νενόμιστο δίκαιον, τάχ' ἂν ἔκρινα δεῖν ἐπὶ δικασταῖς ποιεῖσθαι τὰς ψήφους· καὶ ὡς ἐκείνοις δοκοῦν, ἐπὶ τοὺς παῖδας ἁμαρτόντας φέρεσθαι. ἐπεὶ δὲ ταῦτα, ἅπερ ἐγὼ ψηφιεῖσθαι, καὶ πέρα τούτων οὐδὲν ἤμελλον, οὔ μοι δικαίως τοῦ σοῦ τούτου βουλεύματος προσεδήσεν. ἐν οἷς γὰρ ὅ, τι καὶ δεῖ πράττειν οὐκ ἔγνωσται, ταῦτα καὶ κοινοῦσθαι τῷ δήμῳ ξυμφέρον· ὡς ἔνθα τὸ πρακτέον δῆλον, μὴ καὶ περιττὸν ἐκκλησίας προσδεῖσθαι. ταῦτα ἄρα[39] κατ' ἐμαυτὸν εἶδον τὸ καλόν. ἐσκόπησα τὸ τοῖς νόμοις περὶ τούτου δοκοῦν. κατεψηφισάμην μετὰ καὶ τοῦ νόμου θάνατον. ἐπεκύρωσα τοῦτο τὸ ψήφισμα. καὶ τὸ ἐντεῦθεν ὡς νόμος οἶδεν ἐπράττετο. ἐπὶ τούτοις ἐξηπιστάμην ἐμαυτὸν τὸν πατέρα τῶν ἁμαρτόντων· τοὺς δὲ νόμους πάντας[40] τῷ πατρὶ περὶ τοὺς παῖδας ἐφιέντας. οὐ γάρ ἐστιν ὅπου καὶ νομεθέτης τὴν γνώμην πεφόβηται· μή τι καὶ δεινὸν παραπολαύσωσι τῆς τοῦ πατρὸς αὐτονομίας οἱ παῖδες·

εἰ

38 malim ὁπόσα κατασέσηπε.

39 ταῦτα ἄρα] id eſt διὰ ταῦτα ἄρα his ferme de cauſis contemplatus ego mecum fui honeſtum, ſeu honeſtatem facinoris.

40 malim πάντας πάντα leges, nullas non patri nihil non in liberos permittere.

εἰ μὴ πρότερον ἐκεῖνοι μονονοὺ τὸ ξίφος ἐπὶ σφᾶς αὐτοὺς ὠθήσουσιν, ὡς οὖν πατὴρ περὶ τοὺς παῖδας οὐ βάρβαρος, τὰ πρῶτα προσηνῶς τε εἶχεν[41] καὶ πᾶν ὁτιοῦν τοῦ καλῶς ἐκείνους βιῶναι, δεύτερον ἐτίθετο παρ᾽ ἡμῖν.[42] ἐπεὶ δ᾽ ἐκεῖνοί με τῶν ἐλπίδων ἐψεύσαντο, κἀγὼ τοῦ στέργειν ἐκείνους ἐξέπεσον. τοσοῦτο δὲ μοι τὸ τῷ δήμῳ περὶ τῶν ἐμῶν δοκοῦν ἐνέδει μαθεῖν βούλεσθαι, ὡς μηδ᾽ εἰς νοῦν λαβεῖν ὅλως, ὡς ἔσαι τις, ὡς[43] μὲν ἀναιδείας γέμων· ὡς δ᾽ ἐπὶ κενοῖς[44] φιλόμαχος ἄνθρωπος· ὡς οὐ μόνον οὐκ οἰκτείρειν ὧν ἐπεπόνθειμεν δράσαντες. τὸ γὰρ ἐπὶ τῶν παίδων τί δρᾶν, ἴσόν ἐστι καὶ πάσχειν, ἀλλὰ καὶ διαιρεῖν τολμᾶν ἐπὶ βήματος, καὶ ταῦτα προσαφαιρεῖσθαι τοὺς πατέρας, ἃ καὶ φύσις καὶ νόμος δίδωσιν. ἀλλ᾽ ἴσως ἂν φησιν, ὁ δῆμος οὐχ ὅσα καὶ μοιχῶν, ἐκείνων κατεψηφίσατο, ἀλλ᾽ ὡς ἐπὶ κακῷ τῶν προσόντων χρημάτων σκευωρουμένους ἐκόλασεν ἂν μετριώτερα. ἀλλ᾽ εἰ καὶ τὰ μοιχῶν ἐκακούργουν, πῶς ἂν μὴ καὶ τὰ τῶν μοιχῶν ὁ δῆμος εἶχεν ἐπιψηφίσασθαι. τὸ γὰρ ὅτι μοιχοὶ, πάλαι τε πρὸς ἡμῶν ἀποδέδεικται καὶ πρὸ ἡμῶν αὐτοῖς ἔργοις τοῦτο δὴ τοὔνομα κληρωσάμενοι φαίνονται. ποσάκις δοκεῖ σοι περὶ τούτων ἐκείνοις διείλεγμαι; ποσάκις τὸν νυμφίον; ποσάκις τὴν παῖδα καταιδέσειν ταῦτα λέγων ἐδόκουν· εἴ σοι δεῖ χρημάτων πλειόνων, ὦ παῖ, καὶ κλήρου μείζονος, ὁ πατὴρ ἐγώ σοι τὰ δυνατὰ προσεπιδαψιλεύσομαι, καὶ τὸ περιττὸν τοῦ πόθου, προσαναπληρώσω. μόνον ἐξ ἑκόντων αἴτει, καὶ λάμβανε· καὶ παῦσαι τὸ γένος αἰσχύνουσα· ἀναλόγισαι τὸ τῆς φήμης αἰσχρόν·

[41] malim εἶχον in prima persona sing.

[42] παρ᾽ ἡμῖν] apud me meamque vxorem.

[43] loco ὡς, item loco eius, quod paulo post legitur, malim οὕτως legi. πῶς μὲν W. et m. M.

[44] ἐπὶ κενοῖς] scil. πράγμασι. non itaque improbo. verumtamen, si bene memini, dici solet aduerbialiter ἐπὶ κενῆς, subaudi ἀφορμῆς aut προφάσεως.

αἰσχρόν. εἰδ' οὖν[45] ἀλλ' ἐμὲ τὸν πατέρα καταιδέσαι· εἰδ' οὐκ ἐμὲ, τούς γε νόμους φοβήθητι. ἐγώ σοι πατήρ· τὰ δὲ τοῦ πατρὸς, ὑμῶν τῶν παίδων κειμήλια μικρὸν ἔτι μοι τὸ βιώσιμον ὑπολείπεται· καὶ τετελευτηκότος κερδανεῖς ὑπὸ νόμοις, ἃ νῦν βιάζῃ προαφαιρεῖν ὡς αἴσχιστα. ταῦτα καὶ τὰ τοιαῦτα. νῦν μὲν, τῆσδε, νῦν δ' ἐκείνου κατεπᾴδων ἐν μέρει, ληρεῖν ἐδόκουν. οἷδ' ὧν ἔσπευδον σκευωρεῖν, οὐκ ἐπαύοντο· παῦσαι καὶ σὺ πρὸς θεῶν, ὦ κατήγορε. τί καὶ τοῦ παρόντος δαίμονος βαρύτερος ἡμῖν ἀναπέφηνας; ἱκανῶς ἔχω θρηνήσας ἐμαυτὸν τῆς συμφορᾶς· ἱκανῶς ἔχω τοῦ πάθους ἀποκλαυσάμενος. μὴ γίνου πατρὸς πρὸς τοὺς παῖδας φιλοστοργότερος· μὴ φαίνου καὶ νόμων φιλανθρωπότερος. ἔα πεσεῖν, οὓς ὁ πατὴρ μετὰ καὶ τῶν νόμων οὐκ ᾤκτειρεν. εἴ σοι τὰ τῶν παίδων οἰκτρὰ, πολὺ χείρω τὰ τοῦ πατρὸς λόγισαι· οἱ μὲν γὰρ μετὰ τῆς ψυχῆς, καὶ τὴν αἴσθησιν προσαφῄρηνται· ἐγὼ δ' ὁ δείλαιος, νῦν μὲν πονηροὺς τοὺς παῖδας ἀνακαλοῦμαι· νῦν δ' ἐμαυτὸν ἁπάντων πατέρων ἐπὶ τὴν γονὴν[46] ἀτυχέστερον ἀποκλαίομαι. ὁσάκις τὴν δεξιὰν ὄψομαι,[47] μνημονεύω τοῦ ξίφους, φαντάζομαι τὴν σφαγὴν, καὶ τὴν ἐπὶ τούτοις ἀπαιδίαν ἀπολοφύρομαι. ὡς ἦν μέν ποτε πατὴρ ἐγὼ, καὶ παῖδες ἐκεῖνοι· καὶ τὰ τῆς ἐλπίδος φαιδρὰ, παῖδας ἑτέρους ἀπὸ τῆς παιδὸς ὄψεσθαι· καὶ πάππος μετὰ καὶ τοῦ πατὴρ ἀκοῦσαι· καὶ πάντα τἄλλα τὰ τῆς τύχης λαμπρά. ἀλλ' ἀντέπνευσέ τις δαίμων βάσκανος, ἵνα μὴ λέγω τοὺς παῖδας· καὶ τὰ μὲν προσόντα ἀπόλωλε· τὰ δ' ἐλπιζόμενα προσαπόλωλε. καὶ νῦν μὲν, ἐπ' οὐ καλοῖς ἑάλωσαν, καὶ πεπτώκασιν. ἐγὼ δ', ὡς μὴ ὤφελον, περιλέλειμμαι μόνος μετὰ τῆς τύχης, ἔρημος παίδων, ἐκκεκομμένος τὰς ἐλπίδας, περιῃρημένος τὰ φίλτατα. ὡς ἀνομοίαν, ὦ θεοὶ, τὴν ἡμέραν εἶδον ἐκείνην, ὁπότε παστάδα ἐκόσμουν, καὶ πῦρ πρὸ τῆς παιδὸς ἐπανεῖχον

45 εἰ δ' οὖν] scil. ἐν αἰσχύνῃ τὴν φήμην.

46 aut ἐπὶ τῇ γονῇ leg. videtur, aut κατὰ τὴν γονήν.

47 ἴσ. ὄπτομαι m. M.

εἶχον γαμήλιον· τότε πατὴρ ἐκαλούμην ἐγὼ, καὶ θυγάτηρ ἐκείνη· καὶ τρόπον ἕτερον παῖς ὁ νυμφίος. ἀλλ' οὔτε παῖδες ἐκεῖνοι μετὰ τὸν γάμον τὸν δυστυχῆ. τὸν ἐπάρατον· οὔτ' ἐγὼ πατὴρ ἔτι καλοῦμαι. ἐκεῖνον τὸν γάμον Τελχῖνες ἐζεύξαντο· ἐκείνην τὴν παστάδα Ἐριννύες ἐπήξαντο. τάφος ἦν ὁ γάμος ἐκεῖνος. καὶ πῦρ φλεγέθον[48] αἱ δᾶδες, καὶ Κωκυτὸς[49] ὁ Ὑμέναιος. καὶ ἡ νῦν παστὰς νυμφικὴ, πρὸς τραγῳδίαν ἀπετελεύτησεν. ὅλως ἐμαυτῷ πολέμιος γίνομαι· καὶ σύνοικον ἔχω τὸ κακὸν μετὰ τοῦ θαλάμου, μετὰ τῆς δεξιᾶς, μετὰ τῶν ὀφθαλμῶν τούτων τῶν δυστυχῶν, ὑφ' ὧν καὶ νυμφευομένους εἶδον τὸ πρῶτον, καὶ τὸ τελευταῖον, οἴμοι, παῖδας παρὰ πατέρος πίπτοντας. τί γὰρ ἐμοὶ τῶν κακῶν ἀφαιρεῖται τὴν λήθην; ἂν ἴδω τὸν θάλαμον, ἐφ' ᾧ τοὺς γάμους ἐκείνοις εἰσίων, εὐθὺς μέγα τι ἀνώμωξα. ἂν ἔψομαι[50] τὴν παστάδα, τὰ τῆς ὑστέρας τύχης λογίζομαι, καὶ τὸ βαρὺ τοῦ πάθους οὐ φέρω. ἂν δὲ καὶ τοῦ ξίφους ἀναμνησθῶ, τότε δὴ τότε, καὶ ταῖς χερσὶν ἐπαρῶμαι ταύταις, ὅτι μὴ κἀμὲ τρίτον προσέθηκαν· ἵν' εἶχον, τὸ, μηκέτ' ἀλγεῖν αἰσθανόμενος, καί σοι κόρος ἄν τις τῶν ἡμετέρων κακῶν προσεγένετο. ἐμοὶ μὲν οὖν τὸ τεθνάναι οὐχ ὅπως οὐ φοβερὸν, εἰ μὴ καὶ μᾶλλον εὐκταῖον, τῶν προσόντων κακῶν ἀπαλλάξον.[51] κἂν τις ἀποκτείνῃ βαλὼν, χαίρει ἔξω βαλόμενος.[52] μόνον τὸ μὴ δικαίως ἐπὶ τ' οὐμοῦ γραφέσθω σήματος.[53] τὸ δ' ὅτι[54] καὶ ὡς ἐπ' αὐτοφώρῳ, τοὺς ἐμοὺς ἀνῄρουν, τοῦτο δ' οὐκ ἐμοὶ μᾶλλον ἢ τοῖς παισὶ, καὶ τῷ λοιπῷ γένει χαρίσασθε. οὐ βούλομαι δυστυχὴς εἶναι δίκαιος· οὐδ' ἀφ' ὧν ἐκεῖνοι δικαίως

48 πῦρ φλεγέθων W. πυριφλεγέθων M.

49 καὶ Κωκυτὸς] sic W. καὶ deest M.

50 malim ὄψωμαι.

51 ἀπαλλάξων] sic W. partic. fut. I. ἀπάλλαξον M.

52 lege βαλλόμενος.

53 σηματος] sic W. σώματος M.

54 ὅτι] scil. ἐγὼ ἀνῄρουν τὰς ἐμὰς παῖδας. καὶ ὅτι ἀνῄρουν αὐτὰς ἐπ' αὐτοφώρῳ. ——

καίως πεπτώκασιν, αὐτὸς ἀδικώτατα κεῖσθαι. ὑμεῖς δ' οὓς τὸ καλεῖσθαι πατέρας ὁ δαίμων ἀφείλετο, ἀλλ' ὅπως μὴ καὶ τοῖς νόμοις αὐτοῖς προσκρούσητε ψηφιζόμενοι, καὶ γράφοντες ἃ μὴ δίδωσι νόμος. εἰ δὲ καὶ πατέρες ἐστὲ, καὶ παῖδας ὡραίας γάμων ἔχετε, εὐξαίμην ἂν ὑμᾶς ἔγωγε, μὴ πρὸς τοῦτο τύχης ἐλθεῖν, μηδὲ νυμφίον δυστυχῆσαι τοιοῦτον ἐπ' αἰσχύνῃ τοῦ γένους. τοῦ δ' οὖν ψηφίσματος τούτου, δέδοικα, μὴ καί τις ὑμῶν εἰς κακὸν ἀπολαύσῃ· καὶ δικαίως ἴσως, οἷς[55] τοὺς τὰ μοιχῶν καθαιροῦντας εὐθύνετε· καὶ τοῖς γε νυμφίοις τὸ περὶ τοὺς κηδεστὰς κακουργεῖν ἀνεύθυνον ἔδοτε.

55 οἷς] leg. videtur οἱ, qui. vestrum, qui. ——

ΑΛΛΗ ΜΕΛΕΤΗ.

ΘΕΩΡΙΑ.

Δύσκολος ὤλισθεν· ὁ παῖς παρὼν ἐγέλασε· καὶ ἀποκηρύττει[1] αὐτόν.

ΔΥΣΚΟΛΟΣ ΑΠΟΚΗΡΥΤΤΩΝ.

ΕΠΕΙΔΗ ποτε ῥᾷον ἔχον ἀπὸ τοῦ πτώματος (ὡς μήποτε ὤφελον· ὀδυνᾶσθαι γὰρ ἄμεινον ἦν ἢ τοσούτοις ἀνθρώποις προσελθόντα λαλεῖν) ἥκω τὸ πολύγελων τουτὶ μειράκιον, καὶ κλαῦσαί ποτε καταναγκάσων· ἐξελῶ γὰρ αὐτὸ τῆς οἰκίας ὑπὸ μάρτυσιν ὑμῖν· ἐπειδὴ τοῦτο ἔδοξε τῷ χρηστῷ νομοθέτῃ, μὴ ἐμὲ κύριον εἶναι ἐξῶσαι[2] τὸν ἐμοὶ διαφέροντα, ἀλλὰ συμψήφους λαβεῖν τοὺς

μήτε

1 γρ. ἀποκηρύττεται m. M.
2 εἶναι τῆς οἰκίας ἐξῶσαι Bau.

μήτε τοῖς ἐμοῖς μήτε ἐμοί τι[3] προσήκοντας· τί γὰρ ὑμᾶς ἔδει μαθεῖν, πρῶτον μὲν εἰ παῖδα ἐγέννησα τὴν ἀρχὴν, εἶθ᾽ ὅτι ἀταγέλαστος αὐτῷ νομισθεὶς, οὐ βούλομαί τι τῶν ἐμῶν καταλιπεῖν; εἰ μὲν οὖν ἠπιστάμην ὡς πλείονά με, ὧν βούλομαι, λαλεῖν ἀναγκάσετε· καὶ οὐ[4] τοῦτο μόνον εἰπὼν,[5] τὸ οὐ βούλομαι τοῦτο εἶναι τῶν ἐμῶν κληρονόμον,[6] εὐθὺς ὑμῶν ἀπαλλάξομαι· καὶ εἰ διεῤῥάγη γελῶν οὗτος, οὐκ ἂν ποτε δεῦρο εἰσεληλύθειν· νῦν δὲ ἐντὸς ἤδη μοι τοῦ βουλευτηρίου γεγενημένῳ κακοδαίμων τις πρύτανις προσελθὼν, ἀλλὰ καὶ τὰς αἰτίας ἀνάγκη, φησὶ, καταλέγειν· καὶ ὡς εὔλογοι[7] δεικνῦναι, καὶ πιθανὸν εἶναι τοῖς βουλευταῖς· κἂν οὕτω τύχῃ τοῖς πολυλάλοις τουτοισὶ ῥήτορσιν ἀντιλέγοντα διαῤῥήγνυσθαι· ὥστ᾽ ἔλαθον ὁ μάταιος ἑνὸς ἀπαλλαγῆναι βουλόμενος μυρίοις θηρίοις ἐμαυτὸν ἐμβαλών. ἀλλ᾽ ἵνα θᾶττον ἀπαλλαγείην ὑμῶν, ἐρῶ τὰ δοκοῦντα διὰ βραχέων, ἄν τε οἷς λέγω προσέχειν ἐθέλητε,[8] ἄν τε ὡς ἔθος ὑμῖν, ἀλλαχῇ κεχηνέναι· ἐκ τῆς ἐσχατιᾶς πρώην εἰς ἄστυ κατῄειν· οὐ ποθῶν τι τῶν τῇδε θεάσασθαι· μὴ γὰρ οὕτω διαφθαρείην, ὡς σπουδαῖόν τι νομίσαι τῶν παρ᾽ ὑμῖν· ἀλλὰ πεπληγυῖαν ἐν ταῖς πέτραις τὴν δίκελλαν ἰασόμενος. ὁ γάρ τοι κακῶς ἀπολλύμενος χαλκοτύπος μίαν ἡμέραν ὡρισμένον αὐτῷ φοιτᾶν εἰς ἀγρὸν, καὶ ταύτης μισθὸν οὐκ ὀλίγον ἐκλέγων, τῇ τέως[9] οὐκ ἐλθὼν, ἐμὲ δεῦρο κατελθεῖν ἐβιάσατο· ἀηδῶς μὲν γὰρ ἑώρων αὐτὸν κἀκεῖ· καὶ πολλάκις ἔχων ὅ, τι χαλκευσαίμην, ἵνα μὴ θεῴμην, ἀπέφησα· τοῦ δὲ μετὰ πολλῶν ἐνθάδε, τὸ μόνον ἐκεῖ βλέπειν ἦν αἱρετώτερον. ἐβάδιζον οὖν ἀνιώμενος παρ᾽ αὐτόν· καὶ πολλὰ τῷ μιαρῷ καταρώμενος· οὑτοσὶ δὲ ἄκλητος[10] εἵπετο·

[3] ἔμοι γε πρ. m. M.
[4] οὐ] εἰ Bau.
[5] εἰπῶν B.
[6] κληρονόμων B.
[7] εὔλογοι] ſic B. εὔλογον M.
[8] προσέχειν ἐθέλητε] ſic B. recte, ob inſequens κεχηνέναι. προσέχητε M.
[9] τῇ χθὲς B.
[10] αὐτόκλητος B.

πετο· οὐ γὰρ ἐκέλευσα, μὰ τοὺς θεούς· τί γὰρ βουλόμενος ἂν καὶ ἐκέλευσα;[11] οὐ γὰρ ἵνα συνοδοιπορῇ μοι· καὶ γὰρ πρὸς τὴν σκιὰν τὴν ἐμαυτοῦ πολλάκις ἄχθομαι πανταχῆ μοι συνεπομένην, καὶ δι᾽ αὐτὴν πρὸς τὸν ἥλιον καὶ τὴν σελήνην, ὅτι ποιοῦσιν αὐτήν· ἀλλ᾽ οὐκ οἶδα πῶς με ἡνίκα ἐξῄειν[12] λαθὼν, κατὰ μέσην τὴν ὁδὸν ἀνεφάνη· πρὸς ὃ καὶ πρῶτον εὐθὺς ἠγανάκτησα. καὶ μικροῦ[13] τῇ βακτηρίᾳ καθικόμην αὐτοῦ, ὡς ἔδει γε· οὐ γὰρ ἂν αὐτῷ νῦν καταγέλαστος ἔδοξα. ἔπειτα κατ᾽ αὐτὴν τὴν ὁδὸν, πόσα οἴεσθέ με ἠνίασεν, ἢ τοὺς κύνας τῶν νομέων ἐξαγριῶν, ἢ τὰς γεράνους ταῖς βώλοις ἀποσοβῶν, ἢ λίθοις βάλλων τὰς αἶγας· ἢ τὸν δεῖνα ὅστις ἐστὶ πυνθανόμενος· ἢ πόσον τῆς ὁδοῦ τὸ λειπόμενον, ὡσπερεὶ τὴν ὁδὸν ἐμοῦ καταμεμετρηκότος, ἢ τοὺς ἀνθρώπους τῆς χώρας ἠριθμηκότος· ὃς ἵνα μηδὲ ἄκων τινὶ περιτύχω, οὐδὲ τὴν δημοσίαν εἴωθα βαδίζειν ὁδόν. ἀλλ᾽ ἐκτρεπόμενος[14] κατὰ τὰ χωρία ποιεῖσθαι τοὺς περιπάτους. ὁ δὲ ὅμως καὶ τοὺς ἐν τῇ λεωφόρῳ βαδίζοντας ἠξίου μανθάνειν, τῶν ἀετῶν ὀξύτερον με βλέπειν κελεύων· ἐφ᾽ οἷς ἅπασιν ἀποπνιγόμενος, ὅμως διεκαρτέρουν, ἕως εἰς ἄστυ[15] ποτὲ καὶ τὴν ἀγορὰν ἐνεβάλομεν. ἐνταῦθα δὲ ὡς οὐδὲν ἦν ὁρᾷν ἀνεκτὸν, ἀλλὰ γελῶντας αὖ κἀκεῖ τοὺς πολλοὺς ὀμνύντας, ἀλλήλοις λοιδορουμένους· ὄψα φέροντας, οὐ πρὸς χρείαν, ἀλλ᾽ ἕκαστον[16] ἐνιαυτοῦ τροφὴν πολλοῖς ὁμοῦ, σωφρονεῖν δυναμένοις· ἵνα μὴ παροξυνοίμην ταῦτα ὁρᾷν, ἀπῆγον ὡς οἷός τ᾽ ἦν τὼ ὀφθαλμὼ πορρωτάτω, καὶ προῄειν, μηδὲν τῶν ἐν ποσὶ καθορῶν· οὐ γὰρ ἠπιστάμην ὡς ὑμεῖς ἐμὲ μόνον τοῖς νόμοις ἀναγκάσετε πείθεσθαι· ἀγορανόμους δὲ καὶ ἀστυνόμους οὕτω καταφρονοῦντας αὐτῶν οὐ κολάζετε· οἳ τοσοῦτον νέμουσιν ἐπιμελείας

[11] ἂν καὶ ἐκέλευσα] sic B. καὶ deest M. ὅπως B.

[12] ἐξῄειν] sic B. ἐξῄει M.

[13] μικροῦ] sic B. parum aberat, quin baculo eum ferirem.

[14] ἐκτρεπόμενος] sic B. ἐκτρεπομένους. M.

[15] τὸ ἄστυ B.

[16] ἕκαστος B.

μελείας τῇ πόλει, ὥστε λίμνας ὅλας ἐν αὐτῇ συνεστάναι, καὶ ὀλίθους[17] εἶναι τῆς ἀγορᾶς πανταχοῦ· εἰς οὓς ἀπροόπτως ἐμπεσὼν· καὶ τὼ πόδε μὲν ὑποσυρεὶς, τῇ βακτηρίᾳ δὲ οὐχ εὑρὼν ἐπερείσασθαι, ἔλαθον καταπεσὼν· καὶ πλατὺς γέλως τούτῳ γενόμενος· οὔ ποτε μὰ τοὺς θεοὺς τοῦτο ἐλπίσας· πρὸς ἑτέρῳ γοῦν τὸν νοῦν ἐγενόμην εὐθὺς πεπτωκώς· καὶ μᾶλλον τοῦ πτώματος ἐδεδοίκειν, μὴ οὗτος αὐτὸς, ἢ τῶν κατ' ἀγορὰν τινὲς ἐπελθόντες ἢ χεῖρα ὀρέγοιεν ἢ πυνθάνοιντο, ὡς[18] εἰώθασι, μὴ τὸ σκέλος ἐπλήγην, ἢ[19] τὴν κλεῖν κατεάγην, ἢ συνέτριψα τὴν ὀσφῦν· ἔμετον ῥημάτων καὶ ἐρωτήματα οἷα ἄν με παραχρῆμα ἀπώλεσε. τὸ δὲ οὐ τοιοῦτον ἦν· ἀλλ' ἦν πολλὴ παρ' ἐλπίδα ὥς γε ὑμεῖς ἂν φαίητε ἀπανθρωπία· τουτονὶ δὲ ἀναβλέψας ὁρῶ διακεχυμένον τὸ πρόσωπον καὶ ἀνάπλεων γέλωτος, καὶ μονονοῦ καγχάζοντα ἐπ' ἐμοί. οὗτος οὖν ἐμὲ κληρονομήσει, καὶ αὖθις γελάσεται τεθνεῶτος· μᾶλλον δὲ ἑορτάσει λαμπρῶς; εἰ γὰρ, πεπτωκότος ἁπλῶς, ἀκάθεκτος ὑπὸ γέλωτος[20] ἦν, τεθνεῶτος δηλαδὴ πάνδημον ἄξει πανήγυριν· ἀλλ' οὐχ οὕτω λέμφος[21] οὐδ' ἀνόητός τις ἐγὼ,[22] ὥστε γρύ τι τῶν ἐμῶν τοῦτον λαβεῖν, ἢ ἐπιβῆναι τῆς ἐσχατιᾶς ἔτι· ἀλλ' οἰχέσθω παρὰ τοὺς ἀνεξομένους καταγελῶντος αὐτοῦ· ἐμοὶ δὲ ἅπαξ ἀρκεῖ γέλωτα ὀφλεῖν· δεύτερον δὲ οὐκ ἔτι· οὐδὲ εἰ μυριάκις διαῤῥάγειεν οἱ ῥήτορες, οἱ δικάζοντες,[23] αὐτίκα δὴ μάλα λέγειν αὐτόν· ἀλλ' οὐ λάγνις,[24] οὐδὲ ἄσωτος, οὐδὲ πορνοκόπος εἰμί· οὐδὲ κυβείᾳ προσέχω τὸν νοῦν· ἐπὶ τούτοις ἀποκηρύττειν[25] ὁ νομοθέτης ἐκέλευσεν.

ἀλλὰ

[17] ὀλίθους B. lego λίθους, *saxa.*

[18] ὡς] ἃ B.

[19] ἢ] μὴ B.

[20] ὑπὸ γέλωτος] sic B. si continere se prae risu non valuit. ὑπὸ deest M.

[21] λέμφος bene si habet, idem erit atque κέπφος *stolidus, vecors.* v. Glossographos. cont. p. 808. 43. ed. Mor. vbi λέμφος est vecordia.

[22] ἀνόητός τις ἐγὼ B.

[23] διδάξαντες B. lego διδάξοντες.

[24] λάγνης B.

[25] τούτοις δὲ ἀπ. B.

ἀλλὰ κακὸς κακῶς ἀπόλλοιο μετὰ τῶν καλῶν διδασκάλων· πρῶτον μὲν καὶ τὰ ὀνόματα ταῦτα μαθὼν, ἔπειτα οἰόμενος ὡς ἀπεκήρυξα ἂν σε, μόνον καὶ ὄναρ τι τούτων πεποιηκότα, ἀλλ᾽ οὐκ εἰς βόθρον που κατορύξας βαθὺν, λίθων σωρὸν ἐπεφόρησα. τί δ᾽ ἄν τις τούτῳ διαλέγοιτο; διαῤῥήγνυμαι δὲ, νὴ τοὺς θεοὺς, ἐπὶ πολὺ[26] τὸν νομοθέτην αἰδούμενος καὶ μὴ λέγων[27] ἀναφανδὸν, ὡς οὐδὲν ἡμῖν χρηστὸν ἐνομοθέτησεν· εἴπερ ἃ λέγουσιν οὗτοι τυγχάνει νενομοθετηκὼς, κἀπὶ τηλικούτοις ἀδικήμασιν, ἱκανὴν ᾠήθη τιμωρίαν εἶναι τὴν ἀποκήρυξιν· εἰ γάρ· προὔβη τις οἰκίας ἁπλῶς· εἰ γὰρ ἀνέτεινε τὰς ὄφρυς, ἢ προὔβαλε τοῦ ἱματίου τὴν χεῖρα, ἢ προσέβλεψε τῶν μὴ συνηθῶν τινι, ἢ μηδὲν ἐρωτώμενος φθέγγοιτο,[28] οὐκ ἐπὶ τὸ βουλευτήριον χρῆν ἄγειν εὐθὺς καὶ ἀπαλλάττειν τοῦ τοιούτου[29] κακοῦ τὴν οἰκίαν· μᾶλλον δὲ ὅλην τὴν πόλιν· ἀλλ᾽ εἰ μὴ καταπορνεύσῃ,[30] φησὶ, τοῦ πατρὸς τὴν οὐσίαν ἢ γαστρὶ καὶ κύβοις ἐκδοίη· γελᾷ δὲ πεπτωκότος πατρὸς, ἢ καὶ μὴ πεπτωκότος· ποῦ γὰρ ἄνθρωπος νοῦν ἔχων γελᾷ; υἱὸς ἔσω φησὶ καὶ τῶν σῶν κληρονόμος· ὦ τῆς ἀνοίας· καταναλώσας δέ, φησι, τὴν οὐσίαν, μὴ κληρονομείτω μηκέτι· ποίας, ὦ κακοδαίμονες, τῆς παρὰ ταῖς πόρναις ἢ τῆς κατακεκυβευμένης; ἀλλ᾽ ὑμεῖς μὲν ἔῤῥωσθε οὕτω τοὺς παῖδας ὑμῶν σωφρονίζοντες· καὶ μέχρι τούτων τῶν ἀδικημάτων αὐτῶν ἀνεχόμενοι· τοιγαροῦν βαράθρου πάντες ὑμῖν ἀποβαίνουσιν ἄξιοι· ἐμοὶ δὲ μέγιστον[31] ἀδικημάτων

των

[26] ἐπὶ πολὺ] diutius, quam ego sustinere valeo.

[27] λέγων] sic B. λέγω M.

[28] ἐφθέγγετο B.

[29] τοῦ τοιούτου] sic B. τούτου M.

[30] καταπορνεύσῃ] sic B. Sententia haec est. ἀλλὰ (subaudi μῶν ἄξιόν ἐστιν ἀποκηρύττειν υἱὸν, ὃς οὐχὶ καταπορνεύει — ἀλλὰ μόνον γελᾷ) verum, sic occurret aduersarius, estne aequum, a patre abdicari eum filium, qui non prodegit alea paternam substantiam —sed solummodo riserit, patre lapso, aut etiam ne lapso quidem. Respondet pater actor huic obiectioni vel dubio sic. ποῦ γὰρ ἄνθρωπος — M. dat καταπορνεύσει.

[31] μέγιστον] sic B. μεγίστων M.

των ὁ γέλως· τοῦτό με λυπεῖ· τίς ἐπὶ τούτῳ τὸν ἠδικηκότα ἀμύνεται; εἰ λάγνις[32] ὢν ὁ παῖς ἀνιᾷ, τότε αὐτὸν ἀποκήρυξον· εἰ πορνοκόπος, τότε· ἐμὲ δὲ γελῶν, ἐπ' ἐμοί· μᾶλλον δὲ ὅλως γελῶν·[33] οὐδὲ γὰρ εἶναι ἀνθρώπων τὸ πρᾶγμα φημί· ἀλλὰ φλυαροῦσιν ὥσπερ καὶ τἄλλα πάντα οἱ τὸ γελᾷν ἴδιον ἀνθρώπου τιθέμενοι. τὸ δακρύειν γὰρ καὶ τὸ οἰμάζειν, τίθεσθαι[34] μᾶλλον ἐχρῆν· τούτου γὰρ ἄξια πράττουσιν ἅπαντες. ὁ δὲ γέλως, εἴπερ ἐπεὶ[35] χρηστοῖς γίνεται πράγμασι, ἀλλότριον ἀνθρώπου παντάπασι· οὐδέποτε γὰρ οὐδὲν χρηστὸν οὔτε εἶδον, οὔτε μὴ ὄψονταί· ἀλλ' ἀεὶ τὰ κακά, πρῶτον μὲν ἀλλήλους·[36] εἶτα ἃ πράττουσι. γελᾷν δὲ μίαν ἡμέραν ἐχρῆν, ὅτε ὁ βέλτιστος θάνατος παραγίνεται. σὲ οὖν τί δήποτε, ὦ κακόδαιμον, ἐπῆρε γελᾷν; κωμῳδοὺς ἐθεῶ, καὶ τῶν ἐκεῖ γελωτοποιῶν ἕνα μὲ εἶναι ἐνομισας; ἢ κόρδακά γε ὀρχεῖσθαι κατὰ μέσης τῆς ἀγορᾶς, ἀλλ' οὐ πίπτειν ᾠήθης με. καί τοι γε οὐδὲ κωμῳδοὺς πώποτέ σε θεασόμενον ἔπεμψα, ὡς μηδ' ἐπ' ἐκείνοις γελάσειας,[37] καὶ οὐδ' ὅ, τι ποτὲ ἐστιν ὁ γέλως ἔγωγε ᾤμην εἰδέναι σε. σὺ δὲ εἰς ἄκρον τοῦ πράγματος ἥκων ἐλάνθανες· ὥς τε καὶ μισθώσαιντο ἄν σε οἱ κωμῳδοί, ἵνα γέλωτος αὐτοῖς πληροίης τὸ θέατρον. οἶμαι δὲ τοὺς κακοδαίμονας, καὶ δρᾶμα ποιῆσαι τὸ νυνὶ τοῦτο συμβὰν· καὶ ἄλλως εἰωθότας

[32] λάγνης B.

[33] f. ἐμὲ δὲ γελῶν, ἐπ' ἐμοὶ δὲ (scil. γελῶν) μᾶλλον δὲ ὅλως γελῶν — subaudi ἐκ ἀποκηρυχθήσεται; est infitiatio indignantis. me autem ridens, mei caussa ridens, aut, vt rectius dicam, quoque modo et quacunque de caussa ridens, non abdicabitur? Imo vere abdicabitur, et id merito quidem. Risus enim, meo iudicio, homine indignus est.

[34] τίθεσθαι] scil. ἀνθρώπῳ imputare homini.

[35] ἐπεὶ] l. ἐπί, si ridere fas est solummodo ob secundos euentus.

[36] malim ἀλλήλοις, εἶτα ἑαυτοῖς. sed aduersa tantum exitiosa vident, primum ea, quibus alii aliis inter se incommodant, tum ea, quibus ipsi sese laedunt et male mulcent.

[37] quapropter ne ob illos quidem facile riseris.

τας τοὺς οἷος [38] ἐγὼ τὸν βίον εἰμὶ, κωμῳδεῖν. καὶ σὺ μὲν ἴσως ἐξήξῃ γελῶν. ἐγὼ δὲ κείσομαι κατὰ γῆς· οἱ δὲ [39] προσθήσουσιν οἷα εἰώθασι ῥήματα. τοιοῦτον αὐτοῖς δρᾶμα κεχορήγηκεν ὁ γέλως ὁ σός· ὃν ποῦ μεμάθηκας, ὦ κακόδαιμον; τίνα ἐζήλωσας; οὐκ ὀλιγάκις μὲν, ἀεὶ καὶ ἀηδῶς [40] σε προσεφθεγγόμην; εἰ δέ ποτε ἀναχοίμην ἀργῶν, μίαν ταύτην ἠφίειν φωνὴν, ἐμὲ ζηλοῦν καὶ τὸν ἐμὸν τρόπον. πότε οὖν ἐμὲ γελῶντα τεθέασαι; πότε τοὺς γελῶντας ἐπαινοῦντος ἀκήκοας; ὅς γε καὶ ὅτε τὴν πολὺ σοῦ μιαρωτέραν ἠγόμην μητέρα, [41] πόῤῥωθεν ἠπείλουν ταῖς βώλοις βάλλειν [42] τοὺς τὸν Ὑμέναιον ᾄδοντας· εἰ μὴ τῆς ἐσχατιᾶς ἀποσταῖεν. οὐδὲ [43] γὰρ ὑμεναιούντων, ἀλλὰ μαινομένων ἡγοῦμαι τὸν τῶν γελώντων εἶναι χορόν· [44] καὶ οὐκ ἄνθρωποι μόνον πλημμελεῖν μοι δοκοῦσιν, ἁλισκόμενοι τούτῳ τῷ πάθει· ἀλλὰ καὶ τὸ μόσχιον, εἴ ποτε ἐσκίρτησε, κατέαξα λίθοις αὐτοῦ τοῖν ποδοῖν [45] καὶ ὁ κύων, εἰ σαίνει με προσιόντα, τῇ σκαπάνῃ συνθραύω· γεωργῶ δὲ ἀγρὸν, οὐ μὰ Δία χλιδῶντα καὶ δένδροις κατάσκιον· ἀλλ᾽ ὄχθον τραχὺν, θύμον γεωργοῦντα [46] καὶ σφακὸν· καὶ ἰδίων οὗτος ἐμοὶ, ὧν ὑμεῖς γεωργεῖτε καταγελάστων κηπίων· οὐ γὰρ ἀγροὺς ἂν τὰ τοιαῦτα καλέσαιμι. εἶτα, ὦ μιαρώτατε, τὰ μὲν βοίδια καὶ οἱ κύνες ζῶσι τὸν ἐμὸν βίον, καὶ στέργουσί μου τὸν τρόπον· σὺ δὲ ὁ φάσκων ἐξ ἐμοῦ γεγονέναι, καὶ κληρονομεῖν τῶν ἐμῶν ἀξιῶν, ὁ τραφεὶς ἐν τοιούτοις χωρίοις, καὶ μετὰ ζώων οἵων ἄρτι κατέλεξα· μόνος τῶν ἐκεῖθεν γελᾷς, καὶ ταῦτα ἐμοῦ κατὰ γῆς ἐῤῥιμμένου· καί τοι, εἰ καὶ ἐδάκρυσας· ἢ εἰ τὸ [47] πρόσωπον μετήγαγες δεῦρο

ἢ

[38] οἷος] fic B. οἵους M.

[39] δὲ] fic B. δὴ M.

[40] malim ἀεὶ δὲ ἀηδῶς.

[41] γυναῖκα B.

[42] malim βαλεῖν. B. dat βαλῆ.

[43] οὐδὲ] fic B. οὐ M.

[44] γελώντων εἶναι χορὸν] fic B. εἶναι deeft M.

[45] τοῖν ποδοῖν] fubaudi τὸν ἕτερον. W. et m. M. dant τῶν ποδῶν.

[46] γεωργοῦντα] id eft hic loci, ἐκφέροντα. fed valde vereor, ne lectio praua fit.

[47] εἰς B. ἢ τὸ m. M.

ἢ ἐκεῖσε· ἢ προσῆλθες, ἢ ἀπέστης, ἢ ἐνεῖδες τῶν περιεστώτων τινί· ἢ σοί τινες ἐκείνων, οὐκ ἂν ἤνεγκα ῥᾳδίως· ἀλλ' ὁμοίως[48] ἂν ἠγανάκτησα· οὐ γὰρ κινεῖσθαι χρῆν ὅλως· ἀλλ' ὥσπερ λίθον ἑστάναι· ἢ μηδὲ ὅλως ἰδεῖν πεπτωκότα, ἢ ἰδόντα, πεσεῖν καὶ αὐτόν· τὴν γὰρ αὐτὴν δήπουθεν ὁδὸν ἐβαδίζομεν. καὶ οὐκ ἐμοὶ μὲν ἦν ὀλισθηρὰ, σοὶ δὲ βέβαιος ἐπιβαίνειν· οὐδὲ σὺ μὲν ἐνήφες· ἐγὼ δὲ ἐκραιπάλων·[49] ἀλλ' ἵνα ἑστιαθῇς γελῶν, καὶ εὐφραίνῃς σαυτὸν, βεβαίως τε ἔστης ἐπὶ τοσούτου πηλοῦ, καὶ οὕτως ὀλισθηροῦ· καὶ οὐκ ἐς κόρακας,[50] ἀλλ' ἐμοὶ προσεῖχες τὸν νοῦν. καὶ εἰ μέν τι χρηστὸν πώποτε ἔπραξα· ἢ τὴν αἱμασίαν οἰκοδομήσας, ἢ τὰς ἀκάνθας ἐκτεμὼν, ἢ λύκον[51] διώξας, οὐκ ἐπῆλθες ὀψόμενος· ἐπεὶ δὲ ἐκείμην χαμαὶ, βορβόρου τε ἀνάπλεως ἦν, καὶ κακῶς εἶχον ὑπὸ τοῦ πτώματος, θεατὴς ἦσθα· καὶ ἡδονὴν ἐποιοῦ[52] τὰς ἐμὰς συμφοράς. καί που καὶ ἔλεγες· εἰ γὰρ διεῤῥάγη μέσος· εἰ γὰρ ἀπαλλαγείην τοῦ Κρόνου τούτου ποτέ· εἰ γὰρ ἐπὶ πλέον γελάσαιμι. τοιγαροῦν ἀπαλλάττου μὲν στένων δὲ καὶ[53] οἰμώζων, καὶ μηδενὸς ὢν κύριος· ἵνα κἀγὼ τότε γελάσω μὲν οὔ, παύσωμαι[54] δὲ ἐφ' οἷς μου κατεγέλασας ἀνιώμενος· καί μοι μηδεὶς ἐνταῦθα ἐνοχλήσῃ,[55] ὡς νέος ἔτι λέγων, καὶ ὡς συγγνῶναι δεῖ τὴν ἁμαρτίαν ταύτην αὐτῷ. τίς γὰρ εἶ σὺ ὁ τουτονὶ[56] παραιτούμενος; ποῦ γνοὺς αὐτόν; ποῦ θεασάμενος; τί δὲ ἀλγεῖς ὑπὲρ αὐτοῦ; παρεγενόμην ἐγὼ σωφρονίσας;[57] ἀντεῖπον δὲ αἰτουμένῳ[58] τί

παρα

48 ὁμοίως] sic B. *pari modo*, subaudi *atque nunc irascor.* ὅμως M.

49 ἐκραιπάλων] sic B. ἐκραιπάλων M.

50 οὐκ ἐς κόρακας] scil. ᾦχου.

51 λυκίον B. et m. M.

52 ἐποιοῦ] sic B. ἐποίου M.

53 στένων δὲ καὶ] sic B. δὲ deest M.

54 παύσωμαι] sic B. παύσομαι M.

55 ὀχλῇς B.

56 σὺ ὁ τουτονὶ] sic B. ὁ deest M.

57 num ἐγὼ τοῖς σοῦ σωφρονισταῖς num praesto fui reprehensoribus, castigatoribus tui?

58 αἰτουμένῳ] scil. σοί, dicere vult: quonam ego te iure offendi?

παρὰ τούτου; συνηγόρησε δὲ οὗτος[59] ἢ σοὶ ἢ τῶν σοὶ προσηκόντων τινί; τί οὖν δίδως, ἃ μηδέποτε εἴληφας; ὢ τῆς πολυπραγμοσύνης· κήδεταί τις ἀλλοτρίου παιδός· καὶ τὸν πατέρα κωλύει σωφρονίζειν τὸν ἑαυτοῦ; σύγγνωθι, φησὶν, αὐτοῦ τῇ νεότητι. σὺ τοῦτό μοι παρακελεύῃ· καὶ τὴν ἡλικίαν τοῦ μοῦ παιδὸς, σὺ[60] μᾶλλον ἐπίςασαι, ὥσπερ μισθὸν τῇ τίτθῃ τετελεκὼς ἢ ἀπογραψάμενος τὴν ἡμέραν ἡνίκα ἐτίκτετο. ποῦ δὲ καὶ νέος οὗτος, ὀκτωκαίδεκα καὶ εἴκοσιν ἔτη[61] ταυτὶ γεγονώς. οὐ γὰρ προσπεφυκέναι ταῖς πέτραις καὶ ἀποτρώγειν τῆς[62] ἀρούρας ἐχρῆν, ἀλλ' ἀδικεῖν τηλικαῦτα· ὁρᾷς;[63] τὸ δὲ γῆρας τουμὸν οὐδαμοῦ τίθης,[64] ὃ καταγέλαςον οὗτος ἐποίησε;[65] καί τοι εἰ καὶ ἐμοὶ συνηγόρεις, ἠγανάκτησα ἂν, καὶ περίεργον, καὶ πολυπράγμονα ἄν σε ἐκάλεσα, ὥσπερ καὶ εἶ· οὐ γὰρ εἶ, τὸ μηδέν σοι προσῆκον μειράκιον παραιτούμενος; τί γὰρ φήσεις, αὐτὸ καὶ προσήκειν σοι;[66] πατρικὸς εἶ φίλος αὐτῷ; ἀλλ' ἐχθροί μου πάντες ὑμεῖς. ἀλλὰ συγγενὴς ἐμοί; πόθεν; οὐδενὸς ἀνθρώπων ἐγὼ συγγενής. ἐκ τῶν πετρῶν ἀνέφυν· ἐκεῖναί μοι φίλαι· ἐκεῖναί μοι συγγενεῖς· ἐκεῖναι μόνον αὐτὸν, εἰ φθέγξαιντο, παραιτήσονται· ἀνθρώπων δὲ οὐδείς· ἀλλ' ὅσον μᾶλλον προσίῃ τις, τοσοῦτο[67] μᾶλλον ὀργίζομαι· ἔρημος οὖν ἔσῃ φησίν; εἶτά σε τοῦτο ἄνθρωπε ὀδυνᾷ; μέλει δέ σοι τῶν ἐμῶν; διὰ τί; συμπότης εἰμί σοι; συςρατιώτης; συγκυνηγέτης; ἢ δέδοικας μή σε ἀφίκωμαι[68] πρὸς κοινωνίαν παρακαλέσων; πάνυ γε· ἵν' ὥσπερ τὰ κηλόνεια[69] τὴν δίκελλαν ἀναφέρῃς. μὴ σὺ κρείττων εἶ τοῦ Μανοῦ γεωργός; ἀλλ' ὅμως

[59] οὗτος] filius meus puta.

[60] pro σὺ dat B. ἐμοῦ ego vtrumque copulatum vellem. σὺ ἐμοῦ μᾶλλον.

[61] f. ὀκτὼ καὶ εἴκοσιν ἔτη reliquis deletis.

[62] τῆς] sic B. τὰς M.

[63] f. ἢ τὴν μὲν ταύτη νεότητα ὁρᾷς.

[64] τίθης] sic B. τιθεὶς M.

[65] οὗτος ἐποίησε] sic B. οὗτος deest M.

[66] f. τί γὰρ καὶ φήσεις αὐτὸ προσήκειν σοι;

[67] ὅσῳ μᾶλλον προσίοι τις, τοσούτῳ B.

[68] ἢ δέδοικας μήτε ἀφίκ. B.

[69] κηλωνεία B.

ὅμως κἀκεῖνον ἐξήλακα τῆς ἐσχατιᾶς· ἵνα μὴ δεύτερος γεωργῶ. σὺ δὲ οἴει με πάντως ἀηδέστερον γεωργήσειν ἐρημωθέντα παντάπασιν· ὥσπερ Φαῦλον ἢ τὸ [70] τυχὸν εὐτύχημα, μηδένα ὁρᾶν. εἰ δὲ δὴ καὶ κακὸν, ὡς σὺ φὴς, ἡ ἐρημία; τίς ἔρημος ἀνθρώπων, χεῖρας ἔχων καὶ πόδας. οὐκ ἀρκεῖ τοῦτο τὸ πλῆθος αὐτῷ, σκάπτειν, ἀροῦν, ὑδροφορεῖν, τἆλλα ποιεῖν, ἃ κατ' ἀγρὸν ἀεὶ πράττεται; τί δὲ καὶ ὀνήσειεν οὗτος ἄν με συνών; διεφθαρμένος οὕτω καὶ γενόμενος τοῖς ἡμετέροις παισὶ παραπλήσιος. ἐγὼ δὲ [71] μάλιστα μὲν οὐδένα ὁρᾶν βούλομαι. εἰ δ' ἄρα ἀνάγκη, [72] ἐμοί τινα παραπλήσιον, αὐχμῶντα καὶ μοχθηρὸν· καὶ μήτε καταγελῶντα, μήτ' αὖ φιλεῖν με [73] ἐθέλοντα. ἴσον γὰρ τοῦτο ἐκείνῳ [74] τἀδίκημα τίθημι. [75] ἕως δ' ἂν [76] μηδεὶς τοιοῦτος φανῇ, ἔσται μοὶ καὶ παῖς καὶ φίλος καὶ συγγενὴς καὶ πάντα ἁπλῶς, ἡ ἐρημία· ἐκείνη μοι συμβιώσεται· ἐκείνη με γηροβοσκήσει· ἐκείνη με καὶ τεθνεῶτα δέξεται [77]

[70] ἴσ. ἢ, ἢ τὸ m. M. f. φαῦλον ὂν ἢ τό.

[71] ἐγὼ δὲ] sic B. δὲ deest M.

[72] ἀνάγκη] scil. ὁρᾶν τινα, βούλομαι ὁρᾶν.

[73] με deest m. M.

[74] τούτῳ, ἐκεῖνο B.

[75] τἀδίκημα τίθημι] sic B. τἀδίκημα τίθημι M.

[76] ἕως δ' ἂν B.

[77] δέξοιτο B. γρ. καλύψει m. M.

ΜΕΛΕΤΗ.

ΜΕΛΕΤΗ.

ΥΠΟΘΕΣΙΣ

Φιλαργύρου παῖς ἀριστεύσας ᾔτησεν εἰς τὴν δωρεὰν θαλλοῦ στέφανον· καὶ ἀποκηρύσσεται. (Ἡ στάσις ἢ ζήτημα ἀντίληψις.)

ΦΙΛΑΡΓΥΡΟΣ ΑΠΟΚΗΡΥΤΤΕΙ.

ΤΗΣ μὲν ἀριστείας οὐ πάνυ μέμφομαι τὸν νεανίσκον,[1] ὦ ἄνδρες.[2] δι᾽ ἐκείνην γὰρ σέσωσται τῇ πόλει τά τε χρήματα, καὶ τὰ σώματα. μισῶ δὲ τοῦτον, ὅτι δεινὸς ὢν ἐν τοῖς ὅπλοις, εὐήθης ἐστὶν ἐπὶ τῶν δωρεῶν· καὶ τῆς τύχης παρεχούσης πλουτεῖν, ἀνοίᾳ διέφθειρε τὴν χάριν. ἐπεὶ οὖν σοφώτερός ἐστι τοῦ πατρός· καὶ ὃν μὲν ἐγὼ τιμῶ βίον, τούτου κατέγνωκεν, αὐτὸς δὲ ἕτερον ἐξεῦρεν ἑαυτῷ,[3] ζητείτω καὶ οἰκίαν ἑτέραν· οὐ γὰρ οἶδ᾽ ὅπως δύνανται συνοικεῖν χρημάτων ἐπιθυμητὴς, καὶ κενῆς δόξης ἐραστής. θαυμάζω μὲν οὖν, ὅπως οὐ καὶ νῦν ἐστεφανωμένος εἰς ὑμᾶς εἰσῆλθε,[4] τοσοῦτον ἐπὶ τῷ θαλλῷ φρόνει· καὶ οἴεται, τόν[5] γε ὄντα καὶ τὸν ἐσόμενον χρυσὸν, οὐδὲν εἶναι πρὸς τὸ κτῆμα. καὶ γὰρ κτῆμα αὐτὸν ὁ ἀναίσθητος ὀνομάζει. ἐγὼ δ᾽ εἰ μὲν ᾔδειν τὸν παῖδα μεταθησόμενον τὴν δόξαν, ἢ μεμφόμενον[6] αὐτῷ τῆς περὶ τὴν αἴτησιν μωρίας· οὐδ᾽ οὕτω μὲν ἂν ἠνεσχόμην[7] τὴν

ἐκ

[1] γρ. υἱὸν m. M.

[2] ὦ δικασταὶ B.

[3] ἐξεῦρον ἑαυτὸν B. sed in marg. a noua manu ἴσως ἐξεῦρεν.

[4] ἡμᾶς ἦλθε B.

[5] τόν τε B. et m. M.

[6] malim μεμψόμενον.

[7] ἂν ἀνεσχόμην B. sed a noua manu ἴσως ἠνεσχόμην.

ἐκ τοῦ παρελθόντος χρόνου ζημίαν, πλὴν ἴσως ἂν ὑφῆκά τι τῆς ὀργῆς, ὁρῶν οὐκ εἰσάπαξ ἀπολωλότα μοι τὸν υἱόν· ἐπεὶ δὲ ἀνιάτως ἔχει· καὶ δῆλός ἐστιν ἐμμένων τοῖς ἀδικήμασι· καὶ πρὸ τῶν δικαστηρίων ἐπῄνει[8] τὸ ἁμάρτημα, τοσούτῳ[9] μᾶλλον αὐτὸν ἐξελῶ τῆς οἰκίας, ὅσον ἄν μοι φαίνηται[10] καλῶς ἐσκέφθαι τὸν ὑπὲρ τοῦ θαλλοῦ λόγον. εἰ μενοῦν μὴ καὶ ὑμῶν, ὦ δικασταί, τοὺς πολλοὺς ἠπιστάμην πάντα ἐλάττω χρημάτων ἄγοντας, καὶ τοῦτο ἀεὶ φροντίζοντας, ὅπως τί λήψεσθε, πάνυ ἂν ἐφοβήθην μὴ μαίνεσθαι δόξαιμι, λυπούμενος, εἰ μή μοι πλείω τὰ ὄντα πεποίηκεν ὁ παῖς. ὁρῶν δὲ ὑμᾶς καὶ νῦν οὐ δι' ἄλλο τι[11] χαίροντας, ἢ ὅτι, ἐνθένδε ἀναστάντες, ἀποίσεσθε τὸ τριώβολον, πολλὰς ἐλπίδας ἔχω, δόξειν ὑμῖν εἰκότως ἀγανακτεῖν, εἰ μεγάλης περιουσίας, μόνον οὐκ ἐν χεροῖν[12] κειμένης, ἐστέρημαι. οὐκ ἐπὶ ταύταις, ὦ παῖ, ταῖς προσδοκίαις, οὔτε τὴν μητέρα σου ἠγόμην, οὔτε σὲ ἐποιούμην· μᾶλλον δέ τί μοι πρὸς τουτονὶ τὸν ἀπόπληκτον; ἀλλ' οὐ[13] πρὸς ὑμᾶς περὶ τῶν ἐμαυτοῦ διαλεκτέον· ἐμοὶ γὰρ οὐκ ἦν γνώμη τὸ ἐξαρχῆς ὦ δικασταί, γαμεῖν, λογιζομένῳ τὸ δαπανηρὸν τοῦ πράγματος. καὶ ὅτι πρίν τι[14] λαβεῖν, ἀναλῶσαι δεῖ, παῖδας ὠνούμενον, ζεῦγος μισθούμενον. ἑστιῶντα τοὺς οἰκείους, τοῖς φράτορσι,[15] τὴν γαμηλίαν εἰσάγοντα· ἐφόβει[16] δὲ καὶ τὸ τὰς πολλὰς τῶν γυναικῶν σπαθᾶν, καὶ παραναλίσκειν εἰς οὐδὲν χρηστόν, βαμβύκινα[17] ἱμάτια, καὶ βύσσινα, καὶ διαφανὲς χιτώνιον καὶ κροκωτὸν,[18] καὶ θέριστρον. καὶ τοιοῦτόν τινα φλήναφον[19] περὶ τὸ σῶμα δαπανωμένας. αἰσθόμενοι δὲ οὖν τινες τῶν φίλων εἰ δὴ φίλους

8 ἐπιστάνει m. M.
9 τοσοῦτον B.
10 φανείη m. M.
11 οὐ δι' ἄλλο τι] sic B. οὐδ' ἄλλό τι M.
12 ἐν χεροῖν] sic B. ἐν χαιροῖν M.
13 ἴσ. ἀπόπληκτον; ἀλλ' ἐν in marg. B.
14 πρίν τι] sic B. πρίν τινα M.
15 συγγενέσι m. M.
16 ἐφοβήθην B.
17 ἴσ. βομβύκ.
18 κροκωτὸν] sic B. κροτωτὸν M.
19 φλήναφον] sic B. φλύναφον M.

φίλους ἐκείνους θετέον·[20] οἷς τί μεῖζον καταράσαιτ' ἄν τις, ἢ τοιούτων παίδων γενέσθαι πατέρας· αἰσθόμενοι δ' οὖν ἐχθρῶς[21] με ἔχοντα τῷ γάμῳ,[22] παρῄνουν σπείσασθαι πρὸς τὸ πρᾶγμα, γῆρας τε ἥξειν λέγοντες. ἐν ᾧ μάλιστα δεῖ βοηθῶν,[23] καὶ παῖδα ἐμπορικὸν ἔσεσθαι, καὶ ζηλωτὴν[24] τοῦ γονέως· ἴσως δὲ καὶ μᾶλλον χρηματιστήν. ταυτὶ μὲν ἐν μαντείαις· τὰ δὲ ἤδη[25] παρόντα καὶ ὁρώμενα, θαυμαστά, οἷα κατέλεγον, κόρην πολλὰ κεκτημένην, καὶ γένους καὶ ὥρας λαμπρῶς ἔχουσαν. ἀκούσας ἐγώ τε, πολλὰ κεκτημένην, οὐδὲν ἐδεόμην ἄλλο[26] μαθεῖν. ᾔδειν γὰρ ὅτι ὁ πλοῦτος πάντα συλλαβὼν ἔχει τὰ καλά. εὐθὺς οὖν μεταπεπεισμένος, οἷος ἦν γαμεῖν. τὸ μὲν οὖν προσλαμβάνειν τάλαντα, θαυμαστῶς ὡς ἡδόμην· προσῆν δέ τι καὶ λύπης διὰ τὴν δαπάνην. τίς ὁ νομοθέτης, ὦ δικασταί, τούτων τῶν περιττῶν Ὑμεναίων· λαμπτήρων δεῖ τόσων, παραπομπῆς, οἴνου πολλοῦ, μύρου, κρόκου. ἑνὶ γὰρ οὐκ ἔνι λύχνῳ τὴν νύμφην εἰσαγαγεῖν;[27] ἄνευ θορύβου δὲ, οὐκ ἄμεινον; χωρὶς δὲ θεατῶν,[28] οὐκ εὐπρεπέστερον; εἰ δὲ μὴ πολλοὶ προσεστήκοιεν[29] ταῖς θύραις, οὐκ εἴσεται ὁ νύμφιος, ἃ ποιητέον αὐτῷ πρὸς τὴν κόρην; ἀλλ' ὅμως ἤνεγκα· φέρειν γὰρ ὑπὸ τῆς πληροικὸς ἐπειθόμην. τὴν μὲν οὖν γυναῖκα ἐπαινῶ τῆς μιμήσεως, ἥν με ἐμιμήσατο, ἄσιτος τὰ πολλὰ διατελοῦσα, τοῖς περιλείμμασι τῶν ἄρτων παρατρεφομένη. ὕδωρ αὐτή τε πίνουσα, καὶ τὰς θεραπαίνας ἐθίζουσα· μόλις[30] ταῖς νουμηνίαις λουομένη· λεπτὰ μὲν ὑφαινομένη· πωλοῦσα δὲ μᾶλλον, ἢ χρωμένη· ἐπικαττύουσα[31] τινὲ σαπρὰ τῶν χιτωνίων· οὐδὲν δεομένη τραπέζης· ἀλλ'

ἐπὶ

[20] λογιστέον m. M.

[21] ἐχθρῶν B. sed in m. ἔχθραν.

[22] πρὸς τὸν γάμον m. M.

[23] βοηθὸν in m. B.

[24] ζηλωτήν] sic B. ζηλωτὸν M.

[25] τότε παρ. m. M.

[26] ἄλλα m. M. ἄλλον B.

[27] ἄγειν B.

[28] θεατῶν] sic B. θεατρῶν M.

[29] post προσεστήκοιεν delevi ἂν, quod recte abest a B.

[30] μόναις B

[31] ἐπικαττύουσα τὰ σαθρὰ χιτωνίσκων.

ἐπὶ τῇ ταλασίᾳ[32] σῖτον αἱρουμένη. τοιγαροῦν ἔνδον αὐτὴν ἔχω καὶ στέγω, καὶ θησαυρὸν ὀνομάζω. ἡ μὲν οὖν παρ' ἑτέρων πρὸς ἡμᾶς ἐλθοῦσα, τοσοῦτον τῆς παιδείας ἐδέξατο. ὁ δὲ ἐξ ἐμοῦ φὺς· ὁ παρ' ἐμοῦ τραφεὶς· ὁ πολλοὺς ἐπαίνους ὑπὲρ χρημάτων ἀκούσας, εἰς ὀθνεῖον ἐξώκειλε τρόπον· μικρὸν δὲ ἄνωθεν διηγήσομαι· ἐπειδὴ γὰρ ἤδη παῖς ἦν, ἐν ᾧ τῆς ἡλικίας καιρὸν λαμβάνει τὰ παιδεύματα, συνεβουλευόμην τοῖς ἐπιτηδείοις, ἥν τινα[33] αὐτῷ[34] τέχνην δοτέον. ἔνιοι μὲν οὖν εἰς φιλοσόφους πέμπειν ἐκέλευον, ὡς ἐν τοῖς ἐκείνων φροντιστηρίοις τῆς ἀρετῆς ἐνοικούσης. ἐμοὶ δὲ τὸ μέν τι τῶν ἀνδρῶν ἤρεσκε· τῷ δ' ἠχθόμην. τὸ μὲν γὰρ αὐχμεῖν, καὶ κουριᾷν,[35] καὶ ἡ ἀλουσία· καὶ τὸ[36] μὴ πλείω τῶν τεττίγων ἐσθίειν· νοῦν ἔχειν ἐφαίνετο. τὸ δὲ χρημάτων ἀμελεῖν, καὶ διασύρειν τῶν ἐν ἀνθρώποις τὰ κράτιστα, μελαγχολώντων καὶ πλεῖστον ἀφεστώτων τοῦ τὰ δέοντα εἰδέναι· χρήματα μὲν γὰρ αὐτοὺς ἀγείρειν ἠξίουν· ζῆν δὲ τὰ ἄλλα, καθάπερ καὶ νῦν· οὕτω γὰρ ἂν οἷς τε ἐλάμβανον, οἷς τε οὐκ ἐδαπάνων, ἐπλούτουν· ἦσαν δέ τινες, οἳ παρῄνουν, παλαιστὴν[37] διδάσκεσθαι, μύθους τινὰς διηγούμενοι, τὴν Πίσαν καὶ τὸν Ἡρακλέα· ἵνα τί, ἔφην, ἐξ Ὀλυμπίας, ὦ βέλτιστοι, κομίσει μοι;[38] τὸν κότινον· ἀντάξιόν γε, οὐ γάρ; τοῦ τε ἐλαίου, καὶ τῶν μισθῶν, οὓς ἀνάγκη τῷ γυμναστῇ[39] φέρειν. γεωργὸν αὐτὸν, ἔφην, ἀποφανῶ· καὶ εἴσεται τὴν γῆν ἐνδελεχῶς θεραπεύειν, καὶ περὶ τὰ δένδρα πονεῖν. μεγάλα μὲν γὰρ τὰ δῶρα τῆς θαλάττης· ἀλλ' ἐπικίνδυνα, καὶ φθάνει τὰς εὐπραγίας[40] τὰ κύματα· καὶ πολλάκις τὰ μὲν χρήματα διώλεσε· τοὺς δὲ

κεκτη-

[32] χ. τῷ ἰσῷ, ἢ τῇ ἐριεργίᾳ m. M.

[33] ἴσ. εἰς ἥντινα in m. B.

[34] αὐτὸν B.

[35] χ. ὀρέγεσθαι κηρεύεσθαι m. M.

[36] τὸ] ſic B. τῷ M.

[37] παλαιστικὴν in m. B.

[38] κομίσει ἐμοὶ B.

[39] τῶν γυμναστῶν B.

[40] φθονεῖ ταῖς εὐπραγίαις B. et m. ſed in B. vulg. ſuperſcr. eſt.

κεκτημένους ἀποδύσασα, διέσωσεν, οἷς κέρδος ἦν συγκαταδῦναι τοῖς φορτίοις. γεωργία δὲ, πρᾶγμα ἀσφαλές· κἂν γὰρ τὸ τῶν ὡρῶν ἄτακτον ἐμποδίσῃ τοὺς καρποὺς, πολλὰ τὰ παραμύθια, ἔρια, τυρὸς, γάλα, ταρσοὺς[41] πλεξάμενον ἀποδόσθαι· κἂν πάντα ἐπιλίπῃ,[42] τά γε φρύγανα ὑπάρξει. καὶ ἦν μοι πρὸς τοῦτον ἐκείνη συνεχὴς ὑποθήκη· ὦ παιδίον τῶν ἰχνῶν ἔχου τῶν πατρικῶν· καὶ τῶν κειμένων τῇ πόλει νόμων, μηδὲν ἧττω νόμον τὸν ἐμὸν ἡγοῦ τρόπον· οὗτος δέ ἐστι τῶν μὲν ὄντων φείδεσθαι· τοῖς δὲ οὖσι προστιθέναι· ἵππους μὲν ἀδδηφαγοῦντας φεῦγε· στέργε δὲ τοὺς ὑλαγωγοῦντας ὄνους· καὶ τούτων τοὺς ἀχύροις ζῆν ἀγαπῶντας· τῶν οἰκετῶν τοὺς μὲν ἀργοῦντας, ἐλευθέρους ἀφιέναι· κρεῖττον γὰρ, ἢ τρέφειν· παρ' ὧν δὲ πρόσοδος, ἐν ἴσω τοῖς γονεῦσιν ἄγειν· τοῖς τῶν δανειζομένων δάκρυσι μηδὲν ἐνδιδόναι· νομίζειν δὲ τοὺς τόκους, τῶν ἀρχαίων μέρος. καλὸν μὲν οὖν καὶ ἡ τῶν ὑπαρχόντων φυλακή· πολλῷ δὲ μεῖζον καὶ ἥδιον, ἡ τῶν οὐκ ὄντων κτῆσις.[43] τὰ μὲν οὖν ἄλλα ἄλλοις ἄφες αἰσχρὰ νομίζειν· αὐτὸς δὲ αἰσχύνου καὶ ἐμὲ, καὶ τὴν μητέρα, καὶ τὴν γῆν, καὶ τὸν ἥλιον, καὶ σαυτὸν, ἢν μὴ μείζω ποιῇς παρ' ἡμέραν τὴν οὐσίαν, λαμβάνων, αἰτῶν, εἰσπράττων, ἀγείρων, πάντα εἰς τὴν κερδαίνουσαν πήραν ὠθεῖν ἀξιῶν. ἔρρωταί σοι τὸ σῶμα; δύνασαι πονεῖν; ἔστιν ἡμῖν χωρίον· ὁρᾷς τὴν ἐμὴν ὁδόν· μὴ γένῃ κακὸς εἰς τὸν ζῆλον· μᾶλλον ὑπόμεινον πλῆθος τραυμάτων, ἢ δραχμῆς ἀποστῆναι. τὰ μὲν γὰρ ἴασιν δέχεται μικρῷ φαρμάκῳ·[44] τὰ δὲ οἴχεται. ταῦτα ἦν ἡμῖν ἐπὶ τῷ δείπνῳ πρὸς τοῦτον ἀντ' ἄλλων τινῶν ᾀσμάτων· ὁ δὲ ὥσπερ ἐπὶ τἀναντία παρακαλούμενος ἀφεὶς τὸν κερδῷον Ἑρμῆν, ὀπαδὸν αὐτὸν τῷ Ἄρει καθίστησιν· ἐμοὶ δὲ ἦν ἀνάγκη μισθοδοτεῖν τε τῷ διδασκάλῳ τῶν τακτικῶν,[45] καὶ πρὸς τοῖς ἀσπι-

[41] γρ. ταλάρους m. M.

[42] ἐπιλίποι m. M.

[43] πολλῷ δὲ ἥδιον ἡ κτῆσις caeteris omissis B.

[44] f. δέχεται ἀπὸ μικρῶν φαρμάκων.

[45] χ. στρατιωτικῶν m. M.

ἀσπιδοπηγείοις καθῆσθαι, καὶ τὸν δορυξόον ἐνοχλεῖν· ἐωνῆσθαι πανοπλίαν οὐκ ἤρκει· ἀλλ' ἔδει καὶ τὸν τῆς ἀσπίδος ὀμφαλὸν ἐξαλεῖφειν χρυσῷ, καὶ τῷ κράνει τὸν λόφον. οὕτω δ' ἐπ' ἐμοὶ φιλοπόνως ἐγυμνάζετο, ὥσθ' ὅσα[46] ἐν[47] τῷ ἔμπροσθεν[48] ἅπαντας ἐβόσκε, ταῦθ' ἂν μόνος καταφαγὼν, ἔτι προσεδεῖτο· οὕτω πολυβορώτατος[49] ἡμῖν ὑπὸ τοῦ μελετᾶν ἐγεγόνει· ὥρμησα μὲν οὖν εὐθὺς τότε ἐκβαλεῖν αὐτοῖς ὅπλοις, πρὶν αὐτός με ἐκβάλῃ τῶν χρημάτων. συνδραμόντες δέ τινες τῶν ἐπιτηδείων, ἔσχον· καὶ ἐξηπάτησαν, ἐλπίδας ὑποτείνοντες, αἷς με τότε λαβόντες, ᾤχοντο. τί καταμέμφῃ τὸν υἱόν; οὐ μικρὸν, στρατιώτης ἀγαθός·[50] μὴ χαλέπαινε τοῖς ἀναλώμασι· κομιεῖ τὴν προσφορὰν[51] οὐ μεμπτήν· λαμπροὺς[52] ὁ πόλεμος τοὺς καρποὺς δίδωσιν· οὐ κατὰ τὰς ὀλύρας καὶ κριθὰς, ἃς μικρὰς ἐν μακρῷ χρόνῳ κόπτεις[53] συλλέγων. οἶσθ' ὅτι πολλοὶ τῶν στρατιωτῶν χρυσοφοροῦντες μάχονται. τούτους ὁ κτείνας, συλᾷ· καὶ ὁ στρατηγὸς οἶδει[54] οὐδέν· εἰ δέ σοι ἀριστεύσειεν ὁ παῖς, Ἡράκλεις· ἐμπλήσει σοι τὴν ἐπιθυμίαν ἡ ἡμέρα τῆς δωρεᾶς· καὶ φήσεις οὐδ' ἐν ἅπαντι τῷ βίῳ τοσούτους εἰληφέναι τόκους· ἀλλὰ συνάσκει καὶ σύμπραττε, τὰ πρὸς τὴν ἐπιτήδευσιν τῷ νεανίσκῳ. τί δ' οὐ μέλλω, ἔφην· πρὸς γὰρ τὸ γέρας ἐκεχήνειν· ἐντεῦθεν ὁ κωλυτὴς ἐγὼ τῶν ὁπλιτικῶν ἐκίνουν, προὔτρεπον, ἐδεόμην ἐν τοῖς ὅπλοις ἀναπαύεσθαι. ἄγε, ἔφην, ἐν στρατοπέδῳ τῶν νεκρῶν τὰ ψέλλια, καὶ στρεπτούς· ἀλλ' ὅπως μηδείς σοι τοῦτο συνείσεται· καὶ προπηδήσειν γε τῶν πολλῶν. ἢ τεθνήξῃ γὰρ, τοῦτο δὴ τὸ κοινὸν, ἢ[55] ποιήσεις

46 ὅσα γὰρ B. et m. M.

47 ἐν] ſic B. et m. M. ἂν t. M.

48 τῷ πρόσθεν B. τῷ ὀπίσω καὶ ἔμπρ. m. M.

49 πολυβρωτος m. M.

50 ἀγαθὸν m. M.

51 εἰσφορὰν m. M.

52 λαμπροὺς] ſic recte B. redit enim ad καρπούς. M. dat λαμπρός.

53 lege κόπτῃ. B. dat κόπτει.

54 εἶδεν B.

55 ἢ] ſic B. εἰ M.

σεις με πάνυ πλούσιον· ταῦτα ἐγὼ μὲν ἔλεγον· οὗτος δὲ ἐπαιδεύετο· καὶ συνελάβετο ἡ τύχη· μάχης γὰρ ἔναγχος συστάσης ἐργάζεται τὸ πλεῖον[56] τῆς τροπῆς. ὡς δὲ ἤγγειλέ μοί τις τὴν ἀριστείαν· πότ' οὖν, ἠρόμην, ἡ δωρεά; οὐδεὶς οὕτως, ὦ ἄνδρες, συγγενοῦς οὐσίαν κληρονομήσας, ἐγεγήθει, ὡς ἐγὼ τότε ἐγαννύμην· ἔσπευδον τοῦτον ἰδεῖν, καὶ φιλῆσαι περιβαλών· ἐκρότησα θαυμάσιον ἡλίκον· ἐνέβαλλον τοῖς ἀπαντῶσι τὴν δεξιὰν, ὡς ἐν εὐτυχήμασι γεγονώς· δῆλος ἦν τοῖς ἐπὶ τῶν ἐργαστηρίων, ἐπ' ἄκρων τῶν ὀνύχων βαδίζων. ὡς δὲ εἰσῆλθον[57] οἴκαδε, οὐδέν με[58] ἐχώρει· προσέταξα[59] τῇ γυναικὶ λύχνον ἕτερον ἅψαι· ἔπιον εὐζωρότερον. εἴπω τὶ καὶ τῶν ἀποῤῥήτων; ἔθυσα καὶ ἀλεκτρυόνα τῶν τικτουσῶν, ὁ πάντα ἐγὼ πρόχειρος. ὁ γὰρ ἐλπιζόμενος πλοῦτος ἀνέπειθε, καὶ παρανομεῖν· ἐπαναχωροῦντος δὲ ἤδη τοῦ στρατεύματος, προαπαντήσας ἐγὼ καὶ πολλὰ τοῦτον ἐπαινέσας, εἷλκον εὐθὺς ἐπὶ τὴν δωρεάν· οὐκ οὔσης δὲ τότε ἐκκλησίας, ᾔειμεν οἴκαδε. καὶ δεῖπνον ἦν[60] πολυτελὲς οἴμοι·[61] ὁ δὲ τὴν μάχην διηγεῖτο, τὴν φάλαγγα, τὸ κέρας, τὸ σύνθημα, τὸ μεταίχμιον,[62] τοὺς φόνους, τὴν δίωξιν. μή σύ γε ταῦτα ὦ παῖ, τὰ ἐκ τοῦ πολέμου δείγματα·[63] ἀλλά μοι τὸ ἥδιστον ἐκεῖνο, τίς ἡ αἴτησις· τίς ἡ λῆψις. αἰτήσωμεν πάντα τὸν ἐν τῷ κοινῷ χρυσόν· αἰτήσωμεν τὸν ἄργυρον· βαρυνοῦμεν[64] τὴν οἰκίαν χρήμασι. νὴ Δία, εἰκότως γε. ἃ γὰρ οὐκ ἐγένοντο τῶν πολεμίων διὰ σὲ, διὰ τί μὴ σὰ γίγνεται; ὁ δὲ σεμνώσας τὸ πρόσωπον, τὰ πάντων ἔφη, μέγιστα, ὦ πάτερ, κτησόμεθα,[65] καὶ τῷ Ἄρει σπείσας, ἀνέστη. οὐ γὰρ ἀπέχρη πιεῖν εἰς κόρον· ἀλλ' ἤδη καὶ

ἔσπενδε

[56] τὸ πολὺ B. et m. M. ſed in B. vulg. ſuperſcr. eſt.

[57] εἰσῆλθον] ſic B. εἰσῆλθεν M.

[58] οὐδὲν με] ſic B. οὐδὲ με M.

[59] προσέταττον m. M.

[60] ἦν] ſic B. ἦ M.

[61] οἴμοι] ſic B. οἶμαι M.

[62] τὸ μεταίχμιον, μέσον τῶν μαχομένων, τοὺς B.

[63] διδάγματα m. M.

[64] βαρυνῶμεν m. M.

[65] κτησόμεθα] ſic B. κτησόμενος M.

ἔσπευδε, τὸν ἐμὸν σκεδαννὺς πόθον.[66] γέμων δὴ χρηστῆς ἐλπίδος, περὶ μὲν πρῶτον ὕπνον κατέδαρθον. ἔπειτα ὀνειροπολήσας τὴν δωρεὰν, ἀνηγέρθην καὶ οὐκ ἔθ' οἷός τε ἦν ἀτρεμεῖν· ἀλλ' ἐστρεφόμην ἐπ' ἄμφω τὴν νύκτα ὅλην· ἀλεκτρυόνος οὐκ ᾄδοντος, ἀκούειν ἐδόκουν. ἐλοιδόρουν τῆς νυκτὸς τὸ μῆκος· πολλάκις ἐξέπεμψα τὸν οἰκέτην, σκεψόμενον τὴν ἕω. ἀνασχούσης δέ μοι ποτὲ τῆς εὐδαίμονος, ὡς ἐνόμιζον, ἀκτῖνος, παρῆσαν οἱ γνώριμοι, κοινωνήσοντες τῆς ἡδονῆς, καὶ ἐχωροῦμεν, ὄχλῳ περιῤῥεόμενοι πολλῷ, καὶ ἀποβλεπόμενοι· προσελθὼν δὲ τοῖς πρυτάνεσι[67] καὶ προέδροις, ἐδεόμην περὶ πρώτης[68] χρηματίζειν[69] τῆς δωρεᾶς. οἱ δὲ, εὖ ποιοῦντες, χαρίζονται τὸ ταχὺ ταῦτα πραχθῆναι. ἀναβὰς δὲ οὗτος ἐπὶ τὸ βῆμα, καὶ στρέψας τὴν κεφαλὴν, καὶ περιβλέψας αὐτὸν, πρῶτον μὲν κατέτεινέ με, πάλιν διηγούμενος τὴν μάχην. τί δεῖ τοῖς εἰδόσιν, ὦ Φορτικὲ, διδαχῆς; συμπαρετάττοντο, συνεξεστρατεύοντο· μὴ τοὺς ἑωρακότας παρενόχλει·[70] ὁμολογοῦσι τὴν ἀριστείαν· βάδιζε πρὸς τὴν αἴτησιν. ὁ δὲ εἰ καὶ μὴ τὰς τρίχας ἐξαριθμήσειε τῶν πεσόντων, οὐκ εἶναι, ὅπερ ἦν, ἡγεῖτο·[71] ὀψὲ δὲ οὖν αἰσθόμενος τὸν δῆμον δυσκόλως ἔχοντα πρὸς τὸν κόμπον ἐμνημόνευσεν αἰτήσεως· ἐγὼ δὲ ἔστησα τὰ ὦτα. ὁ δὲ, τὰ μέγιστα αἰτήσειν ἐπαγγελλόμενος[72] καὶ ἀναρτήσας με ταῖς ὑποσχέσεσι, ἀφεὶς χαίρειν τὸν φίλτατον χρυσὸν, καὶ τὸν φαιδρὸν ἄργυρον, καὶ τὰ ἱμερτὰ[73] πλέθρα ἐπιλέγει δωρεὰν, ὦ Ζεῦ Κτήσιε, ποίαν τινά; πῶς ἂν ἐνδειξαίμην τὸ κακόν· ἐπιλέγοι δωρεὰν, καπνοῦ σκιάν, στέφανον θαλλοῦ· καὶ τὸ ψήφισμα ἐγέγραπτο. ἐβουλευσάμην μὲν οὖν εὐθὺς, ἐπισπασάμενος ἀπὸ τοῦ βήματος, ἐξορύξαι τὼ[74] ὀφθαλμώ· κωλυόμενος δ' ὑπὸ τῶν παρ-

σιτων,

[66] οἶνον B.
[67] πρυτανεῦσι B.
[68] πρῶτον B.
[69] χ. διαλέγεσθαι m. M.
[70] χ. ἐπηρέαζε m. M.
[71] ὅπερ διηγεῖτο B. et m. M.
[72] ἐπηγγελμένος B. et m. M.
[73] ἡμερώτατα m. M.
[74] ἐξορύξαι οἱ τὼ B.

όντων, ἐκδὺς ἐκ τῆς ἐκκλησίας, ἀπηλλαττόμην, ἔξω ὢν ἐμαυτȣ͂, καὶ οὐδὲ καλῶς γνωρίζων τὸν ϛενωπόν. ὡς δὲ εἰσῆλθον οἴκαδε ἡμιθνὴς, καὶ ȣ̓κ ἄξιον τῆς ἐλπίδος φέρων τὸ πρόσωπον, τί τȣ͂το, ἔφησεν ἡ γυνή· ἡ δωρεά σε τοιοῦτον, ὦ μακάριε, πεποίηκε; ναὶ, ἔφην·[75] τοιαύτη γὰρ ἦν. ἠδίκημαι τὰ μέγιϛα, ὦ ἄνδρες, καὶ περισεσύλημαι· ἐκκεκύλισμαι πολλῶν χρημάτων ὑπὸ τȣ͂ παιδὸς, καὶ μεγάλων· ἢ δίκην με δεῖ, ἢ τεθνάναι. σὺ δὲ, ὦ πατραλοία καὶ μιαρὲ, καὶ παμμίαρε,[76] ἐτόλμησας ταῖς ἐμαῖς θύραις προσελθεῖν, τοιοῦτον ϛέφανον κομίζων, ὡς ἐμὸς[77] ὢν ἔτι καὶ μετὰ τὴν καλὴν δωρεάν; ἀλλὰ ἀποφθάρηθι παρὰ τοὺς τὰ τοιαῦτά σε πεπεικότας.[78] ζήτει πατέρα σαυτῷ· τὸν γὰρ ὄντα ἀπολώλεκας. ἔτρεφόν σε ἐπὶ ταῖς θαυμαϛαῖς ἐκείναις ἐλπίσιν· ἐψεύσθω με τῶν ἐλπίδων· μὴ ἐνόχλει τοῖς ἐμοῖς. ἰσχυρὸς εἶ σὺ, καὶ μέγας; ἀλλ᾽ ȣ̓κ ἰσχυρότερος τȣ͂ νόμου, ὃς πάλαι κεῖται, πατράσιν ἀδικουμένοις βοηθῶν· οὗτος ἐκβάλλει σε τῆς οἰκίας. ἀλλ᾽ ȣ̓κ ἐπὶ τοῖς ἠριϛευκόσι κεῖται, φησίν· ἐγὼ δὲ ἀριϛεύς. ἐνταῦθα κομψὸς καὶ σοφιϛής· οὐ δὲ δεῖ πλουτεῖν,[79] ἠλίθιος, ἀγροῖκος, κορύζης καὶ λέμφου ἔμπλεως. ȣ̓κ ἄξιον ἀγχόνης, ὦ ἄνδρες τὸ πρᾶγμα; ἢ μὲν οὖν κακουργῆσαι δεῖ, τὸν νόμον ἐζήτηκε[80] καὶ περιείργαϛαι. τὸ δ᾽ ἁπλοῦν τȣ͂το, καὶ οὐδὲν δεόμενον βαθείας γνώμης, τὸ χρήματα ἀνελέσθαι, ȣ̓κ οἶδεν· οὐδὲ[81] ἐνεθυμήθη· ἀλλ᾽ ἐπειδὴ καὶ ῥήτωρ ἡμῖν ἀναπέφηνας, δεῖξον προσγεγραμμένον, Πλὴν ἐαν τις ἀριϛεύσῃ, τούτοις δὲ ἔξω κρείττοσιν ἀποκηρύξεως εἶναι.[82] εἰ δ᾽ ȣ̓κ ἔχεις, μὴ λυμαίνου τὸν νόμον· λύμη γάρ ἐϛιν ἡ

προσθήκη·

[75] προβολή. in marg. B. adſcr. eſt.

[76] καὶ παμμίαρε deſunt m. M.

[77] ἐμοὶ B.

[78] πεποιηκότας B.

[79] ὅρος, in marg. B. adſcr. eſt.

[80] f. ἢ μὲν ἐμὲ κακουργῆσαι ἔδει, τὸν νόμον ἐζήτηκε.

[81] εἶδεν ȣ̓κ B. οἶδεν· ȣ̓δὲν m. M.

[82] in marg. B. adſcriptum eſt ἀνθορισμός.

προσθήκη· οὐδὲ γὰρ ἐκεῖνο φήσαι τις ἄν, ὡς τὴν εἰς τοὺς γονέας κάκωσιν, ἐλάττω καθίστησιν ἡ τῶν κακούντων ἀριστεία. τὸ γὰρ πάθος, ἴσον ἄν τε δειλὸς, ἄν τε ἀνδρεῖος ὁ λυπῶν ᾖ· μᾶλλον δὲ τοσούτῳ[83] δεινότερον ὑπὸ τῶν ἀγαθῶν πάσχειν κακῶς, ὅσῳ[84] πάσχειν εὖ παρὰ τῶν τοιούτων ὀφείλεται· διὰ τί γὰρ οὐκ ἐκπεσῇ τῆς οἰκίας ὅτι τοῖς ἐμοῖς τέλεσιν[85] εἰς τὸ δύνασθαι φοβεῖν τοὺς πολεμίους προῆλθες;[86] ἀμελεῖν ἄρα δεῖ τῆς τῶν ἐκγόνων[87] παιδείας, εἴπερ αὐτῶν ἄκυροι διὰ τοῦτο καθεστήξομεν· ἀλλ' ἐάσας ὦ τ' ἀν[88] τὸ τρόπαιον, δίδαξον τούτους, ὅτι με[89] οὐδὲν ἀδικεῖς. οὔ φησιν· οὔτε γὰρ κατακεκύβευκά τι τῶν σῶν, οὐδὲ κατωψοφάγηκα.[90] θαυμαστός γε ὁ νεανίας, καὶ χάριτος ἄξιος ἡμῖν, ὅτι μὴ τὸν βίον, ὃν ἀκριβῶς συνείλεγμαι, τοῦτον εἰς ἑταίρας, καὶ κύβους, καὶ ἰχθῦς, καὶ ὄρνις[91] τῶν τιμίων διέρριψεν· εἰ γὰρ ὤφελες ταῦτα εἶναι τετολμηκώς· εἰ γὰρ ἡμμένος τῶν ἔνδον. οὐκ ἂν ἐδέησε τῆς νῦν ἀποκηρύξεως· ἀπέπνιξα γὰρ ἄν σε καθεύδοντα,[92] νὴ τὸν Δία· τὸν ἄνακτα· οὐ λέγω μνᾶν, ἢ ἀλεύρων ἡμιμέδιμνον,[93] ἢ διπλοΐδα, ἀλλ' ὀρόβους ὀλίγους, τάριχος, κρόμμυα· τῶν ἔτι φαυλοτέρων τὶ διαπεφορηκότα[94] λαβών· ἡ γὰρ βλάβη, πανταχοῦ πικρὸν, κἂν ἐπ' ἐλαχίστῳ συμβαίνῃ. μὴ οὖν ὡς οὐκ ἐποίησεν ἐλάττω τὰ ὄντα λεγέτω[95] ἀλλ' εἰ μὴ πλείω ποιῆσαι, παρὸν, οὐκ ἠβουλήθη, δεικνύτω. τοῦτο γὰρ ἐγκαλῶ νῦν, οὐχ ὅτι με πενέ-

83 τοσούτῳ] ſic B. et m. M. τοσοῦτον t. M.

84 ὅσῳ] ſic B. et m. M. ſubaudi μᾶλλον. ὅσον t. M.

85 δαπάναις m. M.

86 προῆλθες] ſic B. προσῆλθες m. M.

87 ἐγγόνων B. et m. M.

88 ὦ παῖ B.

89 με] ſic B. μὲν M.

90 Tit. in marg. B. μέριον δικαίως.

91 ὄρνεις B.

92 ἀπέπνιξα γὰρ ἄν σε καθ.] ſic B. γὰρ et σε deſunt M.

93 ἢ ἄλευρον· ἢ μέδιμνον B.

94 διαπεφορηκότα] ſic B. διαπεφοβηκότα M.

95 ſed hoc dicito, annon, ampliorem facere rem cum potuiſſet, id facere noluerit.

πενέστερον ἀπέφηνεν· ἀλλ' ὅτι μὴ πλουσιώτερον. ὡς δὲ οὐδὲν ἀλλόκοτον ἀξιῶ,[96] δῆλον ἐκεῖθεν[97] εἴ τῳ[98] τὶς ὑμῶν οἰκέτης ὦ ἄνδρες δύναιτο φέρειν δέκα τῆς ἡμέρας δραχμὰς, ὑπὸ δὲ ἀργίας εἰς[99] ἥμισυ φέροι[100] τοῦτον οὐκ ἂν μαστιγώσαντες, εἰς μύλωνα ἐμβαλεῖτε;[1] καίτοι τοσοῦτον ἀπέχει τοῦ τὰ ὄντα διαφθείρειν, ὥστε καὶ φέρειν·[2] τοῦτ' οὖν ἀδικεῖ, τὸ μὴ πλείω φέρειν. ἐγκαλοῦμεν δὲ καὶ ταῖς ἀμπέλοις, εἰ μὴ βρίθοιντο τοῖς βότρυσι· καίτοι καὶ ταύταις εἰ μετῆν φωνῆς, ὑπῆρχεν ἂν εἰπεῖν, ὡς οὐ προσαπολλύουσι τὸν ἐν τοῖς πίθοις οἶνον· ἀλλ' οὐδὲν ἧττον. ἐν τῷ τὰ παρ' αὐτῶν ἐλλείπειν, καταβλάπτειν δοκοῦσιν. οἶδα δὲ καὶ ὑμᾶς ἐν ταῖς[3] εὐθύναις τῶν στρατηγῶν, ὁμοίως τραχεῖς ὄντας τοῖς τε ἀποβαλοῦσι[4] τῶν ὑπαρχόντων, τοῖς τε οὐ προσθεῖσιν ὅσα ἐξῆν. ἐγὼ δὲ καὶ τοῖς ὀνείρασιν, ὧν αἱ ὑποσχέσεις μάταιοι,[5] δίκην ἥδιστ' ἂν ἔλαχον βλάβης. πᾶσα γὰρ ἐλπὶς ἀμείνων, ἀτυχοῦσα τοῦ τέλους ζημία κέκριται· ἔνδον ᾤμην ἔχειν τὰ χρήματα. μόνον[6] οὐχ ἑώρων· μόνον οὐκ ἠριθμούμην. ἐκ τοῦ κιβωτίου τὴν ἐσθῆτα ἐξελόμενος, εὐτρέπιζον[7] τῷ χρυσίῳ· εἶτά με ἐρωτᾷς, τί ἠδίκημαι; ἃ ἐχρῆν με ἔχειν οὐκ ἔχω· μείζω πληγῶν, ὦ παῖ, τετόλμηταί σοι. φορητὸς ἂν ἦσθα, παίων· εἴ με εἰργάσω πλούσιον, ἡδόμην ἄν, ῥαπίζοντος, καὶ προπηλακίζοντος· καὶ πάντα[8] ἂν ἦν μοι διὰ τὸ χρυσίον φορητά.[9] νῦν δὲ ἀπέκτονάς με. διὰ σὲ γὰρ τεθνήξομαι. οὐχ ὁρᾶτε, ὦ ἄνδρες, τὸ σῶμα ὡς συντέτηκέ μοι;[10] οὐχ ὁρᾶτε ὡς ἀσθενὲς φθέγγομαι

καὶ

[96] αὐτῶν m. M.

[97] in m. B. adſcr. συλλογισμός.

[98] εἴ τῳ] ſic B. ſi cui veſtium. εἴτε M.

[99] εἰς num delendum eſt?

[100] φέροι] ſic B. φέρει M.

[1] ἐμβαλεῖτε] ſic B. ἐμβάλητε M.

[2] φέρει m. M.

[3] π. ἐξετάσεσι m. M.

[4] βάλλουσι m. M

[5] in marg. B. adſcr. est ἠπηλικότης.

[6] μονονὰ καὶ ἑ. μρνονὰκ m. M.

[7] εὐτρέπιζον] ſubaudi αὐτήν.

[8] ῥαπιζόμενος. καὶ προπηλακιζόμενος πάντα B.

[9] μέτρια B. et m. M.

[10] συντέτηκέ μοι B.

καὶ ἀπολωλός; κακόσιτός εἰμι· φεύγω τὰς συνουσίας· ἀγρυπνίᾳ ταλαιπωροῦμαι· τὸν καταγέλων οὐ φέρω, πρὸς γὰρ αὖ τοῖς ἄλλοις, ἔστι μοι καὶ γείτων φθονερός· οὗτος ἡνίκα μὲν ἦν ἐν ἐλπίσιν ἡ αἴτησις, ἔκειτο ἐπὶ τοῦ σκίμποδος λειποψυχῶν· ἐπειδὴ δὲ ᾔσθετό μοι διαῤῥυέντα τὸν καιρὸν φαιδρὸς ἐκπεπήδηκε· καὶ σκώπτει προσιὼν, ἐρωτῶν τὸν ἀριθμὸν τῶν ταλάντων, οἷς ἐπήυξηκέ μοι τὸν οἶκον ὁ παῖς ἐφ᾽ οἷς ἔγωγε ἀποπνίγομαι. καὶ οὐκ ἔστι[11] μοι παρεξιέναι τὴν οἰκίαν τὴν ἐκείνου γυμνῇ τῇ κεφαλῇ. καὶ γὰρ αὖ αἱ[12] θεράπαιναι τοῦ τοῖς θεοῖς ἐχθροῦ παρανοίξασαι τὰς θύρας, βάλλουσι καὶ αὗται[13] σκάμμασι. τίς ἀνάσχοιτ᾽ ἂν τὴν κωμῳδίαν; εἰ μὴ τεθνήξομαι, ὦ ἄνδρες,[14] φεύγων οἰχήσομαι· μικρά γε ἠδικημένος, ἀγανακτῶ; φύλλα τῆς ἐλαίας ἀντὶ χρημάτων ἐνεγκὼν τῷ πατρὶ, θαυμαστὸν, εἰ μισεῖται; καί φησιν. ἐξῆν γάρ αἰτεῖν μοι κατὰ[15] τὸν νόμον· οὐκοῦν καὶ ἐμοὶ κατὰ τὸν νόμον ἐκβαλεῖν·[16] ἢ σοὶ μὲν ἐκεῖνος ἰσχυρός· ἐμοὶ δὲ οὗτος ἀσθενής. σύνιστε πρὸς Διὸς, ὡς αὐτοῖς, οἷς ἀγωνίζεται, τὸ δεῖν ἀποκηρύττεσθαι βεβαιοῖ; ὁ γὰρ, πατρὸς ἐφεστηκότος,[17] ἐξουσίας μεμνημένος, ἄλλης οἰκίας δεῖται. ὥσπερ γὰρ τὸν οὐ πειθόμενον ἵππον τῷ χαλινῷ, θέοντα δὲ ἀτάκτῳ φορᾷ μᾶλλον, ἢ τῇ τοῦ ἄγοντος γνώμῃ, τῶν ἀχρήστων ἕν τι νομίζομεν, καὶ συμφορὰν, τὸ κεκτῆσθαι· οὕτω καὶ παῖς, εἰς ἐξουσίαν ἥκειν ἡγούμενος, ἀπελαυνέσθω. δῆλος γάρ ἐστι καθεκτὸς οὐκ ἔτ᾽ ὤν. καὶ ὑμῖν δὲ συμφέρει τοῦθ᾽ οὕτω κρατεῖν, καὶ μὴ ἀναπτερωθῆναι τοὺς ὑμετέρους παῖδας, ὑπὸ τῆς τούτου θρασύτητος. μάθε δὲ[18] νῦν, εἰ καὶ μὴ

προ-

[11] ἔσται B.
[12] αὖ καὶ αἱ B.
[13] αὗται m. M.
[14] ὦ ἄνδρες δικασταὶ B.
[15] ὑπὲρ m. M.
[16] ἐκβάλλειν m. M.
[17] ἐφεστηκότος] id eſt ἐπικυριεύοντος ἑαυτοῦ. patre adhuc ſuperſtite, cuius in poteſtate ſit, tamen ἐξουσίας μεμνημένος ſui iuris, ſuae ſpontis eſſe flagitat.
[18] δὲ] καὶ B.

πρότερον ᾔδεις, ὅτι κύριοι τῶν παίδων οἱ γονεῖς οὐχ' ἧττον, ἢ τῶν οἰκετῶν· ἂν ἐμοὶ δοκῇ, φθέγξῃ, καὶ σιωπήσῃ πάλιν· ἂν ἐμοὶ δοκῇ, τυρὸν ἔδῃ, καὶ ἄρτον, καὶ κάρδαμόν γε, καὶ μάζαν· ἐν χαμευνίᾳ[19] δεῖ σε καθεύδειν, ἣν κελεύω, καὶ πάλιν ἐπὶ κλίνης, ἣν ἐπιτρέπω. ἔπραξάς τι καλὸν ἐν τῇ μάχῃ, τοῦτό ἐστιν ἐμόν· καλεῖ σε πρὸς δωρεὰν ὁ νόμος; εἰπὲ πρὸς αὐτὸν, ὡς ἔστι σοι πατὴρ· μὴ λάβῃς ἐξουσίας ἔννοιαν, ἔτι ζῶντος ἐμοῦ. ἐγώ σε εἰς φῶς ἤγαγον· εἰς δὲ τοῦτο[20] ἡλικίας ἤνεγκα. ἔσπεισα τοῖς θεοῖς λιβανωτόν· καὶ κατέβαλον τὰ τροφεῖα πάντα ἀκριβῶς, οὐδὲ χαλκοῦν[21] ἀποστερήσας· καὶ νέον ὄντα ἔτρεφον, οὔπω δυνάμενον ἀντωφελεῖν. ὁ ἐμός σε οἶνος, καὶ οἱ ἐμοὶ πυροὶ, τοσοῦτον, ὦ βέλτιστε, ἐποίησαν. λόγισαι χιτωνίσκους, καὶ τρίβωνας, καὶ στρώματα, καὶ τιμὴν τὴν ἐφ' ἑκάστῳ· ἀλλ' αὐτὰ τὰ ὅπλα, δι' ὧν κεκράτηκας, τίνος; ὁ δὲ γύλιος[22] ὁ δὲ σκευοφόρος, οὐ πάντα ἐμά; πῶς οὖν οἷός τε ζῆν μέν σε δι' ἐμὲ, ἐμὲ δὲ μὴ ποιεῖσθαι σαυτοῦ κύριον ἢ σοῦ μὲν ἐγὼ κύριος, σὺ δὲ τῆς δωρεᾶς; καὶ πῶς ἔνεστι; θαυμάσεται τοίνυν τὸν στέφανον, καὶ φήσει δόξης μὲν ἅπαντα λείπεσθαι πλοῦτον, ἐν δὲ τῷ στεφάνῳ τὴν δόξαν εἶναι. τὰ τῶν τετυφωμένων, ὦ παῖ, μοι λέγεις· τὰ τῶν ἀλαζόνων, τὰ τῶν δοξοκοπούντων, παρ' οἷς οὐδὲν ἂν εὕροις,[23] πλὴν[24] γνάθους πεφυσημένας· τὰ δ' ἔνδον, λιμὸς πολύς. ἐκεῖνοί σε ταῦτα ἐπαίδευσαν· δι' ἐκείνους τὰς φρένας νοσεῖς· τοῦτο καὶ τοὺς ἀθλίους ἀθλητὰς ἀπολώλεκεν· οἱ πυθόμενοι τὸν Ὀλυμπιάσι[25] κότινον, ἄλλό τι ἢ κότινον εἶναι, οἰδημάτων μὲν καὶ τραυμάτων ἐπανιᾶσι γέμοντες· μικρὸν δὲ ὕστερον, προσαιτοῦντες ἀποζῶσι; τί δ' ἂν εἴη δόξης μᾶλλον γελοῖον, ἣν οὐδὲ ἰδεῖν ἔστι τοῖς ὀφθαλ-

[19] χαμευνίοις B. et m. M.
[20] καὶ εἰς τοῦτο.
[21] χαλκοῦν] sic B. χαλκοῦ M.
[22] λύγειος B. et m. M. cum χ. ἀγγεῖον ὁδοιπορικὸν, εἰς ἀπόθεσιν τῶν ἀναγκαίων.
[23] εὖ. ης m. M.
[24] πλὴν] ἢ B.
[25] τὸν Ὀλ.] sic B. τὸν ἐν Ὀλ. M.

ὀφθαλμοῖς, οὐδὲ εἰς χεῖρας λαβεῖν. ἐπεί, φέρε ὥσπερ ἐγώ σοι δείκνυμι τἀργύριον, καὶ τοὺς στατῆρας· καὶ πάνθ' ἁπλῶς, ἃ οἴκοι τέ ἐστιν ἔχειν, καὶ ἀποδημοῦντα φέρειν· οὕτω καὶ σύ[26] μοι δεῖξον ἐν ποίῳ βαλαντίῳ τὴν δόξαν κατακλείσας ἔχεις· καὶ τί δύναιο ἂν τῶν ὠνίων ταύτῃ πρίασθαι; ποῖον βοῦν; τίνα ὑφάντην; ποῖον[27] κλιμοποιόν; εἰσφορὰν δὲ τίνα ἂν καταβάλῃς, ἐκεῖθεν φέρων. τίς οὖν ἡ τῆς δόξης ἰσχύς, ἧς οὐδεμία χρῆσις[28] ἐν τοῖς κοινωνήμασιν; ἀλλ' ἐπεθύμεις στεφάνου; τί οὖν ἔδει δήμου, καὶ συλλόγου καὶ ψηφισμάτων; ἐγώ σοι δέκα ἂν ἔδωκα τοιούτους, τῶν ἐλαιῶν ἀφελών· καὶ εἰ τῶν τιμιωτέρων ἔχρῃζες ῥόδων, ῥᾷστον ἐκεῖθεν πλεξάμενον περιθέσθαι· σὺ δὲ ἀντ' οὐδενὸς τὸν δῆμον συνῆγες· καὶ οὐκ ἐβουλήθης ἰδεῖν ὅτι δωρεά, κέρδος ἔχουσα, μετὰ τῆς ὠφελείας φέρει τὸν κόσμον· ὥστε εἰ καὶ ἀργύριον ἀπῄεις λαβών, τό γε[29] ὡς ἀριστέα λαμβάνειν, ἐσῴζετ' ἄν. ἀλλὰ πάντως ἤρας στεφάνου, καὶ τούτου, κατὰ ψήφισμα; καλῶς. ἔδει τοίνυν χρυσοῦν εἶναι τὸν στέφανον· ὥστε τῷ μὲν χρυσῷ κερδαίνειν· τῷ δὲ στεφάνῳ σεμνύνεσθαι· ὁρᾷς δὲ καὶ τὸν δῆμον οὕτως ὑπὸ τῶν συμμάχων τιμώμενον· καὶ οὐ θαλλὸν αὐτῷ παρὰ τῶν σωθέντων[30] πεμπόμενον; ὕβρις γὰρ τοῦτό γε. ἀλλ' ἐχθρῶς ἔχεις τοῖς χρήμασιν; ἀτυχὴς μέν τις ὤν· εἰ δ' οὖν οὕτως ἔχεις, αἴτει τὴν ἐν πρυτανείῳ σίτησιν· καὶ μὴ σαυτῷ μόνον·[31] ἀλλὰ καὶ ἐμοὶ τῷ πατρί· κουφιοῦμέν γε τὴν οἰκίαν, δημοσίᾳ σιτούμενοι· σὺ δὲ τοσαύτας ὁδοὺς ἔχων, ἀνδρὸς σύνεσιν δεῖξαι δυναμένας, καὶ[32] ὑπὸ μειρακίων ἀποπλήκτων, ἢ σοφιστῶν τερατολόγων, ἢ γερόντων παραληρούντων, ἐμποδὼν ἔστης ἐπειγομένῳ πλούτῳ πρὸς τὴν ἡμετέ-

ραν

26 οὕτω καὶ σὺ] sic B. καὶ deest M.
27 τρῖον e correct. B.
28 χρεία B.
29 τότε B.
30 συνθέτων B.
31 μόνῳ B. et m. M.
32 καὶ recte abest a B. verum tamen aliud eius loco requiro, e. c. ἐπαρθεὶς, aut φυσηθεὶς, aut τετυφωμένος.

ραν ἑστίαν· καὶ καταδύεσθαι δέον, ἀγάλλῃ. καὶ περὶ τῆς δόξης ὡς μεγίστου[33] διαλέγῃ· καὶ μὴν εἰ μηδ' ἀφ' ἑνὸς τῶν ἄλλων ἦν ἰδεῖν, ὡς οὐδὲν εὐηθέστερον δόξης ἀκάρπου, αὐτό γε τὸ δεδοικέναι τὴν ἀποκήρυξιν, ἱκανὴ διδαχή. εἰ γὰρ μέγα, καὶ σεμνὸν καὶ δαιμόνιον, ἡ δόξα, καὶ τοιοῦτον οἷον ἀπ' αὐτῆς τὸν κεκτημένον διάγειν. τί δέδοικας, εἰ μηκέτι τῶν ἐμῶν προσάψῃ; οὐ ῥήτορας παραστησάμενον[34] βιάζεσθαι δεῖ, καὶ διὰ τῶν δικαστῶν εὑρίσκεσθαι τὸ μετέχειν τῶν πατρῴων· ἀλλ' ἐπὶ τῆς ἐκκλησίας φανῆναι τοιοῦτον, ὥστε με προκυλινδεῖσθαί σου, καὶ προσκυνεῖν σωτῆρα, καὶ εὐεργέτην, καὶ ἔρεισμα, καὶ ὀφθαλμὸν, καὶ κρηπῖδα, καὶ τὰ κάλλιστα ὀνομάζοντα. μὴ γὰρ ἐγώ σε νῦν ἀπελαύνω; σαυτὸν ἐκβέβληκας· ἡ δωρεά σε μεταστῆναι κελεύει· κέκλεικέ σοι τὴν οἰκίαν ὁ θαλλός· τοῦτο πρῶτον ἀπολαύεις τῆς δόξης. λαμπρὸς εἶ, ὦ παῖ, καὶ μεγαλόψυχος, καὶ φιλότιμος, καὶ κλάδων ἐραστής· ἐγὼ δὲ, γλίσχρος· καὶ φιλάργυρος, τῶν ἐμαυτοῦ φειδόμενος. μὴ μίγνυε τὰ ἄμικτα· φεῦγε τὴν ἐμὴν οἰκίαν, ὡς καὶ τὸν τρόπον. οὐ δυνάμεθα συζῆν· διειργόμεθα ταῖς γνώμαις. οὐδεὶς ὄνον ἵππῳ συζεύξειεν ἄν. τὸ γὰρ ἀνόμοιον οὐκ ἐᾷ συμπονεῖν[35]· ἀλλ' οὐδ' ἂν βοῦς ὑπὸ τὸν αὐτὸν ἄγοις[36] ζυγὸν, μὴ τὰ ἴσα πονεῖν πεφυκότας· καὶ ἡμᾶς τοίνυν διαζευγνῦσι τῶν τρόπων ἡ στάσις. πολύ μοι διέστηκας, ὦ παῖ· σκοπῶν παρ' ἀλλήλους τὰς φύσεις ἐξάγομαί τι καὶ χαλεπώτερον λέγειν· ὑποπτεύω σου τὰς γονάς· οὐκ εἶ παῖς ἀνδρὸς ἐργαζομένου. σώφρων μὲν ἡ γυνή· σώφρων· σὺ δ' οὐκ ἐθέλεις ἐξ ἐμοῦ γεγονέναι. μὴ γὰρ ὑπὲρ τῆς δωρεᾶς ἀγανακτῶ μόνον; δέδοικα, ὦ ἄνδρες, καὶ περὶ τῆς οὐσίας· οἷς γὰρ οὐκ ἐπεκτήσατο λογισμοῖς, τούτοις τὰ ὄντα διαφθείρων, οὐ προτιμήσει. εἰ γὰρ οὗτος τῶν ἐμῶν καταστάίη κληρονόμος, ὃ μὴ γένοιτο, οὕτω δὴ ταχέως ἄλλων

τὰ μὰ

[33] μεγίστου] sic B. μεγίστης M.
[34] παραστησάμενον] sic B. παραστησόμενον M.
[35] συμπονεῖν] sic m. M. συμπιᾶν t. M.
[36] ἄγοι B.

ταῦτά μοι γενήσεται. πᾶς[37] γὰρ ὁ δόξαν κτῆμα νομίζων, ἐκ ἀγαθὸς τῶν ὡς ἀληθῶς κτημάτων φύλαξ· ἀλλ' ὁ προσελθὼν, καὶ κολακεύσας, ἀπῆλθέ τι λαβών· ὁ τὸν ἀριστέα καλέσας, μισθὸν ἔχει τῦ ῥήματος. εἶτ' ἐκ τούτων, οἱ μὲν ἀποφέρονται χρυσόν· αὐτὸς δὲ[38] εἰρωνείαν. μέλει δέ μοι καὶ τελευτῶντι τῶν χρημάτων· ὥσπερ γὰρ τοὺς παῖδας, οὕτω καὶ ταυτὶ κτώμεθα τὰ φίλτατα. λέγω γὰρ ὡς φρονῶ, βραχὺ φροντίσας τῶν μετὰ τούτε συνεξηκότων· ὧν[39] ἐγὼ βελτίων εἰμὶ[40] τοσοῦτον, ὅσον οἱ μὲν[41] ἐρῶντες χρημάτων, οὔ φασιν ἐρᾶν· ἐγὼ δὲ ὁμολογῶ τὸν πόθον. καὶ οἱ μὲν αὐτῷ τῷ κρύπτειν, ψέγουσι τὸν πλοῦτον· ἐγὼ δὲ τῷ σεμνύνεσθαι, τὴν διαβολὴν φέρω. τί γάρ, ὦ πρὸς Διὸς, ὐκ ἐν τούτοις[42] καὶ διὰ τούτων; οὐ ταῦτα καὶ πόλεις οἰκίζει, καὶ βασιλέας ποιεῖ, καὶ τρόπαιον[43] ἐγείρει, καὶ γάμους συνίστησι, καὶ φίλους ἐπισπᾶται, καὶ νόσους ἀπαλλάττει; ταῦτα τέχνας εὗρε· ταῦτα ἔπεισε τὴν θάλασσαν πλεῖν· καὶ περὶ τὴν γῆν φιλοτεχνεῖν, καὶ λόγους ἀσκεῖν, καὶ στέργειν γονεῖς· μετὰ[44] τούτων καὶ τοὺς γνωρίμους ὠφελοῦμεν, καὶ τοὺς δυσμενεῖς λυποῦμεν, καὶ νεὼς οἰκοδομούμεθα, καὶ ἀγάλματα δημιουργοῦμεν, καὶ θυσίας θύομεν, καὶ κόσμον ἀναθημάτων ἄγομεν.[45] ὁ ἀριστεὺς πλυτῶν σεμνότερος ὁ στρατηγὸς πλουτῶν, ἐντιμότερος· ὁ πρεσβύτης,[46] ἐνδοξότερος. οὗτος[47] καὶ ῥήτορα φρονιμώτερον ἔδειξε· καὶ κατήγορον πιστὸν ἀπέφηνε καὶ φεύγοντα, ἐξῃτήσατο. διὰ τῦτο[48] πείθομαι[49] τοὺς ποιητὰς ὑπὸ τῶν μουσῶν κατέ-

37 παῖς m. M.
38 χρυσίον· ὗτοσὶ δὲ B.
39 οἷον B.
40 εἰμὶ] sic B. εἰ μὲν M.
41 οἱ] sic B. εἰ M.
42 ἐν τύτοις] scil. τοῖς χρήμασι.
43 malim τρόπαια.
44 καὶ μετὰ B.
45 ἄγομεν] haud satis placet. num significat *fanis deorum inferimus*?
46 malim πρεσβευτὴς, legatus. πρέσβυς B.
47 ὗτος] quis iste? scil. ὁ πλῦτος. atqui non praecessit. Ergo pro πλυτῶν vtroque loco leg. est πλύτῳ aut διὰ πλῦτον.
48 διὰ τῦτο] imo vero in masculino διὰ τῦτον, scil. τὸν πλῦτον.
49 πείθεσθαι B. voluit πέπεισθε, quod non displicet. vos iudices puta.

κατέχεσθαι, διότι καὶ τὰ ἔπη, καὶ τὰ μέλη, τῶν εἰς τὸν πλοῦτον ὕμνων ἐνέπλησαν, τὴν ἀρετὴν, καὶ τὴν δόξαν, ὥσπερ ἐφόλκια, δόντες αὐτῷ· καὶ καλοῦντες εὐρυθενῆ·[50] καὶ μάλα εἰκότως·[51] ὃς γὰρ ἤδη καὶ ξένοις πολιτείαν ἔδωκε, καὶ γένους αἰσχύνην ἔκρυψε, καὶ κλέος ἀνωνύμοις προσῆψε, καὶ φρονήσεως δόξαν τοῖς ἀνοήτοις ἤνεγκε· πῶς οὐ πάντα ἀπολέλοιπεν ἰσχύι; τοῦτον ἤδη τινὲς καὶ συγγενείας προὔθεσαν. καὶ παρῆλθεν ὁ πλοῦτος τὰ τῆς φύσεως ἀναγκαῖα. καὶ τί λέγω τοὺς ἀνθρώπους; οἱ πάντων κρατοῦντες θεοὶ, τὸ χρυσίον ἀγαπῶσι, καὶ τῷ Διῒ τοὔδαφος ἐκεῖθεν· καὶ τέρπονται τοῖς χαριστηρίοις· κἂν ἐλλίπῃ, σφοδρότερον τῶν δανειζόντων εἰσπράττουσιν. ἀλλ' ὁ γενναῖος οὗτος, σεμνότερός ἐστι τῶν θεῶν· καὶ οὐκ οἶδεν ὅτι Δήμητρος ἐστὶ παιδίον ὁ Πλοῦτος· οὕτω δ' ἔχει παραχωδῶς, ὥστε καταγελᾷ μὲν τῆς ἐμῆς περὶ τὰ χρήματα σπουδῆς· δακρύει δὲ, εἰ μὴ τῶν ἐμῶν κληρονομοίη· μαθέτω δὴ τῇ ψήφῳ σωφρονεῖν ἐν ταῖς αἰτήσεσι. δότε μοι κατ' ἐμαυτὸν, ὦ ἄνδρες, στέγειν· δότε. τάχ' ἂν γενοίμην ῥᾴων, μὴ τοῦτον ὁρῶν. τίς οὖν ἔσται[52] κύριος τῶν ἐμῶν, ἀποθανόντος; ἐγὼ καὶ τότε· κελεύσω γὰρ συγκατορύττειν. καὶ πόθεν, φησὶν, ὁ ἀριστεὺς θρέψεται. πόθεν; ἀπὸ τοῦ θαλλοῦ. βούλει λῦσαι τὸ μῖσος. ἀριστεύσας πάλιν, αἴτησαι[53] χρυσίον.

[50] εὐθενῆ B. et m. M. cum ℅. ἔφη γὰρ ὁ λυρικὸς Πίνδαρος, ὁ πλοῦτος εὐρυθενής.

[51] εἰκότερα B.

[52] τίς οὖν ἔσται] sic B: ἔσται deest M.

[53] αἴτησον B.

ΑΛΛΗ

ΑΛΛΗ ΜΕΛΕΤΗ.

ΘΕΩΡΙΑ.

Ἔχων τὶς γυναῖκα, καὶ ὢν ὑπὸ πατρὶ, ἀπεδήμησεν· ἐγένετο ὑπὸ λῃσαῖς. ἔγραψε πρὸς τὸν πατέρα, λυθῆναι δεόμενος· ὁ δὲ οὐχ ὑπήκουσεν. ἡ γυνὴ ἀποδομένη τὰ ὄντα αὐτῆς, ἔπλευσεν ἐπὶ τῷ λύσασθαι· ναυαγίῳ ἐχρήσατο. ἐξεβράσθη εἰς τὸν τόπον, ἐν ᾧ ἦν ὁ ἀνήρ. ἰδὼν ἐκεῖνος τὸ σῶμα, καὶ ἐπιγνοὺς ἐδάκρυσε. γνόντες δὲ οἱ λῃσαὶ τὴν αἰτίαν, ἀφῆκαν αὐτόν. ἐπανελθὼν ἀναγκάζεται ὑπὸ τοῦ πατρὸς γαμεῖν. καὶ μὴ βουλόμενος, ἀποκηρύσσεται.

(Ἀντίληψις τὸ ζήτημα.)

ΠΡΟΘΕΩΡΙΑ.

ΟΙ πρὸς τὸ τάχος συντιθέμενοι τῶν λόγων, ἀρετῇ μὲν ἀπολείπονται, τῶν σχολῇ γραφομένων. δεικνύτωσαν δὲ ὅμως τὸν χαρακτῆρα τοῦ ῥήτορος. ἐπεὶ καὶ Δημοσθένης, οὐ πανταχοῦ μὲν ἴσος,[1] πανταχοῦ δὲ γνωρίζεται. τουτὶ δὲ τὸ ζητημάτιον, ὅτι μὲν ἐν πάθει κεῖται, παντὸς ἰδεῖν. πολλὰ γὰρ δυσχερῶς συμπεσόντα χορηγεῖ τῷ πάθει. ἐκεῖνο δὲ ἴσως οὐ πρόχειρον ἰδεῖν, ὅτι δεῖ τὸ ὑφορμοῦν θεραπεῦσαι. ὑφορμεῖ δὲ τὸ δοκεῖν κατεγνωκότα τὸν πατέρα τοῦ παιδὸς, οὐ βουληθῆναι λύσασθαι. εἰ γὰρ μὴ τὸ πλάσμα τὴν αἰτίαν δίδωσιν, ἀλλ' ὑποπτεύεταί γε. τοῦτο οὖν ἰασάμενος, εἰ βούλοιτο καθάπτεσθαι τοῦ πατρὸς, εὐμεθόδως τοῦτο δράτω, ὥστε

καὶ

[1] ἴσος] scil. ἑαυτῷ.

καὶ κερδαίνειν ἐκ τοῦ γιγνομένου, καὶ μὴ τὸ ἦθος διαφθείρειν· τὰ δὲ κεφάλαια, τὴν μὲν προσήκουσαν ἔχει τάξιν· τὴν δὲ τελευταίαν ἐργασίαν οὐκ ἔχει. τοῖς γὰρ τάχους ἐπιμελουμένοις, ἔργον εὑρεῖν, ὃ χρὴ παραλιπεῖν μᾶλλον, ἢ ὅ, τι χρὴ λέγειν. ἴσως δ᾽ ἄν τις φαίη βαθύτερον θεωρῶν, καὶ καιρὸν ἔχειν ἐνταῦθα τὸ μὴ μηκύνειν. οὐ γὰρ παθαινομένων μακρηγορεῖν· ἐκλύεται γὰρ τοῖς μήκεσι τὰ πάθη. γνώριμον δὲ χωρίον τῶν ἀρχαίων. Ἀριστείδης ἐν Καλλιξένῳ τοῦτο ποιεῖ, λέγων οὑτωσί, οὐκ ἂν δυναίμην πέρα λέγειν, μόλις τοι[2] καὶ ταῦτα[3] ἐμαυτὸν βεβίασμαι.

[2] τοι] τε m. M.
[3] f. καὶ πρὸς ταῦτα.

ΑΠΟΚΗΡΥΤΤΟΜΕΝΟΥ ΛΟΓΟΣ.[4]

ΟΥΠΩ κόρον ἔοικεν ὁ δαίμων, ὦ δικασταί, τῶν εἰς ἐμὲ κακῶν εἰληφέναι· καὶ ταῦτα οὕτω συχνῶν καὶ μεγάλων γεγενημένων. ἐγὼ μὲν γὰρ ᾤμην, πέρας εἶναί μοι τῶν δυσχερῶν, τὴν ἐπάνοδον. εὑρίσκω δὲ τὴν τύχην, ἄμεινον γὰρ ἐκείνην ἀντὶ τοῦ πατρὸς λέγειν, ἐπηρεάζουσαν ἔτι. τὸ μὲν[5] μετὰ τὸν πλοῦν τὸν ἐπάρατον[6] ἐκεῖνον, καὶ τοὺς λῃστάς, καὶ τὴν τῆς ἀθλίας γυναικὸς τελευτήν, ἔτι καὶ τῶν οἴκοι πειρᾶσθαι δυσκόλων, οὐκ οἶδα εἴ τινι[7] καταλίποι[8] μείζω στενάξαι. ἀλλ᾽ εἰ μὲν οἱ δυστυχοῦντες ἀδικεῖν νομίζονται καί τινες ἀνθρώπων οὕτως ἀτόπως ἔχουσιν,[9] ἀνάγκη σιωπῇ φέρειν τὴν ζημίαν·

[4] Tit. in Wolf. ἢ μελίτη. μελετῶμεν τὸν ἀποκηρυττόμενον.
[5] τὸ γὰρ μὲν m. M.
[6] ἐπέρατον m. M.
[7] εἴ τινι ἢ W.
[8] κατέλιπε m. W. et M.
[9] οὕτως ἀτόπως ἔχουσιν] id est ὥστε οἴεσθαι ταῦτα οὕτως εὐήθη ὄντα καὶ ἀμαθῆ.

μίαν· οὐδὲ γὰρ εἰπόντι πλέον οὐδέν. εἰ δὲ χωρὶς μὲν τὰ πονηρεύματα, χωρὶς δὲ τὰ δυστυχήματα· καὶ τοὺς μὲν, μισοῦμεν. τοῖς δὲ ἐλεεῖν εἰώθαμεν, οἶμαι ξὺν θεοῖς εἰπεῖν, τόν τε πατέρα τῆς ὀργῆς παύσειν, ὑμᾶς[10] τε διδάξειν, ὡς οὐκ ἄξιός εἰμι ταῦτα παθεῖν, ἐφ' οἷς εἰσῆγμαι·[11] τὸ μὲν οὖν προσῆκον ἦν, ὦ ἄνδρες, πενθεῖν με νῦν, ἐγκεκαλυμμένον, καὶ θρηνεῖν συνεχῶς τὸ γύναιον· καὶ τὸν πατέρα τουτονὶ τὸν χρηστὸν, εἰ μὲν ἐβούλετο, κοινωνεῖν μοι τῶν δακρύων· εἰ δὲ μὴ τοῦτο, συγχωρεῖν ἐπ' ἐμαυτὸν[12] με τὰς ἐμὰς συμφορὰς ὀδύρασθαι. ἐπεὶ δὲ οὐκ οἶδα τί γνοὺς, μελανειμονοῦντά με ἕλκει εἰς[13] δικαστήριον· τὸν δὲ τῶν θρήνων καιρὸν ἀγῶνος ποιεῖται, δέομαι ὑμῶν, καὶ ἱκετεύω μὴ συνδραμεῖν τῷ πάθει τῶν ἀδίκως ἀγανακτούντων· ἀλλ' εἰς ὅσον ἔξεστιν ἐπανορθώσασθαι· καὶ μὴ περιϊδεῖν τοῦτον μὲν ἔρημον γιγνόμενον, ἐμὲ δὲ ἐξελαυνόμενον ἐπὶ τῷ δοκεῖν ἀδικεῖν. ὃ καὶ μάλιστα δέδοικα· ὡς τὸ μὲν παθεῖν τι δεινὸν, μέτριον ἔμοιγε,[14] καὶ καινὸν οὐδέν· τὸ δὲ προσεῖναί τινα φαυλότητος αἰτίαν, τοῦτο ἂν εἴη τοῖς σωφρονοῦσιν ἀφόρητον.[15] πλεονεκτεῖ μὲν οὖν ὁ διώκων αὐτῷ τούτῳ πρώτῳ, τῷ πατὴρ εἶναι· καὶ πᾶν ὅ, τι ἂν φθέγξηται, τῇ τῆς προσηγορίας προσθήκῃ δίκαιον φαίνεται· παῖς δὲ φεύγων καὶ κρινόμενος, ἂν μὲν ὑποστείληται, καὶ τὸν ἐφεστηκότα κατήγορον αἰδεσθεὶς, ὑπερβῇ τῶν ἰσχυρῶν, ἑάλωκεν. ἂν δ' οἴηται δεῖν ἑαυτῷ βοηθεῖν αὐτῷ[16] τούτῳ τῷ τὰ δίκαια λέγειν, θρασύνεσθαι δοκεῖ. ἓν μὲν οὖν, ὦ δικασταὶ, τοσοῦτον ἐλαττοῦμαι· ἕτερον δὲ οὐ μικρόν τι. ἀνάγκη γὰρ

τῇ

10 ὑμᾶς] ſic W. ὑμεῖς M.

11 in marg. W. adſcriptum eſt: δεύτερον προοίμιον ἐξ ὑπολήψεως.

12 malim ἐπ' ἐμαυτῷ ſolum me mecum.

13 εἰς] πρὸς W. πρὸς τὸ m. M.

14 poſt ἔμοι γε deleui εἰ, quod etiam W. et m. M. omittit.

15 in marg. W. adſcr. eſt: προοίμιον τρίτον ἐξ ὑπολήψεως τοῦ διώκοντος.

16 ἑαυτῷ βοηθεῖν αὐτῷ] ſic W. et m. M. αὐτῷ deeſt t. M

τῇ μνήμῃ τῶν γεγενημένων, καὶ μάλιστα δὴ τῆς γυναικὸς, εἰς ταραχὴν ἐμπίπτοντα, τῶν λογισμῶν ἐκκρούεσθαι· ἂν οὖν τι τοιοῦτον συμβῇ,[17] βοηθεῖτε τῷ κινδυνεύοντι· καὶ παρ' ὑμῶν αὐτῶν πληροῦτε τὰ ἐλλείμματα.[18] τὸ γὰρ τὰ εὔορκα ψηφίζεσθαι, τοῦτό ἐστι, τοῖς[19] πανταχόθεν φαινομένοις ἀκολουθεῖν, κἂν ὁ λέγων ἀδυνάτως ἔχῃ, σώζειν ἑαυτόν·[20] [21] ἐγὼ μὲν οὖν ἐβουλόμην, ὦ πάτερ, ἐν ἡμῖν αὐτοῖς ἑστάναι τὰ συμβεβηκότα· μηδὲ ἀνάγκην προσεῖναι τοῦ ταῦτα φέρειν εἰς μέσον. διὰ τί; οὐ πάντες ἡμῖν ἔχουσιν οἱ κατὰ τὴν πόλιν ἐπιτηδείως· ἀλλ' εἰσὶν οἳ καὶ μισοῦσιν. οὐδὲ γὰρ ἔνεστιν ἀνθρώπους ὄντας, μὴ καὶ δυσχεραίνεσθαι. τί οὖν τούτους εὐφραίνομεν τοῖς ἡμετέροις κακοῖς; τί τοῖς διαφόροις χαρίζῃ, τὰ τιμιώτατα τῶν σαυτοῦ περιελαύνων. πέπρακταί τινι[22] χαλεπά; σιωπάσθω ταῦτα. κέρδος λαθεῖν τοὺς πολλοὺς συμφορὰς γεγενημένας, ἐπεὶ δὲ οὐ συγχωρεῖς ἡσυχάζειν ἐθέλοντι, ἀλλ' ἐν δικαστηρίῳ δεῖ με τραγῳδῆσαι τὰ πάθη τῆς οἰκίας, λέξω καὶ διηγήσομαι· ἄκων μὲν, ἄκων νὴ τοὺς θεοὺς, ἐρῶ δὲ ὅσα ἂν οἷός τε ὦ.[23] νὴ τοὺς θεοὺς ἐγενόμην. ὦ ἄνδρες, τούτῳ παῖς· δυστυχὴς μὲν ἄγαν· πονηρὸς δὲ οὐδαμῶς· τεκμήριον δέ· οὐ γὰρ ἀπεκήρυξε πρότερον, οὐδὲ ἐπήνεγκεν αἰτίας, οὐ μικρὰς, οὐ μείζους· ἀλλ' ἔστεργεν, ἐπαίδευεν, ἐπῄνει· πολλάκις ηὔξατο τοῖς θεοῖς φυλάττειν αὐτῷ τὸν τοῦ κλήρου διάδοχον. ἐπεὶ δὲ ἐδόκει καιρὸς εἶναι γάμου, πρὸς ἐμὲ μνημονεύει, καὶ διηγεῖται τὸ γένος τῆς κόρης, τὴν σωφροσύνην τῶν τρόπων·[24] τοῦ σώματος τὴν ὥραν· πάντα οἷς ἄν τις ἐπισπασθείη νοῦν ἔχων· καὶ τελευτῶν προσέθηκεν,

[17] συμβαίη m. M.

[18] ad τὸ ſcriptum eſt in m. W. βάσιν.

[19] τὸ τοῖς W.

[20] σώζειν ἑαυτὸν quid ſibi vult? num perſonam ſuam tueri? partibus ſuis ſtudere ſatis facere.

[21] in m. W. προοίμιον τέταρτον ἐξ ὑπολήψεως.

[22] τινὰ m. M.

[23] προκατάστασις ἢ καὶ προδιήγησις in marg W.

[24] τὸν τρόπον W. et m. M.

ἔθηκεν, ὡς εἰ μὴ κατὰ τὸ παρὸν ἁρμόσαιμι,[25] μηκέτι παραπλήσιον γάμον ζητήσῃς. ἐπείσθην. τί γὰρ οὐκ ἔμελλον τοσαῦτα ἀγαθὰ προσίεσθαι; καὶ νὴ Δία τὸν πατέρα τῆς προνοίας ἐθαύμασα. τί δεῖ καθ' ἕκαστον λέγειν, ὅσα παρ' ἡμέραν ἐξέφερε γυναικείας ἀρετῆς ἐπιδείγματα. ἓν γὰρ τὸ εἰς ἐμὴν διὰ χρημάτων[26] ἀποπλεῦσαι ἐλευθερίαν, ὃ πᾶσιν ἐπέθηκε, γνώρισμα τῶν ὅλων γίνεται. ὄντων οὖν ἡμῶν ἐν ἅπασι χρηστοῖς, καὶ κουφιζόντων τὰ λυπηρὰ, καὶ συναυξόντων τὰ βελτίω, δαίμων πονηρὸς τῇ συζυγίᾳ φθονεῖ καὶ περιΐστησι τοσαύτην ἀνάγκην, ὅσην οὐκ ἦν διώσασθαι. καὶ γάρ τοι περὶ πολλοῦ μὲν ἐφαίνετο τῆς γυναικὸς ἀπολαύειν. ἔμπροσθεν δὲ ἐγίνετο τῆς ἐπιθυμίας ἡ χρεία. καὶ τούτοις οὐκ ἀντερεῖς, ὦ πάτερ. εἰ γὰρ ἄλλως περιειργαζόμην, ἐξῆν κωλύειν· οὔσης τοίνυν ἀνάγκης ἀπαίρειν, ἐμβὰς εἰς ὁλκάδα, καὶ παρὰ τοῦ Ποσειδῶνος αἰτήσας ἰδεῖν πόθ' ὕστερον τὸν πατέρα καὶ τὸ γύναιον, ἀνηγόμην. ὡς δὲ γῆν ἀποκρύψαντες, πέλαγος διεβάλλομεν,[27] ὁρῶμεν πλοῖον ἐπιφερόμενον λῃστρικόν· οἱ δὲ καὶ δὴ πλησίον ἦσαν, καὶ παραχρῆμα μεστὸν τὸ κατάστρωμα τοξοτῶν, ὁπλιτῶν, ἀνδρῶν ἐκ κοίλης νηὸς ἀνιόντων. ὥστε, μικρὸν ἦν αὐτοῖς ἔργον τὸ κρατεῖν. αἱ μὲν οὖν προσδοκίαι, θάνατον ἠπείλουν· οἱ λῃσταὶ δὲ, κρείττους τῆς προσδοκίας[28] ἐγένοντο, ἐφ' οἷς τότε μὲν αὐτοῖς ἠγασάμην·[29] νῦν δὲ κατηγορεῖν προ-

[25] ἁρπάσαιμι] sic in margg. W. et M. malim εἰ μὴ τὸ παρὸν ἁρπάσαιμι (subaudi ἀγαθὸν) μηκέτι παραπλήσιον) γάμον ζητῶν εὕροιμι. praesens bonum si omittam rapere, non facile me postmodum similem conditionem, etiam si quaeram, inuenturum esse.

[26] dure et perplexe dictum εἰς τὴν ἐμὴν διὰ χρημάτων ἐλευθερίαν, pro quo me liberaret e captiuitate per numos, quos afferret. num εἰς ἐμὴν, αὐτὴν νὴ δι' ἀχρήματον ἦσαν ἀποπλεῦσαι. an εἰς ἐμὴν μετὰ χρημάτων. m. M. dat. διὰ κυμάτων ἀποπ.

[27] χ. διήλθομεν m. M.

[28] προσηγορίας in margg. W. et M.

[29] αὐτῶν ἠγάμην m. M. leg αὐτούς.

προῆγμαι. τί γάρ, ὦ κακῶς φιλανθρωπευσάμενοι, πραότεροι τοῦ σχήματος ἀπεδείχθητε; τί με τοσαύταις ἀπέθεσθε συμφοραῖς, θρήνῳ γυναικὸς, πατρὸς ὀργῇ, ψήφῳ δικαστῶν. ἐπειδὴ τοίνυν ἄλλους, ἤλγουν μὲν τοῖς συμβᾶσι· δρασμὸν δὲ οὐκ ἐβουλόμην.[30] οὐδὲ παρεῖχον ὑποπτεύειν, οὐδὲ καθ' ἕνα τὸν τρόπον,[31] ἀλλ' ἐφύλαττον καὶ παρὰ τὴν δυστυχίαν τὴν γνώμην, ἐπικάμπτω πρὸς ἔλεον τοὺς λῃστὰς λαμπρότερον. καὶ τά τε ἄλλα πάντα φιλανθρώπως ἐκέχρηντό μοι. καί ποτε ἤροντο, εἰ πατὴρ ἐστί μοι. ἔστιν ἔφην, καὶ χρηστὸς, καὶ βέλτιστος, καὶ πάντα ἐλάττω τοῦ παιδὸς ἡγούμενος. καὶ νῦν ἀγνοεῖν ἔοικε τὴν συμφοράν· εἰ δὲ ἐπιστάμενος ἐτύγχανε, πάλαι ἂν ὑμᾶς ἱκέτευεν. ἀλλὰ παρέσω φασὶ λύτρα φέρων, καὶ πρὸς τοὺς οἰκείους ἀποσώζου. ἐκεῖνοι μὲν ταῦτα. τὰ δὲ ἑφεξῆς εἴπω; καὶ διηγήσομαι; καὶ οὐκ ὀργιῇ; δεῖξον ὦ πάτερ, τοῖς δικασταῖς τὴν ἐπιστολήν. εἰπὲ, τίς ἐκείνην ἔπεμψε, καὶ πόθεν, καὶ τοῦ δεόμενος. καὶ ταῦτα διῆλθον, οὐ διαβάλλειν βουλόμενος· μήποτε οὕτω μανείην· ἀλλ' ὑπὸ τῆς τῶν πραγμάτων ἀκολουθίας ἐνταῦθα ἐμπεπτωκώς. ἐπεὶ, ὅτι γε κακοήθειαν οὐδεμίαν προσάγω τοῖς πεπραγμένοις, δῆλον ἐγγύθεν,[32] αὐτὸς ἀπολογοῦμαι περὶ τῶν ἐληλεγμένων.[33] μηδεὶς λεγέτω τὸν πατέρα κακῶς. οὐ κατερραθύμησεν· οὐκ ὠλιγώρησε τοῦ παιδός· οὐ περιεῖδε τὴν φύσιν· ἀλλ' οὐκ ηὐπόρησεν ἴσως τρόπον τινὰ ἀργυρίου, οὐκ ηὐπόρησεν ἐρανιστῶν· οὐκ ἦν ὅθεν ποιήσαιτο δάνεισμα. ταῦτα αὐτὸς ἐμαυτὸν πέπεικα· ταῦτα καὶ τοὺς ἄλλους φρονεῖν ἀξιῶ. καὶ τὸν μὲν, οὐ κακίζω. τὴν γυναῖκα δὲ ἐπαινῶ. πάντως δὲ καὶ τοῦτο σὸν, ὦ πάτερ, γίγνεται, δι' ὃν ἐκείνῃ συνῴκηκα. πῶς οὖν τὸ γύναιον; τοῦτ' ἐκεῖνο[34] τὸ πάθος με καταλαμβάνει, καὶ συγχεῖ τὸν λογισμόν. πειρατέον οὖν διελθεῖν οὕτως, ὅπως

[30] ἐβάλλευον m. M.

[31] aut οὐδὲ καθ' ἕνα τρόπον leg. aut οὐδὲ καθ' ἓν τὸν τρόπον.

[32] ἴσ. ἐκεῖθεν m. M.

[33] ἐλλελειμμένων m. M.

[34] τοῦτ' ἐκεῖνο] haec scilicet mali mei sedes est et caput.

ὅπως ἂν ἐξῇ. ἦν αὐτῇ κόσμος, ὦ δικασταὶ, ἱμάτια καὶ χρυσία, ἑλικτῆρες, καὶ ἀμφιδέραια, καὶ τοιαῦτά τινα. ταῦτα ἀποδομένη, καὶ τῶν λύτρων ἀγείρασα τὸ μέτρον, λαθοῦσα μὲν τὸν κηδεστήν· μεμψαμένη δὲ οὐδὲν, ἐπιβαίνει νεώς· αὐτῇ προσήκειν ἡγησαμένη τὴν λύσιν. καὶ πάλιν ἡ τύχη βουλεύει[35] χαλεπώτερα. σκηπτοὶ γὰρ ἐξ οὐρανοῦ, καὶ ζάλη θαλάττης, καὶ τὸ κλυδώνιον ὑπερέχε, καὶ τὸ σκάφος εὐθὺς ὑποβρύχιον.[36] ἔδει δὲ ἄρα καὶ τελευτῆσαι τὸ γύναιον λύσασθαι με τινὰ τρόπον. πνεῦμα καὶ ῥοῦς ἐπιγενόμενος, ἐκφέρει τὸ σῶμα πρὸς τὴν ἠιόνα καὶ τὸν χῶρον ἐκεῖνον, οὗ δουλεύων ἐτύγχανον· ὡς δὲ κατεῖδον νεκρὸν ὑπὸ θαλάττης ἐκβεβλημένον, προσιὼν, κατὰ μικρὸν γνωρίζω μὲν τῆς μορφῆς τὸν τύπον· ἐνθυμοῦμαι δὲ τῆς συμφορᾶς τὴν αἰτίαν· ἔξω δὲ ἐμαυτοῦ γενόμενος ὑπὸ τοῦ κακοῦ, περιχυθεὶς ἐκείμην· καὶ τὸ κῦμα ἐπεξιὸν ἀμφοτέρους κατέκλυζεν. ἐκεῖνο τὸ πάθος καὶ λῃστῶν ἐδάκρυσε φατρία·[37] καὶ κατηνέχθησαν εἰς οἰμωγὰς πρὸς τὴν ὄψιν τοῦ δράματος. καὶ τὸν οἶκτον ἔδειξαν ἔργοις αὐτοῖς. ἃ γὰρ περιοῦσαν ἐκείνην εὕρισκον βουλομένην, ταῦτα ἔδωκαν καὶ κειμένῃ. καὶ πρὸς ἐμὲ, ἀνίσω φασὶν, ὦ κακόδαιμον. ἐπείγου παρὰ τοὺς οἰκείους. οὐδέν σοι δεῖ χρημάτων. λύεταί σε τῆς γυναικὸς ἡ τύχη. τοιούτων ῥηθέντων λόγων, ὥρμησα μὲν ἐπικατασφάξαι[38] τῷ σώματι ἐμαυτόν· καὶ τὴν ἀμοιβὴν ἀποδοῦναι πρέπουσαν. ἐννοήσας δὲ τὸν πατέρα καὶ τὴν ἡλικίαν, ἥκω, τοῦτον μὲν γηροτροφήσων· αὐτὸς δὲ ἐν δάκρυσι βιωσόμενος. ὁ δὲ, ἀντὶ τούτων οὐκ ἐσκέψατο παραμυθίαν· οὐκ ἐν τῷ τὸ γύναιον συνεπαινέσαι, τῆς λύπης ἀφεῖλεν· ἀλλ᾽ ἄρτι καταπεπλευκὼς, σπαράττο-

[35] λαμβάνει in t. W. ſed in marg. vulg. eſt.

[36] ante ἔδει adſcr. eſt in m. W. ἐπιφώνημα.

[37] χ. φατρία κυρίως ἡ συγγένεια· νῦν δὲ πλῆθος. in margg. W. et M.

[38] ἐπικατασφάξαι] ſic W. ἐπὶ κατασφ. M.

ῥάπτομαι·[39] καὶ φανεὶς ἀπροσδόκητος, κρίνομαι. καὶ διεδέξατο δουλείαν καὶ στέρησιν γυναικὸς, δικαστηρίου φόβος·[40] καί φησι, νόμος γάρ ἐστί μοι διδοὺς τὴν ἀποκήρυξιν.[41] ἐγὼ δὲ οὐκ ἐρῶ τὸ προχειρότατον, ὡς ὁ νόμος οὗτος ἀπειλὴν μὲν ἔχει ψιλήν·[42] τὸ δὲ ἔργον οὐ προστίθησιν· οὐδ᾽ ὡς ὁ θεὶς αὐτὸν ἀνασείει μὲν τοῖς νέοις τὴν τιμωρίαν, προαναστέλλων τὴν θρασύτητα τῷ δέει· τὴν δὲ φύσιν οὐκ ἀνέχεται πρὸς αὐτὴν ἐκπολεμοῦν. τοῦτο γὰρ ἂν ἦν οὐκ ἀνδρὸς ὁμονοοῦσαν τὴν πόλιν συνέχοντος. ἀλλ᾽ ἐχθροῦ κοινοῦ διασπᾷν τὰ γένη πειρωμένου.[43] ἀλλ᾽ ἔστω, δεδόσθω, τοῖς γράμμασι προσέχωμεν μόνοις· μηδὲν ἐξεταζέσθω πλέον.[44] τί οὖν ἐν τῷ δοῦναι τὴν τῆς ἀποκηρύξεως ἐξουσίαν, καὶ πάντας εὐθὺς ἀποκηρύττειν δέδωκεν; οὐκ ἔστιν. ἀλλ᾽ ὧν μὲν κατέγνωκε. τούτους μισεῖ. οἷς δὲ οὐδὲν ἐγκαλεῖ, τούτοις οὐδὲ διείλεκται.[45][46] ἐπεὶ καὶ τὸν ἀνδροφόνον κρίνειν ἔξεστιν· ἀλλ᾽ οὐ τόν γε τὴν χεῖρα καθαρὸν, ἄξιον·[47] οὕτω δὴ καὶ περὶ τούτων. οὐχ ἡ τῆς ἀποκηρύξεως ἐξουσία βλάπτει τοὺς ἐπιεικεῖς τῶν νέων ἀλλ᾽ οἱ μοχθηροὶ τῶν νέων[48] ὑπὸ τὸν νόμον ἔρχονται,[49] εἰπὲ δὴ τὰ πλημμελήματα παρελθών. μεθύοντα λαβὼν ἀγανακτεῖς· ἐκπεφορηκότα τι τῶν ἔνδον; κυβεύοντα; πόρνην ἔχοντα; ἀλλ᾽ εἰς σεαυτόν τι πεπαρῳνηκότα; κακῶς εἶπον; ἀναιδὲς ὑπέβλεψα; πληγὰς ἠπείλησα; ᾐτιασάμην πρὸς τὸν πλησίον; σκαιὸν ἀπεκάλεσα καὶ τραχύν; ἀῤῥωστοῦντος κατημέλησα; ταῦτα ἐπὶ-

39 παράπτομαι W.

40 in m. W. adſcr. eſt ἡ προβολή.

41 ante ἐγὼ adſcr. eſt in m. W. ἡ λύσις κατὰ ἔνστασιν. ἔστι δὲ ἡ ἔνστασις πρῶτον κατὰ παράληψιν.

42 in W. ſuperſcr. eſt γρ. λεπτήν.

43 adſcr. eſt in m. W. ἀντιπαράστασις.

44 in m. W. τὸ ἐπιχείρημα ἀπὸ τοῦ πράγματος.

45 διείλεκται] ſic W. διήλεγκται M.

46 in m. W. adſcr. eſt ἐργασία ἀπὸ τῶν ὁμοίων.

47 adſcr. eſt in m. W. ἐνθύμημα.

48 παίδων m. M.

49 in m. W. ἕτερον ἐπιχείρημα ἀπὸ τοῦ πράγματος καὶ τῆς αἰτίας.

ἐπίδειξον. καὶ μικρὰν ἡγοῦμαι δίκην τὴν ἀποκήρυξιν· ἀλλὰ τούτων μὲν οὐδὲν, ἀμέτητα δὲ προήνεγκα, τὰ περὶ τὴν ἐπιστολὴν διηγούμενος. ὡς ἐγὼ μὲν ἠντιβόλουν· σὺ δὲ διέπτυες; καὶ τίς τῶν πάντων ἀκήκοεν; οὐδὲ πρὸς τοὺς λῃστὰς ἔγωγε τοῦτό γε ἐξελάλησα. εἶεν.[50] ἀλλ᾽ ἔναγχος καταθάψας γυναῖκα χρηστὴν, ἀναξίως ἀπολωλυῖαν, ἐπείγομαι πρὸς δεύτερον γάμον, καὶ τοῦτο ἐγκαλῶν ἀπελαύνεις; μὴ σύ γε. μὴ μόνος ἀπέλαυνε. δημίου δεῖται τὸ πονήρευμα· ταῦτα οἷου παρὰ τοῦ νόμου νῦν ἀπαιτεῖσθαι. τί πέπρακται; τί τετόλμηται; εἰ μὲν ἠδίκησαι, λάμβανε δίκην. εἰ δὲ οὐδὲν πέπονθας, παῦσαι φιλονεικῶν. διὰ τοῦτο γάρ φησι καθίζω δικαστήριον, ὑφορώμενος τὴν τῶν πατέρων ὀργὴν, ἔξω πολλάκις τοῦ δικαίου φερομένην. ἐπειδὴ τοίνυν τιμωρία τὸ γιγνόμενον ἐστὶ, δειχθήτω πρὸ τῆς ζημίας τὰ κακουργήματα.[51] οὐ γὰρ ἐθέλεις, φησὶ, γαμεῖν, καὶ τίς τοῦτο[52] νόμος εὐθύνει; τίς οὐ γαμῶν, ἀδικεῖν τις[53] εἰσήχθη πώποτε; τίς ἔδωκε δίκην τοῦ τοιούτου βίου ἢ νῦν, ἢ πρότερον, ἢ παρ᾽ ἡμῖν, ἢ παρὰ τοῖς προσχώροις;[54][55] ἢ, τὸ κοινὸν δὴ τοῦτο, παρ᾽ Ἕλλησιν; ἐγὼ μόνος, εἰπέ μοι, ταύτην ηὕρημαι τὴν ὁδόν. παραδείγματα δὲ οὐκ ἂν ἔχοιμι λέγειν καὶ παλαιὰ καὶ νέα;[56] πῶς οὖν οὐκ ἄτοπον, τὰ μὲν αὐτὰ πολλοὺς ἐπιτηδεύειν, μόνον δὲ ἐξ ἁπάντων ἐμὲ κινδυνεύειν, καὶ τῶν ἔργων ἔχοντα κοινωνοὺς, τῆς ὀργῆς παρὰ τοὺς ἄλλους κληρονομεῖν·[57] ἀλλ᾽ οὔτ᾽ ἐκεί-

[50] in m. W. μόριον τοῦ δικαίου ἤτοι τὸ παραγραφικόν.

[51] in m. W. λύσις τῶν ἀπαρχῆς ἄχρι τέλους καθ᾽ ὑποδιαίρεσιν δι᾽ ἐπιχειρημάτων, κατασκευαζομένη ἀπὸ τοῦ προσώπου καὶ ἀπὸ τῆς αἰτίας καὶ τοῦ πράγματος.

[52] καὶ τίς τοῦτο νόμος εὐθύνει;] ſic W. et quaenam lex hoc ad iudicium vocat? M. dat καὶ τοῦτον νόμος —

[53] ἀδικεῖν τὶς εἰσήχθη W. vnde efficio aut haec τίς οὐ γαμῶν ἀδικεῖ; τίς εἰσήχθη — aut iſtaec potius τίς οὐ γαμῶν ἀδικεῖν ἐδόκει; τίς εἰσήχθη; M. omittit ſec. τίς.

[54] γρ. γείτοσι m. W.

[55] in m. W. ἐργασία ἀπὸ τῶν ὁμοίων.

[56] ἐνθύμημα adſcr. in m. W. et [57] ἐπενθύμημα.

νοις οὐδεὶς ἂν ἐγκαλέσειεν ὑγιαίνων, οἶμαι· ἐγώ τε τοῖς αὐτοῖς δικαίοις ἀφεῖμαι. ἀμφοτέρων γὰρ δήπου κύριοι καθεστήκαμεν. καὶ τοῦ γαμεῖν, ὁ πότε κρεῖττον, καὶ τοῦ μὴ τοῦτο ποιεῖν, ὁ πότε ἄμεινον.[58] ὥσπερ οὖν τοῖς ἐκεῖνο τιμῶσιν οὐκ ἔχει κίνδυνον ἡ προαίρεσις· οὕτω καὶ τοῖς τοῦτο προαιρουμένοις, ἀθῷον εἶναι δεῖν τὴν γνώμην. ὅλως δὲ τά τε ἀδικήματα, καὶ τὰ μὴ, τῷ τὰ μὲν κεκωλῦσθαι· τὰ δὲ μὴ, δοκιμάζεται. πρὸς ἐκεῖνο τοίνυν ἀναφέροντος κρίνωμεν· οὐ γὰρ νομοθετήσοντες εἰσήλθομεν, ὦ πάτερ, τήμερον. ἀλλὰ τοῖς κειμένοις ἑψόμενοι.[59] ἀπόκριναι δή μοι, διὰ τί τὸ κλέπτειν ἀδικεῖν νομίζομεν; ὅτι, φαίης ἂν, γέγραπται, μὴ δεῖν ὑφαιρεῖσθαι. καὶ περὶ τῶν προδοτῶν τοίνυν ὁ αὐτὸς λόγος, καὶ τῶν ὑβριστῶν, καὶ τῶν ἀνδροφόνων, καὶ τῶν μοιχῶν, καὶ τῶν ἐπὶ καταλύσει τοῦ δήμου εἰσιόντων.[60] πάλιν τοίνυν ἐρήσομαι, διὰ τί τὸ γεωργεῖν οὐκ ἀδίκημα; οὐδέ γε τὸ ναυτίλλεσθαι, καὶ φιλοσοφεῖν, καὶ πολιτεύεσθαι. πᾶς ἂν εἴποι δήπουθεν, ὅτι μηδὲν τούτων ἐν τοῖς κυρίοις ἀπείρηται νόμοις.[61] ὃ τοίνυν ἐκείνων ἕκαστον ἠλευθέρωσεν αἰτίας, τούτῳ καὶ τὸ τὸν γάμον ἀποφεύγειν ἀνεύθυνον γίνεται. εἰ γὰρ τοὺς μὲν νόμους παραβαίνοντες, δι᾽ αὐτὸ τοῦτο δίκην ὑφέξομεν· ἃ δὲ ἔξεστι δρῶντες,[62] μηδὲν ἧττον κολασθησόμεθα, ταχέως τὴν πόλιν ἐκ δικαστηρίων κενώσομεν. ἀλλ᾽ οὔτε ἐγένετο τοῦτό πω πρότερον, νῦν τε οὐκ ἂν εἰκότως ἀρχὴν λάβοι· ἀλλ᾽ οὗτος κανὼν κρίσεως ἄριστος· ὁ μὲν ὑπερβὰς νόμον, ζημιούσθω. ὁ δὲ μηδένα κεκινηκὼς, ἀποφευγέτω. τίς τοίνυν ὑπ᾽ ἐμοῦ μὴ βουλομένου γαμεῖν, τῶν νόμων ὑπερπεπήδηται; οὐδείς.[63] ἑκάστῳ γὰρ, οἶμαι, τῶν πολιτῶν ἐν τοῖς τοιούτοις νόμος[64] γίγνεται τὸ βούλημα.

[58] in m. W. ἐργασία ἀπὸ τοῦ ἐναντίου ἢ καὶ ἐνθύμημα.

[59] in m. W. ὅρος ἤτοι ὁριστικὸν ἢ παραγραφικόν.

[60] ἐπὶ καταλ. τοῦ δήμου εἰσιόντων] [illegible] il. εἰς τὸ δικαστήριον, ὥστε κρίνεσθαι ἐπὶ κατηγορίᾳ τοῦ βεβουλεῦσθαι καταλύειν τὸν δῆμον.

[61] adscr. in m. W. ἐνθύμημα μετὰ ἐργασίας.

[62] δρῶντες W.

[63] ἀντίληψις adscr. in m. W.

[64] νόμοις W.

λημα. ἐγάμουν πρότερον, ὦ πάτερ. ἠβουλόμην γάρ· νῦν οὐκ ἐθέλω. καὶ τοῦτο ἔξεστιν.[65] ὥσπερ γὰρ, οἶμαι, καὶ τρὶς καὶ πολλάκις ἐφεῖται γαμεῖν, καὶ περιττὸς ὁ διαβάλλων ἐνταῦθα τὸ πλῆθος· οὕτω καὶ τὴν ἀρχὴν μὴ γαμεῖν, καὶ τοῖς πρώτοις ἀρκεῖσθαι, πάλιν, δέδοται, καλῶς καὶ προσηκόντως.[66] ἐπειδὴ γὰρ τοῖς μὲν συνήνεγκεν ἡ τοῦ πράγματος φύσις·[67] τοῖς δὲ, οὐκ ἐλυσιτέλησεν ἡ πεῖρα· τοὺς μὲν, φοβεῖ, τοὺς δὲ ἐφέλκεται·[68] μὴ τοίνυν ὁριστὴς ὁ δεῖνα γιγνέσθω[69] περὶ τούτων, ἐν οἷς καὶ τὸ βέλτιον καὶ τὸ χεῖρον ἑτέρῳ κινδυνεύεται.[70] εἰ τοίνυν καὶ τὴν ἀρχὴν ἀπεστρεφόμην τὸν γάμον, οὐκ ἂν ἠπόρησα λόγων, οἳ πείθουσιν οὕτω φρονεῖν. διῆλθον ἂν τὰς μοιχείας, διῆλθον ἂν παίδων ἀποβολὰς, μέθην γυναικῶν, ἀκρασίαν, λαλιὰν, ἀλαζονείαν· πολλὰς τραγῳδίας ἐκ γάμων γεγενημένας. ἀλλὰ νῦν οὐ λέγω τούτων οὐδέν. οὐ ταῦτά μοι δοξάζειν περὶ τοῦ πράγματος ἔδωκεν ἡ δυστυχής· ἀλλὰ τί φημι; λόγον ἁπλοῦν καὶ δίκαιον. σὺ δὲ πρᾴως ἄκουσον.[71] μὴ καταναγκάσῃς ἄδικόν με γενέσθαι περὶ τὴν κειμένην, ὦ πάτερ· μηδὲ τὴν ἐκείνης μεγαλοψυχίαν ἀγνωμοσύνῃ τρόπων ἀμείψασθαι· μηδὲ τὸν σαυτοῦ παῖδα χείρω γυναικὸς εἰς ἀρετὴν ἀποφήνῃς. οὐ τοὺς μὴ βουλομένους γαμεῖν, οἱ νόμοι μισοῦσιν· ἀλλὰ τοὺς οὐκ ἐθέλοντας εὐεργέταις εἰδέναι χάριν.[72] εὐεργεσίαν παρ' ἐκείνης εἰλήφαμεν, ἧς ἐν τοῦτ' ἴσως ἄτοπον, ὅτι κρείττων ἐστὶν ἀμοιβῆς. ἐξετάσωμεν γὰρ, εἰ δοκεῖ. ἀπήγγειλέ τις ἡμᾶς, ὡς ἀκούω, τὰ πρῶτα τεθνάναι, λῃσταῖς περιπεπτωκότας· ἡ δὲ ἠπίστησεν. ὃ γὰρ οὐκ ἐβούλετο, τοῦτο οὐκ ᾤετο. αὐτὸς ἐπέστελλον μετὰ ταῦτα, τὴν δου-

[65] in m. W. ἐργασία ἀπὸ τοῦ ἐναντίου.

[66] adſcr. in m. W. ἐπιχείρημα ἀπὸ τῆς αἰτίας W.

[67] aute τοῖς adſcr. in m. W. ἐπίκρισις et

[68] ante μὴ, ἐνθύμημα.

[69] γενέσθω W. ſed vulg. ſuperſcr.

[70] in m. W. adſcr. ἀντίθεσις μεταστατική.

[71] adſcr. in m. W. ἀντιστατικὸν, et

[72] διασκευή.

δουλείαν μηνύων. ἡ δὲ, οὐ διειλέχθη[73] πρὸς αὐτὴν ὑπὲρ ἀνδρὸς δευτέρου. καί τοι πολλὰς ἴσμεν ἀπὸ τῶν πρώτων προφάσεων μεταπηδᾶν ὡς ἑτέρους εἰθισμένας.[74] ἔμελλεν ὁ πατήρ μοι βοηθήσειν. ἡ δὲ, ἔφθη τὴν τούτου προθυμίαν. ἀπέδοτο κόσμον, οὗ μάλιστα γυναῖκες ἐρῶσιν· ἐπέβη σκάφους· ἀκούουσα μεστὴν εἶναι καταποντιστῶν τὴν θάλασσαν. ἤνεγκε πνευμάτων καταιγίδας· ἤνεγκε κυμάτων προσβολάς· ἐπεῖδε βαπτιζομένην τὴν ναῦν· ἐπέδωκε τὴν ψυχὴν ὑπὲρ ἡμῶν. ἐξηνέχθη πρὸς τὴν γῆν ἐν οἰκτρῷ τῷ σχήματι. ἤρκεσεν ἡμῖν καὶ μετὰ τελευτὴν εἰς λύσιν. ἐξεῖλε τὴν τῶν μύθων ἀπιστίαν, βεβαιωσαμένη τοῖς παρ' αὐτῆς τὰ πάλαι θρυλλούμενα. ἐπὶ τούτοις γάμου φροντίσαί με κελεύεις; ζῶν γὰρ ἔτι, καὶ περιὼν, καὶ βλέπων τοῦτον τὸν ἥλιον, οὐκ ἀδικεῖν σοι δοκῶ; καὶ τίς ἡμῖν διαλέξεται; τίς συμβαλεῖ;[75] τίς κοινωνήσει πραγμάτων; τίς δημότης;[76] τίς φυλέτης; τίς μέτοικος; εἰ σὺ μὲν ἐπιτάττοις, ἐγὼ δὲ τοιαῦτα πειθοίμην. καλάς γε ὁ δῆμος ἐν ἡμῖν προσδοκίας σχήσει, καὶ δώσει τιμὰς, ὁρῶν οὕτω περὶ τοὺς ἀναγκαίους διατεθέντας. ὁ γὰρ πρὸς τοὺς οἰκείους πονηρὸς, οὐκ ἂν γένηται περὶ τὰ κοινὰ βελτίων. τίς δὲ ἡμῖν ὅλως, ὦ πάτερ, ἵνα καὶ τοῦτο εἴπω, κηδεῦσαι βουλήσεται; τίς δώσει θυγάτριον εἰς οὕτω προφανεῖς φάραγγας; οὐκ οἶσθα ὅτι πρὸς τὰ πρεσβύτερα βλέποντες τὰ δεύτερα κρίνουσιν ἄνθρωποι· καὶ διδαχὴ γίνεται τῶν μελλόντων τὰ φθάσαντα; ἐγὼ δὲ ἐκείνους τοὺς λόγους ἐζήτουν παρὰ τοῦ πατρὸς, εἴ μέ τις λογισμὸς εἰσῄει γάμου· ὦ παῖ, τῆς ἀνθρωπείας ἀπηυτομόλησας φύσεως, τὴν τῶν θηρίων ἐζήλωκας ἀγριότητα. ταχέως ἐπελάθου τῆς ναυαγίας ἐκείνης. γαμεῖν ἐθέλεις; οὐ γὰρ ὀκνεῖς γάμου καὶ τοὔνομα; καὶ τίσιν ὀφθαλμοῖς ὄψει τοὺς συγγενεῖς τῆς προτέρας; ἢ τοὺς μὲν ἀξιοῖς θρηνεῖν, αὐτὸς δὲ κω-

μάζειν

73 lege διειλέχθη.

74 εἰθισμένας] sic W. εἰθισμένας M.

75 συμβάλῃ W.

76 δημότης] sic W. δημώτης M.

μάζειν. καὶ τὴν μὲν ὑπὲρ σοῦ τὰ πάντα τολμᾶν, αὐτὸς δὲ μηδ' ὅσον σωφρονεῖν ἐθέλειν, ἐκείνῃ χαρίζεσθαι. ἤδη τὶς γενναῖον ἵππον ἀποβαλὼν, οὐκ ἐπρίατο δεύτερον τῇ περὶ τὸν ἔμπροσθεν λύπῃ. σὺ δὲ τῷ τῆς γυναικὸς θανάτῳ περιφανῶς σεσωσμένος, κατ' ἐκείνης κέχρησαι τῇ σωτηρίᾳ. οὗτοι πρέποντες οἱ λόγοι πρεσβύτῃ νουθετοῦντι νέον. ὁ δὲ πατὴρ ὡς ἔοικε σωφρονοῦσιν ἄχθεται. παῖδας γάρ, φησιν, ἐκ σοῦ γενέσθαι βούλομαι· καὶ διαδόχους εἶναι τοῦ γένους. εἰπέ μοι πάτερ, ἕπεται γὰρ εὐθὺς ἡ παιδοποιΐα τῷ γάμῳ; πόσους ἐπιδείξω σοι τῶν πολιτῶν, γυναῖκας μὲν αὐτῶν ἔχοντας εἰπεῖν· πατέρας δὲ οὐ κεκλημένους, ἀνθρώπους εἰς ἔσχατον ἤδη γῆρως ἥκοντας, καὶ τὴν ἐλπίδα τοῦ πράγματος προσαφῃρημένους. ἂν οὖν ἐγὼ μὲν σοὶ ταῦτα[77] πείθωμαι, γύναιον δὲ ἔνδον ᾖ, παῖδες δὲ μηδαμῇ φαίνωνται.[78] ἆρ' οὐκ ἀνάγκη πονηρὸν μὲν εἶναι, πατέρα δὲ μὴ γεγενῆσθαι· καὶ τὴν μὲν ἀγνωμοσύνην ἐπιδεδεῖχθαι· τοὺς δὲ διαδόχους οὐκ ἔχειν. εἰκὸς δὲ δήπου καὶ τὸ δαιμόνιον ἐνταῦθα νεμεσήσειν, καὶ δίκην τῆς μοχθηρίας ἐπιθήσειν τὴν ἀπαιδίαν. καὶ δὴ δῶμεν εὐθὺς ἔσεσθαι παῖδας· τίς οὖν ἐγγυᾶται θεῶν, ὡς εἰς ἀκμὴν προβήσονται; βούλει σοι πάλιν ἐξαριθμήσω τοὺς ἐκ πολυπαιδίας εἰς ἐρημίαν λήξαντας, καὶ τὰ μνήματα δεικνύντας ἀντὶ τῶν υἱέων; ἂν μὲν οὖν ἡμεῖς νῦν θύωμεν[79] γενέσθαι, μικρὸν δὲ ὕστερον θάπτωμεν, οὐκ οἴει μείζω τὴν ἀνίαν κατὰ τοῦτο γενέσθαι;[80] λυπεῖ γὰρ οὐ τὸ μὴ[81] γεύσασθαι τῶν χρηστῶν, ὡς ἡ μετὰ τὴν πεῖραν στέρησις. ἀλλ' ἔσονται, καὶ βιώσονται· καὶ τοῦτο οἱ μάντεις ὑπισχνοῦνται. καλῶς. τίς οὖν ἐγγυητὴς τοῦ τρόπου; οὐχ ὁρᾷς τοὺς μὲν οἴνῳ, τοὺς δὲ ἑταίραις προσκειμένους; τοὺς δὲ, τοίχους διορύττοντας· τοὺς δὲ τοῖς ἀπαντῶσι πλη-

77 πάντα m. M.

78 φαίνωνται] sic W. φαίνονται M.

79 malim θύωμεν ὑπὲρ τοῦ γενέσθαι.

80 γενήσεσθαι m. M.

81 aut λυπεῖ γὰρ οὐχ οὕτω τὸ μὴ γ. aut paulo post leg. est ἀλλ' loco ὡς.

πληγὰς ἐντείνοντας; τοὺς δὲ μισθὸν τῆς ὥρας λαμβάνοντας; τούτοις οὖν πότερον εἶναι βέλτιον, ἢ τεθνάναι. καὶ πότερον εὐφραίνουσι ζῶντες, ἢ καταισχύνουσιν. ἐγὼ μὲν γὰρ οἶδα πολλοὺς πατέρας, οἳ περιόντων μὲν τῶν παίδων καταδύονται, τετελευτηκότων δὲ, ἀνακύπτουσι. χωρὶς δὲ τούτων, ἄπαιδα μὲν διαμεῖναι, δυστυχίας ἂν εἴη· θῶμεν γάρ· ἀτιμάσαι δὲ τοὺς εὔνους, πονηρίας. ὅσῳ δὴ[82] μετριώτερον δυστυχῆ μᾶλλον εἶναι δοκεῖν ἢ φαῦλον· τοσούτῳ κρεῖττον θαυμάσαι τὴν ἀπελθοῦσαν, ἢ συνοικῆσαι δευτέρᾳ. ἔπειτα τί καὶ δέδοικας; σὺ μὲν γὰρ ἔχεις τὸν θεραπεύσοντα καὶ κουφιοῦντα τὸ γῆρας, τουτονὶ, τὸν τῆς ἀποκηρύξεως ἄξιον. τὸ δὲ ἡμέτερον ἄφες. ἐμοὶ μεῖζον παίδων εἰς παραμυθίαν, τὸ μηδὲν δυσσεβὲς ἐμαυτῷ συνειδέναι, πολλῶν εὐπορήσομεν βοηθῶν, ἀπὸ τῆς παρούσης γνώμης. τοὺς δ᾽ ἴσως καὶ παῖδας θησόμεθα.[83] γάμου δὲ καὶ τὴν μνήμην, ὦ πάτερ, ἄνελε. οὐ γὰρ ἐν Ὑμεναίοις ἐμοὶ τὰ πράγματα. πολλῶν εἰμὶ συμφορῶν ἀνάμεστος. ἔα με ταύτας ὀδύρεσθαι. ὦ ψυχὴ γενναίας γυναικός· σύ μοι τῆς ἀποκηρύξεως αἰτία. τί γὰρ οὐκ ἔμενες κατὰ χώραν; τί δὲ οὐκ ἐμιμοῦ τὸν πατέρα; τί δὲ παρῄεις τὴν φύσιν τοῖς ἔργοις; ὦ θαλάττιοι δαίμονες, ἀντὶ ποίων ἀδικημάτων κατεδύσατε τὸ σκάφος; τίνα καταγνόντες τῆς ἀναγωγῆς ἀηδεστέραν αἰτίαν; ἤκουσεν ἡ δυστυχὴς τὴν ἐμὴν δουλείαν. ἐπλήγη πρὸς τὴν ἀκοήν. ἐμηχανήσατο πόρον. ἐξέπλευσεν ἀπαλλάξουσα[84] τῶν δεινῶν. ὑμεῖς δὲ ἀντὶ τοῦ σῶσαι καὶ στορέσαι τὸ κλυδώνιον, καὶ παραπέμψαι πρὸς λιμένας,[85] ἀνετρέψατε, καὶ διεφθείρατε, καὶ διενείματε τὴν ἡμετέραν συζυγίαν, λῃσταῖς καὶ ναυαγίοις. τί οὖν εἴπερ ἀναγκαῖον ἦν, οὐ μετηλλάξατε τὰς τύχας; ὤφελον ἐγὼ κεῖσθαι νῦν, ἡ δὲ, ἐφ᾽ ἡμῖν δακρύειν. ἐπεὶ δὲ τοῦτο οὐχ ὑπῆρξε, δὸς ἡμῖν, ὦ πάτερ, χάριν μετρίαν. ἐπίτρεψον μέχρι τῆς τελευταίας θρηνεῖν. μὴ[86] στεφανώσῃς, μηδὲ προσείπῃς αὖθις

[82] δὲ W.
[83] κτησόμεθα m. W.
[84] ἀπαλλάττουσα m. M.
[85] malim λιμένα.
[86] μηδὲ m. M.

θις νυμφίον. αἰσχύνομαι τοὺς λῃστάς, εἰ πύθοιντο γάμους δευτέρους. ὅλως δὲ, εἰ καὶ σφόδρα βουλοίμην ὑπακούειν, οὐχ ὁρῶ πῶς ἂν δυναίμην. φαιδρὸν εἶναι δεῖ, τὸν νυμφίον· ἐγὼ δὲ κατηφής· ἀνειμένον. ἐγὼ δὲ συνεσταλμένος. ἐρωτικόν· ἐγὼ δὲ ἀπ' ἐκείνης τῆς ἡμέρας, ἀνέραστος· φοβοῦμαι μὴ τοῖς Ὑμεναίοις ἀναμίξαι[87] τὰ δάκρυα. φοβοῦμαι, μὴ ταῖς εὐχαῖς τὰς οἰμωγάς. κατείλημμαι τὴν ψυχὴν ἀκριβῶς ἐξ ἐκείνης. ὁμολογῶ βλέπειν τὸν τύπον. ἀκούειν μοι δοκῶ τῆς φωνῆς ἐκείνης. δέδοικα μὴ τῇ δευτέρᾳ συγκατακείμενος, ἐκείνην ἀνακαλέσωμαι. καὶ μὴν τοῖς γε ποιηταῖς σύνηθες ᾄδειν ἐπὶ θύραις νυμφίων μέλη. ταῦτα δ' ἐστὶν, εὐφημίαι τῶν μιγνυμένων ἐπ' ἄλλοις τε πολλοῖς, καὶ τὸ μέγιστον τῷ δεξιῷ τῆς τύχης. τί βούλει δράσαι τὸν ποιητὴν εἰς τὸ μέρος τοὐμόν; εἰπεῖν ὡς εὐδαίμων; ἀλλὰ ψεύσεται· ἀλλ' ὡς ἄθλιος; ἀληθὴς μὲν ὁ λόγος· ἀλλ' οὐ συνᾴδων τοῖς γινομένοις, ἄνδρες δικασταί. ἐγὼ πάντα πλὴν ἑνὸς τούτου πείθομαι τῷ πατρί. μαστιγούτω, στρεβλούτω, τὰ τῶν οἰκοτρίβων ὑπουργεῖν ἐπιταττέτω· θαυμάσεται τὴν ἐν τοῖς ἄλλοις ἑτοιμότητα. τουτὶ δὲ μόνον σιωπάτω τὸν γάμον. δεινῶς μου στρέφει τοὔνομα τὴν ψυχήν. εἰ δὲ δυοῖν θάτερον, ἢ γαμεῖν, ἢ μεθεστάναι,[88] ὅ, τι μὲν ἀπολογήσεσθε ταῖς ὑμετέραις αὐτῶν γυναιξὶ, ταύτην[89] θέμενοι τὴν ψῆφον, οὐκ οἶδα. ἐγὼ δὲ ὑποχωρήσω μὲν, οὐκ ἐπινεύσω δὲ, ὥστε τὴν γνώμην κρείττω δεῖξαι τοῦ σχήματος. τίς οὖν ἐστι παραμυθία; κρότος ὁ παρὰ τῶν σωφρόνων· ἔπαινος, ὁ τῶν ἐπιεικεστέρων· ῥήματα[90] τὰ πολλῆς οὐσίας λαμπρότερα. πολλοὶ φιλονεικήσουσιν[91] ὑπὲρ τῆς εἰς ἐμὲ προνοίας. εἰδ' οὖν πανταχόθεν ἐξειργοίμην, ἀρκεῖ μοι τοῦτο πρὸς ἡδονήν. θρηνῶν τὴν γυναῖκα, τεθνήξομαι.

87 malim ἀναμίξω in pr. persona.

88 μεθεστάναι] sic W. μεθιστάναι M.

89 ταύτην an ταύτῃ perinde est. hanc in partem sciscatis, vt mihi scil. exsulandum sit.

90 ῥημάτων in m. W. et M. sed in W. vulg. superscr. est.

91 multae ciuitates inter se contendent, vt me penes se recipiant et beneficiis ornent.

ΑΛΛΗ

ΑΛΛΗ ΜΕΛΕΤΗ.

ΥΠΟΘΕΣΙΣ.

Φιλαργύρου παῖς, τοῦ πατρὸς αὐτοῦ[1] κάμνοντος, ηὔξατο τῷ Ἀσκληπιῷ τάλαντον δώσειν,[2] εἰ ὁ πατὴρ τὴν νόσον φύγοι. ὑγιάνας ὁ πατὴρ ἀποκηρύττει τὸν παῖδα. (Ἀντίστασις.)

ΠΡΟΘΕΩΡΙΑ.

ΟΥΤΕ ὁ πατὴρ μισόπαις, καὶ ὁ παῖς περὶ τὸν πατέρα χρηστός. ὁ γὰρ παῖς τοσοῦτον ὑπεραλγήσας τοῦ πατρὸς φαίνεται, ὥστε[3] μήτε τῶν ὄντων φείσασθαι· καὶ παντὶ τρόπῳ ἀνασώζειν πειρᾶσθαι τὸν κάμνοντα. ὁ δὲ πατὴρ οὐχ οὕτως ἀνόητος, ὡς ἀποκηρύττειν ἐθέλειν, δι' ὃν τὸ ζῆν ἔχει. ἡ γὰρ τοῦ παιδὸς εἰς τὸν θεὸν[4] ἐπαγγελία· καὶ ἡ τοῦ ταλάντου φιλοτιμία, τεκμήριον τῷ παιδὶ γίγνεται τοῦ περὶ τὸν πατέρα πόθου. ὅθεν ὁ πατὴρ οὐ μετὰ ἀληθείας τὴν ἀποκήρυξιν ἀπεργάζεται. ᾔδει γὰρ, κἂν εἰ πάνυ φιλάργυρον αὐτὸν ὑπολάβοι,[5] ὡς ἀνασώσει περιὼν τὸ τάλαντον. τί οὖν αὐτῷ τὰ τῆς ἀποκηρύξεως βούλεται; ἐπανόρθωσίς ἐστι τοῦ παιδὸς εἰσύστερον· καὶ ἵνα μὴ μεγάλας τὰς ἐπαγγελίας ποιῆται. τοῦτο γὰρ μάλιστα φιλαργύρων ἅπτεται, καὶ λυπεῖν δοκεῖ· καὶ ἅμα εἰς τὸν ἑαυτοῦ τρόπον μεταθεῖναι

1 αὐτῷ W.
2 διαδώσειν m. M.
3 ὡς W.
4 θάνατον m. M.
5 aut ὑπολάβοι τις leg. videtur, aut ὑπολάβοις, aut, quod ad sententiam idem erit, ὑπολάβοιμεν.

θεῖναι τὸν παῖδα βούλεται. ἐπεὶ καὶ οὗτος πατέρων νόμος, ἄγειν[6] εἰς[7] ἅπερ αὐτοὶ προῄρηνται τοὺς παῖδας. τραχύτερος[8] δὲ διὰ τὸ ἦθος γίνεται. σκοπὸς δὲ αὐτῷ πρόδηλος, ἐπανελθεῖν οἴκοι τὸ τάλαντον. οὕτω μὲν ἀμφοτέροις τὰ τῶν λόγων κεράννυται. τοσαύτην ῥοπὴν τὸ ζήτημα νέμει. εἰ δὲ τὸν ἁρμόζοντα τῷ φιλαργύρῳ λόγον ἀποδεδώκαμεν, καὶ πανταχοῦ τὸ ἦθος ἐν τῷ ζητήματι σεσώκαμεν, σκοπεῖν ὑμέτερον.

6 ἄγει W.
7 πρὸς m. M.
8 ταχύτερος m. M.

ΦΙΛΑΡΓΥΡΟΣ ΑΠΟΚΗΡΥΤΤΩΝ. β′.

ΗΝ ἄρα, ὡς ἔοικεν, ἐπιτυχεῖν ὑγιείας, ὦ δικάζοντες, παντὸς, ὡς εἰπεῖν, θανάτου χαλεπωτέρας. ὅπερ μοι συμβέβηκε τανῦν, διὰ τὸν χρηστὸν υἱὸν τουτονὶ, τὴν ἀμείνω νόσον ἀντὶ τῆς κακῆς ὑγιείας ἀλλάξασθαι. οὐ μὴν ἀλλ᾽ ἐπεὶ τῷ πλέονι τέθνηκα λογισμῷ· καὶ δοκῶ μὲν περιεῖναι, οἴχομαι δὲ τῷ τοῦ ταλάντου πάθει· παρ᾽ ὑμᾶς ἀπήντηκα, ἀπελάσασθαι τῆς οἰκίας τοῦτον ἐθέλων, καθάπερ οὗτος ἐμοῦ τὸ τάλαντον. καὶ δέομαι τὴν χάριν ἐπινεύσατε· ἵνα μὴ πρὸς λύπῃ ζημίαν,[9] ἵνα μὴ καὶ ταύτην δυστυχήσω τὴν ἐπήρειαν, τουτονὶ τρέφειν ἀναγκαζόμενος. ὁ μὲν οὖν θεὸς, ἀπὸ τῶν ἡμετέρων πλούσιος· ἐγὼ δὲ καινότερα δυστυχῶν περιορῶμαι. πρὸ τελευτῆς κληρονομούμενος. ὃν γὰρ εἶχον κλῆρον περιὼν, τοῦτον ὡς τεθνηκὼς ἀπολώλεκα τῷ τῆς εὐχῆς τρόπῳ.[10] ἐπειδὴ δὲ τούτων αἴτιος οὗτος, ἀκουσάτω μετὰ παῤῥησίας,

9 post ζημίαν videtur ἀπενέγκωμαι, vel tale quid, deesse.
10 τρόπῳ] num ἀτόπῳ?

σίας,[11] ὡς οὐκέτι[12] μοι παῖς· ἐπειδὴ μηδὲ τὸ τάλαντον· συναπώλεσα γὰρ τῷ ταλάντῳ τὸν παῖδα. εἰ μὲν οὖν ἄλλοι πάντες, ὅσοι τὴν οἰκουμένην οἰκοῦσιν ἄνθρωποι, ἀπὸ τῶν κρειττόνων τὴν εὐτυχίαν ἄγουσι,[13] καὶ δέονται τῶν θεῶν, τὴν ἀμείνω τύχην ἐλπίζοντες· ἐγὼ δὲ ὁ δείλαιος καὶ τῶν ἐμαυτοῦ δι' αὐτοὺς ἀπεστέρημαι. γεγένημαι γὰρ ἀντὶ πλουσίου πένης. ἤδη τὴν ὑγείαν μέμφομαι. καὶ ποθῶ τὴν νόσον· ἐν ἐκείνῃ μὲν γὰρ εὐδαίμων ἔτι·[14] νῦν δὲ δὴ νοσεῖν ἄρχομαι. οὐδὲν γάρ μοι τῶν κατὰ τὴν οἰκίαν σώζεται· οὐ μὴν ἀλλ' ἐπεὶ[15] τὰ χείρω δυστυχεῖν ἄρχομαι, δυσκαταμαχήτῳ νόσῳ πενίᾳ μαχόμενος· υἱὸς δέ μοι μόνος, Φιλοπάτωρ λείπεται, τοῦτον ἀπελάσων ἀπήντηκα. ἵνα μὴ βαρυτέραν τὴν πενίαν ποιῇ φαινόμενος. μόλις γὰρ ἂν ἐμαυτῷ πρὸς τὸ παρὸν ἀρκέσω. εἰ μὲν οὖν ἐβούλετό τι χρηστὸν, τάχα ἂν τὴν ἀποκήρυξιν προὔλαβεν. οὐ γὰρ τῶν τυχόντων, ἐμέ τε καὶ αὐτὸν σεσύληκε. τίς γὰρ μείζων ἀνθρώποις ζημία χρημάτων; ἐπειδὴ δὲ δυσχεραίνειν ἄρχεται τὴν ἀποκήρυξιν, καὶ τὴν ὑγείαν ἡμῖν[16] προβάλλεται, μικρὸν ἄνωθεν ἀκούσατε. οὕτω γὰρ ἂν καὶ τὸ μέγιστον ἀδικήματος γνώσεσθε· καὶ ὡς οὐκ[17] ἐπὶ τοῖς τυχοῦσιν ἐκβάλλεται. ἐμοὶ βίος ἦν, ὦ ἄνδρες, εὐδαίμων· οὐκ εἰκῇ δαπανώμενος· ἀλλὰ ταῖς καθ' ἡμέραν ἐπινοίαις αὐξανόμενος. διὰ ταῦτα καὶ τὴν ἀπὸ τοῦ γάμου πολιορκίαν ὑπέμεινα· καὶ γυναῖκα ἠγαγόμην[18] οὐχ ὥρᾳ κάλλους περίβλεπτον· ἀλλ' εὖ κτημάτων ἔχουσαν· τί γὰρ ἀπὸ τοῦ κάλλους ἀνθρώποις ὄφελος; οὐ γὰρ οἶδεν ὁ κλῆρος ἐκ τούτων αὔξεσθαι. διὰ ταῦτα γοῦν ἐπειθόμην γαμεῖν, οὐχ ἵνα μοι πονηρὸς γένοιτο παῖς· ἀλλ' ἵνα τοῖς τοῦ πατρὸς ἀκολουθήσῃ τρόποις, συνευπο-

ρῶν

[11] post μετὰ παῤῥησίας deesse videtur λέγοντος ἐμοῦ. aut saltim λέγοντος.

[12] οὐκ ἔστι m. M.

[13] ἄγουσι] malim αἰτοῦσι,

[14] εὐδαίμων ἔτι] videtur ἦν interserendum.

[15] ἐπὶ W.

[16] ἡμῖν W.

[17] καὶ ὡς οὐκ] sic W. ὡς deest M.

[18] ἠγόμην m. M.

ρῶν ἐμοὶ καὶ συναύξων τὸν κλῆρον. πόσας[19] οἴεσθέ με παρῃτῆσθαι γυναῖκας. τῷ δεῖνι, φησὶ, θυγάτηρ ἐστὶ, κάλλει καὶ γένει περίβλεπτος. τί οὖν ἐμοὶ τοῦ γένους αὐτῆς, ἢ τῆς τοῦ κάλλους ὥρας μέλει; ἄλλος ἄλλην πάλιν ἐθαύμαζε· καλὴν μὲν, ἀλλ' οὐκ εὔπορον. τότε μὲν, οὐδὲ ἀκούειν ἐδόκουν τοῦ λέγοντος. καί τις ποθὲν ἀνεφαίνετο τῶν πάνυ γνωρίμων ἐμοὶ, γυναικὸς μνήμην ποιούμενος, καὶ πάνυ γε, ὡς ἔφη, λαμπρᾶς· οὐκ ἐπείσθην, οὐδὲ ἀπέβλεψα. ὁ δὲ πάλιν ἐθαύμαζε, πλείονα τοῦ κάλλους λόγον ποιούμενος. καὶ σιωπῶντος ἐμοῦ, πάλιν τῆς ὥρας ἐμέμνητο. τέλος δ' οὖν πρὸς αὐτὸν, ἀναχώρησον, ἄνθρωπε, ἔφην· οὔπω τὸν ἐμὸν γιγνώσκεις τρόπον· οὐκ εἰμὶ κάλλους, ἀλλὰ κτημάτων ἐραστής. εὐπορεῖ; κέκτηται πλείονα; οἰκέτας ἔχει μισθοφορεῖν δυναμένους; τοῦτό ἐστιν ὃ ποθοῦμεν κάλλος ἡμεῖς. μόλις δ' οὖν τοιαύτης τυχεῖν ἠδυνήθημεν. οὔπω τὴν γυναῖκα θεασάμενος ἦν, καὶ πολὺ ἤδη τάλαντον[20] διέφθαρτο. μικροῦ καὶ τοῦτον ἠρνησάμην τὸν γάμον. πανταχόθεν γὰρ ἡμᾶς διηνώχλουν· ἄλλος ἄλλό τι λαμβάνειν ἐθέλοντες· οἱ μὲν γὰρ μισθὸν ᾀσμάτων ἀπῄτουν· οἱ δὲ τὸν Ὑμέναιον, φασὶν, ἐκροτήσαμεν· οὐ γὰρ ἤρκει μόνον αὐτοῖς ἡ μέθη. τὸ δὲ πάντων χαλεπώτερον, τὰ τῶν ὀψοποιῶν καὶ οἰνοχόων δράματα. τί, φησιν, ἄνθρωπε· τί δαπανήσομεν; τί τῶν ἀπὸ γῆς ἢ θαλάσσης οἴσομεν; φέρειν γὰρ, ἔφην, τί καὶ τῶν πρὸς τρυφὴν οἶδεν ἡ θάλασσα, ἧς μηδὲ τὸ ὕδωρ χρηστόν; πάλιν οἱ τῶν λαμπτήρων ἐπιμελούμενοι, πόσας οἴεσθε δᾷδας ἀπώλεσαν; ἐγὼ μὲν γὰρ ἤδη καὶ ὑπὲρ τῆς οἰκίας ἐδεδοίκειν, μὴ καὶ ταύτην ἡμῖν ἐμπρήσῃ τὸ πῦρ, ἐπειδὴ ἅπτειν καὶ λύχνον παρεκελεύοντο· καί τις ἧκε λύχνον ἔχων, οὐ κατὰ τοὺς εἰωθότας δή· ἀλλ' ἐξοχὰς εἰς κύκλον ἔχοντα· καὶ πανταχόθεν ἐπιζητοῦντα τὸ πῦρ· τοσαύτην ἠφίει φλόγα, ὡς καὶ πυρκαιὰς

αὐτὰς

19 πόσας] sic W. πόσαι M.

20 πολὺ τάλαντον num dici solet pro πολὺ ἀργύριον?

αὐτὰς μιμεῖσθαι τῷ φωτί. τοῦτον ἐμπλῆσαι ἡμῖν παρεκελεύετο. ἐμοὶ δὲ τὸ πολὺ τοῦ φωτὸς νὺξ ἦν. σκότος γὰρ ἀντεδίδου τῶν λαμπτήρων τὸ πλῆθος. τότε μὲν οὖν ἐβουλόμην ἐμαυτὸν ἐπιδοῦναι τῷ πυρὶ, ἵν' ἀντὶ ἐλαίου τῷ λύχνῳ γένωμαι. ἐπέχον δέ με τῶν περιεστηκότων οἱ φίλοι, ἤδη τούτων ἀπαλλαγήσεσθαι λέγοντες. ἐγὼ δὲ, τὰ μὲν, ἡδόμενος, τὰ δὲ ἀνιώμενος, ἐκαρτέρουν. τὰ μὲν γὰρ ἀπὸ τῆς προικὸς ἔμελλεν ἀγαθά· τὰ δὲ τῆς ζημίας ἐν ὀφθαλμοῖς ἦν. τότε τοίνυν οἱ μὲν, εἰς κύκλον ἐχόρευον. οἱ δὲ, ἐνετρύφων.[21] οἱ δὲ, τὸν ἄκρατον ἐνεφοροῦντο. ἐγὼ δὲ ὁ κακοδαίμων περιεσκόπουν ἅπαντα· οὐδεὶς δὲ ἦν τῶν παρόντων φιλάνθρωπος· ἀλλὰ πᾶς πανταχόθεν ἐλυμαίνετο· καὶ ὁ τυχὼν ἁπλῶς.[22] πολλὰ μὲν οὖν τῷ νομοθέτῃ κατηρασάμην τοῦ γάμου· οὐ γὰρ πανήγυριν, ἀλλὰ πόλεμον ἐνομοθέτησεν. τί ταῦτα, ὦ μάταιε; οὐκ οἶδας ὡς σεμνὸν ὁ γάμος; σὺ δ' οὐκ εἰς μυστήριον, ἀλλ' εἰς θέατρον τὸν Ὑμέναιον ἤγαγες. οὐκ ἦς ἄρα νομοθέτης ἔμφρων· ἔκδοτον γὰρ ἀφῆκας τὴν κόρην τοῖς βουλομένοις εἰς θέαν, ἣν τῷ γεγαμηκότι μόνον ὁρᾷν ἦν θέμις. νυνὶ δὲ πρὶν ἢ πλησιάσαι τῷ λαχόντι, πολλοὶ ταύτην περιεργάζονται. ἀλλ' οὔπω τοῦτο δεινόν. νυνὶ δὲ, εἰ μὴ πάντα τῷ γαμοῦντι διαφθαρήσεται, οὐκ ἔστι[23] νυμφίος. τότε μὲν οὖν ἀπηλλαττόμην, πολλὰ τοῖς θεοῖς εὐξάμενος. ἐπεὶ δὲ καὶ ὁ φιλοπάτωρ οὗτος ἐγένετο παῖς (ὡς εἴθε μήποτε) ὑπεκθεῖναι τοῦτον εὐθὺς ἠβουλόμην, ἐννοῶν τὸ δαπανηρὸν τῶν τόκων, καὶ τὴν ἀνατροφὴν ἐνθυμούμενος. ἔτι γὰρ τῆς γυναικὸς ὠδινούσης, καὶ οὔπω τεκούσης ὁλόκληρον, ἀλλ' ἔτι κινδύνου προσδοκωμένου, συνῆσαν[24] μὲν πανταχόθεν οἱ τῷ γένει προσήκοντες, ἑορτὴν δὲ τὸν τόκον ἑαυτοῖς ἐψηφίζοντο· καὶ πίνειν ἔδει καὶ τρυ-

[21] f. οἱ δὲ βρώμασιν (vel simile quid) ἐνετρύφων.

[22] ἁπλῶς] videtur ἄπληστος leg.

[23] ἔσται W. et m. M.

[24] malim συνῄεσαν.

τρυφᾶν· καὶ οὐ μέχρι τούτων ἦν·[25] ἀλλ᾽ ἤδη καὶ τὰ τῶν γειτόνων πανταχόθεν συνέῤῥει. λογισάμενος δ᾽ ἐκ τῆς γυναικὸς εἶναι τὴν πρόφασιν, τῷ μὴ τὰς ὠδῖνας ἠρέμα καρτερεῖν· ἀλλὰ βοᾶν καὶ κεκραγέναι, τὸ μὲν πρῶτον παρεκάλουν αὐτὴν τίκτειν ἡσυχῶς· ὡς δὲ μείζων[26] παρακλήσεως ὁ τόκος ἴσχυε, καὶ καρτερεῖν οὐκ ἦν τῷ γυναίῳ, ἐπέχον προσδραμὼν τὸ στόμα. ἐπειδὴ δέ ποτε καὶ τὸ βρέφος ἐξέθορε, τοσοῦτον οἱ παρόντες ὠλόλυξαν, ὥστε με φοβηθέντα τὸν θόρυβον ὑπ᾽ ἐκπλήξεως ἐμβεβροντῆσθαι.[27] οἱ δὲ ἀπεκάλουν μακάριον, καὶ τὸ βρέφος ἅμα ἐδείκνυον· ἐγὼ δὲ, τί ταῦτα, ἔφην, ἐμοὶ μόνον παιδίον ἐστίν;[28] οὐκ ἔξιτε; οὐ φθαρήσεσθε; ποσάκις τὸν ἐμὸν οἶκον διελέσετε;[29] οὐ μικροῦ γαμοῦντα πρώην διεσπάσατε; πάλιν ἥκετε; εἰ δὲ καὶ ἕτερόν μοι παιδίον ἔσται, πάλιν ὁ παρ᾽ ὑμῶν μοι γενήσεται πόλεμος; ἐγὼ μὲν ταῦτα λέγων, δυσωπεῖν ἐνόμιζον· οἱ δὲ καὶ θύειν τοῖς θεοῖς παρεκελεύοντο· καὶ τὸ βρέφος[30] ἁρπάσας, θύειν ἐσπούδαζον. ἀφῆκε δέ με οὐδεὶς, ταῦρον ἢ κάπρον προσάγειν ἀναπείσαντες. ἐγὼ δὲ χοινίον ἐνενόουν καὶ πάτταλον· τί τούτοις[31] λέγων τοσοῦτον τῶν ἡμετέρων μέλει. ὅμως δ᾽ οὖν ἀπηλλαττόμην, ὀλίγον ἐπιθεὶς τοῦ λιβανωτοῦ. καὶ πρὸς τὴν γυναῖκα, ἔφην· βούλει τὸν παῖδα εἰς ἐρημίαν ἐκθείημεν; ἣ δ᾽ οὐκ εὖ φρονοῦσα μετέπειθε· κοινωνὸς γὰρ ἔσται σου τῆς ἐπιθυμίας; καί σου δυνήσεται τῶν ἰχνῶν ἐχόμενος, αὐξῆσαι τὸν κλῆρον. ἐπὶ ταύταις αὐτὸν, ὦ ἄνδρες, ταῖς ἐλπίσιν ἐτρέφομεν.[32]

οἴεσθέ

[25] Sententia est καὶ οὐ μέχρι τούτων μόνον προῄει τὸ πρᾶγμα, vel οὐκ ἐν τούτοις μόνον ἔστη. num autem vulgata idem dicant, nescio.

[26] μικρὸν m. M.

[27] ἐμβεβροντῆσθαι] sic W. ἐκβεβρ. M.

[28] mihine soli hominum omnium puer natus est? vt tam insanum in modum gaudeatis.

[29] διελέσετε] sic W. διελέσατε M

[30] βρέφος] imo vero θυμιατήριον thuribulum.

[31] τούτοις] Diis puta.

[32] post ἐτρέφομεν videtur καὶ ποίας deesse.

οἴεσθέ με λόγους πρὸς αὐτὸν εἰρηκέναι κακὸν, λέγων,[33] ὦ παῖ, πενία· ὁ πλοῦτος ἀγαθόν· καὶ τοῖς κεκτημένοις αὐτὸν, πάντες προστρέχουσι, καθάπερ τοῖς θεοῖς· καὶ ὅλως ἐγκώμια πλούτου διεξῄειν· παιδοτριβῶν ἐπὶ τοὐμὸν ἦθος αὐτόν· ἐξ ὧν ἄν τις γενήσεται καταλέγων πλούσιος. ἀῤῥωστήσας δ' ἔναγχος, καὶ νόσῳ τινὶ χρησάμενος (τίς γὰρ ἄνθρωπος νόσου κρείττων ἢ συμφορᾶς; ἄλλος κατ' ἄλλην γὰρ μερίζεται τύχην· πολύτροπα γὰρ τὰ πταίσματα) ἐκείμην καὶ αὐτὸς, ταύτῃ ἐννοῶν τὴν τύχην, εἴπω τί, βούλεσθε, τῶν ἀποῤῥήτων; ἔφερέ μοι καὶ κέρδος ἡ νόσος. οὐ γὰρ εἰς κόρον ἐδείπνουν, οὐδὲ παντίοις ὄψοις ἐχρώμην. οὐδ' ἀναλίσκειν ἐχρῆν. τί δεῖ τὰ[34] πολλὰ λέγειν; θεῶν δωρεὰν τὴν νόσον ἐνόμιζον·[35] ἐβόων κατ' ἐμαυτὸν πολλάκις· εὐδαιμονέστεροι τῶν ὑγιαινόντων οἱ κάμνοντες. οἱ μὲν γὰρ ταῖς ἀγοραῖς παραβάλλουσιν· ὠνοῦνται πλέονα. ἐγὼ δὲ οἴκοι μένω, οὐδὲν ὑπ' οὐδενὸς ἐνοχλούμενος· ὀλίγα προσομιλῶν, μόνον τοῖς δεομένοις χρυσίου· μίαν εἶχον φιλονεικίαν, ἀεὶ ἐπιθεῖναί[36] τι πλέον τῷ τόκῳ. ἐντεῦθεν οἱ προσιόντες, λυπεῖσθαί[37] πως ἐδόκουν ἐμοὶ, ἀγνοοῦντες τὸ ἐκ τούτου[38] κέρδος ἡμῖν. ἐφθέγγετό τι καὶ αὐτὸς ὑπολαμβάνων[39] τὶ χρηστὸν,[40] ἰατροῦ μνήμην ποιούμενος, καὶ λέγων. εἰπέ μοι, βούλει πάτερ ἰατρὸν ἄξω σοι προσδραμών; μικροῦ μὲν οὖν αὐτὸν ἀπεκήρυξα, καὶ παρὰ τὴν νόσον αὐτήν. ἐλογιζόμην δ' αὐτῷ[41] τὸ πταῖσμα τῷ χρόνῳ. τί ταῦτα, ἔφην,

[33] λέγων] non quadrat hic nominatiuus cum praecedente me, et conuenientius sit λέγοντα. Verum satius est suspicari, deesse aliquid, aut pro λέγων leg. est ἔλεγον·

[34] τὰ deest W. et m. M.

[35] ὑπελάμβανον m. M.

[36] ἐπιθεῖναι] sic W. ἐκθεῖναι M.

[37] προσιόντες εἰσιόντες, συλλυπεῖσθαι W. προσεισιόντες m. M. f. λυπεῖσθαι μάτην πως aut λυπεῖσθαι τηνάλλως ἐδόκουν.

[38] τοῦ κέρδους W. et m. M. num τὸ ἐκ τοῦ κέρδους ἡδὺ, id est ἐκ τοῦ κέρδους ἡδονήν?

[39] f. καὶ αὐτὸς οὗτος ὑπολαμβ. etiam hic ipse, filius puta meus, a me abdicandus.

[40] ὑπολαμβάνων τι χρηστὸν] scil. φθέγξεσθαι aut ποιήσειν quamquam additum mallem.

[41] malim αὐτοῦ.

ἔφην, ὦ παῖ; τί τὴν ἐκείνων ἡμῖν ἀπάτην ἀπειλεῖς, ἡμᾶς σώζειν ἐθέλων; οὐδὲν τῆς ἐκείνων ἡμεῖς δεόμεθα τέχνης. μαγγανεῖαι, καὶ φλήναφοι· καὶ λόγῳ τὴν ὑγείαν, οὐ τῇ τέχνῃ πιστοῦνται· μισθὸς ἐπὶ τούτοις πολύς. ἂν ἐπ᾽ ὀλίγον μελλήσῃ τίς, οὐ διαφεύγει [42] τὸν ἐκ τῆς ἀπειλῆς θάνατον. φθάνουσι γὰρ τῇ μοίρᾳ τὴν τέχνην. ἐμοὶ παντὸς ἰατροῦ ἀμείνων ἡ νόσος. ταύτῃ μᾶλλον πεπίστευκα. αὕτη με ἀναστήσει ταχὺ τῷ τῆς ἐνδείας λογισμῷ. ὁρᾷς ὡς τὸ τάλαντον αὔξεται; ὡς οὐδαμοῦ δαπανᾶται; τὸ τάλαντον ἀκέραιον ἡμῖν διὰ τὴν νόσον τετήρηται. ἔλεγον· ἔπειθον. καὶ τῶν μὲν Ἀσκληπιαδῶν ὑπερεώρα. ἐλάλει δὲ παρακαθήμενος. τί τὸν Ἀσκληπιὸν, ὦ πάτερ, καταλελοίπαμεν; πολλοὺς πολλάκις ὁ θεὸς ῥυτὸς ἀνέστησεν. ἐδόκει τί μοι λέγειν, νὴ τοὺς θεοὺς, φιλάνθρωπον· ἐσκόπουν γὰρ κατ᾽ ἐμαυτὸν, ὅτι προῖκα τὰ παρὰ τῶν θεῶν ἡμῖν ἀγαθὰ γίνεται. καὶ πρὸς αὐτὸν ἔλεγον· νῦν ἡμῖν τὸν ἰατρὸν ἀποδέδωκας, ὦ παῖ· νῦν τὸν ἰασάμενον εὕρηκας. αὐτόματοι πρὸς εὐποιίαν οἱ θεοί· παρακαλούμενοι δὲ βελτίονες. οὐδὲν τῶν ἀνθρωπίνων ἐπιζητοῦσιν· οὐ πλοῦτος αὐτοῖς προσφιλής· οὐ κέρδος ἕτερον. μόνην τὴν εὐποιίαν ἔχουσιν· ἐν ταύτῃ πλουτοῦσιν [43] οἱ θεοί. ἴθι γοῦν αἰτήσων ὑγείαν, ὦ παῖ. εὐχὴν εὖξαι τὴν πρέπουσαν. πρόσθες τῇ τῆς ὑγείας εὐχῇ, πλοῦτον πολύν· καὶ τὴν ἀπὸ τοῦ κέρδους εὐδαιμονίαν τῇ [44] μετὰ τῆς ὑγείας, καὶ χρήστας εὐγνώμονας. μᾶλλον δὲ τοῦτο μόνον, εἰ δοκεῖ, πρόσευξαι, τόκους πλέονας· ἀπὸ γὰρ τούτων ἡ σωτηρία. μᾶλλον δὲ τοῦτό μοι ζωή· τοῦτο φῶς· ἂν ἄρα [45] τὸ τάλαντον μετὰ τῆς ὑγείας, ἄμεινον. οὕτω μὲν καὶ φρονεῖν καὶ λαλεῖν [46] ὑπελάμβανον. ὁ δὲ

[42] aut μελλήσας τις οὐ διαφύγῃ aut μελλήσῃ τις. οὐ γὰρ διαφεύγει.

[43] f. ἔχουσιν ἐν ἤθει. ταύτῃ πλουτοῦσιν.

[44] τὴν m. M.

[45] f. ἂν δ᾽ ἄρα sin autem talentum, ſcil. ὑπάρχῃ vel παραγίγνηται praeſto ſit vna cum bona valetudine, ἄμεινον, ſcil. τοῦτο ἔσται erit id melius.

[46] λαλεῖν] pro λαλήσειν ſcil. τὸν παῖδα.

τὸν νεὼν καταλαβὼν, ἁπλοῦν μὲν οὐδὲν, οὐδὲ δίκαιον εὔχεται. οὐδὲ ψιλὴν ὑγείαν ᾔτησε, ταλάντου δέ μοι ταύτην ὠνήσατο. ταῦτα γὰρ νυνὶ μανθάνω, ὅτι πωλοῦσι τὴν ὑγείαν οἱ θεοί. καὶ διὰ ταύτης ὁ Ἀσκληπιὸς πλουτεῖν ἐσπούδακε· καινότερον εὐπορίας τρόπον, τὴν ἰατρείαν εὑράμενος. ὡς δ᾽ οὖν πάντα καθ᾽ ἡμῶν εὐξάμενος ἐπανήει ἐγὼ δ᾽ ἤδη τῆς ὑγείας, μᾶλλον δ᾽ ἤδη τῆς[47] πενίας ἠρχόμην· ἐλάνθανον γὰρ κατ᾽ ἐμαυτοῦ τούτῳ τὴν εὐχὴν ἐπιτρέπων. ὡς δ᾽ οὖν ἄμεινον ἐδόκουν ἔχειν, προσελθὼν οὗτος ἔφη· τί μὴ τοὺς ἱερέας εὐγνωμονοῦμεν, ὦ πάτερ; τί μὴ τὸ τάλαντον οἱ προφῆται λαμβάνουσιν; ὁρᾷς ὡς τὴν ὑγείαν ἀπείληφας; γενώμεθα καὶ ἡμεῖς περὶ τὸν θεὸν εὐγνώμονες. οὕτω γὰρ συνεθέμην. μικροῦ μὲν οὖν παρ᾽ αὐτοὺς τοὺς λόγους διαῤῥαγεὶς, ᾠχόμην· καὶ τὴν ψυχὴν ἐπαφῆκα τοῖς τούτου ῥήμασι. καὶ εἴθε γε, ὦ πάντες θεοὶ, πρὸ τῆς τοῦ ταλάντου καταβολῆς ἐκείμην. μεῖζον γὰρ, ἂν εὐτυχῶν ἀπωλλύμην·[48] ἐκέρδησά γε ἂν τῇ τελευτῇ τὴν ἀπὸ τῆς εὐχῆς ζημίαν· ὅμως δ᾽ οὖν ἐνεγκὼν, καὶ μόλις ἐν ἐμαυτῷ γενόμενος. τί ἄρα ἔφην, ὦ παῖ; πόθεν οἱ μῦθοι; ἱερεῖς δὲ τίνες; οὐδὲν γὰρ παρ᾽ οὐδενὸς κεκομίσμεθα. οὐδὲ ἔχει τὶς καθ᾽ ἡμῶν συμβόλαιον οὐδέν. εἰ δ᾽ ὑπὸ ἀπονοίας[49] σφαλεὶς, ἐπηγγείλω τῷ θεῷ τὸ τάλαντον, οὐδὲν ἐμοὶ τούτου μέτεστιν· οὐδὲν παρὰ τὴν νόσον ηὐξάμην ἐγὼ, οὐδ᾽ ὑπεσχόμην τῷ[50] θεῷ· οὐδὲ πρὸς τὴν ὑγείαν αὐτὸν παρεκάλεσα· ἀλλ᾽ ἁπλῶς κατ᾽ ἐμαυτὸν ἐκείμην, τῷ τῆς ἐνδείας[51] ὑγίανας τρόπῳ. ἐγὼ μὲν οὕτω πως ἀποσείεσθαι τοὺς ἱερέας ἐδόκουν, διὰ τῶν πρὸς τοῦτον ῥημάτων. οἱ δὲ ἰταμώτερον ἐχώρουν. καί που τὶς αὐτῶν ἀνεβόησεν· ἱερόσυλε καὶ μαστιγία, οὐ καταβαλεῖς τὰ τοῦ θεοῦ; οὐκ ἀποδώσεις τὸ τάλαντον; πλέον,

[47] δὲ τῆς m. M.

[48] num ἂν ἄνευ εὐχῶν ἀπωλλύμην, an, ἂν εὐχῆς ἀποτυχὼν vel ἂν εὐχῶν οὐ τυχὼν ἀπωλλύμην?

[49] ὑπονοίας m. M.

[50] ἐγὼ τῷ m. M.

[51] ἐνδείας] inediae, quod nil ciborum ſumerem. ieiunando. ſic et paulo ante.

πλέον, ὦ ἄνδρες, τῆς ζημίας ἐφοβήθην τὰ ῥήματα. καὶ κατέβαλον, ὦ θεοὶ, ὀδυρόμενος, στένων, πολλάκις τὸ τάλαντον περιπτυσσόμενος, μόλις ἀριθμῶν, ὀκνῶν ἀποδοῦναι· τὸ σκότος μετὰ τὴν καταβολὴν ἑώρων. νὺξ ἦν ἐν ἡμέρᾳ μοι μέση. ὁ γὰρ τοῦ ταλάντου ζόφος, ἐνίκα τὸ φῶς τοῦ ἡλίου. εἰ μὲν οὖν πάντα παρ' αὐτὴν ἐπυθόμην τὴν νόσον, τάχα ἂν καρτερήσας[52] ᾠχόμην. ἄνθρωπος ὑπ' ἀγρυπνίαις πολλαῖς, φροντίσιν ἀπείροις, καὶ πόνοις πλείοσι, καὶ μερίμναις, καὶ μόχθοις, καὶ πολλῷ πόνῳ συνάγων[53] τὸ τάλαντον, ἀθρόως ἀφῄρηται ὑπὸ τοῦ θεοῦ· μᾶλλον δὲ τοῦ τὸν ἐμὸν βίον ἐξ εὐχῆς προδεδωκότος. εἶτ' ἐπὶ τούτοις ἀγανακτεῖ, ὡς οὐ δεόντως ἐκβάλλεται; οὐδὲ γὰρ ἐπὶ κύβους, οὐδ' ἐπὶ μέθην ἀνηλωκέναι τί φησιν· οἶδα. οὔτε γέγονας περὶ κώμους ἐκμανὴς, οὐδὲ περὶ μέθην ἠσχόλησαι· οὐ πρὸς ἑταίρας βλέπεις· ἀγαπᾷς τῶν αἰσχρῶν οὐδὲ ἕν· μισεῖς εὐωχίας· οὐ πλησιάζεις κύβοις.[54] εἴθε μηδὲ περὶ τοὺς θεοὺς ἐμεμήνεις. οὐκ ἂν δυστυχὴς ἐγενόμην ὁ δείλαιος. οὐκ ἂν τὴν πενίαν ταύτην ἐστέναξα. πόσον δέ σοι καὶ πρὸς εὐωχίαν ἤρκεσεν; ὀλίγον ἀπὸ τοῦ ταλάντου μέρος· τὸ δὲ λοιπὸν, ἦν ἡμῖν ἐλεύθερον. οἶδα πολλοὺς περὶ μέθην ὀλίγα ἀνηλωκότας. πολλοῖς ἤδη καὶ κῦβος ἤνεγκε κέρδος. πόσοι δὲ δι' εὐωχίαν εὐτυχέστεροι; εἴθε μοι τούτων τὶς ἐγένου· τάχα ἂν ηὔξητο, τὸ διὰ σέ μοι λελῃστευμένον τάλαντον· οὐδὲν ἂν τούτων ὠδυρόμην· νυνὶ δέ μοι τὸ πᾶν ἀπόλωλε. καὶ ἐπιδοὺς τῷ θεῷ τὸ τάλαντον τοῦτο, ἐμὲ μὲν τοῦ βίου, σαυτὸν δὲ[55] τῆς οἰκίας ἀπείργεις. μὴ οὖν ὡς οὐδὲν εἰς μέθην ἀνήλωταί σοι, ταῦτα νῦν πρόφερε. οὐδὲ γὰρ περὶ τούτου δικάσειν οὗτοι συνεληλύθασιν· οὐδὲ τοῦτό ἐστιν, ὃ ἐγκαλοῦμεν ἡμεῖς· ἀλλ' ἢ δεῖξον ὅτι μοι τὰ κατὰ

τὸν

[52] καρτερήσας] ni fallor in tali re solet ἀποκαρτερεῖν vsurpari. vitam inedia voluntaria finiisse.

[53] malim συναγαγών.

[54] κώμοις m. M.

[55] σὲ δὲ m. M.

τὸν οἶκον ἔῤῥωται, ἢ δίκην ὗπεχε. οὐδὲ γὰρ περὶ τούτων αἰτιῶμαι τήμερον. εἴθε κατ' ἐμοῦ μᾶλλον, ὦ παῖ, τὰς χεῖρας ὤρεξας· ἤνεγκα ἂν τὴν παρὰ σοῦ πληγήν. νυνὶ δὲ πάντας ὁμοῦ νενίκηκας τοὺς ὑπὸ τῶν πατέρων κριθέντας πρότερον. οὐδεὶς οὕτω πατραλοίας εὕρηται· οὐ γὰρ εἰς τὸ σῶμα τὴν πληγὴν ἐδεξάμην· εἰς αὐτὴν τὴν καρδίαν τὸ βέλος ἔχω. τοὺς μὲν ἄλλους, ὅσοι τῶν παίδων ἐπάταξαν, κατ' ἐκεῖνον τὸν χρόνον ἐλύπουν, καθ' ὃν ἐτόλμων. ἐγὼ δὲ τοσαυτάκις βάλλομαι, ὁσάκις ἐνθυμηθῶ τὸ τάλαντον. εἶτ' ἔτι μνημονεύεις κύβων, ἢ μέθης, ἢ τρυφῆς, οὕτω τὸν πατέρα διαθείς; ἐγὼ μὲν ἤδη καὶ τεθνηκέναι δοκῶ· καὶ ὑπὸ τῆς ἀνίας οἴχομαι. ὑμεῖς δὲ ταυτα[56] τούτῳ,[57] εἰ νῦν ἀποδέξεσθε, βαρύτεροί[58] μοι τῆς ζημίας γενήσεσθε. ὑφ' ὑμῶν[59] γὰρ μᾶλλον, ἢ τούτου κείσομαι ναί, φησιν· ὑπὲρ γὰρ σοῦ τοῦτο ἐποίησα. τῆς γὰρ παρὰ τοῦ θεοῦ σωτηρίας μόνης ἐχρήζομεν. τί οὖν; οὐκ ἦσαν εὐχῆς ἕτεροι τρόποι; οὐκ ἦν λιβανωτὸς ἄφθονος; χαίρουσι καὶ δάφναις οἱ θεοὶ, καὶ θαλλοῖς ἐλαίας πολλάκις. ἤδη τινὲς τῶν παλαιῶν καὶ δρυῶν κόμαις ἀπήρχοντο· πολλοὶ γὰρ[60] καὶ στεφάνοις τὸν θεὸν γεραίρουσιν· ὕμνοις ἕτεροι. τούτων οὐδὲν ἐνενόησας; οὐδὲ θαλλοὺς ἐνεθυμήθης καὶ στέμματα. μέχρις ἀλεκτρυόνος τὴν εὐχὴν στῆναι ἔδει. βαρὺ μὲν γὰρ καὶ φορτικὸν καὶ τοῦτο. πλὴν, οἴσα[61] ἂν ἀνεκτῶς. εἰ γὰρ μὴ τὸ τάλαντον ὅλον, μέρος δὲ τῆς οὐσίας ἀνέθηκας, οὐκ ἂν ἀπεκήρυξα; σὺ δ' οὐδὲ τὰς γραφὰς ἐνενόησας. μετὰ τὴν νόσον πολλάκις ἄνθρωποι τῆς εὐποιΐας ἀμειβόμενοι τὸν θεὸν,

[56] ταῦτα m. M.

[57] malim τούτῳ hanc huius mei filii orationem si vos, iudices, approbetis.

[58] βαρύτεροι W.

[59] ὑφ' ὑμῶν a vobis.

[60] γὰρ deest W. et m. M.

[61] οἶσα pro ἤνεγκα vel ἀνεσχόμην ἂν pertulissem, tolerassem, est inusitatum et a me quidem, quod meminerim, nusquam locorum obseruatum; et praeterea non satis placet οἶσα ἂν ἀνεκτῶς. *pertulissem tolerabiliter.* Num scripsit πλὴν ἦλθα ἂν ἀνεκτὸς, verum tamen fuisses ita tu quidem tolerabilis saltim.

θεὸν, εἰκόνι τὸν Ἀσκληπιὸν, ὡς εὐεργέτην γράφουσι. πόσην ἂν ἡ γραφὴ βλάβην ἤνεγκε; πόσος[62] δ' ἂν ὁ τοῦ ζωγράφου μισθὸς ἐγένετο; ἑκὼν ἂν ἐπὶ τούτοις κατέβαλον. σὺ δέ μοι παριδὼν ἅπαντα, ἐπ' ἐκεῖνο τρέπῃ, ὡς εἰ μὴ διὰ τὸν Ἀσκληπιὸν, ᾠχόμην. εἶτ' οὐκ ἦν ἀποθανεῖν ἄμεινον, ἢ ζῆν ἐν τούτῳ τῷ σχήματι; μὴ γὰρ εὐεργέτημαί τι; σεσύλημαι. μὴ γὰρ ὑγεία μοι ταῦτα καὶ βίος; αὐτὸς, ὡς εἰπεῖν, ἐν ὀφθαλμοῖς ὁ θάνατος. νυνὶ δὲ τὴν ὑγείαν μοι λέγεις· τὴν πενίαν δὲ σιωπᾷς. καὶ τὸ φυγεῖν μὲν τὴν νόσον προφέρεις· τὸ δὲ μεῖζον κρύπτεις δυστύχημα. οὐκ ἀνέχομαι ζῆν ἐλεούμενος. μισῶ τὴν ὑγείαν πενόμενος. τί μοι τὸ μεῖζον ἀφεὶς καταλέγειν δυστύχημα, μικρὸν εὐποιΐας προφέρεις ὄνομα· μᾶλλον δὲ κινεῖς πρὸς ἀγανάκτησιν. τίς ἰᾶται συλῶν τὸν κάμνοντα; τίς εὖ ποιεῖσθαι βούλεται, μείζω τῆς δωρεᾶς ἀδικούμενος; ἀπόδος ἡμῖν τὸ τάλαντον, καὶ τὴν ὑγείαν οὐ μέμφομαι, εἰ δὲ ἐπὶ τούτοις ὁ Ἀσκληπιὸς ἀγανακτεῖ, αὐτό μοι μόνον ἀποδιδοὺς τὸ τάλαντον, φερέτω καὶ μετὰ τοῦ πλούτου τὴν νόσον. ἕτοιμος ἀναλαμβάνειν μετὰ τοῦ ταλάντου τὸν κίνδυνον· καὶ προσθέτω μοι πλέον, εἰ βούλοιτο, τῇ νόσῳ. μόνον ἡμῖν ἐπανελθέτω τὸ τάλαντον. εἶτ', ὦ κατάρατε καὶ ὑπὲρ τὸ δέον φιλότιμε, ἐγὼ μόνος ἐδυστύχουν ἀφόρητα, ἵνα μοι δυστυχέστερον[63] τῆς νόσου τὴν ὑγείαν ἀντέδωκας; πόσους ἐκ χαλεπωτέρων οἶδα σωθέντας; πόσοι δὲ ἤδη τελευτῆς ἐγγὺς γενόμενοι, πάλιν προσωμίλησαν τῷ βίῳ; ἆρα τούτους ἡμῖν πάντας ὁ Ἀσκληπιὸς ἀνέστησε; πόθεν οὖν τῷ πλήθει τῶν ἰατρῶν στενοχωρούμεθα; τί δὲ μάτην οὗτοι κατὰ τὴν πόλιν στρέφονται; πόθεν δὲ πλουτεῖν νομίζουσιν; ἢ πόθεν τὸ κέρδος αὐτοῖς; οὐκ ἀφ' ὧν παραμυθοῦνται τοὺς κάμνοντας; οὐκοῦν τὰ κατ' αὐτοὺς οἴχεται, εἰ

μόνος

62 πόσος] sic W. πόσου M,
63 malim δυστυχεστέραν.

μόνος ὁ Ἀσκληπιὸς χρήματα λήψεται. ἀλλ' ἐπὶ μεγάλοις,[64] φησὶν, ὁ Ἀσκληπιὸς ἰᾶται· καὶ δεῖ μεγάλας τὰς ἐπαγγελίας ἐπ' αὐτῷ[65] ποιεῖσθαι; τοῦτο νῦν πρῶτον ἀκήκοα. ἐγὼ μὲν γὰρ αὐτὸν καὶ παρέχειν[66] ἑτέροις ὑπελάμβανον. οὐκοῦν οὐδὲν ἡμῶν οἱ θεοὶ βελτίους. εἶτα καὶ πόσον ἐχρῆν ἐπαγγείλασθαι. μὴ γὰρ ἀθανασίαν ἡμῖν δεδώρηται; μὴ γὰρ συνῆψέ με[67] φυγόντα τὴν νόσον τοῖς κρείττοσι; πάλιν ἡμῖν ὁ θάνατος ἐλπίζεται. προσδοκῶ καὶ δευτέραν νόσον, ἄνθρωπος ὤν· οὐκοῦν καὶ ἐφ' ἑτέρῳ πάλιν δεῖ στένειν ταλάντῳ. εἰ δ' ἐπιλείψει με ταῖς νόσοις τὰ τάλαντα, πόθεν ἡ σωτηρία λοιπόν; ἢ καὶ τὰς ἀπὸ τῶν συγγενῶν ἀναθήσεις οὐσίας, πόσου τὴν ὑγείαν ὑπολαμβάνεις ἀξίαν; ἐγὼ μὲν γὰρ αὐτὴν οὐδὲ δραχμῆς ἂν ἐπριάμην· σὲ δὲ καὶ δευτέραν[68] ἐχρῆν ἐπιθεῖναι, καὶ εἴτ' ἔτι[69] μεῖζον ἐβούλου μανῆναι, μνᾶν ὅλην. πόσα σοι βούλει ταλάντου πρίωμαι σώματα; πολέμους ἀναδέχονταί τινες· ὑπὲρ ἑτέρων παρατάττονται, μόλις ἵνα δραχμὴν κομίσωνται. τί δὲ, οἱ τὴν θάλατταν τολμῶντες, οἳ μικροῦ κέρδους ἕνεκεν μεγάλους ἀναμετροῦνται κινδύνους. εἰσὶ δὲ οἳ καὶ τροφῆς ἕνεκεν μόνης. ἵνα τὴν ἀπὸ τῆς γαστρὸς ἀνάγκην παραμυθήσωνται, ἐπαφῆκαν αὐτοὺς ἀλλοτρίοις ἐγκλήμασιν. ἀλλὰ τί ταῦτα; μάτην γὰρ νῦν φθέγγομαι πρὸς ἄνδρα, οὐδὲν ἕτερον τῶν κατὰ τὸν βίον, ἢ τὴν ἀπὸ τῆς φιλοτιμίας μανίαν ἐπιστάμενον. ἀλλ' ἔτι σοι, φησὶ, περίεστι χρήματα, καὶ μετὰ τὸ τάλαντον; εἶτα τί σοι τούτων μέλει; ἢ ποῖος οὗτος ἀπολογίας τρόπος; ἢ δάκνει σε καὶ τὸ λειπόμενον, ὅτι μὴ καὶ τοῦτο τῷ ταλάντῳ προσέθηκας; μὴ γὰρ ἐφ' ἑνὶ ταλάντῳ μόνον[70] τὴν ζημίαν ἔστησας; ἐγένετ' ἂν ἤδη μοι διπλοῦν τῇ τοῦ τόκου προσθήκῃ· καὶ πάλιν μεῖζον ἐσύστε-

64 ἐπὶ μεγάλοις] scil. χρήμασι, quod vocab. modo praecessit.

65 ἐπ' αὐτῷ] coram eo, h. e. coram ara et simulacro eius.

66 παρέχειν] scil. χρήματα vel πλοῦτον.

67 συνῆψέ μοι m. M.

68 δευτέραν] scil. δραχμήν.

69 εἴτ' ἔτι] sic W. εἴτέ τι M.

70 μόνῳ m. M.

ἐσύστερον.[71] συναυξάνεσθαι[72] γὰρ τῷ χρόνῳ χρήματα πέφυκεν. ὁρᾷς τῆς ἀδικίας τὸ μέγεθος; μέχρι τελευτῆς ἔχω τὴν βλάβην. ἐγὼ δ' εἰς τοσοῦτον[73] ἤδη προσέρχομαι,[74] ὡς μηδὲ τῶν θεῶν αὐτῶν ἀπέχεσθαι· εἰ γὰρ αὐτοῖς ὁ πλοῦτος περισπούδαστον, καὶ διὰ τοῦτον εὐδαίμονες εἶναί τινες νομίζονται· πόσῳ μᾶλλον ἡμᾶς προσήκει δάκνεσθαι, καὶ μισεῖν, τοὺς κἂν πρὸς ὀλίγον βλάπτοντας;[75] πόσα τεμένη κατὰ τὴν πόλιν ὑπάρχειν οἴεσθε. ἢ πόσα τῶν θεῶν ἱερά; πολλά. ποῦ συντρέχουσιν[76] ἅπαντες ἐν νόσῳ; ποῦ δὲ μᾶλλον παρεῖναι τοὺς θεοὺς ὑπολαμβάνουσιν; ὅπου πλείονα καὶ τὰ ἀναθήματα βλέπουσιν. ἐν μὲν γὰρ τοῖς ἄλλοις οἴκοις, ἔνθα μηδέν ἐστιν ἰδεῖν πλούτου σύμβολον, οὐδένα τῶν θεῶν χρηματίζειν πειθόμεθα. ἔνθα δὲ πολλὰ τεκμήρια πλούτου, καὶ περίεργος ἐσθὴς, καὶ φιάλαι καὶ θυμιατήρια, καὶ χρυσῷ στίλβων ὄροφος· ἐκεῖ, κἂν ἀπῶσιν οἱ θεοὶ, ὡς πρὸς παρόντας εὐχόμεθα, καὶ φαινομένους, καὶ λαλεῖν δοκοῦντας. ἔστι μὲν γὰρ ὁ πλοῦτος καὶ ἄλλως καλόν· πολλὴν δὲ τοῖς κεκτημένοις αὐτὸν εὐδαιμονίαν χαρίζεται. Φέρε, εἰ γὰρ εἴησαν δύο[77] πρὸς ἀλλήλους ἔχοντες στρατηγοί τινες, ἢ ῥήτορες· καὶ ὁ μὲν ἄγαν ἦν πένης. ὁ δὲ πλούσιος· τίς ἀπῆλθε τὸ πλέον ἔχων; τίνι δὲ πλέονες μαρτυρεῖν ἐθέλουσι; ποῦ δὲ οἱ πάντες προστρέχουσι; τίνα δὲ μᾶλλον ἐπαινοῦσι λέγοντα; μετὰ τίνος δὲ τὸ δίκαιον φαίνεται; ὁ μὲν εὐκτήμων, νενίκηκε κρίσιν πολλάκις ἄδικον· ἀπῆλθε καὶ μετὰ τῆς καταδίκης[78] ὁ πένης

[71] εἰς ὕστερον in M.

[72] συναύξεσθαι W.

[73] τοσοῦτον] scil. ἀσεβείας καὶ μιαρίας, καὶ μανίας

[74] malim προέρχομαι.

[75] ὀλίγον τι βλάπτ. W.

[76] malim ποῦ δὲ συντρέχουσιν.

[77] post δύο deest δίκην, aut ἐχθρῶς aut simile quid.

[78] probo δίκης marginis M. et sic lego: ἀπῆλθε δὲ μετὰ τῆς δίκης ὁ πένης κατεγνωσμένος, ἂν τύχῃ. Saepe pauper, si ita contingat, abit cum iure, h. e. ius quidem habens potius, iure vincens, at iudicum tamen sententia absolutus. καταδίκης si seruetur inutilia sint

πένης, καὶ κατεγνωσμένος ἂν τύχῃ. τοσούτων τοίνυν ἐκ τοῦ πλούτου γινομένων τοῖς ἀνθρώποις καλῶν· ἐγὼ μετὰ τῶν χρημάτων καὶ τὴν παῤῥησίαν ἀπολάλεκα. ἀλλ' ὦ Δήλιε, καὶ Παιὰν καὶ Ἄπολλον·[79] ἤδη γὰρ καὶ κατὰ σοῦ λέγειν ἄρχομαι. τί Φιλοκερδῆ τῷ γένει[80] τὸν Ἀσκληπιὸν ἀπέφηνας;[81] οὐδὲν τοῦ πατρὸς μεμίμηται. σὺ μὲν γὰρ, εὔωνον τὴν μαντείαν ἔχεις· ὀβολοῦ πολλάκις τὸν χρησμὸν ἀντιδιδοὺς, καὶ τὰ ἐκ τῆς μαντείας ἀγαθά. τοῦτον[82] καὶ Φιλάνθρωπον εἶναί τινες[83] ὀνομάζουσιν, οἱ νόσου ἴσως μὴ πεπειραμένοι· ἀλλὰ μάτην γὰρ, ὡς ἔοικεν, ὀδύρομαι ταῦτα. ἵνα καὶ τὸν παρὰ τῶν ἱερέων ὀφλήσω γέλωτα, τούτου μὲ τὰ πάντα λυμηναμένου.[84] ὅθεν ἀφ' ἡμῶν[85] βαδιζέτω. ἀλλότριός ἐστι τοῦ γένους· κατ' οὐδὲν ἐμοὶ παραπλήσιος. οὐδὲν τῶν τοῦ πατρὸς μιμεῖται. ὃν ἀγαπῶ βίον, μεμίσηκε. μὴ γὰρ ἔγωγε νῦν σε ἀπείργω; ταύτην ἤνεγκεν Ἀσκληπιός σοι τὴν ψῆφον. ἐκεῖνός σε τῶν ἡμετέρων ἐκβέβληκεν· ἐκείνῳ δικάζου. ἐκεῖνον γράφου, μηδὲν καθ' ἡμῶν ἀγανάκτει. σοῦ, ὦ παῖ, πρῶτος ἐκβέβλημαι. πρῶτος ἠδίκημαι· βάδιζε τοίνυν[86] παρὰ τὸν Ἀσκληπιὸν, εἰ δοκεῖ. ἐκεῖνός σοι τοῦ λοιποῦ πατήρ· ὃν ἀγαπᾷς, τοῦτον ὅρα. οὐ λείψει σοι παρ' αὐτοῦ ποτὸς καὶ τροφὴ ἀσκή-

ſint et pro ſcholio habenda atque amputanda verba *καὶ κατεγνωσμένος ἂν τύχῃ* et tum prorſum abeſſet ſententia, in qua ſumma rei verſatur, *καί σοι τὸ δίκαιον μεθ' ἑαυτοῦ ἔχων.*

79 *δῆμε, καὶ* Παιὰν Ἄπ. W. et m. M.

80 *τῷ γένει*] id eſt *τῇ φύσει* vel *κατὰ τὸν ἔμφυτον καὶ συγγενῆ αὐτοῦ τρόπον.* ſed videtur potius *ἐναντίως* vel *ἀνομοίως* vel tale quid deeſſe. *haud conſentanee cum moribus patris.*

81 *ἔφηνας* m. M.

82 f. *τοῦτον δὲ Φιλάνθρωπον εἰκῆ τινες ὀνομάζουσιν* hunc autem, filium tuum, Aeſculapium, fruſtra ſunt, qui propitium humano generi appellitent.

83 *τινες* omittit m. M.

84 *τούτου μετὰ πάντα λυμηναμένου*] poteſt *τὰ πάντα* accipi aduerbialiter pro *παντελῶς.* malim tamen aut *μοι* in datiuo legi, aut ſic: *μετὰ τούτου μοι τὰ πάντα λυμηναμένων.* vt ad *ἱερέων* redeat.

85 *ἡμῶν* recte dat W. *a nobis* h. e. e noſtra domo. *ὑμῶν* M.

86 *τοιγαροῦν.* m. M.

ἀσκήσει σοὶ πολλῷ χρόνῳ τὸ τάλαντον.[87] εἰ δ' ἄμεινον διοικεῖν ἐπίσταται, ζητείτω καὶ τόκου χρήσας πλείονας ἵνα καὶ τὸ τάλαντον κατὰ χώραν μένῃ, καὶ ἡ ἀπὸ τοῦ τόκου ἐνυπάρχῃ τροφή.

[87] exercebit tibi talentum, h. e. magnus tibi referet eius vsuras diuturnitate vitae, et prosperitate valetudinis, quam ei debebis.

ΑΛΛΗ ΜΕΛΕΤΗ.

ΘΕΩΡΙΑ.

Ἔχων τὶς δύο παῖδας, πρὸς τὸν ἕτερον ἐχθρῶς[1] διέκειτο. ἀῤῥωστῶν ἐκέλευσε τῷ παιδὶ ἐν ταῖς διαθήκαις αὐτὸν μόνον ἐγγράφειν κληρονόμον. ὁ δὲ, καὶ τὸν ἀδελφὸν ἔγραψεν. ὑγιάνας ὁ πατὴρ, καὶ εὑρὼν καὶ τὸν ἕτερον ἐγγεγραμμένον, ἀποκηρύττει τὸν ἐγγράψαντα.

ΦΙΛΑΔΕΛΦΟΥ ΑΠΟΚΗΡΥΤΤΟΜΕΝΟΥ ἀπολογία.

ΑΛΛ' εἰ καὶ χαλεπὸς ἡμῖν πέφηνε μετὰ τὴν νόσον ὁ πατήρ· καὶ τοιοῦτος οἷος οὐκ ἄν ποτε ἤλπισα· διετέλει γὰρ, ὦ δικασταὶ, τὸν ἐμὸν ἐπαινῶν τρόπον· ὅμως οἶμαι δεῖν τοῖς θεοῖς ἔχειν χάριν, ὅτι διαπέφευγε μὲν τὸν κίνδυνον· πράττειν δὲ τὰ τῶν ὑγιαινόντων ἐστιν· ἤδη δύναται[2] καὶ δικαστήρια καθίζειν·[3] καὶ ἐγκαλεῖν οἷς ἂν ἐθέλῃ. 9

[1] ἐχθρωδῶς m. M.

[2] δύναται W. et m. M.

[3] δικαστήρια καθίζειν dicuntur alias magistratus, qui iudices sortiuntur et iudiciis praesident, eaque gubernant; hic

ἐθέλῃ. καὶ γὰρ εἰ κατ' ἐμοῦ πρώτου τοῖς ἀπὸ τῆς ὑγείας κέχρηται, καὶ παρακελεύεταί γε ὑμῖν τῇ ψήφῳ τῆς οἰκίας ἐκβαλεῖν. ζῆν γε[4] αὐτὸν ἔγωγε μᾶλλον ἂν ἠβουλόμην, ἢ τεθνεῶτος μηδὲν αὐτὸς τοιοῦτο παθεῖν. καὶ οὐ μόνον γε τὸν τῆς ἀποκηρύξεως φόβον μετριώτερον ἂν ἡγησάμην τῆς τοῦ πατρὸς τελευτῆς· ἀλλ' εἰ καὶ δυοῖν ἔδει συμβῆναι θάτερον, ἢ τοῦτον ἀπελθεῖν, ἢ ἐμέ· τό γε μὴ τοῦτον, προτιμότερον ἂν ἐθέμην. τοῖς θεοῖς δὲ, οἷς ἡνίκα οὗτος ἔκαμνεν ηὐχόμην λῦσαί τε τὸ παρὸν κακὸν, καὶ τῆς ἀῤῥωστίας ὡς τάχιστα ἀπαλλάξαι, τούτοις καὶ νῦν εὔχομαι, διαλλάξαι τέ μοι τὸν θυμούμενον, καὶ καταστῆσαι πρᾷον· καὶ δοῦναι ταύτην δευτέραν χάριν, τότε μὲν τὴν νόσον παύσαντας, ἐν δὲ τῷ δικαστηρίῳ τὴν ὀργὴν τοῦ πατρός. χάριν μὲν οὖν ἔχω καὶ τῶν ἐπιτηδείων τοῖς πολλοῖς, καὶ τῷ γένει[5] προσηκόντων οὐκ ὀλίγοις· οἳ ταῦτα αἰσθόμενοι, καὶ παρ' ἡμᾶς ἀφίκοντο· καὶ τὸν πατέρα πείθειν ἐπεχείρουν, μὴ χαλεπαίνειν τοῖς πεπραγμένοις, ὡς[6] συγγνώμην ἔχουσιν.[7] ἐπαινῶ δὲ καὶ ὑμᾶς, ὦ δικασταί, τῆς γνώμης, ἣν ἐσχήκατε, τῆς αἰτίας ἀκούοντες· εἰωθότων γὰρ ἐπιεικῶς τῶν δικαζόντων, ἐν τοῖς πρὸς τοὺς παῖδας τῶν πατέρων ἀγῶσι μετὰ τῶν διωκόντων γίγνεσθαι, κἂν μηδὲν ἐγκαλῶσι τί[8] δίκαιον. ὑμεῖς ἀκούοντες τῶν πρὸς τὸν ἀδελφόν μοι πεποιημένων, δῆλοι τοῖς προσώποις ἐγένεσθε. μήτε μεμφόμενοι τὸ ἔργον, ἕκαστός τε ταυτὸν ἂν πράξας ἐν ὁμοίοις καιροῖς πρὸς ἀδελφὸν ἑαυτοῦ. καὶ πολλά γε ὑμῖν ἀγαθὰ γένοιτο, χρηστοῖς τε οὖσιν οὕτω, καὶ τῶν ὅρκων οὓς ὀμωμοκότες κάθησθε,

hic vero etiam actor id facere dicitur, h. e. is, qui, accusando aliquem, in causa est, vt iudices coeant ad disceptandam eius causam. Declarat auctor ipse, quid velit illa subiungendo, καὶ ἐγκαλεῖν οἷς ἂν ἐθέλῃ.

4 ζῆν τε m. M.

5 malim καὶ τῶν γένει — cohaeret ille genitiuus cum προσηκόντων.

6 ὡς omittit W. et m. M.

7 ὡς συγγνώμην ἔχουσιν] id est συγγνωστοῖς, δυναμένοις εὑρίσκεσθαι συγγνώμην, vt intra veniam peccetis.

8 aut delendum est τι ex auctoritate marginis Mor. aut leg. est eius loco τισί.

θῆσθε, μηδὲν ἰσχυρότερον ποιουμένοις. δέομαι οὖν ὑμῶν φυλάξαι τε ἣν ἔχετε γνώμην, καὶ παραινέσαι τῷ πατρὶ μηδὲν ἠδικεῖσθαι νομίζειν, εἰ πατὴρ ἐστὶ παιδὸς εἰδότος τὸν ἀδελφὸν ἐλεεῖν. καὶ γὰρ εἰ μὴ τοῖς τῶν ἄλλων ἐβουλήθη συγχωρῆσαι λόγοις, πολλοῖς τε οὖσι, καὶ μετὰ δεήσεων γιγνομένοις· ἀλλ' οὐ τά γε ὑμῖν ἀρέσκοντα δύναιτ' ἂν ἀτιμάσαι. τὸ μὲν οὖν προσῆκον ἦν, ἑορτὴν ἄγειν ἡμᾶς νῦν ἐπὶ τῷ τοῦτον διαπεφευγέναι τὴν νόσον· καὶ θύειν μὲν σωτῆρι θεοῖς· ἑστιᾶν δὲ καὶ τοὺς οἰκείους· τὰ δὲ πρὸς τοὺς ἔνδον δυσχερῆ, πάντα ἀνῃρηκέναι· καὶ τὴν περὶ τὸ σῶμα τύχην τούτῳ τιμᾶν. ἐπεὶ δὲ οὐκ ἔφθη ῥαΐσας ὁ πατὴρ, καὶ τὴν πρώτην οἴκοθεν ἔξοδον ἐπ' ἐμὲ πεποίηται, καὶ τῆς ἐπ' αὐτῷ λύπης ἄρτι πεπαυμένης ἡμῖν, ἑτέρας λύπης ἀφορμὴν ἀντεισάγει τοῖς οἴκοι, τῷ ἐμὲ ζητεῖν ἀλλότριον αὐτοῦ τε κἀκείνων ἀποφῆναι. τί λοιπὸν, πλὴν ὑμᾶς ἐμοὶ γενέσθαι βοηθοὺς, ὁρῶντας ὅτι τῷ μὲν πατρὶ πολλοὶ τῶν δεινῶν πάρεισιν εἰπεῖν, δοῦναι δυναμένῳ, λαβεῖν ἐπιθυμοῦντες· ἐγὼ δὲ αὐτός τε ἄπειρός εἰμι πραγμάτων, καὶ δικῶν, καὶ τὸν συνεροῦντα οὐκ ἔχω· χρημάτων τε ἀπορῶν· καὶ οὐδενί πω τοιοῦτον προεισενεγκών. ἔτι δὲ ὃς μόνος εἰκότως ἂν καὶ συνεξήταζέ[9] μοι, καὶ συνικέτευεν ἀδελφὸς, τὰ μὲν, αἰσχυνόμενος· τὰ δὲ φοβούμενος. οὐδὲ εἰσελθεῖν δεῦρο τετόλμηκεν, ἐνθυμούμενος πρὸς τοῖς ἄλλοις, ὅτι μοι τηλικούτων αἰτία γέγονε κακῶν, ἡ πρὸς αὐτὸν εὔνοια. ἐγὼ μὲν οὖν ἐβουλόμην σεσιγῆσθαι πάντα τὰ πεπραγμένα πρὸς ἀλλήλους ἡμῖν ἐν τῷ τελευταίῳ χρόνῳ. καὶ γὰρ εἰ φιλοτιμίαν μοι τινὰ φέρει τὰ περὶ[10] τὰς διαθήκας, ἐφ' αἷς ἐλαύνομαι τήμερον· ἀλλ' ἥγε περὶ τὸν ἀδελφὸν δυσχέρεια, καὶ τὸ χαλεπῶς πρὸς αὐτὸν διατεθῆναι πατέρα, καὶ ὅσα τούτου τοῦ μέρους, κέρδος ἂν ἦν ἡμῖν τοὺς πολλοὺς λανθάνοντα. τοῦ πατρὸς δὲ καὶ τῆς κατηγορίας οὐκ ἐώσης αὐ-

τὰ

9 malim συνεξητάζετο in passiuo. operam dedisset vt praesto mihi esset, caussamque participaret.

10 παρὰ m. M.

τὰ σιγᾶσθαι, πειράσομαι μὲν αὐτῶν μνησθῆναι διὰ βραχέων. ἔστω δέ μοι καὶ τούτων αὐτῶν τῶν βραχέων ἠναγκασμένα συγγνώμη. Ἐγενόμεθα τούτῳ δύο παῖδες· ἐγώ τε ὁ νῦν φεύγων,[11] ὦ δικασταὶ, καὶ ὁ δυστυχὴς ἀδελφός· πρεσβύτερος μὲν ἐγὼ, νεώτερος δὲ ἐκεῖνος· ἐνιαυτὸς ἐν μέσῳ τῆς γενέσεως ἀμφοτέρων· ὥσθ' ἡμῖν, ὥσπερανεὶ διδύμοις, κοινωνῆσαι συνέβη καὶ τροφῆς, καὶ παιδείας, καὶ σπουδαίων, καὶ τερπνῶν, καὶ τῶν ἔνδον. καὶ τῶν ἔξω, πάντων ἁπλῶς καὶ μικρῶν καὶ μειζόνων. Φοιτῶντες δὲ εἰς τὰς παλαίστρας, καὶ τὰ διδασκαλεῖα μετ' αἰδοῦς τε καὶ εὐταξίας, ἣ τοῖς εὖ γεγονόσι προσήκει, ἐπηνούμεθα μὲν αὐτοί· μακαρίζεσθαι δὲ τῷ πατρὶ παρὰ τῶν ἐν τῇ πόλει παρείχομεν. ὥσθ' ὑπῆρχεν αὐτῷ γεγηθέναι τὲ, καὶ μετ' εὐθυμίας διάγειν. καὶ ταῦτα οὐ ψεύδομαι, ὦ πάτερ· οἶδα γὰρ ὡς ἡδόμενος εἴης ὁπότε σε παραπέμποιμεν εἰς ἱερὰ ταῖς νουμηνίαις, ὁ μὲν ἔνθεν, ὁ δὲ ἔνθεν βαδίζων· ὅτε σοι καὶ τὸ πλεῖστον τῆς εὐχῆς ἦν, τὼ παῖδέ σοι τῆς οὐσίας κληρονόμω γενέσθαι· καὶ μηδένα δαίμονα μηδὲ φθόνον κινῆσαί τι τῶν παρόντων ἀγαθῶν. ἀλλὰ σὺ μὲν ταῦτα ᾔτεις. χαλεπὸν δὲ ἄρα ἦν νικῆσαι τοὺς βασκάνους. οὕτω γὰρ τῶν πραγμάτων προϊόντων, καὶ δοκούντων ἡμᾶς εὖ πράττειν, πλημμελεῖ μέν τι καὶ οὑμὸς ἀδελφός· δεῖ γὰρ τά γε ἀληθῆ λέγειν· καὶ μικρόν τι τῆς ἔμπροσθεν ἐκφέρεται τάξεως. τοῦτο δὲ ἁρπάσας ἄνθρωπός τις. φάσκων εὔνους εἶναι τῷ πατρὶ, προσελθὼν,[12] καὶ στενάξας, ὡς δὴ συναχθόμενος, κατηγορῶν ἀπόντος τοῦ νέου· μεγαλύνων τὸ σμικρόν. καὶ τοῦτο αἴρων τῷ λόγῳ, φάσκων αἰσχύνεσθαι τοῖς ἡμετέροις κακοῖς. ἄγριον ἐποίησεν ἄνθρωπον οὐ τοιοῦτον· καὶ ἧκεν[13] εὐθὺς ἐχθρὸς τοῦ παιδός. τῷ δὲ οὐκ ἦν, οὐ στῆναι πλησίον· οὐκ εἰπεῖν τὶ πρὸς τοῦτον· οὐκ ἀκοῦσαί τι λέγοντος·

[11] τ' ὢν ὁ φ. m. M.

[12] προσελθὼν] scil. ἐπὶ τῆς ἀγορᾶς. vt e sequentibus patet.

[13] ἧκεν] pater puta domum e foro, vbi a calumniatore aduersus fratrem meum exacerbatus fuerat.

τος· οὐ κοινωνῆσαι τραπέζης. καὶ πολλή γε τῷ πατρὶ χάρις, ὅτι μὴ καὶ τό τε πρὸς ἀποκήρυξιν ὥρμησεν. οὕτως[14] ὁ χρηστὸς ἄνθρωπος ἐκεῖνος οὐκ ἀνίει τὴν ὀργὴν ἀκονῶν. καὶ ἔμελλε δὴ καὶ ἐπ' ἐμὲ πορεύεσθαι τὸ πρῶτον[15] ἐξεργασάμενος. οὔπω δὲ διαβεβλημένος ἐγὼ, πεσὼν εἰς τοὔδαφος, ἐδεόμην τοῦ πατρὸς μὴ πονηρὸν οὕτω νομίζειν τὸν υἱόν· μηδὲ τὴν τῶν συκοφαντούντων κακοήθειαν, πιστοτέραν ποιεῖσθαι τῆς ἀληθείας. αὐτὸς γοῦν ἔφην, ὁ συνὼν ἐγὼ, καὶ συνεζευγμένος, καὶ πάντα εἰδὼς, ἐπιτιμᾶν μὲν αὐτῷ τοσαύτην δὲ οὐ συνειδέναι κακίαν. καὶ ἅμα ἠξίουν τοὺς διαβάλλοντας εἰς μέσον ἐλθεῖν· καὶ μὴ φεύγειν τὸν ἔλεγχον, μηδὲ ἐξ ἀφανῶν βάλλειν. τούτοις καὶ τοιούτοις λόγοις ἐμοῦ χρωμένου, καὶ τοῦ πατρὸς ἴσως ἂν ἐνδόντος, ἐμπίπτει ποθεν ἐκεῖνο τὸ τῆς νῦν αἴτιον ἀποκηρύξεως νόσημα. καὶ ἦμεν ἐν δάκρυσιν ἅπαντες· ἡ μήτηρ, ὁ τότε ἐγὼ φιλούμενος, ὁ προσκεκρουκὼς ἀδελφός. ὃ μέγιστον ἦν τῆς συμφορᾶς, τὸ μὴ ἔχειν εἰσελθεῖν παρὰ τὸν κάμνοντα, μηδὲ θίγειν ἐγγύθεν, μηδὲ ταῖς χερσὶ θεραπεῦσαι τὸ σῶμα. τῆς νόσου δὲ φοβούσης, ἐδόκει γε δεῖν[16] τῷ πατρὶ διαθήκας ποιεῖσθαι· καὶ καλέσας με, καὶ παρακαθισάμενος· καὶ τοὺς ἄλλους ἀπελθεῖν κελεύσας, ἐγὼ σέ φησιν ἄξιον εἶναι νομίζω μόνον τῶν ἐμῶν κληρονομεῖν· καί τοι πρότερόν γε οὐχ οὕτως ἐγνώκειν· ἀλλ' ὥσπερ εἶναί μοι δύο παῖδας, οὕτω δύο γενέσθαι καὶ[17] τὴν οὐσίαν μέρη· νῦν δὲ ὁ σὸς ἀδελφὸς κωλύει ταῦτα οὕτω γενέσθαι· μὴ πάντα τὰ

σὰ

14 οὕτως] hoc vult dicere: gratiam patri debemus, quod iam tum temporis ad abdicationem mei animum non adiecerit, neque prorſus ſe vinci et duci ab illo caluminatore paſſus fuerit. Nam per illum certe calumniatorem haud ſtabat, quo minus iam tum id fieret, quod nunc factum eſt. Adeo ſtudebat ille calumniator animum patris aduerſus nos exulcerare.

15 recte W. τὸ πρῶτον dat. ſubauditur ἔργον aut στρατήγημα. τοπρῶτον M.

16 δεῖν] ſic W. δὴ M.

17 ἴσ· κατὰ m. M.

σαὶ μιμούμενος, ἀλλὰ διδοὺς τισὶν ἀφορμὰς τῶν καθ' ἑαυτοῦ λόγων. ταῦτα, ἔφη, δέδοκται. ταῦτα γράφε. ἐγὼ δὲ, ὦ δικασταὶ, ταῦτα ἀκούσας, καὶ δακρύων ἐμπλήσας τὸ γραμματεῖον,[18] πῶς ἂν ὑμῖν εἴποιμι τὸ πεπραγμένον; πῶς οὐκ ἐδυνήθην πεισθῆναι μὴ εἶναί μου τὸν ἀδελφὸν, ἀδελφόν. ἀλλ' εἰδὼς αὐτὸν ἐκ τῆς αὐτῆς ὄντα μοι μητρὸς, καὶ ταὐτοῦ πατρὸς, καὶ παντὸς τοῦ περὶ ταῦτα δικαίου καταχόντος μου τήν τε γνώμην καὶ τὴν δεξιάν. ἐνέγραψα ταῦτα. ἅπερ ἂν καὶ ὁ πατὴρ, εἰ πρὸ τῆς ὀργῆς διαθήκας ἔγραφε. τούτων δὲ γεγενημένων, ἔδραμον εὐθὺς ἐπὶ τοὺς νεώς. εἵπετο δὲ καὶ ὁ δυστυχὴς ἀδελφός· καὶ παρὰ[19] τοῖς τῶν θεῶν προσκείμενος ἕδεσιν, ᾔτουν ὑγιᾶναι τοῦτον ἡμῖν· ὅπως ἂν τῶν ἄλλων ἀγαθῶν ἐμέ τε ἐπαινέσῃ, καὶ πρὸς τοῦτον[20] διαλλαγῇ· καὶ τῆς ὑστεραίας ἠκούομεν τῶν ἰατρῶν τὰ βελτίω λεγόντων· καὶ τὸ ὕπεισιν ἐλπίδες· εἶτα ὡς νενίκηται τοῦ κακοῦ τὸ πλέον· εἶτα, ὡς ἅπαν· καλεῖ δή με καὶ πάλιν· καὶ τὰς διαθήκας κελεύει φέρειν. ἀναγνοὺς δὲ, καὶ συγγενόμενος ἀνθρώποις, οἷς διϊστάναι τὰς συγγενείας ἡδὺ, μιαρὸν, καὶ πονηρὸν, καὶ θεοῖς ἐχθρὸν, καὶ τὰ τοιαῦτα ὠνόμαζε· καὶ ἔγω γε, φησὶν, ἐξελῶ καὶ ἀποκηρύξω. καὶ ᾤμην εἶναι τὰ τοιαῦτα λόγον. μὴ γὰρ ἄν ποτε γράμμα οὕτω καλὸν, ἄξιον νομίσαι δίκης. ὁ δὲ, ἔμελλεν ἄρα τοῖς παροξύνουσι καὶ τοὔργον αὐτὸ χαριεῖσθαι. καὶ νῦν ἠκούετε κατηγοροῦντος αὐτοῦ. νόμος γάρ μοι δέδωκεν ἀποκηρύττειν, φησίν. οἶδα, καὶ ἐπαινῶ γε τὸν νόμον, βοηθοῦντα τοῖς πατράσιν ἀδικουμένοις· οἳ δικαίως ἂν

18 ſic legi et diſtingui velim: *τὸ γραμματεῖον·* (*πῶς ἂν ὑμῖν εἴποιμι τὸ πεπραγμένον; πῶς;*) [ſcil. *εἴποιμι τοῦτο*] *οὐκ ἠδυνήθην* — ego vero — *non poteram perſuaderi* — (haec enim inter ſe cohaerent.) (*quomodo ad vos rem geſtam praedicem? quomodo tandem?*) non poteram perſuaderi, mihi fratrem non eſſe eum, qui a natura mihi datus eſſet frater.

19 *παρὰ* videtur delendum eſſe aut potius loco huius *παρὰ* leg. eſſe *πατέρα* et loco pronominis *τοῦτον* paulo poſt aduerbium *πάλιν*.

20 *ἐκεῖνον* m. M.

ἂν μετὰ τοὺς θεοὺς ὑπὸ τῶν παίδων τιμῶντο. ἃ τοίνυν πεπόνηταί μοι περὶ αὐτὸν, παρὰ πάντα τὸν χρόνον, τί δεῖ καθ' ἕκαστον λέγοντα ἐνοχλεῖν, ἀρκούσης εἰς μαρτυρίαν τοῦ μοῦ τρόπου τῆς διαθήκης τοῦ πατρός; οὐ γὰρ ἂν εἰ μὴ καὶ φιλοπάτορα, καὶ παιδείας ἐπιθυμητὴν, καὶ κρείττονα ἡδονῶν, καὶ πρεσβυτέρους αἰδούμενον, καὶ πρᾶον, καὶ φιλόπονον, καὶ ἴσον ἀπέχοντα τοῦ τε ἀναλίσκειν, καὶ τοῦ κερδαίνειν κακῶς· εἰ μὴ ταῦτά γε[21] συνῄδει, καὶ τἄλλα πάντα ἁπλῶς, ἃ τῶν ἀγαθῶν ἐστιν, οὐκ ἂν ὅλης τῆς οὐσίας ἐποίει κύριον· ἀλλ' ὅμως ὃν οὐδέ ποτε ἐμέμψατο, νῦν ἀποκηρύττει λέγειν ἔχων οὐδὲν τοιοῦτον, οἷά τινες ἤδη λέγοντες, ἔδοξαν εἰκότως ἀγανακτεῖν. ἐγὼ γὰρ ἤδη τινὰ τοῦτο πεπονθότα ἰδὼν, ἠρόμην τινὰ τῶν πλησίον, ὅ, τι ἁμάρτοι. ὁ δὲ, ἑταίραν, ἔφη, τρέφειν,[22] τοῦ πατρὸς καταφρονῶν. ἑτέρου ταυτὸ πεπονθότος, πάλιν ἠρόμην. καί τις εἶπεν, οἶνον πολὺν εἶναι τὴν πρόφασιν. ὁ δέ τις εἰσελθὼν ἐβόησεν, ἄνδρες δικασταὶ, ἐν ὄρνισι,[23] καὶ κύβοις ὁ παῖς μου διατρίβει, τῶν σπουδαίων πράξεων ὀλιγωρῶν. καὶ ἔστι χαλεπὸς τοῖς ἡλικιώταις, καὶ παίει τοὺς ἐντυγχάνοντας. ἐγένετο καὶ πρὸς ἀδελφὸν μῖσος, ἀποκηρύξεως αἴτιον. καί τις ἐξέβαλεν υἱὸν, αἰσθόμενος ὡς ἥδιστα ἂν ἴδοι[24] τεθνεῶτα τὸν ἀδελφόν; τί οὖν ἀδικῶ τούτων;[25] ἢ τί τούτοις παραπλήσιον; τούτων μὲν οὐδέν, φησιν. ἕτερα δὲ ἐμοῦ βουλομένου, σὺ γέγραφας ἕτερα· καὶ δύο ἐποίησας ἀνθ' ἑνὸς κληρονόμους, σαυτόν τε καὶ τὸν ἀδελφόν. ἀδελφὸν

[21] ταῦτά τε m. M.

[22] f. τρέφει in indicatiuo; nam alias haec absurda existeret sententia: ille senex, a me interrogatus, respondebat, sese meretricem alere, contempto patre suo. nam alia nulla potest e graecis, vt vulgata sunt, extundi, aut, si existimes, designari illum alterum, de quo agitur, et αὐτὸν subaudiri, tum καταφρονοῦντα in accusatiuo sit leg.

[23] ὄρεσι M. μοι W. et m. M.

[24] ἤδη m. M.

[25] τοῦτον W.

φὸν λέγεις· καὶ τί θαυμαστόν; τοὐναντίον γὰρ ἔδει θαυμάζειν· εἰ κύριος ἐγὼ τῶν γραμμάτων καταστὰς, πονηρὸς εἰς ἐκεῖνον, ἐν οἷς ἔγραφον, ἐγιγνόμην. εἰ μὲν οὖν ἔχεις, ὦ πάτερ, ἐπιδεῖξαί με τῇ πρὸς σὲ δυσμενείᾳ τοῦτο πεποιηκότα, λάμβανε δίκην· μὴ τὴν νυνὶ ταύτην· μικρὰ γάρ· ἀλλὰ ἀπόκτεινον. εἰ δ' οὐκ ἂν ἔχοις κακίσαι τὴν γνώμην, οὐδὲ εἰπεῖν ὅτι ταῦτα πολεμῶν ἐμοὶ πεποίηκε,[26] πῶς διαβάλλεις ἔργον, οὗ μέμψασθαι τὴν αἰτίαν οὐκ ἔχεις; καὶ ἐν τοῖς φονικοῖς[27] νόμοις οὕτω κρίνεται τὰ πραττόμενα. οὐ δυοῖν ἀνδροφόνοιν, ὁ μὲν φυγὼν, καὶ[28] κατέρχεται. ὁ δὲ φεύγει καθάπαξ, αὑτοῦ καταγνούς· ἢ μὴ τοῦτο ποιήσας, ἀποθνήσκει μένων; τί τούτων αἴτιον; ἆρ' ὅτι μᾶλλον οὗτος, ἢ ἐκεῖνος ἀπέκτονεν; οὔ. οὐκ ἔστι γὰρ ἧττον ἢ μᾶλλον ἀποθανεῖν. ἀλλ' ὅτι τῷ μὲν ἐκ προνοίας ἐτολμήθη τὸ ἔργον. τῷ δὲ οὐ βουλομένῳ,[29] ἀτυχῆσαι συνέβη. διὰ τοῦτο, τὸν μὲν ὁ νόμος μισεῖν, τὸν δὲ ἐλεεῖ[30] κἂν ἀμύνηται, φησὶν, ἐξέστω· κἂν ἐν μάχῃ νομίσας[31] τὸν οἰκεῖον πολέμιον κτείνῃ, μὴ ἔστω δίκη. τοσοῦτον ἐν τοῖς ἔργοις ἡ γνώμη δύναται. καὶ πρὸς αὐτὴν εἰώθαμεν βλέποντες, τὸ πεπραγμένον ἢ χρηστὸν, ἢ πονηρὸν ἡγεῖσθαι. κατὰ τοίνυν, ὦ πάτερ, τὸ δίκαιον, καὶ νῦν ἐμοὶ δίκασον. ἐγὼ ταῦτα ἔγραφον ἐφ' ὕβρει τῶν σοὶ δοκούντων, καὶ κρείττων εἶναι βουλόμενος τοῦ πατρὸς, σὲ δὲ ἀσθενέστερον τῶν ἀρεσκόντων ἐμοί; ταῦτ' ἔλεγες ἀεὶ περὶ ἐμοῦ πρὸς τοὺς δημότας; ταῦτα πρὸς τοὺς φυλέτας;[32] ταῦτα πρὸς τοὺς πολίτας; ταῦτα πρὸς τοὺς ξένους; οὐ τὸν ἐπιεικῆ καὶ πρᾶον; οὐ τὸν αἰδοῦς γέμοντα; οὐ τὸν τῆς μητρὸς κατήκοον; οὐ τὸν τοῦ πατρὸς; οὐ τὸν τῶν παιδαγωγῶν; ἐξαίφνης οὖν ἐγὼ περὶ σὲ κακὸς, καὶ λυπεῖν ᾑρούμην, οὐ προλελυπημένος; ὃς οὐδὲ προλυπηθεὶς, ἀντιλυπεῖν ἐβουλόμην; εἰ μὲν μανεὶς,

26 ἴσ. σοι πεποίηκα, m. M.
27 ἔργοις m. M.
28 καὶ omittit. W. et m. M.
29 τὸν δὲ οὐ βουλόμενον m. M.
30 αἰδεῖται m. M.
31 νικήσας W. et m. M.
32 φιλτάτας; W. et m. M.

μανεὶς, πῶς ἀπαιτοῦμαι[33] δίκην; εἰ δὲ σωφρονῶν, οὐ σωφρονοῦντος τὰ τοιαῦτα. ἀλλὰ τί δὴ παθὼν οὐκ ἐν οἷς ἐκέλευες ἔμενον, οὐδὲ μόνος ἠξίουν κληρονομεῖν. ᾤκτειρα, ὦ πάτερ, δυστυχοῦντα τὸν ἀδελφόν· οὐ γὰρ ὀκνήσω γε τἀληθῆ πολλάκις εἰπεῖν· καὶ οὐχ οἷός τε ἐγενόμην τῆς διαθήκης ἐκβαλεῖν. ἀλλ' ὥσπερ ἀκούειν ἡγούμην τῆς φύσεως βοώσης, ἔγγραφε[34] καὶ τὸν ἀπὸ τῶν αὐτῶν σοι γονέων. ὥσθ' ἡ μὲν χεὶρ, ἐμὴ, πάτερ· ἡ δὲ ἀνάγκη τῆς δαίμονος· ἧς τοὺς νόμους οἱ μὲν χρηστοὶ τηροῦσιν· οἱ δὲ χείρους παραβαίνουσιν. ἐμοὶ δὲ ἡ τῶν νόμων ἐκείνων αἰδὼς συνηυξήθη· δι' οὓς εἴ τις σοι τῶν πολεμίων ἐπίῃ, δέξομαι ῥαδίως ὑπὲρ σοῦ τὴν πληγήν. τῶν αὐτῶν δ' ἂν καὶ ἡ μήτηρ τυγχάνοι. ἆρ' ἄν μοι δώσεις καὶ τρίτον εἰπεῖν, ὡς καὶ τὸν ἀδελφὸν τοῦτον αὐτὸν ῥυόμενος πέσοιμ' ἂν ἡδέως; οὐ γὰρ ὀνόματα ἁπλῶς ἡγοῦμαι τὰς προσηγορίας ταύτας, τὸν πατέρα, καὶ τὴν μητέρα, καὶ τὸν παῖδα, καὶ τὸν ἀδελφόν. ἀλλ' ἐν ἑκάστῳ τούτων, τοῦ στέργειν ἀλλήλους ἀνάγκην τινὰ ἐγκεῖσθαι. ἠλέουν τὸν ἀδελφὸν, καὶ πρὸ τῶν διαθηκῶν· ἠλέησα καὶ ἐν τῷ καιρῷ τῶν διαθηκῶν, εἰ μήτε[35] αὐτῷ ἡ νόσος τὰς διαλλαγὰς ἔπραξεν. εἶδον ἀποστερούμενον, οὐ τοῦ ἡμικληρίου μόνον, ἀλλὰ καὶ τῆς ἐπιτιμίας αὐτῆς. εἰ γὰρ σὺ μὲν ἐτεθνήκεις, ὁ δὲ μετεῖχε μηδενὸς, αἱ διαθῆκαι δὲ ἀνεγινώσκοντο, τὰ γράμματα δὲ οὐκ εἶχεν[36] τὸν ἀδελφὸν, τίς ἂν ἦν ὁ λοιπὸς αὐτῷ βίος; πρὸς τίνα ἂν ἀντέβλεψεν, ἢ νέων, ἢ πρεσβυτέρων; ἐπὶ ποίου δ' ἂν ἐφάνη βήματος; τίνα δ' ἂν εἶπεν ἐν τῷ δήμῳ λόγον; πῶς δ' ἂν ἠξίου τῶν κοινωνῶν[37] ἔχειν τὸ ἴσον, ἐπὶ τῶν πατρῴων τοῦτο οὐκ ἐσχηκώς; πρεσβείαν δ' ἂν τίς ἐνεχείρισε;

[33] ἀπαιτῶμαι W.

[34] ἔγγραφε] sic recte W. *inscribe tabulis fratrem quoque.* ἔγραφε M.

[35] μήτε] sic et W. sed leg. est μηδὲ ne moribus quidem patris.

[36] εἶχον W.

[37] lege τῶν κοινῶν, quibus opponantur τὰ πατρῷα paulo post.

ρισε; στρατηγὸν δ' ἂν τίς ἐχειροτόνησεν; ἐκ τίνων δ' ἂν ἔγημε; παισὶ δ' ἂν αὐτοῦ πῶς ἐπετίμησε; ταῦτα πάντα, ὦ πάτερ, ἐξ ἑνὸς ἐκείνου, τῶν διαθηκῶν ἐφύετο. καὶ οὐκ ἦν, ὡς ᾤου, στέρησις χρημάτων μόνον, ἀλλὰ καὶ τῆς παῤῥησίας· τοῦτο αὐτὸ τὴν γλῶτταν ἀπέτεμνε. τοῦτο, τὸ στόμα ἐνέφραττε· τοῦτο τῆς πατρίδος ἐξέβαλλε. ταῦτα ὁμοῦ με πάντα εἰσῆλθε· ταῦτα τὸν ἔλεον ἤθροισεν. ὑπὸ τούτων ἡγοῦ σοι τὴν διαθήκην γεγράφθαι. τοὺς δὲ τοιούτους ἀνθρώπους, σώζοιτ' ἂν ὑμεῖς εἰκότως, ὦ δικασταί, μᾶλλον, ἢ ἀπολλύοιτε. νομίζοντες τὸν μὲν περὶ τοὺς αὐτοῦ χρηστὸν, ἴσως ἂν καὶ περὶ τοὺς ἄλλους γενέσθαι· τὸν δὲ εἰς ἐκείνους ὠμὸν, κοινὸν ἁπάντων ἐχθρὸν εἶναι. ἀλλ' ἐγὼ τὸν ἀδελφὸν οὐκ ἐλεήσας, πολίτην ἂν ἠλέουν; εἰ δὲ μὴ πολίτην, μέτοικον; εἰ δὲ μὴ μέτοικον, ξένον· εἰ δὲ μὴ τοὺς παρ' ἡμῖν, τῶν ἄλλων τινὰς[38] Ἑλλήνων; εἰ δὲ μὴ Ἕλληνα, βάρβαρον ἄν; ὁ δὲ μηδένα ἀνθρώπων, δικαίως ἂν κατορύττοιτο ζῶν. οὐχ ἑώρακας ἐν πολέμοις, ὦ πάτερ, τοὺς δι' ὅπλων ἐλθόντας ὑπὸ τῶν κεκρατηκότων θαπτομένους πολλάκις; διὰ τί; ὅτι μετὰ τὴν μάχην ὁ πράξας κακῶς ἐλεεῖται. πολεμίων οὖν ἐλεουμένων, αὐτὸς ἂν ἦν εἰς ἀδελφὸν ἀνελέητος; πατὴρ ἦν ὁ χαλεπαίνων· ἀλλ' ὁ τῆς ὀργῆς πειρώμενος, ἀδελφός. ὁ μὲν, ζημιῶν· αὐτὸς[39] δὲ κολαζόμενος. ὁ τοίνυν οἶκτος ἐκεῖνος, ἐμὲ καθεῖλκεν ἐπὶ τὸ πονοῦν. ὥσπερ γὰρ εἰ κίνδυνός τις ἀμφοῖν ἐπήρτητο, καὶ βοηθεῖν ἀμφοτέροις μὲν οὐκ ἐνῆν, θατέρῳ δὲ, τὸν πατέρα σώζειν ἐνίκα ἄν· οὕτω νῦν τοῦδε μὲν ἀγριαίνοντος, ἐκείνου δὲ ὄντος ἐν συμφοραῖς, τὸ πιεζόμενον παρεκάλει τὴν ῥοπήν. ἀναμιμνήσκου δὲ, ὦ πάτερ, ὡς παῖδες ὄντες κομιδῇ, καὶ τὰ τῶν τηλικούτων ἁμαρτάνοντες, ὁπότε ἀπειλήσαις, κατεφεύγομεν ἐπὶ τὴν μητέρα· ἡ δὲ, ἐδέχετό τε, καὶ ἐπεκούρει, καὶ ἐδεῖτο μὴ τύπτειν· καὶ συγγνώμην εἶχες. τοιοῦτο δή τι καὶ τὸ νῦν· σὺ μὲν ἠγανάκτεις· τῷ δ' ἦν ὁ κίν-

38 malim τινα.
39 ἔτος m. M.

κίνδυνος μέγας· ἐγὼ δὲ ἐβοήθουν ἀδελφὸς ὤν· σύγγνωθι δὴ καὶ νῦν. εἰ μὲν γὰρ ἐνῆν ὁμοῦ καὶ μεταδοῦναι τοῦ κλήρου, καὶ μή, καὶ τὸν αὐτὸν γεγράφθαι τε καὶ μὴ γεγράφθαι κληρονόμον, ὥστ' ἐξεῖναι[40] σοί τε χαρίζεσθαι, κἀκεῖνον προσίεσθαι,[41] πάντων ἐγὼ θρασύτατος, τοῦ μὲν φροντίσας, τὸν δὲ[42] παριδών. εἰ δ' αἵρεσις ἦν, ἢ τοῖς σοῖς προσέχει ῥήμασιν, ἢ τὴν τοῦ διαβεβλημένου θεραπεῦσαι τύχην· εἰκός τί με νόμιζε πεπονθέναι, πρὸς ἐκείνην ἀποκλίναντα· καὶ τῇ φύσει τοῦ πράγματος, μὴ τῷ παιδὶ προστίθει τὴν αἰτίαν. οὐ τοίνυν ἐστὶν εἰπεῖν ὡς ἓν τοῦτ' ἦν ἐν τῷ τότε γενομένῳ, μόνον, τὸ τὸν ἀδελφὸν ἐλέου τυχεῖν· ἄλλο δὲ οὐδέν. ἀλλ' ἦν ἕτερον, ὦ δικασταί, μέγα. τί τοῦτο; τὸ καὶ τὸν πατέρα μοι τὴν χείρω δόξαν διαφυγεῖν. ἐνενόουν γὰρ τοὺς ἐσομένους λόγους· ἑώρων τὰς αἰτίας, ἃς ᾐτιῶντ' ἂν τῶν πατέρων οἱ ἐπιεικέστεροι· ἰού, ἰοὺ τῆς χαλεπότητος· οὐδ' ἡ τελευτὴ προσιέναι δοκοῦσα, τὴν ὀργὴν ἐπραΰνεν· ἀλλ' ᾤηθη δεῖν αὐτὴν καὶ κάτω φέρων ἐλθεῖν. ταῦτα ᾔδειν ἕξοντα·[43] καὶ ὡς κατηρᾶτ' ἂν ὁ παριὼν τὸν τάφον. ταῦθ' ὅπως μὴ γένοιτο προὐνοούμην. διὰ τοῦθ', ὅπερ οὐκ[44] ἐξῆν ὕστερον, δωρε-

[40] idem eſt, ac ſi dixiſſet ὥστε δύνασθαί ἐμε, adeo vt in poteſtate mea eſſet σοί σε χαρίζεσθαι et tibi gratificari, h. e. fratrem ab hereditate excludere; κἀκεῖνον προσίεσθαι, ſcil. πρὸς τὸν κλῆρον et illum, fratrem puta, ad hereditatem admittere.

[41] χαρίσασθαι, κἀκ. μὴ προΐεσθαι m. M.

[42] τοδὲ m. M.

[43] ἕξοντα] ſcil. τὸν πατέρα. ſciebam, patrem haec habiturum, id eſt hoc veluti verbera contumeliae ablaturum, vt dicunt. hoc habe, hoc tibi habe; id eſt, habes plagam, quam meritus eras. *da haſt das es.* poſſit quoque legi ἥξοντα haec probra ipſi, vel ad ipſum, eſſe ventura.

[44] οὐκ abeſt cum a W. tum a latina Morelli interpretatione, et, vt videtur, recte quidem. idem eſt ac ſi dixiſſet ὅ μοι ἐξῆν μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ποιεῖν, δηλονότι δωρεὰν διδόναι παρ' ἐμοῦ τὸ τοῦ κλήρου μέρος τῷ ἀδελφῷ, τοῦτο ἐπεμελέμην, ὅπως ἔσοιτο δῶρον τῶν διαθηκῶν, ἀμφοτέροις ἡμῖν, τουτέστι καὶ ἐμοὶ καὶ τῷ ἀδελφῷ, λυσιτε-

δωρεὰν διδόναι, τῶν διαθηκῶν ἐποίουν, εὑρίσκων τοῦτὶ λυσιτελοῦν. τί οὖν ἠδίκουν ἐκ τῶν αὑτῶν ἀδελφῷ καὶ πατρὶ βοηθῶν; ἄξιος γὰρ ἦν, φησι, ταύτην δοῦναι τὴν δίκην. καὶ εἶπεν ἐν ἡμῖν τὸ ἁμάρτημα τοῦ νέου. ἐγὼ δὲ ὡς μὲν οὐκ ἠμελήθη[45] τὶ τἀδελφῷ τῶν δεόντων, οὐκ ἂν ἀντείποιμι. καὶ διειλέχθην[46] γε πρὸς αὐτὸν οὐκ ὀλιγάκις, ὡς οὐδαμοῦ ῥαθυμητέον. καὶ οἶμαί γε αὐτὸν καὶ πεποιηκέναι βελτίω. νέοι δὲ, ὦ δικασαὶ, γεγενημένοι πάντες ὑμεῖς, καὶ νέους τρέφοντες υἱεῖς.[47] ἴςέ που τὴν τοιαύτην ἡλικίαν οὐ δυναμένην ἀναμάρτητον εἶναι· ἀλλ᾽ ὁ μὲν μᾶλλον· ὁ δὲ ἧττον. πάντως δὲ ἕκαςος ἁλίσκεταί που καὶ μωραίνων καὶ τί θαυμαςὸν, ὅπου γε καὶ τὸ γῆρας οὐ πανταχοῦ φυλάττει τὸν κόσμον. ἀλλ᾽ ἤδη καὶ τούτων πολλοῖς ὧν ἔδρασαν μετημέλησε· καὶ τὸν αὐτὸν εὕροις ἂν γέροντά τε, καὶ ἐπιτιμώμενον. ἔςι δὲ οἷς καὶ τούτων αὐτῶν ὑπῆρξε συγγνώμης τυχεῖν. ἡ συγγώμη γὰρ, ὦ δικαςαὶ, τοῖς μὲν νέοις, ὡς νέοις· πρεσβυτέρῳ δὲ ὡς ἀνθρώπῳ δίδοται. θεῶν γὰρ οἶμαι μόνον,[48] τὸ κρείττους, ἢ ἁμαρτάνειν εἶναι. οὐκ εἶδες[49] πώλους, ὦ πάτερ, καὶ σκιρτῶντας, καὶ θορυβοῦντας τὸν ἱππέα, καὶ οὐ παρὰ τοῦτο εἶναι δοκοῦντας ἀχρήςους,[50] καὶ ἀποῤῥιπτουμένους; ἀλλ᾽ ἤδη τινὸς ἀκήκοα τῶν τοιαῦτα δεινῶν, τοιούτους[51] εἶναι τοὺς γενναίους τὴν φύσιν. τοιγαροῦν μικρὸν ἀναχόμενοι τῶν σκιρτημάτων, τῆς νεότητος παρελθούσης, χρῶνται πρὸς τὰ ἔργα, σωφρονοῦσι τε ἤδη, καὶ πολὺ τοὺς ἄλλους νικῶσιν. ἔφυγέ τι τῶν ἐπιπόνων ὁ παῖς· παῖς γὰρ ἦν. καὶ δεῖ τῶν τηλικούτων τοὺς μὲν φιλοπόνους, θαυμάζειν τε, καὶ πρεσβυτέροις ἐοικέναι νομίζειν. τοὺς δὲ ῥαθυμοτέρους ἐπαινεῖν μὲν, μὴ

τελῶν. vel etiam τῷ πατρὶ καὶ ἀδελφῷ. v. paulo post.

[45] recte W. ἠμελήθη. ἠμελήθην M.

[46] malim διελέχθην (sine diphtongo.)

[47] ὑμᾶς m. M.

[48] malim μόνων in genitiuo plurali.

[49] recte W. εἶδες. vidisti. οἶδες M.

[50] post ἀχρήςους deleui τε quod W. omittit.

[51] τούτους W. et m. M.

μή· νομίζειν μέν τοι τὰ τῆς ἡλικίας ποιεῖν. εἰ μὲν οὖν οὐδενὶ συγγνώσῃ τῶν πάντων, ὅρα εἴ τις[51] ἀποδέξεται· καὶ ταῦτα ζῶν ἐν δημοκρατίᾳ. εἰ δὲ εἰσὶν οἷς προσήκει τούτου τυγχάνειν, τίνας[53] πρὸ ἡμῶν τῶν νέων ἄξιον; ἔδει δοῦναι δίκην τὸν υἱόν; ἐδεδώκει. καὶ ταύτην ὡς ἂν ἐγὼ φαίην οὐ μικράν. ἀπεστερήθη τῶν παρὰ σοῦ λόγων, χρόνον πολύν.[54] ἤκουσεν ἀγγελλόντων ἀπειλάς· φόβῳ συνέζησεν· ὤφθη παρὰ τῶν οἰκετῶν τρέμων· οὐ μετέσχε τραπέζης· ἔλεισεν ὑπὲρ μειζόνων. ἤνεγκε διακόνων ὕβριν. ἐν νυξὶν ἠγρύπνησεν· ἐν ἡμέραις ἔκλαυσε· τοῦ σώματος αὐτοῦ τὸ πλέον ἀνάλωσεν ἡ λύπη. τί τούτων ἔδει ζητῆσαι πλέον; καὶ ταῦτα ἐπ' αἰτίαις οὐ πάνυ μεγάλαις, ὡς φησὶν αὐτὸς ὁ πατήρ· ὁ χαλεπήνας μὲν, οὐκ ἀποκηρύξας δέ. καί τοι εἴ τι τῶν δεινοτέρων ἐπέπρακτο, πάντως ἂν ἐπὶ τοῦτο ἧκεν. οὐ γὰρ δὴ φήσειεν ἂν, ὡς οὐκ οἶδεν ἀποκηρύττειν. ὃς γὰρ ἀδελφοῦ φιλανθρωπίαν πρὸς ἀδελφὸν, τούτου νενόμικεν ἀξίαν, τί ποτ' ἂν ἔδρασεν ἐν αἰσχίστοις ἐκεῖνον λαβών; τοῦτο μάλιστα, ὦ πάτερ, ἔπεισε τῶν ἴσων ἀξιῶσαι τὸν ἀδελφὸν, τὸ καὶ παρὰ σοὶ μικρὰ κεκρίσθαι τὰ ἡμαρτημένα· σημεῖον γὰρ ἦν τοῦτο τοῦ προϊόντα τὸν χρόνον, πάντως ἂν ποιῆσαι διαλλαγάς. ἃ οὖν ἡγούμην σε σωθέντα δώσειν, ταῦτα αὐτὸς ἔδωκα. νομίζων, εἰ διαφύγοις τὴν νόσον, ἐπαίνου τεύξεσθαι παρὰ σοῦ τῇ προσθήκῃ. καὶ ὡς ταῦτα ἤλπιζον, μάθοις ἂν ἐκεῖθεν. τῶν μὲν γὰρ μάντεων οὐδεὶς προειρήκει τὴν τελευτήν· οἱ δὲ ἰατροὶ παρῄνουν εὔχεσθαι· τὸ δὲ μέλλον ἄδηλον[56] ἦν. οὕτως οὖν ἐνέγραφον, ὡς οὐ πάντως σε λήσων· ἀλλ' ὡς εἰ τύχοι, τά τε γράμματα, καὶ τὸ πεπραγμένον ὕστερον εἰσομένου· ὁ δὴ τοῦτο προσδοκῶν, τῷ μὴ δόξειν ἀδικεῖν, εἰ γνωσθείη, ταῦτα

[52] malim εἰ σοῦ τις vel εἴ σέ τις.

[53] τινας] scil. τῆς συγγνώμης τυγχάνειν ἐστὶν ἄξιον.

[54] χρόνον οὐ π. m. M.

[55] τῶν ἴσων] subaudi ἑαυτῷ.

[56] εὔδηλον m. M.

ταῦτα δή που ἔγραφεν. ἐβουλόμην μὲν γὰρ αὐτόν, φησιν, ὑπὸ πενίας γενέσθαι βελτίω. τί δ' εἰ χείρων ὑπ' αὐτῆς ταύτης ἐγένετο; καλὸν ἦν παρὰ σοῦ δεδόσθαι τῇ κακίᾳ τὴν ἀφορμήν; ἢ οἴει, πάτερ, τὸν μὲν πλοῦτον πανταχοῦ κακίαν ἐμποιεῖν; τὴν ἀρετὴν δὲ πανταχοῦ μετὰ τῆς πενίας εἶναι; οὐκ ἔστιν. ἀλλ' ἔνι καὶ πλούτῳ χρήσασθαι καλῶς, καὶ πενίαν γενέσθαι τοῦ πλουτεῖν κακίας μᾶλλον αἴτιον. ὅσῳ πλοῦτος μὲν, ἁμαρτάνειν βουλομένῳ χορηγεῖ· πενία δὲ καὶ τὸν οὐ βουλόμενον ἀναγκάζει. εἰ γὰρ ἐθέλεις σκέψασθαι τοὺς ἱεροσύλους, τοὺς τοιχωρύχους, καὶ ὅσοι κινοῦσι θήκας, καὶ ὅσοι τὴν ὥραν πωλοῦσι, καὶ κλέπτας, καὶ λωποδύτας, καὶ ὅλως τοὺς ἐπὶ κέρδεσιν ἀδικοῦντας, ἐκ τῶν ἀπόρων εὕροις ἂν πλείους, ἢ ὅσοι ἐν ἀφθόνῳ[57] ζῶσι. καὶ γὰρ ἂν τὰ ἄλλα ἀνέχηταί τις,[58] πεινῶντα φέρειν οὐκ ἔνι. τίς ἦν σοι τῶν θεῶν ἐγγυητὴς τοῦ μηδὲν ἂν σοι ποιῆσαι τὸν υἱὸν αἰσχρὸν βιαζομένης πενίας; καὶ γὰρ οὐδ' ὁ μεμφόμενος ὡς καταισχύνει τὸ γένος ἐφάνη ποτε ἂν, προδήλου πᾶσι τῆς ἀπολογίας οὔσης· ὅτι ἐμὲ πατὴρ τὶς εὐδαίμων θρέψας, καὶ παιδεύσας τῶν προγόνων ἀξίως· ἔπειτα εἰς ὀργὴν ἐμπεσὼν, ἄμοιρον τῶν αὐτοῦ κατέστησε. καὶ νῦν τὸ δεῖσθαι καὶ ζητεῖν τροφὴν, ἐπὶ πράξεις ἀβουλήτους ἐξάγει. εἰ μὲν γὰρ, ὦ πάτερ, ἅπαντες οἱ συγγενεῖς ἀπὸ τῶν ὄντων αὐτοῖς συμφέροντες, ἐποίουν αὐτῷ τινα οὐσίαν, μάταιον ἦν ἂν σοι τὸ σόφισμα, μὴ διδόντι τῶν σῶν τῷ[59] παρ' ἑτέρων ληψομένῳ· εἰ δὲ πικρῶς, καὶ ὡς ἂν τινες ἠδικημένοι τῇ πενίᾳ φθείρειν ἐξεδίδοσαν, χαλεπὸν ἂν ἦν, ὦ πάτερ, ἀμείνω σοι γενέσθαι τὸν υἱὸν ὑπὸ τῆς ἀχρηματίας· μὴ χείρω μὲν οὖν γενέσθαι, χαλεπὸν ἂν ἦν. μᾶλλον δὲ, εἰ καὶ μηδεὶς τῶν ἄλλων, αὐτὸς ἂν αὐτὸν ὕστερον εἰς κοινωνίαν εἰσῆγον. ὁμολογῶ γὰρ, εἰ καὶ παροξύνω τῷ λόγῳ.

τί

57 ἀφθόνοις m. M.

58 post ἀνέχηταί τις deesse videtur στόμαχον γε nam alias nihil erit, quo πεινῶντα referatur.

59 σῶν τῷ] sic W. τῷ omittit M.

τί οὖν ἔδει πονηρὸν ἐπὶ τῆς διαθήκης γενόμενου, φιλανθρωπεύεσθαι μετὰ τοσαύτης βλάβης; αὐτὰ δὲ ταῦτα, φησὶν, ἡνίκα ἐκέλευόν σε γράφειν, τί μὴ πρὸς ἐμὲ διελέχθης; ἦν γάρ που βέλτιον λέγοντα πείθειν, ἢ διὰ σιγῆς ἀδικεῖν. καὶ πῶς ἂν ἀσθενοῦντί τε καὶ φαύλως ἔχοντι, καὶ τελευταῖα νομίζοντι περὶ τῶν αὐτοῦ βουλεύεσθαι, λόγον ἀπέτεινον μακρόν; πῶς δ' ἂν παρὰ τοῖς σοφοῖς ὁρῶν τὸν καιρὸν ἐπαινούμενον, αὐτὸς ἂν οὕτως ἄκαιρον πρᾶγμα ἐπεισήγον τῇ νόσῳ; καὶ τὸν ὀδυνώμενον τῷ πυρετῷ λόγοις ὀχληροῖς ἐβάρυνον; οὐκ ἴστε, ὦ δικασταὶ, πηλίκης δεῖ τοῖς τοιούτοις ἡσυχίας; οὐκ ἴστε ὑπὸ τῶν ἰατρῶν παραγγελλόμενον δεῖν ἠρεμεῖν, αὐτούς τε ἐκείνους,[60] καὶ τοὺς παρόντας αὐτοῖς; οὐ καὶ τὰ μὴ λυπηρὰ τῇ φύσει λυπεῖν τοὺς τοιούτους δύναται; κἂν φθέγγηταί[61] τις, κἂν μή; κἂν ἑστήκῃ, κἂν καθιζάνῃ, κἂν μειδιᾷ, κἂν σκυθρωπάζῃ· κἂν ἐξίῃ, κἂν μένῃ. τούτων ἕκαστον πλήττει τὸν ἀσθενοῦντα· καὶ δυσκολαίνειν ποιεῖ, καὶ τὸ κακὸν αὔξει. δεῖ δὲ πειρᾶσθαι τὸν κάμνοντα διὰ πάντων εὐφραίνειν· ἀνιᾷν δὲ μηδὲ καθ' ἕν. διὰ τοῦτο πρὸς αὐτοὺς καὶ ψευδόμεθα, καὶ πλάττομεν λόγους, ἀφ' ὧν ἂν ἡσθεῖεν. κἂν δυσχερές τι συμβῇ, κρύπτομεν. καὶ τὸ οὐκ ὂν ἀγαθὸν, ὡς ὂν[62] λέγομεν. τότ' οὖν ἔμελλον ἀγωνίζεσθαι πρὸς σὲ, πάτερ. καὶ ταῦτα ἃ νῦν εἶπον, τὰ πολλὰ διεξιέναι· καὶ πειρᾶσθαι δεικνύειν, ὡς οὐκ ὀρθῶς βουλεύῃ· καὶ ψυχὴν ἕτοιμον εἰς ὀργὴν παροξύνειν, καὶ πῦρ ἐπάγειν πυρί; καὶ τίς οὐκ ἂν καὶ τῶν ἰατρῶν καὶ τῶν ἄλλων[63] εἰ κρατῆσαι συνέβη τὴν νόσον, ἐπ' ἐμὲ τὴν αἰτίαν ἦγεν ἂν τοῦ θανάτου. οὗτός ἐστιν ὁ τὸν πατέρα ἀπεκτονώς. οὗτος ὁ μείζω ποιήσας τὴν ἀῤῥωστίαν· ὁ τὸν υἱὸν, ὃν ἐμέμφετο, πρὸς αὐτὸν ἐπαινέσας. σίδηρον μὲν οὐκ ἐπήνεγκε τῷ πατρί· διὰ θυμοῦ δὲ αὐτὸν ἀπολώλεκεν.

60 αὐτάς τ' ἐκείνας] scil. τὰς νοσοῦντας.

61 φθέγξηται W. Paullo post recte W. ἑστήκῃ et καθιζάνῃ. M. dat ἑστήκει et καθιζάνει.

62 ὑπάρχον m. M.

63 ἄλλων ἰατρῶν m. M.

λώλεκεν. εἰ γὰρ νῦν ὑγιαίνων οὐχ ἡδέως δέχῃ τοὺς λόγους· καί τοι καὶ τῶν δικαζόντων καὶ τῶν περιεστηκότων συγχωρούντων με δίκαια λέγειν, τίς ἂν ἦσθα τότε, χειμαζομένης ὑπὸ τοῦ νοσήματός σοι τῆς ψυχῆς; ἆρ' οὐκ ἂν ἐκεκράγεις ὠθεῖν, ἐξελαύνειν ὡς ἀπολλῦντά σε τοῖς λόγοις. καὶ τὸ κατ' ἐκείνου μὲν ἐτήρεις μῖσος· τὸ δὲ πρὸς ἐμὲ φίλτρον εἰς μῖσος μετέβαλες; ἀπῄειν δ' ἂν κακὸς ἰατρὸς τῆς ὀργῆς γεγενημένος. ἄλλος δ' ἂν ἀντ' ἀμφοῖν ἐπὶ τὸν κλῆρον ἐκαλεῖτο. καὶ οὐχὶ τοῦτο δεινότατον. τὸ δέ σοί τινος αἰδοῦς[64] αἴτιον γεγονέναι δοκεῖν, τίνος οὐ μεῖζον κακοῦ; διαβέβλημαι γάρ, φησιν, ὑπὸ τῆς σῆς φιλανθρωπίας. ἐξῆν δέ γε, ὦ δικασταὶ, μὴ τοῦτο παθεῖν, εἴπερ ἐβούλετο σιωπᾶν. ἐγὼ μὲν γὰρ οὔτε ζῶντος, οὔτε τεθνεῶτος, ταῦτ' ἂν ἐξεῖπον πρὸς ἕτερον· οὐδ' ἂν πρὸς αὐτόν γε τὸν ἀδελφόν. ὁ δὲ αὐτὸς ἑαυτὸν, ὡς ὁρᾶτε, ἀδικεῖ. ἐχρῆν δέ γε ἢ σιγᾶν, ἢ πρὸς ἐμὲ μόνον ἐπαινεῖν τὰς διαθήκας, καὶ φάσκειν εὖ με βεβουλεῦσθαι· καὶ χαίρειν μὲν ἐπὶ τοῖς πεπραγμένοις· ἀπαλλάττειν δὲ τὴν οἰκίαν τῆς ἐνούσης ταραχῆς. οὕτως ἂν ἡμῖν ἅπαντα εἶχε καλῶς. νῦν δὲ πολεμῶν τοῖς γράμμασι, καὶ τοσαύτην ἐπάγων δίκην, καὶ ποιῶν ὃν ἐγέννησας ἀλλότριον, δίδως λαβήν τινα τοῖς πράοις καὶ φιλοτέκνοις. ἀλλ' εἰ καὶ μὴ πρότερον, νῦν γε πρὸς θεῶν, ὦ πάτερ, γνώρισον μὲν ἑαυτὸν, γνώρισον δὲ ἡμᾶς. αἰδέσθητι δὲ θεοὺς, οἷς ἔθυσας μὲν εὐχόμενος γενέσθαι πατὴρ ἔθυσας δὲ ἤδη γεγενημένος· ἔθυσας δὲ δεκάτην ποιῶν, οὐ ταῦτα αἰτῶν δήπου· μήτ' οἰκίαν, μήτε κλῆρον παραδοῦναι τοῖς υἱέσιν, ἀλλὰ διαδόχους, κληρονόμους, χορηγοὺς, τριηράρχας, ῥήτορας, πρέσβεις, στρατιώτας ἀγαθοὺς, ἀριστέας, στρατηγούς. ταῦτα ὡς εἰκὸς, ἐδέου σοι γενέσθαι παρὰ τῶν θεῶν. αὗται γὰρ εὐχαὶ πατέρων· τούτων ἀναμνήσθητι. ταῦτα αἰσχύνθητι. καὶ μὴ σαυτὸν μὲν ἄπαιδα καταστήσῃς, ὄντων υἱέων. ἡμᾶς

δὲ

[64] αἰδοῦς abest a W. et a esse τὸ δέ σοι κακοῦ τινος αἴτιον
margine M. vnde colligo, leg. γεγονέναι.

δὲ ὀρφανοὺς, ὄντος πατρός. ἱκανῶς ἐδάκρυσεν ἡ μήτηρ· ἱκανῶς ὁ δυστυχὴς ἀδελφός· ἱκανῶς ὁ τέως μὲν εὐδαίμων νομιζόμενος. ἐγὼ, νῦν δὲ ἀθλιώτατος. ἱκανῶς ἐλυπήσαμεν τοὺς ἀληθῶς φίλους· ἱκανῶς εὐφράναμεν τούς τε φανερῶς μισοῦντας, καὶ τοὺς[65] οὐχ ὁμολογοῦντας. ἐν μὲν ταῖς ἄλλαις ἁπάσαις οἰκίαις, ὁμόνοια, φίλτρον, κοινοὶ λόγοι, κοιναὶ τράπεζαι, τέρψεις ἐμμελεῖς, ἐλπίδες ἀμείνους. παρὰ δὲ ἡμῖν ἐγκλήματα, κατηγορίαι, θυμὸς, ἀγανάκτησις, ὀδυρμὸς, κατήφεια·[66] τὸ νομίζειν ὑπ' ἀλλήλων ἀδικεῖσθαι· πόλεμος εἴσω θυρῶν. σπονδαὶ δὲ οὐδαμόθεν.[67] οὐκ ἔκαμες, ὦ πάτερ, μισῶν τοὺς οἰκείους; οὐκ ἀπείρηκας βοῶν, καὶ διαῤῥηγνύμενος; ἀλλὰ πόλεις μὲν πόλεσιν ὑπὲρ τῶν μεγίστων ἐγκαλοῦσαι πολλάκις· μέλλουσαι μάχεσθαι, συνιόντων ἤδη τῶν στρατοπέδων, πρὸ τῶν τραυμάτων κατέθεντο τὴν ἔριν· καὶ διελύθησαν ἀλλήλοις συνευχόμενοι. σὺ δὲ πατὴρ ὢν, ἀθάνατα χαλεπαίνεις,[68] καὶ οὐ ποιήσεις[69] τὴν προσηγορίαν αὐτὴν σύμβολον διαλλαγῶν· ἀλλὰ κακώσεις[70] οὓς ἐγέννησας. εἰδὼς ἃ ποιεῖ περὶ τὰ αὐτῶν τὰ θηρία; τίς Ἐριννὺς ἄρα συνεψηφίσατό[71] σοι τὸν γάμον; περὶ τίνα θεῶν ἁμαρτόντες, ταύτην ἀπαιτούμεθα δίκην;[72] διὰ τί μὴ γενομένους ἡμᾶς, ὦ πάτερ, ἐξέθηκας, μέλλων ἐπὶ τοιούτοις[73] θρέψειν. ἀλλὰ δεῖ με πάντως τῆς οἰκίας ἐκπεσεῖν, καὶ οὐ περιέσται σου τῆς ὀργῆς ἡ φύσις; οὐκοῦν τοῦτο μὲν εἰ δοκεῖ, κρατείτω. τῷ δὲ ἀδελφῷ σπεῖσαι· καὶ τὰς αἰτίας τῆς ψυχῆς ἐξάλειψον· καὶ μάθε τοῖς διαβάλλουσιν ἀπιστεῖν. τρέφε τὸν υἱὸν κληρονόμον· μόνῳ πάντα παράδος· μόνος ἅπαντα ἐχέτω. οὐ μέμψομαι· οὐ φθονήσω· μόνον εἰς υἱὸν ὁ κλῆρος διαβαινέτω. καὶ μὴ τοῦθ' ὃ παρα-

65 τάς τε m. M.
66 κατήφειαι W.
67 ἐδαμόσε W. et m. M.
68 malim χαλεπανεῖς.
69 ποιεῖς m. M.
70 κακὸς εἶ εἰς οὓς ἐγ. ἰ. ἃ π. τῶν αὐτῶν m. M.
71 malim συνεψηφίσατό σοι τῶν γάμων.
72 τὴν δίκην malim.
73 τοιούτων m. M.

παρασκευάζονταί[74] τινες, ἰσχυέτω τοῖς ἐπιβουλεύουσιν. ἐξελάσαι μέν σε τοὺς σαυτοῦ παῖδας, παῖδας δὲ ἐκείνους νομίσαι. ταῦθ' ὑποχέσθω παρ' ὑμῖν, ὦ δικασταί, καὶ τὴν ἀποκήρυξιν οἴσω πρᾳότερον. καὶ γὰρ οὐδὲ φόβος, μὴ καὶ στέγης καὶ τῶν ὑποδεξομένων ἀπορία γένηται. πολλούς μοι πεποιήκασιν αἱ διαθῆκαι πατέρας. οἶδα ἐπαινούμενος· οἶδα θαυμαζόμενος· οἶδα ἀγαπώμενος. ἔσται τὶς ὁ κέρδος αὑτοῦ ποιούμενος, εἰ φαίνοιτό μοι τῶν ὄντων μεταδιδούς. ἓν αἰτῶ σε μόνον, ὦ πάτερ, καὶ μηδὲν δείσῃς· οὐ γὰρ λύσει τὴν ἀποκήρυξιν. ἐξέστω μοι προσιέναί τέ σοι καὶ λαλεῖν ἐπ' ἀγορᾶς, καὶ παραπέμπειν μέχρι θυρῶν. εἰσιόντα δὲ ὁ θυρωρὸς εἰ λάβοι, σφαττέτω. καλείτω μοι τὶς τὸν ἀδελφόν. ἐλθὲ, ὦ ταλαίπωρε, θάῤῥησον· ἅψαι τῶν γονάτων τοῦ πατρὸς, δάκρυσον, ἱκέτευσον. μεταβέβηκεν εἰς ἐμὲ τὸ μῖσος. φυλάξει δέ σοι τὰς διαλλαγὰς βεβαίους, τὸ πρὸς ἐμὲ πολεμεῖν. πολέμει τοίνυν, καὶ λοιδόρει, καὶ διαφέρου· καὶ τῷ πολέμῳ τούτῳ, τήρει τὴν πρὸς αὐτὸν εἰρήνην.

74 κατασκ. W.

ΜΕΛΕΤΗ

ΜΕΛΕΤΗ ΠΡΑΓΜΑΤΙΚΗ.

ΘΕΩΡΙΑ.

Δύο τὶς ἔχων παῖδας, τὸν ἕτερον ἀπεκήρυξεν. ὁ ἐπὶ τῆς οἰκίας ἀριστεύσας, ᾔτησεν εἰς τὸ γέρας τὸν ἀδελφὸν ἀναληφθῆναι· ἀντειπόντος τοῦ πατρὸς, οὐκ ἔπεισεν. ἀξιοῖ καὶ αὐτὸς ἀποκηρύττεσθαι.

ΦΙΛΑΔΕΛΦΟΣ ΑΞΙΟΙ ἀποκηρύττεσθαι.

ΟΥΧ ὑπὲρ τῶν πρώην καὶ αὖθις ἀνέστην δεησόμενος ὑμῶν τὲ, ὦ πολῖται, καὶ τοῦ πατρός· οὐδ᾽ αἰτήσων ἐκείνην τὴν δωρεὰν, ἣν πρὸ τῆς ὑμετέρας γνώσεως καλήν τε ἡγούμην εἶναι, καὶ πρέπουσαν ὑμῖν τε δοῦναι, καὶ ἐμοὶ λαβεῖν, καὶ συγχωρῆσαι τῷ πατρί. καὶ γὰρ ἂν ἄτοπος εἴην,[1] εἰ ἃ τοῖς πρώτοις λόγοις οὐκ ἠδυνήθην ὑμᾶς ὡς ἐστὶ δίκαια διδάξαι, περὶ τούτων εἶχόν τινας ἐλπίδας ὡς εἰ πάλιν ἀκροάσοισθε, τάχ᾽ ἂν ἐνδοίητε. ἀλλ᾽ ἐπεὶ τὰ πάντων εἴρηταί μοι δεινότατα, καὶ τόλμημα τετόλμηκα πάμμεγα τῶν πρὸς τὸν παῖδα διαλλαγῶν τῷ πατρὶ μνησθεὶς, συγγνώμης μὲν οὐκ ἂν ἀξιώσαιμι τυχεῖν. οὐχ ὡς προσῆκον ὂν ἀπαραιτήτους εἶναι πανταχοῦ καὶ πικρούς· ἀλλ᾽ ἐμοῦ πρὸς τὸ τιμωρεῖσθαι μᾶλλον, ἢ τὸ συγγινώσκειν ὁρῶντος. διόπερ ἀνέστην ἐν χάριτος αἰτήσων μέρει, τὸ δοῦναι δίκην ὧν πρότερον ᾔτηκα. τὸν γὰρ ἐν τῷ βουληθῆναι λῦσαι τἀδελφῷ τὴν συμφορὰν, πατέρα λυπήσαντα, δίκαιον ἐκείνῳ κοινωνῆσαι τῆς συμφορᾶς. ἔστι μὲν οὖν δῆλον, ὡς καὶ μηδὲν ἐμοῦ τοιοῦτον

παρ᾽

[1] ἄτοπον οὐκ W. et m. M.

παρ᾽ ὑμῶν αἰτοῦντος, ἀλλὰ τῶν καινῶν μὲν τούτων ἀφισαμένου· τῶν δὲ ἐν ἔθει δωρεῶν μεμνημένου, ταχέως ἂν ὁ πατὴρ ἔδωκε τὴν χάριν, ἐκβαλὼν με τῆς οἰκίας. οἱ γὰρ εὔνοιαν μὲν ὑποκρινάμενοι πρὸς τοῦτον, τὰ δὲ τῶν ἐχθίστων ἐπιδεδειγμένοι, καὶ προφάσεσιν οὐ μεγάλαις ἐκπολεμώσαντες τὸν ἄνθρωπον τοῖς ἀναγκαίοις, τίνες ἔσονται, τοιαύτην ἔχοντες ἀφορμὴν,[2] οὓς ὁ πατὴρ ἐλαύνει, τούτους αὐτὸς[3] ἀγαγὼν οἴκαδε. οὐ μὴν ἀλλ᾽ εἰ καὶ παρὰ τῶν ἐχθρῶν ἡμῖν ῥᾴδιον ἀποκηρύξεως τυχεῖν, παρ᾽ ὑμῶν βέλτιόν πως τοῦτο γενέσθαι. ἐκείνως μὲν γὰρ ὁ πατὴρ ἕξει τὴν αἰτίαν, ἀντὶ τῶν παροξυνάντων. τὰ γὰρ ἐν ἀποῤῥήτῳ κατασκευάσματα, τοῖς πολλοῖς ἄδηλα. οὕτω δὲ, ὡς νῦν ἀξιῶ, τῆς οἰκίας ἐκπεσὼν, τὸν μὲν, ἐλευθερῶ μέμψεως· αὐτὸς δὲ τὴν αἰτίαν οἴσομαι· εἰ δ᾽ ἀναγκαῖον ἢ τούτῳ τί γενέσθαι δυσχερὲς, ἢ ἐμοὶ, μετριώτερον ἐπ᾽ ἐμὲ τοῦτο ἐλθεῖν, ἢ τὸν πατέρα ἐν αἰσχύνῃ ποιῆσαι· ἕνεκα μὲν] οὖν] τοῦ δικαίαν τε καὶ εὔλογον εἶναι τὴν παροῦσαν αἴτησιν θαῤῥῶ μὴ ἀτυχῆσαι. δύο δὲ ἐλαττώματα δέδοικα, τὴν ἡλικίαν τὴν ἐμαυτοῦ, καὶ τὴν τοῦ λέγειν ἀπειρίαν. τοῖς μὲν γὰρ ἢ εἰς γῆρας ἥκουσιν, ἢ τὸν περὶ τὸ βῆμα βίον εὐθὺς ἐξ ἀρχῆς ᾑρημένοις· τοῖς μὲν, ὁ χρόνος δίδωσι πολλὰ εἰδέναι· τοῖς δὲ ἡ μελέτη τὰς περὶ τὸ λέγειν τέχνας. ἐγὼ δὲ εἰμὶ μὲν τηλικοῦτος ἡλίκον ὁρᾶτε· βεβίωκα δὲ ἐν ὅπλοις. ὥστε ὅσον μοι τοῦ σώζειν τὴν πατρίδα δύνασθαι περίεστι, τοσοῦτον τοῦ λέγειν ἱκανῶς ἀπολέλειμμαι. ἀλλ᾽ εἰ μὲν τῶν οὐχ ἡδέων τι τῷ πατρὶ, καὶ νῦν ἐπήγγελον, καὶ τὸ λυπηρότατον τοῦτο ῥῆμα ἐκείνῳ ἐφθεγγόμην, τὸ τῶν διαλλαγῶν, εἰκότως ἂν αὖθις ἀναστὰς ἐπεσόμιζέ με, πολλῶν πλεονεκτημάτων εἰς τὸ κρατεῖν εὐπορῶν. ἐπεὶ δὲ οἷς ἤδη πεποίηκε προστίθημι παραπλήσια, καὶ ταῖς ἐπιθυμίαις συναγωνίζομαι

[2] locum hunc non intelligo. Sine dubio deest aliquid. Sententia haec ferme postulat. ποία τίς αὕτη ὁ ἀφορμή; πατὴρ, οὓς ἔδει ἐλαύνειν, τούτους αὐτὸς —

[3] m. M. dat αὐτοὺς.

[4] malim εὐθὺς, statim assurgens et [5] οἴκαδε.

νίζομαι τοῦ πατρὸς, οὐκ οἶδα ἀνθ᾽ ὅτου μοι δικαίως ἀντείποι, καὶ φιλονεικίᾳ χρήσαιτο πρὸς τὸν αὐτοῦ ζηλωτήν. ἵνα δὲ, ὦ δικασταὶ, μή με οἴεσθε τὰ μὲν πρὸς τοὺς πολεμίους ἀγαθὸν γεγενημένον· τὰ δὲ πρὸς τὸν πατέρα οὐ τοιοῦτον, μηδὲ τοὺς λόγους τοὺς ἄρτι ῥηθέντας εἰς ἀναίδειαν, ἤ τινα ἄλλην κακίαν ἀναφέρητε, μικρὸν ἀκούσατέ μου πρὸς θεῶν ἀπολογουμένου. πιστεύω γὰρ ὑμῖν δόξειν, ἢ μηδὲν ἠδικηκέναι, ἢ ἄκων ἡμαρτηκέναι. ὡς γὰρ ἐγενόμεθα, ὦ δικασταὶ, τῷ πατρὶ, καὶ ἤδη ἦμεν οἷοι[6] δέχεσθαι παιδεύματα, ἄμφω μὲν ἔπεμπεν εἰς παιδοτρίβου· ἄμφω δὲ εἰς διδασκάλου τῶν τακτικῶν· ἠσπάζετό τε ὁμοίως ἀναστρέφοντας· καὶ ὅλως ἴσον ἔνεμε φιλίας ἑκατέρῳ παρὰ πάντα δὴ τὸν χρόνον. εἴπω τί τῶν χρηστῶν, ὦ πάτερ, εἰς τὸν ἀδελφὸν, καὶ οὐ ποιήσῃ τὸν ἔπαινον ἔγκλημα· πάντα δὴ τὸν χρόνον τοῦτον, οὐδὲ ἓν εἶδεν[7] ἐν ἐκείνῳ μὰ τοὺς θεοὺς τῶν αἰσχύνῃ περιβαλλόντων νέον[8] οὐκ ἔρωτας μανικούς· οὐ πληγὰς ὑπὲρ ἑταίρας· ἀλλ᾽ ἴσα ἐβαδίζομεν· ταυτὰ ἐφρονοῦμεν· τοῖς αὐτοῖς ἐχαίρομεν· ἀπὸ τῶν[9] αἰσχρῶν ἐφεύγομεν. οὕτω δὲ ἡμῖν τοῦ οἴκου φερομένου,[10] καὶ παράδειγμα ὄντων εὐδαιμονίας, φθόνος ἐμβαλὼν ἀνέτρεψε πάντα· ἐξ ὧν ἐζηλούμεθα. ἀναφαίνονται γάρ ἄνθρωποί τινες, ἄμεινον ἐμοῦ τοῦ συζῶντος τὸν ἀδελφὸν εἰδότες, οἳ[11] τὰς τοῦ πρεσβύτου παρατηροῦντες ὀργάς· ὡς εἰώθατε πρὸς ἀλλήλους ἐν ταῖς συνουσίαις αἰτιᾶσθαι τοὺς υἱεῖς, κἂν εἰς μικρότατα[12] ἁμαρτάνωσιν· ἃ οἱ βέλτιστοι τῶν ὁμιλούντων κουφότητα ἀποφαίνουσι, καὶ κοινὰ τῆς ἡλικίας, καὶ τοῖς οὐ λίαν δυσκόλοις

6 recte W. οἷοι M. dat οἷον.

7 εἶδεν] sic W. vidit in illo. οἶδεν M.

8 νέον] sic W. νέων M.

9 αὐτῶν m. M.

10 malim τῶν οἴκοι φερομένων. nam alias pendebit insequens ὄντων, non habens, quo referatur.

11 οἳ delendum est. nam alias pendebit, et erit ἀνανταπόδοτον. oratio coepta finem non sortietur.

12 malim κἂν ὡς μικρότατα

λοις εὔφορα· ἀλλ' οὐχὶ τοῦτον[13] φιλεῖν λέγοντες, ἀλλὰ μεγαλύνοντες ἀεὶ τὸ παραπίπτον, καὶ τὸν σπινθῆρα ἐγείροντες· τοσούτου πολέμου τὴν οἰκίαν ἐπλήρωσαν, καὶ οὕτω σφόδρα τὸν πατέρα ἐξώργισαν, ὥστε ἐπιλαβόμενος εἷλκε τὸν υἱὸν, ὃν ἐγέννησεν, ὃν ἔθρεψεν, ᾧ τὴν δεκάτην ἐποίησε· καὶ εἰσῆγεν εἰς τὸ δικαστήριον, καὶ ἐκάλει πονηρόν. ὁ δὲ ἐκπεπληγμένος, τῷ τε ἀπροσδοκήτῳ, καὶ ταῖς αἰτίαις, καὶ τῇ τοῦ πατρὸς βοῇ, καὶ τοῖς περιεστηκόσιν, ἐσίγα μέχρι τοῦ μηδὲν εἰπεῖν ὑπὲρ αὐτοῦ, τὸν πατέρα αἰδούμενος. καὶ μᾶλλον εἵλετο προδοῦναι τὰ τοῦ ἀγῶνος δίκαια, ἢ ὡς συκοφαντοῖτο φθέγξασθαι. μετὰ ταῦτα οὑτοσὶ μὲν ἀπῄει τὴν καλὴν νίκην νενικηκώς· ὁ δὲ ἀδελφὸς εἰς τὰ τῆς πενίας κακά. ἐγὼ δὲ ἀμφοτέρους ὀδυρόμενος, τὸν μὲν ὧν ἐπεπόνθει, τὸν δὲ ὧν ἐξηπάτητο, ἐποιούμην, ὦ δικασταὶ, τοὺς ὀδυρμοὺς λανθάνων· ἐφοβούμην γὰρ μὴ τὰ δάκρυα γένηται εἰς ἀποκήρυξιν ἀφορμή. τοῦτο μὲν οὖν ἡ τῆς πόλεως ἐκώλυεν ἀγαθὴ τύχη· παρασκευάζουσα δι' ἐμοῦ τοῖς ἐναντίοις τὴν ἧτταν. καὶ ταῦτα ἐν οἷς νῦν εἰσιν· ἐγὼ δὲ τῆς μὲν τῶν πολιτικῶν μελέτης οὐκ ἠμέλουν. πενθῶν[14] δὲ, ὦ ἄνδρες, διετέλουν, καὶ τοὺς ἡλικιώτας ἐν τοῖς γυμνασίοις αἰσχυνόμενος, οἳ τῆς συμφορᾶς τὸν ἀδελφὸν ἐλεοῦντες, οὐκ ἔστιν ὅτε οὐ καθήπτοντό μου περιστάμενοι κύκλῳ· σὺ δὲ οὐδὲ εἰσιὼν οἴκαδε, καὶ συνεστιώμενος τῷ πατρὶ, καὶ λόγου μεταλαμβάνων, οὐκ ἔπαυσας τὴν ὀργήν; οὐκ ἐπράϋνας τὸν θυμόν; οὐκ ἀνεῖλες[15] τὰς ὑποψίας; οὐχ ἱκέτευσας; οὐκ ἐδάκρυσας; ὅρα μὴ δόξῃς ἐπαινεῖν τὰ πεπραγμένα, τὸν κλῆρον πρὸ τῆς φύσεως ἄγων· μᾶλλον δὲ ἤδη τι καὶ συνεξεργάσασθαι. καί τοι μέμνησαι, ὦ πάτερ, ὁσάκις σοι πρὸς τὰ γόνατα πεσόντα με, καὶ δεόμενον λῆξαι τῆς ὀργῆς, ἀπεκρούσω, καὶ ἀπειλησάμενος ἐκβάλλειν τοὺς οἰκέτας ἐκέλευσας. οἱ γὰρ διαβάλλοντες ἐξ αὐτῶν τῶν ἀτυχημάτων

et [13] ἀλλ' οὐχ οἱ τοῦτον φ.
[14] παθῶν W.
[15] ἀνεῖλες] W. ἂν εἶλες M.

ματων τἀδελφοῦ πιθανώτεροι, καὶ τὰ λεχθέντα μηδαμοῦ, πλάττοντες ἔφερον εἰς ὦτα τούτῳ, καταστῆναι τὴν ψυχὴν ἐκ ἐῶντες. τί οὖν ἦν λοιπόν; ἀλγεῖν μὲν τοῖς πεπραγμένοις· ἡσυχάζειν δὲ ἀνάγκη· καλεῖν δὲ τοὺς θεοὺς διαλλακτάς. ἐν τούτῳ δὲ ἡμῶν ὄντων, ἀγγέλλεται πολεμίων εἰσβολή· καὶ οἱ δῆμοι διηρπάζοντο· καὶ τὸ δεινὸν προσῄει τῷ τείχει, καὶ δρόμος, καὶ φόβος, καὶ ταραχὴ πάντα κατεῖχεν. ἁρπάσαντας δὲ τὰ ὅπλα θέειν ἔδει· καὶ τὰ σώματα ὑπὲρ τῆς πατρίδος εἰσφέρειν. ἐγὼ μὲν οὖν τήν τε τῶν στρατηγῶν ἐπιστήμην, καὶ τὰς κοινὰς προθυμίας.[16] καὶ πρὸ τούτων γε τὴν τῆς τύχης ῥοπὴν, τῶν τε ὑμῖν ὑπαρξάντων ἀγαθῶν, καὶ τῆς τῶν ἐναντίων αἰτιῶμαι πληγῆς. οἱ δὲ, ὡς ὁρᾶτε, πάντες ἐμοὶ λογίζονται τὴν τροπήν· καὶ πρὸς τοὺς οἰκείους ἕκαστος οἴκοι τἀμὰ διηγεῖται· καὶ τὴν ἀγορὰν ἐμπεπλήκασι τῶν ὑπὲρ ἐμοῦ λόγων. καὶ νῦν ἥκουσι συνησθησόμενοι τῇ τιμῇ. ἐμοὶ δ' ἕως μὲν ἤλπιζον λύσεσθαι τὸν ἀδελφὸν τῶν κακῶν, καλὸν ἦν ἴσως ἡ τῶν τετολμημένων διήγησις. ὡς ἔτι μὲν ἐξιὼν, ἔγεμον θυμοῦ. καὶ τῷ μέλλειν ἠχθόμην. ἰδὼν δὲ τοὺς ἐναντίους, δίκην σκηπτοῦ ἐνέπιπτον. τὴν μὲν τȣ͂ πείσεσθαί τι φροντίδα ἀφεὶς, τὴν δὲ ἀπὸ τȣ͂ δρᾶσαι δόξαν ἰδών· καὶ ὡς ἔῤῥηξα τὴν φάλαγγα· καὶ τὸ ξίφος συνεχῶς ἐνεργόν· καὶ τὸ μὲν ἠλαύνετο· τὸ δὲ ἐζωγρεῖτο. μεστὸν δὲ τὸ πεδίον νεκρῶν καὶ φυγῆς· τοῖς δὲ στρατιώταις ἀντὶ λόγων ἐκ τῶν ἐμῶν ἔργων ἡ παράκλησις. ταῦτα, ὦ δικασταὶ, καὶ δρῶν ἔχαιρον, καὶ διηγούμενος[17] εὐφραινόμην, ἕως ἡγούμην αὐτὰ σεμνά τε εἶναι, καὶ οὐχ ἡττᾶσθαι λόγων.[18] νῦν δὲ

[16] τὰς κοινὰς θυμίας] scil. τῶν πολιτῶν πρὸς τὸ μάχεσθαι.

[17] διηγȣ́μενος] forte noluit h. l. consentanea prioribus dicere. Nam si noluisset, dixisset διηγȣμένων ἀκροώμενος.

[18] malim τῶν λόγων cum articulo. neque a magnificentia praedicationis superari, seu, inferiora et minora esse praeconiis hominum

δὲ τοσοῦτον ἂν εἴποιμι μόνον, ὡς ἐμοὶ μάλιστα οἱ πολέμιοι τῶν πολιτῶν καταρῶνται. σκοπεῖτε τοίνυν τίς ποτε ἐγενόμην ἐπὶ τῇ νίκῃ. καί μου δοκιμάσατε τῇ δωρεᾷ τὸν τρόπον· ὡς γὰρ ἀπέδομεν ὑποσπόνδους τοὺς νεκρούς, καὶ τὸ τρόπαιον εἱστήκει, καὶ περίβλεπτος ἦν, καὶ ἐπῃνούμην, καὶ ἐκροτούμην, προσιόντες μοι δημόται, καὶ φυλέται, καὶ συμφοιτηταί, καὶ πάντες ὅσοι συνήδεσάν μοι τὴν λύπην, ἣν εἰς τὸν ἀτυχοῦντα εἶχον ἀδελφόν, νῦν ἔλεγον, ἃ πάλαι ἐπόθεις, ἥκει. νῦν καιρὸς ἀμύναι τἀδελφῷ τὴν συμφοράν· καὶ τῷ μὲν, ἀποδοῦναι τὴν οἰκίαν· τὸν πατέρα δὲ τῆς ἐπὶ τῇ πικρᾷ κρίσει δόξης ἀπαλλάξαι. εἰκὸς δὲ αὐτὸν αἰσχυνθέντα σου τὴν ἀρετὴν, ἡμερώτερόν πως κἀκείνῳ γενέσθαι. σὺ δὲ καὶ πρὸς τὸν δῆμον εἰπεῖν· καὶ δι' ἐκείνου πρᾶξαι τὰς σπονδάς. καὶ μετὰ τῶν ἄλλων, ἃ λαμβάνειν νόμος, καὶ τοῦτο ἐπαγγεῖλαι. πάντως[19] δὲ πολλοῦ πᾶσιν ἄξιος εἶ, καὶ τὸ δικαίως αἰτεῖν, ἀπὸ τῆς ἀνδραγαθίας ἐστί σοι. ἐκκλησία τοίνυν μετὰ ταῦτα· καὶ καλούμενος παρῄειν, ἄνθρωπος ἐπ' ἀριστείᾳ κατηφής. ἀφῃρεῖτο γὰρ τὴν ἐπὶ τοῖς κατορθώμασι φαιδρότητα, τὸ τῆς οἰκίας ἀτύχημα. μνησθεὶς δὲ τῆς μάχης, καὶ φήσας οὐχ ὑμᾶς ἐμοὶ δεῖν ἔχειν χάριν· ἀλλ' ἐμαυτὸν τοῖς παραταξαμένοις θεοῖς· ὅμως, ἔφην, ἐπειδήπερ αἰτεῖν κελεύετε, τὰ συνήθη[20] μὲν, ὦ πάτερ, καὶ δι' ὧν τοῖς λαμβάνουσιν εὐπορία τε καὶ τὸ λαμπροὺς εἶναι περιγίνεται· οἷον πλέθρα γῆς πεφυτευμένης, ἢ τάλαντα ἀργυρίου, ἢ σίτησιν ἐν πρυτανείῳ, ἢ χαλκῆν εἰκόνα· τούτων μὲν, ἔφην, τῶν λαμπρῶν, οὔπω πράττομεν ἀξίως. ἀλλά μοι δότε δωρεάν· καὶ κρατηθεὶς δάκρυσιν, ἐσίγησα. κελευόντων δὲ ὑμῶν λέγειν, καὶ θαρρεῖν, ὡς οὐδὲν ὅ, τι οὐ δώσετε· εἶπον τὴν Ἐριν-

[19] recte W. πάντως. vtique magni te omnes faciunt, vt nemo facile videatur futurus, qui petita tua tibi deneget. πάντων M.

[20] τὰ συνήθη —] Anacoluthum vides. non enim habent hi accusatiui fundamentum, quo nitantur, sed natant, Libanio paulo post coeptam hic constructionem omittente, et aliam nouam exordiente.

Ἐριννῦν τῆς οἰκίας, ἣ τὰ συμπεφυκότα διέσπασε, τὴν συμφορὰν τἀδελφοῦ, τὴν ὀργὴν τοῦ πατρός·[21] ὡς τραγῳδούμεθα πανταχοῦ· καὶ τελευτῶν, ἀντ᾽ εἰκόνος ἐπήγγελλον τοσοῦτον, ἰδεῖν οἴκοι τὸν ἀδελφόν. ἐν ᾧ πάντες ἀνεθορυβήσατε, τὸ τῆς αἰτήσεως ἦθος ἄμεινον τῆς ἀριστείας ἡγούμενοι. καὶ ἦν ἔνθεν μὲν ἀκούειν ἀποκαλούντων τὸν χρηστόν· ἑτέρωθεν δὲ τὸν βέλτιστον· πανταχόθεν δὲ ἁπλῶς ἕν γέ τι ῥῆμα πρὸς εὐφημίαν φέρον, ἀλλά τοι, ὦ δικασταί, τὸ θαῦμα[22] μέχρι τῆς σιγῆς τοῦ πατρός. ὡς δὲ διῆρε τὸ στόμα, καὶ ἐφθέγξατό τι, καὶ συνήγαγε τὸ πρόσωπον, πάντα διέφθαρτο· καὶ τὰ καλὰ τέως[23] φαῦλα ἐπεφήνει· καὶ ὑμεῖς μετεβέβλησθε, καὶ αὐτὸς παραπαίειν ἐδόκουν. καὶ δι᾽ ὧν εὐδοκίμουν, ἐπὶ τούτοις αἰτίας εἶχον. τοσοῦτον, ὦ δικασταί, προσηγορία πατρὸς εἰς ἀγῶνα πλεονέκτημα. πάντα[24] γοῦν ἐκεῖνα τὰ μεγάλα καὶ θαυμαστὰ, ὁ κηδεμὼν τῆς οἰκίας, ὁ φοβερὸς τοῖς ἐχθροῖς· ὁ τῆς πόλεως σωτήρ· ὁ φύλαξ τῶν γενῶν· ὁ τοῦ τείχους χρησιμώτερος. ὁ δοὺς ἀντὶ τοῦ πεφρικέναι[25] εὐθυμεῖν. τὰ δ᾽ ἐπινίκια καταγέλαστα, καὶ μικρὰ, καὶ φλήναφος. ἐπειδὴ τοίνυν ὑμῖν τε ἠνώχληκα, καὶ τὸν πατέρα λελύπηκα, καὶ λόγους ἀφῆκα σιγῆς ἀξίους, εὕρηκα, ὦ δικασταὶ, ἑτέραν δωρεὰν, δι᾽ ἧς ἐλπίζω τὸν πρεσβύτην εὐφρανεῖν. ἣν γὰρ οὐκ ἠδυνήθην λῦσαι τῷ ἀδελφῷ συμφορὰν, ταύτης κοινωνεῖν ἀξιῶ, καὶ τῆς οἰκίας μετ᾽ ἐκείνου στέρεσθαι. τιμωρία

τοῦτ᾽,

[21] post πατρὸς addit W. istacc: ὡς ἀκούομεν κακῶς, quae vocabula nescio an scholium sint verbi τραγῳδούμεθα.

[22] τὸ θαῦμα] scil. διῆκε. admiratio qua ciues me prosequebantur, et praeconia, quibus me cumulabant, diutius non durabant, atque longius pertinebant, quam donec pater taceret.

[23] τὰ καλὰ τέως] subaudi δόξαντα, quae hactenus praeclara visa fuerant.

[24] recte W. πάντα dat pro πανταχοῦ Mor. verum deest adhuc vocab. φροῦδα. et sic leg. πάντα γοῦν φροῦδα ἐκεῖνα.

[25] πεφριγμένον W.

τοῦτ', οὐ δωρεά, φήσει τίς· καὶ τὰς τιμὰς αἷς ἀμείβεσθε τῶν ἀριστέων τοὺς κινδύνους ἐξαριθμήσει, μανίας εἶναι λέγων, φυγόντα ταῦτα ἑκόντα, ἐμβαίνειν εἰς τοσοῦτον κακόν. ἐγὼ δὲ, εἰ μὲν ἡ σφοδρὰ λύπη τὸν λογισμὸν ἐξίστησιν, ὁμολογῶ μαίνεσθαι πρὸς τοσοῦτον ἐπιθυμίας ἥκων. τίς γὰρ ἢ γέγονεν, ἢ νῦν ἐστιν ἀθλιώτερος ἐμοῦ; καὶ τὰ μὲν ἄλλα ἐῶ. τουτὶ δὲ αὐτὸ τὸ παρόν, πόσης δυστυχίας; ὁ μὲν δῆμος ἐν θυσίαις, καὶ χαραῖς· καὶ γυναῖκες, καὶ παῖδες, καὶ δοῦλοι, τῆς ἀδείας εἰς ἡδονὴν ἀπολαύουσι. μόνος δὲ ὁ τούτων αἴτιος ἐν οἰμωγαῖς, ἐν θρήνοις, τῷ φεύγειν τὴν πατρῴαν ἑστίαν· καὶ τῶν μὲν νενικηκότων, εἰμὶ πολίτης· στένω δὲ μετὰ τῶν ἡττημένων. καὶ τοῖς μὲν ἄλλοις τὸ στεφανηφορεῖν ἀπὸ τῆς ἐμῆς προθυμίας· ἐμοὶ δὲ ἀντὶ τούτου παρὰ τοῦ δήμου, τὸ δακρύειν. καὶ τῇ μὲν πόλει λῦσαι τοὺς φόβους ἴσχυσα· τῷ δὲ ἀδελφῷ λῦσαι τὴν ἀποκήρυξιν, οὐκ ἔχον. ἀλλ' ὧν ἐν προσθήκῃ τεύξεσθαι προσεδόκων, οὐδ' αὐτὰ καθ' αὐτὰ λαβεῖν δεδύνημαι. καὶ τὸ δεινότατον, κατῄσχυνα τὴν νίκην, αἰτήσει πονηρᾷ. καὶ σεσωκὼς τοὺς νόμους, εἰς ὠμὴν καὶ παράνομον ὑπήχθην δωρεάν. μὴ τοίνυν θαυμάσῃς, εἰ τοσαύτῃ συνόδῳ κακῶν ἐκβέβλημαι τῶν λογισμῶν· καὶ τοῖς μὲν, ἀλγῶν, τοῖς δὲ αἰσχυνόμενος, οὐ πάνυ σωφρονῶ· ἀλλ' εἰ καὶ λίαν τὶς οὐκ ἐπ' ἐμαυτοῦ με εἶναι νομίζει, τοσοῦτόν γε ἔχω καθορᾶν, ὡς τὰ μὲν, λαμπρύνοντα ἄνθρωπον, οἱ μὲν εὖ πράττοντες, δέχονται· καὶ τὸ μὲν πρόσφορον, οἷς καιρὸς, κομίζονται. καὶ μέμψις ἄπεστιν. εἰ δέ τις δυσκολίᾳ κεχρημένος, καὶ τοὺς οἰκείους ὁρῶν ἐν τοῖς χαλεπωτάτοις, βοηθεῖν ἀδυνατῶν, μέμνηται τιμῆς, καὶ λαμπρότητος ἀντιποιεῖται. τοῦτον καὶ μισοῦμεν, καὶ μεμφόμεθα, καὶ θεοῖς ἐχθρὸν ἡγούμεθα. τὸ γὰρ ἄκαιρον, ἐν αἰτίᾳ πανταχοῦ. καὶ νῦν οὐκ ἐᾷ τούτων εἶναι καιρὸν ὁ δυστυχῶν ἀδελφός. ὁ ἀντειρηκὼς πατήρ· ὁ πεισθεὶς ἐκείνῳ δῆμος. ἀλλ' ἐπ' ἀγορᾶς με βούλει στῆναι χαλκοῦν, οὐδὲ φανῆναι τἀδελφοῦ τολμῶντος ἐπ' ἀγορᾶς; ἀλλ' ἐν πρυτανείῳ σιτεῖσθαι, τῆς οἴκοι τραπέζης ἐξῃρημένου τούτου; ἀλλὰ τάλαντα λαβεῖν,

λαβεῖν, προσαιτοῦντος ἐκείνου; ἀλλὰ κηρύγματος τυχεῖν, ἀποκεκηρυγμένου τούτου, μὴ πρὸς Διός. μή με ποιήσῃς περὶ τὴν φύσιν πονηρόν· μηδ᾽ ἐπιδείξῃς ὀλίγωρον τῶν ἐκείνης νόμων, οἳ τοῖς οἰκείοις ταυτά τε χαίρειν καὶ ταυτὰ λυπεῖσθαι διώρισαν. συγγενείας δὲ ἁπάσης ἀδελφὸς ἐντιμότατον. φέρε, εἰ δὲ ἐτεθνήκει νεωστί, καὶ κατειλήφει τὴν τελευτήν, ἡ νίκη, καὶ περὶ δωρεᾶς ὁ δῆμος καθῆστο, ἆρ᾽ ἄν με δοκῇς δέξασθαι ταυτὶ τὰ σεμνά, τὸν στέφανον, τὴν εἰκόνα, τἄλλα· ἀλλ᾽ οὐκ ἂν ἐν χάριτος μέρει, τὸ λαβεῖν τινα χρόνον, εἰς τὸ πένθος αἰτῆσαι; νῦν οὐ τέθνηκε μέν· ὃ δὲ πολλῷ θανάτου βαρύτερον, ἄτιμος περιέρχεται· μᾶλλον δὲ κρύπτεται. τί οὖν ὁ καιρὸς ἐπαγγέλλειν παραινεῖ; μετέχειν αὐτῷ τῆς ἀτιμίας, καὶ μὴ τρυφᾶν ἐν ἀκαιρίαις ἀδελφῶν. δωρεὰ δὲ πᾶσα τῇ τοῦ λαμβάνοντος ἡδονῇ κρίνεται. τὸ δὲ λυπηρόν, κἂν ἄλλως ᾖ τῶν καλῶν, εἰς τιμωρίαν τελεῖ. αὐτίκα τίς οὐκ ἂν εὔξαιτο στεφάνου τυχεῖν ἐπ᾽ εὐνοίᾳ τῇ πρὸς τὸν δῆμον, ἀλλ᾽ ἐὰν τὸν ἐν πένθει καθήμενον ἀναστήσας ἄγῃς εἰς ἐκκλησίαν, ὡς ἀναῤῥήσει κοσμήσων, ἐκόλασας τῇ τιμῇ καὶ τοὺς τυράννους διὰ τοῦτο δυσχεραίνομεν, ὅτι πολλάκις τὸν περὶ ταῦτα συνταράττουσι θεσμόν. πενθῶ δὴ καὶ αὐτὸς ἀδελφὸν ἐξεληλαμένον· καὶ τὸν στέφανον ἀπάγει τῆς κεφαλῆς ἡ τύχη. εἰ γὰρ τῶν ἑταίρων τις, οὓς ἡ κοινωνία τῶν ἀσκημάτων εἰς εὔνοιαν συνδεῖ, τοιούτῳ περιπεπτώκει κακῷ, μετρίως ἂν ὑμῖν[26] ἐνέγκαι δοκῶ τὴν τοῦ γνωρίμου συμφοράν, ἢ προσελθεῖν τοῖς ἀριστείας καρποῖς ἐν ταῖς τῶν συνήθων κακοπραγίαις; ὑπὲρ οὗ δὲ νῦν ἱκέτευον, ἀδελφός ἐστιν, ὦ πάτερ· τοῦτο δίκαιον ἕν. συμφοιτητής· τουτὶ δεύτερον. αἰδούμενός με διὰ τέλους· τουτὶ τρίτον. οὐ γὰρ ἐρῶ θρασύν, ὦ πάτερ, ὃν ἔγνων ἐπιεικῆ. τὸ μὲν οὖν ἄμεινον ἦν, τοῦτον τῆς ἐμῆς μεταλαμβάνειν εὐπραξίας· ἐπεὶ δὲ ἀντέκρουσεν ὁ φθόνος, δεύτερόν μοι κέρδος αὐτό, τὸ τῶν τούτου[27] με-

ταχεῖν

[26] ὑμῖν] sic W. ἡμῖν M.
[27] τούτου] sic W. et m. M. τοιούτων t. M.

ταχεῖν κακῶν. ἀλλὰ ἄλλος, ὦ δικασταὶ, τῶν ἠριστευκότων θαυμάζει τε καὶ λαβεῖν ἐπιθυμεῖ. ὁ μὲν αἰχμάλωτον ἐν ὥρᾳ οὖσαν· ὁ δὲ, ἐξ αὐτῶν τῶν λαφύρων χρυσόν· ὁ δὲ κτήματα καὶ γεωργίας· ὅδ᾽ ἀφ᾽ ὧν δόξα μᾶλλον, ἢ κέρδος. ἐπεθύμουν καὶ αὐτὸς ἰδεῖν δι᾽ ὑμῶν ἐν εἰρήνῃ τὸ γένος. ἔδοξα ληρεῖν, ἥττημαι λόγων· ἐπ᾽ ἄλλην εἶμι δωρεὰν πρέπουσαν τῷ ἐκείνης ἡμαρτηκότι. καὶ μηδεὶς οἰέσθω μοι[28] ταλαιπωρίαν ἀγνοεῖν, ἣ τὸν ἐκπεσόντα τῆς οἰκίας δέχεται, τὸν λιμὸν, τὴν ἀλουσίαν, τὴν ἀγρυπνίαν, ταπεινότητα, κατήφειαν, ἐσθημάτων ἀπορίαν, θρῆνον συνεχῆ. τούτων γὰρ ἐγγὺς ὁ διδάσκαλος· καὶ πάντα ἀκριβῶς οἶδα τὰ τῶν εἰς ταῦτα ἡκόντων. καὶ οὐδὲν δεῖ με παρὰ σοῦ μαθεῖν, ὡς εἰς τὸ βάραθρον μετριώτερον ἐμπεσεῖν, ἢ ταύτην ὑπομεῖναι τὴν τύχην. οἴκοθεν ἔχω τὸν παιδευτήν. εἰ δὲ ἠγνόουν τὰ τῆς ἐκβολῆς δεινὰ, καὶ οὐ μᾶλλον ἑτέρου τὸ πρᾶγμα ἐξηπιστάμην, οὐκ ἂν πάντων τὸ μέγιστον ἐποιούμην, ἀποδοῦναι τἀδελφῷ τὴν οἰκίαν. σὺ δέ με ὡς ἐπ᾽ ἀγαθόν τι τὴν ἀποκήρυξιν ἐπείγεσθαι νομίζεις. τὸ δὲ, οὐχ οὕτως ἔχει. πόθεν; ἀλλ᾽ οἶδα μὲν ἅπαν τὸ δεινόν· ἐπιθυμῶ δὲ ὅμως τῆς συμφορᾶς. καί μοι δότε τὴν χάριν ταύτην, ἐπειδὴ τὴν προτέραν ἐκωλύθητε. ὁρᾶτε, ὦ δικασταὶ, τοὺς ἐπὶ τοῖς μεγίστοις ἀτυχήμασι ζῆν οὐκ ἀξιοῦντας; οὗτοι μὲν τὸν θάνατον, ὡς ἔστι δεινὸν οὐκ ἀγνοοῦσιν· εἰσὶ γὰρ τῶν ὑπὲρ σωτηρίας εὐξαμένων πολλάκις. ὅμως δὲ ὀρέγονται τελευτᾷν. καὶ τὸν μὲν ἐναντιούμενον ἐχθρόν· τὸν δὲ ἐντιθέντα τὸ ξίφος, εὐεργέτην ἡγοῦνται. ταῖς γὰρ τῶν δεομένων ὁτουοῦν ἐπιθυμίαις ὁ συμπράττων, φίλος. καὶ νῦν ἐγὼ τῇ μὲν λύπῃ, πρὸς τὴν τῶν ἀτόπων ἐπιθυμίαν ἥκω· τοῖς δὲ ἐνταῦθα βοηθοῦσιν, ἀείμνηστον εἴσομαι τὴν χάριν. εἰ δέ τις ὕστερον ἐπὶ τὸ γέρας ἀφίκοιτο μέμψις, ἐμὸν τοῦτο ἔστω, τοῦ βουληθέντος λαβεῖν, ἀλλ᾽ οὐ τῶν δεδωκότων· οἳ τὴν ἡδονὴν τοῦ τὴν

δωρεὰν

[28] μοι] imo vero με τὴν ταλαιπωρίαν.

δωρεὰν αἰτοῦντος ἐθεράπευσαν πλέον, ἢ τὴν ζημίαν ἐσκόπησαν, ἤδη τινὰς εἶδον ἐπ' ἀρρωστήμασιν ἀδελφῶν ἑκόντας ἑαυτοὺς ἀποκλείσαντας σιτίων· καὶ καθ' ὅσον ἐξῆν κοινωνήσαντας τῶν δυσχερῶν· καὶ δόξαν ἀπὸ τούτου τὴν βελτίστην λαβόντας. μᾶλλον δὲ, εἰ δεῖ τἀληθὲς εἰπεῖν, τὴν χείρω διαφυγόντας. ὁ γὰρ εἰς τὸ γένος μὴ χρηστὸς, τίς ἂν εἴη περὶ τὸν δῆμον καὶ τὴν πόλιν; τοῦτό μοι καὶ νῦν ἡ δωρεὰ βούλεται δεῖξαι πᾶσιν ἀνθρώποις· ὡς οὐκ ἀμελῶ χρηστὸς ὤν· οὐδὲ φοβεῖν ἔμαθον πολεμίους μόνον. ἀλλὰ καὶ συναλγεῖν ἀδελφοῖς ἠτυχηκόσιν. εἰ τοίνυν καὶ λῃσταὶ κεκρατηκότες ἡμῶν, τὸν μὲν ἐν πέδαις εἶχον, ἐμὲ δὲ ἐποιοῦντο σύσσιτον καὶ τὸν μὲν ἐπίεζον, ἐμοὶ δὲ παρεῖχον τρυφᾶν· καὶ τῷ μὲν, πᾶσαν ἀηδίαν προσῆγον, ἐμοὶ δὲ ἅπασαν ἡδονὴν ἐπόριζον· ἐδεήθην ἂν αὐτῶν, μή με τιμωρεῖσθαι τοῖς τερπνοῖς· μηδὲ ἐν τῷ θεραπεύειν ἀνιᾶν· ἀλλ' εἰ κἀκεῖνον λυποῦσι, καὶ ἐμὲ δῆσαι· καὶ δοῦναι δωρεὰν, τὴν κοινωνίαν τῶν ἀλγεινῶν. καὶ νῦν, ὦ πάτερ, τὰς αὐτὰς ἀφίημι πρὸς σὲ φωνάς. ἐκβέβληκας τὸν ἀδελφόν· ἐμὲ δὲ οὔπω. δέδωκας ἐκεῖνον πενίᾳ· διάγω δὲ ἐγὼ ἐν ἀφθόνοις. εἴ σοι τὰ πρὸς ἐκεῖνον ἄσπονδα, ἐπάφες κἀμὲ τῷ πολέμῳ. μὴ κωλύσῃς τὸν δῆμον δοῦναι δωρεὰν, δι' ἧς ἐπιδειχθήσομαι τιμῶν τὴν φύσιν. ἀλλὰ πονηρὸς, φησιν, ἐκεῖνος ἐγένετο, καὶ ταῦτα παθεῖν ἄξιος. ἐγὼ δὲ, εἰ μὲν ἐπιληψόμενος τῆς ἐκβολῆς, ἀνέστην, καὶ τοιούτοις ἐχρώμην λόγοις· ἄνδρες πολῖται συκοφαντίᾳ μοι τὸν ἀδελφὸν ἀπολώλεκε. δίκην δέδωκεν ὧν οὐκ ἠδίκηκεν. ὀξύθυμός ἐστιν ὁ πατήρ· ἀναμαρτήτους ἀξιοῖ τοὺς υἱεῖς εἶναι· πρᾶγμα ἀμήχανον. καὶ κραυγὴ, καὶ θόρυβος ἐπεσκότισε τοῖς δικαίοις. δυστυχὴς μὲν ὁ νεανίσκος. πονηρὸς δὲ οὐδαμῶς. ὅλως εἰ πρὸς ἀπολογίαν ἔτεινεν ἡ παροῦσα μοι σπουδή· καὶ τότε τὸ κατηγορεῖν, οὐκ ἂν ἦν ἔξω καιροῦ. εἰ δὲ τὰς μὲν αἰτίας ἐῶ μένειν· τὸ δὲ μετ' ἐκείνου πράττειν κακῶς, ἥδιον τίθεμαι, τοῦ μὴ μόνος ἀπολαύειν τῶν ἀγαθῶν, τίς ἔτι χρεία τῶν ἐγκλημάτων; ἔδειξας, ὦ πάτερ, τὴν πονηρίαν. ἔπεισας δῆμον φιλάνθρωπον ἀτιμάσαι τὸν ἔλεον. οὐχ οὕτως

ἐγὼ ἀνόητος, ὡς ἀπολογίαν ἔτι ζητεῖν τῆς τοσαύτης[29] ἀρτίως κατεγνωσμένης. τί γὰρ οὐκ εἶπον ὧν ἐνῆν; ὡς οὐχ[30] ἡ νεότης ῥᾷστον, ὑπαχθῆναι, καὶ ἁμαρτεῖν τοὺς τῷ χρόνῳ μὴ κτωμένους τὴν σύνεσιν; οὐχ ὡς τὸ μηδὲν πλημμελεῖν ἐν τοῖς θεοῖς ὥρισται; οὐκ εἶπον ἃ παρ' ὑμῶν ἀκήκοα πολλάκις, ὅτι τοῦ νόμου Φοῖβός ἐστι τὸ βούλημα· καὶ τοὺς νέους δεδοικέναι μὲν ἀξιοῖ τὴν ἐκβολὴν ἐπὶ τῷ σωφρονεῖν, ἀπελαύνεσθαι δὲ οὐκ ἔτι, καὶ περινοστεῖν ἀοίκους, οὔσης οἰκίας, ἐφ' ἁμαρτήμασι φαύλοις; εἰ[31] γὰρ δὴ μεγάλοις[32] τί οὐκ ἀπέκτεινε; καὶ μὴν καὶ τὸν πατέρα ἠρόμην, εἰ τὴν νεότητα ἀναμαρτήτως πεπόρευται. οὐκ ἔχοντος δὲ εἰπεῖν, ἠξίουν τὸν αὐτοῦ πατέρα εἰς ἡμᾶς μιμεῖσθαι. λέγων δὲ ταῦτα, ἐρραψῴδουν, ὀνόματι πατρὸς κατακλυζόμενος.[33] τί οὖν φημι; δεῖν μήτ' ἐμοὶ συγχωρεῖν ἀπολογίας μεμνῆσθαι, τῷγε ἡττημένῳ, μήτε τούτῳ βλασφημίας, τῷ νενικηκότι. πέπαυται γὰρ ἀμφοῖν ἡ χρεία τῇ χειροτονίᾳ. καὶ τῷ βούλεσθαί με νῦν ἐκπεσεῖν, τὸ πεπονηρεῦσθαι τὸν ἀδελφὸν, οὐδὲν κοινωνεῖ. καὶ μὴν ὅσωπερ ἂν ἐκεῖνον τῷ λόγῳ κατασκευάζειν μιαρὸν, τοσούτῳ προνοητέον αὐτῷ τῆς ἐμῆς ἀρετῆς, ὅπως μὴ παντελῶς δυστυχὴς ᾖ πατήρ· ἀλλὰ τὸν μὲν πονηρὸν, τὸν δὲ οὐ τοιοῦτον ἔχῃ. ἂν μὲν τοίνυν ἐκπέσω, καὶ λάβῃ με κοινωνὸν ἑκόντα τῆς ταλαιπωρίας ἀδελφὸς, χρηστὸς, δίκαιος, τὴν φύσιν αἰδούμενος· πάνθ' ὅσα κάλλιστα, ἀκούσομαι καὶ δι' ἐμοῦ σὺ ζηλωτὸς ὁ γονεύς. ἂν δὲ· ὃ μὴ γένοιτο, μηδὲ ἔσω· τὸ κατ' ἐμαυτὸν προειδόμενος,[34] ὑπερβῶ τὸ ἐκείνου, πονηρὸς, ὠμὸς, ἀσεβὴς, οὐ θεοὺς εἰδὼς, οὐ νέμεσιν· πάντα τὰ χείριστα ἀκούσομαι· καὶ δι' ἐμοῦ πάλιν ἐν ὀνείδεσιν ὁ πατήρ. μὴ τοίνυν ἀνάγκῃ διπλῆν

[29] fort. τῆς τοσούτοις (id est ὑπὸ τοσούτων) ἄρτι κ. a tam multis hominibus condemnatae.

[30] fort. οὐχ ὡς — id est οὐκ εἶπον ὡς — nonne dixi quod —

[31] εἰ] malim ἐπεί.

[32] μεγάλης W. et m. M.

[33] quia jugiter auctoritas paterna mihi opponebatur, cui parendum sit.

[34] malim προϊδόμενος. ἐκεῖνο redit ad fratrem dicentis.

διπλῆν ὀδύνην ἐπὶ σοὶ[35] βαδίζουσαν. ἀλλὰ ἀποκήρυξιν ἀποκηρύξει παραμύθησαι, τῇ παρούσῃ τὴν προτέραν, τῇ παρ' ἐμοῦ, τὴν παρὰ σοῦ. ἡ μὲν γὰρ σημεῖον ἦν πονηρίας σοῦ παιδός· ἡ δὲ καλοκαγαθίας σοῦ παιδός. μετριώτερον δεῖ σε νομίσαι, τὰ περὶ τοὺς υἱεῖς ἐξ ἡμισείας ἀσχημονεῖν· ἢ τελέως ὄψει μεστὴν αὐτίκα τὴν πόλιν τοιούτων ῥημάτων. πάνυ γε· οὐ γὰρ πάντα ἀγαθὸς ἀριστεύς, ὃς τοὺς μὲν πολεμίους τῆς χώρας ἐξέβαλε· τὸν δὲ ἀδελφὸν οὐκ ἐπανήγαγεν οἴκαδε. εὐτυχίαν γὰρ ἥρπασεν ἐν τοῖς ὅπλοις, οὐκ ἀρετὴν ἐπεδείξατο. εἰ δὲ ἀρετὴν ἤσκει, πάντως ἂν ἐπέθηκε τῷ τροπαίῳ τὴν περὶ τὸ γένος ἐπανόρθωσιν. ἡ δὲ αἴτησις, ὦ πάτερ, καὶ τὸ ἡττᾶσθαι δοκεῖν, μικρὸν ἔχει τὸν ψόγον; ῥᾴδιον[36] γὰρ εὑρεῖν καὶ κατ' ἐκείνης λόγον. πλάσμα ἦν ἡ δωρεά, καὶ τέχνη. ῥήματα φιλάνθρωπα· γνώμη δὲ οὐ τοιαύτη. σχῆμα εὐπρεπές, οὐκ ἀληθείας ἔργον. ἐξεχλεύασε τὸν ταλαίπωρον ἀδελφόν· ἀλλ' οὐκ ἐξείλετο τῶν κακῶν. ἤνεγκεν αὐτῷ τὴν δυστυχίαν εἰς μέσον· ἀνελεῖν δὲ οὐκ ἐζήτησεν. ἀφωσιώσατο πρὸς τοὺς πολλούς· εἰρωνεύσατο· πράττει δὲ ὅπως ἀθάνατον ἐστήξει τὸ μῖσος. οὐ γὰρ αὐτὸς καὶ τὰ πρῶτα συνεσκεύασεν; οὐ γὰρ ἐκ τῆς τούτου κακοηθείας ὁ ἀδελφὸς ἐλήλαται, καὶ διαβολαῖς ἡ φύσις ἠδίκηται; εἰ δὲ ἄλλοθέν ποθεν ταῦτα προσπεπτώκει· καὶ οὐκ ἠρέσκετο τῇ συμφορᾷ, ταχέως ἂν ἔλυσε τὸ δεινὸν ἱκετείαις, ἀντιβολίαις, δεήσεσιν, ὀδυρμοῖς, δάκρυσιν, ἀεὶ παρών, συνών, συνδιαιτώμενος. μέγα δ' ἂν ἴσχυσε πρὸς διαλλαγὰς καὶ τὸ παρὰ πότον στενάξαντα, ἀνακαλέσαι τὸν ἀδελφόν. ἀλλ' οὐκ ἐποίησε τούτων οὐδέν· ἢ πάντως ἂν μετεστήσατο τὸν γονέα τῆς ὀργῆς. οὐ γὰρ δὴ τῶν θηρίων ἀγριώτερος ἂν ἦν· οὐδὲ πλέον τὸν υἱόν, ἢ τοὺς πολεμίους μισῶν, οἷς πολλάκις μεθ' ὑμῶν ἐσπείσατο, σὺν ὅπλοις· ἐπελθοῦσιν, ἥλιε,[37] καὶ πολὺ τῶν πολιτῶν ἀναλωκόσι, καὶ σπεύδουσι κατασκάψαι τὴν πόλιν.

[35] σοι] imo vero σε in accusatiuo.

[36] ἢ ῥᾴδιον m. M.

[37] ἴσ. ἤδη m. M.

πόλιν. τοῦτο γὰρ ἀνθρώπινον καὶ ἀσφαλὲς, τὸ μηδαμοῦ τὸ μέτρον ἐκβαίνειν. κεκράτηκας πολεμίων; σπεῖσαι. παῖδα ἐσωφρόνισας ἐκβαλών; ἀναλάμβανε. ὁ δὲ σεμνὸς ἀριστεὺς, τῇ μὲν αἰτήσει χρηστὸς ὤφθη· τῷ δ᾽ ἀτυχήσαντι[38] μὴ χαλεπῆναι, φαῦλος. καὶ τὸν ἐφ᾽ οἷς ἐπήγγειλεν ἔπαινον, οἷς οὐ πείσας πράως ἤνεγκεν· ἐξήλειψεν. ἀλλὰ τί ἐχρῆν ποιεῖν; φυγεῖν οὕτως ἀνελεῆ πατέρα· μισῆσαι πικρίαν ἄπαυστον· μεταστάξασθαι πρὸς τὸν ἀτυχοῦντα ἀδελφόν. ἥδιω νομίσαι τὴν μετὰ τούτου πενίαν, τῆς τοῦ πατρὸς περιουσίας. ἵνα δὴ μὴ τοιαύταις ὑποψίαις ἐνέχωμαι, κατ᾽ ἐμαυτοῦ γράφω τὴν ἐκβολήν. κερδανεῖς δὲ καὶ αὐτὸς, ὦ πάτερ, ἐν τῷ τὸν γράφοντα ἐμὲ ταῦτα εἶναι. τίνα τρόπον ἐγώ σε λελύπηκα, μὴ μισῶν τὸν ἀδελφόν; καὶ δίκην ὀφείλων σοι τῆς πρὸς ἐκεῖνον εὐνοίας; ἤδη[39] καὶ τοὺς ἐκπολεμώσαντάς σε πρὸς ἐκεῖνον, ἔτι καὶ νῦν ὁρῶ παρὰ σοὶ δυναμένους. οἶδα τοίνυν ὡς οὗτοι τὴν αὐτὴν προσοίσουσι μηχανήν· καὶ τοσούτῳ ῥᾷον παράξουσιν,[40] ὅσῳ συνείθικας εὐχερῶς ἀποκηρύττειν· καὶ τολμᾶν ἐν δικαστηρίῳ βοᾶν, ἀλλότριος, ὃν γεγέννηκα, ποιοῦμαι. οὐκ ἀνθέξεις τοῖς σοφισταῖς τούτοις, ὦ πάτερ, οὐδ᾽ ἂν σφόδρα ἐθέλῃς τὴν ἀριστείαν αἰδεῖσθαι. βούλει σοι προείπω, καὶ τὰ ῥήματα τῶν γοήτων; ἐχθρὸν ἔνδον ἔχων οὐκ ᾔδεις. ἐπὶ σαυτῷ τὸν παῖδα ἔτρεφες. πατραλοίας ἡμῖν ὁ γενναῖος. ταῖν χεροῖν οὐχ ἥψατο· ῥήμασι δὲ ἐρίδων[41] οὐκ ἀνῆκε· πρᾳότερος ἐθέλει τῶν γερόντων εἶναι δοκεῖν. πορευέσθω παρ᾽ ἐκεῖνον ὃν περὶ πλείονος ποιεῖται· δότω δίκην τῆς ὕβρεως· δεῖξον ὡς χαλεπαίνεις· ὡς οὐκ εἰδότα[42] ἀκήκοας· τοιούτοις ἠχήσονται[43] εὐθὺς οἶδα λαβόντες τοῖς ψεύδεσι· καὶ οὐδὲν ἐμποδιεῖ, τὸ τρόπαιον, ὁ φόνος·[44] τὸ τῆς ἀριστείας ἀξίωμα· τὸ ἐκ τοιούτων

[38] fort. ἀτυχήσαντα in accusatiuo. eo autem quod ob repulsam, quam tulisset, non tacuiit, se malum esse docuit.

[39] ἤδη] malim οὐχὶ nonne?

[40] ταράξουσιν m. M.

[41] ἐρίδων] num ἐρεθίζων an ἐρεσχελῶν?

[42] ἴσ. εἰκότα m. M.

[43] f. τοιούτοις σε κατηχήσονται. m. M. dat. τούτοις.

[44] f. τῶν πολεμίων ὁ φόνος.

τοιούτων ἔργων κρείττω τῆς αὐτῆς ἀποκηρύξεως[45] τοῖς νόμοις εἶναι. καὶ γὰρ τοιοῦτόν τι πέπυσμαι· ὀργὴ γὰρ ἡνίκα ἂν ὑπερζέσῃ, τὸν λογισμὸν παρώσασα, φέρεται ᾗ ἂν τύχῃ. σκόπει τοίνυν ὅπως σε φιλῶ, καὶ ταῦτα λυποῦντα. παρέχω σοι τιμωρίαν πράξασθαι, διαφεύγοντα τὴν αἰσχύνην. τὸ γὰρ ἐκπεσεῖν με τῆς οἰκίας τοῖς ἐμαυτοῦ λόγοις, ἐν μὲν τῷ μὴ μετέχειν τῶν πατρῴων, κολάζει. ἐν δὲ τῷ τοῦ[46] σιγῶντος τυχεῖν ἄνευ αἰτίας, ὧν ἐπιθυμεῖς δίδωσι. φέρε εἴ με ἐβούλου καταποντίσαι, φθάσας δὲ αὐτὸς ἐμαυτὸν, ἐνέβαλεν εἰς τὴν θάλασσαν, οὐκ ἂν σε εὐηργέτουν, ἀποπνιγεὶς τε καί σε τοῦ μύσους ἀπαλλάξας; εἰ δὲ ἤδεις ἂν ἀπέκτεινας ξίφει· τοῦτο δὲ αὐτὸς αἰσθόμενος, εἰς ἐμαυτὸν ὦσα τὸ σιδήριον, σοῦ διαμέλλοντος, οὐκ ἂν ἦν σοι κεχαρισμένος, τεθνεὼς τε καὶ σὲ διατηρήσας καθαρὸν τοῦ φόνου; ἀπὸ τῆς αὐτῆς καὶ νῦν γνώμης ἀποκηρύττεσθαι βούλομαι. ἐλθέτω μανίας ἐπ' ἐμὲ μᾶλλον ἔγκλημα, ἢ τὸν πατέρα ἀσεβείας. εἰπάτω τὶς, ὡς ὁ νεανίσκος παραπαίει, μᾶλλον, ἢ ὁ πρεσβύτης παραφρονεῖ. λάβε δίκην, ὦ πάτερ, λάβε μεγάλων ἁμαρτημάτων. ἐμνημόνευσα πρὸς σὲ φιλανθρωπίας. ἐμνημόνευσα προσηγορίας ἀδελφοῦ· ἐμεμψάμην ὀργήν· ἐπῄνεσα συγγνώμην. ἦν που τῆς δημηγορίας καὶ τὸ τῶν διαλλαγῶν ὄνομα· καὶ τὸν ἔλεον προσεῖπον. ὀφείλω δίκην ἐπιεικῶν ῥημάτων. ἀποκήρυξον, ἔκβαλε· μὴ μεταβάλῃς τοὺς τρόπους. ἀλλ' ἀσύμφορον νὴ Δία τὸν ἀριστέα διάγειν ἐν λύπῃ. καὶ διὰ τοῦτο τῆς περὶ τὸν πόλεμον ἀμελεῖν μελέτης· καὶ τοῖς ἐχθροῖς παρασκευάζειν ἡδονήν. δῆλον γὰρ ὡς τὰ τούτου δυσχερῆ, τοῖς ἐναντίοις ἑορτή. τί φής; δέδοικας μὴ πεσὼν εἰς λύπην, ἀμελήσω τῶν ὅπλων; νῦν γὰρ ἐν εὐφροσύνῃ μοι τὰ πράγματα, καὶ ᾠδαῖς, καὶ γέλωτι. τεκμαίρου τὴν ἀθυμίαν ἄνθρωπε τῷ προσώπῳ. ταύτῃ συζῶ· διὰ ταύτην ἀπόλωλα. λύπη μοι σύμπας ὁ βίος. ἂν εἰς τὴν ἀγορὰν

[45] f. τῆς σεμνῆς (aut καλῆς) ἀποκηρύξεως.

[46] τοῦ] malim σοῦ te tacente.

ῥὰν ἐμβάλω, τοῖς γνωρίμοις ὑπὲρ τούτου λαλῶν, δακρύω. ἂν οἴκαδε εἰσέλθω, τὸ πλήρωμα ὁρῶν ἠκρωτηριασμένον, πενθῶ. ἂν εἰς παλαίστραν ἀφίκωμαι, τὸν ἀδελφὸν ὁρῶν ἀπερριμμένον, ὀδύρομαι. ἅπας καιρὸς καὶ τόπος, ἀφορμὴ δακρύων· οἰκία, στενωποὶ, γυμνάσια, σύλλογοι· τράπεζα, ὕπνος. ἤδη γὰρ κἂν τοῖς ὀνείρασιν ἔνδον μὲν ἔχειν αὐτὸν δοκῶν, ὑφ' ἡδονῆς ἐκπηδῶ· μανθάνω δὲ τὴν ἀπάτην· ἐν ὀδυρμοῖς ἀναμένω τὴν ἡμέραν. μάρτυρα δὲ ἔχω τῶν πολλῶν δακρύων, τὸν ἐπ' αὐτοῖς πολλάκις ἀγανακτήσαντα, τοῦτον αὐτὸν τὸν πατέρα. ὥσθ' ὑπὲρ οὗ τὴν ἀποκήρυξιν δέδοικας, μή με εἰς ἀθυμίαν καταστήσας χείρω ποιήσῃς· τοῦτο καὶ νῦν ἐνοχλεῖ. καὶ γὰρ ἐφ' αἷς μόναις εἶχον ἐλπίσιν, ὡς λύσων τἀδελφῷ τὴν συμφορὰν, μάταιοι πεφήνασι· καὶ οὐκ ἴσχυσεν ἀριστεία νικῆσαι τὴν ἀποκήρυξιν. εἶτ' ἐμοὶ τοῦ λοιποῦ τί τερπνόν; οἴει γὰρ ἐν πλήθει σιτίων, καὶ μαλακῇ στρωμνῇ, καὶ σκεύεσι λαμπροῖς εἶναι τὴν εὐθυμίαν; τὸ δὲ, οὐχ ἧττον[47] οὕτως ἔχει. πόθεν; ἀλλ' ἐκείνης μὲν ἡγουμένης ἔν τισι καὶ τούτων χάρις. λύπην δὲ ἰσχυρὰν, οὐ κουφίζει τράπεζα πολυτελής. ἀλλ' αὐτὸ τοὐναντίον, τοῖς φαυλοτέροις οἱ πενθοῦντες χαίρουσι· κἂν εἰς τρυφὴν ἄγῃς, προσεπέτριψας. μὴ οὖν οἴου μοι τὸν οἶκον[48] τοῦ πατρὸς ἱκανὴν παράκλησιν εἰς ἄσκησιν[49] ἔσεσθαι, τοσαύτην βεβλημένῳ[50] ἐπίρρωσιν τῆς ῥώμης[51] ἐκείνης κατάλυσιν. ἆρ' ἂν πείσαιμι λέγων, ὡς ῥᾴων ἔσομαι τῆς οἰκίας ἐκπεσὼν, ἢ μένων. νῦν μέν γε κίνδυνον ἔχει μοι τὸ συγγενέσθαι τἀδελφῷ, καὶ δεξιὰν ἐμβαλεῖν καὶ ἐλθεῖν εἰς λόγους. καὶ ὥσπερ οἱ τὰ δεινότατα δρῶντες

47 dele ἧττον.

48 οἶκον] sic W. et m. M. οἶνον t. M.

49 ἄκησιν] sic W. et m. M. (cum ἴσ. οἴκησιν) scil. τῶν πολεμικῶν. ἄσκεσιν t. M.

50 f. τοσαύτῃ λύπῃ βεβλημένῳ (vel συμφορᾷ) οὐκ ἐπίρρωσις τῆς ῥώμης ἐκεῖνος, ἀλλὰ κατάλυσις. mihi, qui tanta calamitate ictus sim, non confirmatio fortitudinis, sed destructio eius est, paterna domus. nam ἐκεῖνος redit ad οἶκος τοῦ πι.

51 ῥύμης m. M.

τες, ἐν τῷ λαθεῖν ἔχουσι τὴν ἀσφάλειαν· οὕτω καὶ ἡμεῖς μόλις καὶ λάθρα τοῦτο τολμῶμεν. πολλοὶ δὲ οἱ κατάσκοποι, συμπόται, κόλακες, οἰκέται καὶ θέουσιν εὐθὺς παρὰ τοῦτον, καὶ παροξύνουσιν, ἐν οἷς ζημιοῦσι χαριζόμενοι· καὶ τὸ δεῖπνον ἡμῖν ἐντεῦθεν, ἐγκλήματα, καὶ γραφαὶ, καὶ μετὰ ἀπειλῶν ἡ θοίνη. πάλιν ἕτερος ἐκείνους εὐδοκιμοῦντας ἰδὼν, φυλάττει καὶ πονεῖ περὶ τὴν θήραν· καὶ πολλάκις ἅτ' εἶδεν, ἅτ' οὐκ εἶδεν, ἀπήγγειλεν. ὁ δὲ πατὴρ, ἄλλως μὲν ἡμῖν οὐ πονηρὸς, ἀπιστεῖν δὲ οὐκ εἶδεν. ὅστις οὖν δέδοικε τὴν ἐσομένην λύπην, ὡς βλάβην ἐσομένην, εἰς τὸν πόλεμον, τῇ πόλει, σκοπείτω καὶ τὴν παροῦσαν· καὶ τάχα εὑρήσει μείζω. ἀλλὰ δεινὸν εὐφράναι τοὺς πολεμίους. τὸ γὰρ νῦν πεπραγμένον, οὐχ ἱκανὸν εὐφράναι; ἐκκλησίας ἀναστάσις;[52] οἱ πολλοὶ δραμοῦνται παρ' ἐκείνους, ἀγγέλλοντες τὴν ἐμὴν ἀτιμίαν· οὐ γὰρ εἴωθε τὰ ἱερὰ ἀνοίξειν αὐτοὺς, καὶ θύσειν ὡς ἐπὶ τροπαίοις· καὶ τὴν ἐπὶ τοῖς πεπτωκόσι λύπην κουφιεῖν, οἷς περὶ τὴν αἴτησιν ὑβρισμαι; τί γὰρ ἂν καὶ μεῖζον ζητοῖεν; ἄνθρωπος τὸ θράσος ἐκείνοις μεταστήσας εἰς φόβον, καὶ πεπονθότας δείξας ἃ δράσειν ἠπείλουν· καὶ τοὺς μὲν, ἀποσφάξας, τοὺς δὲ δειλοὺς ἀποφήνας, καὶ τὴν τῶν ἀλλοτρίων ἐπιθυμίαν, εἰς τὴν ὑπὲρ τῶν οἰκείων εὐλάβειαν μεταθείς. καὶ τοὺς μὲν παίδων, τοὺς δὲ γονέων, πολλὰς δὲ ἀνδρῶν στερήσας, ἄνθρωπος τοῖς ἀπ' ἐκείνων λαφύροις κοσμήσας τὸ ἄστυ, καὶ τοὺς προσιόντας κινδύνους ἀπωσάμενος, καὶ διατηρήσας ἱερὰ, ὅσια, χρήματα, σώματα, τάφους, τὴν πόλιν, τὴν χώραν· καὶ δοὺς ἀντὶ τοῦ τρέμειν, παιανίζειν καὶ στεφανοῦσθαι· καὶ προσεμπεσὼν[53] εἰς μέσους ὁπλίτας, καὶ τῆς σωτηρίας ὀλιγωρήσας, καὶ τῆς τιμωρίας ἐπιθυμήσας· οὗτος ὁ τοσούτων ἀγαθῶν αἴτιος, εἰς δωρεὰν ὑπὸ τοῦ δήμου κεκλημένος, αἰτήσας οὐχ αὐτῷ περιουσίαν, οὐδ' ἃ πολλάκις τοὺς

[52] ἀναστάσεις W. lege ἀναστάσης, concione digressa.

[53] f. προεμπεσὼν ante alios omnes commilitones; primus impressionem fecerat in hostes.

τοὺς μὲν λαβόντας ὤνησε, τοὺς δὲ διδόντας ἐλύπησεν· ἀλλ' ἀξιώσας εἰς τὸ γέρας υἱεῖ πατέρα συναλλάξαι, αἰσχρῶς καὶ ἀτίμως ἐπεστομίσθη· καὶ μονονοὺ πατραλοίας ἔδοξε, καὶ δίκην ὀφείλειν τοῖς νόμοις. μικρά γε· οὐ γάρ; εἰς ἡδονὴν ταῦτα[54] τοῖς ἐναντίοις, ἢ πάλιν ἐλπίδας οὐκ ἂν ἐμποιήσοντα; μὴ τοίνυν ἃ δεδώκατε ἐκείνοις ἤδη, ταῦτα ὅπως μὴ δώσετε ζητεῖτε. μηδ' οἷς[55] ἐψηφίσασθε παραμυθήσασθαι, τούτοις φθονεῖτε τῆς ἐσομένης ἡδονῆς; ἀλλὰ δότε, ὦ ἄνδρες, δότε μοι τὴν δευτέραν χάριν. ἐπειδὴ τὴν προτέραν μείζω τῆς ἀριστείας εὑρήκατε. ἐκβάλετε[56] τῆς πατρῴας οἰκίας· ἐπειδὴ τὸν ἀδελφὸν ἐπανάγειν οὐκ ἔχετε. τί κατοκνεῖτε; μὴ γὰρ λαβεῖν τι βούλομαι; στέρησις τῶν ὄντων ἐστὶν ἡ χάρις· ἀρτίως μέν γε τῷ πατρὶ χαριζόμενοι, τὸν ἠριστευκότα ἠδικεῖτε. νῦν δὲ ἀμφοτέροις ἀρέσκοντα ψηφίσασθε. ποιήσατέ με ἀνέστιον· πρᾶγμα ἥδιστον ἐμοί. τοῦτον ἀπαλλάξατε παιδός· πρᾶγμα σύνηθες τῷ πατρί. ἂν δὲ φειδόμενοί μου μὴ δῶτε τοῦτο, διαβεβλήκατε τὴν προτέραν γνῶσιν. ὑβρικέναι γὰρ ὃν ἴστε χρήσιμον ὁμολογήσετε.[57] ὅσοι πρεσβῦται δι' ἡμᾶς ἄπαιδες οὐ γεγένησθε. ὅσοι παῖδας νέους ὀρφανοὺς οὐ καταλελοίπατε. ὅσοι γυναῖκας οὐκ εἴδετε πρὸς ὕβρεις ἑλκομένας. ὅσοι πλουτεῖτε βεβαίως. ὅσοις ἐφύλαξα κτήματα καὶ οἴκους. ταύτην ἀντίδοτε τὴν χάριν. ἐκβάλετέ με τῆς πατρῴας οἰκίας. μηδὲν ἐνταῦθα ἀντείπῃς[58] ὦ πάτερ· μηδὲ κινήσῃς τὴν σαυτοῦ δεινότητα πάλιν. οὐκέτ' ἐκεῖνα τὰ πρότερον, λόγοι[59] ὑπὲρ φύσεως, καὶ συγγενείας, καὶ θεῶν γενεθλίων

54 sic distingue: μικρά γε (οὐ γάρ;) εἰς ἡδονὴν ταῦτα. *minutae hae sunt scilicet causae laetandi. An tu negabis?* est oratio cauillatoria. interiectio illa vel parenthesis οὐ γάρ *annon verum est?* demosthenica est.

55 οἷς] malim οὓς *quos solari decreuistis.*

56 malim ἐκβάλλετε.

57 f. ὃν ἴστε χρήσιμον ὑμῖν γεγενημένον.

58 ἀντείπῃς] sic recte W. ob insequens κινήσῃς. M. dat ἀντείποις.

59 λόγοι per epexigesin exponit, quae sint illa τὰ πρότερον. non hic iam rursus eadem fiunt, vel vsu veniunt, quae ante,

γενεθλίων καὶ κουροτρόφων, καὶ φιλανθρωπίας, καὶ συγγνώμης, καὶ νεότητος ὀλισθημάτων. ἀλλά μοι παρελθὼν, ἀκολούθησον τῷ ψηφίσματι. τήρησον ὃν ἔθου νόμον· φθέγξαι πάλιν τὰ αὐτὰ ῥήματα. νῦν μὲν οὐδενός σοι δεῖ γραμματέως ἀναγνωσομένου τὸν νόμον· ἀλλ᾽ ἐπίστασαι τῆς ἀποκηρύξεως τὰς συλλαβάς. μή μου τὴν ἀριστείαν αἰσχυνθῇς. μηδὲ τοὺς αἰχμαλώτους οὓς εἷλον· μηδὲ τὸ πλῆθος τῶν νεκρῶν. ἔπεισας καὶ [60] τὸν δῆμον, ἃ τέως ἐθαύμαζεν, ἀποφαυλίσαι. μόνος οἴκει τὴν οἰκίαν· ἀπαλλάγηθι τῶν ἐμῶν δακρύων. οὐ δύναμαί σοι συνὼν ἀμνημονῆσαι τοῦ κακοδαίμονος ἀδελφοῦ. χρηστόν με, ὦ πάτερ, ἐγέννησας, ἐλεήμονα, φιλοικτίρμονα, πάσχοντά τι πρὸς τὰς οἰκείων τύχας. ἐγκάλεσον τῇ φύσει· ὁ δεῖνα βίαιος· ἄλλος ὠμός· ἄλλος ἑτέρως.[61] ἐγὼ φιλάνθρωπος. οὐκ ἔστι μάχεσθαι τῇ φύσει. πολλῶν ὀφείλω σοι χάριτας, γονῆς, τροφῆς, παιδείας· ἀμείβομαί σε τῷ φυγεῖν τὴν οἰκίαν. οἶδα οἷς χαίρεις, ὦ πάτερ. ἐδίδαξάς με τὴν πρώτην [62] ἀποκήρυξιν τῇ νῦν ἀπολογίᾳ. ταῦτ᾽ οὖν αἰτῶ, καὶ ταῦθ᾽ ἡγοῦμαι καλὴν καὶ προσήκουσάν μοι δωρεάν. δεινὸν δὲ οὐδὲν, μή σε λαβόντες ἔρημον οἱ συκοφάνται, καταθέωσι. τῆς μὲν γὰρ οἰκίας ἀφέξομαι· τῆς δὲ εὐνοίας οὐκ ἀποστήσομαι. ἐπειδὴ καὶ ταῦτα ἀπ᾽ εὐνοίας τῆς πρὸς σὲ λαβεῖν ἀξιῶ. ὄψει καὶ τοῦτον τὸν πονηρὸν ἀδελφὸν μετ᾽ ἐμοῦ τῆς σῆς ἀσφαλείας προβεβλημένον. τεκμαίρομαι δὲ τῷ μετὰ τὴν ἀποκήρυξιν χρόνῳ. ὃ τοσούτῳ πιεζόμενος, οὐδὲν ἀιαρὸν τὸν πατέρα ἐφθέγξατο. ἀλλὰ διατελεῖ τὰς

αἰτίας

ante, scil. λόγοι sermones — Subauditur enim γίγνονται. vel tale quid, ὑπ᾽ ἐμοῦ. non habentur a me nunc eius modi sermones, atque ante.

[60] καὶ] malim γάρ.

[61] ἑτέρως] num ἄνερως *amore carens*? aut deest aliquid, num ἄλλος ἔχων ἑτέρως. alius aliis moribus praeditus, atque ego sum.

[62] malim τῇ πρῴην ἀποκηρύξει τὴν νῦν ἀπολογίαν. eo quod nuper meum fratrem abdicasti, docuisti me modum, quo factum illud excusem.

αἰτίας δεχόμενος· καὶ μᾶλλον ἑαυτὸν συκοφαντῶν,[63] καὶ κατηγόρων μεμφόμενος· θαυμάζει δὲ τὸν πατέρα, καὶ τῶν προσηκόντων οὐκ ἀποστερεῖ· τὴν δ' ἑαυτοῦ τύχην κακίζει, καὶ σπεύδει γενναίοις ἔργοις ἀνελεῖν τὴν ἀτιμίαν. ἐγώ σοι τοῦτον ἐπιδείξω στρατιώτην ἀγαθὸν, ταχέως· καὶ κληθήσῃ δυοῖν ἀριστέοιν πατήρ. πολλοὶ πολλάκις ἐκ νεότητος ὑπαιτίου πρὸς τὴν προσήκουσαν ἐκβάντες ἡλικίαν, ἐθαυμάσθησαν εἰς ἀρετάς. καὶ καθάπερ ἐν δράματι σκευὴν, μεταβαλόντες τοὺς τρόπους, οἱ μὲν, ἐκ δειλίας, ἐφάνησαν ἀνδρεῖοι· οἱ δὲ, ἐξ ἀκολάστων σώφρονες· οἱ δὲ ἐκ θρασέων ἐπιεικεῖς. οἱ δὲ, ἐκ ῥαθύμων φιλεργοί· οἱ δὲ ἐξ ἀσελγῶν μέτριοι. καὶ ἐφ' οἷς πρότερον ἐκακίζοντο, ταῦτα ἀποβαλόντες, εἰς ἀγαθοὺς ἐτέλεσαν, καὶ τῆς πόλεως εὐεργέτας μεγίστους, οἷς ὑπὲρ αὐτῆς ἐπεδείξαντο. τὸ γὰρ τῆς ἀριστείας κἂν παραχρῆμα φαῦλον νομισθῇ, μικρὸν ὕστερον, ὁπόσον ἐστὶν ἐγνώσθη. παραμυθήσεται τὴν σπάνιν, ὁ κρότος· τὴν ἔνδειαν,[64] ἡ μνήμη τῆς μάχης· τὴν ἀπορίαν ἡ δόξα. οὐχ ἕξομεν οἰκίαν· ἀλλ' ἐγγὺς τοῦ τροπαίου σκηνώσομεν. τοῦθ' ἑστία μοι· τοῦτο καταφυγή· τοῦτο παράκλησις, πρὸς τὸ μέλλον. στέρξουσι μὲν οἱ πολέμιοι τὴν ἡσυχίαν. οἶδα ἐγὼ τὴν ἐκείνων πληγήν. εἰ δ' οὖν, οἷα τὰ ἀνθρώπινα, τὴν ἀρχαίαν ἀναλάβοιεν ἰσχὺν, πολλοὺς εὑρήσετε τοὺς ἐμὲ μιμησαμένους·[65] οἷς ἐναντίον ὑμῶν διαλέξομαι· ἄνδρες οἷς εὐψυχία μὲν εἰς τοὺς κινδύνους, εὔνοια δὲ πρὸς τὴν οἰκίαν.[66] καὶ σώματος μὲν ὀλιγωρία, φιλοτιμίας δὲ ἔρως· μηδεὶς ὑμῶν καταγνοὺς ἀχαριστίαν τοῦ δήμου, ἄκων μαλακιζέσθω. μηδὲ εἰς τὴν ἐμὴν ἀφορῶν ἀτιμίαν, κατοκνείτω. ταῦτα ἐπ' ἐμαυτὸν γράφω. εἰς δωρεὰν ἡγοῦμαι τὴν συμφοράν. ἐγὼ πενίας ἐπιθυμῶ. ἐμὴν τοῦτο

ἡγεῖσθε

63 ἑαυτὸν, ἢ τῶν τινα συκοφαντῶν semetipsum potius, quam sycophantarum aliquem culpans. vt συκοφαντῶν non sit nominatiuus in sing. part. sed genit. in plurali a συκοφάντης.

64 ἔνδειαν] sic W. ἔδειαν M. sed operis typographicis debetur.

65 malim μιμησομένους.

66 malim οἰκείαν. erga patriam.

ἡγεῖσθε μανίαν· μὴ τῆς πόλεως ἀγνωμοσύνην. Φεύγω τὴν οἰκίαν, ἐφ' ἧς οὐκ ἔχον δεῖξαι τὸν ἀδελφόν. ὑμεῖς τε ἄνδρες τε[67] γίγνεσθε. καὶ μὴ ταράττεσθε τῷ παραδείγματι. πάντα ἐπαινῶ τῆς ἀποκηρύξεως, πλὴν ἑνός· ἡδίους ποιήσεις[68] τοὺς πολεμίους. σὺ δὲ, εἰ καὶ τοῖς πολίταις ὕστερον, πάτερ, ἀπεχθήσῃ· παρὰ τοῖς ἐναντίοις εὐδοκιμήσεις. εὐωχοῦ δὴ καὶ πίνε μεθ' ἡδονῆς· καὶ τρέφε κληρονόμους, ἀντὶ τῶν υἱέων, τοὺς κόλακας.

67 τε] malim δέ.
68 malim ποιήσει, scil. ἡ ἀποκήρυξις.

ΑΛΛΗ ΜΕΛΕΤΗ.

ΘΕΩΡΙΑ.

Νόμος τὸν θορύβου καὶ στάσεως αἴτιον ἀποθνήσκειν. πένης ῥήτωρ ἐχθρὸς ἦν πλουσίῳ τὰ πολιτικά· ἐν λιμῷ καὶ πολιορκίᾳ, ὁ πλούσιος ἐπηγγείλατο νίκην, εἰ τοῦ πένητος ἡ γλῶττα τιμηθείη·[1] νυκτὸς ἐξελθὼν ἀπεδίωξε τοὺς πολεμίους· τὴν ἡμέραν δημηγοροῦντος αὐτοῦ ὁ πένης παρὼν ἐδάκρυσε. κατέλευσεν ὁ δῆμος τὸν πλούσιον· καὶ ὁ ῥήτωρ[2] ὑπάγεται τῷ νόμῳ.

(Ἡ στάσις, ἀντίληψις ἁπλῆ ἀπ' αὐτοῦ τοῦ πεπραγμένου, καί τινος ἐπισυμβεβηκότος κρινομένου.)

1 post τιμηθείη add. B. ξίφει· ἔλαβε.
2 ὁ πένης Bau. et m. M.

ΡΗΤΟΡΟΣ ΑΠΟΛΟΓΙΑ.

Ο ΜΕΝ πολλὰ φθεγξάμενος ἐπὶ τούτου τοῦ βήματος, ὦ ἄνδρες, πολλάκις, ἢ κρίνων κακούργους, ἢ βοηθῶν ἀδικουμένοις, ἕστηκε σιωπῇ νῦν, ἐν ταῖς ἑτέρων γλώτταις, τὴν ἐλπίδα τῆς σωτηρίας ἔχων. δεῖ δὲ ἡμᾶς οἷς ἔτι περίεστι φωνῆς, καὶ συγχωροῦσιν οἱ πλούσιοι πᾶν ὅσον ἐστὶν ἐν ἡμῖν συναγωνίσασθαι, καὶ μὴ περιιδεῖν τῇ τοῦ φεύγοντος ἀφωνίᾳ βλαπτομένην τὴν τῶν δικαίων ἰσχύν· οὐ μόνον ὅτι πανταχοῦ προσήκει τούτου τοῦ μέρους ποιεῖσθαι πρόνοιαν, καὶ τοῖς ἀδυνάτοις τοὺς ἔξω τῶν συμφορῶν ἀμύνειν· ἀλλ᾽ ὅτι καὶ ἡμῖν πολλάκις συκοφαντουμένοις, ὁ νῦν εἰς ἡμᾶς βλέπων οὑτοσὶ παρέστη, καὶ συνδιέσωσε[3] καὶ πάντων ἂν εἴημεν κάκιστοι, τὰς ἀμοιβὰς ἐν οὕτως ἀναγκαίοις καιροῖς ἐκλείποντες. ἄξιον δὲ καὶ ὑμᾶς,[4] ὦ ἄνδρες, τό τε δίκαιον αἰδεσθέντας, καὶ τὸ πάθος ἐλεήσαντας, μὴ προσθεῖναι τῷ πένητι μεῖζον κακὸν, τὸ[5] δοκεῖν παραβεβηκέναι νόμον. αὐτὸς μὲν οὖν ὁ πένης οὐ δέδοικε τὸν θάνατον· ἀλλὰ καὶ σφόδρα βούλοιτ᾽ ἂν[6] ἀπελθεῖν. ὁ γὰρ ἐκ τοῦ λέγειν εὐδοκιμῶν, καὶ παραμυθίαν ἔχων τῇ πενίᾳ τὴν πολιτείαν· εἶτα τοῦ δύνασθαι παραινεῖν ἐστερημένος, κέρδος ἂν ἡγοῖτο τὴν τελευτήν· οὐ μὴν ὑμᾶς γε πρέπει, διότι τῷ κρινομένῳ βαρὺ τὸ περιεῖναι, καταψηφίσασθαι θάνατον· δεῖ γὰρ τὸν ἐν ὑμῖν φεύγοντα μὲν ἀδίκως, τῷ δὲ κεχρῆσθαι συμφορᾷ τῆς τελευτῆς ἐπιθυμοῦντα, σώζεσθαι μὲν ὑφ᾽ ἡμῶν, ὕστερον δὲ αὐτῷ περὶ τούτου διαλέγεσθαι. τὴν γὰρ ψῆφον, οἶμαι, οὐ πρὸς τὰς ἐπιθυμίας τῶν ἀγωνιζομένων· ἀλλ᾽ ἀπὸ

[3] διέσωσε Bau.

[4] καὶ ὑμᾶς] ſic B. καὶ deeſt M.

[5] τῷ B. quod etiam proteſt probari.

[6] poſt ἂν deleui καὶ, quod etiam B. et m. M. omittunt.

ἀπὸ τοῦ δικαίου προσήκει φέρεσθαι. οὐκ οἶδα δὲ, ὦ ἄνδρες, τίνα χρὴ γενόμενον τὸν ἄθλιον τοῦτον ἐκφυγεῖν τὴν παρὰ τῶν εὐπόρων ἐπήρειαν. ὅτε μὲν γὰρ ὑπὲρ ἡμῶν ἐχρῆτο τῷ λέγειν, ἀπεστερεῖτο τῆς γλώττης ὑπὸ τῶν ἐχθρῶν, ὡς οὐδὲν ἔτι λυπήσων· πάλιν δὲ σεσιγηκὼς, ὡς ἀδικῶν κρίνεται. εἰ δὲ καὶ λέγων καὶ μὴ λέγων ἐν ἐγκλήμασιν ἔσται καὶ κακοῖς, τί ζητήσας ἀδείας τεύξεται; τοῖς οὖν ἁπανταχοῦ δεινὰ πάσχουσι, καὶ μηδ' ἀναπνεῖν ἐωμένοις, μία καταφυγὴ, τὸ παρ' ὑμῶν, ὦ ἄνδρες, φιλάνθρωπον· οὗ καὶ νῦν τοῦτον ἀπολαῦσαι δίκαιον· ἄλλως θ' ὅτι τῷ μὲν δοκεῖν, ὁ πένης κρίνεται· τὸ δ' ἀληθὲς[7] ὁ δῆμος δοκιμάζεται· καὶ γὰρ τὸ περὶ τὸν πλούσιον ἔργον ἐκείνου· ὥστε καὶ τῆς ἐφ' ἑκάτερα ψήφου τῷ φεύγοντι τὸν δῆμον ἀνάγκη κοινωνεῖν. μηδεὶς δὲ ὑμῶν ὡς εὐεργέτου βεβλημένου[8] τοῖς λίθοις τὴν γνώμην ἐχέτω,[9] μηδ' ὑπαγέσθω τοῖς ἐγκωμίοις, ἃ σεμνύνων τὸν πλούσιον ὁ κατήγορος[10] διῄει· τραγῳδῶν μὲν τὴν πολιορκίαν· θαυμάζων δὲ τὴν ἄτοπον ἔξοδον· αἴρων δὲ τῆς νίκης τὸ τάχος· ἂν γὰρ ἡσυχῇ καὶ τοὺς παρ' ἡμῶν δέξησθε λόγους, οἴομαι δείξειν αὐτὸν, οὐχ ὅπως οὐκ εὐεργέτην, ἀλλὰ καὶ πονηρὸν εἰς ὑμᾶς καὶ κατεσκευακότα τὸν πόλεμον, ἀλλ' οὐ κινδύνους αὐτομάτους λύσαντα. δότε δὴ,[11] ὦ ἄνδρες, μικρὰ πρότερον διαλεχθῆναι τῷ πένητι· τοῦτο γὰρ αὐτῷ λοιπὸν, λεγόντων ἀκούειν·[12] εἰς ταῦτά σε κατέστησεν ἡ σὴ πολιτεία, κακόδαιμον· εἰς τοῦτό σε συμφορῶν προήγαγε[13] τὸ μὴ γνωρίζειν[14] τὴν τύχην. ἀπὸ τῶν ψηφισμάτων σοι τῶν γενναίων, τοῦτο τὸ δεινὸν ἔφυετο· ἀπὸ τῶν συμφερόντων νόμων. ἐκ δημοτικῆς παῤῥησίας· λαμπρὸν εἰπεῖν[15]

γνώμην

[7] τῇ δ' ἀληθείᾳ B.

[8] κεκλημένου m. M.

[9] ἐχέτω] sic B. idem est ac si dixisset οὐδεὶς νομιζέτω τὸν πλούσιον, εὐεργέτην τῆς πόλεως ὄντα, τοῖς λίθοις ἀδίκως βεβλῆσθαι. M. dat ἑλέτω.

[10] ὁ κατήγορος] subaudi τοῦ πένητος.

[11] δὲ B. et m. M.

[12] λεγόντων ἀκούειν] nam ipse loqui non potest.

[13] προήγαγε] sic B. et m. M. προσηγ. t. M.

[14] καὶ γνωρίζειν B.

[15] ἦν εἰπεῖν B.

γνώμην ἀρίστην, καὶ πεῖσαι τὰ δέοντα, καὶ κωλῦσαι πραχθῆναι, τὰ μὴ προσήκοντα; λαμπρὸν, ἀλλὰ σφαλερόν. δίκαιον τῇ πατρίδι συμπονεῖν· καὶ κήδεσθαι τῆς ἐλευθερίας, καὶ διελέγχειν σκευωρούμενον πλούσιον; δίκαιον, ἀλλ᾽ οὐκ ἀσφαλές. τοῖς νόμοις ἐθάῤῥεις, εἰς ἐπικουρίαν· εἶτ᾽ οὐκ ᾔδεις ὅτι καὶ νόμοι πολλάκις ἡττῶνται χρημάτων; οὐκ ἤκουες τῶν ποιητῶν ᾀδόντων τοῦ πλούτου τὴν ἰσχύν· καὶ ὡς ἄγει τὰ τῶν ἀνθρώπων ᾗ βούλεται; ἀλλ᾽ ἤλπισας τρόπῳ δικαίῳ κρατήσειν περιουσίας; σὺ, πλούτου κρατήσειν; ἄνθρωπος μόλις ἱμάτιον κεκτημένος σαπρόν. οὐκ ἦν ἄμεινον ἔλαττον φρονεῖν, καὶ συλλέγειν ἀργύριον, καὶ τὸν οἶκον συναύξειν; ἀλλ᾽ ὦ πολυπράγμον σὺ, καὶ σαυτὸν ἀγνοῶν· προσέκρουες, ἐμισοῦ, παρώξυνες ἄνθρωπον ῥᾷστα[16] ἂν καὶ τυραννίδα κτησάμενον. τοιγαροῦν εἰς τὴν φωνὴν ἐζημιώθης,[17] δι᾽ ἧς ἐλύπεις, καὶ σιγᾷς ἄκων, ἑκὼν οὐ σωφρονήσας. ἐπειδὴ γὰρ, ὦ ἄνδρες, πάντα στρέφων, καὶ πεῖραν οὐδὲν παριεὶς οὔτ᾽ ἐκ συκοφαντίας[18] εἶχε τοῦτον ἑλεῖν, οὔτε χρήμασι μεταστῆσαι, καὶ γενέσθαι πεῖσαι τῶν περὶ αὐτὸν μισθοφόρων· ἐβούλετο δὲ παρανομεῖν· ὁ δὲ οὐκ ἐπέτρεπεν. εἶδεν ὅτι τῆς μὲν πόλεως εὐφραινομένης. οὐκ ἔστι λαλεῖν παρὰ τοῦ πένητος τὴν δίκην. δεῖ δὲ κίνδυνον φέροντα ἐπιστῆσαι τῷ κοινῷ καὶ τὰ πράγματα οὕτως εἰς στενὸν ἐλπίδων ἀγαγεῖν, ὥστε καὶ[19] τὸν δῆμον πάντα εἶξαι, καὶ παριδεῖν πρὸς τὸν φόβον τοὺς νόμους. τί οὖν ἐπιχειρεῖ; θεάσασθε,[20] ὡς σοφῶς πόλεμον εἰς τὴν χώραν εἰσάγει, καὶ κινεῖ στρατὸν ἐφ᾽ ἡμᾶς. πάντως δὲ οὐ χαλεπὸν στρατηγοῖς καὶ ταξιάρχοις ἀναλώσαντα χρυσίον, καὶ τἄλλα συμπράξειν ἐπαγγειλάμενον,[21] πεῖσαι τὰ ὅπλα λαβεῖν. ἐπεὶ δ᾽ οὖν ἐνέπεσεν ἐξαίφνης εἰς τὴν χώραν ὁ πόλεμος· ἡμεῖς μὲν, ὅπερ ἦν ἀγαθῶν, ἐξιέναι, κωλύειν,

[16] ῥᾷστον m. M.
[17] ἐζημίωσαι B. et m. M.
[18] οὔτε συκοφαντίαν m. M.
[19] probo quod B. καὶ omisit.
[20] θεάσασθαι m. M. sic distinguo: θεάσασθε ὡς σοφῶς; (scil. ἐπεχείρησε) πόλεμον. —
[21] ἐπαγγειλάμενον] sic B. ἐπαγγειλάμενος M.

κωλύειν, ἀποκρούεσθαι· τὰ τοιαῦτα ἐνεθυμούμεθα· ὁ δὲ πλασάμενος σχῆμα δεδιότος, καὶ τοῖς παροῦσιν ἀχθομένου, τὸ βῆμα καταλαβὼν, κατεῖχε τὸν δῆμον, μακρολογῶν· νῦν μὲν πολλῆς βουλῆς δεῖσθαι τὸ πρᾶγμα λέγων· νυνὶ δὲ τὴν τῶν ἐπελθόντων δύναμιν ἄμαχον εἶναι διιὼν[22] καὶ τῆς ὑστεραίας ὅμοια,[23] καὶ πάλιν παραπλήσια· καὶ οἱ μὲν τῷ τείχει προσῄεσαν· ἡμεῖς δὲ ἠκούομεν λόγων· ὁ δ' ἀντιλέγων ἐπεστομίζετο. ὁ δὲ σῖτος ἐξηνάλωτο. γνοὺς δὲ ὁ γενναῖος ἐκεῖνος εἰς ἔσχατον ἀθυμίας ἥκοντας· καὶ νομίσας ἤδη τὴν βουλὴν αὐτῷ πρὸς τὸ πέρας ἰέναι· ὁ μεθ' ἡμῶν καὶ πρὸ ἡμῶν τρέμων καὶ συστελλόμενος, θρασὺς ἐξαίφνης καὶ ἀνδρεῖος ἀπὸ τῆς τρυφῆς ἦν ἴστε. καὶ τί ζητεῖτέ, φησι· λελύσθαι τὴν πολιορκίαν; ἐγὼ δίδωμι τοῦτο ὑμῖν. ἐγὼ πρυτανεύω τὴν νίκην· ἐγὼ κύριος μηκέτ' ἐνοχλεῖσθαι τὴν πόλιν· ἀλλὰ δεῖ δή με δωρεὰν προλαβεῖν. ὑπηκούσαμεν· ὁ δ' εἰ* τὴν αἴτησιν καταστὰς, οἵαν οἵαν, ἥλιε, φωνὴν ἀφῆκεν· ὁ κηδεμὼν τῶν σωμάτων καὶ τῶν νόμων, καὶ τρόπαιος ὑπισχνούμενος, οὐ πλέθρα γῆς ᾔτησεν, οὐ σίτησιν, οὐ στῆναι χαλκοῦς· ταῦτα δὴ τὰ τῆς δημοκρατίας ἐπιχώρια μέτριον ἂν[24] ἦν, εἰ φόνον ᾔτησε τοῦ πένητος· εἰ γὰρ[25] καὶ λίαν ὠμὸν καὶ θηριῶδες·[26] ἀλλ' οὐκ ἔστι γε τοῖς ἀπελθοῦσιν ὧν πεπόνθασιν αἴσθησις. τῷ δὲ οὐδὲ τοῦτο ἐξήρκεσεν· ἀλλ' ὦ θεοὶ καὶ δαίμονες· ὢ καινῆς τιμωρίας! ἐπὶ τὴν γλῶτταν ὥρμησε τῶν πολιτῶν ἑνός· μισθὸν ᾔτησε τῆς ἀριστείας τὴν ἀφωνίαν τοῦ ῥήτορος. σχήματι δημοκρατίας, ἀναμίξας τυραννίδος ὠμότητα. καὶ ψήφισμα μὲν ἡ δωρεά· τυραννικὸν δὲ τόλμημα. καὶ παρ' ὑμῶν μὲν ᾔτει[27] λαβεῖν, ὡς νόμων ὄντων· ἐζήτει

δὲ

22 διιὼν sic B. et m. M. διήτει t. M.

23 malim καὶ τὰ τῆς ὑστεραίας ὅμοια καὶ πάλιν, καὶ παραπλήσια. vbi καὶ πάλιν idem erit, atque simplex πάλιν.

* εἰ B. εἰς M.

24 ἂν] sic B. et m. M. ἐν t. M.

25 εἰ δὲ B. et m. M.

26 θηριῶδες τὸ φονεύειν puta τὸν πένητα, aut τὸ αἰτεῖν τὸν τούτου φόνον.

27 ᾔτει] sic B. ᾔτε M.

δὲ λαβεῖν ἃ κεκώλυται τοῖς νόμοις. ὁ μὲν οὖν δῆμος, ὡς ἤκουσεν, ἐπλήγη τῷ ῥήματι· καὶ εἰς ἀλλήλους ἐβλέπομεν· μισοῦντες μὲν τὴν αἴτησιν· ἀλγοῦντες δὲ τῇ πολιορκίᾳ· καὶ διηποροῦμεν μέσοι γεγενημένοι δωρεᾶς τε ἀτόπου, καὶ καιροῦ δυσκόλου· μελλόντων δὲ ὑμῶν, ὁ μεγαλόψυχος οὗτος, καὶ τῇ πολιτείᾳ ζῶν, ἔχων ἀντειπεῖν, ἡσυχάζειν ᾑρεῖτο, καὶ παρεῖχεν αὑτὸν μάλα ἐῤῥωμένον τῇ τομῇ· καὶ χρημάτων ἀπορῶν, ἐπέδωκεν ὑμῖν τὴν γλῶτταν. τετελεσμένης δὲ ἤδη τῆς καλῆς δωρεᾶς, ἀνεμένομεν τὴν νίκην· καὶ τίς ποτε ὁ τρόπος ἔσαι διεσκοποῦμεν· τοὺς ὁπλίτας λαβὼν ἔξεισιν· ἀλλ᾽ ἐπὶ τοῖς τοξόταις[28] τὸ ἔργον ποιήσεται. λόχον καθιεῖ; τί τοσοῦτον εὕρηκεν ᾧ καταπλήξει στρατόπεδον, οἷς κατώρθωκεν ἐπηρμένον; ταυτὶ μὲν ἡμεῖς· ὁ δὲ εἴσω τειχῶν εἰς ἑσπέραν αὐτὴν ἀνειμένως ἐβάδιζε· νυκτὸς δὲ ἤδη μέσης τὰς πύλας ὑπερβὰς, συνεγένετο τοῖς πολεμίοις· οἱ δὲ ᾤχοντο, καθάπερ στρατηγοῦ κελεύοντος. ταῦτ᾽ οὐχὶ βοᾷ; ταῦτ᾽ οὐ κέκραγεν,[29] ὅτι τὸ πᾶν ὑπὸ τοῦ πλουσίου συνέκειτο καὶ διῴκητο, καὶ πρὸς τὴν ἐκείνου γνώμην ἐπῆλθόν τε καὶ πάλιν ἀπῆλθον; οὐ γὰρ ἔχω σκοπούμενος ἰδεῖν, πῶς ἂν νίκην τοῦτο καλοίην· εἰς ἐλαύνει στρατόπεδον ὅλον ἡττημένος, νενικημένος, κατακεκλεισμένος, πολιορκοῦν; πλούσιος ἐλαύνει στρατόπεδον, ἁβροδίαιτος, μαλακὸς, διατεθρυμμένος; ἁπλοῦν μὲν οὐδὲν οὐδὲ γενναῖον, οὔτε ἀσκήσας οὔτε μαθών· ἐν φιλονεικίᾳ δὲ καὶ μικροψυχίᾳ καταναλώσας τὸν βίον; καὶ τῶν μὲν ἄλλων ὑμῶν[30] τοσούτων ὄντων, καὶ φιλοπόνως ἐκ παίδων τὰ πολεμικὰ μελετώντων, οὐδεὶς τοῦτο εἶδεν ὅτι χρὴ νυκτὸς ἐμπεσεῖν·[31] οὐδὲ ἐθάῤῥησεν· ὁ δὲ χρηματιστὴς, καὶ τὴν ὅλην σπουδὴν ἐνταῦθα[32] ἔχων· ὥσπερ τις δαίμων, μετέστησε τοῖς πολιορκοῦσι τὴν προσεδρείαν εἰς φυγήν; οὐκ ἔστιν. ἀλλ᾽ ἔδει προσκαθῆσθαι τοὺς πολεμίους, ἄχρις τῆς

28 τῶν τοξοτῶν m. M.

29 ταῦτ᾽ οὐ κέκραγεν] sic B. ταῦτα οὐκ ἐκρ. M.

30 ἡμῶν m. M.

31 malim συμπεσεῖν.

32 ἐνταῦθα] scil. ἐν τοῖς χρήμασιν, aut τῷ χρηματίζεσθαι.

τῆς τοῦ πένητος συμφορᾶς· παθόντος δὲ ἃ δὴ πέπονθεν, ἐδόκει τῷ πλουσίῳ, καὶ ἀπηλλάττοντο. ἀλλ' ἔω ταῦτα, μὴ δόξω τισὶν ἀπὸ τοῦ πράγματος λέγειν. τὰ τοίνυν ἐφεξῆς, εἰς ἐκκλησίαν ἐκάλει πάντας, σεμνυνόμενος τῇ λαμπρᾷ τε καὶ μακρᾷ νίκῃ· συνθεόντων[33] δὲ πολλῶν ἐχώρει καὶ οὗτος ὁ ῥήτωρ ὀψόμενος τὸν σύλλογον· ὡς δὲ εἶδεν οὗτός τε ὑμᾶς, καὶ τοῦτον ὑμεῖς· ὁ μὲν ἐδάκρυσεν· ὑμεῖς δ' ᾠκτείρατε καὶ λαβόντες εἰς ἔννοιαν[34] ἣν[35] ἐδώκατε δωρεάν, δίκην ἐπράττεσθε τῶν βεβιασμένων. τότε ἐθεασάμην ἐκκλησίαν ἔννομον,[36] δῆμον ἐλεύθερον, λίθων βολὴν τῇ πολιτείᾳ πρέπουσαν. ἔπιπτεν ἄνθρωπος ἐπὶ τοῦ βήματος, ὁ καταισχύνας τὸ βῆμα τῷ ψηφίσματι· καλῶς ἀπελογήσασθε πρὸς τοὺς Ἕλληνας τοῖς λίθοις. καλῶς ἐλύσατε τὴν ἐπὶ τῆς ἀνάγκης ἀδοξίαν, τοῖς ἐπὶ τῆς[37] ἀδείας ἔργοις. ἐδείξατε[38] τοῦ καιροῦ τὴν χειροτονίαν, οὐ τοῦ τῆς πόλεως ἤθους. ἡμεῖς μενοῦν ἀλλήλοις συγχαίρομεν τοῦ θυμοῦ καὶ τῆς δικαίας ὀργῆς· καὶ τὰ πάντων ὁσιώτατα νομίζοντες εἰργάσθαι διάγομεν. τῷ πένητι δὲ τὸ κακὸν οὐχ ἵσταται· ἀλλ' εἰσάγεται καὶ κρίνεται· καὶ παραβῆναι νόμον αἰτίαν ἔχει τὸν περὶ θορύβου καὶ στάσεως. τοῦτο γὰρ λοιπόν, τὸν φύλακα τῶν νόμων ἐν τοῖς παρανομοῦσι τετάχθαι. καὶ τί λέγων, ὦ βέλτιστε, τὸν θόρυβον ἐμβέβληκε; δημεύειν ἔγραψε τῶν πλουσίων τινάς· καὶ στάσις ἐνέπεσε; τοὺς πένητας ἔγραψε σιωπᾶν, καὶ στάσιν ἐποίησε; τοὺς ὁπλίτας τοῖς ἱππεῦσι συνέκρουσε; τοὺς τοξότας τοῖς σφενδονίταις, τοὺς στρατηγοὺς τοῖς ταξιάρχοις διαβάλλων ἐν μέρει; ποίῳ ψηφίσματι διέστησε τὴν πόλιν; ποίᾳ γνώμῃ διεῖλε τὸν δῆμον; οὐκ αἰσχύνῃ πρὸς τοῦ Διὸς ἄνθρωπον ἄφωνον αἰτιώμενος θορύβου; ὥσπερ ἂν εἴ τις αὐτὸν τοῦτο[39] ᾐτιᾶτο τοῖς πολεμίοις χορηγεῖν. ἐμβροντῆτε· περὶ τῆς

[33] συνελθόντων B.
[34] ἔννοιαν] sic B. ἔνοιαν M.
[35] οἵαν B.
[36] ἔννομον] sic B. εὔνομον M.
[37] τῆς] sic B. τοῖς M.
[38] sic distinguo — ἀδοξίαν. τοῖς ἐπὶ τῆς ἀδείας ἔργοις ἐδείξατε —
[39] τούτου B.

τῆς ἀναγκαίας τροφῆς ἡ φροντὶς τοῦ ταλαιπώρου· καὶ σὺ τοίνυν σκέψαι τὴν γλῶτταν τοῦ ῥήτορος· καὶ παῦσαι τῶν ἐγκλημάτων· νῦν δὲ ποιεῖς μικροῦ παραπλήσιον, ὥσπερ ἂν εἰ καὶ τοὺς ἀνδριάντας ἐμέμφου θόρυβον ἐν τῷ δήμῳ ποιεῖν· τῶν λεγόντων, ὦ συκοφάντα, καὶ πολιτευομένων καὶ γραφόντων αἱ τοιαῦται κατηγορίαι· καὶ τοιούτοις ὁ νόμος διαλέγεται, τὰς συμβουλίας ἐνίων ὑποπτεύων· λόγος γὰρ ἀσύμφορος πιθανῶς συντιθεὶς, πέφυκε παραιρεῖσθαι τῶν ἀκουόντων τοὺς λογισμούς· καὶ τὰ μὲν βλαβερὰ χρηστὰ νομίζειν ἔπεισε, τὰ δὲ χρηστὰ ἐπιζήμια· οὕτω καὶ πόλις πρὸς αὑτὴν ἐκπολεμοῦται, καὶ δῆμος εἰς στάσιν ἐκφέρεται· καὶ δεῖ[40] τότε τῶν παρὰ τοῦ δήμου δρωμένων, ὑπεύθυνον εἶναι τὸν παρασχόντα τὴν ἀφορμήν. ἃ γὰρ οὐκ ἂν ἐπέπρακτο, μὴ τῶν λόγων εἰρημένων, ταῦτα πεπραγμένα διὰ τοὺς λόγους, εἰς τὸν εἰρηκότα ἄνεισι. πῶς οὖν ὁ μὴ μετέχων λόγου, τούτων αἴτιος, ἃ μόνων ἐστὶ τῶν λεγόντων; ἀλλ᾽ ὁ νῦν δι᾽ ἑτέρων ἀγωνιζόμενος, οὗτος ἐτάραττε τὸν δῆμον; ὁ σιωπῶν. ὁ μὴ διαίρων τὸ στόμα; ποῦ δὲ καὶ στάσιν ἄξιον τὸ πραχθὲν ὀνομάζειν; ὁ δῆμος ἔλαβε δίκην πονηρᾶς δωρεᾶς, μιᾷ γνώμῃ πρὸς τοὺς λίθους χρησάμενος, ὁμοφρονήσας, κοινῇ παροξυνθείς. θόρυβος δὲ οὐκ ἦν, τῶν μὲν ταῦθ᾽, τῶν δὲ ἕτερα βουλευομένων.[41] ἀλλὰ πάντες τε ἐμίσουν, καὶ κατέλευον. στάσις δὲ ἐστιν, ὅταν τὸ διάφορον τῆς ἐπιθυμίας ταράττῃ πρὸς ἑαυτούς.[42] ὅταν σχιζόμενοι τὴν γνώμην[43] οἱ μὲν τὰ μετέωρα καταλαμβάνωσι· οἱ δὲ τοὺς λιμένας κατέχωσιν. ὅταν διατειχίζωσιν·[44] ὅταν ἐπ᾽ ἀλλήλους καλῶσι συμμάχους· ὅταν ἡ πόλις μὴ μία μένῃ· τὸ δὲ τιμωρίαν λαβεῖν παρ᾽ ἀνδρὸς ἀπανθρώπου, τίς θόρυβος ἢ ποιὰ στάσις; ἀλλ᾽ ἔστω καὶ θόρυβος καὶ στάσις τὰ περὶ τὸν πλούσιον. ἀλλ᾽ οὐχ οὗτός γε[45] αἴτιος·

τίς

[40] δεῖ] ſic B. δὴ M.

[41] βουλομένων m. M.

[42] f. ταράττῃ αὐτὰς πρὸς ἑαυτάς.

[43] ταῖς γνώμαις B. et M.

[44] διατειχίζωσιν] ſic B. διατειχάζ. M.

[45] οὗτος δὲ B.

τίς γὰρ ἤκουσε λέγοντος; βάλλετε, ὦ ἄνδρες πολῖται, τυραννικὴν κεφαλήν. βάλλετε πλούσιον ἐπεμβαίνοντα τῷ καιρῷ· παρῆλθον οἱ κίνδυνοι· πράξασθε δίκην. τούτων οὐδὲν εἶπεν· οὐδὲ γὰρ ἦν οἷός τε τῷ βουλομένῳ· πῶς οὖν ἐκ σιωπῆς ὑπὸ τὸν νόμον[46] ἄγεται; πρὸς τῶν θεῶν, εἰ τούτου σιωπῶντος, ἕτερος τούτοις χρησάμενος, ἐκίνησε τὸν δῆμον πρὸς τὸ ἔργον· ἆρ' οὐκ ἂν ἐπ' ἐκεῖνον ἦγον τὴν αἰτίαν ἰσχυριζόμενοι τοῖς λόγοις; οἷς τοίνυν ἔκρινον ἂν τὸν εἰρηκότα, τούτοις ἀφιᾶσι τὸν οὐ φθεγξάμενον. ἀλλ' ἧκέ, φησιν, εἰς τὴν ἐκκλησίαν· καὶ τίς κεκώλυκε νόμος; καὶ παρεστηκὼς ἐδάκρυε· καὶ ποῦ τὸ θρηνεῖν ἀδίκημα; πολίτης δυστυχῶν, μετεῖχε τῆς ἐκκλησίας δακρύων· τούτων δὲ οὐκ οἶδα κρίσεις, οὐ παρ' ἡμῖν γεγενημένας, οὐ παρὰ τοῖς προσχώροις· οὐκ ἐφ' ἡμῶν τῶν ἔτι ζώντων· οὐκ ἐπὶ τῶν προγόνων. ἀλλὰ καὶ μειδιᾶν ἐφεῖται, καὶ δακρύειν δέδοται· καὶ τὴν φύσιν οὐκ ἔστιν εὐθύνας ἀπαιτῆσαι. ἀλλ' ὥσπερ ἀναπνεῖν καὶ πεινῆν καὶ χαίρειν καὶ γελᾶν καὶ σκυθρωπάζειν καὶ ἀῤῥωστεῖν, καὶ τὰ τοιαῦτα πάσχειν, οὐκ ἔστιν ἀδικεῖν· οὕτως οὐδ' ἐκ τοῦ θρηνεῖν καὶ δακρύειν, οὐκ ἔστιν ὑπόδικον εἶναι. ὁρᾷς τοὺς ἐπὶ τὰ μνήματα ἀκολουθοῦντας τοῖς τετελευτηκόσιν, οὗτοι δακρύουσιν, ἀλλ' οὐ κρίνονται. ὁρᾷς τοὺς τεμνομένους ὑπὸ τῶν ἰατρῶν; οὗτοι κλαίοντες οὐκ ἐγκαλοῦνται. πόσοι δὲ ῥήτορες μεμνημένοι συμμάχων ἠτυχηκότων, δάκρυα μετὰ λόγων ἀφιᾶσι· πόσοι δὲ δῆμοι συμφορὰς ἀκούοντες ἀποίκων, κατηνέχθησαν εἰς θρῆνον. εἰ μὲν οὖν ὅλως τὸ δακρύειν ἐν ἀδικήμασιν ἀριθμεῖς, πολλοὺς ἀδικοῦντας οὐ[47] διώκεις. εἰ δ' ἐπὶ τῶν ἄλλων, ἀνεύθυνον τὸ πρᾶγμα, περιεργάζῃ τῷ παρόντι. σὺ δὲ εἰπέ μοι, πότερον κρείττων εἶ τῆς ἐπὶ τοῖς πάθεσι λύπης; ἢ λυπούμενος εἶτα δίκην ἀπαιτούμενος στέργοις ἄν; ἀλλ' οὐχ οὕτως· οὔτε νικᾷς τὴν φύσιν· οὔτε ἀναισθήτως ἔχεις· μὴ τοίνυν ἧς αὐτὸς ἀξιοῖς ἀπολαύειν ἐξουσίας, ταύτης ἕτερον ἀποστέρει·

ὅλως

46 τῷ νόμῳ m. M.
47 οὐ deest m. M.

ὅλως δὲ οὐ νομοθετήσων[48] εἰσῆλθες· ἀλλὰ τοῖς πάλαι κειμένοις ἀκολουθήσων·[49] δεῖξον οὖν ἐν τοῖς κυρίοις μετὰ τῶν ἀδικημάτων ἠριθμημένα τὰ δάκρυα. τοὺς γὰρ ἀδικοῦντας καὶ μὴ, τούτῳ διαγινώσκομεν, τῷ τοὺς μὲν τολμᾶν ἃ κεκώλυται· τοὺς δὲ πράττειν ἃ συγκεχώρηται· οἷον τὸν κλέπτην καὶ τὸν μοιχὸν καὶ τὸν ἀνδροφόνον, εἰς δικαστήριον ἄγομεν. διὰ τί; ὅτι[50] ποιοῦσιν ἃ μὴ ποιεῖν γέγραπται· τὸν λαλοῦντα καὶ βαδίζοντα καὶ τὰ χεῖρε κινοῦντα καὶ βοῶντα,[51] καὶ συνάγοντα τὸ πρόσωπον, οὐκ ἄγομεν οὐδὲ κρίνομεν. διὰ τί; ὅτι τοὺς νόμους[52] οὐ παραβαίνουσι. δεῖ δὴ καὶ σὲ τοῦτο δεικνύειν ἐγγεγραμμένον· ἐὰν δὲ δακρύῃ τις, κολαζέσθω, καθάπερ οἱ τὰ[53] ἄλλα κακουργοῦντες· εἰ δὲ οὐκ ἔχεις, ἐπηρεάζεις· καὶ ποιεῖς[54] τοὺς συκοφαντεῖν εἰωθότας χαλεπωτέρους, παιδεύων αὐτοὺς καὶ διδάσκων πᾶν τὸ παραπεσὸν πρόφασιν ποιεῖσθαι γραφῆς· ἀλλ' εἰ μὴ παρὰ τοῖς νόμοις[55] ἐν τῷ ψηφίσματι τῆς δωρεᾶς, δεῖξον διῃρημένον· μὴ φαινέσθω δὲ ἐπ' ἐκκλησίας ὁ πένης, μηδὲ ὀδυρέσθω τὸ πάθος, μηδὲ ἀλγείτω τῇ συμφορᾷ· ἀλλὰ τούτων γε, οὐδὲ ὁ δυσμενὴς[56] καὶ μηδὲν ὀκνῶν ἀπεστέρει· σὺ δὲ ἡμῖν βαρύτερος ἀναφαίνῃ τοῦ πλουσίου. ἔτι[57] τοίνυν, εἰ μὲν ἀπαθὴς ὢν καὶ μηδὲν ἔχων στένειν, ἐξεπίτηδες ἐδάκρυσεν, ἀνερεθίζων τὸν δῆμον, αὐτὸς ἂν ἐμεμφόμην· αὐτὸς ἂν ἐγραφόμην· νῦν δ' οὐδ' εἰ σφόδρα πειρῷτο, μὴ θρηνεῖν εὔπορον. ἀλλ' ἐπὶ τῆς γλώττης τὸ πάθος κείμενον, κινεῖ τὴν τῶν δακρύων φοράν· μὴ γὰρ εἰς παράδειγμα καταφεύγειν

[48] νυθετήσων m. M.

[49] ἀκολουθήσων] ſic B. ἀκολούθησον M.

[50] ὅτι δὴ B.

[51] βοῶντα] ſic B. βοῦντα M.

[52] τοὺς νόμους] ſic B. τοὺς deeſt M.

[53] οἱ καὶ τὰ B.

[54] ποιεῖν εἰς m. M.

[55] malim παρὰ τοὺς νόμους (ſcil. γέγονε τὸ γενόμενον ὑπὸ τοῦ πένητος, id eſt τὸ ἐλθεῖν εἰς τὴν ἐκκλησίαν καὶ τὸ δακρύσαι,) ἐν γε τῷ ψηφ. τ. δ. δ. διειρημένον.

[56] poſt δυσμενὴς videtur ἐκεῖνος deeſſe. ne ille quidem maleuolus, diues puta, quem populus coniectu ſaxorum contumulauit.

[57] ἔτι] ſic B. ἔστι M.

φεύγειν ἐστὶ τῷ ῥήτορι. καὶ τυχεῖν ἐξ ὁμοίων ῥαστώνης;[58] οὐ παῖδα ἀποβέβληκεν· οὐκ ἀτιμίαν[59] κατέγνωσται. ταῦτα δὴ τὰ τοῖς πολλοῖς συμβαίνοντα· οὐ τὴν χεῖρα ἀπεκόπη κατὰ ψήφισμα τοῦ δήμου· καὶ παραμυθεῖται τῇ γλώττῃ τὸ πάθος· ἀλλ' ᾧ τῶν ἀλόγων ζώων διαφέρομεν, τῷ χρῆσθαι λόγῳ πρὸς ἀλλήλους· τοῦτο εἰς ἑτέρου τέρψιν ἀπολώλεκε. καὶ νῦν ἕστηκεν ἴσα τοῖς λίθοις[60] ἄφωνος· ὁ πρώην ἐπὶ τοῦ βήματος ῥέων· καὶ τί[61] χρὴ καλέσαι τὸν ἄνθρωπον; ἡ μὲν τέχνη κελεύει ῥήτορα· ἡ γλῶττα δὲ οὐκ ἐᾷ. οὐ γέγονεν ἐλεεινότερον πάθος ἐκ τοῦ παντὸς αἰῶνος· σπουδάζων περὶ τὸν δῆμον, κολάζομαι, καὶ τῇ φωνῇ τὸ κοινὸν ὠφελῶν, τῆς φωνῆς ἀποστεροῦμαι· καὶ γίγνεταί μοι τῆς εὐνοίας ἀμοιβὴ, σιωπή· καὶ τέμνομαι τὴν γλῶτταν, ἐχθροῦ κελεύοντος πλουσίου. πᾶν μὲν γὰρ ἀφόρητον ἐμοὶ, καὶ τὸ σμικρότατον, ὅταν ὁ λυπῶν ᾖ δυσμενής. εἰς γλῶτταν δὲ ζημιούμενος, τί χρήσομαι;[62] πρόσθες δὴ καὶ τὸν ῥήτορα· καὶ γὰρ τούτῳ[63] πλεῖστον διαφέρει. ὁ γὰρ ῥήτωρ οὐδέν ἐστιν ἕτερον ἢ φωνή· καὶ κουφοτέρα τῷ τοιούτῳ συμφορὰ, τὸ τοὺς ὀφθαλμοὺς[64] ἢ τὴν γλῶσσαν ζητεῖν. ὁ μὲν γὰρ ἰδιώτης ἴσως οἴσει μετρίως· οὐ γὰρ ἐν τῇ φωνῇ τὴν εὐδοξίαν κέκτηται· ῥήτορα δὲ στερεῖσθαι τῆς γλώττης, ἴσον ἐστὶ καὶ χειρῶν παλαιστήν. θαυμάζεις οὖν, εἰ δακρύει ῥήτωρ ἄφωνος. ἄλλο γάρ τι νομίζεις τούτῳ εἶναι τὸν βίον, ἢ τὸ δακρύειν. οἴκοι θρηνεῖ, πρὸς ἑκάστην χρείαν νεύματι χρώμενος. ἐπ' ἀγορᾶς θρηνεῖ, τοὺς γνωρίμους προσφωνεῖν οὐκ ἔχων. καὶ τί θαῦμα τὸν πεπονθότα δακρύειν, εἰ ἡμεῖς πρὸς τὴν θέαν τοῦ ῥήτορος εἰς δάκρυα πίπτομεν; ἐδάκρυσε ποθῶν τὴν φωνήν· τί καινόν; ἕκαστος τοῖς[65] παροῦσιν ἀφθόνως χρῆται· τούτῳ δὲ οὐ γεγηθέ-

ναι

58 ῥαστώνην B.
59 malim ἀτιμίᾳ.
60 τοῖς λιθίνοις m. M.
61 τί καὶ B. et m. M.
62 τί χρήσομαι] scil. ἐμαυτῷ nisi hoc addendum est,
63 καὶ γὰρ καὶ B.
64 τὸ τοὺς ὀφθ.] sic B. τό, γε ὀφθ. M. et τό, τε ὀφθ. m. M.
65 γὰρ τοῖς B.

ναι πάρεσιν. εἰ γὰρ μὴ πρότερον ἐδάκρυσεν, οὐκ ἂν ἐκίνησεν ἡ ἐκκλησία τὸν ὀδυρμόν; εἶδεν ὁ ῥήτωρ τὰ παλαιὰ παιδικὰ, βῆμα, καὶ προέδρους,[66] συμβούλους καὶ δῆμον· ἐπιστάτην, καὶ πρυτάνεις. εἶδεν αἴροντα τὴν χεῖρα τὸν ἐχθρόν· ἤσθετο λαρυγγίζοντος· ἤσθετο τοῦ κήρυκος βοῶντος· τίς ἀγορεύειν βούλεται; καὶ ζητῶν τὴν φωνὴν, οὐχ εὗρεν. ἀντέθεικεν οὖν πρὸς τὴν ἔμπροσθεν ῥητορείαν τὴν παροῦσαν σιγὴν, καὶ φανερώτερον εἶδε τὴν αὐτοῦ συμφορὰν ἐν τῇ δημηγορίᾳ τοῦ πλουσίου· καὶ σχῆμα θεώμενος, ἐν ᾧ ποτε, καὶ αὐτὸς ἠγάλλετο, μνήμῃ τῶν πρεσβυτέρων ἐπλήγη τὴν ψυχήν. εἰ τῷ σταδιοδρόμῳ πηρώσαις τὸ σκέλος εἶτα ἄγοις αὐτὸν ἐπὶ θέαν δρόμου· πρὸς τὸ στάδιον ὁμοῦ[67] καὶ τὸ σκέλος ἰδὼν, πολλὰ τῶν δακρύων ἀφήσει. εἰ γενναίῳ στρατηγῷ τὴν δεξιὰν ἀποκόψας ἄγοις ὀψόμενον μάχην παραθεὶς τῷ τῶν δοράτων ἔργῳ, τὴν ἀπουσίαν τῆς χειρὸς, οὐκ οἴσει τὴν ὄψιν ἀδακρυτί· καὶ ζωγράφῳ τοὺς δακτύλους λυμηνάμενος, εἰ πίνακα δείξαις, μνήμῃ τῆς τέχνης εἰς ὀδυρμὸν ἐμπεσεῖται. δύναται γὰρ καὶ τόπος, καὶ σκεῦος, καὶ πρᾶξις, παλαιᾶς εὐτυχίας ἀναμνῆσαι· τοῦτο δὲ ἐπάγει τὰ δάκρυα. εἶδε καὶ ῥήτωρ ἄγλωττος ἐκκλησίαν· καὶ τῶν ὅτε εἶχε τὴν φωνὴν ἀνεμνήσθη πραγμάτων. πάντως ἐνεθυμήθη που τοῦτο πρὸς αὐτόν· ἐγώ ποτε παρήειν[68] ἐνταῦθα· καὶ ἀνέβαινον ἐπὶ τὸ βῆμα, καὶ εἰσηγούμην,[69] καὶ ἐκροτούμην· καὶ δι' ἐμοῦ τὰ πλεῖστα τῶν αὐτῆς ἡ πόλις ἐποιεῖτο· νῦν δὲ ἔστηκα δίκην εἰκόνος· μάρτυς ἀλλοτρίων ἀγαθῶν. ἰδοὺ γὰρ καὶ ὑμεῖς, ὦ ἄνδρες, δακρύετε. τί οὖν τοῦτον εἰκὸς ἦν παθεῖν; εἰ δὲ ἑαυτὸν μὲν οὐκ ἐδάκρυσε, γνώμην δὲ εὑρὼν συμφέρουσαν· εἶτ' ἀδυνατῶν[70] εἰπεῖν, ἐδάκρυσε τὴν πόλιν οἵων ἐστέρηται συμβούλων· διὰ τοῦτο δίκην ὀφείλει τῇ πόλει; τίνος δὲ καὶ τιμωρίαν ἀπαιτεῖς; εἰ μὲν τῶν

66 ante συμβούλους deleui καί, quod abest B.

67 στάδιον ὁμοῦ] sic B. recte, nam alias leg. sit πρὸς τῷ σταδίῳ. M. omittit ὁμοῦ.

68 παρήειν] sic B. παρέην M.

69 εἰσηγούμην] num ἐπηνούμην laudabar?

70 ἀδυνατῶν] sic B. ἀδύνατον M.

τῶν δακρύων, ἐξῆν δακρύειν· εἰ δ' ὅτι τὸν δῆμον ἐκίνησεν, οὐκ ἦν μάντις· οὐδὲ προῄδει τὸ μέλλον· ἀγνοίας δὲ οὐκ εἰσὶ δίκαι. τίς γὰρ ὅτι μὴ τὸ συμβησόμενον προεώρακε, κεκόλασται; σὺ δ', εἰ μὲν ᾔδεις τὴν ἐσομένην ὀργήν· τί τάχιστα οὐκ ἀπήλαυνες πρὶν παθεῖν τι τὸν δῆμον; εἰ δ' οὐ προῄδεις, τί μᾶλλον[71] λαμβάνεις, ἢ[72] δίδως δίκας; ἀλλὰ γὰρ οὐ[73] λέληθας τοῦτον μὲν πρόφασιν θέμενος· κατηγορῶν δὲ τοῦ δήμου. ἐγὼ δὲ τί φημι; ὁ δῆμος ἤμελλε τοῦτο δράσειν· ὃ δὴ καὶ πεποίηκε, κἂν εἰ μηδεὶς πένης μήτε ἧκε, μήτε ἐδάκρυσεν· οἱ γὰρ ἃ μὴ βούλονται δοῦναι βιασθέντες, ἐπειδὰν εἰς ἐξουσίαν ἔλθωσιν ὧν ἄκοντες παρεχώρησαν, τιμωρίαν ἀπαιτοῦσιν, ἐξ αὐτῶν ὧν ἔδοσαν,[74] πολεμοῦντες τῷ λαβόντι. τίς γὰρ πολέμου τύχη; τίς ἀκαιρία χαλεπὴ, τοιοῦτον ἠνάγκασεν ἐν τῇ πόλει κυρωθῆναι ψήφισμα; ἀποκοπήτω[75] γλῶσσα πολίτου. διὰ τί; ὅτι μικρὰ κεκτημένος ἀντιπολιτεύεται τῷ πλουσίῳ. τούτῳ δὲ, ὦ ἄνδρες, τῷ ψηφίσματι κατελύετο μὲν ἡ δημοκρατία, κατελύοντο δὲ νόμοι, καὶ ἱερὰ καὶ ὅσια·[76] ἐχραίνετο δὲ ἡ γῆ· καὶ ὁ πάντα ἐφορῶν ἥλιος. ἐταράττετο δὲ ὁ θεσμὸς, καὶ μεθίστατο πρὸς δεσποτείαν, τὸ τῆς ἰσηγορίας καλόν· ἐπληροῦτο[77] δὲ τοῦ μύσους ἡ πόλις· ἐκοινωνεῖτε δὲ τῆς ὠμότητος τῇ χειροτονίᾳ· δῆλον οὖν ἦν ὅτι καταστάντων τῶν πραγμάτων ὁ τῆς ἡσυχίας καιρὸς, καιρὸς ἔσται καὶ τιμωρίας τῷ πλουσίῳ. καὶ συνέπεσε τοῖς τοῦ πένητος δάκρυσιν ἡ τοῦ δήμου κρίσις. οὔκουν ἡμάρτετε, ὦ ἄνδρες,[78] τοῖς λίθοις τότε χρησάμενοι κατ' ἀνδρὸς ἐν τοῖς ὑμετέροις[79] τρυφήσαντος κακοῖς· ἀλλ' οὐδ' ἂν ἀπετρίψασθε τοὔνειδος μὴ τοὺς λίθους ἀρπάσαν-

71 τί οὐ μᾶλλον B.

72 ἢ οὐ δίδως m. M.

73 ἀλλὰ γὰρ οὐ] sic B. γὰρ deest M.

74 post ἔδοσαν deleui καὶ, quod etiam B. et m. M. omittunt.

75 ἀποκοπήτω] sic B. ἀποκοπείτω M.

76 καὶ ἱεροὶ καὶ ὅσιοι B. non male. νόμοι puta.

77 ἐπληροῦτο] sic B. ἐπληρούτω M.

78 ἡμάρτομεν ὦ δικασταὶ B.

79 ὑμετ.] sic B. ἡμετ. M.

πάσαντες. πῶς γὰρ ἂν εἰς τοὺς νεὼς ἤλθετε; πῶς ἂν ἐθύσατε;[80] πῶς ἂν τὰς ἑορτὰς ἐπληρώσατε; πῶς ἂν ᾐτήσατε παρὰ τῶν θεῶν τἀγαθὰ, τοῦ πλουσίου τῇ μιαρᾷ χερὶ[81] συνεφαπτομένου τῶν ἱερῶν; τίς δ᾽ ἂν σύμμαχος καλούμενος εἰς κοινωνίαν ἔργων ὑπήκουσεν, οὐκ ἴσε ὅτι τὰ τῶν πόλεων ἤθη τοῖς ψηφίσμασι γνωρίζεται· καὶ πρὸς τὴν ἐκείνων ἀρετὴν ἢ κακίαν, καὶ ταῦτα δοξάζεται. τίνες οὖν ἐνομίσθητ᾽ ἂν τοὺς τρόπους,[82] σάντες ἐπὶ τῆς δωρεᾶς, καὶ καθηράμενοι[83] τῷ φόνῳ; ἐγὼ μὲν γὰρ, οἶμαι, τῶν βαρβάρων ἀγριώτεροι. ἀλλὰ νῦν δέδεικται πᾶσιν, ὅτι οὐκ ἄρα τῆς πόλεως ἦν ἡ δόσις· καὶ τοῖς δευτέροις τὰ πρότερα συσκιάζεται.[84] πέπτωκεν ἄνθρωπος ἐν ἐλευθερίᾳ τυραννίδος ὠμότητα[85] παρελθών. πέπτωκεν[86] ἄνθρωπος μαθὼν ὑπερβαίνειν δημοκρατίας ἔθη· κατελεύσθη πλούσιος ἐπὶ τοῖς νόμοις εὐπορῶν. εἶτα ἀγανακτεῖ τις τῇ τελευτῇ[87] καὶ γράφεται καὶ κρίνει; φοβοῦμαι, ὦ ἄνδρες, τὸν κατήγορον. τυράννου τεθνεῶτος ἀλγεῖ. καίτοι πότερον[88] μεθ᾽ ὑμῶν ἠφίει τῶν λίθων,[89] ἢ οὔ· εἰ μὲν γὰρ μετέσχε[90] τῆς βουλῆς, πῶς ὢν ἔπραξε κατηγορεῖ· εἰ δὲ μόνος ἀπείχετο, μανίαν κατεγνώκει τοῦ δήμου· εἰ δέ μοι λέγεις τὴν νύκτα καὶ τὴν νίκην, τέχνην λέγεις· ἀπάτην λέγεις· χρημάτων ἔργον λέγεις. εἰ δέ γε τοσοῦτον ἴσχυεν, ὥστε φανεὶς τρέπεσθαι, καὶ πλέον ἁπάσης ἐδύνατο τῆς πόλεως μόνος· οὐκ ἂν μὲν ἔλαθεν τοὺς πολεμίους ἡ φήμη τῆς ἀνδρείας. οὐκ ἂν δὲ ἐπεστρά-

τευσαν

[80] πῶς ἂν ἐθύσατε] sic B. haec verba desunt M.

[81] χειρὶ B.

[82] τοὺς τρόπους] sic B. (τὰς τρ. M.) si perseuerassetis in dono vestro, h. e. si contra agendo non refutassetis illud.

[83] καὶ μὴ καθηρ. B.

[84] συσκιάζεται] sic B. συσκιάζετε M.

[85] τυραννίδος ὠμότητα] nil est, quod hic improbem. sed neque B. neque m. M. lectio τὰ τυραννίδος ὠμὰ displicet. mallem tamen, si haec lectio praeferatur, τὰ τυρανν. ὠμότατα in superlatiuo.

[86] πέπτωκεν] sic B. ἔπτωκεν M.

[87] τὴν τελευτὴν m. M.

[88] πρότερον m. M.

[79] τῶν λίθων] subaudi τινάς.

[90] μετέσχε] sic B. μετέχει M.

τευσάν πόλει,[91] παρ' ᾗ τοιοῦτος στρατιώτης τρέφεται·[92] ἀλλ' ἐκεῖνος μὲν δυοῖν ἔδωκε δίκην τῆς τε πολιορκίας, ἣν κατεσκεύασε, καὶ τῆς δωρεᾶς ἣν ᾔτησεν. ὑμεῖς δὲ, ὦ ἄνδρες, μὴ τὴν ἐκ τοῦ ψηφίσματος αἰσχύνην ἀνανεώσησθε τῇ ψήφῳ, μηδὲ τὸν ἠδικημένον, ὡς ἀδικοῦντα ἀποκτείνητε· μηδὲ ἐλέγξητε τὴν τῶν λίθων βολὴν τῇ γνώσει. ὁ νόμος φησὶ τὸν θορύβου καὶ στάσεως αἴτιον. ὁ δὲ ἀναίτιος· ἐσιώπα γάρ. ἐλθὼν εἰς ἐκκλησίαν ἐδάκρυε·[93] τούτων δὲ ἀμφοτέρων ἐξουσία. τῷ πάθει κατηνάγκαστο κλαίειν· ἠγνόει τὸ συμβησόμενον. σώσατε οὖν, ὦ ἄνδρες, τὸν συκοφαντούμενον· τὸν ἡμαρτηκότα μὲν οὐδ' ὁτιοῦν· πεπονθότα δὲ καινότατα. εἴ τοι[94] καὶ τῶν ἀλλοφύλων τις εἰς τοῦτο ἀφῖκτο συμφορῶν, πάντως ἂν ἰδόντες ᾠκτείρατε· γνώρισμα δὲ τῆς ὑμετέρας φιλανθρωπίας ὁ σύλλογος οὗτός ἐστιν. ὁ ῥήτωρ ἐκεῖνος ὁ δημοτικός· ὁ λυπῶν τοὺς πλουσίους ὑπὲρ τῶν νόμων. ὁ πολλὰς μὲν γνώμας εἰπών· πολλὰ δὲ ψηφίσματα γράψας· πολλὰς δὲ πρεσβείας ὑποστάς· ὁ συμμάχους προσαγόμενος·[95] ὁ πόρους ἀνευρίσκων·[96] ὁ τιθεὶς νόμους χρηστούς· ὁ λύων πονηρούς· ὁ πολλοῖς μὲν πράγμασιν ἐπιστάς· διαμείνας δ' ἐν πενίᾳ· οὗτος εἰς ὃν ἐν ταῖς χρείαις ἐβλέπομεν. ἀπόδοτε δὴ τῷ δυστυχεῖ τὴν χάριν εἰς τὴν σωτηρίαν· καὶ μὴ ποιήσητε φανερὸν, ὅτι παραπαίουσιν οἱ τὰ ὑμέτερα θεραπεύοντες; τίνι γὰρ βοηθήσετε τῶν ἁπάντων, εἰ μὴ τοῦτον ἐλεήσετε; εἰς τίνα δὲ ἔσεσθε φιλοικτίρμονες, τούτου καταμελήσαντες. οὔτ' εὐνούστερον[97] εὕροιτ' ἂν ἄνθρωπον, οὔτε ἀθλιώτερον· ὃς καὶ τὰ τῶν μύθων ἄτοπα τοῖς ἑαυτοῦ πάθεσιν[98] ἐπιστώσατο· ἦγε μὲν

91 τῇ πόλει B.

92 ἐτρέφετο B. et m. M.

93 in B. superfcr. eft ἐδάκρυσε.

94 εἴτις m. M. et τις ante εἰς deeft. εἴ τοις γε B, et fuperfcr. εἴ τις malim etiam τοι abeffe.

95 προσεπαγόμενος B. ἐπαγόμενος m. M.

96 εὑρίσκων B.

97 f. οὐ ἔτ' εὐν.

98 μάθεσιν B.

μὲν ὁ πλούσιος ἀπὸ τῆς ἐκκλησίας λαβών· ὁ δὲ ὥσπερ αἰχμάλωτος εἵπετο. περιστήσας δὲ καὶ τοὺς κόλακας, καὶ τῆς παῤῥησίας ἀναμνήσας, καὶ τὸ ψήφισμα ἐπιδείξας. πρόβαλλε[99] τοίνυν, ἔφη, γλῶτταν τὴν ἐμοὶ δυσμενῆ, τὴν δημοτικὴν, τὴν οὐ φοβηθεῖσαν πλοῦτον· τὴν κρείττονα τῆς τύχης. καὶ ὁ μὲν ἐκέλευεν, ὁ δὲ ὑπεῖχε. καὶ ἐξεκόπτετο φωνὴ τὰ τῆς πόλεως ὀρθοῦσα. εἶθ᾽ ὑμεῖς προσκαταγνώσεσθε τοῦ τὰ τοιαῦτα πεπονθότος· καὶ ᾧ παραμυθίαν οὐκ ἔστιν εὑρεῖν· τούτῳ προσθήσετε[100] συμφοράς; καὶ πότερον τοῦτον,[1] ἢ τὸ κοινὸν καταβλάψετε; ἱκανῶς, ὦ ἄνδρες, συνέστειλε τοὺς πένητας, τὸ περὶ τῆς γλώττης ψήφισμα. ἱκανῶς ἀπέφηνεν, ὡς ἐπικίνδυνον ἡ τῆς εὐνοίας τάξις. εἰ δὲ καὶ κατεγνωσμένον τοῦτον ἐν δικαστηρίῳ θεάσοιντο, πότε δώσουσιν αὐτοὺς εἰς τὰ ὑμέτερα προθύμως.[2] τίς ἐρεῖ; τίς πρεσβεύσει; τίς ἔσται δίκαιος, ὁρῶν τοιαῦτα ἆθλα τῇ δικαιοσύνῃ προκείμενα;[3] οὐκοῦν οἱ μὲν μετατάξονται, καὶ νομιοῦσιν εὐβουλίαν τὸ συνεστάναι τοῖς πλουσίοις· τοῖς δὲ ἄδεια καταμαθεῖν[4] τὴν πολιτείαν· ταῦτα δημοκρατίαν ἀναιρεῖ· ταῦτα ὀλιγαρχίαν εἰσάγει. ἀπὸ τοιούτων σπερμάτων φύεται δήμῳ δουλεία· ἐνὶ δὲ[5] τούτῳ σώματι συγκινδυνεύει[6] τὸ κοινόν. σὺ δὲ ἀνάβηθί μοι δεῦρο καὶ συνεισένεγκέ τι· εἰσί σοι χεῖρες. ἔστι σοι δάκρυα, λείπονταί[7] σοι πρὸς ἱκεσίαν ἀφορμαί. εἰ δ᾽ οὐκ ἀποχρήσει ταῦτα, δεῖξον τὴν γλῶτταν· ὁρᾷς ὡς ἐκάμφθησαν οἱ δικασταί; θάῤῥει δὴ περὶ τῆς ψήφου· καὶ μὴ μέμψῃ τῷ δήμῳ· στένων ἐψηφίζετο τὴν δωρεὰν, νικώμενος ὑπὸ τοῦ καιροῦ. πολλοὶ πολλάκις ἐπέδωκαν αὐτοὺς ὑπὲρ τῶν πατρίδων εἰς σφαγήν· ἔλυσας καὶ σὺ τῇ τομῇ τὴν πολιορκίαν· ἐν ταῖς

99 πρόβαλε B.

100 προθήσετε] sic B. προσθήσεσθε M.

1 τοῦτον] subaudi μᾶλλον.

2 προθύμους m. M.

3 κείμενα B. et m. M.

4 καταθεᾶν m. M. f. καταπατεῖν pedibus conculcare.

5 δὴ B. malim ἐνὶ τούτῳ τῷ σώματι.

6 συγκινδυνεύσει B.

7 οὐ λείπονται B. et m. M.

ταῖς εὐεργεσίαις καὶ τὸ πάθος ἐγγράψω.[8] τοῦ μὲν οὖν ψηφίσματος ἐπιλανθάνου· μέμνησο δὲ τῆς καλῆς ἐκκλησίας, καὶ τῶν λίθων. τήρει μοι τὴν ἀρχαίαν γνώμην, καὶ φύλαττε τὴν προαίρεσιν δέομαι σοῦ καὶ σιωπῶντος,[9] πρὸς τὰ κοινὰ, γράφε συμβουλάς. ἐγὼ δὲ ἀναγνώσομαι. κἂν εὕρω[10] τινὰ γνώμην, ἀνακοινώσομαί σοι. σὺ δὲ ἀνάνευε καὶ κατάνευε, καὶ πολιτεύου τοῖς νεύμασι. σύνθες ἀπολογίαν ὑπὲρ τοῦ δήμου. πρέπει σοι καὶ πεπονθότι κοσμεῖν τὴν πόλιν· σύνθες παράκλησιν εἰς προθυμίαν τοῖς πένησιν. ἔξελε τὸν φόβον· ἐπίῤῥωσον πρὸς τὴν εὔνοιαν· σὲ δὲ ἡ πόλις δημοσίᾳ θρέψει παραμυθουμένη ῥήτορα ἄφωνόν τε καὶ πένητα.

[8] ἐγγράψω] sic B. et m. M. ἔγγραφε t. M.

[9] f. καὶ σιωπῶν in nom. vt ad φύλαττε referatur; insequentia vero πρὸς τὰ κοινὰ cohaerent cum τὴν προαίρεσιν, vt verba δέομαι σοῦ interiecta sint, et signis parentheseos circumscribenda.

[10] sic distingue: καὶ εὕρω et inueniam, comminiscar, τινὰ γνώμην ἀνακοιν. quodnam consilium tecum communicem.

ΑΛΛΗ ΜΕΛΕΤΗ.

ΘΕΩΡΙΑ.

Λοιμὸς ἐπεῖχε τὴν πόλιν· ἔχρησεν ὁ θεός, παύσασθαι τὸ λοιμὸν, εἰ ὁ δῆμος ἑνός του τῶν πολιτῶν παῖδα θύσειεν. ἔλαχεν ὁ τοῦ μάγου. ὑπισχνεῖται παύσειν τὸν λοιμὸν, εἰ ἀπόσχοιντο τοῦ παιδός.

(Βουλεύονται.)

ΜΑΓΟΥ ΚΑΤΗΓΟΡΙΑ.[1]

ΟΥ τὸ τοῦτον, ὦ πολῖται,[2] πάντα τρόπον ἐξαρπάσαι πειρᾶσθαι τὸν υἱὸν τὸν ἑαυτοῦ,[3] θαυμαστὸν εἶναί μοι δοκεῖ· τὸ δὲ ὑμᾶς, τῆς πόλεως νοσούσης, τοιούτων καθημένους ἀκροᾶσθαι λόγων. νοῦν μὲν γὰρ ἦν ἐχόντων ἀνθρώπων, καὶ βουλομένων παῦσαι τὸ κακὸν, εὐθὺς ὑπακοῦσαι τοῖς παρὰ τοῦ θεοῦ, καὶ μηδὲν παρὰ ταῦτα μήτε λέγειν, μήτε ἀκούειν μηδένα. ἐπεὶ δὲ ἀφέντες τὸ βοηθεῖν τῇ πόλει, λόγων ἠνέχεσθε μακρῶν· καὶ τοσοῦτον ἐδυνήθη τις παρ᾽ ὑμῖν, ὥσθ᾽ ὑμᾶς καταστῆναι πρὸς τὸ ζητεῖν, εἰ δεῖ τῆς προδήλου σωτηρίας ἀμελήσαντας, τὰ μηδαμοῦ γενησόμενα περιμένειν· πῶς οὐκ ἂν εἰκότως δοκοίητε[4] παραφρονεῖν; ἐγὼ δὲ ἠξίουν μὲν ὑμᾶς εὐθὺς ἀπὸ τῶν πρώτων ῥημάτων,[5] τουτονὶ τὸν μιαρὸν ἐκβαλεῖν, καὶ μηδὲν ἐπ᾽ αὐτῷ[6] δεηθῆναι ῥήτορος· ἀλλὰ τοῦ δήμου καθαρῶς ποιῆσαι τὸ ἔργον· ἐπεὶ δὲ οὐκ οἶδ᾽ ὅπως ἐδόθη τοσοῦτος χρόνος, τῇ τοῦδε ψευδολογίᾳ, καὶ τοῦ διδάξοντος ὑμᾶς, περὶ ὧν μόνων οὐδὲν δεῖ[7] διδαχῆς, ἐδεήθητε· παρῆλθον, οὐκ ἐπιτρέψων βελτίω[8] νομισθῆναι τοῦ Πυθίου τὸν μάγον. τὸ μὲν οὖν ἐξελέγξαι τοῦτον ἀλαζονευόμενον, οὐκ ἐμοὶ μόνον, ἀλλὰ καὶ παντί τῳ ῥᾴδιον. οὕτως οὐδὲν πιθανὸν[9] ἐν οἷς ὑπέσχηται τούτοις ἦν. δύο δέ με, ὦ παρόντες,[10] μάλιστα τῆς τοῦ μάγου δημηγορίας ἀνιᾷ· ἓν μὲν ὅτι πολλοὶ νῦν τῶν πολιτῶν ἐν τοῖς τούτου κεκλημένοι[11] λόγοις (ἔστι δὲ καὶ τούτων

οὗτος

[1] πραγματικὴ B.
[2] παρόντες m. M.
[3] ἐμαυτοῦ m. M.
[4] δοκεῖτε B. et m. M.
[5] post ῥημάτων addit B. εὐθύς.
[6] ἐπ᾽ αὐτὸν m. M.
[7] malim ἔδει in imperfecto.
[8] βελτίονα B.
[9] πιθανὸς m. M.
[10] πολῖται m. M.
[11] κεκλιμένοι B. malim τῶν πολιτῶν τοῖς τούτου κεκλημένοι.

οὗτος αἴτιος)[12] ἀποθνήσκουσι· τοῦ λοιμοῦ τὸ αὐτοῦ[13] ποιοῦντος· ἕτερον δὲ, τὸ μηδὲ τὸν θεὸν ὁμοίως ἡμῖν ἔτι βοηθεῖν ἐθελήσειν. τὸ γὰρ πρὸς ἑτέρας ἡμᾶς ἰδεῖν ἐλπίδας, καὶ δέξασθαι λόγους ὑπὲρ ἄλλης ἐπικουρίας, μετὰ τὴν μεγάλην ἐκείνην, θαυμάσαιμ᾽ ἂν, εἰ μὴ τῆς εὐνοίας τε καὶ σπουδῆς, ᾗ κέχρηται περὶ τὴν πόλιν ὁ θεὸς, μέγα μέρος ἀφαιρήσεται. διὸ καὶ σφόδρα δεῖ τουτονὶ καὶ μισῆσαι καὶ ζημιῶσαι τηλικαύτης ἡμᾶς, ἐν οἷς ἐπαγγέλλεται, καὶ φησὶ δώσειν, ἀποστεροῦντα ῥοπῆς· οἶμαι δὲ καὶ τοὺς τούτῳ συνειπόντας, οἱ τὸν μάγον[14] ὅθεν φιλοῦσιν οὐκ ἄδηλον, εἰκότως ἂν τῆς παρ᾽ ὑμῶν ὀργῆς τυγχάνειν· εἰ τὰ πρὸς τοῦτον, ὄντα τοιοῦτον, πρὸ τῶν τῆς πόλεως τίθενται. τῶν μὲν οὖν ἄλλων τινὲς ἀποροῦσι, καὶ πρὸς αὐτοὺς ἐζητήκασι πολλάκις· τίνος[15] ποτὲ ἀρχῆς, καὶ πόθεν, τὴν αἰτίαν λαβὸν τὸ δεινὸν τοῦτο, καὶ ἀφόρητον νόσημα, κενοῖ τὴν πόλιν. καὶ δὴ καὶ πρὸς ἀλλήλους ᾐσθόμην τινῶν ἐπ᾽ ἀγορᾶς στενόντων· τίνος ταυτὴν ἀδικήματος δίδομαι[16] δίκην; οὐχὶ καὶ νεὼ[17] καὶ ἱερὰ καὶ τεμένη καὶ βωμοὶ, καὶ πάντα κατὰ τοὺς παλαιοὺς νόμους πεφύλακται τοῖς θεοῖς; οὐ θύομεν; οὐ σπένδομεν; οὐ τελοῦμεν; οὐ πανηγυρίζομεν; οὐ παρ᾽ αὐτῶν ἐπὶ τὰς μάχας ἐρχόμεθα; οὐ μετὰ νίκας ἀναθήματα κομίζομεν: οὐ συνθήκας τηροῦμεν; οὐχ᾽ ὅρκοις ἐμμένομεν; οὐ τὰ δίκαια πρὸς τοὺς περιχώρους ποιοῦμεν; πῶς οὖν νοσοῦμεν; οἱ μὲν ἄλλοι ταῦτα. ἐγὼ δὲ οὐδεπώποτε θαυμαστὸν ἡγησάμην, τὸ ταῦτα πάσχειν, ἃ πάσχομεν· οὐχὶ τῶν τρόπων κατεγνωκὼς τῆς πόλεως· οὐδ᾽ ἀσεβές τι συνειδὼς

[12] non video, quid haec sibi verba velint ἐστὶ δὲ καὶ τούτων οὗτος αἴτιος. siue τούτων ad λόγους referas, siue ad rem, de qua agitur, nempe luem pestilentem tum grassantem.

[13] αὐτὸ B. et m. M.

[14] τὸν μάγον] sic B. τῶν μάγων M. Magus, in quem hac oratione inuehitur, fictitia est persona, cuius assimulatione sacerdos christianus designatur.

[15] malim ἐκ τίνος.

[16] διδόαμεν B. lege δίδομεν.

[17] νεὼς B.

εἰδὼς ὑμῖν· οὐδ' ἄγριον οὐδέν· μήποθ' οὕτως ἀγνοήσαιμι τὴν πόλιν· ἀλλ' ὁρῶν τὸν ἄνθρωπον τοῦτον, ἐκ γεωργίας μὲν ἢ θαλάττης, ἤ τινος ἄλλης ἐπιεικοῦς ἐργασίας οὐ βουλόμενον ζῆν· πονηρὰν δὲ ταύτην μετιέντα τέχνην· καὶ φάσκοντα μὲν ὑπὲρ τοὺς ἄλλους ἐπίστασθαι τοὺς θεοὺς, καὶ τἀκείνων ἀπόῤῥητα, καὶ τίσι χαίρουσι, καὶ τίσιν ἕλκονται καὶ τί λαβόντες ἀντιδοῖεν ἄν· ὅλως δὲ ὁ κατάρατος, ἑταῖρον αὐτὸν καὶ φίλον προσαγορεύει τῶν θεῶν· καὶ πᾶν δυσχερὲς δι' ἐκείνων λύειν ὑπισχνούμενος, πολλοὺς οἴκους ἀνατέτραφε. μισθῶν αὐτὸν ταῖς τῶν πολιτῶν ἔχθραις· καὶ περὶ τοὺς τάφους καλινδούμενος· κἀκεῖθεν ὀλέθρους τοῖς οὐδὲν αὐτὸν[18] ἀδικοῦσιν ἐπάγων ἀνθρώποις· νεκροὺς ἐνοχλῶν· καὶ ψυχὰς οὐκ ἐῶν τοῖς αὐτῶν μένειν ἤθεσι· καὶ πολλοὶ δὴ τοὺς αὐτοῖς προσκεκρουκότας ἀπώλεσαν, δι' ἑνὸς τούτου μισθοφόρου. ὃς οἷς ἤδη πολλοὺς περιβεβλήκει κακοῖς, τούτοις καὶ τὴν τοῦ[19] μὴ δοῦναι δίκην ἄδειαν παρεσκεύαζεν αὐτῷ. ὁ γὰρ αἰσθανόμενος καὶ κρίνειν δυνάμενος, αὐτῷ παρῄνει σιγᾷν· ὡς οὐκ ὂν[20] ἀσφαλὲς ἄνδρα παροξύνειν, ἀπὸ σημάτων ἰσχύοντα. ἐπεὶ καὶ αὐτὸς νῦν,[21] οἶδα μὲν ἃ πείσομαι· τὴν κοινὴν δὲ σωτηρίαν πρὸ τῆς ἐμαυτοῦ τιθέμενος ἀνέστην· τῷ δὲ, οὐ τοῦτο συνηγωνίζετο μόνον· ἀλλὰ καὶ οἱ τὰς καλὰς αὐτῷ ταύτας ὀφείλοντες χάριτας, πᾶν ἦσαν ἕτοιμοι καὶ ποιεῖν καὶ πάσχειν ὑπὲρ αὐτοῦ· ὁρᾶτε δὲ ὡς καὶ νῦν οὐδὲν ὀκνοῦσι. ταῦτα ὁρῶντες οἱ θεοὶ, καὶ μισοῦντες, καὶ τοὺς τούτῳ περιπεσόντας ἐλεοῦντες, τὴν ὀργὴν ἐπὶ πάντας ἀφῆκαν· ὃ[22] πολλαχοῦ γεγένηται πολλάκις. τοῦτο δὲ ἄρα οὐδὲ τοὺς γενναίους ποιητὰς ἐλάνθανεν. ἀλλ' εἰδότες ᾄδουσι,

Πολλάκις καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα.

τοῦτο πόλεσι διέστησε γῆν· τοῦτο θάλατταν ἐπήνεγκε. τοῦτ' ὄμβρον ἔξω τοῦ μετρίου· τοῦτο λοιμόν· τοῦθ' ὅπερ ἡμῖν·

[18] δι' αὐτὸν οὐδὲν B.

[19] καὶ τὴν τοῦ] sic B. τὴν omittit M.

[20] οὐκ ὂν] sic B. οὐκ ὢν M.

[21] καὶ νῦν m. M.

[22] ὃ] ἣ B. et m. M.

ἡμῖν. ἀλλὰ παρ᾽ ὧν τὸ τραῦμα, παρὰ τούτων καὶ ἡ βοήθεια. ἐπειδὴ γὰρ πολλοὶ μὲν ἐτεθνήκεσαν[23] ἤδη, τὰ δὲ τῶν ἰατρῶν ἦν οὐδὲν, εἴδομεν οἷ χρῆν ἰδεῖν, ἐπὶ τὸν οὐκ ὀλίγαις πόλεσι λελυκότα καὶ ταύτας, καὶ πολλὰς ἑτέρας συμφορὰς, τὸν θεὸν τὸν ἐν Δελφοῖς· καὶ ἐδεδοίκειν μὲν, ἐδεδοίκειν, ὦ παρόντες,[24] μὴ τῷ τοῦτον ἐξεληλακέναι τῆς πόλεως, ἀτυχήσωμεν τοῦ μαντείου. κρείττων δὲ εὖ ποιῶν ὁ θεὸς τῆς ἐμῆς ἐλπίδος γίγνεται· καὶ ἀναιρεῖ δὴ σαφῆ καὶ ἁπλᾶ· καὶ οὐχ οἷα τὰ πολλὰ δελφικὰ, τοῖς μὲν τοῦτο, τοῖς δὲ ἐκεῖνο παρέχοντα νομίζειν· ἀλλ᾽ εἶπε διαῤῥήδην, εἰ παῖς ἑνός του τῶν πολιτῶν ὑπὸ τοῦ δήμου τυθείη, στήσεσθαι τὸ κακόν· ταῦτα ἀκούσαντες, ἀνέστρεφον οἱ θεωροὶ θέοντες,[25] νύκτα καὶ ἡμέραν ὁμοίως ἐπειγόμενοι· καὶ ἡμεῖς ἐκαθήμεθα τρέμοντες· τί ποτ᾽ ἄρα ἥξουσι φέροντες. ὡς ᾐσθόμεθα δὲ προσιόντας, πολλοὶ πρὸ τῶν τειχῶν περιχυθέντες, ἠρωτῶμεν εἴτι τοιοῦτον ἦλθον ἀκούσαντες, ὃ δίδωσιν ἀναπνεῦσαι τῇ πόλει· χρηστὰ δὲ αὐτῶν ὑπισχνουμένων, οὐκ ᾠόμεθα δεῖν μέλλειν· ἀλλ᾽ ἐπὶ τὴν ἐκκλησίαν δρόμος·[26] καὶ ὁ γραμματεὺς εὐθὺς, ἀνεγίνωσκε τὸν χρησμόν· ἐνταῦθα[27] ψήφισμα μὲν οὐκ ἐδόκει δεῖν γράφειν, ὅτι τὸν τοῦ δεῖνος· οὐ γὰρ ἦν, οἶμαι, δημοκρατίᾳ πρέπον· κλῆρον δὲ ὁ καιρὸς ἐκάλει, καὶ τὸ ἴσον οὕτως ἐσώζετο. τῶν πατέρων δὲ παρόντων, καὶ τῶν ὀνομάτων ἃ τοῖς τούτων ἦν παισὶν ἐν τοῖς κλήροις κειμένων· καὶ τῶν ἐφεξῆς πραττομένων, ἔλαχεν ὁ, τοῦ πολλὰ καὶ δεινὰ τούτου δεδρακότος υἱός· καὶ ἐπηκολούθησεν, ὡς ἴστε, κρέστος· ὅ, τι δὴ δυοῖν[28] ἐμέλλομεν ἀπαλλάξεσθαι[29] κακῶν, λοιμοῦ τε καὶ πονηροῦ σπέρματος. τὸ μὲν οὖν δίκαιον ἦν, εὐθὺς τεθῦσθαι[30] τὸ ἱερεῖον, καὶ

[23] ἐτεθνήκασιν B.

[24] ἄνδρες B.

[25] θεωροὶ m. M.

[26] δρόμος] subaudi ἦν vel ἐγίγνετο.

[27] ἐντεῦθεν m. M.

[28] δὲ δυεῖν B.

[29] ἀπαλλάξεσθαι] sic B. et m. M. ἀπαλλάξασθαι t. M.

[30] εὐθὺς τεθῦσθαι] sic B. εὐθύς τε θῦσαι M.

καὶ τὴν νόσον[31] ἀπεληλυθέναι· καὶ εἶναι νῦν τὴν πόλιν, ἐν δευτέραις θυσίαις, ταῖς ἐπὶ τῷ σεσῶσθαι· καὶ τοῦτον μάλιστα μὲν μὴ λίαν ἀλγεῖν, ὡς ἂν καὶ αὐτῷ τινος γενομένης[32] φιλοτιμίας. εἰδ' οὐχ οἷός τε τοῦτό γε, προσποιεῖσθαί γε. ὁ δὲ, αἴρεται μὲν πρὸς θεὸν πόλεμον, καταφρονεῖ δὲ ὑμῶν· οἷς δὲ λέγει, τὴν νόσον ἐκτείνει· καὶ μὴ προσέχετε τῷ Πυθίῳ, φησὶν, ἀλλ' ἐμοί· παύσω γὰρ (φησὶ)[33] τὸν λοιμὸν ἐγώ· καὶ τί δεῖ τὸν παῖδα θύειν; καὶ ὁ μὲν γόης, ταῦτα· ὑμεῖς δὲ ἀνέχεσθε. νῦν, ὦ κατάρατε, ταῦτα λέγεις, καὶ τολμᾷς ὁμολογεῖν, ὡς ἔχων βοηθεῖν οὐκ ἐβούλου; οὐκοῦν οὐχ ὁ παῖς διὰ τοῦτο ζῆν ἄξιος· ἀλλ' οὗτος προσεθῆναι[34] τῷ παιδί· καὶ τὸν μὲν ὑπηρετῆσαι τῷ χρησμῷ δίκαιον· τὸν δὲ δοῦναι δίκην, ὅστις ὁρῶν τὴν πόλιν οὕτως οἰκτρῶς ἀπολλυμένην, οὐκ ἠλέησεν, οὐδὲ ἐπήμυνε, κύριος ὢν ὡς αὐτὸς λέγει· ἀλλὰ τοῦτο μὲν οὐκ ἄξιον ἐγκαλεῖν· οὔτε γὰρ τότε τοσοῦτον, οὔτε νῦν ἰσχύει· διακρούεται δὲ, καὶ παράγειν ἐπιχειρεῖ· καὶ ἔστι πανταχοῦ πονηρός· ὃς πρῶτον μὲν ὑμᾶς οὐκ ἐᾷ τοῖς ἐγνωσμένοις ἐμμένειν. φέρε γάρ· τί τότε βουλευομένοις ὑμῖν ὑπὲρ βοηθείας ἔδοξεν; οὐ τοὺς μὲν ἀνθρώπους ἅπαντας χαίρειν ἐᾶν, ὡς ἂν ἐλάττονας τοῦ πράγματος· ἐπὶ δὲ τὴν ἁπάσης κρείττω συμφορᾶς ἐπικουρίαν καταφεύγειν, τὸν θεὸν τὸν ἐν Δελφοῖς; καὶ οὐκ ἂν φαίην, ὅτι πολλοὶ περὶ τούτων ἐγένοντο λόγοι παρ' ὑμῖν. ἀλλ' εἶπε μὲν ὁ δεῖνα διὰ βραχέων· ἀντεῖπε δὲ οὐδείς· ἐχειροτόνησε δὲ ὁ δῆμος· ἡρέθησαν δὲ οἱ θεωροί· ἦλθον ἐκεῖσε· ἐχρήσαντο τῷ μαντείῳ· τί παύσει τὴν νόσον ἤκουσαν· ἐπανῆλθον· ἀπήγγειλαν· ἔξεστι μὴ νοσεῖν· νῦν οὖν λύσομεν τὰ δεδογμένα, καὶ οὐκ αἰσχυνούμεθα τὰς μεταβολὰς, αἳ μέγιστα ὀνείδη καὶ ἀνδρὶ καὶ πόλει φέρουσιν; οὐ γάρ ἐστιν ἀνοίας αἰτίαν, ἐν τοῖς τοιούτοις διαφυγεῖν· οὐ γὰρ οἷόν τε τοῦ δέοντος ἐν ἀμφοτέροις οὖσί γε ἐναντίοις τυγ-

χά-

[31] πόλιν B. et m. M.
[32] γιγνομένης m. M.
[33] φησὶ] sic B. φημὶ M.
[34] προσεθῆναι] sic B. προστεθῆναι M.

χάνειν· ἀλλὰ ἀνάγκη, θάτερον ὁμολογεῖν ἡμαρτῆσθαι· θαυμάζω δὲ, εἰ τοὺς μὲν τυράννους μισοῦμεν, ὅτι τὸν δῆμον ἀσθενῆ ποιοῦσι· τούτῳ δὲ εἰσόμεθα χάριν, ὃς ἰσχυρότερον αὐτὸν ποιεῖ, τῶν τῷ δήμῳ κεκυρωμένων. καὶ εἰ μὲν ψήφισμά τις ἔλυσε περὶ δωρεᾶς γεγραμμένον· ἢ περὶ τοῦ δεῖν τοῖς ἀστυγείτοσι βοηθεῖν· ἢ περὶ τοῦ παρ' ἐκείνων μεταπέμπεσθαι βοήθειαν, δεινὸν ἂν ἦν, καὶ ἠγανακτοῦμεν. τί λέγεις; μάτην οὖν συλλεγόμεθα· καὶ ῥητόρων ἀκούομεν, καὶ τὰ λεγόμενα δοκιμάζομεν,[35] καὶ χειροτονοῦμεν· καὶ κύριον ποιοῦντες τὸ δοκοῦν εὖ ἔχειν, ἀπερχόμεθα; νῦν δὲ πρᾴως οἴσομεν ἀναιρουμένης τῆς γνώμης, καθ' ἣν ἔδοξεν ἀντιστῆσαι τῷ λοιμῷ τὸ μαντεῖον; καὶ εἰ μὲν πρὶν ἀπᾶραι τοὺς θεωροὺς ἐπεχείρει τοῦτο ὃ νυνὶ ποιεῖ, καὶ οὕτως ἂν ὕβρις ἦν· καὶ οὐκ ἂν βελτίους ἐνομίσθησαν τῶν ἐκεῖθεν ἐλπίδων, οἱ παρὰ τοῦδε λόγοι.[36] ἡκόντων δὲ ἐκεῖσε, καὶ δεηθέντων, καὶ ὧν ᾔτησαν τετυχηκότων, πάντων τούτων καταγελάσαντες τὸ τοῦ[37] μάγου θαυμασόμεθα; καὶ εἰ μὲν ἐπ' ἄλλον τὶς ἦγε θεὸν ἡμᾶς, οὐδὲ τοῦτ' ἂν ἦν καθαρὸν αἰτίας· ἀλλ' ἧττον μὲν τοῦ νῦν ἁμαρτανομένου· τοὺς μεμφομένους δὲ εἶχεν ἄν. νῦν δ' ἐπ' ἄνθρωπον ἰόντες μετὰ τὸν θεὸν, οὐδὲν ἀδικήσομεν; καὶ μὴν οὐδὲ τοῦτ' ἔστιν εἰπεῖν, ὡς ἐπὶ[38] μαντεῖον μὲν ἤλθομεν·[39] οὐ μὴν τῶν ἄγαν πιστευομένων· οὐδ' οὗ μάλιστα τἀληθὲς εὑρίσκεται· ἀλλ' ἴσασιν ἅπαντες τὸ Δελφικὸν, καὶ τῷ τόπῳ[40] καὶ τῇ δόξῃ, καὶ τῇ περὶ πάντα ἀψευδίᾳ, πάντα παριὸν χρηστήρια.[41] τοῦτο καὶ τύραννοι βαρβάρων ἔγνωσαν, καὶ ὧν εἶχον τὰ κάλλιστα φέροντες ἀνέθηκαν.[42] τοῦτο τὰς πολλὰς τῶν Ἑλληνίδων πόλεων[43] ᾤκισε· τοῦτο τῷ γένει τῶν Ἑλλήνων ἐν ταῖς μεγίσταις δυσκολίαις ἤρκεσε· καὶ οὐ νῦν πρῶτον ἡ δύνα-

35 δικάζομεν B.
36 τοῦ λόγου B. τούτου λόγοι m.M.
37 τὸ τοῦ μάγου] sic B. τὸ deest M.
37 post ἐπὶ addit B. τό.
39 μετήλθομεν B. et m. M.
40 τῷ τρόπῳ B. et m. M.
41 χαριστήρια B.
42 ἀνέθεσαν B.
43 Ἑλλήνων πόλεις m. M.

δύναμις αὐτοῦ κρίνεται. ἀλλὰ μακροῦ χρόνου,[44] καὶ πείρας πολλῆς καὶ μαρτυρίας κοινῆς· ἄνθρωπος[45] θεοῖς ἐχθρὸς ἀξιοῖ νομισθῆναι[46] σεμνότερος· οὐ τοίνυν οὐδ᾽ ὁ τρόπος τῆς ἰάσεως καινός· ἀλλ᾽ ἤδη καὶ ἑτέροις δι᾽ ἴσων λέλυνται συμφοραί. καὶ οὐκ ἀφανεῖς γε αἱ θυσίαι· ἀλλὰ κἂν οἱ παῖδες εἴποιεν ταῦτα,[47] καὶ διηγήσαιντο[48] τοὺς θύσαντας, τοὺς τεθυμένους, ὑπὲρ ὧν τέθυνται· τί τοίνυν ἐστὶ τὸ πεῖθον, ἀντὶ τοῦ θεοῦ, καὶ τῶν παρ᾽ ἐκείνου, τὸν μάγον ποιήσασθαι. οὕτω μὲν οὖν εἰ καὶ σφόδρα πάντα εἶχε τῇ τοῦδε τέχνῃ, τῶν ἀτοπωτάτων ἦν ἂν καταγνῶναι μὲν μανίαν τῶν ἄρτι δεδογμένων. ἀτιμάσαι δὲ θεὸν, τὸν οὐκ ἀτιμάσαντα τὴν πόλιν. ὡς δὲ καὶ ψεύδεται, καὶ φενακίζει, καὶ ὧν πλεῖστον ἀπολείπεται, ταῦτα ἐπαγγέλλεται, γνῶναι ῥᾴδιον· ὅπου γὰρ ὑμῖν,[49] ὦ παρόντες, πιστόν· ὅτι οὗτος πολίτης ὢν, καὶ τοσαύτην ὁρῶν φθορὰν, καὶ κίνδυνον,[50] μηδένα ἡμῶν λειφθήσεσθαι· καὶ τὸν περὶ τὰς ταφὰς νόμον κεκινημένον τῷ πλήθει τῶν νεκρῶν, κατεῖχεν ἂν, καὶ οὐκ ἐξέφηνεν αὐτόν· ἀλλὰ προήκατο καιρὸν παρασχόντα αὐτῷ, σωτῆρα κληθῆναι τῆς πόλεως. διὰ τί γὰρ, ὦ τοῖς θεοῖς ἐρίζων τήμερον, οὐκ ἐπεδείξω[51] τὴν δύναμιν ταύτην; πότερον οὐκ εἶχε τὸ πρᾶγμα δόξαν; οὐδὲ ἐστὶν εἰπεῖν ὅσην· ἀλλ᾽ οὐχ ὑπῆρχε βουλομένῳ κερδαίνειν; καὶ τίνος ἂν ὧν ἐπήγγελες ἠτύχησας; τῶν μὲν ἄλλων εὐεργετῶν ἕκα-

στος

44 B. dat ἀλλὰ καὶ χρόνου μακροῦ. non displicet. num ergo leg. ἀλλὰ καὶ ἀπὸ χρόνου μ. — scil. κρίνεται vel κέκριται ἡ δύναμις αὐτοῦ?

45 f. κοινῆς, ἧς ἄνθρωπος — verum vulgata bene habet. ἀλλὰ paulo ante cohaeret cum ἀξιοῖ.

46 φανῆναι m. M.

47 f. malim εἴποιεν τ᾽ αὐτὰς, scil. τὰς θυσίας.

48 διηγήσονται B.

49 B. dat ὅτῳ γὰρ ὑμῶν. voluit dare ὅτῳ γὰρ ὑμῶν. eccui enim vestrum?

50 ante μηδένα deleui ὡς, quod abest a B. et m. M. idem est ac si dixisset ὁρῶν κίνδυνον τοῦ μηδένα λειφθήσεσθαι. cernens coram oculis periculum, quod minaretur tantam pestem, vt nemo omnium superstes relinqueretur.

51 post ἐπεδείξω videtur πάλαι deesse. *non iam dudum demonstrasti.*

ςος ἕν τι λαβὼν, ἐγένετο ζηλωτός· σοὶ δ' ἅπαντα συλλαβόντες, ἔδομεν,[52] αἴτησιν, ἀτέλειαν, γῆν πολλήν· ταλάντων πλῆθος, εἰκόνας πολλαχοῦ τῆς πόλεως· ἐν ςοαῖς, ἐν γυμνασίοις, ἐν ἱεροῖς· τάχα δ' ἄν τις ἔγραψε καὶ κρατήρων σε κοινωνεῖν, καὶ μετὰ τῶν θεῶν ᾄδεσθαι. πᾶς οὖν ᾕρου ζημιοῦν μετὰ τῆς πόλεως σαυτόν· σαυτῷ μὲν τοσούτων ἀγαθῶν· τῆς δὲ σωτηρίας φθονῶν ταῖς πολίταις, ἐξὸν μετὰ τῆς πόλεως τιλικαῦτα κερδαίνειν· τίς οὕτως ἀλλόκοτος, ὅςις ἂν ταῦτα ἀντὶ τοῦ ζῆν[53] φύγοι; τίς οὐκ ἂν εὔξατο ταῦτα δυνηθεὶς ἀποθανεῖν, εἰδὼς οἵων ἐφ' οἵοις ἔργοις, ἐπιγραμμάτων τεύξεται· σοὶ δὲ καὶ ζῶντι, τούτων ἂν ὑπῆρχεν ἀπολαύειν. καὶ μὴν ὅ, γε λοιμοῦ δυνατώτερος, οὗτος ἂν γένοιτο καὶ λοιμοῦ. καὶ λοιμοὺς[54] τοίνυν ἂν ἐλελύκει πόλεσιν· ὄμβρον, καλῶν τε τὸν οὐ φαινόμενον,[55] καὶ τὸν πλεονάζοντα, σωφρονίζων· καὶ τὰς ὥρας πείθων, μηδὲν τὴν γῆν ἀδικεῖν. καὶ μὴν ὅτῳ γε πρὸς ταῦτα[56] δύναμις, οὗτος ἂν ῥᾳδίως καὶ πολεμίους τρέψαιτο· μηδὲν δεηθεὶς ὅπλων, καὶ ἵππων καὶ ςρατηγῶν· πόσα τοίνυν ἔςησας ἀπὸ τῶν ἐναντίων τρόπαια· καί τοι καὶ ταῦτ' αὖ, εἴπερ ἦν σοι δύναμις, ἐπέπρακτο. οὐ γὰρ δὴ τοὺς ἀριςεύοντας μᾶλλον ἂν ἐβούλου μακαρίζειν, εἰ αὐτὸς εἶναι τῶν ςεφανουμένων· καὶ μᾶλλόν[57] γε, ἢ κατ' ἐκείνους ἐπαινουμένων. ὅσῳ περ ἀψοφητὶ, καὶ χωρὶς πραγμάτων τοὺς πολεμίους ἤλαυνες ἄν. ἐγὼ τοῦτον εἶδον πολλάκις ὑπὲρ ἀργυρίου διαλεγόμενον τοῖς ἐμπόροις· καὶ νῦν μὲν αἰτοῦντα· νῦν δὲ, τοῦ λαβεῖν εἰδότα χάριν. καί τοι τί χρῆν τοῖς πλουσίοις ἐνοχλεῖν· ἐξὸν εἶναι τῶν δοῦναι δυναμένων. διὰ τί γὰρ

[52] εἴδομεν B.

[53] pone ζῆν videtur ἐλέσθαι deesse. quis est ita stultus, vt haec optare et praeferre recusset ipsi vitae, h. e. qui nolit haec sumere, etiam si morte sua ista redimere debeat? m. M. dat ζητῶν.

[54] λιμοῦ. καὶ λιμοὺς] sic B. penurias annonarum. λοιμοῦ, καὶ λοιμοὺς M.

[55] ὑφαινόμενον m. M.

[56] πάντα m. M.

[57] καὶ μᾶλλον] id est καὶ τ. σοῦ τῷ μᾶλλον.

γὰρ μὴ πάντας σοι θησαυροὺς ἀπεκάλυψεν ἡ τέχνη· καὶ ὅσα νῦν ἐν τῇ γῇ κρύπτεται, τῆς σῆς οἰκίας ἐποίησεν; ὅτι φησὶν, ἄλλος ἄλλό τι μεμελέτηκεν. ἐγὼ δὲ τοῦτο, οὐ κακῶς ἐπίσταμαι· τὸ δὲ μὴ προσελθεῖν ὑμῖν, μηδὲ ἐπαγγείλασθαι πρότερον διὰ τουτουσὶ,[58] τοὺς φθονοῦντας, καὶ διαβάλλοντας τὴν τέχνην γέγονεν.[59] νῦν δὲ, εἰς ἀνάγκην ἀφῖγμαι. ἐγὼ δὲ ὅτι μὲν καὶ δι᾽ ἐκεῖνον[60] ἦλθεν ἂν ὁ λοιμὸς σβεννύων· αὐτὸν ποιῶν πλείονος ἄξιον, οὐδὲν οἶμαι δεῖν ἐπισταμένους διδάσκειν. περὶ δ᾽ αὖ τῆς διαβολῆς, ἐκεῖνο λέγω· τίς οὐκ ἂν ἠνέχετο ῥημάτων ὀλίγων καὶ βλασφημίας τινὸς, μέλλων συκοφάντας τοὺς λοιδοροῦντας ἐλέγξειν; πῶς δ᾽ ἂν μᾶλλον ἀπέπνιξας τοὺς[61] τὴν σὴν βασκαίνοντας δύναμιν, εἰ ταύτην ἔδειξας ἐπὶ τῷ τῆς πόλεως ἀγαθῷ κεκτημένος; ἐγὼ πρῶτος ἀναστὰς, ἐκάλουν ἂν ἐκείνους λοιμοὺς, καὶ τῆς πόλεως ἐχθρούς· καὶ τιμωρίαν ἀπῄτουν. ἀλλ᾽ οὐ τὸν φθόνον ἐδεδίεις. πόθεν; ἀλλ᾽ ᾔδεις οὐδὲν ὂν παρὰ σαυτῷ τοσοῦτον· διὰ τοῦτ᾽ ἐπῄνεις ἡμᾶς παρὰ τὸν θεὸν βαδίζοντας. μὴ ὅσα φασὶν οὗτοι δύνασθαι, πάντα τούτοις, ὦ πολῖται, δυνατὰ νομίζετε· ἀλλὰ τὰ μὲν, τὰ δ᾽ οὔ. καὶ τὰ μὲν σφόδρα, τὰ δ᾽ ἥκιστα· τοῖς γὰρ οἷος οὗτός ἐστιν, ἀνελεῖν μὲν συμφορὰν οὐκ ἔστι· ῥάψαι δὲ καὶ κατασκευάσαι· διὰ τοῦτο τῶν μισουμένων μᾶλλον εἰσὶν, ἢ τῶν τιμᾶν ἀξιουμένων. εὐδαίμονα μὲν γὰρ ἐποίησαν οὐδένα· πολλοὺς δὲ ἀθλίους. πόθεν δὴ τοῦτο τοιοῦτόν ἐστι; τῶν δαιμόνων, οἱ μὲν χείρους καὶ κακῶς ποιεῖν πεφυκότες, τέρπονταί τε τοῖς ὑπὸ τούτων δρωμένοις, καὶ συγκαταπράτ-

58 διὰ τοὺς φθ. τοῦτο εἰσὶ καὶ δ. m. M.

59 γεγένηται B. et m. M.

60 verum arbitror δι᾽ ἐκείνων, quod est in B. et m. M. deinde leg. suspicor λοιμὸν, aut λοιμός. nil opus esse arbitror, vt vos, qui ipsi optime sciatis, doceam, hunc (magum) qui penurias annonarias exstinguere sciat, vel per medios inimicos (in concionem) penetraturum atque, arte sua tanto maiorem existimationem sibi contracturum fuisse.

61 post τοὺς deleui πρὸς, quod abest a B.

πράττουσι τὰ δεινὰ δὴ ταῦτα, καὶ ἀπολλῦντα ἀνθρώπους· μεθ᾽ ὧν οὗτοι, διιστᾶσι φίλους· ἐκπολεμοῦσι πρὸς αὐτὴν συγγένειαν· πλοῦτον διεσκέδασαν· πενίαν ἐπήνεγκαν· ὀφθαλμοὺς ἐξέκοψαν· γλῶτταν ἀπέστρεψαν· κωφὸν ἀπέφηναν. πόδας ἔδησαν· χεῖρας ἐπήρωσαν· σῶμα συνέτηξαν· πολλὰ πρὸς τούτοις, ἃ ὅπως μὲν δύνανται καὶ τί ποιοῦντες ἢ λέγοντες, οὗτος μὲν οἶδε καλῶς. ἐγὼ δὲ οὐ μεμάθηκα, μήτε μάθοιμι. ταῦτα δ᾽ οὖν ἐστὶ τὰ τῆς τούτων συμμορίας· καὶ τοῦτο ἔργον τῆς καλῆς ταύτης τέχνης. τῶν μὲν οὖν πονηρῶν δαιμόνων, αὐτὸν καλείτω φίλον· οὐδὲν ἀντιλέγω· παρ᾽ ὧν δὲ τὰ χρηστὰ τοῖς ἀνθρώποις, καὶ αἱ τῶν κακῶν ἀπαλλαγαὶ τούτοις δὲ οὗτος ἐχθρὸς ἀπ᾽ αὐτῆς τῆς πρὸς τοὺς ἑτέρους φιλίας. οὐ γὰρ οἷόν τε τὸν αὐτὸν παρ᾽ ἀμφοτέροις δύνασθαι· ἀλλ᾽ ὅστις τι δι᾽ ἐκείνων ἔβλαψεν, οὗτος τοῦ δύνασθαί τι καὶ διὰ τούτων ὠφελεῖν αὐτὸν ἀπεστέρησε·[62] βλάπτουσι δὲ ἕνα ἄνδρα καὶ δύο· κἂν τὰ μέγιστα δυνηθῶσιν, οἶκον ὅλον[63] καὶ πόλιν. τῷ μὲν[64] εἶναι κακὸν,[65] καὶ μὴ διδόναι δίκην, ζημιοῦσι· τῇ τέχνῃ δὲ καὶ τοῖς φαρμάκοις οὐδέν. καὶ τί δεῖ πόρρωθεν τὴν τούτου περὶ τὰς εὐεργεσίας ἀδυναμίαν ἐλέγχειν· ἔχοντα ἐκ τῶν νῦν τοῦτο ποιεῖν. ἄνθρωπος κλῆρον παρατρέψαι μὴ δυνηθεὶς,[66] πόλιν ὅλην ῥύεται νόσου; ἄνθρωπος ἄχρηστος κινδυνεύοντι παιδὶ λοιμοῦ περιγίνεται; οὐκ ἐδεδίεις μὴ λάχῃ; τί οὖν λαχόντος τρέμεις; ἀλλ᾽ ἐδεδίεις μὴ λάχῃ; τί οὖν οὐκ ἐποίεις μὴ λαχεῖν; ἀλλ᾽ οὐ προσεδόκησας; ποῦ τοίνυν ὁ θαυμάσιος μάγος. ἐῶ τἄλλα. ἀλλ᾽ ἔχομαί σου τοῦ παιδὸς, νῦν ἐγὼ, καὶ οἶδε πάντες,[67] καὶ θύειν μέλλομεν.[68] νίκησον ἡμᾶς· ῥῦσαι τὸ σῶμα· τῶν χειρῶν ἐξάρπασον· ἀφάνισον τὸ μειράκιον νεφέλῃ· ποίησον ἡμᾶς δοκεῖν ἔχειν, αὐτὸν οὐκ ἔχοντας. ὁρᾷς ὡς ἀπορεῖς, καὶ ἐξελεγχόμε-

62 ἀπεστέρησε] sic B. ἀπεστέρηται M.
63 ὅλην δὲ π. m. M.
64 τὸ μὲν B. et m. M.
65 malim κακοί.
66 hereditatem auertere, ab alio scil. ad se interuertere, intercipere non valuit.
67 οἶδα πάντας B. et m. M.
68 ἐμέλλομεν B.

λεγχόμενος οὐκ ἔχεις ὅ, τι χρήσῃ; τίνα δὴ παρεχόμενος τοῦ παύσειν τὸν λοιμὸν ἀπόδειξιν, ἀξιοῖς ᾧ θαρροῦμεν ἀφέντες, οἷς οὐκ ἔνι πιστεύειν ἀναμένειν. ὅτι, φησὶν, εἰ μὴ σφόδρα ἐπεπείσμην ἀρκέσειν πρὸς τὸ ἔργον, οὐκ ἂν ἐπηγγελλόμην. τί γὰρ ὄφελος,[69] αὖθις ἐπὶ τὴν σφαγὴν ἀγομένου τοῦ παιδός; ἓν τοῦτο πρῶτον,[70] ὦ μάγε, τὸ μὴ τήμερον αὐτὸν ἀποθνήσκειν· σὺ δ' ὡς εἰκὸς, αἰτήσεις καὶ τὴν ἐπιοῦσαν ἡμέραν· καὶ τρίτην, καὶ τετάρτην, καὶ δέκα· καὶ δὶς τοσαύτας· φάσκων τῶν εἰς τὴν ἴασιν φερόντων, τοῦ μὲν εὐπορεῖν[71] τοῦ δὲ οὔπω· μεῖζον δὲ ἐκεῖνο, τὸ μήπω φαινόμενον[72] δύνασθαι· διαλέξῃ τί καὶ περὶ σελήνης, καὶ τῶν τοῦ μηνὸς ἡμερῶν· καὶ ὅλως ἄλλα ἐπ' ἄλλοις εὑρήσεις ἀναβολὴν ἔχοντα. τὸ δὲ ποιεῖν μὲν οὐδέν· ἀεὶ δὲ ποιήσειν λέγειν, χρόνον ἐμποιεῖ ἱκανόν.[73] ἓν μὲν τοῦτο, οὐ μικρὸν τούτῳ[74] τὸ κέρδος· ἕτερον δὲ μεῖζον ἢ οὐδὲν ἔλαττον, τὸ πολλοὺς ἐν ταῖς ἡμέραις ταύταις πρὸ τοῦ λαχόντος τῶν πολιτῶν ἀπελθεῖν. ἡγεῖται γὰρ καὶ τῷ παιδὶ, καὶ αὐτῷ τοῦτό γε οὐ φαύλην παραμυθίαν οἴσειν· καὶ ἃ δράσει μὴ λυόμενος ὁ λοιμὸς, κουφιεῖν αὐτῷ νομίζει τὴν συμφοράν. τί δ',[75] ἂν, εἰπὼν ἀνάγκην εἶναι νύκτωρ περιελθεῖν τὴν χώραν· καὶ παρεῖναι δεῖν, τῶν μὲν ἄλλων οὐδένα, τὸν υἱὸν δὲ μόνον, ὃν[76] καὶ μόνον οἷόν τε τῶν τοιούτων κοινωνεῖν. τούτων

των

[69] Cui bono? ſcil. vanitatem artis tuae ita iactas, qui ſcias, niſi factis veritatem dictorum approbes, futurum eſſe, vt filius tuus poſtremo tamen iuguletur.

[70] poſt πρῶτον videtur αἰτεῖς deeſſe.

[71] εὐπορεῖν] ſic B. et m. M. εὐπορῶν t. M.

[72] poſt φαινόμενον videtur εὑρεῖν vel πορίσασθαι vel tale quid deeſſe.

[73] non diſplicet lectio B. χρόνους ἐμποιεῖν ἱκανόν, ſcil. ἐστί, *Satis valet ad rem extrahendam.*

[74] τοῦτο m. M.

[75] τί δὲ cohaeret cum τί χρησόμεθα, et ἂν cum ἀναγκάσῃ, et τούτοις τοῖς λόγοις aequipollet vocabulo εἰπὼν, et eſt in illis reſtauratio coeptae orationis.

[76] aut pro ὃν leg. eſt ὡς, aut illo ſeruato ad οἷόν τε addendum eſt εἶναι.

των δὲ οὐ συγχωρουμένων, μάτην ἅπαντα πεπράξεσθε.[77] ἂν τούτοις ὑμᾶς ἀναγκάσῃ τοῖς λόγοις παραδοῦναι τὸν υἱὸν αὐτῷ, τὴν τῆς πόλεως ἀσφάλειαν. ἔπειτα ἀπιὼν οἴχηται παρὰ τοὺς οὐχ ἡδέως πρὸς ἡμᾶς ἔχοντας, τί χρησόμεθα, εἰπέ μοι ἐπ᾽ ἄλλον ἥξομεν; καὶ τίς ἀνέξεται· ἀλλ᾽ εὑρήσομεν; ἂν οὖν χαλεπαίνων ὁ θεὸς μάταιον τὸ πρᾶγμα ποιῇ· πέμψομεν, νὴ Δία, παρ᾽ αὐτὸν πάλιν, καὶ τὴν νόσον ἐροῦμεν· καὶ ζητήσομεν φάρμακον; ὁ δὲ, ὦ πάντων ἀνθρώπων ἀτοπώτατοι, φησὶν, ὑμεῖς τυχόντες ἑτοίμου βοηθείας, ἐν χεροῖν τὸ θῦμα,[78] κύριοι τοῦ μηκέτι νοσεῖν γεγενημένοι, λόγων[79] ἠκούετε μετὰ χρησμούς; τί οὖν εἰρωνεύεσθε;[80] καὶ ἀνθρώπους ἔχοντες ἡμῶν ἀμείνους, οὐ δι᾽ ἐκείνων ἀπαλλάττεσθε τῶν δυσχερῶν; τί οὖν τότε ποιήσομεν; αἰτιασόμεθα νὴ Δία τοὺς τούτῳ βεβοηθηκότας· καὶ ὡς οὐκ ἐχρῆν ὑπαχθῆναι δακρύοντος ἐροῦμεν; ἀλλ᾽ οὐδὲν ἧττον ἀπολούμεθα.[81] πῶς οὖν, φησὶν, οὐκ ἐμὲ σφάττει; ὅτι δεινότερον ἡγεῖταί σοι τῆς σαυτοῦ τελευτῆς, τὴν τοῦ παιδός· βαρύτερον δὲ πᾶσιν ἀνθρώποις, ἡ ἐν τῷ περιεῖναι λύπη,[82] τοῦ θανάτου. διὰ τί οὖν, φησὶ, μὴ διαῤῥήδην εἶπε τὸν ἐμὸν θύειν; ὅτι τότε μὲν ᾔδει σε[83] συκοφαντήσοντα τὸ μαντεῖον εἰπεῖν[84] ἄνδρες πολῖται· ταῦτα ἐνθένδε κατεσκεύασαι. ταῦτα οἱ φθονοῦντες· ταῦτα οἱ

τὴν

[77] lege πεπράξεσθαι. B. dat πράξετε.

[78] aut ἐν χεροῖν ἔχοντες τὸ θῦμα aut ἐκ χεροῖν ἀφέντες τὸ θῦμα.

[79] λόγων] id est commentorum, mendaciorum, imposturarum ab homine confictarum.

[80] εἰρωνεύεσθε] quid assimulatis ementitum nostri studium? quid ita vos geritis, vt videamini me meumque filium tanti facere, quos contemnitis, vt nos praeferatis aliis ciuium vestrorum liberis, qui digniores sint, quam filius meus est, qui piacula fiant et ciuitatis vestrae pestem capitibus suis expient.

[81] ἀπολογούμεθα B.

[82] τὴν — — λύπην B. et m. M.

[83] σε deest m. M.

[84] μαντεῖον εἰπεῖν] sic B. (sed καὶ quod item addit, inutile est.) εἰπεῖν omittit M.

τὴν ἐμὴν δόξαν οὐ φέροντες· ταῦτα οὐχ ὁ θεός· ἀλλὰ Δελφῶν οἱ πάντα ἀργυρίου ποιοῦντες. διὰ τοῦτο τοὔνομα μὲν οὐκ εἶπε, τῷ κλήρῳ δὲ ταυτὸν ἐποίησεν. ἢ σὺ νομίζεις, οὐ τῇ ψήφῳ τοῦ θεοῦ καὶ τῇ γνώμῃ, τὰ περὶ τοὺς κληρουμένους οὕτω γένεσθαι;[85] τί οὖν βιάζῃ καὶ φιλονεικεῖς, καὶ δυσσεβῆ τινα παλαιὸν μιμῇ τοξότην· ὃν οἱ ποιηταί φασιν ἀντάρασθαι τῷ θεῷ τόξον; καὶ σὺ νῦν ἀνταγωνίζῃ τῷ μαντείῳ· διαφέρει δὲ τοσοῦτον, ὅσον ὁ μὲν αὐτὸς ἐμαίνετο μόνος· σὺ δὲ καὶ τὸν δῆμον ἀξιοῖς. ἦ[86] ταῦτα, ὦ πολῖται, σωφρονούντων ἀνθρώπων; βουλεύεταί[87] τις περὶ τῶν ἀνῃρημένων; δέον προσθεῖναι τὸ ἔργον· καὶ κατέχει λοιμὸν, ὃν ἔχει λῦσαι· καὶ τὰ ὦτα παραδίδωσι λόγοις ἀνθρώπων, ἀκηκοὼς λογίων· καὶ βουλεύεται ἀπελθὼν οἴκαδε τοὺς αὐτοῦ νοσοῦντας ἐπιδεῖν, ἐξὸν ὑγιαίνοντας; καὶ τί πρὸς αὐτοὺς ἐρεῖτε,[88] τοὺς ἐν ταῖς κλίναις; τοὺς περὶ τὰ φρέατα; τοὺς ἐν τῷ κακῷ; τοὺς καιομένους; πάντως δὲ ἐπύθοντο τὰ παρὰ[89] τοῦ θεοῦ, καὶ θαυμάζουσιν, ὡς εἰκὸς, ὅτι μήπω λέλυνται· τί οὖν ἐρεῖτε[90] πρὸς αὐτοὺς, ἔτι νοσοῦντας; ἢ τὸν μάγον, καὶ τὰ παρὰ τοῦ μάγου· καὶ ὡς ἐπαγγέλλεται, καὶ ὡς ἴσως τί πράξει; καὶ πῶς οἴσετε τῶν καμνόντων τὸν ὀδυρμόν; τὸν τοῦ γόητος περὶ πλείονος ὧν ἐποιήσατε,[91] πεποιῆσθαι δόξετε; ὁρῶ τοὺς πολλοὺς ὑμῶν, ὦ πολῖται, μελανειμονοῦντας· τὸν μὲν, ἐπ' ἀδελφῷ, τὸν δὲ, ἐπὶ γυναικί· τὸν δὲ, ἐπὶ τέκνῳ· τὸν δὲ, ἐπὶ τούτοις ἅπασι. βούλεσθε οὖν τούς τε οὔπω θρηνοῦντας ταῦτα παθεῖν, τοῖς τε ἤδη πεπληγμένοις[92] προστεθῆναι[93] μείζω; μὴ πρὸς τῶν πολλῶν τάφων· ἀλλ' ἐλεήσατε μὲν τοὺς ἀσθενοῦντας, ἐλεήσατε δὲ τοὺς οὔπω. ἥξει γὰρ, ἥξει, τὸ κακὸν βαδίζον ἐφ' ἅπαντας,

85 γίνεσθαι m. M.
86 γρ. ἢ τ. m. M.
87 βούλεται B. οὐδεὶς β. περὶ τ. ἀναιρησομένων m. M.
88 ἐρεῖτε] sic B. ἐρεῖται M.
89 περὶ B.
90 ἐρεῖτε] sic B. ἐρεῖται M.
91 sine dubio vera est lectio marg. M. ὧν ἐγεννήσατε. id est τοῦ τῶν ὑμετέρων τέκνων ὀδυρμοῦ.
92 πεπλημμεμελημένοις m. M.
93 προστεθῆναι] sic B. προστεθεῖναι M.

ἂν μὴ σταθῇ τῷ ξίφει· οὐδὲν δεινὸν οὐδ' ἐλεεινὸν ὁ μάγος πείσεται, μετὰ πολλῶν πατέρων ζητῶν τὸν ἑαυτοῦ· οὐδ' ἂν δίκαιος εἴη πρὸς ὑμᾶς λέγειν, σώσατε τὸν ἐμόν· τοὺς ὑμετέρους πρόεσθε. ταῦτα γὰρ αἰτεῖ, κἂν τὰ ῥήματα φεύγῃ· ἔδει δὲ τούτων οὐδενὸς, εἴ περ ἅ φησι καὶ ὑπισχνεῖται, καὶ ταῦθ' ὡς[94] ἀληθῶς ἐδύνατο. τί γὰρ ἐκώλυεν, εἰπέ μοι, πρὶν εἰπεῖν τὶ, πρὶν ὑποσχέσθαι, συνάψαι τῷ κλήρῳ τὴν ἴασιν· καὶ τὸν τῶν λόγων τούτων[95] καιρὸν, τῆς τοῦ λοιμοῦ ποιῆσαι λύσεως. εἶθ' οὕτω θύειν κωλύειν, ὡς ἂν οὐκέτ' οὔσης ἀνάγκης. ἀλλ' οὐκ ἐνῆν οὕτως ὀξέως, ἀλλὰ διὰ χρόνων.[96] οὐκοῦν ἂν μέλλῃς οὕτω λύειν. θῶμεν γὰρ, εἰ καὶ σφόδρα τοῦτο ἠλίθιον, οὐκ ἴσα ἀντ' ἴσων δίδως· ποῦ γὰρ ἴσον, ἤδη παῖδες ὑγιαίνοντας ἰδεῖν, ἢ τοῦτ' αὐτὸ μετὰ πολλοὺς θανάτους λαβεῖν. τὸ δὲ ἀγανακτεῖν οὕτω πολίτην ἡμέτερον, εἴ τι χρήσιμος ἔσται διὰ τοῦ παιδὸς τῇ πόλει, πῶς ἀνεκτόν; τούτων ἕκαστος, εἰ τὸν υἱὸν ὑπὸ τοῦ κλήρου κατειλημμένον ἑώρα τὸν ἑαυτοῦ, ἴσως μὲν, οὐδ' ἂν ἐδάκρυσεν. εἰ δ' οὖν, ἀλλὰ κἂν ἡδονὴν ἴσως εἶχε τινὰ τῇ λύπῃ κεκραμένην,[97] εἰ τοιαύτην εἰσφορὰν εἰσανέφερε τῇ πόλει. ὁ δὲ ἀγανακτεῖ· καὶ τὴν λειτουργίαν οὐ φέρει· καὶ λοιδορεῖται τοῖς θεοῖς· καὶ μονονοὺ κατασκάπτει τοὺς νεώς. καὶ οἱ μὲν τὰ μέγιστα ἡμᾶς ἀγαθὰ εἰργασμένοι, τὴν ἡσυχίαν ἦγον ἄν. ὁ δὲ πονηροῖς φαρμάκοις τὸν αὑτοῦ[98] κατατρίψας βίον, ὥσπερ τις τύραννος, ὑποχωρεῖν ἀξιοῖ ταῖς ἡδοναῖς ταῖς ἑαυτοῦ τὴν κοινὴν ἀσφάλειαν. διὰ τί; διὰ τὰ πολλὰ τρόπαια, καὶ τὰ αἰχμάλωτα σώματα, καὶ ναῦς, καὶ λιμένας, καὶ τόπους. καί τοι κἂν εἰ πάντα ταῦτα ἦν, οὐδ' ἂν οὕτως ἀπῄτει[99] χάριν εἰκότως, τὸ μηκέτ' εἶναι τὴν πόλιν. εἰ δὲ μήτε στρατηγοῖς, μήδ' ἀριστεῦσι, μήδ' οἱ μεγίστων ἡμᾶς ἐξείλοντο κινδύνων, ἔδοτ' ἂν τοιαύτην τιμήν·

94 f. καὶ ποιῶν ταῦθ' ὡς —
95 τούτων] sic B. τοῦτον M.
96 χρόνων] sic B. χρόνον M.
97 κεκρατημένην m. M.
98 ἑαυτοῦ B.
99 ἀντῄτει m. M.

τιμήν· πῶς τῷ γόητι δώσετε; οὐ φέρεις τὴν τοῦ παιδὸς σφαγήν; εἰ δὲ ἀνὴρ γενόμενος ὅπλα λαβὼν ἔπεσεν ὑπὲρ τῆς αὑτοῦ μαχόμενος, οὐδὲ τότ' ἂν ἤνεγκας; ἀλλ' εἴγε ἄλλοι πατέρες τοὺς οὕτω τεθνεῶτας ἔθαπτον σεμνυνόμενοι. καὶ που τὶς καὶ στρατηγὸς τοὺς αὑτοῦ παῖδας ἐπὶ τὴν μάχην ἀγαγὼν, νεκροὺς ἐπανῆλθε κομίζων· καὶ οὔτε τὴν πόλιν, οὐθ' αὑτὸν, οὐδὲ ἐκείνους ἐμέμψατο. σὺ δ' ἂν τοὺς σαυτοῦ παρῄνεις οἴκοι μένειν· καὶ φεύγειν μᾶλλον ἀστρατείας γραφὴν, ἢ τραύματα[100] ὑπομεῖναι; ταχὺ γ' ἂν οὗτος, εἰ[1] μεγαλοψυχίαν πατρὸς ὁ χρησμὸς ἐκάλει, πρὸ τῶν ἄλλων ἀναπηδήσας ἐπέδωκε τὸν υἱὸν, ὃς οὐδὲ τὸν κλῆρον ἀνέχεται. εἰ μὲν οὖν μὴ μάγος ἦσθα, παρεμυθούμην ἄν σε λόγοις, οἷς κἂν ἄλλον πατέρα· ὅτι, ὦ φίλτατε, νόμιζέ σοι τὸν υἱὸν ἐν τῷ λοιμῷ τεθνάναι· νόμιζε πρὸ τοῦ λοιμοῦ. λογίζου πόσους ἰσήλικας τούτῳ χθὲς ἐξηνέγκαμεν. τί δ' εἰ ἔτι[2] δυσχερέστερον αὐτῷ τῆς νῦν τελευτῆς ὁ μετὰ ταῦτα εἶχε βίος. ἐστεμμένος ἄπεισιν ἅμα σπονδῇ καὶ εὐχαῖς, μέγαν ὑπὲρ αὐτοῦ καταλιμπάνων λόγον. ταυτὶ μὲν ἂν καὶ πολλὰ τοιαῦτα διῆλθον, εἰ μηδὲν τῶν ἄλλων διέφερες· νῦν δὲ ἄκουσον, ἅ μοι δίδωσι λέγειν ἡ σὴ τέχνη. τί δέδοικας, ὦ μάγε; τί κλαίεις; ἕξεις καὶ μετὰ τὴν σφαγὴν τὸν υἱόν· ὑπακούσεταί σοι καλοῦντι, φανεῖται, διαλέξεται· συνδιατρίψει τὰς νύκτας· ἤπου σοι καὶ διακονήσει τῶν ἄλλων προθυμότερον εἰδώλων. μὴ τοίνυν ἀγάλλε, μετὰ τῆς πόλεως καὶ αὐτὸς ἰδίᾳ κερδαίνων.

[100] τραῦμα B.
[1] εἰς μ. m. M.
[2] τί δ' εἰ ἔτι] sic B. τί δ' εἴτι M.

ΑΛΛΗ

ΑΛΛΗ ΜΕΛΕΤΗ.

ΥΠΟΘΕΣΙΣ.

Διέσωσέ τις ἐμπρησμοῦ γενομένου, τὸν ἑαυτοῦ πατέρα. πειρώμενος σώζειν[1] καὶ τὴν μητέρα, καὶ τοῦ σῶσαι διήμαρτε, καὶ τοὺς ὀφθαλμοὺς προσαπώλεσεν. ἐπεισήγαγεν αὐτῷ μητρυιὰν ὁ πατήρ· αὕτη δεδεμένον φάρμακον ἐν τοῖς ἱματίοις τοῦ παιδὸς ἔδειξε τῷ πατρί· καὶ πυνθανομένου τοῦ πατρὸς, πόθεν εἴη τὸ φάρμακον, οὐδὲν ἀπεκρίνατο. μεταταῦτα γράφων διαθήκην, τῇ μὲν γυναικὶ τὸν κλῆρον εἴασεν· ἀποκληρονόμον[2] δὲ τὸν παῖδα κατέλιπε. καὶ νυκτὸς θορύβου γενομένου κατὰ τὴν οἰκίαν, καὶ πολλῶν συνελθόντων, ὁ μὲν πατὴρ εὕρηται νεοσφαγής· τὸ δὲ ξίφος τοῦ παιδὸς παρακείμενον· ἡ δὲ μητρυιὰ, παρακαθεύδουσα· ὁ δὲ τυφλὸς, ἑστὼς ἐπὶ τοῦ οὐδοῦ τῆς οἰκίας, ἐν ᾗ καθ' ἑαυτὸν ἔμενεν. ἀντεγκαλοῦσιν ἀλλήλοις τὸν φόνον ὁ τυφλὸς, καὶ ἡ μητρυιά.

(Στοχασμὸς ἀντεγκληματικός.)

[1] σώζειν] sic B. et W. σώσειν M.
[2] ἀπόκληρον m. M.

ΠΡΟΘΕΩΡΙΑ.

ΤΟ δυσχερὲς τοῦ ζητήματος, καὶ αὐτόθεν μὲν τοῖς ἀκούουσι πρόδηλον· πολλῷ δὲ φανερώτερον καταφαίνεται τοῖς ἀκριβέστερον αὐτὸ καθορᾷν δυναμένοις. φύσει μὲν γὰρ καὶ πάντες οἱ ἀντεγκληματικοὶ στοχασμοὶ πολλὴν ἔχουσι τὴν δυσκολίαν, καὶ διαιρέσεως ἕνεκα, καὶ τάξεως, καὶ τῆς ἄλλης οἰκονομίας. ἐξεραίτως δὲ οὗτος διὰ τὴν ἐνοῦσαν συμπλοκὴν καὶ περιπέτειαν τῷ πλάσματι. ζητοῦσι μὲν οὖν οἱ τὰς διαιρετικὰς τέχνας συγγράψαντες, πότερον κατὰ κεφάλαιον ἕκαστον δεῖ προσθεῖναι,[3] τὴν ἀντεξέτασιν ποιουμένους, ἢ διόλου τὸ μέρος πληρώσαντας, οὕτως ἐπὶ τὸ[4] ἕτερον μετιέναι. καὶ ζητοῦντες, εὑρίσκουσιν ἀγωνιστικώτερον μὲν τὸ κατὰ κεφάλαιον ποιεῖσθαι τὴν ἀντεξέτασιν· πλείστης δὲ συγχύσεως αἴτιον· τὸ δὲ διόλου, σαφέστερον μὲν, ὑπτιώτερον δέ. καὶ τέλος ἔκριναν προτέραν μὲν ποιεῖσθαι τὴν ἀπολογίαν ὁλόκληρον· δευτέραν δὲ τὴν κατηγορίαν[5] ὁμοίως, τῆς ὑπτιότητος ἔλαττον φροντίσαντες διὰ τὴν σαφήνειαν. ὑμεῖς δὲ κατὰ δύναμιν φυλαξάμενοι τὴν ἐν ἑκατέροις κακίαν, τὴν ἀρετὴν τετηρήκαμεν· τοῦ μὲν γὰρ τὸ ἐναγώνιον ζηλώσαντες, τὴν σύγχυσιν διαπεφεύγαμεν· τοῦ δὲ τὸ ὕπτιον φυλαξάμενοι, τὸ σαφὲς τετηρήκαμεν. ὅπως δὲ τοῦτο κατώρθωται, ῥᾳδίως δηλώσει προϊὼν ὁ λόγος· τὴν γὰρ ἀπολογίαν ἑκάστῳ κεφαλαίῳ προτάττοντες, τὴν κατηγορίαν ἐπάγομεν· καὶ τὰς ἐφ' ἑκάστου κατὰ τὴν οἰκείαν ἰδίᾳ τάξιν ἀντιθέσεις εἰσάγομεν, ὡς ἀναγκαίαν ὁμοῦ, καὶ ἐναγώνιον, καὶ εὐκρινῆ τὴν ὅλην διαχείρησιν γίγνεσθαι.[6] θεωρεῖν δὲ ἄξιον, ὅπως λανθάνει

[3] malim προθεῖναι praeponere, praemittere, aut proponere, in medio ponere.

[4] τὸ ἕτερον] sic B. τὸν ἕτ. M.

[5] ἀντιλογίαν m. M.

[6] γενέσθαι B.

θάνει μὲν ἐν τοῖς ἀγῶσι τὸ πάθος· λανθάνει δὲ πάλιν ἐν τοῖς πάθεσιν οὐδὲν ἧττον ἀγωνιζόμενος, καὶ τούτων[7] ἑκάτερον ἐν ἀμφοτέροις πληρῶν, ἔν τε τοῖς ὑπὲρ αὐτοῦ λόγοις, καὶ τοῖς κατὰ τῆς μητρυιᾶς· καὶ ὅπως πόῤῥωθεν προδιοικεῖ τὰ συμφέροντα, καὶ προδιαλύει τὰ βλάπτοντα· καὶ Δημοσθενικῇ[8] κατανοήσει χρώμενος, τοῖς μὲν ἀθρόοις ἠρέμα συναγωνίζεται, πανταχόθεν περιστέλλων αὐτὰ καὶ πιστούμενος· τῶν δὲ πρόδηλον ἐχόντων τὴν δύναμιν, καὶ αὐτόθεν ἰσχυρῶν φαινομένων, οὐδεμίαν προβάλλεται βοηθοῦσαν ἐπίνοιαν ἔξωθεν, ἵνα τοῖς πράγμασιν αὐτοῖς, καὶ μὴ δεινότητι δοκῇ[9] περιγίγνεσθαι· καὶ διὰ τῶν αὐτῶν ποιεῖ τὸ συναμφότερον, δι' ὧν ἀπολογεῖται κατηγορῶν, καὶ δι' ὧν κατηγορεῖ συναπολογούμενος. προσήκει δὲ χρηστὸν, καὶ σπουδαῖον ὑποθέσθαι τὸν παῖδα, τῆς τοῦ ζητήματος πλάσεως τὰς ἀφορμὰς ἡμῖν πρὸς τοῦτο παρεχομένης. οὕτω γὰρ ἂν μᾶλλον τὴν δυστυχίαν αὐξήσαιμεν· οἱ γὰρ ἀγαθοὶ δυστυχοῦντες, τὰ πάθη μείζονας ἐγείρουσι· καὶ δι' ὅλου τοῦ λόγου τὸ πρέπον διαφυλάττειν, καὶ τῷ ἤθει τοιούτου παιδὸς, καὶ τῇ φύσει τῶν ὑποκειμένων πραγμάτων, καὶ λογισμοῖς χρῆσθαι πιθανωτέροις. ἐν γὰρ τοῖς τοιούτοις ἀγῶσιν, ἐν οἷς τὰ εἰκότα μεγίστην ἔχει τὴν δύναμιν, προσήκει τὴν ἐργασίαν[10] ποιεῖσθαι τῶν πιθανωτέρων, ἐκ τῶν ὡς ἐπὶ τὸ πλεῖστον συμβαίνειν εἰωθότων. ταῦτα γὰρ πρὸς πίστιν προκαλεῖται[11] μάλιστα τοὺς ἀκούοντας, ὅταν ἐφ' ἑαυτῶν αὐτὰ λογιζόμενοι, καὶ σκοποῦντες οἱ δικασταὶ, ῥᾳδίως καὶ ἐπὶ τῶν ἄλλων γενήσεσθαι πιστεύωσιν.

7 τοῦτο B.
8 τῇ Δημ. B.
9 δοκῶν W.
10 εὐεργεσίαν B.
11 προσκαλ. B.

ΤΥΦΛΟΥ ΦΙΛΟΠΑΤΟΡΟΣ ΑΠΟΛΟΓΙΑ.

Μόλις,[12] ὦ ἄνδρες δικασταί, τῶν ἐπὶ τῷ πατρὶ θρήνων ὀλίγον ἀναπαυσάμενος, παρ' ὑμᾶς ἦλθον, ὡς ὁρᾶτε, χειραγωγούμενος. θανάτου μὲν ἐφιέμενος· τίς γάρ μοι τοῦ ζῆν ἔτι παραμυθία; τιμωρῆσαι δὲ τῷ πατρὶ πρότερον προσήκειν ὑπολαμβάνων, καὶ γὰρ ἂν εἴη τῶν ἀλογωτάτων. εἰ πυρὶ μὲν καὶ τοῖς δεινοτάτοις ἐμαυτὸν ἀφειδῶς ἔδωκα, τῆς περὶ τὸν πατέρα χάριν κηδεμονίας· νυνὶ δὲ μηδαμῶς βοηθήσαιμι, παρὰ πάντας τοὺς νόμους ἀπανθρώπως οὕτως ἀνῃρημένῳ· καί τοι ῥαδίως τὴν κατ' ἐκείνου γεγενημένην[13] ἐπιβουλὴν μεθ' ὑμῶν διελέγξαι[14] δυνάμενος. εἰ γάρ, ὅπως ἄν,[15] ἡ τῶν συμφορῶν τούτων γενομένη αἰτία, πολλοὺς ἡμῖν ἔχῃ τοὺς συνηγόρους,[16] ἀπὸ τῶν ἡμετέρων χρημάτων μι-

θωσα-

[12] ἡ πηρός: μόλις B.

[13] γενομένην B.

[14] διελέγξαι] ſic B. ἐλέγξαι M.

[16] ὅπως ἂν] quomodocunque tandem.

[16] f. πολλοὺς ἡμῖν ἔχουσα πολεμεῖ τοὺς συνηγόρους, οὓς ἀπὸ τ. quamquam enim ea mulier, quae nobis has clades concivit, aduerſum nos bellatum venit, multis ſtipata propugnatoribus, quos opibus noſtris conductos proiecit ſibi veluti propugnacula quaedam: ego tamen, quamuis ſim et ab omnibus plane deſertus, et imperitus dicendi, ſpero nihilominus futurum, vt mecum militantem habens et veritatem et veſtram pietatem, iudices, teſtatum vobis et perſpicuam reddam huius mulieris immanitatem atque impunitatem, ad parricidia proiectam. Verum poteſt vulgata quoque ſtare, et idem dicere exiſtimari, ſi ἡμῖν accipiatur pro *καθ' ἡμῶν aduerſus nos*. et tum erit conſtructio ſic facienda: εἰ γὰρ ἡ γυνὴ αὕτη προβέβληται πολλούς, μισθωσαμένη ἀπὸ τῶν ἡμετέρων χρημάτων, ὅπως ἂν ἔχῃ αὐτοὺς συνηγόρους — id eſt οὓς ἐμισθώσατο, ἐπὶ τῷ ἔχειν αὐτοὺς συνηγόρους. verum videtur ea conſtructio paulo eſſe contortior. Dele ἡμῖν et omnis obſcuritas erit ſublata.

ἀθωσαμένη προβέβληται· καὶ παντάπασιν αὐτὸς ἔρημος ὤν, καὶ λέγειν ἀδύνατος, οἶμαι, τὴν ἀλήθειαν ἔχων συναιρομένην, καὶ τὴν τῶν[17] δικαζόντων ὑμῶν εὐσέβειαν, φανερὰν ὑμῖν καταστῆσαι τὴν τῆς ἀνδροφόνου ταύτης μιαιφονίαν. δι' ὧν γὰρ ἀπολογεῖσθαι περὶ τοῦ φόνου, καὶ κατηγορεῖν ἡμῶν ἐπιχειρεῖ, διὰ τούτων αὐτὴν[18] ἔνοχον οὖσαν τοῖς ἐγκλήμασιν ἐπιδείξομεν. θαῤῥεῖν μὲν οὖν, ὦ ἄνδρες δικασταὶ, συμβαίνει καὶ δεδιέναι. κρατήσειν μὲν γὰρ ὑπολαμβάνω, τὰ πράγματα λογιζόμενος· ὅταν δὲ πάλιν τὴν ἐμαυτοῦ δυστυχίαν ἐνθυμηθῶ, τἀναντία μοὶ προσδοκᾷν ἔπεισι. δεδυστύχηται μὲν γὰρ ἡμῖν πολλὰ καὶ μεγάλα· τὸ δὲ νῦν, τῶν ἄλλων μεῖζον καὶ χαλεπώτερον. ὅπου γὰρ πρὸς τοσοῦτον ἀπανθρωπίας ἅμα καὶ τόλμης ἡ γυνὴ προελήλυθεν, ὡς ἀνελεῖν μὲν δι' ἐμὲ τὸν πατέρα· διὰ δὲ τῆς ἀναιρέσεως ἐκείνου κἀμὲ πειρᾶσθαι συκοφαντεῖν· πῶς οὐ βαρὺ μὲν καὶ σχέτλιον, δυστυχὲς δὲ καὶ πάσης ὠμότητος χαλεπώτερον; ὅμως δὲ πειρατέον καὶ ταύτην ἀποδιδόναι τῷ πατρὶ τὴν τελευταίαν ἐπικουρίαν. πολὺ γὰρ αἱρετώτερον, τὴν ὑπὲρ αὐτοῦ κρίσιν ἀναδεχόμενον, ἐὰν ἄρα συμβῇ, τί παθεῖν, ἢ τοῦτο δεδιότα καὶ φυλαττόμενον, ἄτριτον ἀπελθεῖν ἐᾶσαι τὴν ἀνδροφόνον. τὸ[19] μὲν γὰρ ὑπάρξοι[20] τὴν τύχην αἰτίαν ὑπολαμβάνειν· τὸ[21] δὲ, ἡμέτερον. εἴθε μὲν οὖν ἐγὼ, τοῦ

17 καὶ τὴν τῶν] ſic B. τὴν omittit M.

18 αὐτῶν B.

19 malim τοῦ μὲν γὰρ — nam alterius quidem (ſcil. τοῦ κατακριθῆναι ἐμὲ καὶ ἀπολέσθαι) culpa conferri poſſit in ſortis meae ſcaeuitatem. Nam, ſi ego a vobis condemnatus peream, poſſit id aduerſae meae ſorti imputari. τὸ δὲ alterum autem, τὸ ἐμὲ puta ἄκριτον ἐᾶσαι τὴν ἀνδροφόνον, ſi ego omittam mulierem hanc ream caedis, in marito commiſſae, agere, totum ſit meum delictum; nemini alii quam impietati et ſocordiae meae poſſit imputari. Subauditur ἁμάρτημα aut ἀσέβημα.

20 ὑπάρξαι B.

21 τοῦ B.

τοῦ πυρὸς ἔργον[22] ἐκείνου[23] γενόμενος, τὸν αὐτὸν ὑπέστην τῇ μητρὶ θάνατον· παντάπασι γὰρ ἂν τῶν μεταταῦτα συμφορῶν τὴν πεῖραν ἐκέρδανα· καὶ καλὸν ἐντάφιον ἔχων ἀπεληλύθειν, τὴν ἐπὶ τῇ τοῦ πατρὸς σωτηρίᾳ δόξαν ἀείμνηστον. ἐπειδὴ δὲ τοσούτων καὶ τηλικούτων[24] με πειραθῆναι δυστυχημάτων, ὡς ἔοικεν, εἵμαρτο, τῇ γοῦν τῆς ἀνδροφόνου μιαιφονίᾳ περιπεσὼν, ἐβουλόμην ἀπολωλέναι. νῦν μὲν γὰρ, τὴν ἐκ τοῦ πράγματος ὑποψίαν φυλαξαμένη, οἰκειότερον[25] ἡμᾶς διεχρήσατο, τοῦ πατρὸς αὐτόχειρ γεγενημένη. τότε δὲ[26] κουφοτέραν[27] ἂν ἔχον τὴν τελευτὴν, καὶ τῶν νομιζομένων τυχὼν, καὶ τιμωρὸν τοῦ πάθους τὸν ἐμαυτοῦ πατέρα καταλιπών. ὁ μὲν γὰρ ἂν τοῦ παιδὸς ῥαδίως τὸν φόνον ἐζήτησε· καὶ δίκην ἂν ἔλαβε τὴν προσήκουσαν. νυνὶ δὲ τὴν ἐκείνῳ ξυμβᾶσαν ἀπώλειαν, οὐκ ἂν εὐχερῶς, οἶμαι, διελέγξειν ἐπίστευσα, τῶν ὀφθαλμῶν παντελῶς ἀφῃρημένος, εἰ μὴ παντάπασιν ἡ τῆς μιαιφονίας ἐπιβουλὴ προφανὴς ὑπῆρχε, καὶ τοῖς οὕτω διακειμένοις. δυστυχὴς μὲν οὖν ὁ πατὴρ, ἐγὼ δὲ δυστυχέστερος. ὁ μὲν γὰρ, πάντας ἀνθρώπους κακοδαιμονίᾳ νενίκηκε· πολὺ δὲ τοῦ πατρὸς ὁ παῖς ἀθλιώτερος· αὐτὸς γὰρ ἐμαυτῷ τῶν συμφορῶν αἴτιος.

[22] ἔργον πυρὸς γενέσθαι, materia factus esse, in qua absumenda vim suam ignis exercuisset, dicitur homo ab igni combustus.

[23] ἐκείνου] quo mater mea absumta fuit.

[24] sic recte B. et W. τηλικούτων et δυστυχημάτων dant. (M ... enim τηλικαύτων et δυστυχημάτων dat.)

[25] οἰκειότερον bene si habet, subaudiendum est τῇ ἑαυτῆς ἀπανθρωπίᾳ καὶ ὠμότητι. Locus hic perobscurus est. ἴσ. οἰκτρότερον m. M.

[26] τότε δὲ] si ob suspicionem pharmaci, patri propinandi, condemnatus et supplicio datus fuissem. vel potius, si veneno me ipsum mulier impura sustulisset. Quoquo me verto, sententia et ratiocinium perplexum est; nam si filius ob veneni, patri dati, suspicionem luisset capite, non fuisset humatus legitime, praeterea posteriorem interpretationem confirmant insequentia: τοῦ παιδὸς τὸν φόνον ἐζήτησε.

[27] κουφοτέραν.] sic B. κουφότερον M.

τιος. αὐτὸς ἐμαυτῷ τὴν[28] μητρυιὰν ἐπεισήγαγον.[29] εἴτε δὲ παρανοίας, εἴτε δυστυχίας, κατηγορεῖν ἐμαυτοῦ δικαίως ἐπὶ τοιούτοις οὐκ ἂν ὀκνήσαιμι. καὶ μηδεὶς τὶ[30] παράδοξον λογιζόμενος, ἀπιστείτω τοῖς εἰρημένοις· ἐρῶ γὰρ ὑμῖν τὴν τῆς ἀτοπίας πρόφασιν μικρὸν ὕστερον· ὅσοι μὲν γὰρ τῶν ἡμετέρων πραγμάτων τὴν ἀκριβῆ γνῶσιν οὐ παρειλήφασι, τὸν πατέρα τούτων ἡμῖν αἴτιον γεγενῆσθαι νομίζουσιν· ὅσοι δὲ τὰ καθ' ἡμᾶς ἴσασιν ἀκριβέστερον, ἐμοὶ τὴν αἰτίαν εἰκότως λογίζονται. κἂν ὑμῖν ἄνωθεν ἅπαντα διηγήσωμαι, καὶ αὐτοὶ ῥᾳδίως ὁμολογήσετε. διὸ δὴ καὶ πάντων ἀνθρώπων ἐμαυτὸν νενόμικα δυστυχέστατον.[31] Τὰ μὲν πρῶτά[32] μοι τῆς ἡλικίας, ζηλωτὰ καὶ περίβλεπτα· πατὴρ φιλόπαις· μήτηρ παραπλησία· βίος εὐδαίμων, αὐτάρκης περιουσία. τὰ δὲ νῦν; βέλτιον σιωπᾷν·[33] αὐτὰ[34] γὰρ ὑμῖν τὰ δυστυχήματα παντὸς λόγου δεικνύει[35] ἐναργέστερον· τὸ δὲ κεφάλαιον τῶν συμφορῶν, ὁ πατὴρ ἐκεῖνος ἀνήρπασται, καὶ τέθνηκεν, ὦ Ζεῦ καὶ ἥλιε, διὰ τὴν περὶ ἡμᾶς[36] ὑπερβάλλουσαν εὔνοιαν· ὁ μόνος φιλόπαις· ὁ πάντας τοὺς πώποτε πατέρας ὑπερβαλόμενος; τίς γὰρ ἐκείνῳ παραπλησίως ἂν ἔθρεψε; τίς ἐλευθερίως οὕτως ἐπαίδευσε; ποίων μὲν προσηκόντων διδασκαλείων ἀπείρατον[37] εἴασε;

[28] non male omittit B. articulum τήν.

[29] γρ. ἤως, τὸ βιάσασθαί με τὸν πατέρα μητρυιὰν ἐπαγαγεῖν μοι W. et m. M.

[30] τι] malim τό.

[31] προκατάστασις m. M.

[32] τὰ μὲν γὰρ πρῶτα B. non male, quamquam haud necessario. γὰρ ibi sit, *nempe*, *scilicet*, vel *itaque*.

[33] σιωπῆς W. voluit σιωπῆσαι.

[34] αὐτὰ non cohaeret cum δυστυχήματα, neque est, vt hoc est, accusatiuus, sed nominatiuus. αὐτὰ redit ad modo dictum τὰ νῦν, scilicet ἐμοὶ προσόντα, rerum mearum quae nunc est conditio ipsa per semet demonstrat calamitates meas.

[35] δείκνυσιν B.

[36] τὴν περὶ ἡμᾶς] qua mutua vtebamur. τὴν ἐκείνου πρός με, καὶ τὴν ἐμοῦ πρὸς αὐτόν.

[37] ἄπειρον B.

εἴασε; ποίων δὲ λόγων καλῶν τε καὶ χρησίμων ἀνήκοον; πάντα μὲν οὖν τὰ μαθήματα[38] λαμπρὰ τοῖς εὖ φρονοῦσι καὶ περισπούδαστα, ἀρετὴν μετιέναι,[39] θεοὺς θεραπεύειν, φιλανθρωπίαν ἀσπάζεσθαι· τοὺς συγγενεῖς ἀγαπᾶν· τοῖς δεομένοις ἐπικουρεῖν· αἰδεῖσθαι τοὺς τῷ χρόνῳ προειληφότας· καὶ μηδὲν μὲν ἄδικον διαπράττεσθαι· τῶν δὲ πραττομένων ἔφορον εἶναι τὴν δίκην νομίζοντας, τῶν μὲν ἀνθρωπίνων ἁμαρτημάτων ἀπέχεσθαι, σπουδῇ δὲ μετιέναι τὰ κάλλιστα· ταῦτα γάρ, καὶ τὰ τούτοις ὅμοια, τῇ τοῦ πατρὸς ἐπιμελείᾳ μανθάνων, ἐπαιδευόμην· τὸ δὲ δὴ μέγιστον τῶν μαθημάτων καὶ τιμιώτατον, περὶ οὗ πολλὰ μὲν εἴρηται ποιηταῖς τε καὶ λογογράφοις· πλείω δὲ διεξῄεσαν οἱ παιδεύοντες, ἐπαινοῦντες μὲν[40] εὐσεβές τε καὶ θεῖον· εὐδαίμονας δὲ τοὺς τὸ μάθημα τοῦτο τοῖς ἔργοις ἐπαληθεύοντες,[41] καὶ μακαρίους πολλάκις ἐπονομάζοντες· τί τοῦτο λέγω, τιμᾶν θεούς, ὡς δεῖ[42] μάλιστα· τοὺς γονέας θεραπεύειν μετ' ἐκείνους· προνοεῖν τῶν πατέρων καὶ κήδεσθαι. πάντα τρόπον ἐκείνους εἶναι κεχαριτμένον·[43] γηροκομεῖν· ἀποδιδόναι τὰ πρέποντα χαριστήρια· μὴ συγχωρεῖν ἂν ὑβρίζῃ τις· ἂν ἀδικῇ τις, ἐπεξιέναι· κἂν κίνδυνος· κἂν τεθνάναι συμβαίῃ.[44] φέρειν ἀσμένως. εὐχῆς γὰρ ἄξιος ἐκεῖνος ὁ θάνατος[45] καὶ περισπούδαστος, ὑπὲρ κατέρων γινόμενος. τούτοις, ὦ ἄνδρες δικασταί, τοῖς μαθήμασι παιδευόμενος, ἐπεμελούμην,[46] ἐφρόν-

[38] post μαθήματα videtur articulus ἃ vel τὰ deesse. cohaeret enim μαθήματα cum μανθάνων paulo post. ego discens omnes disciplinas, quae splendidae sunt magnique fiunt a prudentibus et cordatis, — tum enumerat illas disciplinas, virtutem puta consectari, et cetera. quo facto filium orationis resumens, atque omnia vocabulo complectens, ταῦτα δὴ καὶ τὰ τούτοις ὅμοια μανθάνων nam pro γὰρ post ταῦτα legendum arbitror. δή.

[39] μετιέναι W.

[40] μὲν ὡς B. et W.

[41] ἐπαληθεύοντας B. et W.

[42] ὡς ἔδει B.

[43] malim κεχαρισμένος in nominatiuo, tametsi accusatiuus quoque ferri possit.

[44] συμβαίη] sic B. et W. συμβαίνῃ M.

[45] ἀθάνατος B.

[46] ἐπεμελούμην] subaudi τοῦ πατρός.

ἐφρόντιζον· ἐθεράπευον· ἐκηδόμην. εἰ περιῆν ὁ πατὴρ, αὐτὸς ἂν διηγήσατο τὴν πολλὴν κηδεμονίαν, τὴν εὔνοιαν, τὰς φροντίδας, τὴν ἐπιμέλειαν· οὐδένα γὰρ χρόνον ἡσύχαζον, πράττων, καὶ λέγων, ἃ λυσιτελεῖν τοῖς γονεῦσι ἐνόμιζον· μᾶλλον δὲ, ταῦτα διαπραττόμενος, ἐμαυτῷ τὸ συμφέρον ἐβουλευόμην. ὅσοι γὰρ τοὺς ἑαυτῶν πατέρας τὰ πρέποντα θεραπεύουσι, δι' αὐτῶν, ὧν, κηδόμενοι, πράττουσι, τὴν προσήκουσαν χάριν κομίζονται. καὶ τί δεῖ καθέκαστον λέγειν, ἐξὸν ἑνὶ τεκμηρίῳ δηλῶσαι τὴν ὑπερβάλλουσαν σπουδήν τε καὶ προθυμίαν; ὡς γὰρ ἡ τύχη καὶ τὸ δαιμόνιον ἀφορμὴν ἡμῖν παρέδωκεν, ἀβούλητον μὲν, ὅμως δὲ μόνην ἱκανὴν παιδὸς ἀγαθοῦ καὶ κηδεμόνος ἐπιδεῖξαι προαίρεσιν, οὐκ ἐμέλλησα πρὸς τὸν κίνδυνον. οὐδὲ τὸ μέγεθος τοῦ τολμήματος λογισάμενος, εὐλαβέστερον διετέθην.[47] τεθνάναι δὲ βέλτιον ἡγησάμενος, ἢ περιιδεῖν τοὺς γονέας ἀπολλυμένους· καὶ μόνον τοῦτον τὸν κίνδυνον ζηλωτὸν νομίσας καὶ περιμάχητον,[48] διέσωσα μὲν τὸν πατέρα, πυρὶ πανταχόθεν κατειλημμένον· ὧ προτέρῳ βοηθεῖν ἐδόκει μοι δικαιότερον· ἀμφοτέροις γὰρ[49] ἅμα βουλόμενος, ἐμαυτὸν ἑώρων ἀδύνατον·[50] ὑπὲρ δὲ τῆς μητρὸς τὴν αὐτὴν προθυμίαν ἐπιδειξάμενος, καὶ τοῦ σῶσαι τὴν ἀθλίαν διήμαρτον, τοῦ πυρὸς κυριωτέρου γεγενημένου, καὶ τῶν ὀφθαλμῶν ἀφῃρέθην, φιλονεικότερον ἐκείνῳ μαχόμενος. τούτων δὲ οὕτω γεγενημένων, καὶ τῆς μητρὸς, ὡς ἔφην, ἀπολωλυίας, ὁ μὲν χρηστὸς ἐκεῖνος πατὴρ καὶ περὶ τοὺς παῖδας[51] εὐνοϊκώτατος, ὁμοῦ μὲν τὴν ἐκείνης ἀπώλειαν· ὁμοῦ δὲ τὴν συμφορὰν τὴν ἐμὴν ὀδυρόμενος, χαλεπώτερον τὸ κατ' ἐμὲ πάθος θρηνῶν καὶ στένων δῆλος ἦν· ἐγὼ δὲ τὴν μητέρα συνοδυρόμενος, παρεμυθούμην ἐμαυτῷ[52] τὸν πατέρα· δεινὸν μὲν, ὦ πάτερ,

47 διεθέμην m. M.

48 νομίσας ζηλωτόν τε καὶ περισπούδαστον B.

49 γὰρ] δ' W.

50 ἀδυνατώτερον B.

51 οἰκείας B.

52 aut superuacaneum est ἐμαυτῷ, aut deest ὡς εἶπον —

πατέρ, τὸ πάθος· ἔχει δέ τι καὶ φιλοτιμίας.[53] τὴν γὰρ πρόφασιν λογιζόμενος, κουφοτέραν φέρω τὴν συμφοράν· ὑπόμνημα γὰρ αὕτη καὶ γνώρισμα τῆς περὶ ὑμᾶς εὐνοίας καὶ προθυμίας. ὡς δὲ τῶν ἐπὶ τῇ μητρὶ θρήνων ἀπέστημεν, καὶ πολὺς μεταταῦτα χρόνος διεληλύθει· καιρὸς, ὦ παῖ, περὶ τῶν κατειληφότων (ἔφη) βουλεύσασθαι.[54] καιρὸς ἡμῖν διαγνῶναι τὸ παριστάμενον. ἐγὼ μὲν ἤδη ταύτην ἄγω τὴν ἡλικίαν· σὲ δὲ πολλῆς τινος ἐπιμελείας ὁρῶ δεόμενον. τίς οὖν καὶ σὲ θεραπεύσει, κἀμὲ γηροβοσκήσει;[55] καλὸν ἀγαγέσθαι σοι γύναιον. χρήσιμον ἀμφοτέροις τὸ διανόημα. ταῦτα λέγοντος ἐκείνου πολλάκις, Οὐκ εὐφημήσεις, ὦ πάτερ, ἔφην· καὶ συγχωρήσεις ῥαδίως μοι φέρειν τὴν συμφοράν; οἷς γὰρ νῦν μοι λέγειν ἐπιχειρεῖς,[56] τούτοις μοι βαρυτέραν ἀποφαίνεις τὴν δυστυχίαν, τὴν μνήμην ἀνακινῶν τοῦ πάθους, καὶ τὴν ἐνοῦσαν δυσχέρειαν τῷ καθ' ἡμᾶς ἀτυχήματι φέρων εἰς μέσον. γυναικὸς ἀνάσχωμαι, πάτερ; γυναικὸς, οὑτωσὶ διακείμενος; ἵνα ποίοις μὲν ὀφθαλμοῖς αὐτὴν θεάσωμαι; ποίαις δὲ θεασάμενος ὄψεσι, τῇ συνεχεῖ θέᾳ τὴν πρὸς αὐτὴν εὔνοιαν βεβαιώσομαι; διὰ γὰρ τούτων ἀρχὴ μὲν εὐνοίας καὶ συνηθείας· ἀρχὴ δὲ φιλίας, καὶ πόθου, καὶ τῶν καλλίστων ἁπάντων πέφυκε γίγνεσθαι. πῶς οὖν τοῦ βλέπειν ἐξερημένος, τυγχάνειν τούτων δυνήσομαι; πῶς δὲ μὲ τὸ γύναιον οὕτω διακείμενον ὄψεται; πῶς εὐνοήσει; πῶς ἡμῖν[57] ὁμοφροσύνη γενήσεται; τί δὲ

μοὶ

vt mihi datum erat, pro virili mea, solabar patrem. vel potius, quod nunc video, deducendum est hoc pronomen in versum inferiorem, et sic leg. παρεμυθούμην τὸν πατέρα, δεινὸν μὲν, ὦ πάτερ, τὸ πάθος, ἔχει δέ τι καὶ ἐμαυτῷ φιλοτιμίας. Solabar his verbis patrem. Est quidem, o pater, inquam, casus hic acerbus, verumtamen habet idem quoque nonnihil, quo glorier, quod decorum mihi et praeclarum sit.

[53] χ. ἐπαίνου m. M.

[54] βουλεύεσθαι B.

[55] γηροκομήσει B.

[56] οἷς νῦν λέγειν ἐπιχαιρεῖς B.

[57] non male B. πῶς ἂν ἡμῖν nam e conspectu mutuo benevolentia, et ex hac concordia exsistit.

μοὶ τῆς ἀθεάτου κοινωνίας γένοιτ' ἂν ὄφελος; παίδων γένεσις, εἴποι τις ἄν; τοῦτο μὲν οὖν[58] καὶ κωλύει[59] τὸν γάμον. οὐκ εὐτυχὲς, ἔφην, ὦ πάτερ, τὸ σπουδαζόμενον. ἡδὺ μὲν γὰρ χρῆμα καὶ τιμιώτατον, παῖδες, οὓς προσήκει τρόπον προῃρημένοι, καὶ μετ' εὐνοίας κήδεσθαι τῶν γονέων δεδιδαγμένοι καὶ πεφυκότες· ἀλλὰ τοῖς ὁρῶσι, καὶ τὴν τοῦ κτήματος ἔχειν ἀπόλαυσιν δυναμένοις. ἐμοὶ δὲ τίς ὠφέλεια, τίς ὄνησις, μήτε προβλέπειν, μήτε γινώσκειν αὐτοὺς δυναμένῳ· τυφλῷ δὲ καὶ κακοδαίμονι, καὶ τῶν ἀγαθῶν πάντων ἐστερημένῳ; τίς γὰρ ὅμοιος ἔσται μοι τῶν παίδων, οὐκ ὄψομαι; τίς τοῖς πατρᾶσιν, ἢ τοῖς προγόνοις; τίς δέ μοι μᾶλλον κεχαρισμένος; ἀνιῶμαι, ταῦτα λέγειν ἀναγκαζόμενος, καὶ τῆς συμφορᾶς τὸ δεινότερον[61] λογιζόμενος. ἀλλ' ἵνα τὸν κλῆρον αὐτοῖς καταλίπω; τοῖς ἀγνώστοις· τοῖς ἀλλοτρίοις; ὑπόπτους γὰρ αὐτοὺς ἡγήσομαι καὶ νόθους. ἔχω προσφιλέστερον κληρονόμον, τὸν δῆμον, τὴν πόλιν· ἀναλώσω τὸν κλῆρον εἰς τὰ κοινὰ τῆς πατρίδος[62] συμφέροντα, χορηγῶν, εἰσφέρων, ἐπιδιδοὺς, προϊέμενος· νῦν μὲν ἰδίᾳ, νῦν δὲ κοινῇ παρέχων ἐμαυτὸν χρήσιμον. λειτουργήσω τοῖς χρήμασι· τῷ σώματι[63] γὰρ προαφῄρημαι.[64] διὰ τούτων ἐκτίσω τῇ πατρίδι τὸ χρέος· καὶ πολίτης ἔσομαι κατὰ δύναμιν χρησιμώτατος. τίς οὖν ἐμὲ θεραπεύσει; τίς σε γηροβοσκήσει; τίς ἀμφοτέροις πληρώσει τὴν ἐπιμέλειαν; αὐτὸς, ὦ πάτερ, ἀγάγου· πρεσβύτης μὲν γὰρ ἤδη καὶ γέρων· δέῃ δὲ γυναικὸς, οὐ παιδοποιοῦ μᾶλλον, ἢ γηροκόμου· πολλαὶ καὶ[65] τοιαῦται κατὰ τὴν πόλιν. οἶδα μὲν οὖν ὡς δεινόν τι[66] μητρυιὰ, καὶ φύσει πολέμιον· ἱκανὴ

58 schol. in m. W. τὸ μὲν οὖν ἀντὶ τοῦ δέ.

59 W. et B. post κωλύει addunt μᾶλλον. Laudo factum, nisi quod ante κωλύει id addi malim.

60 εὐμενείας W.

61 malim τὸ δεινότατον.

62 κοινῇ τῇ πατρίδι B.

63 τῷ σώματι γὰρ] adde tacite τὸ λειτουργεῖν.

64 schol. τὴν λειτουργίαν δηλονότι in m. W.

65 καὶ] δὲ B. W.

66 δεινόν τι χρῆμα B.

ἱκανὴ μὲν γὰρ ἐπιβουλεῦσαι καὶ διαφθεῖραι παντάπασιν οἶκον εὐδαίμονα· δεινὴ δὲ διαβολαῖς ἀνοσίοις, καὶ σκευωρήμασιν, ἢ φαρμακείαις,[67] καὶ μαγγανεύμασι, διαλῦσαι μὲν πατρικὴν εὔνοιαν, ἐκπολεμῶσαι δὲ τὰ γένη πρὸς ἄλληλα, καὶ πάντα τρόπον μίση μηχανήσασθαι τῶν φιλτάτων. ἔχει δέ τι καὶ μιαιφόνον, καὶ τραγικῆς σκηνῆς ἄξιον· μεστὰ γοῦν τούτων τὰ δράματα· πλήρης δὲ τῶν ἀνθρώπων ὁ βίος· ὅμως δὲ συμβουλεύσεις αὐτῇ, καὶ παραινέσεις· καὶ νουθετῶν ποιήσεις ἡμερωτέραν,[68] κἂν ἡ φύσις πρὸς τὰ χείρω βιάζηται·[69] μάτην δὲ διελέγξεις[70] ἐπιβουλεύουσαν· οὔτε γὰρ ἀνέξῃ μηχανωμένης,[71] οὔτε πειθήσῃ διαβολαῖς καὶ[72] λόγοις, κατὰ τοῦ παιδὸς συγκειμένοις· ἀκριβῶς οἶδα τὴν σὴν περὶ ἡμᾶς εὔνοιαν· ἀκριβέστερον δὲ καὶ αὐτὸς ἡμῶν πεπείρασαι. πεισθεὶς ὁ πατὴρ, ἠγάγετο τούτοις ἑπόμενος, αὐτόχειρα[73] μᾶλλον, ἢ γηρωκόμον ἔλαθεν ἀγαγόμενος.[74] οὕτω τῶν συμφορῶν ἐμαυτῷ καὶ τῶν κατειληφότων[75] κακῶν αἴτιος ἐγενόμην. ἅμα τε γὰρ εἰς τὴν οἰκίαν εἰσεληλύθει, καὶ παραχρῆμα μυρίαι μὲν φαρμακεῖαι,[76] καὶ σκευωρήματα, καὶ τὸ δεινότατον, φόνος ἀνοσιώτατος. ἡ δὲ πρὸς τοσοῦτον ὠμότητος ἅμα καὶ δυσσεβείας ἐλήλυθεν, ὡς ἀνελεῖν μὲν ἐκεῖνον, καὶ φόνον ἀνήμερον διαπράξασθαι· τολμᾶν δὲ τῆς ἀναιρέσεως ἐκείνου ἐμοὶ[77] προσάγειν τὸ ἔγκλημα. κρινομένη γοῦν ἐφ᾽ οἷς ἐτόλμησεν, ἐμὲ κρίνειν ἐπιχειρεῖ, καὶ τὸν σεαυτοῦ πατέρα, φησὶν, ἔκτεινας.[78] ἐγὼ τὸν πατέρα τὸν ἐμαυτοῦ; τοῦτό μοι τῶν ἀνηκέστων συμφορῶν χαλεπώτερον· τοῦτο καὶ τῆς τυφλότητος καὶ τῆς ὀρφανίας ἀφορητότερον.

[67] schol. φαρμακεία ἡ διὰ φαρμάκων γενομένη μαγεία, μαγγανεία δὲ ἡ διὰ ἐπῳδῶν m. W.

[68] ἡμερωτάτην B.

[69] βιάζεται B.

[70] ἐλέγξῃς B.

[71] μαχομένης B.

[72] καὶ] ἢ B.

[73] f. ἀλλ᾽ αὐτόχειρα.

[74] ἀγόμενος B.

[75] f. καὶ τῶν ἐκεῖνον (patrem puta) κατειληφότων.

[76] φαρμακεῖαι] scil. εἰσεληλύθεσαν.

[77] ἐμοὶ] τῷ παιδὶ B.

[78] ἀπέκτεινας B

τερον. ἐγὼ πρὸς πατρῴου καὶ γενεθλίου, τὸν ἐμαυτοῦ πατέρα διεχρησάμην; τὸν σπείραντα,[79] καὶ παιδεύσαντα; τὸν ἀναθρέψαντα. καὶ κηδόμενον; δι' ὃν καὶ ζῆν[80] ἐβουλόμην, καὶ κουφοτέραν ἦγον τὴν συμφοράν; ὃς μόνος ἦν μοι τοῦ βίου παραμυθία; μόνος ἡδονῆς αἴτιος, ὁμιλῶν, καὶ φθεγγόμενος, καὶ πάντα πράττων κεχαρισμένα; τῆς γοῦν ἐκείνου φωνῆς ἀκούων, εὐφραινόμην, καὶ ὁρᾶν ἐδόκουν, καὶ τοὺς ὀφθαλμοὺς ἔχειν, ὧν ἀφῃρέθην. ζῶντος μὲν γὰρ ἐκείνου, πάντα μὲν ἔβλεπον· πάντων δὲ τῶν καλλίστων ἐτύγχανον. νυνὶ δὲ ὄντως πεπήρωμαι. νῦν τὴν συμφορὰν ὁλόκληρον ἔχω. πατρὸς, εἰπέ μοι, τίς αὐτόχειρ γενέσθαι βούλεται; ἀνθρώπου δὲ ὅλως ἄνθρωπος,[81] παιδευθεὶς τὰ πρέποντα, καὶ μαθὼν ἃ προσήκει τὸν κατὰ νόμους βεβιωκότα· θεοὺς θεραπεύων· φιλανθρωπίαν εἰδώς; τύπτει δέ τις πατέρα, γνωρίζων, καὶ πεπεισμένος; ὑβρίζει δέ; ἀντιλέγει δὲ ὅλως; ἐγὼ μὲν οἶμαι τοὺς τούτων τὶ πράττειν ἐπιχειροῦντας, ἀλλοτρίους ὄντας λανθάνειν καὶ νόθους τοῦ γένους. τίς γὰρ ἂν, εἰ σωφρονεῖ, τὸν ἑαυτοῦ πατέρα λυπήσειε; τίς δ' ἂν ἀδελφὸν, ἢ φίλον, ἢ συγγενῆ, κακῷ τινι περιβάλοι; τίς οὕτως ἄγριος; τίς ἀνήμερος; αἰδεῖται καὶ τὰ θηρία τὴν φύσιν· καὶ περὶ τοὺς ἄλλους ἅπαντας[82] ἀγριαίνοντα, φιλίᾳ τοῦ γένους πολύ τι τὸ ἥμερον[83] ἐπιδείκνυσιν. εἶδον γοῦν καὶ ταῦτα πολλάκις ἐπὶ τῆς πρώτης ἐκείνης εὐδαιμονίας, ὑπὲρ μὲν τῶν γονέων πολεμοῦντα προθύμως καὶ κινδυνεύοντα· θεραπεύοντα δὲ τούτους καὶ περιέποντα, καὶ πλείστην κηδεμονίαν ἐπιδεικνύμενα. τοσούτῳ δὲ τούτων διάκεινται πάντες ἄνθρωποι περὶ τοὺς ἑαυτῶν πατέρας εὐνοϊκώτερον, ὅσῳ τῶν ἀλόγων οἱ λογισμὸν ἔχοντες ἡμερώτεροι, καὶ τῶν ἀγριωτάτων οἱ πρᾳότατοι, τὴν φύσιν διενηνόχασι. τί δεῖ τὰ πολλὰ λέγειν; ἴστε γὰρ ταῦτα,

[79] πειράσαντα B.
[80] δι' ὃν καὶ ζῆν] sic B. et W. καὶ omittit M.
[81] ἄνθρωπος] sic B. et W. scil. βούλεται αὐτόχειρ γίνεσθαι. M. dat ἄνθρωπον.
[82] ἅπας B.
[83] ἡμερώτερον B.

ταῦτα, κἂν παραλείπω. πατέρες μὲν γὰρ ὑμῶν οἱ πλείους· παῖδες δὲ δήπου πάντες γεγόνατε. τίς οὖν ὑμῶν ἢ σύνοιδεν, ἢ ἀκήκοεν, οὐ λέγω φόνον πατρῷον γεγενημένον, ἀλλὰ πληγαῖς τισιν υἱὸν αἰκισάμενον, ἢ λοιδορίᾳ κατὰ τῶν πατέρων χρησάμενον. ἢ μόνος ἐγὼ τῶν πάντων ὠμότατος· ἢ μόνος μιαιφονώτατος; εἰ μὲν δυστυχέστατος, οὐκ ἀντείποιμι. περίεστι γάρ μοι τοῦ πράγματος. εἰ δὲ πονηρότατος, ὑμῖν καταλείπω σκοπεῖν. οὐ γὰρ εἰ τυφλὸς, ἤδη καὶ μιαιφόνος· οὐδὲ εἰ δυστυχὴς, ἤδη καὶ πατροκτόνος. ὁ περὶ τοὺς ἀλλοτρίους φιλάνθρωπος, περὶ τοὺς οἰκείους[84] ὠμότατος; ὁ τῶν γνωρίμων καὶ συνήθων κηδόμενος, οὗτος τοῖς γονεῦσι πολεμιώτατος; καὶ τῶν μὲν οἰκετῶν οὐδεὶς ὑφ' ἡμῶν, οἶμαι, λελύπηται· πατέρα δ' ἂν ἐμαυτοῦ διεχρησάμην;[85] καὶ θεράποντα μὲν, καὶ γνησίως ἡμῶν ἐπιμελούμενον, οὐκ ἂν λοιδορήσαιμι· τοῦ δὲ πατρὸς αὐτόχειρ ἂν ἐγενόμην, ὃς ἦν σοι τὰ πάντα, πατὴρ, φίλος. μήτηρ[86] συγγενὴς, θεράπων, χειραγωγὸς, δοῦλος, ἀναγκαιότατος; ἤδη γὰρ καὶ τῶν δούλων ὑπηρεσίας εὐνοίᾳ τῇ πρὸς ἡμᾶς ὑπομένειν ᾤετο δεῖν. εἰ καὶ μὴ ὡς πατρὸς ἐκηδόμην, ὡς γοῦν θεράποντος ἂν ἐφεισάμην, εἰ καὶ ἀνήμερος ἤμην τῷ τρόπῳ,[87] ταῖς εὐνοίαις ἂν ἐγενόμην πρᾳότερος. ἡμεροῦνται καὶ θῆρες θεραπευόμενοι,[88] κἂν πρότερον ἀγριαίνωσιν. ἐγὼ δὲ καὶ τῶν ἀνημέρων, ὡς ἔοικεν, ἀγριώτερος. καὶ πρὶν μὲν τοσαύτης παρὰ τοῦ πατρὸς τυγχάνειν ἐπιμελείας, ἠγάπων, ἐφρόντιζον, ἐκινδύνευον· τὴν πολλὴν εὔνοιαν ἅπαντες ὡμολόγουν. θεραπευόμενος δὲ πάσης προσδοκίας ἐπέκεινα, καὶ τυγχάνων ὧν ἐβουλόμην, ὅτε τὴν προϋπάρχουσαν εὔνοιαν ἔδει διπλασιάζεσθαι, τότ' ἂν κακόνους ὤφθην[89] καὶ δυσμενέστατος; καὶ τίς ἂν ταῦτα πιστεύσειεν; οὐκ ἐδεόμην

τοσαύτης

84 ἄλλοις φιλανθρωπότατος — οἰκειοτάτοις B.

85 διεχρησάμην] sic B. διεχειρισάμην M.

86 καὶ φίλος. μήτηρ ; καὶ B.

87 τὸν τρόπον B.

88 θεραπευόμενοι] sic B. et W. θεραπευόμεναι M.

89 ὤφθην] sic B. et W. ἔφθην M.

τοσαύτης ἐπιμελείας, ὁρῶν ἔτι, καὶ τὰ προσήκοντα πράττειν δυνάμενος. ὅμως δὲ σώζεσθαι τὸν πατέρα, καὶ μηδενὸς ἀηδοῦς πεῖραν λαμβάνειν, ἑκάστοτε τοῖς[90] θεοῖς ηὐχόμην. καὶ πάντα κίνδυνον ὑπὲρ τούτου προθύμως ἀνεδεχόμην. εἶτα μὴ δεόμενος μὲν, οὕτως ἐφρόντιζον· ἄνευ δὲ τῆς παρ' ἐκείνου κηδεμονίας ζῆν μὴ δυνάμενος, ἀνελεῖν ἂν ἐπεχείρησα. καὶ πρὸς τοσαύτην μιαιφονίαν ἀθρόως ἐχώρησα, μηδέν τι πώποτε δυσχερὲς εἰς ἐκεῖνον διαπραξάμενος, οὐκ ἀντειπὼν, οὐ λόγῳ λυπήσας, οὐ θρασυνάμενος;[91] καί τοι γε τὰ μικρὰ καὶ φαῦλα τῶν ἀδικημάτων, πρὸ τῶν μεγίστων ἅπαντες καὶ δεινοτάτων εἰώθασι διαπράττεσθαι· κἂν τοῖς γονεῦσιν ἀντείπῃ τις, δῆλον ὡς ὁ τοιοῦτος ὑβρίσῃ. κἂν ὑβρίσῃ, τυπτήσει γε προϊών· ὅσῳ δ' ἂν προβαίνῃ, γενήσεται χαλεπώτερος· ἐγὼ δὲ καινότατα[92] τῶν πώποτε κακούργων γεγενημένων, ὁμοῦ κακόνους,[93] καὶ μιαιφόνος,[94] καὶ τοσοῦτον ὁ δυστυχὴς μεταβέβλημαι τῆς πρότερον αἱρέσεως,[95] ὡς ἀνελεῖν, ὃν διέσωζον, ὡς αὐτόχειρ γενέσθαι, δι' ὃν προδήλοις κινδύνοις ἐμαυτὸν ἐκδέδωκα,[96] καὶ πυρὶ καὶ θανάτῳ; πῶς γὰρ ἂν εἴη τῆς αὐτῆς εὐνοίας, νῦν μὲν κινδυνεύειν, καὶ σώζειν, καὶ τεθνάναι πρὸ τοῦ πατρὸς προσήκειν ὑπολαμβάνειν, αὖθις δὲ τὸν αὐτὸν ἀναιρεῖν ἐπιβουλεύειν, καὶ πᾶσαν δυσμένειαν ἐπιδείκνυσθαι· καὶ τῆς μὲν μητρὸς αὐτὸν ποιήσασθαι προτιμότερον· νῦν δὲ τῶν φύσει πολεμίων παντάπασι δυσμενέστερον; καὶ τοῦ πυρὸς ἔργον ὅπως μὴ γένηται[97] κινδυνεύσαντα, τῇ μῇ[98] δεξιᾷ ταμιεύσασθαι τὸ κατόρθωμα· πάνυ γε. οὐ γὰρ τῶν αὐτῶν μαθημάτων ἀμφότερα· οὐδὲ τῆς αὐτῆς προαιρέσεως τούτων ἑκάτερον·[99] τί δὲ καὶ βουλόμενος, ἂν οὕτως ἐβουλευ-

λευ-

[90] τοῖς] sic B. et W. τῆς M.

[91] θρασυνάμενος] sic B. θρασυνόμενος M.

[92] καινότατος B.

[93] καὶ κακόνας W.

[94] μιαιφόνως B.

[95] προαιρέσεως B.

[96] δέδωκα B.

[97] γένοιτο B.

[98] τῇ μῇ] τῇ δὲ B. ἐμῇ W.

[99] τούτων ἑκάτερον] sic B. τούτων omittit M.

λευσάμην δυσσεβεῖν, καὶ ὑπὸ Ἐριννύων[100] ἐλαύνεσθαι καὶ τελείαν ἐμαυτῷ κατασκευάσασθαι[1] τὴν συμφοράν, καὶ λειπομένην ἀφελέσθαι παραμυθίαν, τῇ μητρὶ προσθεῖναι καὶ τὸν πατέρα, καὶ πανταχόθεν ἔρημον ἐμαυτὸν ἀποδεῖξαι καὶ δυστυχέστατον. οὐ γὰρ ἱκανὸν ἦν τὸ δυστύχημα, μητρὸς ἀπώλεια, τυφλότης, πάντα τὰ χαλεπώτατα, μόνῃ τῇ τοῦ πατρὸς σωτηρίᾳ φορητὰ νομιζόμενα; τί δὲ τοσοῦτον ἀδικηθεὶς, οὕτως ἀνηλεῶς ἠμυνάμην, ὃς πάντων μὲν τῶν προσηκόντων ἐτύγχανον· οὐδενὸς δὲ τῶν ἀβουλήτων διὰ τὸν πατέρα πεπείραμαι. καὶ ταύτῃ[2] μὲν παρὰ πάντα τὸν χρόνον ἐπεβούλευσα[3] οὐδὲ πώποτε· καί τοι δικαίως ἀμύνασθαι[4] προειλόμην. τὸν δὲ κακοῦ μὲν οὐδενὸς, ἀγαθῶν δὲ μυρίων αἴτιόν μοι γεγενημένον, πῶς ἀνελεῖν ἐπεχείρησα; ναί φησιν. ἠγανάκτεις γὰρ, ὅτι μοι τὸν κλῆρον παντάπασι δεδωκὼς, ἄμοιρόν σε κατέστησεν· ὠργιζόμην, εἰπέ μοι πρὸς θεῶν; ἐφ' οἷς ὑπὲρ ἐμοῦ βουλευσάμενος ἔπραξεν, εἰδὼς τὴν ἐκείνου διανοίαν, μεθ' ἧς οὕτω περὶ τοῦ κλήρου βεβούλευτο,[5] καὶ κοινωνὸς τῆς σκέψεως καὶ μερίτης γεγενημένος. ἐκεῖνος γὰρ, ὦ ἄνδρες δικασταὶ, συνεχῶς ταύτην ὁρῶν ἡμῖν ἐπιβουλεύουσαν, καὶ παντελῶς ἀνελεῖν σπουδάζουσαν, δι' οὐδὲν ἕτερον ἢ χρημάτων[6] ἐπιθυμίαν, ἔγνω συμφέρειν, εἰ τὸν βίον αὐτῇ καταλίποι, καὶ τὴν ἑαυτοῦ γνώμην ἡμῖν ἀνήνεγκε, μηχανήσασθαί τι πρὸς τὴν ταύτης ἐπιθυμίαν, δι' οὗ παύσει μὲν αὐτὴν ἡμῖν ἐπιβουλεύουσαν, παύσει δὲ πανταχόθεν καθ' ἡμῶν ῥᾳδίως μηχανωμένην. λογιζόμενος οὖν συνοίσειν ἐνόμιζε τῆς πρὸς ἡμᾶς δυσμενείας ἀνελεῖν τὴν πρόφασιν, καὶ μόνῃ τὸν κλῆρον καταλιπεῖν· οὕτω γὰρ ἕξειν ἑκάτερον καλῶς, καὶ τὸ πεπαῦσθαι[7] ταύτην ἐπιβουλεύουσαν, καὶ τὸ μὴ δοῦναι βεβαίαν

100 post Ἐριννύων addit B. ὑπὲρ γονέων.

1 κατασκευάσαι B.

2 ταύτην B.

3 ἡμῖν ἐπιβουλεύουσαν B.

4 δικαίως ἀμύνασθαι] interponi velim ἄν.

5 βεβούλευτο] sic B. βεβούλητο M.

6 ἢ τὴν τῶν χρημ. B. et W.

7 πεπαύσθαι B.

βαίαν ἤδη τὴν χάριν. ἐξεῖναι γὰρ αὐτῷ μεταταῦτα τὰ γραφέντα πάλιν ἐπανορθώσασθαι. ταῦτα βουλευσάμενος ὁ πατὴρ, οὕτως ἔπραξε· ταῦτα διανοηθεὶς, ἄμοιρόν με τότε τοῦ κλήρου κατέστησε. πῶς οὖν ἀγανακτεῖν εἰκὸς, ἐφ' οἷς ὑπὲρ τῆς ἡμετέρας ἀσφαλείας ἐμηχανήσατο; πῶς δὲ διὰ ταῦτα χαλεπῶς φέρειν, ἃ τῆς περὶ ἡμᾶς εὐνοίας ἕνεκεν πράττειν ἐνόμιζε. καὶ ἐφ' οἷς ἔδει τῆς ὑπερβαλλούσης κηδεμονίας μᾶλλον αὐτὸν, ἢ πρότερον ἀγαπᾷν, ἐπὶ τούτοις ἀγανακτεῖν, καὶ μέχρι τῶν ἀνηκέστων καὶ δεινοτάτων ἐκτείνειν τὴν ἀγανάκτησιν.[8] εἰ δὲ καὶ μὴ ταῦτα φρονῶν ἔγραφεν ἀλλ' ὄντως ἀλλότριόν με καταστῆσαι τοῦ κλήρου βουλευόμενος, οὐκ ἦν μοι λυσιτελέστερον ζῆν, ἢ τεθνάναι, καὶ δι' αὐτὸ τοῦτο τὸν ἐμαυτοῦ πατέρα; περιόντος μὲν γὰρ, ἐλπὶς ἦν καὶ μεταβολὴν γενέσθαι τῆς προαιρέσεως· καὶ πρὸς τὴν φύσιν πάλιν ἐπανελθεῖν· καὶ λῦσαι[9] μὲν, ἃ πρότερον ἀπατηθεὶς διεπράξατο, προτιμοτέραν δὲ ποιήσασθαι τῶν διαβολῶν τὴν ἀλήθειαν· καὶ βελτίονι κρίσει τὴν μὴ προσήκουσαν διορθώσασθαι. τελευτήσαντος δὲ, παντελὴς μὲν ἀπώλεια, προσδοκία δὲ τῆς ἐπὶ τὸ κρεῖττον μεταβολῆς πανταχόθεν ἀνῄρητο, μηδεμιᾶς ἔτι λειπομένης ἐλπίδος. ἃ γὰρ εἰκὸς ἦν πράξειν, εἰ περιῆν,[10] ἀδύνατον ὑπάρχειν ἀπολωλότος. ἵνα οὖν αὐτὸς μὲν ἐκπέσω τοῦ κλήρου παντάπασι· ταύτῃ δὲ βεβαίαν τῆς τῶν ὑπαρχόντων[11] περιουσίας[12] τὴν κτῆσιν παρασκευάσω, τὸν πατέρα διεχρησάμην, καὶ τοσαύτην μιαιφονίαν ἀνεδεξάμην; εἰ γὰρ τοὐναντίον, ἀπροσδόκητον ἦν ζῶντος μὲν τὸν κλῆρον κομίσασθαι· τεθνεῶτος δὲ παραχρῆμα τὸ λαβεῖν πρόδηλον, πρὸς τοσοῦτον ἂν ἦλθον ἀπανθρωπίας,

[8] λύσις κατὰ ἀντιπαράστασιν m. M.

[9] λῦσαι] sic B. κωλῦσαι M.

[10] εἴπερ ἦν B.

[11] vide num vocabula τῶν ὑπαρχόντων e scholio sint, quae idem dicant atque τῆς περιουσίας.

[12] ἐργασία m. M.

πίας, ὡς χρημάτων ἕνεκεν φόνον ἐργάσασθαι, καὶ τοῦτον πατρῷον; καὶ τῆς μὲν ἐμαυτοῦ σωτηρίας τὴν τοῦ πατρὸς προετίμησα. δι' ἣν δὲ κινδυνεύειν προθύμως καὶ τεθνάναι δεῖν ὑπελάμβανον, ταύτην ἂν προηκάμην, τὴν τοῦ κλήρου γεγενημένην ἡμῶν ἀλλοτρίωσιν αἰτιώμενος; ἀγανακτεῖ δέ τις οὕτως ἐπὶ τοιούτοις ἐγκλήμασι, καὶ μηδὲν ἀνήκεστον πεπονθὼς, πρὸς τὴν τοῦ πατρὸς ἀναίρεσιν παροξύνεται; πολλά τις ἂν εἴποι[13] πρὸς ἑαυτὸν, πρίν τι τῶν δεινῶν διαπράξασθαι· πλείω δ' ἐμοὶ περιῆν τῶν ἄλλων, λογιζομένῳ, ῥᾳδίως φέρειν τὴν ἀγανάκτησιν. νῦν εἰς ἡμᾶς ὁ πατὴρ ἐξήμαρτεν· ἀλλ' εὖ πεποίηκεν ἤδη πολλάκις. τῶν ὑπαρχόντων ἀμοίρους κατέστησεν· ἀλλὰ τῆς γενέσεως γέγονεν αἴτιος. τὰ μείζω δὲ τῶν καταδεεστέρων, καὶ τὰ πλείω τῶν ἐλαττόνων, καὶ τῶν ὕστερον γεγενημένων, τὰ πρεσβύτερα, τιμιώτερα. κἂν νῦν ὀργίζηται, προϊὼν ἔσται φιλανθρωπότερος. ἐπὶ τοῦ παρόντος κεκίνηται· μικρὸν ὕστερον πατὴρ ὢν ἐπιγνώσεται. ταῦτα καὶ τὰ τούτοις[14] ὅμοια, πρὸς ἐμαυτὸν ἔφην ἂν, εἰ δυσμεναίνων[15] ἐτύγχανε, καὶ μὴ τοῦ συμφέροντος ἕνεκεν οὕτω βεβούλευτο. τὴν δὲ τῶν πεπραγμένων διάνοιαν ἀκριβῶς ἐπιστάμενος, τίνα τῆς πρὸς ἐκεῖνον ὀργῆς εἶχον τὴν πρόφασιν; χωρὶς δὲ τούτων, οὐκ εὔηθες δοκεῖν μὲν ἀμύνεσθαι· πολλῷ δὲ δήπου[16] δεινότερον[17] ἀδικεῖν ἐμαυτὸν χαλεπώτερα, καὶ δι' ὧν ἂν[18] τις τιμωρίαν λαμβάνῃ,[19] διὰ τούτων[20] ἑαυτῷ βλάβην προσάγειν ἀνήκεστον; τί γὰρ ἀνδροφόνου τῶν ὄντων ἀνοσιώτερον; ὅταν δὲ καὶ πατέρα τὶς διαχρήσηται, καὶ τὸ δεινὸν ἐκεῖνο, καὶ πᾶσιν[21] ἀπιστούμενον ἔργον, τολμήσῃ τις, Ἡράκλεις τοῦ δυσσεβήματος!

13 εἴπῃ B.
14 τούτων W.
15 δυσμένης B.
16 δήπουθεν B.
17 recte abeſt δεινότερον a B. quod ſi locum habere debet, transferendum eſt poſt τὶς διαχρήσηται, et ſic leg. διαχρήσηται, δεινότερον κἂν τὸ δεινὸν ἐκεῖνο. —
18 ἂν deeſt B.
19 λαμβάνει B.
20 τούτων] ſic B. et W. τοῦτον M.
21 παραπᾶσιν B.

τος! οὐδὲ τὴν μίμησιν τοῦ τοιούτου δράματος, ἐπὶ σκηνῆς ἰδεῖν εὖ φρονῶν ἄν τις[22] ἀνάσχοιτο. πρὸς δὲ τούτοις κἀκεῖνο πρὸς ὑμᾶς εἰπεῖν βούλομαι. πολλὰ μὲν καὶ μεγάλα τῶν τοῦ βλέπειν[23] ἐστερημένων τὰ δυστυχήματα. τὸ δὲ δὴ μέγιστον, αὐτοὶ μὲν οὐκ ἂν λάθοιέν τι διαπραττόμενοι· πάντες δὲ τούτοις ἀκινδύνως ἐπιβουλεύουσι. πῶς ἂν οὖν τὸν φόνον ἐτόλμησα, δεδιὼς μή τις θεάσηται, καὶ ταύτην μάλιστα συγκαθεύδουσαν φυλαττόμενος; πῶς δὲ ἂν αὐτὸν ἐκεῖνον ἐπέγνων, ὃν ἀνελεῖν ἐσπούδαζον, ὁ πάντως[24] χειραγωγούμενος; οὐχ οὕτω ταῦτ' ἔχει. πόθεν; σὸν ὡς γυναικὸς, καὶ ταύτης μητρυιᾶς, τὸ δυσσέβημα, προγόνῳ[25] μὲν ἐπιβουλεύειν προῃρημένης, τοῦ δὲ κλήρου παντὸς ἐφιεμένης· δυσμενέστερον δὲ καὶ πρὸς τὸν ἄνδρα διακειμένης, ὅτι τοῦ παιδὸς ἑώρας κηδόμενον, καὶ ἃς καθ' ἡμῶν ἐκίνεις ἐπιβουλὰς ἀνονήτους παρασκευάζοντα, καὶ φύλακα διαπαντὸς ἀήττητον, καὶ γήρᾳ μὲν ἤδη καὶ ἀποστροφῇ[26] κατειλημμένον· παιδοποιήσασθαι δὲ μηκέτι δυνάμενον. ταῦτά σε πάτερ κακῶς ἀπολώλεκεν, ἡ πολλὴ περὶ ἡμᾶς εὔνοια· τὸ τῆς κηδεμονίας ἡμῶν ἀνυπέρβλητον·[27] ἡ τῆς γυναικὸς τῶν χρημάτων ἐπιθυμία, δι' ἣν καὶ πάλαι μὲν ἡμῖν ἐπεβούλευε,[28] νῦν δὲ τὴν ἀνήκεστον ταύτην ἐπιβουλὴν ἀθρόως ἐπήνεγκε. καί τοι τί βουλομένη, φησὶν, ἀπέκτεινα, τοῦ κλήρου κυρία γενομένη·[29] τὴν κτῆσιν τούτου βεβαιοτέραν,[30] καὶ ἀσφαλέστερον ἑλεῖν[31] τὴν τῶν χρημάτων περιουσίαν, καὶ μηδεμίαν ὕστερον τοῦ πατρὸς δεδιέναι μεταβολήν. ᾔδεις γὰρ, ᾔδεις τὴν

22 φρονῶν ἄν τις] sic B. φρονῶν τις M.
23 τοῦ βλέπειν] sic B. τοῦ deest M.
24 πάντοσε B. πάντα W. f. voluit πανταχῆ.
25 προγόνῳ] sic B. προγόνοις M.
26 χ. παρακμῇ m. M.
27 ὑπερβλ. B.
28 ἐπεβούλευσε B.
29 γεγενημένη B.
30 post βεβαιοτέραν videtur deesse ποιῆσθαι tibi facere, scil. βουλομένη quod e praemissis tacite repetendum est.
31 malim ἔχειν.

τὴν ἐκείνου διάνοιαν, καὶ τὴν περὶ ἡμᾶς εὔνοιαν ὅση τις ἦν, ἀφ' ὧν σοι πολλάκις ὑπὲρ ἡμῶν συνεβούλευεν·[32] ἀφ' ὧν θεραπεύειν ἠξίου, καὶ τοῦ μὲν ἐπιβουλεύειν, ἀφίςαϑαι· μητρὸς δὲ μᾶλλον, ἢ μητρυιᾶς ἐπιδεικνύειν προαίρεσιν. τούτοις τεκμηρίοις χρωμένη, τὴν διαθήκην ὑπώπτευες, ὑπενόεις,[33] σαφῶς ἐγίνωσκες τὸ περὶ τοῦ κλήρου τοῦ πατρὸς διανόημα. διὰ τοῦτο τὸν φόνον εἰργάσω. διὰ τοῦτο τοὐμοῦ πατρὸς αὐτόχειρ ἐγένου· βουλομένη μὲν ἀκίνητον διαμεῖναι τὴν περὶ τοῦ κλήρου προαίρεσιν, ὑποτεμνομένη δὲ τῷ θανάτῳ τὴν ἐπὶ τὸ βέλτιον ἐκείνου μεταβολήν, καὶ τὸν χρόνον παραιρουμένη[34] τῆς μεταγνώσεως. οὐ γὰρ ἠγνόεις ὡς ζῶντος μὲν τοῦ πατρὸς, τῷ μὲν δοκεῖν, τὸν κλῆρον ἐκέκτησο· δεσπότης δὲ τῶν αὐτοῦ,[35] περιὼν ἐκεῖνος, ἦν ἀληθέστερος. καὶ ὡς πρὸς τῷ πεπρωμένῳ τέλει τοῦ βίου γενόμενος, τῷ παιδὶ τὸν κλῆρον ἐάσει, καλὸν[36] ἅμα καὶ δίκαιον λογισάμενος· ἀναιρεθέντος δὲ, φόβος μὲν οὐδεὶς μεταγνώσεως· τῶν δὲ χρημάτων ἡ κτῆσις βεβαιοτέρα· καὶ λοιπὸν ὁ κλῆρος ἀκίνδυνος, τοῦ δυνηθέντος ἂν ἀφελέσθαι πάλιν, ἀνῃρημένου. καὶ διὰ τῆς αὐτῆς πράξεως, ὑπάρξει μὲν τυχεῖν ὧν ἐσπούδαζες· ὑπάρξει δὲ συμφοραῖς ἀνηκέςοις περιβαλεῖν τὸν πρόγονον, ὀρφανὸν, ἔρημον, τῶν ἀναγκαίων ἐνδεᾶ καταςήσασα. ῥᾳδίαν δὲ τὴν ἀναίρεσιν ἔσεσθαι τοῦ πατρὸς κατανοήσασα, προχειρότερον[37] ἐπὶ τὸν φόνον ἐχώρησεν. ὁ μὲν υἱὸς, ἔφη πρὸς ἑαυτὴν, εὐνούςατος μὲν περὶ τὸν πατέρα καὶ πρόθυμος· τυφλὸς δὲ, καὶ τοῦ φυλάξοντος μᾶλλον δεόμενος, ἢ βοηθεῖν ἄλλῳ δυνάμενος. οὐδεὶς δ' ἕτερος κωλύσει διαχρωμένην· οὐδεὶς ἐπιβουλεύουσαν ἐκείνῳ φωράσει. νῦν μὲν ὁ καιρὸς ἔςαι τῆς ἀναιρέσεως· καθεύδοντος δὲ, ῥᾳδίως αὐτόχειρ γενήσομαι.[38]

κᾀν

[32] συνεβούλευσεν B.

[33] aut ὑπενόεις delendum est, vt schol. vocabuli ὑπώπτευες, aut eo seruato, sic est leg. ὑπώπτευες. tum noua init sententia: ὑπενόεις, μᾶλλον δὲ σαφῶς ἐγίνωσκες.

[34] περιαιρ. m. M.

[35] ἑαυτοῦ B.

[36] κρεῖττον m. M.

[37] προχειρότατον B.

[38] γενήσομαι] sic W. γενέσθαι δυνήσομαι B. γενήσωμαι M.

κἂν τὸν φόνον ἐργάσωμαι,[39] διαφεύξομαι καὶ τὸ ἔγκλημα. τίς μὲν γὰρ ἂν καλέσει[40] προθύμως εἰς δικαστήριον; ἂν μὲν ἀλλότριος ᾖ, μάλιστα μὲν ὀκνήσει τὸν κίνδυνον· προελόμενος δὲ, καὶ τῶν καθ' ἡμᾶς ἀκριβῶς οὐδὲν[41] ἐπιστάμενος, ἁλώσεται μάτην συκοφαντῶν. ἐὰν δὲ τὴν γραφὴν ὁ παῖς ἀναδέξηται, τὸν φόνον ἀντεγκαλέσω· καὶ καταστήσω ῥᾳδίως εἰς κίνδυνον, ἄπιστον μὲν ἔγκλημα, παιδὶ σπουδαίῳ, πατρῷον φόνον ἐπάγουσα· πολλοῖς δὲ δυναμένη πρὸς τὸν ἔλεγχον χρῆσθαι[42] τεκμηρίοις. οἷς γὰρ αὐτὴ διεπραξάμην, ἐπιβουλεύουσα, τούτοις κατὰ τοῦ παιδὸς χρήσομαι· καὶ διὰ τῶν αὐτῶν, ὁμοῦ μὲν ἐκεῖνον ἔνοχον ἐπιδείξομεν· ὁμοῦ δὲ τὴν δίκην διαφευξόμεθα. τούτων[43] οὖν οὕτω βεβουλευμένων, τὰ μὲν ἤδη κατώρθωσε· τὰ δὲ προσθήσειν ὑπείληφε. φάρμακον γοῦν[44] ἔχων ἐφωράθης, φησί· καὶ οἷς ἄν τις κατ' αὐτῆς χρήσαιτο, ταῦτα καθ' ἡμῶν προφέρειν οἴεται δεῖν. τὸ μὲν οὖν δεδέσθαι φάρμακον ἐν τοῖς ἱματίοις, οὐκ ἂν ἀρνηθείην. ὅτι δ' ἐκ ταύτης γέγονε τὸ σκευώρημα, πρόδηλον. ἡ μὲν γὰρ τοῦτο τῷ πατρὶ κατεμήνυσεν· ὁ δὲ παραχρῆμα τὴν ἐπιβουλὴν ὑπενόησε, καὶ ὡς ἐρωτήσαντος, πόθεν εἴη τὸ φάρμακον, ἐσιώπησα, διὰ τούτου τὴν καθ' ἡμῶν ἐπήρειαν ἐνδειξάμενος,[45] συνῆκε τὸν τρόπον τοῦ σκευωρήματος· καὶ τὴν ταύτης πονηρίαν εἰκότως ἐμίσησε, ταῦτα κατὰ τοῦ προγόνου μηχανωμένης. τὴν γὰρ τυφλότητα τὴν ἐμὴν, ἀφορμὴν αὐτάρκη πρὸς ἅπασαν ἐπιβουλὴν εὐτυχήσασα, συνεχῶς ἐχρῆτο τούτῳ καθ' ἡμῶν τῷ πλεονεκτήματι. καὶ τὸ φάρμακον ἐκεῖνο θοιματίῳ τῷ ἐμῷ φέρουσα συγκατέδησε.

39 ἐργάσωμαι] ſic B. et W. ἐργάσομαι M.

40 ἐγκαλέσῃ W. et m. M. γὰρ ἐγκαλέσει· τίς δὲ ἑλκύσει προθύμως B.

41 μηδὲν B.

42 χρήσασθαι B.

43 τούτων] ſic B. et W. τοῦτον M.

44 μὲν B.

45 ἐπιδειξάμενος B. malim ἐκδεξάμενος, intelligens, colligens.

κατέδησε. τίς γὰρ οὐκ ἂν λάθῃ[46] τυφλὸν πάντα,[47] κατ᾽ αὐτοῦ σκευωρούμενος· καὶ παρόντος πράττων ἃ βούλοιτο, καὶ μετὰ πλείστης ἀδείας, τὰ χείρω προφανῶς μηχανώμενος; ἢ πρὸς θεῶν οὕτως ὑπῆρχον ἀνόητος, ὡς τυφλοὺς εἶναι καὶ τοὺς ἄλλους ὑπολαμβάνειν, καὶ παρασκευάζειν μὲν δηλητήριον, δῆλον δὲ τοῦτο[48] ποιεῖν, ὡς ἐπεβούλευον; τίνα δὲ τούτῳ διαφθεῖραι προῃρημένος, περιῄειν, τοῖς ὁρῶσιν ἐπιδεικνύμενος; πότερον ταύτην, ἢ τὸν πατέρα; καθ᾽ ἑκάτερον[49] γὰρ αὐτὴν συκοφαντοῦσθαι ἐπιδείξομεν. εἰ μὲν τὸν πατέρα φήσειεν, ἀνθ᾽ ὅτου λεγέτω καὶ τὴν πρόφασιν αὐτὴν ἐρωτήσατε. τοῦ γὰρ κλήρου μηδέπω ταύτῃ δεδωρημένου, δι᾽ ὅν, ὥς φησιν, ἂν ἠγανάκτησα· τίνα τις ἂν εἴποι ἄλλην αἰτίαν ὧν προλαβὼν[50] ἐπεβούλευον; εἰ δὲ κατ᾽ αὐτῆς ηὐτρέπιστό μοι τὸ φάρμακον·[51] πῶς[52] ταύτην μὲν ἀνελεῖν ἐσπούδαζον ἀντὶ δὲ ταύτης τὸν πατέρα διεχρησάμην; εἶτα πῶς οὐκ ἄλογον ἐγκαλεῖν μὲν ὡς ἐπιβουλεύοντι τῷ πατρὶ, τεκμήριον δὲ τούτων ἀπαιτουμένην, προφέρειν τὸ δηλητήριον, ὃ τὴν κατὰ τοῦ πατρὸς ἐπιβουλὴν οὐδαμῶς ἐπιδείκνυσιν; ἡδέως δ᾽ ἂν αὐτὴν κἀκεῖνο μεθ᾽ ὑμῶν ἐρωτήσαιμι. πότερόν ποτε τοῦτο τὸ δηλητήριον οὕτως ἦν πρόδηλον, ὡς εἶναι καταφανὲς, ἢ τοὺς ἄλλους ἅπαντας ἐλάνθανεν. εἰ μὲν[53] γὰρ πρόδηλον, πρῶτον μὲν μανία δήπουθεν ἄντικρυς, ἐπιβουλεύειν μὲν τῶν ἀνηκέστων λάθρα τί διαπράξασθαι, προφανῶς δὲ τοῦτο καταμηνύειν, ὥσπερ δεδιότα,[54] μὴ λάθω τὴν ἐπιβουλὴν μηχανώμενος. ἔπειτα δὲ τῶν μὲν ἄλλων ἁπάντων, τοσούτων ὄντων ἐπὶ

τῆς

46 λάθοι B.

47 πάντα τὰ B.

48 malim τούτῳ, id est διὰ τοῦτο.

49 ἕτερον W.

50 εἴποι πάλιν ὧν προλ. B. locum hunc non intelligo. num sic. ἵνα τις ἂν εἴποι καλὴν αἰτίαν; δῆλον γὰρ, ὅτι οὐχ ἕνεκα χρημάτων, οὐ προλαβὼν, (id est ὅτι αὐτὰ οὐ προίλαβον) ἐπεβούλευον. verum ne hoc quidem satisfacit.

51 τὸ δηλητήριον B.

52 πῶς] sic B. et W. ὡς M.

53 μὴ B.

54 δεδιὼς B.

τῆς πατρῴας[55] ἑστίας, οὐδεὶς οὐδὲ πώποτε θεασάμενος, τοῦτο διήλεγξε, μόνη δὲ τὸ πρόδηλον[56] εἶδεν ἡ μητρυιά; καὶ τίς ἂν ταῦτα κακουργίας ἐκτὸς γεγενῆσθαι[57] πιστεύσειεν; εἰ δὲ τοὐναντίον λανθάνον λέγοι[58] τὸ δηλητήριον, πῶς μὲν ἐζήτησε; πῶς δὲ τὸ λανθάνον διηρευνήσατο; πόθεν δὲ ταύτῃ περιεργάσασθαι τὸ καθ' ἡμᾶς ἐπελήλυθεν; ἐγὼ μὲν οὖν οἶμαι καὶ τοῦτο μέγιστον εἶναι τῆς καθ' ἡμῶν ἐπιβουλῆς δήπου τεκμήριον. ὅμως δὲ λανθάνον μὲν[59] οὐκ ἐζήτησε· ὅπερ δὲ σαφῶς[60] ἐγίγνωσκε σκευωρήσασα, τοῦτο καὶ τῷ πατρὶ πεπεισμένη δεδήλωκεν. οὔτε γὰρ ἂν ἔδειξεν, εἴπερ[61] ἦν ἀγνοοῦσα τὸ δεδεμένον.[62] οὔτε ἂν ἀκριβῶς οὕτως ἐγίγνωσκεν, εἰ μὴ τὸ φάρμακον δήσασα[63] προετύγχανε. παραχρῆμα γοῦν ὁ πατὴρ ἔγνω τὴν ταύτης καθ' ἡμῶν ἔνεδραν γεγενημένην. καὶ συνεὶς, ἤρετο μὲν πόθεν τὸ φάρμακον, εἰδὼς δὲ, καὶ ταῦτά, μου σιωπήσαντος, τὴν περὶ τοῦ κλήρου διάνοιαν ἐβουλεύσατο· παύσειν γὰρ οὕτως ἐνόμιζεν ταύτην ἐπιβουλεύουσαν. ἐλελήθει δὲ ἄρα καθ' ἑαυτοῦ σοφιζόμενος. δι' ὧν γὰρ τῆς καθ' ἡμῶν προαιρέσεως κωλύειν ἐνόμιζε, διὰ τούτων τὴν καθ' ἑαυτοῦ πληγὴν καιριωτέραν ἤνεγκε.[64] πρὸς δὲ τούτοις, εἰ μὲν φαρμάκοις ἀνῄρητο, παρῆν μὲν ἂν καὶ τότε διελέγχειν τὴν κακουργίαν· τάχα δὲ ἄν τις μᾶλλον ὑπώπτευσεν· ὅπου δὲ σιδήρῳ τὸν φόνον ἐτόλμησε, τί τὸ δηλητήριον ἐνταῦθα προφέρει καὶ τῆς ἀναιρέσεως λέγει τὸ φάρμακον εἶναι σημεῖον. ὥσπερ ἂν εἴ τις φαρμακείας ἐπάγων ἔγκλημα, τούτου

55 πατρῴας] ſic B. μητρῴας M.

56 poſt πρόδηλον addit B. ἅπασιν non male.

57 γεγενῆσθαι] ſcil. ὑπ' αὐτῆς. quis credat eam ſine mala fraude id egiſſe?

58 λέγει B. et W.

59 λανθάνομεν B.

60 σαφὲς B.

61 non male B. ὅ, τι περ. Conſtructio haec eſt. οὐ γὰρ ἄν ποτε τῷ πατρὶ ἔδειξεν, ἀγνοοῦσα τὸ δεδεμένον ὅ, τι περ ἦν.

62 ἀγνοοῦσαν τὸ δεδομένον ὂν B.

63 malim ἐνδήσασα.

64 malim ἐπήνεγκε.

τούτου μὲν μηδὲν ἔχοι[65] τεκμήριον, ὅτι δὲ σίδηρον εἶδεν ἔχοντα τὸν κρινόμενον, λέγοι. τί οὖν εἴποι τις ἂν πρὸς ἐκεῖνον, ἐμβρόντητε; τοῦτο οὐ σημαίνει τὸ ἔγκλημα. φαρμακείαν μὲν γὰρ ἐλέγχει τὸ δηλητήριον· σιδήρῳ δέ τις οὐ τοῦτον διαφθείρει[66] τὸν τρόπον. καὶ περὶ μὲν τούτων ἱκανῶς οἶμαι δεδήλωται· ταύτης τε γὰρ ἦν ἡ τῶν φαρμάκων ἐπιβουλή, καὶ παραχρῆμα τοῦτο λογισάμενος ὁ πατήρ, μικροῦ δέω λέγειν ἐδάκρυσεν. ἐφ᾽ οἷς[67] ἐρωτηθεὶς, ἐσιώπησα, βαρέως ἐκείνῳ τὴν ἐπιβουλὴν αἰνιττόμενος· τῇ γὰρ σιωπῇ τὴν μητρυιὰν ἐδήλωσα, μήτε διελέγχειν αὐτὴν προφανῶς τότε δυνάμενος, μήτε τι ψεύδεσθαι προσήκειν ὑπολαμβάνων. περὶ δὲ τοῦ ξίφους· τοῦτο γὰρ καὶ νῦν ἡμῖν ἐπανατείνεται, καὶ[68] προφέρει πολλάκις· ἐγὼ δὲ, τοσοῦτον ἂν εἴποιμι· τὸ μὲν ξίφος, ἡμέτερον ξίφος,[69] ἐφ᾽ ἑτέραις ἐλπίσιν·[70] ὑπὲρ πατρίδος· ὑπὲρ γονέων· ἂν δέῃ, κατὰ τῶν πολεμίων ἐκείνῳ χρήσομαι. κοινὸν δὲ προὔθηκε τοῖς ὑφαιρεῖσθαι βουλομένοις ἡ τύχη· καί τις ἂν τῶν ἐπὶ τῆς οἰκίας ὑφελόμενος,[71] κἀμὲ ῥᾳδίως αὐτῷ διεχρήσατο, μήτε κωλύειν ὑφαιρούμενον,[72] μήτε φυλάττεσθαι δήπου δυνάμενον· πιστεύει δέ τις, ὡς ἐγὼ τοὐμοῦ πατρὸς αὐτόχειρ γενέσθαι προῃρημένος, τὴν ἀναίρεσιν ἂν τὠμῷ ξίφει διεπραττόμην, ἢ τούτῳ[73] διαχρησάμενος, κατέλιπον ἂν φώριον[74] τοῦ φόνου; ταύτης, ὦ ἄνδρες δικασταὶ, γέγονε τὸ σκευώρημα· τῆς μητρυιᾶς ἐκεῖνο τὸ διανόημα, δι᾽ οὗ κατορθώσειν ἀμφότερα προσεδόκησεν, καὶ τὸ λαθεῖν αὐτόχειρ γεγενημένη, καὶ τὸ καθ᾽

65 μηδὲν ἔχειν λέγει B. videtur dicere voluisse μηδὲν ἔχῃ vel ἔχοι λέγειν.

66 φθείρει B.

67 ἐφ᾽ οἷς] εὐθὺς W.

68 post καὶ delevi νῦν, quod abest a B.

69 ξίφος secundum recte, mea sententia, abest a W. cuius autem loco adsciscendum arbitror e B ἀλλ᾽, vt sit τὸ μὲν ξίφος ἡμέτερον, ἀλλ᾽ ἐφ᾽ ἑτέραις

70 malim ἐλπίσιν, ἵν᾽ ὑπὲρ π. — χρήσωμαι.

71 προελ. B.

72 ὑφαιρουμένου B. et m. M.

73 τοῦτον B. τοῦτο διαπραξάμενος m. M.

74 χ. κλέμμα m. M.

καθ' ἡμῶν ἑλεῖν συκοφαντίας[75] ἐφόδιον. ἀλλ' ἔοικε γάρ τι δαιμόνιον ἐφορᾷν ὀξέως τὰ δρώμενα· καὶ δι' ὧν ἄν τις ἐπιβουλεύῃ ἑτέροις, καὶ κακουργῶν λανθάνειν ὑπολαμβάνῃ, διὰ τούτων ἐλέγχειν ὑπεύθυνον αὐτὸν ὑπάρχοντα τοῖς ἐγκλήμασιν. οὕτω γοῦν οἷς καθ' ἡμῶν ἐπεχείρησεν, ἑαυτὴν κατεμήνυσε. τὸ γὰρ ἐκείνῳ τῷ ξίφει τολμῆσαι τὸν φόνον, καὶ καταλιπεῖν πρόδηλον, ἱκανὸν ἕξειν κατ' ἐμοῦ τεκμήριον προσδοκήσασα, τοὐναντίον ἐδήλωσεν, ὡς οὔτ' ἂν αὐτὸς διαχρησάμενος, οὕτως ἀλογίστως ἐβουλευσάμην, οὔτ' ἄν τις ἕτερος κατ' ἐμοῦ ταῦτα συνέθηκεν. ἀλλ' ὁ τῆς ἐπιβουλῆς τρόπος, τῆς μητρυιᾶς διελέγχει τὴν προαίρεσιν. τίς γὰρ ἀνδροφόνος καθ' ἑαυτοῦ καταλείπει γνώρισμα; τίς κλέπτης; τίς ἱερόσυλος; τίς κακουργήσας, δι' ὧν ἐλεγχθήσεται, διαπράττεται; σοφόν γέ σου τὸ διανόημα· καλά γε τὰ[76] σκευωρήματα, φονεύειν, ἀντεγκαλεῖν, ἐπιβουλεύειν, προφέρειν ἑτέροις ἃ δέδρακας. ἀπεχρήσω τῇ ἐμῇ τυφλότητι πρὸς δυσσέβειαν. τῇ συμφορᾷ πρὸς πᾶσαν ἐπιβουλήν. ἐὰν ἐμπλήσω τὴν ἐσθῆτα φαρμάκων, τυφλὸς ὤν, ἔφη[77] πρὸς ἑαυτήν, οὐκ ὄψεται ταῦτα σκευωρουμένην· τὸ ξίφος ἐὰν ὑφέλω, τίς με καταμηνύσει τὸν φόνον ἐργασαμένης; συκοφαντήσω τὸν πρόγονον· κἂν ἀπαιτῶμαι τεκμήριον, προβαλοῦμαι τὸ ξίφος. ταῦτά σου τὰ σοφίσματα. ταῦτα τὰ μηχανήματα, πᾶσαν ὑπεραίροντα πονηρίαν. ἐμόν, ὦ γύναι, τὸ ξίφος· σὸν δὲ τὸ τόλμημα. συγκαθεύδειν ἐκείνῳ προσποιουμένη, διέφθειρας, τὸν καιρὸν αὐτόθεν τοῦ φόνου κατανοήσασα,[78] ᾧ διεχρήσω τὸν δυστυχέστατον· καὶ ὁ μὲν μηδὲν ἀνήκεστον προσδοκῶν, ἀνεπαύετο· σὺ δὲ λοιπὸν ὕπνῳ κατειλημμένον θεασαμένη, ῥαδίως ἀπέκτεινας· εἰ δὲ μὴ τοῦτον ἐπράχθη τὸν τρόπον ὁ φόνος, πῶς μὲν οὐκ ᾔσθου τῆς ἀναιρέσεως; πῶς δέ τις[79] ἔλαθε διαχρώμε-

75 χ. ἀφορμὴν m. M.

76 σοφὸν δέ σου — καλά γε σου τὰ B.

77 malim ἔφης in secunda persona, et tum ἑαυτὴν erit idem atque σεαυτήν.

78 κατενόησα ὃν B.

79 malim πῶς δέ σε τις quomodo tecum effugere potuit sensim percussor patris.

χρώμενος; πῶς τὴν πληγὴν ἐπιφέρων, καὶ τοσοῦτον ἔργον διαπραττόμενος; σὺ δὲ, τὴν καιρίαν ἐκείνου λαβόντος, καὶ φωνὴν ἀφιέντος, οἵαν εἰκὸς ἀφιέναι τοὺς οὕτως ἀναιρουμένους, οὐκ ἔγνως τὸν φόνον, οὐχ αἵματος αἴσθησις[80] παραχρῆμα διήγειρεν, ὁμοῦ μὲν ἅπασαν τὴν κοίτην ἐμπλήσαντος, ὁμοῦ δέ σου τῷ σώματι πλησιάζοντος; οὐ τὰ τελευταῖα, ταραχὴ καὶ θόρυβος· καὶ πᾶς μὲν οἶκος κεκινημένος, πολὺς δὲ θρῆνος ἀναβοώμενος; ἀλλ᾽ ἐγὼ μὲν, πόῤῥω τοῦ τοῦ πατρὸς ἐν ἑτέροις οἴκοις ἀναπαυόμενος, ᾐσθόμην εὐθέως, καὶ διεγερθεὶς, εἰσῄειν ἐπὶ τῶν εἰσόδων τῆς οἰκίας, ἣν κατοικεῖν με συνέβαινεν, ἐκπλήξει μὲν καὶ φόβῳ κατειλημμένος· περαιτέρω[81] δὲ προελθεῖν μὴ δυνάμενος· σὲ δὲ πλησίον τοῦ σώματος καθεύδουσαν, οὐκ ἂν τὸ πένθος[82] διήγειρε; καὶ οἱ μὲν ἐκ γειτόνων οἰκοῦντες, αἰσθόμενοι τοῦ συμβεβηκότος, ἀπήντησαν, καὶ καθεύδοντες διηγέρθησαν. αὐτὴ[83] δὲ μόνη,[84] καίτοι τῷ κειμένῳ παρακαθεύδουσα, τοῦ πτώματος οὐδὲν ἄρα διενηνόχει; ποῖος μὲν ὕπνος; ποῖον δὲ φάρμακον ἀναισθησίας τοσοῦτον πάλιν[85] κατεδυνάστευσεν; ἀλλ᾽ οἶμαι προσποίησις ἦν τὸ γιγνόμενον, καὶ τοὺς καθεύδοντας ἐμιμεῖτο, μηδενὸς ὕπνου κατειληφότος, ἀνύποπτον διὰ τούτου κατασκευάζουσα ἑαυτὴν, καὶ τὴν ἐπὶ τοῖς γεγενημένοις ὑπόνοιαν διαφεύγειν σπουδάζουσα· ᾤετο γὰρ[86] ὅτι διεγερθεῖσα μὲν, καὶ προσώπῳ, καὶ συνειδότι καὶ πολλοῖς ἑτέροις τεκμηρίοις ἑαυτὴν καταστήσει κατάφωρον. εἰ δὲ καθεύδουσαν αὐτὴν ὕστερον καταλάβοι[87] τις, ὡς μηδὲν τῶν γεγενημένων ἐπισταμένη, τὴν ἐπὶ τούτοις ὑπόνοιαν διαφεύξεται. δίκη δέ τις τῶν ἀνθρωπίνων πραγμάτων ἔφορος, τὴν

τῆς

80 f. οὐχ αἵματός σε αἴσθησις.

81 περαιτέρω] sic W. παραιτέρω M.

82 πεπονθὸς B.

83 αὐτὴ si bene habet, διενηνόχεις erit leg. cum B. aut si διενηνόχει feruatur, leg. αὕτη *haec*.

84 καὶ μόνη B.

85 πάλιν] malim πάσης σε. totam te in potestate habuit.

86 ᾤετο μὲν γὰρ B.

87 καταλάβῃ B.

τῆς κακουργίας ἐπίνοιαν εἰς τοὐναντίον μετέστησεν. ἃ γὰρ λαθεῖν πειρωμένη, διεβουλεύσατο, ταῦτα φανερωτέραν δήπου κατέστησεν. ἀλλ' εἴ, φησι, μιαιφόνος τις ἦν. καὶ τὸν τρόπον οὕτως ἀνήμερος, οὐκ ἂν τοῦ προγόνου παντάπασι φεισαμένη, τὸν ἐμαυτῆς ἄνδρα διεχρησάμην. εἶτα σοφιζομένης αὐτῆς πάλιν ἀνέξεσθε, καὶ τοῖς πράγμασιν αὐτοῖς ἀπιστήσαντες [88] τοῖς πρὸς ἀπάτην μεμηχανημένοις [89] προσέξετε; δεῖ δὲ ὅμως καὶ τοῦτον αὐτῆς [90] διελέγξαι τὸν λόγον· πολλὰ τὴν ἐμὴν ἀναίρεσιν διεκώλυε. [91] πρῶτον μὲν ἁπάντων καὶ μέγιστον, ὁ πατὴρ, εὐνοῶν, φυλάττων, κηδόμενος. ἔπειτα δὲ τῆς ὑποψίας ὁ φόβος· καὶ τῆς τιμωρίας ὁ κίνδυνος. καὶ τὸ δυσχερὲς μὲν τῆς ἀναιρέσεως, ῥᾴδιον δὲ τῶν ἀποδείξεων· οὔτε γὰρ ὁ πατὴρ καιρὸν ἐδίδου ταύτῃ πρὸς τὴν ἀναίρεσιν, οὔτε μὴν ἐγὼ, δεδιὼς ἀεὶ καὶ φυλαττόμενος, οὔτ' ἂν τολμήσασα τὸν φόνον διέλαθε· οὔτ' ἂν ἑτέροις ὥσπερ νῦν ἀντεγκαλεῖν ἐπεχείρησεν· ἀλλὰ διήλεγξεν ἂν ὁ πατὴρ ῥᾳδίως τὸν φόνον· καὶ πικρότατος ἂν ἐπέστη ταύτῃ κατήγορος, νῦν μὲν αὐτῆς τὰς πρότερον ἐπιβουλὰς διηγούμενος, καὶ δι' ἐκείνων τὰ παρόντα πιστούμενος, αὖθις δὲ τοῖς τῆς ἀναιρέσεως τεκμηρίοις πρὸς ἔλεγχον χρώμενος. εἰ δὲ τούτων ἠπόρει, μητρυιᾶς τὸ περὶ [92] τοὺς προγόνους φύσει πολέμιον ἐβεβαίου [93] τὴν ὑποψίαν. πρὸς δὲ τοῖς εἰρημένοις, εἰ καὶ τὴν γραφὴν τοῦ φόνου διαφεύξεσθαι προσεδόκα, τοῦ κλήρου στερησομένη, σαφῶς ἐγίγνωσκε. ταύτην γὰρ ἂν ὁ πατὴρ παρ' αὐτῆς ἔλαβε τιμωρίαν, τῆς οἰκίας ἀποπεμψάμενος, καὶ τὸν κλῆρον αὐτῆς ἀφελόμενος· καὶ νῦν μὲν τὸ ξίφος, τὰ φάρμακα, δέδωκε πρόφασιν καθ' ἡμῶν ταύτῃ συκοφαντίας, σαθρὰ μὲν ὡς ἤδη δεδήλωται, συναιρόμενα δὲ ὅμως πρὸς συκοφαντίαν εὐφώρατον. τότε δὲ ἂν, ποῖα μὲν φάρ-

μακα

88 ἀπιστήσαντες] sic B. fide veritati rerum denegata. ἐπιστήσ. M.

89 μεμηχανευμένοις B.

90 αὐτῆς] B. et W. αὐτοῖς M.

91 διεκώλυσε B.

92 τὸ περὶ] sic W. τὸ deest M.

93 ἐδήλου B.

μακα. ποῖον δὲ ξίφος· ποίαν δὲ ἐπιβουλὴν[94] σκευωρήσασα, τὴν[95] τῆς ἀναιρέσεως ἐφ' ἕτερον[96] ἂν μετέστησεν ὑποψίαν; καὶ τοῦ μὲν πατρὸς τελευτήσαντος, κἀμὲ ῥαδίως ἀναιρήσειν ὕστερον προσεδόκησεν, ἢ λάθρα, μηδενὸς ὁμοίως ἔτι φυλάττοντος, ἢ τηλικούτων ἀδικημάτων γραφὴν ἐπάγουσα, καὶ τὸν περὶ τοῦ παντὸς ἐπιστήσασα κίνδυνον. ἀναιρεθέντος δ' ἐμοῦ, συμβήσεσθαι δυοῖν θάτερον· ἢ τιμωρίαν αὐτὴν ὑποσχεῖν, ἢ τοῦ πατρὸς αὐτῇ δυσμεναίνοντος, μή τε δύνασθαι κἀκεῖνον προσανελεῖν παντελῶς αὐτὴν φυλαττόμενον, μήτε τοῦ κλήρου λοιπὸν εἶναι κυρίαν. διὰ ταῦτα τὴν μὲν ἡμετέραν ἀναίρεσιν, εἰς καιρὸν ἕτερον ὑπερέθετο, καὶ γέγονεν ὁ μὲν τῆς μιαιφονίας προοίμιον· ἐμὲ δὲ δευτέροις ἀγῶσιν ἐταμιεύσατο. τεθνάναι μὲν οὖν ἔσται μοι κεχαρισμένον θάνατον δὲ δυστυχεῖ μᾶλλον, ἢ κακούργῳ προσήκοντα· καὶ καταλῦσαι μὲν ἤδη[97] τὸν βίον· πρότερον δὲ τὴν ὑπὲρ[98] τοῦ πατρὸς τιμωρίαν εἰσπράξασθαι· δρᾶμα[99] γὰρ παρέδωκε δράματι τοῖς μὲν ἀκούουσιν, ἀπιστούμενον· τοῖς ὁρῶσι δὲ, φοβερώτατον. οὐκ ἦν ἄρα μοι διὰ πάντων δυστυχὴς ἡ τυφλότης· οὐκ ἦν παντάπασιν ἀλυσιτελὴς ἡμῖν ἡ συμφορά. φέρει τὶ καὶ κέρδος πολλάκις δυστυχία τὶς ἀνυπέρβλητος. εὐτύχημα γοῦν ἔναγχος ἔσχον τὴν συμφοράν. οὐκ εἶδον θέαμα φρικωδέστατον· οὐκ εἶδον πάθος[100] ἀνήμερον. εἴθε καὶ τῶν ἀκοῶν ἡ δύναμις συναφῄρητο· καὶ πεπηρώμην τὸ[1] συναμφότερον. οὕτω γὰρ ἂν ὁμοῦ μὲν ἀθέατος, ὁμοῦ δὲ πάλιν ἀνήκοος ἤμην τοῦ πάθους. νῦν δὲ κερδάνας τὴν θέαν, ταῖς ἀκοαῖς ἔγνων τὴν συμφοράν. ποίαν γὰρ ὦ ἥλιε, δραματουρ-

94 ποίαν δὲ ἂν ἐπ. B.

95 ἐπὶ post τὴν deleui, quod recte deest B.

96 ἑτέραν B.

97 ἤδη] malim ἡδύ.

98 δὲ τὴν ὑπὲρ] sic B. et W. τὴν deest M.

99 δρᾶμα] caedem. δράματι] veneno. παρέδωκε coniunxit, continuauit scelus scelere. vt apud Sophoclem. ἡμέρα τῇ νυκτὶ παραδίδωσι τὰς ἄτας. Clades indesinenter diu noctuque saeuiunt. παραδέδωκε B.

100 ἴσ. οὕτως m. M.

1 πεπηρωμένος ἦν τὸ B.

τουργίαν ἡμῖν ἀπήγγειλαν; ποίας μιαιφονίας ἐπίδειξιν; ὁ μὲν δυστυχέστατος ἐκεῖνος πατὴρ, ἐφ' οὗ καθεύδων ἐτύγχανε σχήματος, ἐπὶ τούτου καὶ νεκρὸς ἔκειτο, πληγῇ μὲν ἀνθρώπου ἀνῃρημένος, οἰκείῳ δὲ πανταχόθεν αἵματι καὶ λύθρῳ περιῤῥεόμενος. ἡ δὲ θηρίου παντὸς μιαρωτέρα τὸν[2] φόνον ἐργασαμένη, πλησίον τοῦ πτώματος ἀνεπαύετο. καὶ ξίφος ἐκεῖνο τὸ δυστυχὲς, φρικωδεστέραν ἐποίει τὴν θέαν. ὅτι μὲν τοῦ παιδὸς ἦν, γνωριζόμενον. ὅτι δὲ τούτῳ τὸ δρᾶμα τετόλμητο, φοβερωτέραν ἀποφαῖνον τὴν συμφοράν. ταῦτα μανθάνων καὶ διηγούμενος, πῶς μὲν οἴεσθε διετέθην; πῶς δὲ καὶ φέρω διανοούμενος, αὐτὸς ἀναιρεῖσθαι νομίζω τῷ ξίφει, καὶ κατ' ἐμαυτοῦ φέρεσθαι τὴν πληγήν. νῦν ἡσυχάζουσιν Ἐριννύες. νῦν οὔτε τιμωροὶ δαίμονες, οὔτε ποιναί τινες τὴν μιαιφόνον ἐλαύνουσιν. ἀλλὰ ταύτας μὲν φασὶ κατὰ τῶν παίδων ὁπλίζεσθαι. καὶ τιμωρεῖν πατράσιν ὑπὸ παίδων[3] ἀνῃρημένοις. ἐπὶ τοιούτοις δὲ δυσσεβήμασιν[4] οὐ κεκίνηνται, γυναικὸς τὸν ἑαυτῆς ἄνδρα περὶ τὸν[5] τῆς πίστεως καὶ κοινωνίας καιρὸν διαχρησαμένης; ἐγώ σε πάτερ ὄντως[6] ἀνῄρηκα δι' ἐμὲ ταύτην ὑπέχεις τὴν τιμωρίαν τί γάρ με γνησίως ἠγάπας;[7] τί δὲ προθύμως ἡμᾶς ἐθεράπευες; τί προφανῆ τὴν ὑπερβάλλουσαν κηδεμονίαν ἐποίεις, καὶ τὴν γυναῖκα διὰ τούτων δυσμενεστέραν; οὐδὲ προσποιούμενος τὸν παῖδα μισεῖν, ἐλάνθανες οὕτω κηδόμενος· οὐδὲ δοκῶν ἡμῖν ὀργίζεσθαι, τὴν ὑπόκρισιν τῆς ὀργῆς διεφύλαττες. ἔνδηλος ἦ.[8] καὶ τότε τῷ μὲν δοκεῖν, ὀργιζόμενος· τὴν εὔνοιαν δὲ μᾶλλον ἐπιδεικνύμενος. οὐκ ἠδυνήθης, ὦ πάτερ, δυσμένειαν πρὸς ἡμᾶς ὑποκρίνασθαι· κατενόησε τὴν σὴν προαίρεσιν ἡ πασῶν αὕτη κακουργοτάτη. δι' ἀμφοτέρων ἦν[9]

ὥσε

[2] δὲ τὸν B.

[3] τῶν παίδων B.

[4] ἐπὶ δὲ τοῖς τοιούτοις δυσσ. B.

[5] τὸν] ſic W. et in. M. recte (τὴν r. M.) aut ſi mauis cum B. legere παρ' αὐτὸν τὸν τῆς πίστεως.

[6] ὄντως] ſic recte W. quo etiam οὕτως tendit quod in B. reperi. M. dat ὄντας.

[7] τί γάρ με γνησίως ἠγάπας;] ſic B. τί με γὰρ γν. ἠγάπησας; M.

[8] δῆλος B.

[9] ἦν] ſic B. γὰν M.

τὸ ξίφος. κἀμὲ γὰρ ἔτρωσε καιριωτέραν· καὶ τῆς αὐτῆς πληγῆς ἔργον ἀμφότεροι γεγενήμεθα. τί γὰρ ἀναισθήτου σώματος διενήνοχα; τί δέ μοι τοῖς ζῶσι πρόσεστι παραπλήσιον; μόνην τὴν αἴσθησιν ἔχω τῶν οἰκείων ἀτυχημάτων· καὶ τὴν γνῶσιν τῶν καλλίστων ἀφῃρημένος. οἶδα τὰ ἐμὰ δυστυχήματα. τὴν μητέρα πυρὶ δαπανωμένην ἐθεασάμην, καὶ πρὸ τῆς θέας ἐκείνης, τῶν ὀφθαλμῶν ἐκπεσεῖν δέον, παραχρῆμα θεασάμενος, κἀκείνων προσαφῃρέθην. τυφλὸς γενόμενος τὴν τοῦ πατρὸς σωτηρίαν, ἱκανὴν εἶχον παραμυθίαν, εἰς ἣν μοι λοιπὸν[10] ὀφθαλμὸς, καὶ κάλλιστος, ὁ πατήρ· καὶ τοῦτον[11] πεπήρωμαι. περίειμι δὲ συμφορῶν ὑπόμνημα· μέγεθος[12] ἀτυχημάτων. τὸν δυστυχέστατον ἂν εἴπῃ[13] τις, τὸν πηρὸν[14] ἅπαντες ὀνομάζουσι. τὸν πηρὸν[15] εἰ λέγοι τις, δηλώσει τὸν βαρυδαίμονα. τὸ τῶν συμφορῶν ἀνυπέρβλητον, ὄνομά μοι τοῦ πρόσθεν γεγένηται κυριώτερον. ἐπώνυμον γὰρ ἀτυχημάτων, πεποίηνται[16] καὶ συναλγοῦσι μὲν ἡμῖν μικροῦ δεῖν ἅπαντες κατὰ τὴν πόλιν· γελᾷ δὲ τὴν ἐμὴν δυστυχίαν ἡ μητρυιὰ, καὶ τοῖς κακοῖς ἐπεμβαίνει τοῖς ἡμετέροις. καὶ θρηνεῖν μὲν ὑποκρίνεται τὸν πατέρα. μεμελέτηκε γὰρ ὑποκρίνεσθαι ποτὲ μὲν ὕπνον, ποτὲ δὲ θρῆνον καὶ δάκρυα. γάμον δὲ πάλιν ἤδη περινοεῖ, τὸν κλῆρον προτείνουσα, καὶ τοῖς ἡμετέροις χρήμασι πολλοὺς δελεάζουσα· νῦν[17] δακρύεις, ὦ γύναι. νῦν ὀδύρῃ, καὶ προσδοκᾷς ὑπὸ τούτων ἐλεηθήσεσθαι; καιρὸς ἦν ποτε δακρύων, καιρὸς οἴκτου καὶ φιλανθρωπίας, ὅτε γαμηλίοις μὲν δαίμοσι καὶ νόμῳ τῆς κοινωνίας, πιστεύων ὁ πατὴρ ἀνεπαύετο, σὺ δὲ φόνον ὠμότατον εἰργάσω[18] τοῦ βαρυδαίμονος, μήτε γῆρας ἐλεεινὸν· μήτε βίον, ἢ[19] συνήθειαν ἐννοήσασα.

[10] λοιπὸν] sic B. aduerbialiter, deinceps, aut iam nunc in posterum. λοιπὸς M.

[11] τοῦτον] sic W. τοῦτο B. τέτε M.

[12] malim ὢ μέγεθος ἀτυχ.

[13] εἴποι B.

[14] et [15] πονηρὸν B.

[16] f. ἐπώνυμον γὰρ τἀτύχημα τῷ ἀτυχήσαντι πεποίηνται.

[17] νῦν δὲ B.

[18] ἐργασαμένου B.

[19] recte quidem omittit B. βίον ἤ. videtur tamen in his

epi-

ἐννοήσασα. τοιαῦτα τολμήσασα, παρ' ὑμᾶς ἕστηκεν ἀπὸ τοιούτων ἐλθοῦσα δυσσεβημάτων,[20] μιαίνει τὸ[21] δικαστήριον. καθαρσίων ὑμῖν δεῖ· μᾶλλον δὲ πάσῃ τῇ πόλει τηλικούτου μιάσματος. καθάρσιον δὲ προσδέξατον ἔσται, ταύτης ἡ κόλασις. ἐγὼ δὲ πυρὶ καθαρσίῳ τὸ λειπόμενον δώσω τοῦ σώματος. πρότερον μὲν γὰρ τὴν μητέρα καὶ τοὺς ὀφθαλμοὺς, αὐτόματον ἐπελθὸν συνανάλωσε· νῦν δὲ τὴν μιαιφόνον τιμωρησάμενος, χειροποιήτῳ πυρὶ προσθήσω καὶ τὸ λειπόμενον. ἐπὶ ποίαις γὰρ ἔτι βιώσομαι ταῖς ἐλπίσι; τίς θεραπεύσει; τίς προνοήσεται; ποῖος μὲν πατήρ; τίς δὲ καὶ μήτηρ φιλοφρονήσεται; τίς ἑστία πατρῴα; τίς οἶκος προγονικὸς ὑποδέξεται; πόθεν τῶν ἀναγκαίων ἐπικουρία; καὶ ταῦτα γὰρ τῷ πατρὶ συνανῄρηται, καὶ γέγονεν ὁμοῦ πάντα τῆς μητρυιᾶς. ὁ κλῆρος· ὁ φόνος. ἡ παντελης[22] ἡμῶν ἀπώλεια· μόλις ἐνταφίων ἔτυχεν ὁ πατήρ. μόλις, ὦ Γῆ καὶ Ἥλιε, τῶν νομιζομένων, ἱκανὸν κλῆρον καταλιπών! διὰ ταῦτα τεθνάναι καλόν. διὰ ταῦτα καταλῦσαι τὸν βίον λυσιτελέστερον, τῷ πατρὶ τιμωρήσαντα. τιμωρὸν γὰρ ἔχεις, ὦ πάτερ. τιμωρὸν τοῦ φόνου· μόνον, ὡς ἔοικεν, εὐτυχέστατον, ὅταν ὑπὲρ σοῦ τι διαγωνίζεσθαι[32] δέῃ. τοῦ τε γὰρ πυρὸς ἐκείνου τοῦ πολεμίου κεκράτηκα, τῆς σῆς ἕνεκεν μαχόμενος σωτηρίας καὶ νῦν δεινότερον μὲν ἀγῶνα τοῦτον ἀνεδεξάμην· πολὺ γὰρ τοῦ πυρὸς αὕτη χαλεπωτέρα. κρατήσειν δ' ὅμως πεπίστευκα. παραμυθήσονται γάρ με δικασταὶ φιλοικτίρμονες· κολάζειν μὲν,

πονη-

epithetum aliquid cuius accuſatiuus in ῆ exit, latere, quod nunc non exputo.

[20] ἀσεβημ. B.

[21] τὸ] ſic B. et W. τε M.

[22] ἡ παντελὴς] ſic B. et W. (ἡ deeſt M.) tria enumerat, quae ait γεγονέναι τῆς μητρυιᾶς h. e. vel ab ea profecta eſſe, vel ad eam perueniſſe, in eiusque poteſtatem veniſſe. 1) haereditatem, quae cum eius facta eſt, venit in eius poteſtatem. 2) caedem patris, quae ab ea profecta, h. e. patrata fuit. 3) exitium totius gentis, quae quod funditus exſtirparetur, ipſa in culpa erat.

[23] διαγνωρίζεσθαι B.

πονηροὺς, καὶ μισεῖν, τοὺς δὲ δυστυχεῖς οἰκτείρειν μεμαθηκότες. δεήσομαι δὲ πάντων ὑμῶν, δέησιν ἴσως ἀλυποτάτην, τούτῳ τῷ ξίφει διαχρησάσθω[24] ταύτην[25] ὁ δήμιος. τῷ ταύτης αἵματι, τὸν ἐπικείμενον λύθρον ἀποκαθαίρωμεν. κἂν ὑμῖν τοῦτο δοκῇ, τῷ τοῦ πατρὸς τάφῳ ταύτην ἐπαποκτείνωμεν· σφάγιον εὐσεβές τε καὶ δίκαιον·[26] οὕτω γὰρ, οἶμαι, τοὺς ἐκείνου δαίμονας εὐμενεστέρους ἑαυτοῖς καταστήσομεν. οὐκ ὄψομαι μὲν οὖν τὴν μιαιφόνον δικαίως φονευομένην.[27] οὐδὲ θεατὴς γενέσθαι δυνήσομαι τῆς τιμωρίας. ὅμως δὲ καὶ ταῦτα διηγουμένων ἀκούων, δόξω κολαζομένην ἑωρακέναι· τοῦτό μοι τὸ διήγημα, τὸ πρώην ἐπὶ τῷ τοῦ πατρὸς πάθει γεγενημένον παραμυθήσεται. τοῦτο τὴν ἀκοὴν ἐκείνην ἐξίτηλον γενέσθαι παρασκευάσει καὶ κουφοτέραν ποιήσει τὴν συμφοράν. ἐγὼ μὲν οὖν, ὦ πατρῷοι δαίμονες, καὶ ζῶντι, καὶ τελευτήσαντι τῷ πατρὶ βεβοήθηκα κατὰ δύναμιν, πάντα διαπραξάμενος. ἐμὲ δὲ τίς θεραπεύσει; τίς κηδεύσει καὶ τελευτήσαντα, παντελῶς ἔρημον ὄντα καὶ δυστυχέστατον; τοσοῦτον δὲ μόνον εἰπὼν, καταβήσομαι· γένοιτο μὲν, ὦ ἄνδρες δικασταὶ, μὴ πειραθῆναι μητρυιᾶς. εἰ δὲ ἄρα τοῦτο συμβαίνοι,[28] μηδεὶς πιστευέτω, κἂν εὔνοιαν ὑποκρίνηται·[29] τοσούτῳ γὰρ ἔσται χαλεπωτέρα, καὶ κακουργήσει δεινότερον, ὅσῳ περ ἂν λανθάνῃ τὰ χείρω κατὰ τῶν πιστευόντων μηχανωμένη· τοῦτο γὰρ τῇ πείρᾳ μεμαθηκὼς, ὡς μή ποτε ὤφελον, σύμβουλος ἂν εἴην, ὡς ἔοικεν, ἀξιόχρεως καὶ τοῖς καὶ ἀκούουσιν, ἢ ἐμαυτῷ μᾶλλον λυσιτελέστερος.

[24] χρησάσθω B.

[25] καὶ ταύτην B.

[26] δικαιότατον B.

[27] φονευομένην deest B. W. et m. M.

[28] συμβαίνει et [29] ὑποκρίνεται B.

Τύραννος ᾔτησεν ἐξ ἀστυγείτονος κόρην ὡραίαν, ἀπειλήσας, εἰ μὴ λάβοι, πόλεμον. οὐκ ἔδωκεν ἡ πόλις. ἀπῆλθον οἱ πρέσβεις ἄπρακτοι. ἐπήνεγκεν ὁ τύραννος ἐπὶ τῇ πόλει πόλεμον. ἐγγὺς ἦν ἡ πόλις τοῦ πολιορκηθῆναι. ὁ πατὴρ τῆς παιδὸς ἀναβὰς ἐπὶ τὸ τεῖχος ἅμα τῇ παιδὶ, ἀπέσφαξε ταύτην εἰς ὄψιν τοῦ τυράννου. ἀπῆλθεν ὁ τύραννος λύσας τὴν πολιορκίαν· γνοὺς δὲ τὴν τῆς κόρης σφαγὴν ἕτερος αὐτῆς ἐραστὴς, ἀπέσφαξεν ἑαυτόν. γράφεται τὸν πατέρα τῆς κόρης φόνου ὁ τοῦ ἐραστοῦ πατήρ.

ΠΡΟΘΕΩΡΙΑ.

Βιάζεται καὶ πατέρα πολλάκις ἡ πρὸς τὸ κοινὸν εὔνοια παίδων ὑπερορᾶν. αὕτη τὰς τοῦ Λεὼ θυγατέρας ἀπέκτεινεν. αὕτη πρὸς σφαγὴν ἐν Αὐλίδι τὴν Ἀγαμέμνονος ἐξέδωκε[1] παῖδα. μηδεὶς οὖν ἄστοργον νομιζέτω τὸν πατέρα τῆς κόρης. οὐ γὰρ ἀβασανίστως ἐπὶ τοσοῦτον ἧκεν[2] ἐγχείρημα. ἐπιτρέψας δὲ τὴν κρίσιν τῷ λογισμῷ, καὶ πολλάκις αὐτὴν ἀνελίξας, εἰς ἔννοιάν τε λαβὼν, ὡς εὐπρεπὴς, ὡς σώφρων ἡ παῖς, ὡς μέγιστον τόλμημα φόνος, ὡς ἀφόρητον πάθος γονεῦσι παιδὸς τελευτὴ, εἶτα πάντα τῇ θρεψαμένῃ παραβάλλων, εὗρεν ἐλάττω τῆς πόλεως πλεονεκτήματα. ἵνα δὲ πᾶσαν ὠμότητος ὑποψίαν ἐκφύγῃ, δέδωκε παῖδας ἑτέρους αὐτῷ τὴν ἐπὶ τῇ τεθνεώσῃ πραΰνοντας λύπην. εἰ δέ τις τοῦτο μὲν τῷ πλάσματι δίδωσιν, οὐ μὴν ἐκεῖνό γε πείθεται νεανίσκον ἐρωμένης ἀπο-

[1] ἐξέδωκα cod. Bau.
[2] ἧμεν B.

ἀποτυχόντα μηδαμῶς ἔτι ζῆν ὑπομεῖναι, Φαίδρας ἔοικεν ἀνήκοος εἶναι. ἐκείνη καίτοι δειλίαν ἔμφυτον τὸ θῆλυ νοσȣ̃ν, πρὸς ἑαυτὴν ἐθρασύνετο, καὶ τὴν οἰκείαν ἀπετόλμα διὰ τὸν ἄνδρα σφαγὴν, παριδȣ̃σα καὶ τὴν βασιλείαν. τȣ̃ μὲν ȣ̃ν ἀποκτεῖναι τὴν κόρην ἀπολογίαν ἔχει τὴν πόλιν. τȣ̃ δὲ νέȣ τὸν φόνον εἰς αὐτὸν ἀναφέρει τὸν δεδρακότα, ὡς ȣ̓ τὸ φίλτρον ἁπλῶς ἀνεῖλεν. ὁ τρόπος δὲ μᾶλλον αὐτȣ̃ γέμων ἀκρασίας[3] ἐσχάτης. εἰ γὰρ ἕκαστος ἐρωμένης διαμαρτὼν αὐτόχειρ ἐγένετο, κἂν ὁ τύραννος ἑαυτὸν ἀνῃρήκει, μηδενὸς ἧττον πρὸς τὴν ὥραν τῆς παιδὸς ἐκπλαγεὶς, ȣ̔́τως αὐτὸν ἀνεύθυνον κρινόμενον. ἑκατέρȣ δεῖξαι πειράσεται φόνȣ. ἀπίθανον δὲ μηδὲ τȣ̃τό τις ὑπολάβοι, εἴ τινες εἰς τȣ̃το θράσȣς ἀπήχθησαν, ὡς μὴ κόρην εἰς γάμον ἐκδȣ̃ναι γειτνιῶντι τυράννῳ, πόλεμον, εἰ πρεσβευόμενος διαμάρτοι, κηρύξαντι. καὶ γὰρ οἱ Τρῶες ȣ̓ παρθένον Τρῳάδα, γυναῖκα δὲ Λάκαιναν, Σπαρτιάτῃ συνοικȣ̃σαν ἀνδρὶ, παιδίον ἐκείνῳ τεκȣ̃σαν, ὕβριν ἡγȣ̃ντο πρεσβευομένοις ἀποδȣ̃ναι τοῖς Ἀχαιοῖς, ȣ̓ πόλεμον ȣ̔́τω ψιλῶς ἀπειλȣ̃σιν, οἷον ὁ τῆς μελέτης ἐποίησε τύραννος, ἀλλ' ἐν τοῖς ὅπλοις ἀπὸ τῶν τειχῶν ὁρωμένοις. ȣ̔́τως ἡ πρὸς τȣ̀ς παῖδας φιλονεικία μεγάλην παρασκευάζει τόλμαν. ἐνταῦθα δέ τις καὶ μείζων ἐστὶν ἀφορμὴ τῆς πρὸς ἀλλήλȣς αὐτοῖς ἀπιστίας, εἰ μὴ τῷ μάτην εἰρηκέναι δοκεῖ Δημοσθένης, ὡς ἄπιστον ὅλως ταῖς πολιτείαις ἡ τυραννὶς, ἄλλως τε, κἂν ὅμορον χώραν ἔχωσιν.

ΜΕΛΕΤΗ.

Οὐδὲν φύσεως ὤκνησα νόμον, ὦ παρόντες, ὑπεριδεῖν, ἵνα τῆς πολιτείας φυλάξω τȣ̀ς νόμȣς, καὶ τὴν ἐμὴν ἔδωκα τῇ δημοκρατίᾳ γονὴν, ἀτυράννευτον σπεύδων σῶσαι τὴν πόλιν. ἀνὴρ γὰρ, ᾧ τὸ φρόνημα πρόσεστι, κατόπιν ἀεὶ τὴν τῶν ἰδίων φροντίδα τῆς ὑπὲρ τῶν κοινῶν ἔχει προνοίας. εἰς τοσȣ̃τον ὁ τύραννος ἐχθρὸν ἐμπεσὼν, πολλὰς μὲν ἧκε φέρων ἐλπίδας, ᾤχετο δὲ πάσας ἀθρόως ἀφαι-

[3] ἀκρατείας B.

ἀφαιρεθεὶς, οὔτε κόρης, ἧς ἤρα, τυχὼν, οὔτε πόλιν, ἣν ἐπολιόρκει, παρειληφώς. ὠθήσας τοίνυν ὑμῖν ἔρωτα, καὶ τυραννίδα, καὶ πόλεμον, οὐ δωρεὰν, ὡς φιλόπολις, οὐ παραμυθίαν, ὡς πατὴρ ἀτυχὴς, ὁρῶ μοι τινὰ γινομένην, ἀλλὰ γραφὴν, καὶ κατηγορίαν, καὶ κρίσιν, καὶ δικαστὰς, ὅτι μιᾷ συμφορᾷ πλῆθος ἔλυσα δημοσίων κινδύνων. ἔδει μὲν οὖν τῷ τυράννῳ προσεῖναι τὴν τοῦ νεανίσκου μικροψυχίαν, ἵνα τῆς ἐρωμένης ἀποτυχὼν, ἕνα δίκαιον δράσειε φόνον, τὸν ἑαυτοῦ. ἐπειδὴ γὰρ παντὸς ἁμαρτήματος τυραννὶς χαλεπώτερον, πολλοῖς δὲ θάνατος ἁμαρτήμασιν ὥρισται, θανάτου δὲ μείζων οὐκ ἔστι σωφρονισμὸς, ἔδει τὸν τύραννον καινοτέρῳ τρόπῳ τελευτῆς ἐμπεσεῖν, ἀνδροφόνον αὐτὸν ἑαυτοῦ γεγονότα. ἐπεὶ δὲ πάντας ἐκεῖνος προπηλακίσας τοὺς νόμους πρὸς ἕνα μόνον τὸν ὑπὲρ τῆς αὐτοῦ σωτηρίας οὐδαμῶς ἐτυράννησεν, (ἀποσφάξαι γὰρ ἑαυτὸν οὐ προήχθη) τοῦτο προσῆκεν αὐτῷ γενέσθαι παράδειγμα τῷ μὴ νόμον διαπτύεσθαι τοιοῦτον, ὃν οὐ παρεῖδεν ἀνὴρ ἅπαντας ὑβρίσας τοὺς νόμους. καινότατον δὲ πρᾶγμα ποιεῖν ὁ κατήγορός μοι δοκεῖ. τὸν μὲν νέον ὑπὲρ μιᾶς αὐτὸν ἀνελόντα κόρης οὐ μέμφεται, ἐμοῦ δὲ, μίαν ὑπὲρ τῆς πόλεως κόρην ἀνῃρηκότος, κατηγορεῖ. καὶ μὴν εἴπερ ἀνέγκλητον ἐπαποθανεῖν ἐρωμένῃ, πῶς ὑπεραποθανεῖν πατρίδος ὑπεύθυνον; εἰ μὲν οὖν ὁ νέος ἔτυχε μόνος ἐρασθεὶς μου τῆς θυγατρὸς, ἀπώκνησα ἂν αὐτῆς καὶ τὸ κάλλος ὑμῖν ὑπογράψαι, καὶ, ὅπως ἐτράφη, διεξελθεῖν, μήπως ἐντεῦθεν ἐκείνῳ τινὰ νείμῃ συγγνώμην, τοῦ δικαίως αὐτὸν ἀνελεῖν, ἐρωμένης ἀποτυχόντα τοιαύτης. ἐπεὶ δὲ καὶ τὸν ἄρχοντα τῶν ἐχθρῶν καὶ τῶν πολιτῶν ἴστε, τινὰς ἔρωτι μὲν ἐκπλαγέντας τὸν λογισμὸν, καὶ μνηστεῦσαι καὶ τὴν κόρην ἐσπουδακότας, οὐδένα δ' ὅμως αὐτῶν ἀπενεγκόντα τοῦ βίου, θαῤῥῶν διηγήσομαι τὰ τῆς παρθένου πλεονεκτήματα. οὐκ ἔσομαι δέ τις ἐπαχθὴς, οἶμαι, καὶ φορτικὸς, τὴν παῖδα κοσμῶν. οὐ γάρ μοι σκοπὸς, τὴν ἰδίαν καλλωπίσαι γονὴν, οὐδὲ τοῖς ἐπαίνοις θηρεῦσαι μνηστῆρα τῇ τεθνεώσῃ, παραστῆσαι δὲ μᾶλλον, ὅτι θυγάτριον εὐπρεπὲς, καὶ τεθραμ-

μένον κοσμίως, ἐν ἐλάττονι μοίρᾳ τῆς πατρίδος ἐθέμην. ἔτι γὰρ οὖσα παιδίον, τῆς ἡλικίας αὐτὴν οὔπω κρυπτούσης, ἐπειδὴ περιιοῦσα περίβλεπτος ἦν, καὶ τοὺς ἁπάντων ἐφείλκετο πρὸς αὐτὴν ὀφθαλμοὺς, ᾐσχύνετο ὁρωμένη, ἠρυθρία καὶ μᾶλλον ἐπαινουμένη, ὥστε τὴν ἀγορὰν ἀποστρέφεσθαι, συνεῖναι δὲ τῇ μητρὶ καὶ σεμνᾶς οἰκουρεῖν· ὡς δὲ προσῆγε ταύτην ἐπὶ μνηστείαν ὁ χρόνος, πολλάκις, ὦ παρόντες, εὐχομένης ᾐσθόμην. οὐ νέου καλοῦ τὴν ἰδέαν, οὐ λαμπροῦ τὴν ἀξίαν, οὐ πλοῦτον πολὺν κεκτημένου τυχεῖν, ἀλλὰ κοσμίου καὶ σώφρονος, ἢ τὴν παρθενίαν αὐτῇ παραμεῖναι. ἧκεν ἐπὶ τοὺς ὁμόρους ἀγγελοῦσα[4] τὸ κάλλος ἡ φήμη, καὶ μέχρι τῶν βασιλείων ἀπελθοῦσα, πρὸς αὐτὸν ἀνέβη τὸν τύραννον, ἐνέβαλέ τε σπινθῆρα λαμπρὸν ἐρωτικῶς. οἷα γὰρ νόμων χωρὶς καὶ τῶν ἐν τῇ πολιτείᾳ καλῶν τεθραμμένος, καὶ τοῦτο εἶναι κέρδος τῆς μοναρχίας ἡγούμενος τὸ τὰ δοκοῦντα ποιεῖν, ὀψοφαγίᾳ καὶ μέθῃ καὶ κώμοις ὅλον ἐξεδίδου τὸν βίον. τοιγαροῦν οὓς ἐνθένδε πάντες ἀπήλαυνον, ὡς πολλῇ προσκειμένους ἀκολασίᾳ, τούτους ἀγαπᾷ καὶ περὶ αὐτὸν ἔχει φιλοπότας, καὶ κόλακας, καὶ τοιούτους ἀνθρώπους, οἵους πανταχόθεν αὐτῷ προξενεῖν ἡδονάς. οὗτοι προπίνουσιν ἐκείνῳ τὴν παῖδα, τὰ μὲν αὐτῷ χαριζόμενοι, τὰ δὲ τῇ πόλει μνησικακοῦντες, ἥπερ ἡ δοῦσα τὴν κόρην ἀνελεύθερόν τι καὶ ταπεινὸν ὑπομένῃ καὶ δουλείας προοίμιον, ἢ μὴ δοῦσα, τὸν τύραννον εἰς ὀργὴν ἐρεθίσῃ. ὡς ἐν τρυφῇ τοίνυν καὶ φιλοτησίᾳ καὶ ἀτόποις ᾠδαῖς δῆλον ἐκεῖνο, ὅτι τοιοῦτον καιρὸν φυλάξαντες τῆς παιδὸς ἐμνημόνευσαν, εἰκότως ὁ μάταιος διεθερμαίνετο. ἔπειτα ὕστερον αὐτὸς αὐτῷ παρθένον ἀναπλάττων τοιαύτην, οἵαν ἀκήκοεν, ὠρέγετο τὴν παῖδα θεάσασθαι. φυλάξας τοίνυν ἡμέραν, ὑποθεμένων αὐτῷ τῶν μηνυσάντων τὴν κόρην, ἐν ᾗ παρ᾽ ἡμῖν αἱ πρὸς γάμον ὡραῖαι μικρὸν ἀπὸ τοῦ ἄστεος ἑορτὴν εἰώθασιν ἄγειν. ἴστε δήπου τὸν χῶρον. πλάτανοί τε εἰσὶ καὶ κυπάριττοι, καὶ πηγὴ καλὴ, καὶ διαφανὴς, ἐπιτηδεία τε κόραις παίζειν παρ᾽ αὐτῇ. φυλάξας οὖν τὴν κυρίαν,

ἧκεν

4 ἀγγέλλουσα B.

ἧκεν οὐ μετὰ κόμπου βασιλικοῦ, ἅμα μὲν μὴ πόῤῥωθεν τῷ κτύπῳ τοῦ πλήθους αὐταῖς δέος ἐμβάλοι, ἅμα δὲ τυραννίδος ἀνάξιον εἶναι νομίσας παρθένου μιᾶς ἁρπαγήν. ἴσως δὲ τοῦτο καὶ περιττὸν ἡγούμενος, ὑμᾶς γὰρ ἐνόμιζεν αὐτὴν ἐκδώσειν εἰς γάμον πρεσβευομένῳ ταῦτα πεπεικὼς ἑαυτὸν, οὔτε βίας, οὔτ' ἐνέδρας ᾤετο δεῖσθαι τὴν χρείαν. εἵπετο τοίνυν αὐτῷ μετρία παρασκευὴ, καί τις τῶν ἡγησαμένων τὸ φίλτρον ὑποδείξων τὴν παῖδα. θεασάμενος οὖν ἐν καλαῖς διαλάμπουσαν κόραις, αἱ μὲν ἐπανῆλθον μένειν ἐρυθριῶσαι, ὁ δὲ κακῶς ἔχων ἀπῄει. ὃν γὰρ ἐνέβαλεν ἡ φήμη σπινθῆρα, τοῦτον ἡ θέα πολλὴν ἐποίησε φλόγα. ταῦτα γὰρ ἅπαντα διεξῆλθον αὐτοῦ πρὸς τὸν δῆμον οἱ πρέσβεις, ἵνα δὴ συγγνώμην τινὰ μηχανήσωνται τῷ δεσπότῃ, δηλοῦντες, ὡς τοῦ πόθου τὴν πρόφασιν ἐξ ἡμετέρων εἴληφε πολιτῶν, ἐμφαίνοντές τε δῆθεν ἐκείνου τὸ πρᾶον, ὡς ἐξὸν αὐτῷ τὴν κόρην ἁρπάσαι, τὴν ἡμετέραν ᾤετο δεῖν ἀναμεῖναι χειροτονίαν. οὕτω τὸν δῆμον ἀποθωπεύσαντες, ὡς ἑώρων ἀπειπόντα[5] τοῖς λόγοις, πολέμου προσέθηκαν ἀπειλήν. οἷα γὰρ καὶ πόθῳ φθεγγόμενος καὶ δυναστείας ἐπαιρόμενος ὄγκῳ, τοῦ μὲν κολακεύειν προτρεπόμενος, τοῦ δὲ πάντα εἰκάζειν ἀξιούσης αὐτῷ, δι' ἧς ἀπέστειλε δεῦρο, πρεσβείας, ἑκάτερον αὐτοῦ πάθος ἐδήλου. τὸ μὲν κόρην αἰτῆσαι, τὸν ἔρωτα, τὸ δὲ πόλεμον, εἰ διαμάρτοι τῆς σπουδῆς, ἀπειλῆσαι, τὴν ἐκ τῆς ἐξουσίας ὑπεροψίαν. ὑμεῖς δὲ, πρὸς μὲν τὴν ἀκρασίαν ἐκείνου κοσμίως, πρὸς δὲ τὰς ἀπειλὰς ἀνεχθέντες ἀνδρείως, λογισάμενοί τε καλῶς, ὅτι, ταύτην κατορθώσας τὴν αἴτησιν, ἕτερον εὐθὺς ἐπι άξει δεινότερον, καὶ πάλιν ἄλλο τι μεῖζον, ἕως ἡμᾶς κατὰ βραχὺ δουλεύειν αὐτῷ συνεθίσει· ταῦτα ὀρθῶς προειδόμενοι, καὶ τὴν ἐκείνου μελετωμένην ἐπίνοιαν ὀξέως εἰκάσαντες, ὡς τῇ μὲν πρεσβείᾳ τὴν κόρην, τῇ δὲ διανοίᾳ τὴν πόλιν ἐμνήστευε, τοῖς ἐκείνου διεκελεύσασθε πρέσβεσι ταῦτα προστάττειν ἑτέροις, οἳ σωφροσύνης ὀλιγωροῦσι παντελῶς ἀνδρείας ἐστερημένοι.

[5] ἀπειβῶντα B.

ρημένοι. ὁ δὲ καὶ λαμπρῶς ἐκινεῖτο, πολλὴν ἔχων ὀργῆς ἀφορμὴν, τὴν δυναστείαν, τὸν ἔρωτα, τὸ μάτην ἐξογκωθῆναι γλυκείαις ἐλπίσιν. ὡς γὰρ ἐγὼ τῶν ἐκεῖθεν τινὸς ἐπυθόμην ἀνδρὸς οὐδαμῶς ψεύσασθαι πεφυκότος, ἡνίκα τῶν πρέσβεων ἤλπιζε τὴν ἐπάνοδον, ὁ μὲν καθῆστο κεκοσμημένος ἀναμένων τὴν ἐρωμένην, παρῆν δὲ καὶ κολάκων ὄχλος, αὐτῷ διομνύμενοι, πρότερον ἔπω καλὸν αὐτὸν οὕτως ἑωρακέναι· ὁ δὲ ῥᾳδίως κεχαρισμένοις κηλούμενος ῥήμασιν, (οὐδὲν γὰρ εἰς ἀπάτην ἐρῶντος ἀνδρὸς ἑτοιμότερον) εἴ που τὴν ἄφιξιν ἐνενοεῖτο τῆς κόρης, ἔρωτος ἐδίδου συνθήματα. ἐκπηδῶν ἠρέμα τοῦ θρόνου, καὶ βλέπων οὐ σφόδρα καθεστηκὸς, καὶ τὴν ἐξ ὧν ἤλπιζεν ἡδονὴν τοῖς παροῦσιν ἐκφαίνων. εἶτα δυσχεραίνων τὸν ἄχρι τῆς ἀφίξεως χρόνον, πυκνὰ μὲν ἐπυνθάνετο τῶν παρεστώτων, εἰ διατρίβειν αὐτοῖς δοκοῦσιν οἱ πρέσβεις; πυκνὰ δὲ τούτους, ἄλλον ἐπ᾽ ἄλλῳ, προσέταττεν ἐξιέναι, τὴν πρεσβείαν, εἰ πλησίον οὖσα τυγχάνει, θεασομένους. τοιαύταις ἐκεῖνον ἀκήκοα θέλγεσθαι τὴν ψυχὴν προσδοκίαις. καὶ μὰ δία, οὐδ᾽ ἄπιστος ἴσως. κοινὰ γὰρ ταῦτα νοσήματα τῶν ἐκτόπως ἐρώντων. ἐν ἡδίσταις οὖν οὗτος ὑπάρχων ἐλπίσιν, ὡσὶ δὲ πικρὰν ἤκουσεν ἀγγελίαν τὰς παρ᾽ ἡμῶν ἀποκρίσεις. τί δεῖ λέγειν, ὅσον ἀνιαρῶς διετέθη; ἤλεγξε γὰρ αὐτοῦ τὴν τῆς ὀδύνης ὑπερβολὴν ἥτε τῆς παρασκευῆς ἀφθονία, καὶ τῆς ἐφόδου τὸ τάχος. οὐ γὰρ ἔφθασαν εἰπεῖν ἐπανελθόντες οἱ πρέσβεις, καὶ παρῆν αὐτοβοεὶ τὴν πόλιν ἡγούμενος ἀναρπάσαι. οὕτω πολλὴ μὲν αὐτῷ ἐπιχώριος δύναμις εἵπετο, πολλὴ δὲ μισθοφόρων ἀνθρώπων, παρασκευῆς μὲν οὕτως εἶχε τὰ τῶν πολεμίων· σχῆμα δὲ τυράννῳ προσῆν, οὔτε πολεμικὸν ἐναργῶς, οὔτε σαφῶς ἐπαφρόδιτον· ἀλλὰ πολεμικοῦ μὲν ἡμερώτερον, ἐρωτικοῦ δὲ φοβερώτερον. οὕτω κοινήν τινα κρᾶσιν ῥώμης μετῆλθε καὶ κάλλους. ἔρως[6] γὰρ καὶ θυμὸς αὐτὸν ὁπλίσαντες ἤγαγον. τοιούτους ἔχων ὁ τύραννος στρατηγοὺς τῇ πόλει προσέβαλε. καὶ ἐντεῦθεν ἀκριβῶς πολιορκία εἰστήκει, κατ᾽ ὀλίγον ἡμῖν τὸν κίνδυνον αὔξουσα.

6 ἔρω B.

ξουσα. ταῦτα ὁρῶν, ἠνιώμην διπλῇ τοσούτων περιθεόντων φόβων τὴν πόλιν, καὶ πάντων τὴν πρόφασιν ἐκ τῆς ἐμῆς εἰληφότων οἰκίας. ἐπυνθανόμην οὖν, ὅτι δέοι ποιεῖν ἐμαυτῷ, καὶ πολλῇ συνειχόμην εἰκότως ἀμηχανίᾳ, πατρίδι καὶ θυγατρὶ δικάζειν λαχών. ὅτε μὲν γὰρ εἰσῄει μοι τὴν γνώμην ἡ παῖς μετὰ τῶν ἐλπίδων, αἷς ἔτρεφον, καὶ διετύπουν τῇ φαντασίᾳ[7] παστάδα, πολίτην νυμφίον, ὑμέναιον, τὴν θυγατέρα κύουσαν, ὠδίνουσαν, τίκτουσαν, παῖδα μητρῴᾳ τιτθῷ τρεφόμενον, ψελλιζόμενον τῇ φωνῇ, τοῖς ἀλλοτρίοις μὲν ἄσημα, γνώριμα[8] δὲ τοῖς οἰκείοις, πάππον ἤδη μαθόντα καλεῖν. ὅτε μὲν ἐπὶ τοσαύτας ἐλπίδας ἐξέτεινον τὴν διάνοιαν, ἠλέουν τὴν παῖδα, ἡνίκα δὲ πάλιν εἰς ἔννοιαν τὴν πόλιν ἐλάμβανον, τὴν μητέρα, τὴν τρέφουσαν, τὴν δι᾽ ἐμὲ κινδυνεύουσαν, ἐπὶ τὸ ξίφος ἑώρων. πέρας δ᾽ οὖν ἐκεῖνο σκοπήσας, ὡς ἁλοῦσα μὲν ἡ πατρὶς, τὴν ἐπὶ τὴν κόρην ἀκολασίαν ἀνοίγει τῷ πολεμίῳ, ἡ παῖς δὲ, τῆς ἐμῆς ἔργον γενομένη χειρὸς, αὐτή τε τυραννικῆς ἄπεισιν ἀσελγείας ἀπηλλαγμένη, καὶ τῇ πόλει βεβαίαν ἐλευθερίαν ἀνύσει, μᾶλλον εἱλόμην τὴν ὑπὲρ ἀμφοτέρων βουλὴν, ἢ τὴν ἑκάτερα λυμαινομένην. ἐξῆγον οὖν οἴκοθεν τὸ θυγάτριον, ἔχων ἐπειγόμενά μοι τὰ δάκρυα. εἵπετο δὲ μέχρι τῆς αὐλείου θύρας ἡ μήτηρ ὀδυρομένη, ὀνόματι καλοῦσα τὴν κόρην. ἐπορεύετο δ᾽ ἡ παρθένος ἡσυχῇ καὶ νεύουσα κάτω. ἐγὼ αὐτὴν παρεσκεύαζον, θᾶττον, ἢ βάδην, κινεῖσθαι, μὴ, θρηνούσης ἀκούσα τῆς μητρὸς, χαλεπῶς ἐνέγκῃ τὴν τελευτήν. καὶ πρὸς τὴν γυναῖκα μεταστραφεὶς καὶ κινήσει χειρὸς καὶ νεύματι λαθὼν τὴν κόρην ἔνδον ἐσήμαινον ἀναστέφειν. εἵπετο[9] τοίνυν ἡ παῖς εὖ μάλα συγκαλυψαμένη, καὶ οὐ πάνυ τι πλέον δυσχεραίνουσα τὴν σφαγὴν, ἢ μεθ᾽ ἡμέραν εἰς ἀγορὰν ἐμβάλλειν.[10] ἐπεὶ δὲ τοῦ τείχους ἄνω περὶ τὰς ἐπάλξεις γεγόναμεν, ἐκλεξάμενός τι χωρίον[11] εὐσυν-

συν-

7 τὴν φαντασίαν B.
8 γνώρημα B.
9 εἴβετο B.
10 ἐμβάλειν B.
11 ἐμβάλειν B.

σύνοπτον τοῖς πολεμίοις, ὅθεν ἐκείνοις ἐνῆν ὁρᾷν εὐκόλως τὰ δρώμενα, (ἐτύγχανον γὰρ παρὰ τὰ τείχη σκηνώσαντες) ἐνταῦθα τῆς θυγατρὸς ἀποκαλύψας τὸ πρόσωπον, καὶ πείσας τῇ θέᾳ τὸν τύραννον μηδαμῶς ἑτέραν ὑπονοεῖν, φιλοστοργίαν μὲν πατρικὴν, καὶ γυναῖκα θρηνοῦσαν ἐκβάλλω μου τῆς διανοίας, μόνον δὲ τῇ πατρίδι τὸν λογισμὸν παραδοὺς, καὶ τὴν κόρην οὐχ ὡς ἰδίαν ἔτι γονὴν ἐννοῶν, ἀλλ᾽ ὡς τυράννου γυναῖκα γενησομένην, εἰ διαφύγοι τὸν φόνον. ἐπιφέρων πληγὴν, ἑτέρας ἐδεόμην, ἵνα μὴ μετάμελος γένηταί τις ἐμοὶ, καὶ τελευτὴν ὀξεῖαν ἡ παῖς κερδάνῃ. ἐπιγνοὺς τοίνυν ἐκεῖνος, ἣν ἔναγχος εἶδε, θεασάμενος τὸν πατέρα φονέα παιδὸς καὶ σφαγὴν ἐρωμένης, πολὺν ἄφωνος χρόνον εἱστήκει, θαύματι καὶ φόβῳ καὶ λύπῃ συσχεθεὶς τὴν φωνήν. θαυμάσας μὲν ἐμὲ τῆς εὐτολμίας, δείσας δὲ πόλιν, ἣν ἄνδρες οἰκοῦσιν ἐν δευτέρῳ ποιούμενοι τέκνα πατρίδος, ἀλγήσας δὲ, φόνῳ καλῆς τε καὶ ποθουμένης, καὶ τό γε τῆς ἀθυμίας ἀφόρητον, δι᾽ αὐτὸν ἐσφαλμένης. μόλις δ᾽ οὖν αὑτὸν ἀνακτήσασθαι δυνηθεὶς, ἀναχώρησίν τε σημάνας τοῖς ὑπηκόοις, ἀπῄει, πολλὰ δηλαδὴ μεμνημένος ἐμοῦ τε καὶ τῆς ἐμῆς ἐγκρατείας, καὶ πρὸς τὴν τύχην, ὡς εἰκὸς, σχετλιάζων, ὅτι τοῖς ὅπλοις κρατῶν ἀπῆλθε, μὴ φέρων τοῦ πολέμου τὸ ἆθλον. ἀπράκτων οὖν ἀπιόντων ἐπ᾽ οἴκου τῶν ἐλπισάντων ἀκονιτὶ χειροῦσθαι τὴν πόλιν, παντοδαποῖς ἐθεράπευσε τρόποις τῆς θυγατρὸς τὴν ὁσίαν δάκρυσι καὶ χοαῖς, καὶ τοῖς ἄλλοις πᾶσιν, οἷς νομίζεται τοὺς ἀπελθόντας τιμᾶσθαι. καὶ τοιαύτην ἐγκολάψας εἰκόνα τῷ μνήματι· γυνὴ μὲν ἐστι καθημένη τὸ φιλοτέχνημα, τὸ δὲ γύναιόν ἐστιν ἡ τυραννὶς, λελυμένη τοὺς πλοκάμους καὶ κατηφὴς, καὶ λέγουσα τάδε· ἡ πάντων κρατέειν ἐθέλουσα τυραννὶς, ἡ δ᾽ ἐγὼ ἡ τλήμων ὀλοφύρω οὕνεκα κόρης, τῇ ἐπὶ πόλλ᾽ ἔπαθον, ποθέουσά τε μαρναμένη τε. τοσαύτας ὁ τύραννος ἀφίησιν, οἶμαι, φωνὰς δι᾽ ἐμὲ ὁ πάλαι σοβήσας ταῖς ἀπειλαῖς, ὁ πρῴην φοβήσας τοῖς ὅπλοις. ἐγὼ μὲν οὖν ᾤμην πέρας εἶναί μοι τῶν δυσχερῶν, παρῄνουν τε ἐμαυτῷ ῥᾷον φέρειν τὸ πάθος,

θος, ἑτέρων ὄντων μοι παίδων, ἐν εὐκλείᾳ τε γενόμενος, τῆς θυγατρὸς ὑπὲρ σωφροσύνης, ὑπὲρ ὅλης πατρίδος ἀνῃρημένης, καὶ τῷ μέλλοντι χρόνῳ σεμνὸν ἑαυτὴν καταλιπούσης διήγημα. τοιούτων δὲ παραμυθουμένων λογισμῶν νὺξ ἐν μέσῳ, καὶ δευτέρα τις ἦλθέ με κακοπραγία. τῇ γὰρ ὑστεραίᾳ πολλοὶ πολλαχοῦ φοιτῶντες ἐθρύλλουν· ὁ δεῖνα τοῦ δεῖνος κατηγορεῖ, ἐμὲ καὶ τοῦτον ἐπονομάζοντες. ἀποροῦντος δέ μου, καὶ λίαν ἐκπεπληγμένου, καὶ ζητοῦντος τὴν πρόφασιν, ἀπήγγειλέ τις, τοῦ κατηγόρου τὸν παῖδα, δεινῶς ἐρῶντα τῆς κόρης, ἑαυτὸν ἐπισφάξαι τῷ τάφῳ. τοῦτό ἐστι τὸ ἔγκλημα. αὕτη τῆς δίκης ἡ πρόφασις. ἐπὶ τούτοις ὑμᾶς οὗτος ἀθροίσας, ἐτραγῴδει τοῦ νέου τὸν φόνον, ἐτραγῴδει μοι τῆς θυγατρὸς τὴν σφαγὴν, ἄμφω καλοὺς ὠνόμαζεν ἡλικιώτας, ἥβης ἔχοντας ἄνθος, ἀλλήλων ἐρῶντας, καί με, φησὶν, ἀποκοσμῆσαι τὴν πόλιν, ψιλώσαντα ξυνωρίδος τοιαύτης. εἶτα δύο μὲν οἰκητόρων ἀποβολὴ διϊκνεῖται μέχρι κοινῆς ἀκοσμίας, ἅλωσις δὲ, καὶ τὰ τῆς ἁλώσεως πάθη, φόνος τῶν ἐν ἡλικίᾳ πολὺς, καὶ γῆρας ὀψὲ τὴν ἐλευθερίαν ἀπομανθάνον, καὶ γυναῖκες εἰς ὕβριν μεριζόμεναι, καὶ δουλεία, πρὸς ἀσέλγειαν μὲν, ὅσαι εἶδος καλαὶ, πρὸς δὲ διακονίαν, αἱ μὴ τοιαῦται, τὰ δὲ τοσαῦτα τὸ πλῆθος, τὰ δὲ τοιαῦτα τὸ μέγεθος, πόλεως εἶναί σοι φαίνεται κόσμος; τί γὰρ οὐκ ἂν ἔδρασε τύραννος ἀσελγὴς, ἐρωτικὸς ὠργισμένος, πόλιν δημοκρατίᾳ χρωμένην, γείτονος δυναστείαν ὑπεριδοῦσαν; ἐπεὶ οὖν τοιαύτης αἱρέσεως ἐγὼ εἰς ἀνάγκην περιέστην, καὶ δυοῖν ὁ καιρὸς ἀπῄτει με θάτερον, ἢ μόνην κόρην ἀποβαλεῖν, ἢ μετὰ τῆς κόρης ἀδικῆσαι τὴν πόλιν, τί πρὸς θεῶν ἐπλημμέλουν, ἑλόμενος μᾶλλον τὸ μέρος, ἢ τὸ πᾶν, ἀπολέσαι; ὥσπερ γὰρ, δυοῖν ἀνίσων ἀγαθῶν προκειμένων, εἰ μὴ συναμφότερα ἐξῆν λαβεῖν, τὸ μεῖζον ἐκλέξασθαι δεῖ, οὕτω καὶ, δύο παρόντων ἀνομοίων κακῶν, εἰ μὴ διαφεύγειν ἐστὶν ἑκάτερον, προσήκει τὸ χεῖρον ἐκκλίνειν. ὁρᾷς ἄνδρα τομὴν ἀνεχόμενον μέρους αὐτῷ τινὸς ἐλαχίστου νοσοῦντος, ἵνα τελευτῆς ἐπιούσης ἑαυτὸν ἐξαρπάσῃ, καὶ μὴ τρεφόμενον

τὸ[12] νοσοῦν καταβραχὺ τὸ ἐῤῥωμένον ἐπέλθῃ, ἐπειγόμενος[13] τοῦ πάθους, εἰ μή τις τὸ πάσχον αὐτὸ μέρος ἐκκόψοι, διατρέχειν ἅπαν τὸ σῶμα, μὴ τὸ τεμνόμενον ἐλεήσας, τὸ δ᾽ ἐκείνου σωθὲν λογισάμενος, ἀποδέχου τῆς ἐγκρατείας τὸν ἄνδρα. οὐδὲ νομέα γὰρ μέμψομαι μίαν οἶν ἀνῃρηκότα νοσοῦσαν, ὅπως αὐτῷ φυλαχθείη τὸ ποίμνιον, καὶ μὴ πρὸς ἕτερον ἀφ᾽ ἑτέρου τὸ νόσημα μετιὸν, ὅλην ἐπινέμοιτο τὴν ἀγέλην. ταῦτα πρότερον πολλάκις διασκεψάμενος, μιᾶς ἐπριάμην κόρης τὴν πόλιν. ἐν ᾗ καὶ ἐτέχθην, καὶ ἔγημα, καὶ πατὴρ ἐγενόμην· δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας, εἰ τέκνα τύχοιεν ἔχοντες, οὐ μόνον σφίσιν αὐτοῖς οἴεσθαι γεγονέναι τοὺς παῖδας, ἀλλὰ καὶ τῇ πατρίδι. διαφέρει δὲ τί, ὅτι ὁ μὲν αὐτῷ μόνῳ τὰ τέκνα γεγεννῆσθαι νομίζων τὴν ἐκ τῆς εἱμαρμένης ἐπιοῦσαν αὐτοῖς τελευτὴν ὑφορᾶται, ὁ δὲ καὶ τῇ πατρίδι, ὑπὲρ τοῦ μὴ ταύτην δουλωθεῖσαν ἰδεῖν, οὐ φαίνεται, κινδύνου καλοῦντος τῶν παίδων, φοβερωτέραν εἶναι νομίσας τῆς τούτων ἀποβολῆς τὴν ἐσομένην αὐτοῖς ἀτιμίαν ἐν δουλευούσῃ τῇ πόλει. εἰ μὲν οὖν οὐ τῆς κοινῆς χάριν παῤῥησίας ἅμα καὶ σωτηρίας τὴν κόρην ἀνεῖλον, ἵνα δὲ σὺ τὸν υἱὸν ἀποβάλῃς πονηρὸν, ὦ ἄνδρες, πονηρὸν τὸ ἐγχείρημα, καὶ δεῖται ζημίας; εἰ δὲ τοὐναντίον ἐγὼ τῆς ἡμετέρας περιεῖδον γονῆς, ἵνα σὺ τῆς ἰδίας μένῃς ἀσφαλῶς ἀπολαύων, καὶ τῶν ἄλλων ἕκαστος πολιτῶν, ὅσοι πατέρες εἰσὶ, καὶ τοιούτῳ μηδεὶς δουλεύσῃ δεσπότῃ, τὸ βαρὺ τοῦτο, τῆς θυγατρὸς ἡ σφαγὴ, παρὰ σωφρονοῦσι κριταῖς εἰς ἔπαινον τελεῖ μοι, καὶ δόξαν τουτὶ παρασκευάσει τὸ τόλμημα, καὶ τοὺς ὑπ᾽ ἐκείνῳ τεταγμένους τοιαῦτα δικαίως ἀλλήλοις ἐπιτιμᾶν· μέχρι τίνος ἡμεῖς δουλείαν καρτεροῦμεν τοσαύτην; μέχρι τίνος ἡμεῖς διακονοῦμεν δεσπότῃ; οὐ μιμησόμεθα τῶν προσηκόντων τὰς ἀρετάς; οὐ φρονήσομέν τι λοιπὸν ἐλευθέριον τοῖς ἐκ γειτόνων παραδείγμασι στρατηγούμενοι; οὐ ζηλώσομεν ἄνδρας ὁμόρους, ὑπὲρ ἐλευθερίας ἐπισταμένους πάντα παθεῖν; τοιούτοις οἶμαι πρὸς ἐπα-

12 τὸν νοσοῦν B.

13 ἐπειγόμενον B.

ἐπανάστασιν ἑαυτοὺς διεγείρουσι λόγοις. φύσει γὰρ ἡδὺ καὶ ζηλωτὸν καὶ περιμάχητον ἀνθρώποις αὐτονομία, καὶ πολὺ μᾶλλον αὐτοῖς ἐκείνοις, ὅσοι δεσπότην μὲν ἐμφόρητον[14] καὶ βαρὺν, ἐλευθέρους δὲ γείτονας ἔχουσιν. ἧς γάρ τις ἄμοιρός ἐστιν εὐδαιμονίας, ἕκαστον μὲν ταύτην[15] λαβόντα βασκαίνει, μάλιστα δὲ τὸν προσοικοῦντα ζηλοτυπεῖ. ἴσως οὖν, ἴσως καρπάσεσθε δι' ἐμοῦ καθαρὰν ἐξουσίαν, οὐδὲ γείτονα τύραννον ἔχοντες, ἀλλὰ κινδυνεύει σοῦ τὸ αἴτιον αἰτιᾶσθαι· οὐ γὰρ ἡ περὶ τὴν κόρην ἀθυμία τοῦ νέου πρόφασις αὐτῷ γέγονε τελευτῆς, ἀλλ' ὁ τρόπος ἐκείνου παντάπασι μᾶλλον ἐκλελυμένος ὑπάρχων καὶ μεστὸς ἀκρασίας. εἰ γὰρ αἱ τῆς ψυχῆς ἀλγηδόνες αὐτόχειρας ἠνάγκαζον γίνεσθαι, κἂν αὐτὸς δήπου σαυτὸν ἀνῃρήκεις λύπης γ' ἕνεκα. τέκνοις γὰρ, οἶμαι, τεθνεῶσι πατὴρ συνάχθεται μᾶλλον, ἢ παιδικοῖς ἐραστής. ὁρῶμεν ἀμέλει πένθος μὲν ἐραστῶν βραχεῖ τούτῳ καιρῷ δαπανώμενον, γονέων δὲ λύπην ἐπὶ παισὶν οἰχομένοις εἰς χρόνων μῆκος ἐκτεινομένην. οἱ μὲν γὰρ πρὸς ἰδέαν ἐπτοημένοι καλὴν, ἡνίκα τὸ ἐρώμενον λήγει, εἴτε νόσου μαραινούσης τὸ ἄνθος, εἴτε χρόνου τὴν ἀκμὴν ἀναλώσαντος, εἴτε συμβάντος θανάτου, τὸ φίλτρον εὐθὺς ἀποτίθενται· εὔνοια δὲ πατρικὴ γονεῦσι συντελευτᾷ φιλοστόργοις. οὐ τοίνυν ὁ πόθος ἁπλῶς ἐκεῖνον ἀνεῖλεν, ἀλλὰ τῆς αὐτοῦ φύσεως τὸ μικρόψυχον. εἰ δὲ δεῖ μὴ πρὸς τὸν νέον αὐτὸν, πρὸς ἕτερον δέ τινα τοῦ φόνου τὴν πρόφασιν ἄγειν, ἐπὶ σέ τις εἰκότως τὴν αἰτίαν ἀνοίσει. σὺ γὰρ, ὡς ἔοικεν, οὔτε σωφρονεῖν ἐπαίδευσας τὸν υἱὸν, οὔτε μετρίως ἐρᾶν. ἀλλ' εἰ καὶ ζῶντος ἠμέλεις τοῦ παιδὸς, τεθνεῶτα γοῦν ἔδει μὴ περιβόητον ἐκεῖνον ποιῆσαι, μηδὲ δημοσιεύειν περιφανῶς τὴν ἐκ φαύλης οὕτω προφάσεως τολμηθεῖσαν σφαγήν· συσκιάζειν δὲ μᾶλλον, καὶ περιστέλλειν ἔνεστιν, οὐκ εἰς εὐρυχωρίαν ἐξάγειν καὶ δικαστήριον συγκροτεῖν ἐπὶ παιδὸς ἀδοξίᾳ, καὶ πρὸς πλείους ἐκτείνειν μάρτυρας τὸ κακὸν, καὶ διδόναι πᾶσιν ὑπονοεῖν, ὅτι φαύλως ἐκεῖνον

ἔθρε-

[14] ἀμφόρητον B·
[15] ταύτῃ B.

ἔθρεψας, καὶ λαβὴν ἑτέρου ψόγου παρέχειν, ὡς οὐδὲ σὺ κοσμίως ἐτράφης. οὐ γὰρ ἂν οὕτως ἤγαγες τὸν υἱόν. γενέσθαι μὲν οὖν καὶ τῆς κόρης ἡλικιώτην οὐκ ἀντιλέγω· οὐ μὴν ἐκεῖνό γε δώσω, τὴν παρθένον ἐλθεῖν εἰς ἐπιθυμίαν αὐτοῦ, ὥσπερ ἀφελῶς οὕτως προσέτριψας, ἄμφω πρὸς ἀλλήλους εἰπὼν, κακωτικόν τι παθεῖν, ὅπως ἅμα καλλωπίσῃς τὸν νέον, καὶ τὸ πάθος ἐλεεινότερον καταστήσῃς. ἀλλ᾽ οὐ προσίεταί σου τὴν λοιδορίαν ἡ πόλις. εἰ γὰρ μὴ συνῄδει πλείστην τῇ παιδὶ σωφροσύνην, οὐκ ἂν ὑπὲρ αὐτῆς εἵλετο τύραννον ἐπερχόμενον ὑπομεῖναι. σὺ δὲ μαρτυροῦσαν παραγράφῃ τὴν πόλιν, ἢ γίνῃ τῇ τεθνεώσῃ τυράννου βαρύτερος. ἐκεῖνος αὐτῇ πολλὴν ἐμαρτύρησεν εὐκοσμίαν, πόλεμον, εἰ διαμάρτοι, κηρύξας. οὐ γὰρ ἂν ἀπειλῆς ἡγήσατο δεῖσθαι τοιαύτης, ὡς πειθαρχοῦντος, εὐκόλως τοῦ δήμου, κόρην μὴ σωφρονοῦσαν ἐκδοῦναι· τοῦτο γάρ ἐστι τὸ δεινὸν, ὅτι τοιαύτην ἀπέκτεινα, τοῦτο δ᾽ ἐστὶ τὸ λαμπρὸν, ὅτι τοιαύτην ὑπὲρ τῆς πατρίδος ἀνελεῖν ἐπετόλμησα.[16] σὺ δὲ, δυοῖν ἐμοὶ πεπραγμένων, σωτηρίας καὶ φόνου, τῆς μὲν ὅλων, τοῦ δὲ μιᾶς καὶ μόνης παρθένου, οὔτ᾽ ἀμφοτέρων[17] προφέρειν βούλει[18] τὴν μνήμην, οὔτε μόνου τοῦ μείζονος. ἀλλὰ τὸ μεῖζον παραδραμὼν, τὸ ἔλαττον εἰσάγεις εἰς μέσον, καὶ τὴν ἐμὴν κλέπτων εὐεργεσίαν, τὴν συμφορὰν ὀνειδίζεις, ἐπιστάμενος, ὅτι, κἂν ὅλῃ πατρίδι φόνος λυσιτελῇ, τοὔνομά γε εὐδιάβλητον ἔχει. ὅθεν γυμνὸν προφέρεις τὸν φόνον, ἀφελὼν[19] ἐκ τοῦ γενομένου τὴν τοῦ πεποιηκότος προαίρεσιν, καὶ μισότεκνον ὀνομάζεις τὸν μισοτύραννον, ἢ πανουργίᾳ συκοφαντῶν, ἢ γνώμης ἀσθενείᾳ τὸ τῆς ἀρετῆς ὕψος εἰς ὠμότητος ὑποψίαν λαμβάνων. οἷς γὰρ οὐ πρόσεστι μεγαλόψυχον ἦθος, ὡς παῖδας θανατῶσαι ὑπὲρ πατρίδος, ἐκεῖνοι τὸν τοῦτο διαπραξάμενον ἐκ τῆς αὐτῆς δοκιμάζοντες ἀνδρείας, οὐχ ὑπερβαίνειν ἡγοῦνται. φέρε, εἴ σοι κακῶς ἔλεγον τὸν υἱὸν, καὶ δεινὰς αὐτοῦ κατὰ τῆς ὁσίας ἀρὰς ἐποιούμην, ὡς ἐπιβουλεύσαντός μοι πρὸς εὔκλειαν μείζονα,

16 ἀπετόλμησα B.
17 ἀμφωτέρων B.
18 βούλειν B.
19 ἀφελῶν B.

μείζονα, γενέσθαι γὰρ αἴτιον τοῦ μὴ καὶ σὲ μετὰ τῶν ἄλλων ἐμοὶ χάριν εἰδέναι, καὶ τὴν ἐμὴν διὰ πάντων εὐεργεσίαν ἐλθεῖν, εἰ ταῦτα λέγοντος ἤκουες, τί ἂν ἐποίησας; ἐχαλέπαινες, οἶμαι, δικαίως, εἰ τελευτήσαντα ψέγω, κειμένῳ, φασὶν, ἐπεμβαίνων, δέον οἰκτεῖραι καὶ δοκιμάσαι τὴν γνώμην, ἥπερ αὐτὸν διεχρήσατο, οὐ γὰρ ἐμοὶ πρὸς εὐδοξίαν ἐπηρεάζων εἰς τοῦτο προήχθη. οὕτω τοίνυν κἀμὲ δίκαιος εἶ σκοπεῖν ἀπὸ τῆς γνώμης, ᾗ τὴν κόρην ἀνεῖλον, οὐ γὰρ ἐκείνῳ σωτηρίας δήπου φθονῶν, ἐπὶ ταύτην ἥκω τὴν πρᾶξιν. ἄκουε τοίνυν ἕτερον· εἰ, πρὶν ἀποκτεῖναι τὴν κόρην, ᾐσθόμην τοῦ νεανίσκου δρᾶσαι βουλομένου τὸ γεγονὸς, εἶτά σοι προσελθὼν, ὁρᾷς, ἔφην, εἰς ὅσον ἡμῖν ἡ πόλις ἦλθε κινδύνου, τοῦτον μέντοι τὸν φόβον ἐμοὶ καὶ σοὶ λῦσαι πάρεστι, καὶ μεγάλην ἄρασθαι δόξαν, ἀλλ᾽ οὐκ ἀτυχίας ἐκτός· δεῖ γὰρ ἑκάτερον τῆς οἰκείας χηρεῦσαι γονῆς. πλὴν ἐγώ σοι τοσοῦτον ἔσομαι δυστυχέστερος, ὅσον ἐμοὶ μὲν ἀνάγκη κτεῖναι τὴν παῖδα, σὺ δὲ τῷ μὲν ἀποβάλλειν τὸν υἱὸν ἴσα μοι πείσῃ, τὸ δὲ μὴ τοῦτον ἀποσφάξαι κερδανεῖς. εἰ ταῦτά μου νομοθετοῦντος ἀκήκοας, τίνα ἂν εἶχες, εἰπέ μοι, διάνοιαν; εἰ μὲν τὴν πατρίδα προέκρινας, τί τοῦ προκρίναντος κατηγορεῖν ἀξιοῖς; εἰ δέ σοι μικρὸν ἔμελε ταύτης, θαυμάζω σου τῆς ἀναιδείας, εἰ δικαζόμενος παρὰ τοῖς ὑπὸ σοῦ προδοθεῖσι, πρὸς ἄνδρα τούτους ῥυσάμενον, εἶτα λαβεῖν οἴει τὸ δικαστήριον. ἀλλ᾽ ἴσως, παρόντες νῦν, ὅτε δουλείας ὁ φόβος ἡμῖν ἐκποδὼν, πᾶσαν ἄδειαν ἄγοντες λογίζεσθε τὸν δεδρακότα τὸν φόνον, ὅτι πατὴρ, ἐννοεῖσθε τὴν ἐσφαγμένην, ὅτι θυγάτριον· λαμβάνετε κατὰ νοῦν τὰ τῆς ἀνῃρημένης πλεονεκτήματα. τῶν γὰρ ἰδίων ἕκαστος ἀπηλλαγμένος φροντίδων τὴν ἀπὸ τοῦ καιροῦ σχολὴν ἐν τοῖς ἑτέρου πράγμασι δαπανᾷ· εἰ δὲ τὴν πάλαι συνοικοῦσαν ἰσηγορίαν ἡμῖν ὑπὸ τῶν ἐχθρῶν ἀφῃρέθημεν, ὃ συμβέβηκεν ἂν, εἰ μὴ τὸ πραχθὲν ἐτολμήθη, σιωπήσαντες ἂν τὸν πατέρα, τὴν παῖδα, τῆς παρθένου τὰς ἀρετὰς, τοιούτοις δ᾽ ἐμέλλετε λόγοις ἀλλήλους ἐπ᾽ ἐμὲ παροξύνειν· εἰ γὰρ ἐπένθησέ τις ὑπὲρ ὅλης πατρίδος, εἰ

ἀπο-

ἀπόλωλε μία παρθένος ἡ τῶν κακῶν ἀφορμή, τί δὲ μέγα λαβεῖν ἐπεθύμησεν ὁ τὴν πρεσβείαν ἐκπέμψας; οὕτω γὰρ ἂν αὐτὸν ὠνομάζετε σιωπῶντες τὸν τύραννον. κόρην εἰς γάμον ᾔτησεν ἄνθρωπος, ἀνδρὸς μὲν ὡραίαν, οὔπω δὲ μνηστῆρος ἑτέρου τυγχάνουσαν. τοιούτοις οὖν ῥήμασιν εἰκότως ὑφ' ὑμῶν ἠλαυνόμην. ὅπερ εἰς νοῦν εἰληφώς, εἰ καὶ τὸν νεανίσκον ᾐσθόμην μὴ καρτερεῖν τῷ φόνῳ τῆς κόρης ἐπιβιώσεσθαι, τουτονί τ' ἄγειν ἐπ' ἐμὲ τὴν αἰτίαν τῆς ἐκείνου σφαγῆς, οὐδ' οὕτως ἂν ἀπεσχόμην τοῦ φόνου, κρεῖττον ἡγούμενος ἑνὶ συκοφάντῃ περιπεσεῖν, ἢ κατήγορον ἅπασαν ἔχειν τὴν πόλιν. ἔδει μὲν οὖν πρῴην συνισταμένης τῆς ἐκκλησίας ἐναντίον τῶν πρέσβεων ἀναιρεῖν με τὴν κόρην, καὶ πόῤῥωθεν ἀναστεῖλαι τὸν πόλεμον, τῆς, ἐφ' ᾗ γέγονεν, αἰτίας ἀνῃρημένης, ἵνα μήτε τὴν χώραν ἀπρόσωπον ἡμῖν ποιήσωσιν οἱ πολέμιοι, κείραντες αὐτοὺς[20] τοὺς ἀγρούς, μήτε τοὺς ἐν τούτοις ἑαλωκότας, τοὺς μὲν ἀποσφάξωσι, τοὺς δὲ δορυαλώτους ἐργάσωνται. ἔδει μὲν οὖν οὕτω ταῦτα γενέσθαι, ἀλλὰ τῶν δεινῶν οὔπω παρόντων, λογισμὸς ἐξηπάτα με πατρικός. τίς ἐξάγει τῶν βασιλείων τὸν τύραννον; τίς ἁβροδίαιτον ἄνδρα κινεῖ διατεθρυμμένον σῶμά τε καὶ ψυχήν; ἐβασάνισε τῇ πρεσβείᾳ τοῦ τὴν γνώμην, καὶ μαθεῖν ἀναμένει, πῶς ἔχει πρὸς ἀπειλάς. κἂν ἴδῃ μὴ ταραττόμενον, ἠρεμεῖ. ἡ γὰρ ἀλαζονεία τοιούτοις ἄποθεν ἀκροβολισμοῖς κεχρημένη, τοῖς μὲν εὐλαβουμένοις καὶ ἄνανδρόν τι φρονοῦσιν ἐπιστρατεύεται, πρὸς δὲ τοὺς εἰδότας κόμπου καταφρονεῖν, ὅπλα κινεῖν οὐ τολμᾷ. τοιαύταις[21] ἐμαυτὸν ἐλπίσιν ἐξέδωκα, καί μοι πιθαναί πως ἐδόκουν. οὐ γὰρ ἐβουλόμην προφάσεως εὐπορεῖν ἐπὶ φόνον ἀγούσης τοιοῦτον. οὕτω σφόδρα τῆς θυγατρὸς ἐκηδόμην, ἕως ἐπῆλθε καιρὸς μείζων ἐμφύτου φιλοστοργίας. ἐπειδὴ γὰρ πᾶσα μὲν ἄλλη σωτηρίας ἐλπὶς τὴν πόλιν ἀπολελοίπει, μία δέ τις ἡμῖν ὑπεφαίνετο τὴν ἐμὴν ἀπαιτοῦσα γονήν,[22] παρεχώρησα τῆς παιδός, ἵνα λάβω τὴν πόλιν. τί γάρ, εἰπέ μοι,

[20] αὐτοῖς B.
[21] τοιούτοις B.
[22] γονὴν B.

μοι, πράττειν ἐχρῆν; ἐᾶσαι τὸ δεινὸν εἰσιέναι, καὶ παραδοῦναι τῇ τυραννίδι τὰ πράγματα, καὶ συγχωρῆσαι αὐτῇ καταλύειν δημοκρατίαν ἀρχαίαν; οὐ γὰρ ἔφερε πλείονα χρόνον ἡ πόλις, οὔτε σῖτον εἰς μῆκος πολιορκίας ἱκανὸν κεκτημένη, καὶ πρὸς ἀγῶνα καὶ πόλεμον ἀπαράσκευος οὖσα, τῆς ἐφόδου τῶν ἐναντίων εὐθὺς τὴν πρεσβείαν ἐνδεξαμένης, καὶ βραχυτάτου καιροῦ μεταξὺ διελθόντος. ἀλλ' εἰ καὶ ἄφθαρτος, φησὶν, ἡ πόλις ἐτύγχανεν οὖσα, μεγάλη ῥοπὴ πρὸς τοὺς ἐναντίους ὑπῆρχεν ἡμῖν τὸ δίκαιον, καὶ ταύτην ὁρῶμεν μᾶλλον τὴν ἀρετὴν τρόπαια ἐγείρουσαν ἢ πλείστην κατασκευὴν ἀδίκως συγκροτουμένην. εἰ μὴ τὴν παῖδα τὴν ἐμὴν[23] ἔφθην ἀνῃρηκὼς, ἠγωνισάμεθα ἂν οὕτως, ὡς εἴχομεν, ἀηττήτῳ ῥώμῃ, δικαιοσύνῃ θαῤῥήσαντες; ἥκιστα μὲν πόλεμος ἐπὶ ῥητοῖς ἐθέλει χωρεῖν, καὶ πολλοῖς ἀμέλει νίκας ἀδίκους φιλοτιμεῖται. θῶμεν δ' ὅμως, καλὸν γὰρ οὕτω φρονεῖν, τὸ δίκαιον κρατεῖν πανταχοῦ, ἄλλοις οὖν ἄλλας ἐπιδείκνυσί τε καὶ χορηγεῖ σωτηρίας προφάσεις. τοὺς μὲν εὐβουλίᾳ τινὶ διασώζει, τοὺς δὲ προδοσίᾳ τῶν πολεμίων. ἄλλους βούλεταί τι παθεῖν, ἵνα πικροτέρων αὐτοὺς λύσηται συμφορῶν. τοιαῦτα καὶ θεοὶ πολλάκις ἐν ταῖς μαντείαις, εἰ πολλὰ ἐπιτάττουσι πράττειν ἀνθρώποις, ἧς ἐδέδωτο νίκης ἀκαιρίαν τύχῃ. εἰ γὰρ καὶ σωτηρίας ἄξιος ἕκαστος εἶναι δοκεῖ σύμμαχον ἔχων τὸ δίκαιον, ἀλλ' οὐ τὸν αὐτὸν σώζεσθαι τρόπον ἅπαντες ἄξιοι. ἀλλ' εἰσὶν, οὓς δεῖ τι καὶ δυσχερὲς ὑπομεῖναι πρὸς ἀπαλλαγὴν μειζόνων κακῶν. Ἐρεχθεὺς τὸ θυγάτριον, ἔκ τινος τοῦτο μαντείας ἀκηκοὼς, εἰς σωτηρίαν ἀνεῖλε τῶν Ἀθηναίων. ἀπέκειτο γὰρ ἢ μὴ φείσασθαι τῆς παιδὸς, ἢ τὰς Ἀθήνας ἀποβαλεῖν.[24] ἆρ' οὖν ἐκεῖνος μὲν ἀνδρείως ἤνεγκε τὴν μαντείαν, ἡ δὲ τούτου γυνὴ δεινῶς ἐπιέζετο; οὐκ ἔστιν. ἀλλὰ προσῆγεν ἐπὶ φόνον ἡ μήτηρ τὴν παῖδα κεκοσμημένην ὥσπερ ἐπὶ θάλαμον ἄγουσα. εἶτα κινδύνου τοσούτου περιεστῶ-

περιεστῶ-

23 τὴν σὴν B.
24 ἀποβαλλεῖν B.

ῥιστῶτος ἡμῖν, οὐδὲ γυναικὸς εὐτολμίαν ἐχρῆν με ζηλῶσαι; Ἐρεχθεὺς μὲν οὖν, (οὐ γὰρ ἡ τούτου θυγάτηρ πρόφασις ἦν τοῦ τὰς Ἀθήνας[25] ἐνοχλοῦντος πολέμου) τοιαύτης εἰκότως ἐδεήθη μαντείας εἰσηγουμένης, ὅπως ἂν ἡ πόλις αὐτῷ διαφύγοι τὸν κίνδυνον. ἡμῖν δὲ πᾶσιν ὁ πόλεμος ὑπῆρχε περιφανὴς, ὅθεν τε γέγονεν, ὅπως τε παύσεται. αὐτὸ τοίνυν ἡγοῦμαι τὸ δίκαιον, ταύτην ἐμοὶ τὴν ἔννοιαν ἐμβάλλειν, πάσης ἡμῖν ἑτέρας ἀσφαλείας ἀπούσης. ὅτι γὰρ εἰς ἀπορίαν ἐσχάτην ἡ σωτηρία συνηλάθη τῶν οἰκητόρων, καὶ οὐδεὶς οὔτε τὸν πλησίον, οὔτ' αὐτὸς αὑτὸν εἶχεν ἐξαπατᾷν, ὡς ἔνεστί πως καταφυγὴν ἑτέραν εὑρεῖν, αὐτὸς διαῤῥήδην ὁ τοῦ κατηγόρου παῖς ἐμαρτύρησεν. οὐ γὰρ τῶν πολεμίων ἡμῖν εὐθὺς προσβαλόντων τὴν κόρην ἀνεῖλον, ὥσπερ ἐπειγόμενος ἀποβαλεῖν τὸ θυγάτριον. οὐδὲ σπουδὴ γέγονέ μοι, τὸν φόνον κρύφα τῶν ἄλλων τολμῆσαι, καθάπερ εὐλαβουμένῳ, μὴ προαισθόμενός τις κωλύσῃ· τοὐναντίον μὲν οὖν, κωλύσοντά με τινὰ περιῄειν ζητῶν, καὶ πολλοῖς ἐξεπίτηδες τὴν περὶ τοῦ φόνου προεῖπον βουλὴν, ὅπως, εἴ τις ἐμπόδιον γένοιτο, κρείττονα γνώμην εὑρὼν, ἄμφω κερδάνω, καὶ τὸ φείσασθαι παιδὸς, καὶ τὸ δόξαι περὶ πολλοῦ τὴν πατρίδα ποιεῖσθαι. πάντων οὖν μελετωμένην μοι τὴν σφαγὴν αἰσθομένων, ἔδει τὸν καλὸν ἐραστὴν, εἴπερ ἕτερον σωθῆναι τρόπον ἐνῆν, ἐμέ τ' ἀποστρέψαι τοῦ φόνου, καὶ δεηθῆναι τοῦ δήμου χειροτονεῖν αὐτὸν στρατηγὸν, καὶ δύναμιν ὡς ἐκ τῶν ὑπαρχόντων διδόναι, ἢ καὶ ἁπλῆν τινα ἀσφάλειαν μετελθεῖν. ταῦτα ποιῆσαι τὸν νεανίαν ἔδει, πλὴν εἰ μὴ τεθνεώσης ἠράσθη τῆς κόρης· ἀλλ' οὐκ ἦν, ὡς ἔοικεν ἕτερος πόρος οὐδεὶς, οὐδὲ γὰρ ἂν ἐμέ τε καὶ σὲ, καὶ τὸν παῖδα τὸν σὸν, καὶ πόλιν διέλαθεν ὅλην. ἀλλ' οὐκ ἔδει, φησὶν, ἐπ' ἀδήλοις ἐγχείρημα τολμῆσαι τοσοῦτον. ἦν γὰρ οὐδενὶ φανερὸν, ὡς ἕπεται τῷ φόνῳ τῆς κόρης ἡ τῶν ἐχθρῶν ἀναχώρησις·[26] μᾶλλον μὲν οὖν ὑπῆρχε τεκμαίρεσθαι σφοδρότερον[27] ἀντικινηθῆναι τὸν τύραννον, καὶ μείζω

[25] εἰθήνας B.
[26] ἀνεχώρησις B.
[27] σφροδρότερον B.

μεῖζω προσθεῖναι τῇ πολιορκίᾳ σπουδὴν, ἐρωμένης ἠρεθισμένον θανάτῳ. καὶ πῶς ἤρα κόρης οὐκέτι προσδοκωμένης;[28] ἐλπίδος γὰρ οἰχομένης, ἔρως πέφυκεν ἠρεμεῖν, ἔρωτος δὲ πεπαυμένου, συναποσβέννυται καὶ θυμὸς, ὃν ἀνῆψεν ὁ πόθος, εἰ μήπω τύχῃ τις παραπλησίως τῷ νεανίσκῳ δύσερως ὤν. ἐξάγεις γὰρ οὐ βουλόμενον τεθνεῶτος κατηγορεῖν εἰς τοιαύτην με περιστήσας ἀπολογίας ἀνάγκην. ἐπειδὴ κἀκεῖνος συνέστειλε τὸν πόλεμον, καὶ διέλυσε τὴν ὀργὴν, τῷ μὴ δεδιέναι, ὅτι πρὸς γάμον ἡ παῖς καὶ ἑτέρῳ τινὶ συναφθείη. ἐπιθυμία γὰρ, μὴ τοῦ σκοποῦ λαβομένη, δεύτερον οἴεται κέρδος τὸ μηδ᾽ ἄλλον τυχεῖν. τεκμαίρομαι δὲ καὶ τοὺς περὶ αὐτὸν κόλακας, ἀνελπίστου λοιπὸν αὐτῷ γινομένης τῆς περὶ τὴν κόρην ἐπιθυμίας, πεπεικέναι τὸν ἄνδρα, καταλῦσαι τὴν προσεδρείαν, παραμυθουμένους καὶ διεξιόντας, οὐκ ἀπορεῖν αὐτῷ γυναικῶν τὰ βασίλεια, παραπλησίαν τὸ εἶδος τῇ τεθνεώσῃ· τὸν δὲ, ψυχαγωγίαν ἐθέλοντά[29] πως εὑρεῖν, ἡδέως τε παρασύρεσθαι, καὶ κατὰ μικρὸν ἀνανεοῦσθαι τῇ μνήμῃ πατρίδα καὶ βασιλικὴν ἑστίαν κατάλογον ἐρωμένων, ὀψοποιοῦσας καὶ οἰνοχόους,[30] καὶ ἄλλην ἀκόλαστον δίαιταν, ᾗ δουλεύουσι τύραννοι. τί οὖν ἔτι πρὸς τούτοις ἡμῖν ὁ κατήγορος ἐσοφίσατο; ὑπῆρχε τρόπος, φησὶν, ὡς τὸ εἰκὸς ὑπηγόρευε, καὶ σώζων τὴν παῖδα, καὶ τὴν ἐνοχλοῦσαν λύων πολιορκίαν. ἔδει μὲν γὰρ ἐπὶ τοῦ τείχους ἐν ὄψεσι τῶν ἐχθρῶν ἱστάνειν τὴν κόρην, ἀργὸν δέ σε φέρειν τὸ ξίφος, ἕως κήρυκα πέμψας ὁ δῆμος, ἐδίδαξε τὸν τύραννον, ὡς, εἰ μὴ λύσας τὴν προσεδρείαν ἀπέλθοι, τὴν φιλτάτην ὄψεται σφαττομένην. ἴσως ἂν τὴν ἐρωμένην οἰκτείρας, ἀνέζευξε. καὶ ἔτ᾽ ἂν αὐτὸς τὸ θυγάτριον ἀνῃρήκεις, οὔτε τοῦ παιδὸς ἀπεστερούμην ἐγώ. εἰ δὲ μὴ, τότε ἂν ἐδόκεις ἐν καιρῷ διαπράττεσθαι τὸ νῦν πρὸ τοῦ καιροῦ τολμηθέν. ἀλλὰ νῦν, ὦ βέλτιστε, τὸ αἰφνίδιον καὶ ἀπροσδόκητον καὶ πλείστῳ παραλόγῳ συμ-

[28] προσδοκωμένης B.
[29] ἐθέλοντα B.
[30] ὀψοποιεῖσθε καὶ οἰνοχόους B.

συμβάν. ὁ γὰρ οὕτως ἐμπίπτει μεγάλως δηλοῖ τὰ φρονήματα, οὐδὲν καθ' ἡμῶν ἀφῆκεν ἐκεῖνον διαλογίσασθαι· εἰ δέ τις ἐν μέσῳ γέγονε χρόνος, ὑφηγουμένου τοῦ δήμου τῷ κήρυκι, τοῦ δὲ κήρυκος τὰ παρὰ τοῦ πλήθους ἐκείνῳ διεξιόντος, ἐκείνου δὲ τῶν οἰκείων πυνθανομένου συμβούλων, ὅτι δέοι παθεῖν, πάντως ἂν ἢ τούτων τις ἐπετίθετο γνώμην, ἢ πρὸς ἑαυτὸν αὐτὸς διελέγετο· ἐπειδὴ τῆς κόρης, ὡς ἔοικεν, οὐκ ἔνεστί σοι τυχεῖν, τί μὴ τὴν πόλιν κερδανεῖς ἀνεκτότερον ἐραστῇ μᾶλλον ἀποβαλεῖν ἐρωμένην, ἢ μαθεῖν ἑτέρῳ πρὸς γάμον αὐτὴν ἐκδεδόσθαι· τὴν γὰρ οὕτω καλὴν οὐκ ἔστι μεῖναι παρθένον. εἰ δέ τι παράδοξον γένοιτο, καὶ πολλὴν οὕτως ἡλικίαν διέλθοι, αὕτη σοι τοῦ μέλλοντος ἡ φροντὶς, πικροτάτη γενήσεται βάσανος. ταῦτ' ἂν αὐτῷ βουλεύεσθαί τε καὶ πράττειν ὁ μεταξὺ χρόνος ἐδίδου· ὥστε μετὰ τῆς κόρης ἐντεῦθεν ἡ πόλις ἂν διεφθάρη πρὸς τὴν θέαν. εἰ δὲ κἀκεῖνος ἡμῖν τοιούτους ἀντέπεμψε λόγους, ἂν ἀποσφάξηταί μοι τὴν κόρην, καταβάλλω τὴν πόλιν· τί ἂν τῷ δήμῳ παρῄνεσεν ὁ τὰς ποικίλας ἡμῖν γνώμας εὑρίσκων; ἀνελεῖν, ὥς φησιν, ἐν καιρῷ τὴν παρθένον; οὐκοῦν ἐχειροῦτο τὴν πόλιν ὁ τύραννος, ὑβρίσθαι νομίσας. νῦν μὲν γὰρ οὐ πρὸς ὕβριν ἐκείνου πεποιηκέναι τὸν φόνον ἐδόξαμεν, ἀλλ' ἐλπίσαντες, ὅπερ ἀπέβη, πέρας ἕξειν τὸν πόλεμον, λυομένης τῆς, ἐφ' ᾗ προῆλθεν, αἰτίας, καὶ τῆς ἐπιθυμίας ἐκείνῳ συντελευτώσης τῇ ποθουμένῃ. εἰ δὲ προειρηκότος καθαιρήσειν τὴν πόλιν, εἰ τὴν κόρην ἀνέλοιμεν, εἶτα τοῦτο διεπραξάμεθα, εἰκότως ἂν περιφρονηθεὶς ἠγανάκτει μέχρι τοῦ τὸ ἄστυ κατενεγκεῖν. οἴκοθεν μὲν γὰρ ἐκεῖνον ἐξήγαγεν, οὐχ ἡ τῶν πρέσβεων ἀτιμία τοσοῦτον, ὅσον ἡ τοῦ λαβεῖν τὴν κόρην ἔτι περιοῦσαν ἐλπίς· ἐνταῦθα δ' ἂν ὑπ' αὐτῆς ἐθυμοῦτο τῆς ὕβρεως, γεγονότος φόνου παρὰ τὰς αὐτοῦ πρὸς τὸν δῆμον διὰ τοῦ κήρυκος ἐντολάς. εἰ δὲ φείσασθαι τῆς παιδὸς ἡμῖν συνεβουλεύεσθε, προθυμότερον ἂν οὕτως ἠπείγετο τὴν πόλιν ἑλεῖν, ἵνα τύχῃ τῆς κόρης. οὐκοῦν ἢ τούτων ἀμφοτέρων, τῆς τε πόλεως ἅμα, καὶ τῆς ἐρωμένης, ἀπέλαυεν, ἢ σφαττομένης μοι τότε

τῆς

τῆς θυγατρὸς, ἀνόνητος ἂν ὑπῆρχεν ἡμῖν ἑαλωκόσιν ὁ φόνος. ἀλλ' οὐδέν, φησι, δυσχερὲς ὁ τύραννος ὑπομείνας, αἰτήσει κόρην ἑτέραν, καὶ πάλιν ἄλλην, καὶ τετάρτην ἴσως, καὶ πέμπτην, καὶ τοιαῦτα προστάττων οὐ παύσεται. εἰ μὲν οὖν μιμήσονταί σου τὸ θράσος, ὅσοι τῶν ἄλλων πατέρες, πολλὰς διὰ σὲ παρθένους ἡ πόλις ἡμῖν ἀποβάλλῃ·[31] εἰ δὲ μηδείς σοι γένηται μιμητὴς, ὅρα σοι τὸ τῆς πράξεως ἄτοπον ἐκ τοῦ μηδένα βούλεσθαι ταύτην ζηλῶσαι. ἐγὼ δέ σου τὰ ῥήματα μεταστρέψας, φημί· εἰ μὲν οἱ μὲν τῶν ἄλλων παρθένων μιμήσονταί με γονεῖς, πολλοὺς εὐεργέτας ἡ πόλις ἕξει δι' ἐμὲ, τέκνων αὐτὴν ποιουμένους τιμωτέραν. εἰ δὲ μηδεὶς οὕτω φανείη φιλόπολις, ὅρα τῆς ἀρετῆς τὴν ὑπερβολὴν, ἐκ τοῦ μηδένα δύνασθαι ταύτην ζηλῶσαι. ὅλως δὲ τὸ συμβὰν ἐρᾷν ἀποτρέπει τὸν τύραννον κόρης ἑτέρας παρ' ἡμῖν τρεφομένης, τεκμαιρόμενον τοῖς ἐμοὶ πεπραγμένοις, ὡς κατὰ ζῆλον ἡμέτερον ἀνέξεταί τις τὴν παῖδα μᾶλλον ἀποβαλεῖν, ἢ δυνάστῃ πρὸς γάμον ἐκδοῦναι. εἰ τοίνυν, ὃ βούλεται, ἕκαστος τοῦτο καὶ οἴεται, ὅπερ οὐκ οἴεταί τις, οὐδὲ βουλήσεται. οὐκοῦν εἰκὸς ἐκεῖνον εἰς ἐπιθυμίαν ἐλθεῖν, ἣν οὐ προβαίνειν ἐλπίζει, κἂν ἔρωτι περιπέσοι, προστάττειν ὀκνήσει τοῖς ἐκείνου διακονεῖν ἐπιτάγμασι. κἂν διαμάρτοι προστάξας, οὐ πάλιν ἐπιστρατεύσει, λογιζόμενος, ὥσπερ ἐστὶν, ὡς οὐκέτι τὴν πόλιν ἀφύλακτον οὖσαν εὑρήσει. τὸ γὰρ ἐγχείρημά μοι παρασκευῆς τε καὶ φυλακῆς ἡμῖν γέγονεν αἴτιον, ἵνα μὴ πάλιν ἀνδρὸς δεηθῶμεν, τὴν οἰκείαν[32] ἀναιροῦντος γονήν. βούλει τῆς ἐμῆς εὐεργεσίας κατανοῆσαι τὸ μέγεθος; ἀπόκριναί μοι βραχέα πυνθανομένῳ. οὐκ οἴει τὸν ἡγεμόνα τῶν πολεμίων ἐμμανῶς ἐρῶντα τῆς κόρης, ἡνίκα τῆς δεῦρο στρατηγίας ἱκανῶς εἶχεν αὐτῷ, προσαλεσάμενον τὰ τέλη τῶν ἀρχομένων μάλα σπουδαίως αὐτοῖς ἐπιτρέψαι, καὶ διὰ τούτων ἅπασι τοῖς λοιποῖς τὴν μὲν πόλιν καταδουλῶσαι, τὴν δὲ παρ-

[31] ἀποβάλλει B.
[32] οἰκίαν B.

παρθένον αὐτῷ διασώσαντας ἄγειν, μὴ στρατιωτικῶς ἕλκοντας καὶ τραχέως, χειρὶ δ' ἀλύπῳ, καὶ ἡμέρῳ φωνῇ καὶ βλέμματι πρᾴῳ; οὐκ οἴει ταῦτα προστάξαι τὸν ἄγαν ἐρῶντα, καὶ προσέτι κελεῦσαι τοῖς ὑπηκόοις, μὴ τοὺς τῆς ἐρωμένης δεσποίνης γονέας ἐργάσασθαί τι δεινὸν, κατανεύειν ἀνάγκη τοῖς εἰρημένοις. ἐξὸν οὖν ἄρα μοι κηδεστὴν ὀνομάζεσθαι βασιλέως καὶ πλουτεῖν καὶ δορυφορεῖσθαι, καὶ πολλοῖς ἐπιτάττειν, καὶ τὴν παῖδα τρυφῶσαν ὁρᾷν ἐσθημάτων ἁβρότητι καὶ χρυσίων πολυτελείᾳ, καὶ πολλαῖς θεραπαίναις, οὐ τιμὰς, οὐ δυναστείαν, οὐ πλοῦτον, οὐ θυγατρὸς σωτηρίαν, οὐ τὸ δοκεῖν ἄστοργος εἶναι πατὴρ, οὐδὲν ἡγησάμην ἄξιον εἶναι τοῦ πατρίδος ὑπεριδεῖν. ἔστω ταῦτα, φησὶν, οὐδὲν ἀντιλέγω, ἀπῄτει τῆς κόρης τὸν φόνον ὁ κίνδυνος. ἐχρῆν οὖν ἑτέρῳ τὴν σφαγὴν ἐπιτρέψαι, καὶ τὴν χεῖρα γοῦν καθαρὰν μύσους ἔχειν τοσούτου. ἐβουλήθην μᾶλλον φοβῆσαι καὶ καταπλῆξαι τὸν τύραννον, καὶ δεῖξαι τοῖς ἔργοις, ὡς ὑπὲρ ἐλευθερίας οὐδὲ σφάττειν αὐτοχειρὶ παρ' ἡμῖν ἀποκνοῦσι τέκνα πατέρες, οὐ γὰρ ἂν ἔλαθον πατὴρ ὑπάρχων τῆς κόρης, καὶ χρηστοὶ γὰρ ἐκεῖνοι πολῖται, δι' ὧν τὸ σπέρμα προῆλθεν ἡμῖν τῶν κακῶν, οἱ τὴν παρθένον αὐτῷ προξενήσαντες, συνῆσαν τοῖς πολεμίοις, ὑποδείξοντες τὰ σαθρὰ τῶν ἡμετέρων χωρίων, ὅσον τε τοῦ τείχους ἐστὶν ἐπίμαχον. ἔτι δὲ ταῦτά μοι πρὸς ὑμᾶς, ὦ ἄνδρες, καὶ τοὺς περιεστηκότας ἔξωθεν, καὶ τῶν λεγομένων ἀκροωμένους. ἐπεὶ πρός γε τοῦτον αὐτὸν ἐξήρκει τοσοῦτον εἰπεῖν, ὡς εἴτ' αὐτὸς τὸ πραχθὲν εἰργασάμην, εἴτε τις ἕτερος, οὐδέν σοι τοῦτο πρὸς τὴν τοῦ παιδὸς διέφερε σωτηρίαν. ἀλλὰ μᾶλλον ἐχρῆν, ἐμοῦ πεποιηκότος τὸν φόνον, καρτερῆσαι τὸν νέον. ἦν γὰρ αὐτὸν ἐντεῦθεν λογίζεσθαι καὶ σκοπεῖν, ὡς ἀλογία πολλὴ, τὸν πατέρα μὲν ἀποκτεῖναι τὴν παῖδα, καὶ ζῆν, ταῖς αὐτοῦ χερσὶν ἐσφαγμένην, αὐτὸν δ' ἀφειδῶς ἔχειν τοῦ βίου. εἰ δὲ πικρότερον εἴποις ἐραστὴν ἀνιᾶσθαι πατρὸς, οὐ συμβαίνοντα μὲν φύσεως νόμοις ἐρεῖς. ἔδει δ' ὅμως τὸν νέον εἰς τὸν τύραννον βλέψαι, καὶ ζηλῶσαι καρτερίαν ἐραστοῦ, μείζους ἂν καὶ πλείονας

ἔχοντας

ἔχοντας τοῦ μὴ βούλεσθαι ζῆν ἀφορμάς. τὸ γὰρ μάτην ἀποστεῖλαι πρεσβείαν, δι' ἧς τύραννος ἐκολάκευσε δῆμον, καὶ τὸ πόλεμον διακενῆς ἀνατείνασθαι, καὶ τῆς παρασκευῆς ἡ δαπάνη, καὶ τὸ κατενεχθῆναι πρὸς ἔρωτα κόρης ἐλάττονας αὐτοῦ τὴν ἀξίαν, μὴ τυχεῖν δὲ τοῦ γάμου, καὶ τὸ διχόθεν παρὰ τοῖς ὑπηκόοις αἰσχύνην ὀφλῆσαι, τοῦτε πόθῳ περιπεσεῖν, τοῦ τε διαμαρτεῖν τῆς ὑπὲρ τούτου σπουδῆς, καὶ τὸ μεμνῆσθαι τῆς ἑορτῆς τὴν ἡμέραν, ὅτε παίζουσαν ἐν τῷ ἄλσει τὴν παρθένον ἰδὼν οὐκ ἀπῆλθεν ἁρπάσας. τοσαῦται τοίνυν εἰς ταυτὸν ἐλθοῦσαι προφάσεις, οὐ τοσοῦτον καθεῖλον τὸν τύραννον, ὅσον αὐτὸν ἀποσφάξαι. τοιοῦτον ὁ νεανίας ἔχων παράδειγμα καρτερίας, οὐ γέγονε μιμητής. ἤλγησε δὲ πλεῖον ἰδιώτης τυράννου, καίτοι τοὺς ἐν μεγίστοις ὑπάρχοντας ἀξιώμασι χαλεπώτερον φέρειν εἰκός· οἱ γὰρ πνέοντες μεγάλα, τὰς ὑπὸ τῶν ἐλαττόνων πικρῶς φέρουσιν ἀτιμίας. ὁ δ', οὔτε πρὸς τοῦτο ἰδών, οὔτε τῇ πόλει συγχαίρων βεβαίας ἀπολαυούσῃ δημοκρατίας, οὔτε τοῖς ἐχθροῖς ἐφηδόμενος ἀπράκτοις ἀναχωροῦσιν, οὐκ αἰσχυνθείς, οὐκ ἐλεήσας τὸν φύσαντα, οὐ λαβὼν κατὰ νοῦν, ὡς ἑαυτῷ μὲν δυσέκνιπτον ὄνειδος, σοὶ δὲ πένθος ἐπίσημον καταστήσει, οὐ τὸ πάντων μέγιστον λογισάμενος, ὡς αὐτὸς μὲν ἀναίτιος τοῦ φόνου τῆς ἐρωμένης, ὁ δὲ τύραννος τούτου γέγονε πρόφασις. ἔδει δὲ πλέον ἀλγῆσαι τὸν δεδωκότα τὴν ἀφορμήν. ταῦτα δὲ πάντα παρ' οὐδὲν ποιησάμενος, τὴν οἰκείαν ἐτόλμα σφαγήν, ἐπιδούσης αὐτῷ τῆς ἀκρασίας τὸ ξίφος. οὐ τοίνυν ὁ πόθος αἴτιός σου τῷ παιδὶ γέγονε φόνου. ἀλλ' ὡς ἀνὴρ ἀκρατὴς καὶ τὸ λεγόμενον ἥττων ἑαυτοῦ, πέπονθε τὸ συμβάν, ὡς ἔδει γε τοσοῦτον ἰσχύειν τὴν ἐκ τοῦ μὴ κατορθοῦν ἔρωτα λύπην. ἦ γὰρ ἂν ἀπηλλάγμεθα φοβεροῦ γειτονήματος. μεταξὺ δὲ λέγων διενοήθην, τί ἂν ὁ νεανίσκος ἐποίησεν, εἰ τὴν πόλιν ἑλών, ἔγημε τὴν κόρην ὁ τύραννος; εἰ γάρ, ἀποτυχόντος ἐκείνου, τῆς οἰκείας ὑπερεῖδε ψυχῆς, τί ἂν ἔδρασε πλέον κατωρθωκότος; ἀνδρὶ γὰρ ἐρῶντι, πάντων ἀνιαρώτερον ἀντεραστῆς εὐτυχῶν. οὐκοῦν ἀσελγείας μὲν τυραννι-

ραννικῆς τὴν παρθένον, τὸν δὲ νέον ζηλοτυπίας, τὴν δὲ πόλιν μεμηνότος[33] ἐρρυσάμην δεσπότου. ἴσως τοίνυν καὶ τοιαύτην ἐρεῖ τις ὑπόνοιαν, ὡς, ἣν τὴν[34] κόρην ἁπλῶς εἰλήφει πρὸς γάμον ὁ τύραννος, δι' ἧς ᾔτησε τοῦτο πρεσβείας, εὔνους ἂν ἡμῖν καὶ φίλος ὑπῆρχε, καὶ οὐδὲν ἂν ἔδει πολιορκίας καὶ φόνου. ἔστι μὲν οὐκ ἐμὸν ἔγκλημα τοῦτο, τοῦ δήμου δὲ μᾶλλον κατηγορία. ἔστω δ' οὖν καὶ πρὸς ἐμὲ τὴν μέμψιν ὁρᾶν. ἐπαινῶ γὰρ οὕτως ἐνεχθέντα τὸν δῆμον. ἵνα τοίνυν ὑπὲρ ἐμαυτοῦ καὶ ὑμῶν ἀπολογήσωμαι τὰ εἰκότα, φημὶ μὲν καὶ αὐτὴν τοῦ δυνάστου τὴν αἴτησιν ἐφ' ἑαυτῆς κρινομένην οὐκ ἀπεικότως ἡμῖν χαλεπήν τινα δεῖξαι· ὅ, τι γὰρ ἂν πράξειε δῆμος, τυράννῳ δόξαν ἐκείνῳ παρέχει, τοῦ φόβῳ πεποιηκέναι. οὐ μὴν οὕτω πικρῶς τὴν περὶ τῆς κόρης ἠνέγκαμεν αἴτησιν, ὅσον τὴν ἐκ ταύτης ἀθροιζομένην συνήθειαν μειζόνων ἐπιταγμάτων. ὃν γὰρ ἀλόγως ἡ τύχη βασιλέα χειροτονεῖ, κἂν εὔλογόν τι πράξας ἀνύσῃ τὴν χρείαν, οὐ τὸ τῆς αἰτήσεως εὔλογον, ἀλλὰ τῆς ἐξουσίας τὸν φόβον ἡγεῖται κατωρθωκέναι τὸ προσταχθὲν, τῆς τυραννίδος αὐτὸν οὕτω φρονεῖν ἀπαιτούσης. φοβερὸς γὰρ, οὐ δίκαιος, ἐθέλει δοκεῖν. ὥστε τῆς παρθένου τυχὼν, ἕτερον ἄν τι προσέταξε μεῖζον, καὶ πάλιν ἄλλο τι χεῖρον. ἡ δὲ πόλις καταμικρὸν ἐγυμνάζετο τὴν ὑπ' ἐκείνῳ δουλείαν. εἰ δὲ τὰ πρῶτα διακονεῖν ὑπομείνασα τὰ δεύτερα περιεῖδε, μᾶλλον ἂν ἐκεῖνον παρώξυνεν,[35] ἢ μηδὲν ἐξαρχῆς ὑπουργοῦσα. τὸ μὲν ὅλως μὴ πρᾶξαι τὸ κελευόμενον, ἐλευθέρων ἐστὶν ἀνθρώπων. ἅπαξ δὲ τὸν ἐκείνου ζυγὸν ἐνεγκόντας, εἶτα βούλεσθαι πάλιν ἀναισχυντῆσαι, δούλων ἐστὶν ἀντιτεινόντων δεσπότῃ. ἐκ τούτων ἁπάντων ἡμῖν τὸ ἐπίταγμα χαλεπὸν ἔδοξεν εἶναι· ἔτι δὲ μᾶλλον ὁ τύραννος βαρύτερον φανῆναι τοῦτο πεποίηκε, πόλεμον, εἰ τὸ προσταχθὲν ὑπερίδοιμεν, ἀπειλήσας. ἐννοίας ἡμῖν ἐντεῦθεν εἰσελθούσης, ὡς, εἰ μετρίαν ἡγεῖτο τὴν αἴτησιν, ἤλπιζε πείθειν, πείσειν δὲ προσδοκῶν, οὐκ ἂν ταύτης ᾤετο δεῖσθαι τῆς ἀπειλῆς. οὐ τοίνυν

33 μημηνότος B.
34 ὡς ἡ τὴν B.
35 παρέξυνεν B.

τοίνυν μόνον τὸν πόλεμον ἀπειλήσας τὸ τοῦ πράγματος ἄτοπον ἀπεκάλυψεν, ἀλλὰ καὶ πρὸς ὀργὴν ἡμᾶς ἀνεσόβησεν, ὡς ἀνάνδροις διαλεχθεὶς καὶ πόλεμον ἐκ πρεσβείας μηνυόμενος δεδοικόσι. τοιούτῳ φρονήματι καὶ θυμῷ τὴν πρεσβείαν ἄπρακτον ἀπεώσασθε, κατὰ νοῦν εἰληφότες, ὡς ἡ κόρη διάπειρα τῆς ἡμετέρας ἐκείνῳ γίνεται γνώμης, καὶ ἀγῶνα τοῦτον αὐτῷ κατασκευάζει πρὸς τὴν τῆς δημοκρατίας καθαίρεσιν. ἡγεῖτο γὰρ ὕβριν αὐτῷ καὶ κίνδυνον φέρειν πόλιν αὐτόνομον ἐφορμῶσαν τοῖς βασιλείοις καὶ τὴν αὐτοῦ καιροφυλακοῦσαν τύχην, κἂν ἐλάχιστον αὐτῷ πτῶμα συμβῇ, ῥαδίως αἰσθομένην. βραχεῖα δὲ πρόφασις καὶ μικρὸν ἐναντίωμα διαλύει τὰς ἄγαν εὐδαιμονίας, ὅταν ἐκ βιαστῶν πραγμάτων καὶ πλεονεξίας συστῇ. τοιαύταις ἐκεῖνος συνεχόμενος ἀγωνίαις, ἐπεχείρησεν, οἶμαι, πάροδον ἐπὶ τὴν πόλιν διὰ τῆς κόρης εὑρεῖν. οὐ μὴν ᾤχετο τῇ πρεσβείᾳ τὸν δῆμον λαβών. ἆρά τις καθ᾽ ἡμῶν ἔτι σοι περιλέλειπται[36] προσβολή, ἢ πάσας ἀπεκρουσάμην. ἔστι, φησίν, ἔστιν ἀντιλογία τις ἄμαχος. αὐθαδές γάρ τι καὶ τυραννικὸν διεπράξω, μὴ περιμείνας ἐκκλησίαν καὶ δῆμον ἐπιτρέποντά σοι τὸν φόνον. καὶ τί ἂν οἴει τὸν ἄρχοντα πολεμίων, ἐκκλησιαζόντων ἡμῶν, διαπράξασθαι; ἡσυχίαν ἄγειν, ἢ διακηρύξαι τοῖς ὑπηκόοις ἐκεχειρίαν; εἶναι γὰρ ἄτοπον, ἡμᾶς μὲν ἐκκλησιάζειν, αὐτοὺς δὲ πολιορκεῖν. δεῖ οὖν ἀποθέσθαι τὰ ὅπλα, καὶ μὴ ταράττειν ἀνθρώπους, ὑπὲρ σωτηρίας βουλευομένους; ταῦτ᾽ ἐκεῖνον οἴει ποιεῖν καὶ περιμένειν δημοτικὴν ἐκκλησίαν, τὸν ἐρῶντα, τὸν πολιορκοῦντα, τὸν τύραννον. πάνυ γε, εἰ τὸν παῖδα τὸν σὸν ᾔσθετο ἔχων ἀντεραστὴν, καὶ μὴν περὶ τοιοῦτον ἐνεδέχετό με καιρὸν τὴν ἀγορὰν περιτρέχοντα, συλλέγειν καθ᾽ ἕκαστον ἄνδρα τὸ πλῆθος. ἔπειτα θυραυλεῖν καὶ συγκαλεῖν οἴκοθεν, οὐ τὴν οἰκίαν[37] περινοστήσας, οὐκ ἰδὼν, καὶ τὰς θύρας ἐξαριθμεῖν, μή τινα που λάθω παραδραμών· σύ

τε

[36] περιείληπται B.
[37] τὴν ἀγορὰν B.

τε τῶν πολεμίων ἡμῖν ὑπῆρχες ἐγγυητής,[38] ὡς ἀνέξονται περιμένειν ῥητόρων φιλονεικίας καὶ δήμου θορύβους, ἔνθα πολλάκις βοᾷ μὲν ἕκαστος, ἀκούει δὲ τῶν λεγομένων οὐδείς. εἰ τοσοῦτο οἱ δυσμενεῖς ἀνεβάλλοντο χρόνον, περιττὸν ἂν ἐποιούμην ἀναμένων τοῦ δήμου τὴν γνώμην, ἤδη μοι καταφανῆ γενομένην. τῆς γὰρ ἔξω τροφῆς δηουμένης, τῆς δὲ ἔνδον ἐπιλειπούσης, ἑώρων μὲν, ὡς οὐκ ἔνεστιν ἕτερον τρόπον ἐλευθέρως σωθῆναι τὴν πόλιν, ἢ τῷ φόνῳ μου τῆς παιδός. ἀναδυόμενος δὲ καὶ φεύγων τὴν πρᾶξιν, περιῄειν πολυπραγμονῶν, ὅ, τι ποτὲ τοῖς ἄλλοις ἐδόκει. ᾐσθανόμην οὖν, ὡς ἀθύμως ἔχοντες καὶ δυσχερῶς οἱ πολλοὶ, κατὰ συστάσεις γινόμενοι διεμέμφοντό μοι μιᾶς ἕνεκεν θυγατρὸς, καὶ ταῦτα παίδων ἑτέρων ὄντων μοι, σειομένην ὑπερορῶντι τὴν πόλιν. οἱ μὲν ἄνδρες ἐν ταύταις με ταῖς διαβολαῖς περιέφερον, αἱ γυναῖκες δὲ μου τὴν σύνοικον. βαρύτατος δέ μοι τῶν λοιδορούντων ὁ τῶν ἀγροίκων ὅμιλος ἦν· ὅσοι δὲ τῶν πολεμίων τὴν ἔφοδον φθάσαντες ἐνταῦθα κατέφυγον, οὗτοι μάλιστά με τῶν ἄλλων ἀπέκναιον, δακτυλοδεικτοῦντες, ἐπιόντες, καταρώμενοι, γύναιον ἕκαστος καὶ παιδίον ἐφελκόμενος, ὄχλον καὶ τοὺς ἐντυγχάνοντας ἐρωτῶν, ὅτῳ θρέψειε τρόπῳ, τῶν ἀγρῶν δηωθέντων, ἑαυτοῦ τὴν σύνοικον, τὰ παιδία· αὐτὸν μὲν γὰρ ἴσως καὶ τὴν γυναῖκα δύνασθαι τῆς χρείας ἧττον ἐσθίειν, ἡλικίαν δὲ παίδων τοῦτο μὴ φέρειν, πυκνοτέρας τε φύσει δεομένων τροφῆς, καὶ τῆς ἐνδείας τὴν πρόφασιν μανθάνειν οὐ δυναμένων. παραπλήσια δὲ τοῖς ἀγροίκοις αἱ τούτων μοι γυναῖκες ὠνείδιζον. αἱ μὲν αἶγας, αἱ δ᾽ οἶς ἄγουσαί τε καὶ θέουσαι· τῇ μὲν ἐχόμεναι τῶν θρεμμάτων, τῇ δὲ τοὺς χιτωνίσκους ἄχρι γονάτων ἀνέλκουσαι· οὐκοῦν ἅπερ ἡμῖν ἐπιτρέψαι μόνον τὸν δῆμον ἐβούλου, ταῦτα καὶ δῆμος καὶ γύναια καὶ πλῆθος ἀγροίκων διεκελεύσατο. ταύτην ἐγὼ μείζονος ἐκκλησίας χειροτονίαν καλῶ, εἴπερ ἅπαντες οὗτοι πλείους τὸν ἀριθμὸν, ἢ δῆμος ἐκκλησιάζων. καὶ νὴ τοὺς θεοὺς, πολλὴν ὑμῖν εἶχον τῆς ἀθυμίας συγγνώμην, ὡς ἄσπονδον

38 ἐγγοητὴς B.

δον καὶ ἀκήρυκτον ταῖς πολιτείαις ἡ τυραννίς. τὸν δ' οὕτως ἔχοντα μίσους, εἰ παρειλήφει τὴν πόλιν, ὅπερ ἔπραξεν ἄν, μὴ τῆς παιδὸς ἐσφαγμένης, τί ἂν οἴεσθε δρᾶσαι, τρέποιτο μὲν εἰς ἐκεῖνον. ῥηθήσεται δὲ πρὸς ἀπόδειξιν τοῦ μεγάλων ὑμᾶς δι' ἐμοῦ κακῶν ἀπηλλάχθαι, εἶτα καὶ ἥδιστον ἄκουσμα δυστυχημάτων ἐλπὶς, εἰς ἔργον οὐ προελθοῦσα. τὰ βρέφη μὲν ἴσως οὐδὲ σφάττειν ἂν ἠξίουν οἱ δυσμενεῖς, ἀλλὰ τὰ μὲν τείχους[39] ἐκτὸς ἀποῤῥίψαι, τὰ δ' εἰς πῦρ ἐμβάλλειν, τὸ δὲ μάχιμον καὶ χεῖρας ἀνταράμενον ἀποσφάξαι, τὴν δὲ λοιπὴν τῆς νεότητος μοῖραν ἀνδραποδίσασθαι. τούτοις μὲν ἅπασιν οὕτως ἐχρῶντο· τὸ δὲ γῆρας, ὅσον εἰς διακονίαν ἀνόνητον ὁ χρόνος ἐποίησεν, παρέωραν, οὐ τὴν πολίαν ἐλεοῦντος, ἀλλ' ὅπως τοιούτων γένοιντο θεαταὶ συμφορῶν. παρθένων δὲ βίαν ὅτι μὴ πάντων προέταξα μέμφεσθαι, τοῦ πολέμου πρόφασιν ἐσχηκότος ἐρωτικήν. εἰ δὲ τῶν σωθέντων τινὲς ἐπεξῆλθον τῷ θορύβῳ λαθόντες, ἀλῆται καὶ πτωχοὶ περιῄεσαν. μόλις δὴ πείθοντες, οὓς ἂν αἰτήσωσι χορηγεῖν, ὡς ἦν ποτὲ[40] καὶ αὐτοῖς εὐδαίμων ὁ βίος. αὕτη πόλεως ἁλισκομένης εἰκών. πάντες ὑμεῖς ἐλεύθεροι δι' ἐμὲ, ἐξετάσαντες τοίνυν, ἀνθ' οἵων ἡμῖν οἷα γεγένηται, καὶ παραθέντες τυράννῳ δημοκρατίαν, ἀνομίᾳ τε νόμους, πλούτῳ ἔνδειαν, φόβῳ ῥᾳστώνην, ἐλευθερίαν δουλείᾳ, δόξαν αἰσχύνῃ, σωφροσύνην ἀκολασίᾳ, πόλιν ἀνάστατον ἀδεῶς οἰκουμένῃ. ταῦτα παραβάλλοντες ἀλλήλοις ἕκαστος αὐτὸς αὐτοῦ πυνθανέσθω, εἰ τιμωρήσασθαι δεῖ τὸν τοιαύτας ἀπωσάμενον συμφορὰς, ἃς ἐννοήσασα μᾶλλον ἡ παῖς, καὶ μάλιστα τῶν παρθένων τὴν βίαν. ἐπειδὴ τὴν τεκοῦσαν εἶδεν ὀδυρομένην, ὅτε πρὸς σφαγὴν οἴκοθεν ἤγετο, παρακαθημένη τε καὶ θωπεύουσα, μῆτερ, ἔφη, σὺ μὲν ὑπὸ τῶν ὀδυρμῶν συσχεθεῖσα τὸ δέον ἔοικας ἀγνοεῖν, ὁ δὲ πατὴρ οὐδὲν μὲν ἧττον, ἢ σὺ, στέργει τὴν παῖδα, γυναικὸς δὲ κουφότερον ἀνὴρ ἀθυμεῖ. εἴξωμεν οὖν εἰ δοκεῖ,

παραι-

[39] τάχους B.
[40] πωπὲ B.

παραινοῦντι, πάντως ἄμεινον ἀμφοτέρων βούλεται, καὶ ἀνὴρ πεφυκὼς, καὶ τὴν διάνοιαν οὐ σφόδρα τῇ λύπῃ δουλώσας. ὅρα δ', ὅσα πειθομένη κερδαίνεις. τὸ πειθαρχεῖν εἰδέναι τῷ συνοικοῦντι, τὸ πατρίδα ῥύσασθαι δι' ἐμὲ κινδυνεύουσαν, τὸ θυγατέρα μὴ συνάψαι δυνάστῃ, φθόνον καὶ μῖσος ἀδιάλλακτον ἔχοντι πρὸς ἅπασαν πολιτείαν μὲν ἔννομον, μάλιστα δὲ τὴν αὐτῷ γειτνιῶσαν. μήποτ' οὖν ἐγὼ κληθείην ἀνδρὸς γυνὴ, κηδεσταὶ δὲ καὶ ἡμεῖς, εἰ δὲ καὶ τέκω, προϊόντος τοῦ χρόνου, μήτηρ μὲν ἐγὼ δηλαδὴ, πάππος δ' οὑτοσὶ, τηθὴ δὲ σὺ κληθήσῃ τυράννου γονῆς, ὥστε τὰ ἥδιστα τῶν ὀνομάτων ἡμῖν αἴσχιστα γένηται. εἶτα τῇ πόλει τρέφομεν ἕτερον τύραννον, καὶ δουλείαν ἀθάνατον αὐτῇ μηχανώμεθα, κληρονόμους χορηγοῦντες τῇ μοναρχίᾳ, παιδὸς ἀεὶ διαδεχομένου πατέρα. εἰ δὲ ταχέως ἐμοῦ λήψοιτο κόρον, καὶ μεστὸς ὑβρίζων με γένοιτο. καὶ τῶν βασιλείων ἐκβάλλοι, ἀποκρίνας ἑτέραν, οἷα ποιεῖν εἰώθασι τύραννοι, τοῦτο μὲν παθεῖν ἂν μᾶλλον ἑλοίμην,[41] ἢ παῖδας ἀνδρὶ δυνάστῃ τεκεῖν, οὐδὲ τοῦτο γυναικὶ φορητόν. τούτοις, ὦ μῆτερ, τοῖς λογισμοῖς δεῖ καρτερεῖν. τὸ δὲ μέγιστον, πατρὶς ὑμῖν οὐκ ἔστιν ἑτέρα ταύτης ἀλούσης. παῖδες δ' ὑμῖν ὑπάρχουσιν ἕτεροι, τελευτώσης ἐμοῦ. ταῦτα καὶ τὰ παραπλήσια τούτοις εἰποῦσα, ἡ μὲν ἠρέμα τ' ὑπεδάκρυε, καὶ μετεστρέφετο τὴν μητέρα πειρωμένη λαθεῖν, ἡ δὲ μέγα καὶ δεινὸν ἀντεβόησεν, οὐκ ἀντιλέγουσα τοῖς εἰρημένοις, ἐξ αὐτοῦ δὲ τοῦ μηδὲν ἔχειν ἀντειπεῖν, πλέον ὀδυνωμένη[42] συνετῆς οὕτως ἀποστερεῖσθαι παιδὸς μικρὸν ὕστερον μέλλουσα. τοιαύτης μοι γέγονε θυγατρὸς ἡ πόλις τιμιωτέρα, καὶ τοὺς ἐπελθόντας ἐχθροὺς ἀπεωσάμην τοῖς ἐμοῖς ἀτυχήμασι. μηδεὶς οὖν τῇ κατ' ἐμοῦ ψήφῳ παραμυθείσθω τὸν τύραννον, ὡς εἰ πύθοιτο, τὴν ἐσχάτην ἐμὲ παρ' ὑμῖν ὑποσχεῖν τιμωρίαν (λάλος δὲ κατὰ φύσιν ἡ φήμη, εἶτα καὶ γείτων καὶ πολυπραγμονῶν τὰ τοῖς ἡμετέροις) εἰ τοίνυν αἴσθοιτο τὰς ἐλάττους εἰληφέναι ψήφους, οὐ μικρὰν ἕξει παρα-

[41] ἑλλοίμην B.
[42] ὀδυνομένη B.

παραμυθίαν τῆς, ἐφ' οἷς ἀπέτυχε, λύπης, τοῦ κτείναντος αὐτῷ τὴν ἐρωμένην κατεγνωσμένου. ἐκεῖνον μὲν οὕτως ψυχαγωγήσετε, τῇ μητρὶ δὲ τῆς κόρης ἕτερα προσθήσετε[43] δάκρυα, μᾶλλον δὲ καὶ τὴν τοῦ πένθους ἀφαιρεῖσθε παραψυχὴν, τῷ δοκεῖν ὑπὲρ τῆς πόλεως ἀνῃρῆσθαι. ὑμᾶς μὲν οὖν, ὦ παρόντες, τοιούτοις ἐπισπῶμαι πρὸς ἔλεον δικαιώμασιν, οὐ τὴν τελευτὴν δυσχεραίνων, οὐχ οὕτω φιλοψύχως ἔχω, ἀλλὰ τὸ δοκεῖν[44] πεποιηκέναι φόνον ἀδίκως, καὶ τοῦτον οἰκείας παιδός. τοῖς δὲ θεοῖς καταβαίνων ἤδη προσεύχομαι, εὐτυχεστέραν μὲν τῆς ἀπελθούσης εἶναί μοι γονὴν[45] ἐπινεῦσαι, τὰ δ' ἄλλα τοιαύτην· καὶ τύραννον μάλιστα μὲν εἰς εὐκοσμίαν καὶ σωφροσύνην μετενεγκεῖν· εἰ δ' ἀνιάτως ἔχει πρὸς τὰς τῶν ὑπηκόων παρθένους, τὴν ἐκείνου τρέψαι μανίαν.

43 προσθήσεται B.
44 δόξαι B.
45 γόνην B.

ΑΙΒΑ-

Νόμος ἦν μετὰ τοῦ τυράννου καὶ τοὺς παῖδας ἀποσφάττεσθαι· ἕτερος νόμος, τὸν τυραννοκτόνον ὅτι βούλοιτο αἰτεῖν. γυνὴ τὸν ἑαυτῆς ἄνδρα τυραννοῦντα ἀποσφάξασα εἰς δωρεὰν αἰτεῖ τοὺς παῖδας. μελετῶμεν τὸν ὑπὲρ τῆς τυραννοκτόνου λέγοντα. ἡ στάσις αὐτονομία.

ΠΡΟΘΕΩΡΙΑ.

Καὶ ἡ γυνὴ φιλόπολις, καὶ ὁ δῆμος φιλελεύθερος. ἡ μὲν ἄρτι τοὺς νόμους ἀπέδωκεν. ὁ δ᾽ ὑπὸ νόμοις αὖθις ποιεῖται τὰ πράγματα. μάχονται δὲ ἄρα, ὥσπερ καὶ γνῶμαι γνώμαις καὶ ψηφίσματα ψηφίσμασιν, οὕτω καὶ νόμοι νόμοις. κατὰ περίστασιν μέντοι καὶ οὐ φύσει τοῖς ἀληθῶς νόμοις τὸ μάχιμον. ἅτερος δὲ τῶν στασιαζόντων, τὸν ἕτερον προβαλεῖται τῶν νόμων. τὸ ἀγώνισμα καὶ ἀμφοῖν ὑπὲρ τῆς πόλεως· τῷ μὲν ἵνα δευτέρας τυραννίδος ἐλπὶς ἐκκεκόψεται, τῷ δ᾽ ὑπὲρ τῆς τυραννοκτόνου λέγοντι καὶ τῶν ἐκείνης παίδων ἵν᾽ ἡ τυραννοκτόνος οὐ παντελῶς ἄμισθον ἔχῃ τὸ τρόπαιον. ἔοικε δὲ τὸ ζήτημα τοῦτο τῷ προειλημμένῳ. οἱ γὰρ δικασταὶ πρὸς τῆς ἐξαιτουμένης τοὺς παῖδας τὴν πολιτείαν ἀπέλαβον· ἐφ᾽ ᾧ καὶ δυσχερῶς ἄν τισι μὴ τὰ φίλτατα ἀποδοῦναι αὐτῇ ψηφίσματα δόξαιεν. ἀλλ᾽ οὗτοι καὶ τὸ τοῦ τυράννου τοῦ πατρὸς μῖσος ἀντιταλαντευέτωσαν· καὶ παρευθὺ τὸ προειλημμένον τοῦ ζητήματος ἰσοστατοῦν ἐλεγχθήσεται. δύο γὰρ οὗτοι καὶ δύο πάθη ἀντικείμενα. πατὴρ καὶ μήτηρ. τυραννοκτόνος καὶ τύραννος. ὀργή τε καὶ ἔλεος, καὶ νόμοι ἐπίσης· καὶ ἄμφω δημοτικὸς καὶ πολίταις μισοτυράννοις ἀνυσιμώτατοι. ἐπὶ μὲν γὰρ τοῦ προειλημμένου ἐκείνου ὅπερ ὁ τεχνικὸς ἡμῖν παραδίδωσιν ἡ τῆς μοι-

χείας ὕβρις. ἡ δίκησις ἦν πρὸς τὸν ἄνδρα. κοινὸν δὲ τὸ ἀπὸ τῆς τυραννοκτονίας ὄφελος. καὶ τὸ πλέον εἶχεν ἐκεῖσε, ὡς ἀπὸ κοινωφελεστέρας τῆς ἀριστείας ἡ τὴν ἄνοδον ὑποδείξασα. ὥστε δὲ καὶ τὸ λαβεῖν τοὺς παῖδας καὶ τὸ μὴ λαβεῖν ἢ ἄμφω κοινά, καὶ τὸ ἀπὸ τούτων ἀποβησόμενον ὁποῖόν ποτ' ἂν ᾖ, ἐς ὅλον οἶμαι τὸν δῆμον ἐνσκήψεται. εἰ μὲν οὖν ἐφεῖτο γυναῖκα ἐπὶ βήματος λέγειν, οἶκτος ἂν ἦν τὸ πᾶν τοῦ λόγου καὶ δάκρυα. νῦν δ' ἐπειδὴ ἄλλος ἐν ταὐτοῖς κατέχει τὸ βῆμα, ἐν οἷς μὲν τὰ τῆς μητρὸς παθαίνεται, τὸ πάθος ἐνδείξεται. ἐν οἷς δὲ ἄλλως ἀγωνίζεται, δριμύζεται τὰ ἀγώνια. ἕξει δέ τινα καὶ μετρίαν τοῦ τυράννου καταφορὰν ὁ λόγος, καὶ τοσοῦτον, ὁπόσον αὐτῷ χρησιμεύσει πρὸς τὸ τῆς γυναικὸς ἀποσεμνῦναι τὴν τόλμαν μετὰ πολλῆς ὅτι τῆς ἐκπλήξεως καὶ τοῦ θαύματος. εἴτε γὰρ οὐκ ἀγανακτεῖν σκήψεται κατὰ τοῦ τυράννου, ὕποπτος ἔσται καὶ τῇ πόλει διαβληθήσεται, ὡς ὑπὲρ τοῦ τυράννου μὴ καὶ κατὰ τῶν ἐκείνου παίδων δοκοίη ἄντικρυς παροξύνειν τὸν δῆμον οὗπερ τοὐναντίον ἅπαν προὔθετο. τὸ δὲ κατὰ τῆς τυραννίδος πάντα ἐκτραγῳδεῖν περιττόν· ἔγνωσται γὰρ οὐχ ἧττον τοῦ λέγοντος τοῖς ἀκούουσιν ἄλλως τε καὶ λυπήσει μᾶλλον τὸν δῆμον, ἥπερ ἐφέλκεται. Ἔδει μὲν ὦ Τρῶες τὴν οὕτω διὰ τοὺς νόμους προδεδωκυῖαν τὰ φίλτατα, καὶ διπλῆν ἀριστείαν ὑπὲρ τῆς πόλεως ἀνῃρημένην, οἷς τε τὸ θῆλυ τοῦ γένους ὑπὲρ τῶν νόμων ἀπήλεγξε, καὶ μετὰ τυραννοῦντος ἀνδρὸς καὶ μείζω τύραννον ἄλλον τὴν φύσιν ἐτρέψατο, μήτε νῦν ἐπὶ βῆμα καὶ δικαστὰς ἄγεσθαι, μήθ' ὑπὸ νόμοις πεσεῖν κινδυνεύειν τὰ ἔσχατα, οὓς αὐτὴ πεπτωκότας ἤδη, ταῖς ἑαυτῆς χερσὶν ἀνεσώσατο. ἀλλ' οἷς τὸ λέγειν ἡμῖν ἐπ' ἐκκλησίας ἀπέδωκε, τούτοις πρὸ τῶν ἄλλων αὐτὴν τῆς δημοκρατίας ἀπόνασθαι. ἐπεὶ δ' οὐκ οἶδ' ὅπως, ἡ μὲν, ἐπὶ καλῷ ἔτι ἐλεύθερον ἔχετε καὶ τῶν νῦν μὲν πολλὰ ληρούντων τούτων, τοπροτοῦδε κατεπτηχότων ἀκούειν ἀνέχεσθε, ὀλίγα δὲ φροντίζετε τῆς ἀριστέως καὶ τυραννοκτόνου καὶ τἄλλα ὁπόσα τῶν ὀνομάτων βελτίω, αὐτὸς ἐγὼ νῦν ἔγνων δεῖν ἐπὶ τὸ βῆμα παριέναι, καὶ

τῆς

τῆς γενναίας ἐκείνης χειρὸς γλῶτταν σύμμαχον ἐπ' ἐκκλησίας ἀντιδοῦναι, καὶ ταύτῃ πρώτῃ τῆς δημηγορίας ἀποχαρίσασθαι παρ' ἧς τὸ δημηγορεῖν ἐπανῆλθε τῇ πόλει. εἰ μὲν οὖν ἑώρων τὸ τοὺς εὖ δράσαντας μὴ καλῶς ἀντιδρᾶν πρὸς εὐδοξίαν μέλλον ἡμῖν ἀποτελευτῆσαι, τάχ' ἂν πρὸς τοῖς ἄλλοις ἐγιγνόμην κἀγώ. καὶ ταχέως ἄν τις εἶδεν ἐμὲ τὸν νῦν ὑπερμαχοῦντα, τότε τοὐναντίον ἅπαν, ἀπομαχόμενον πρὸς τὴν δωρεάν. νῦν δ' οὐ γὰρ οἶδα πᾶς ἄν τις τῶν ἁπάντων δίκαιον τοῦτο νομίσειε, μὴ καὶ μᾶλλον πρὸς ἀδοξίαν οὐ τὴν τυχοῦσαν περιϊστάμενον, ἥκω, τήν τε πόλιν καὶ ὑμᾶς τηλικαύτης δυσφημίας ἀπαλλάξαι σπουδάζων, καὶ τῇ γενναίᾳ ταύτῃ τὰς ἀμοιβὰς ἐν οὕτως ἀναγκαίοις ἀποδώσων καιροῖς, καὶ ὑμᾶς τοῦ ταὐτὸ πείσειν τὰ δυνατὰ πειρασόμενος· δεῖ γὰρ ὡς ἐπὶ τοιούτοις οἶμαι κἀμὲ τὴν εὐεργεσίαν ὁμολογεῖν· κοινὴν οὕτω καταβληθεῖσαν καὶ πάνδημον. καὶ ὑμᾶς τοὺς εὖ παθόντας, οὐκ ἀποκνεῖν τὴν προσήκουσαν ἀντικαταβαλέσθαι χάριν, ὡς νῦν τῷ μὲν δοκεῖν ἐγὼ τῇ γυναικὶ τοὺς παῖδας εἰς δωρεὰν ἐξαιτοῦμαι καὶ γράφω τοῦτο τὸ ψήφισμα. καὶ γίνομαι δημηγόρος οὐκ ἀγεννής, παρ' ἧς καὶ τὸ γράφειν καὶ τὸ λέγειν ἡ ξύμπασα πόλις ἔχομεν. τὸ δ' ἀληθὲς ἢν ὑμεῖς ἀκριβέστερον ἐπισκοπεῖν ἐθελήσητε, γνοίητ' ἂν ὡς αὐτὸς ὁ νόμος ἐκ τοτε μετὰ τοῦ δικαίου τοῦτο ψηφίζεται, ἐξότου περ ἡ μὲν, τὸ ξίφος κατήνεγκεν, ὁ δὲ τύραννος ἔπιπτεν, ἡ δὲ πόλις μετὰ καὶ τῶν νόμων ἀνώρθωται. οἶδα μὲν οὖν τοὺς πολλοὺς ἀγανακτοῦντας καὶ μέγα τι ποιουμένους δεινὸν εἰ τυράννου πεπτωκότος πατρὸς, οἱ παῖδες ἔτι γοῦν περισώζοιντο. ἐγὼ δὲ τούτων μὲν ἀλγούντων, οὐχὶ θαυμάζω. τὸ γὰρ ἐπὶ μεγίστοις τοὺς τεκόντας μισεῖν, καὶ μέχρι τῶν παίδων τὴν ἀπέχθειαν παρετείνειν. τοῦτο δὲ καὶ πάλαι τοῦ κατηγόρου ξυμβαλεῖν οὐκ ἔχω, εἰ τῶν μὲν τοῦ πατρὸς κακῶν εἰσέτι που μέμνηται. καὶ δεῖν ἐπὶ τούτοις καὶ τοὺς παῖδας εὐθύνειν ἀπισχυρίζεται, τῶν δὲ τῆς τεκούσης καλῶν καὶ ὅπως ἐκείνη τὴν πόλιν ὑπὸ τυράννῳ κειμένην ἀνώρθωσε, ταῦτα δὲ, οὐδ' εἰς νοῦν τὸ παράπαν ὁ βέλτιστος οὗτος βάλλεται. καίτοιγε ποῦ δίκαιον; ὑπὲρ μὲν τῶν τοῦ πατρὸς

δεινῶν

δεινῶν καὶ τοὺς παῖδας μισεῖν ὡς ἀποκτινύναι, τῶν δὲ τῆς μητρὸς ἀγαθῶν ἕνεκα, μὴ τοὺς αὐτοὺς περισώζειν ὡς οἷόν τε. εἰ μὲν οὖν ὁ κἀγὼ τῆς αὐτῆς πόλεως ἦν, οὐδ' ὑπὸ τοῖς αὐτοῖς ἀρχῆθεν ἐτρεφόμην νόμοις, καὶ τῆς αὐτῆς μετεῖχον πολιτείας, ἧσπερ καὶ τούτων ἕκαστος, ἢ καὶ τῆς αὐτῆς ὢν, μόνος αὐτὸς τῶν ἐκ τῆς τυραννίδος οὐ μετελάμβανον. ἀλλ' ἦν τὰ πρῶτα τῆς τοῦ τυραννοῦντος ἑταιρείας, ἢ καὶ ἄλλως τῆς περὶ ἐκεῖνον δορυφορίας ἐνεπλήρουν τὸν κύκλον, εἰκότως ἄν τις ὑπὲρ τοῦ πεπτωκότος, ἀλλ' οὐ τῆς γε μητρὸς ταυτησὶ, τὴν πᾶσαν εἶναί μοι σπουδὴν ἐνόμισε· νῦν δὲ ἐπεὶ καὶ τότε περιόντος ἐκείνου, καὶ τυραννοῦντος ἠχθόμην καὶ πεπτωκότος. τὴν μὲν ἀπεκτονυῖαν, οὐ μικρὰ τοῦ γενναίου τοῦτο λῆμμα ἄγαμαι, τῷ δ' ἐφυβρίζειν καὶ κειμένῳ πρὸς τοῦ μίσους ἐξάγομαι, δέδοικα μὴ ἐγὼ μὲν ὑπὲρ τῆς τὴν τυραννίδα καθελούσης ταῦτα καὶ λέγω καὶ γράφω. τὰ δὲ τοῦ κατηγόρου ἀλλὰ μὴ βαρέως φέρῃ πεπτωκότος ὑπὸ γυναικί. τοῦ τυράννου καὶ διὰ ταῦτα λιπεῖν ἐθέλῃ τὴν τυραννοκτόνον, καὶ τῶν παίδων προσαποστερῶν. βούλομαι δ' ὑμᾶς, ὦ ἄνδρες, ἀναμνῆσαι μικρὸν, ἐν οἵοις τε καὶ ὅσοις ἡ πόλις ἦν τοῖς κακοῖς, ἐπεὶ καὶ τοῦτο τῷ κατηγόρῳ δοκοῦν, καὶ μετὰ τὴν τῶν ἔργων τυραννίδα λόγοις οὐχ ἥκιστα καταβάλλεσθαι, καὶ ὅσην εὐδαιμονίαν ἡ τῆς παρούσης γυναικὸς τόλμα καὶ γενναιότης ἡμῖν ἀντιπεριέστησεν. ἢ τίς τῶν ἁπάντων οὐκ οἶδεν ὅπως ἦμεν ἐπ' εὐνομίᾳ τὰ πρῶτα καὶ νόμοις, καὶ οὐδὲν ἦν ὅτι μὴ καὶ πρὸς δημοκρατίαν ἐπολιτεύετο παρ' ἡμῖν. ἀλλ' εἶχε πάντα τὸν προσήκοντα κόσμον, ὁ δῆμος, ἡ βουλὴ, τὸ βῆμα, τὰ τῶν νομοφυλακούντων, τὰ τῶν στρατηγούντων, καὶ ὅσα τοῦ τῶν ὁπλιτῶν καταλόγου, καὶ ὅσα τοῦ τῶν ἱππέων κόσμου. καὶ τῶν ἄλλως ἐν ὅπλοις ἐχόντων. καὶ τὰς μὲν τῶν ἀστυγειτόνων πόλεων εἰς ὁμοθυμίαν συνῆγε τὸ δημοκρατικὸν τοῦτο σχῆμα τῆς πολιτείας, καὶ τὸ πάντα ὑπὸ νόμοις εἶναι παρ' ἡμῖν. τὰς δ' οὐ μετρίως ἐφόβει τὸ μηδὲν ὅτι καὶ τοσοῦν τῶν ἐν τῇ πόλει ξυνορᾷν. ἀλλ' ἐπὶ τούτοις ὄντων ἡμῶν, οὐκ οἶδ' ὁπόθεν εἰσέπεσεν ἡ θεοῖς ἐχθρὰ τυραννὶς, καὶ τις δαιμόνων ἐχθρῶν

δημοκρατία καὶ νόμοις ὀφθαλμὸν τῇ τε πόλει καὶ ἡμῖν ἐπέβαλε βάσκανον, καί τινα τούτων τῶν τὰ πάντα πλουσίων, νεωτέροις ἐπιτολμᾶν ἀνέπεισε πράγμασι, καὶ πρὸς τὸν τῆς κακοδαίμονος τυραννίδος ὑπεξέκαυσεν ἔρωτα. ὁ δὲ μηδὲν μελλήσας καὶ μηδὲ μικρόν τι τῆς μιαρᾶς ταυτησὶ βουλῆς ἐπισχών· πῶς γὰρ ἂν ἄνθρωπος οὕτως ὑπὸ τρυφῆς καὶ τῆς ἄλλης ἀπονοίας διεφθορώς, δεινὸν ἡγεῖται τῇ μὲν τύχῃ πλουτεῖν, τῷ δὲ βήματι μηδὲν τῶν πενομένων τούτων δὴ τῶν τοῦ δήμου πλέον αὐχεῖν· καὶ τῶν μὲν ἐκ τῆς τύχης ἀγαθῶν ἁπάντων κρατεῖν, τοῖς δὲ νόμοις μετὰ καὶ τῶν ἄλλων ὑποκύπτειν δημοκρατούμενος· τί γοῦν; ὁρᾷ τὸν πλοῦτον, λογίζεται τὸ πολὺ τῆς τόλμης, συλλογίζεται τὴν δαπάνην, καὶ παραυτίκα τοὺς πονηροτάτους τῶν πολιτῶν ὑποδύεται, καὶ ῥᾷον οὕτω τοὺς πολλοὺς ἐξαπατήσας· τοὺς μὲν, ὑποσχέσεσι κλέψας, τοὺς δὲ χρήμασι διαφθείρας, ἐπ' αὐτὴν ὥρμησε τὴν ἀκρόπολιν· καὶ τὰ μὲν ἀφύλακτα τοῦ χωρίου καταλαβὼν ἅτε δὴ τοῦ καιροῦ τὴν ἔφοδον καιροφυλακήσας, εἰ δέ τι που καὶ τοῦ στρατιωτικοῦ παραφυλαττόμενον ὑπολέλειπτο, τούτων δὲ, τοὺς μὲν, ὑπὸ τοῦ τῶν δορυφόρων πλήθους σὺν οὐδενὶ πόνῳ διωσάμενος, τοῖς δὲ καὶ νυκτὸς ἐξ ἀφανοῦς ἐπιθέμενος, τὴν ὅλην εὐθὺς εἶχεν ἀκρόπολιν· ἐντεῦθεν, φυλακὴν ἐφίστα τῷ σώματι καὶ δορυφόρους ἔτρεφε, τοὺς τὰ ἄτοπα ἐκείνῳ ὑπηρετήσοντας· ἐνταῦθα τί μὲν οὐκ ἀπῆν τῶν καλῶν; τί δὲ οὐ παρῆν τῶν κακῶν; ἀπὸ τῶν νόμων ἄρχεται τῆς ἐξουσίας ἡ μιαρὰ κεφαλή. τούτους γὰρ καὶ πρὸ τῶν ἄλλων ἐκείνῳ καταλῦσαι τὸ σπούδασμα, τούτων δὲ πεπτωκότων, συνεπεπτώκει καὶ τὰ τῆς δημοκρατίας. ὕβρεις δὲ παίδων, καὶ πολιτῶν ἁρπαγὰς, καὶ πολιτῶν ἀδίκους σφαγὰς, καὶ χρημάτων ἀφαιρέσεις, καὶ τῆς θρεψαμένης ἐκπτώσεις, καὶ τἄλλα, ὅσα μὲν ἐκεῖνος ἐτόλμα τυραννῶν. ἡμεῖς δ' ἐφέρομεν τυραννούμενοι, τί ἄν τις ἐκτραγῳδοίη, ὧν γὰρ ἡ πεῖρα προπολλοῦ ταῦτά μοι καὶ λέγειν περίεργον· ταῦτα δὲ πάντα καθ' ἡμῶν ὁ κακοδαίμων ἐκεῖνος κρύφα σκευωρούμενος διεπράττετο, οὐδὲν εἰδυίας οὐ μὰ δία τῆς γυναικός· οἷς γὰρ ὑπὲρ ἡμῶν παρεκινδύ-

νευσα-

νευσεν ὕστερον, ἔδειξε καὶ τότε ὁποία ἂν ἦν τὴν γνώμην, εἴπερ ᾔδει τὰ ἀπόρρητα. ὡς οὖν ὁ μὲν, ἀσελγῶς οὕτω τοῖς νόμοις ἐφύβριζε, τοῖς δὲ πάσχουσιν ἡμῖν οὐδ' αὐτὸ τὸ θρηνεῖν ἔξω κινδύνων ἐλείπετο, πολλοὺς πολλάκις αὕτη λόγους ὑπὲρ ἡμῶν ἐφθέγξατο, πολλὰς δημηγορίας ὑπὲρ τῆς ἐνεγκαμένης μετὰ καὶ δακρύων, τοῦ τυραννοῦντος κατέχεεν. ἀλλὰ τί μὴ πρὸς θεῶν οἱ πρὸς τοῖς λόγοις ἐκεῖσε τῷ δήμῳ τὴν τυραννοκτόνον βουλὴν ἐκείνην ἐξαγγέλλετε, ὅπως μὲν νῦν ἱκέτευε, νῦν δ' ὑπὲρ τῶν νόμων ἐφθέγγετο, τὸ ἀπὸ θεῶν προβαλλομένη μήνιμα, τὴν ἐξ ἀνθρώπων νέμεσιν, τὰ εἰς ᾅδου κολαστήρια, ἀχέροντας, πυριφλεγέθοντας, κωκυτοὺς, τἄλλα ὁπόσα καὶ θανόντες ὑποίσουσι τύραννοι· ὡς δὲ καὶ δεύτεροι καὶ τρίτοι κατεγελῶντο λόγοι, καὶ ἡ μὲν ἐπ' ἀνηνύτοις ἔλεγεν, ὁ δ' ἐπὶ κακῷ τοῦ δήμου τυραννῶν, οὐκ ἔληγε, κατὰ τοὺς ἀσκληπιαδῶν σοφωτέρους τῆς ἐπῳδῆς καταγνοῦσα καὶ τῶν φαρμάκων, ἐπὶ τοὺς καυτῆρας καὶ τὴν τομὴν ἐπιδεῖν ἔγνω, καὶ τέμνειν ἐπιχειρεῖ τὸ μέγα τραῦμα τὸν τύραννον, ἵνα μὴ καὶ τὸ πᾶν τοῦ τῆς πόλεως σώματος ξυνοιχήσεται. ἐνταῦθα μάχη τις ἦν φιλελευθερίου γνώμης καὶ φύσεως. ἡ μὲν τὴν χεῖρα ὡς κατὰ τυράννου ὥπλιζεν, ἡ δ' ὡς κατ' ἀνδρὸς ὁπλιζομένην, τῆς ὁρμῆς ὑπανέκοπτεν. ἐντεῦθεν εἷλκεν ἡ τόλμα, ἐκεῖθεν κατέκλα τὸ γένος· ἦρε τὸ ξίφος, αὖθις ἀπέρριπτεν, αὖθις ἀνείλετο, καὶ αὖθις τὸ ξίφος τῆς χειρὸς ἀπέρρευσε. καὶ πολλάκις ἑκάτερον, καὶ μετὰ δακρύων ἕκαστον ὡς οὖν ὀψέ ποτε ὅλη γέγονε τοῦ τῆς πόλεως καλοῦ καὶ συμφέρειν αὐτὴν μᾶλλον ἐπ' οἴκου στένειν, ἢ τὸν ὅλον δῆμον ἐς ἀγορὰς ἀλγεῖν ἔκρινε, καὶ τὸ τοῦ θυμοῦ δίκαιον τῆς φύσεως ὑπερίσχυσε, καὶ ἤδη ταῦτα ἐδέδοκτο. ὢ γενναίας γνώμης ἐκείνης, ὢ μισοτυράννου ψυχῆς, ὢ γνώμης φιλοπόλιδος καὶ πεπτωκότας ἐπανορθώσης τοὺς νόμους, ἐπὶ τὴν τελευταίαν τοῦ δήμου συμμαχίαν ἵεται. καὶ ἃ τοῖς λόγοις οὐκ ἴσχυσε πρότερον ταῦτα τῷ ξίφει κατορθώσειν ἐπίστευσε. καὶ ἡμῶν μὲν, οὐδεὶς τοῦτο τῶν μισούντων ἐτόλμησε, τῶν ὑβριζομένων, τῶν ἀδικουμένων, τῶν κακῶς παρ' ὅλην τὴν τυραννίδα παθόντων.

οὐ τῶν ἀριστέων, οὐ τῶν στρατηγῶν, οὐ τῶν ὁπλιτῶν. καὶ τί λέγω τοὺς ἄλλους; ἀλλ' οἵγε τῶν τῆς πόλεως οὗτοι φροντισαὶ φάσκοντες εἶναι νῦν ἐπὶ βήματος ῥέοντες, οἱ νῦν πολλὰ θρασυνόμενοι, ἔχεις τινὰ τούτων εἰπεῖν εἰς τοῦτο τόλμης ἐλθόντα ὁ γενναῖος καὶ νῦν τοὺς νόμους ἐξακριβούμενος; ἀλλ' οὐδὲ τούτων οὐδεὶς πρὸς τοσοῦτο τόλμης ἐλθεῖν ἐθάῤῥησεν· ἡ γενναία δὲ αὕτη, καὶ μόνον τὸ σῶμα γυνὴ, τὴν δὲ ψυχὴν ἀνδρώδης, τῷ ὄντι δὲ μᾶλλον καὶ τὴν χεῖρα καὶ τὴν ψυχὴν ἐλευθέριος, ἐγχειρίδιον ὑπὸ μάλης λαβοῦσα, καὶ τὸ δωμάτιον εἰσελθοῦσα, οὗπερ ἐτρύφα καθ' ἡμῶν ἐκεῖνος, καὶ τοὺς μὲν ὀφθαλμοὺς εἰς τὴν τοῦ τυράννου σφαγὴν μετὰ καὶ τῆς χειρὸς ἀποτείνουσα, τῇ δὲ γνώμῃ πρὸς ὑμᾶς ἀφορῶσα, τὸν δῆμον, καὶ τῇ πρὸς τὸν ἄνδρα στοργῇ, τὴν ὑπὲρ τῶν νόμων ἀντιθεῖσα σπουδὴν, παίει καιρίαν τὸν ὑφ' οὗ παιόμενος ὁ δῆμος ἠνείχετο· καὶ μιᾷ πληγῇ, τὸν μὲν εἰς τοὔδαφος μετὰ καὶ τῆς ὅλης τυραννίδος κατέβαλε, τοὺς δὲ νόμους πεπτωκότας, ἀνέστησε. καὶ τὸν πολλοὺς ἀνελόντα, μόνη μετὰ καὶ τοῦ ξίφους κατεστρατήγησε, καὶ δι' ἑνὸς φόνου, τὰ κάλλιστα τῶν πώποτε τροπαίων ἀνείλετο. καὶ μιᾷ χειρὶ τρεῖς καθεῖλε τυράννους· στοργὴν ἐξ αἵματος, ἀνανδρίαν ἐκ γένους, καὶ τὸ τελευταῖον μέγαν, φοβερὸν ὁπλίτην, ἄνδρα τύραννον· καὶ διὰ τοιαύτης παραδόξου σφαγῆς τὰ πάντα πᾶσιν ἀποδεδωκυῖα, μίαν αὐτὴ καὶ ταύτην χάριν αἰτεῖται δικαίαν. ὁποία τις αὕτη; οὐ πλέθρα γῆς, οὐκ ἀπὸ πρυτανείου σίτησιν, οὐκ ἄλλο τῶν πρὸς κέρδος οὐδέν· ἀλλ' ἣν ἂν φρονοῦντες θαυμάσαιεν ἄνθρωποι· κἂν ὑμεῖς ἀκούσητε, τὸν τῆς φύσεως οἶμαι θεσμὸν αἰδεσθήσεσθε. γονὴ παίδων αὐτῇ περίεστι. καὶ αὐτοὶ τὴν γλῶτταν ὑποψελλίζοντες, καὶ μήπω φθάσαντες τῆς τοῦ πατρὸς ὠμότητος γεύσασθαι, ἀλλ' ἔτι καὶ τοῦθ' ὅπερ ἐστὶ τυραννὶς οὐκ εἰδότες, οὐθ' ὡς ὁ τούτων πατὴρ τύραννος· τὸν οὖν τεκόντα, ὡς ἀδικοῦντα πρὸς δίκην καὶ καλῶς ἀποκτείνασα, τοὺς δὲ μήτ' αὐτὴν λελυπηκότας, μήτε τὴν πόλιν ἠδικηκότας, ἑαυτῇ μὲν περιποιεῖται παῖδας, ὑμῖν δὲ πολίτας· ἀλλ' ἐνταῦθά μοι προσεπιπηδῶσι τῷ λόγῳ καὶ τῆς γνώμης

μης

μης ἐκκρούουσιν, οἱ καὶ μέχρι παίδων τὴν τυραννίδα ποιεῖσθαι σκηπτόμενοι, καὶ τὸν τοῦτο λέγοντα νόμον, ὡς ἐπὶ τούτοις προβάλλονται. ἐγὼ δὲ οἶδα μὲν τὸ γράμμα, οἶδα δ' ἐφ' οἷς ἄρα καὶ γέγραπται ἀποκτιννύναι τοὺς τῶν τυράννων παῖδας, ὁ νόμος βούλεται μὲν, ἀλλ' ὁπόταν τὰ τῶν πατέρων μιμοῖντο, καὶ τὰ τυραννούντων κακουργεῖν ἐπιχειροῖεν, τούς τε νόμους μετασκευάζοντες, καὶ τοὺς τῆς πολιτείας θεσμοὺς διαγράφοντες, καὶ ὅλως ὅταν ἡ πόλις εἰς κακόν τι καὶ τούτων ἀπόναιτο, τότε καὶ παῖδες τύραννοι μετὰ πατρὸς τυραννοῦντος πιπτέτωσαν· οἷς γὰρ μετεῖχον τοῦ πονηρεύματος, εἰκότως καὶ τοῦ πεσεῖν συμμεθέξουσιν. εἰ μὲν οὖν ἔχεις τὶ καὶ τούτων εἰπεῖν, ὦ κατήγορε, ὡς ὁ ξύμπας δῆμος, ἢ καὶ τῶν καθέκαστά τις μόνος ὑφ' οὕτως ἀτελοῦς ἡλικίας τυχὸν περιύβρισαι, ἡκέτω μὲν ὁ παθὼν, καὶ δεικνύτω τὴν ὕβριν. ὁ δὲ δῆμος, οὐ φείσεται. εἰ δ' ὁ μὲν, ὁ τὰ τύραννα δράσας ἐκεῖνα καὶ πέπτωκεν, οἱ δ' οὐδὲν ὧν ἐκεῖνος ἐτυράννει σκαιωρούμενοι ᾔδεσαν, πῶς οὐκ ἂν ὦ πρὸς Διὸς μὴ καὶ γέλως δοκοίη τὸ ψήφισμα, τούτους ἀποκτείνειν, οἳ μηδένα τῶν πολιτῶν ἀπεκτόνασιν; εἰ γὰρ διττὸν τρόπον ὑπεύθυνοι γίνονται ἄνθρωποι, ἢ πρὸς πέρας τὸ κακὸν γενέσθαι φιλονεικήσαντες καὶ τοῖς ἔργοις τὸ τῆς γνώμης ἀπελέγξαντες ἄδικον, ἢ μήπω μὲν ἐγχειρήσαντες, δῆλοι δ' ἄλλως ὄντες εἰς τοῦτο γνώμης ἥξοντες, εἰ μὴ μετὰ τῆς ἐπιβουλῆς φθάσει καὶ τὸ σῶμα θᾶττον ἀποκόψας ὁ δῆμος, τούτων δὲ, τὸ μὲν οὐδεὶς ἔχει δεικνύναι, τὸ δ' αὐτὸς ὁ χρόνος οὐ μαρτυρεῖ, οὐκ οἶδα ἀντὶ τίνος οἱ παῖδες ἀδικεῖν δικαίως δόξαιεν, ἢ μόνοι τῶν ἁπάντων· μηδέν τι πονηρευσάμενοι, τὰ τῶν πονηρευσαμένων ὑποίσουσι· πρῶτα λέγε μοι τὸ πονήνευμα, καὶ τότε τὸν δῆμον ὅπλιζε. ἆρ' οὖν τινα τῶν πολιτῶν χρήμασιν ἐζημίωσαν, ἢ τοῦτο μὲν οὔ. φυγάδα δὲ τῆς πατρίδος ἐξήλασαν, ἢ καὶ τοῦτο μὲν τῆς κακουργίας οὐκ ἔχεις εἰπεῖν, ὀφρὺν δέ τινα κατὰ τῶν πολιτῶν ἀκόλαστον καὶ ὕβριν ἀσελγῆ καὶ παροινίαν ἐπεγκαλεῖς; ἀλλ' οὔτε τοῦτο, οὔτ' ἐκεῖνο παίδων οὔπω καθαρὰν τὴν γλῶτταν ὑποφαινόντων δύναιτ' ἂν τις οἴμαι κατα-

μαρτύρασθαι. ὅπου δὲ τὸ κακουργεῖν οὐχ εὑρίσκεται καὶ τὸ κολάζεσθαι πέφευγε, τοῦτο οἶδε μὲν ὁ νομοθέτης, οἶδε δὲ καὶ ἡ γενναία μήτηρ αὕτη τῶν παίδων· καὶ ἅτε μηδὲν τι τύραννον τετολμηκότων, ἡ μήτηρ μετὰ καὶ τῶν νόμων ἐφείσατο. καὶ νῦν οὐχ ὡς ἐκείνου τοῦ πεσόντος παῖδας, ἀλλ' ὡς αὐτῆς ἐξαιτεῖται τὸν δῆμον. ᾧ μηδὲν αἰτησαμένῳ, μηδὲ προτοῦ λιπαρήσαντι, αὐθαίρετος τὴν δημοκρατίαν ἀπεχαρίσατο. οἶμαι δ' ὅτι κἂν εἰ μὴ τοῖς νόμοις ἐδέδοκτο, ἀλλὰ τῷ γε δήμῳ πρὸς αἰσχύνης ἂν ἦν τὸ μὴ δοῦναι νόμον ἕνα τῇ πάντας ἀποδεδωκυίᾳ τοὺς νόμους. καὶ ταῦτα ὡς οὔ ποτ' ἄν τις οὐδ' ὄναρ ἤλπισεν ἀλλ' οὐδ' ἂν αὐτὴ τοὺς παῖδας ἁρπαζομένους ὁρῶσα ἔφερεν, ὁ δὲ δῆμος οὐκ ᾤκτειρεν, ἀλλ' ἐπέτρεπε τὴν σφαγὴν, οὐδ' οὕτως ἂν εἶχε καλῶς ὑμῖν, οἷς τὸ μηδὲν ἔξω δίκης πράττειν ἢ λέγειν ἡ πᾶσα σπουδὴ, ἄτεκνον ἐπιδεῖν ἀναχέσθαι, τὴν δι' ὑμᾶς ἀπεκτονυῖαν τὸν ἄνδρα, καὶ χηρείαν ἐξουσίας προτιμησαμένην παρανόμου, διὰ πολιτείαν ἔννομον, καὶ βῆμα ἐλεύθερον. ἐπεὶ δὲ νῦν τοῦτο καὶ τῷ νόμῳ δοκοῦν, καὶ ὁ νομοθέτης οὑτωσί πως ἀπὸ τοῦ γράμματος διαῤῥήδην βοᾷ ὡς αἰτείτω μὲν ὁ τυραννίδα καθελὼν ὅτι καὶ βούλοιτο. ἡ δὲ πόλις δεχέσθω τὴν αἴτησιν, ὁ δὲ δῆμος ἐπινευέτωσαν, ποῦ ἂν εἴη δίκαιον, ἃ μὴ χαρίζεσθαι πρὸς ὄνειδος ἂν ἦν τῇ πόλει, ταῦτα καὶ μετὰ τὸν νόμον ὀκνεῖν ἀποδοῦναι. οὐδένα τρόπον, οὐδεμίαν ὁδὸν εἰς ἀντίχαριν τοῖς τυραννοκτονοῦσιν ὁ νόμος ἀπέκλεισεν· ἀλλ' αὐτόνομον ἀφῆκε τὴν αἴτησιν, καὶ τὴν ἀντιμισθίαν τῇ βουλήσει τῶν αἰτουμένων ἀντιμετρεῖ· αἰτείτω, φησὶν, ὁ τύραννον ἀνελὼν ἀγροὺς, σῖτον, ἀτέλειαν, χρήματα, κτήματα, ξύμπαν ὅ, τι καὶ θέλει, παρὰ τοῦ δήμου λήψεται. ὅτι καὶ παρ' ἐμοῦ πρότερον τοῖς νόμοις τοῖς πολιτείας κοσμήσαντος· εἰ γὰρ ἐστενοχωρημένην ἔγραφε τὴν ἀντίδοσιν, πάντας ἂν συναποστενώσας καὶ τοὺς τυραννοκτονήσοντας ἔλαθεν· ὅθεν, κοινῆς δεῆσαν τῆς τυραννοκτονίας, κοινὰς καὶ τὰς δωρεὰς ἐπιφιλοτιμεῖται. ἀποκτεινέτω φησὶ τὸν τύραννον, καὶ παῖς, καὶ γυνὴ, καὶ πατὴρ, καὶ φίλοι, καὶ δυσμενεῖς, καὶ αὐτόχθονες, καὶ

ἐπη-

ἐπήλυδες πάνδημιον ἔξω τὸ τρόπαιον, ἐπεὶ καὶ τὰ ἆθλα, πάνδημα. ὁ βουλόμενος, τυραννοκτονείτω, καὶ δωρεὰν ἐχέτω τὴν αἴτησιν· εἰ δὲ σὺ νῦν ἄνω καὶ κάτω στρέφων τὰς συλλαβὰς πείσεις τὸν δῆμον οὐχ οὕτω φρονεῖν ὡς ἐκεῖνος ἀρχῆθεν ὡρίσατο, ὅρα μὴ πολλοὺς διαγράφων ἐπιχειρῇς τοῦ καλλίστου τῶν τυραννοκτόνων κύκλου, καὶ τὰ τῶν τυράννων βεβαιότερα καθιστᾷς τούτοις, οἷς καταβάλλειν μᾶλλον ἐνόμισας. σύ μοι προφέρεις τὸν τύραννον καὶ τὰ ἐκ τῆς τυραννίδος κακὰ, καὶ ἕτερ' ἄττα ὁπόσα ἐκεῖθεν ὑπὸ πονηρῷ, τῷ σπέρματι πονηρότερον ἀνεφύετο· ἐγὼ δέ σοι τὴν τυραννοκτόνον, τὴν βουλὴν, τὸ ξίφος, τὴν χεῖρα, τἄλλα, ὁπόσα τῶν ἀγαθῶν ἐντεῦθεν περιχωρεύει τὴν πόλιν. μᾶλλον μὲν οὖν αὐτὸς ὁ κατήγορος, οἷς τὰ τῆς τυραννίδος ἐκτραγῳδεῖς, τούτοις τὰ τῆς τυραννοκτονίας ἐπαύξειν δοκεῖς οὕτω τοῖς αὐτὸς αὐτοῦ περιτρεπόμενος λέληθας καὶ περιϊστὰς εἰς τἀναντία τὴν βούλησιν. εἰ γὰρ οὕτως ἐκεῖνος ἦν τυραννικόν τι χρῆμα καὶ θεοῖς ἀπεχθόμενον, καὶ τηλικαῦτα μὲν εἰς αὐτοὺς νόμους ἡμάρτανε, τηλικαῦτα δὲ περὶ τὸν δῆμον παροινῶν ἀπηυθαδιάζετο, ὡς μηδὲν ἂν ἔχειν εἰπεῖν τὰ παλαμναιότερά τινος τῆς τιμῆς. ὁποίας τῆς δωρεᾶς πηλίκης τῆς αἰτήσεως οὐκ ἂν ἄξια νομίζοιτο, ἥγε τὸν πολὺν ἐκεῖνον γνόφον τῆς δουλείας διέλυσε, καὶ δημοκρατίαν ἀντὶ τυραννίδος εἰσῆξε, καὶ τὸ κρατεῖν ἀφελομένη τὸν τύραννον, τοῦτο τῇ πόλει καὶ τοῖς νόμοις ἀπέδωκε. λέγε μοι πρὸς νόμων αὐτῶν τὰ τόθ' ὑπὸ τοῦ τυράννου κατὰ νόμων ἐξειργασμένα, καὶ ποιοῦ τὰ ἐκείνου δυσσεβήματα τῶν τῆς ἀπεκτονυίας ἀνδραγαθημάτων κατάλογον, ἐγὼ δέ σοι προσεπιθήσω καὶ τὸν τρόπον ὅπως ὁ τύραννος ἔκειτο. ἐτυραννεῖτο μὲν ἡ πόλις, σὺ δ' ὁ νῦν λαμπρὸς τὴν γλῶτταν ἡσύχαζες. ὁ δὲ δῆμος δουλοκρατούμενος οὐκ εἶχεν ὅτι καὶ χρήσαιτο, δορυφόρους πολλοὺς ἐπὶ κακῷ τῷ τῆς πόλεως ἔτρεφε, πολλῷ δὲ πλείους ἐπὶ τῆς ἀκροπόλεως φυλακὴν περιΐστα τῷ σώματι· πάντων οὖν ἐπὶ τούτοις δεδιότων κατεπτηχότων, καὶ πάσης ἐπιλελοιπυίας μηχανῆς, καὶ μηδεμιᾶς χρηστοτέρας ὑπούσης ἐλπίδος, εἶδε τὸ

κακὸν ὁπόσον ἡ Φιλόπολις αὕτη καὶ μισοτύραννος ᾤκτειρε τῆς ἀτυχίας τὸν δῆμον. ἐμίσησε τῆς ἀπονοίας τὸν ἄνδρα, καὶ τὸ ἐντεῦθεν ἔργοις τὸ μισεῖν ἐβεβαίωσε· λαμβάνει τὸ ξίφος, αἴρει τὴν χεῖρα, καὶ παραυτίκα, ἐκεῖνος μὲν ἔπιπτε, τὰ δὲ τῆς δημοκρατίας ἐπηνωρθοῦτο. ἐκεῖνος μὲν καιρίαν ἐδέχετο τὴν πληγὴν, ἡμῖν δ' οὐδὲν ἔτι τῶν ὑπ' ἐκείνου τραυμάτων ὑπῆν ἔτι. καὶ νῦν πολλοὶ περιεστᾶσι τὸν νεκρόν· καὶ οὐ πάντες τῆς αὐτῆς πόλεως, ἀλλ' οἱ μὲν τῆς ἡμετέρας, οἱ δ' ἐξ ἀστυγειτόνων ὄντες, οἱ δ' ἄλλοι ἀλλαχόθεν· καὶ πᾶσι θαυμαστόν τι χρῆμα δοκεῖ καὶ πέρα θαύματος· ἄνθρωπος ὁπλίτης τύραννος ἀνὴρ ὑπὸ γυναικὸς τὴν ὅλην καταβεβλημένος ἰσχύν· καὶ οὐδὲ ταύτης δυσμενοῦς ἢ τυχὸν ἐκεῖνος ἐφυβρίζων ἐτρύφα, ἀλλ' ἣν ὅτι νόμοις ὑπέκυπτε κατὰ νόμους ἠγάγετο καὶ μετὰ τὴν τῆς δημοκρατίας ἀπόστασιν, εἶχεν, ἐφύλαττεν, ἔστεργε· καί τις οὐκ εἰδὼς, παρὰ τούτων εἰδότων πυνθάνεται, ὅτι τοῦτον μέν τοι πονηρὸν ὄντα καὶ τύραννον ὡς μὲν πολλὴν φρουρὰν τοῦ σώματος ἔχοντα, ὡς δὲ πλείους δορυφόρους κατὰ τῶν νόμων τρέφοντα γυνή τις μιᾷ πληγῇ κατήνεγκε, καὶ τὴν πολλὴν ἐκείνην δορυφορίαν ἀπήλεγξεν. ἡ δὲ, οὕτω τοι Φιλόπολις ἦν, ὡς ἔχειν τὸ μὲν σῶμα μετὰ τοῦ τυράννου, τὴν δὲ ψυχὴν μετὰ τοῦ δήμου· καὶ μέγα τι δυναμένη, καὶ μείζω τῶν νόμων ὡς καὶ πάντα τρυφᾶν, ὁπόσα καὶ γυνὴ τυραννοῦντος ἀνδρὸς, ἡ δὲ, τὸ μικρὰ μετὰ νόμων δύνασθαι, τοῦ πάντα δίχα νόμων ἀνθείλετο· καὶ τὸ νόμος εἶναι τοῖς ἄλλοις αὐτὴ πρὸς τῆς τύχης λαχοῦσα τοῦτο μὲν εὐποιοῦσα, μετὰ καὶ τ' ἀνδρὸς ἀπεσκευάσατο, ὑπὸ δὲ νόμοις αὐτόβουλος γίνεται· οἱ δὴ ταῦτα λαθόντες καὶ οὕτω κείμενον τὸν τύραννον ἐκπεπληγμένοι, νῦν μὲν τῆς εὐμοιρίας τὴν πόλιν ἄγονται, καὶ τὴν ἀπὸ γυναικῶν τόλμαν καὶ τῆς εἰς ἄνδρας ἡκούσης ἀνδρείας. οὐκ ἀγεννὲς τίθενται ξύμβολον. καὶ τοῦ μηδὲν ἂν ἐθέλῃ ἔξω νόμων πεπολιτεῦσθαι. εἰ δὲ καὶ πύθοιντο τὴν μὲν, ὡς αἰτοίη τοὺς παῖδας, ἡμᾶς δ' ὡς οὐκ ἐπινεύομεν καὶ σμικρολογοῦμεν περὶ τὴν τὰ μεγάλα δεδωκυῖαν ἡμῖν, δέδοικα μὴ τὴν μὲν, οὐδὲν ἧττον καὶ πά-

λιν

λιν θαυμάσονται, καὶ γενναίαν μὲν ὑπολήψονται, τύχῃ δὲ χρησαμένην ἀγνώμονι· τοὺς δὲ ψηφιζομένους ὑμᾶς, ἀλλ' οὐκ οἶδ' ὅτι καὶ φαίη μὰ τοὺς θεούς, εἰ μὴ μετὰ τῆς νῦν ἀγνωμοσύνης, καὶ τὴν ἐντεῦθεν ἀδοξίαν, εὖ ποιοῦντες προσαναιρήσετε παῖδες τυραννοῦντος ἀνδρὸς μετὰ καὶ τοῦ πατρὸς ὑπὸ τὰς δημίων χεῖρας ἀγέσθων, τοῦτο τὸ γράμμα τὸ σὸν, καὶ τῆς τοῦ λογοθέτου γνώμης ἔλυτρον. ὁ δὲ ἐμὸς νόμος, τί φησι μάνθανε· τοῖς ἀπεκτονόσιν ἄνδρα τύραννον, αἴτησις ἔσω τὸ βούλημα. τίνα τούτων δικαιότερον, πρὸς τῆς δίκης αὐτῆς ὦ ἄνδρες σκέψασθε. αὐτίκα ὁ μὲν ἐμὸς νόμος μετὰ τοῦ δικαίου πολύ τι καὶ τοῦ ξυμφέροντος ἀποφέρεται, τὰ δὲ γράμματα ταῦτα τοὐναντίον ἅπαν, ἀδικοῦσι τὰ καίρια. σκοπητέον γὰρ τίνος ἀνέκαθεν τοῖς τε νόμοις καὶ τῷ γεγραφότι τοὺς νόμους ἐμέλησεν. οὐχ ἵνα τὰ μὲν τοῦ δήμου σώζοιτο, τὰ δὲ τῶν τυραννούντων βαλλόμενα πίπτοιεν, οὐκοῦν ὁ μὲν τοὺς παῖδας ἀναιρῶν νόμος, ἐπ' ἀδήλῳ τῆς τύχης ὠφελεῖν τι τὴν πόλιν ἔδοξεν. οὐ γὰρ ἂν εὐθὺς ὅσον τυράννων παῖδες καὶ τύραννοι γίγνοιντο· καὶ τὸ δοκεῖν ὠφελεῖν ἐσάπαξ οὐ πολλάκις ἀπεκληρώσατο. κἂν μὴ νῦν ὁ τοὺς παῖδας ἀναιρῶν νόμος οὗτος φθάσῃ παρ' ἡμῶν ἀναιρούμενος, ὁρᾶτε μὴ τοῦ λοιποῦ μετὰ τῶν πατέρων καὶ τοὺς παῖδας οὐχ ἕξετε. τίς γὰρ ἂν οὕτω φιλοκίνδυνος ἄνθρωπος εὖ ἔχων νοῦ καὶ φρενῶν, ὡς τηλικούτοις μὲν ἐπιτολμᾶν πράγμασι, ὑπὸ μέσα τὰ τῶν δορυφόρων, ὠθεῖσθαι ξίφη, καὶ τὸν περὶ ψυχῆς τρέχειν, καὶ ταῦτα πάντα κινδυνεύειν, ἐπ' ἀμφοτέροις ἔχων τὴν αἴτησιν, καὶ τὸ μὲν ἑαυτοῦ ἅπαν εἰδὼς ἀκριβῶς ὡς ὅλους ἀπεχαριεῖται τοὺς νόμους, τὸ δεῖ καὶ τὸν ἐπὶ τούτοις νόμον ἐπικυροῦν, οἱ ψηφιζόμενοι μέλλοιεν τοῦτο δὲ διχογνωμονοίη, δεδιὼς τούτους δὴ τοὺς μετὰ τὸ πεσεῖν τὸν τύραννον γενναίους, καὶ ὑπὲρ τὸ δέον μισοτυράννους. ὑπὸ μὲν οὖν τοῦ σοῦ τούτου γράμματος, καὶ δὴ τοσαῦτα μὲν ἡ πόλις καὶ οὕτω σμικρὰ τυχὸν ὠφελήσεται· πολλῷ δὲ πλείω τοῦ δοκοῦντος κέρδους ὑποστήσεται τὴν ζημίαν. ὁ δὲ ἐμὸς νόμος, φυλαττόμενος μὲν, τήν τε πόλιν φυλάξει, τούς τε τυραννοῦντας δέει τοῦ πεσεῖν ὑφ' ὅτου καὶ τύχοι, τηρήσει.

ἀναιρούμενος δὲ μετὰ τῶν ἀναιρούντων παραχρῆμα κείσεται. τὸ γὰρ τοῦτο μὴ παρ' ἡμῖν ἑστάναι πολιτευόμενον, ἴσον καὶ τὸ δορυφορεῖν τοῖς τυράννοις τὰ σώματα ὡς νῦν μὲν ἐγγύθεν οἱ σφαγεῖς ἐφεστᾶσι. καὶ πάντες ὑποπτεύουσι τύραννοι, μήπου τινὰ καὶ τῶν ἀδοκήτων τοῖς ῥήμασι τούτοις ὁ νομοθέτης ἐπάρας, ἐπὶ τὸ τυραννοκτονεῖν ὥπλισεν· εἰ δὲ τὸ ἀπὸ τοῦδε τὸ γράμμα τοῦτο τῆς λοιπῆς νομοθεσίας ἀποξέσαι τολμήσει τις οὗτος εὖ ἴστω, καὶ τὴν τυραννοκτονίαν τῆς πόλεως προσαπέξεσε. καὶ μετὰ τοῦ τυραννοκτόνου, καὶ τὸ ἐλευθέριον προσαφείλετο. τὸν γὰρ προτοῦ ταῖς τῶν τυραννούντων ψυχαῖς ἐγκαθήμενον φόβον, οὐ δεόντως ἐξέκρουσε. χωρὶς δὲ τούτων, εἰ καὶ μηδὲν οὗτος ὁ νόμος ὠφελήσειν ἔμελλε συντηρούμενος, ἀλλά γε τὸ πρὸς τρόπον τοῦτον μὴ εἶναι τῇ πόλει, τὸν ἕτερον δὲ σκαιὸν καὶ ὠμὸν τὴν γνώμην, μέγα τί μοι πρὸς πειθὼ καταφαίνεται τοῦτον μὲν σώζεσθαι, τὸν δ' ἔχειν προσήκειν τὰ δεύτερα. ὁρᾶτε γάρ, ὅπως μὲν νήπιος ἐστὶ καὶ νόμων ἁπάντων φιλανθρωπότατος, καὶ τῇ μητρὶ τοὺς παῖδας ἀντιχαρίζεται. δι' ἧς αἱ λοιπαὶ τῶν μητέρων οὐκ ἐφ' ὕβρει τὰ τέκνα στρέφουσι καὶ τῆς χειρὸς παρασαλεύειν οὐ βούλεται, δι' ἧς ὁ τοὺς νόμους παρασαλεύσας οἴχεται τύραννος· ἅτερος δὲ τὸ ξίφος ἐπιθήγει, τὸν δήμιον ἐφοπλίζει, καὶ θύειν τοὺς παῖδας ἐπιχειρεῖ· παῖδας νηπίους, ἁπαλὸν κλαυθμυρίζοντας καὶ μέσης ἀφαρπάζειν ἐθέλει μητρικῆς ἀγκάλης ἣ μέσων τῶν τυράννου χειρῶν ἀφαρπάσασα, τῇ πόλει τὴν ἐλευθερίαν ἀπέδωκεν· ἔπειτα τὸ δίκαιον καὶ τῆς ἡμῶν φιλανθρωπίας ἄξιον, ὑμᾶς μὲν χαίρειν ἐφ' οἷς ἐκεῖνος ὁ κατάρατος πέπτωκε. τὴν δὲ τὸ χαίρειν ὑμῖν ἀποδεδωκυῖαν, ἐπὶ στυγνοτέρας καθῆσθαι τῆς τύχης. καὶ ὑμᾶς μὲν ταῦτα δὴ τὰ τῶν εὐθυμουμένων ἐν δημοθοινίαις ἄγειν καὶ ἱεροῖς ἐπιβωμίοις καὶ θεῶν ἑορταῖς, ταυτηνὶ δὲ δυσθύμως ἔχειν, καὶ τὰ μὲν ἀλγεῖν, τὰ δ' ὑμᾶς ὡς ἀγνώμονας αἰτιᾶσθαι. εἰ δή τις ἐπὶ τοιούτοις ὅ, τι δὴ τὸ αἴτιον πύθοιτο, ἡ δὲ φαίη μέν, ὅπως δι' ὑμᾶς ἠφείδησε τοῦ ἀνδρὸς καὶ πέρα γυναικείας ἠνδρίσατο φύσεως, εἶθ' ὡς ᾐτήσατο μὲν αὐτὴ τοὺς

παι-

παῖδας, ὑμᾶς δ' οὐκ ἐπέδοτε, καὶ νῦν αὐτὴ μὲν, τὴν ἀπ' ἀμφοῖν ἐρημίαν ὀδύρεται, ὑμεῖς δ' εὐθυμεῖτε καὶ σπεύδετε τὴν ἐκείνου καθαίρεσιν, ὡς ἂν ἡγούμενοι πάντων ἀνόρθωσιν, [illegible] ἂν ἐπὶ τούτοις ἐκεῖνον ἀφεῖναι δοκῆτε τὰς φωνάς· [illegible] οὗ φησὶ νόμον εὖ ἔχοντα λύσομεν δὲ καὶ μάλα δικαίως. ὅτι δι' ἡμᾶς αὐτὴ πολλῷ πρότερον οὐ παρεγγράπτους νόμους ἀλλ' ἰσχυροὺς τῷ ὄντι καὶ νόμους, οὓς οὐχ ὁ δεῖνα ἢ ὁ δεῖνα τῶν πολιτῶν, ἀλλ' ἡ φύσις αὐτὴ κατὰ μέσης ἐνεκόλαψε τῆς ψυχῆς· καὶ παῖδας τυράννου πατρὸς ἐφ' ἑτέρᾳ τυραννίδι διαφυλάξομεν; τί δ' αὐτίκα τυραννήσουσι; τί δ' αὐτίκα περιεργάσονται τὴν ἀκρόπολιν; πόσοι δημοκρατούμενοι παῖδες, κατὰ δημοκρατίας ὡπλίσαντο; πόσοι χρηστῶν πατέρων ὄντες, τοὺς τρόπους πεφήνασι χείριστοι; εἰ δὲ τοῦτο δίδως, καὶ θάτερον προσεπέδωκας ὡς ἔσονται καὶ τυράννου πατρὸς παῖδες δημοτικώτεροι, μή μοι τὸν νόμον ἐς τὸ παντελὲς ἀφαίρει τοῦ πολιτεύεσθαι. ἀλλ' ὁπηνίκα μήτηρ αἰτεῖται τοὺς παῖδας, περίσωζε· καὶ καινόν τινα τρόπον, καὶ γυναῖκας κατ' ἀνδρῶν τυράννων ὅπλιζε. τοῦτο ἐκείνους μὲν φοβήσει, τὰς δ' οὐ τὰ μέτρια πρὸς τὴν τόλμαν ἐφέλξεται, εἰ καὶ τούτων πεπτωκότων, ἀλλ' οὐ τούς γε παῖδας προσαπολέσουσιν. εἰ δ' οὐ μήτηρ, οὐ πατὴρ, οὐκ ἄλλος τις τῶν ἐκ γένους, τοτηνικαῦτα τὸ πᾶν τῆς ἰσχύος ὁ νόμος ἐχέτω σοι. τὸ γὰρ τοῦ γένους ἀλλότριον, ὕποπτον ποιεῖται τὴν αἵρεσιν. ἡδέως δ' ἂν ἐροίμην ὦ ἄνδρες τουτονὶ τὸν τοὺς νόμους κομψὸν, ὅτου χάριν οἱ παῖδες ταυτηνὶ δώσουσι τὴν δίκην. εἰ μὲν ὧν παρανομοῦντες ἔπραττον αὐτὸς ἔλεγχε, καὶ τὸ παθεῖν ὑπολείπεται. εἰ δ' ὡς πατρὸς ἐκφύντες τυράννου, διὰ τί μὴ μᾶλλον ὡς τυραννοκτόνου μητρὸς δικαιότερον περισώζοιντο; ἔα μοι τὸν τύραννον, ἐπὶ τὴν τυραννοκτόνον μετάβηθι καὶ πρὸς ταύτην ἀφορῶν τὸν νόμον τουτονὶ τὸν σὸν ὑπανάγνωθι δήμιον, καὶ γνοίης ἂν, ὡς ἐπὶ κενοῖς ἐνταῦθά σοι τὸ ξίφος προβάλλεται. εἰ μὲν οὖν τῶν τοῦ πατρὸς κακῶν εἰσέτι που καὶ νῦν μεμνημένος ἐπὶ τοὺς παῖδας ἄγεις τὴν τιμωρίαν, ὅρα καὶ τὰ τῆς μητρὸς ἀριστεύματα· καὶ τὸ πολὺ τοῦ θυμοῦ κατα-

κατασβέσεις ἐκεῖθεν. εἰ δ' ἐπὶ τοῖς τῆς μητρὸς καλοῖς οὐ φυλάττεις, τὸ εὔγνωμον, μήδ' ὧν ὁ πατὴρ ἐτόλμα κακῶς, ἐπὶ τοὺς παῖδας τὴν αἰτίαν μετάφερε. εἰ δὲ δεῖ τι καὶ δριμύτερον εἰπεῖν πρὸς ἀλήθειαν, πόθεν οὗτοι τυράννου πατρὸς, οἱ μὴ δι' αὐτὸ τοῦτ' εἰδότες ὅτι καὶ τύραννος, οὔ ποτε κακὸν οὐδὲν αὐτόματον ἡ φύσις ἐνέσπειρεν· ἀλλ' ἔστι τά γε πλείω τῶν τοιῶνδε μαθημάτων ἐπὶ ψυχῆς ἐντύπωσις, ἐφ' οἷς καὶ διδάσκαλοι ψυχαὶ πατέρων νομίζονται· καὶ ὥσπερ ἐπ' ἐκείνων ὑγιεινὸς μὲν εἰ τύχοι πατὴρ, ὑγιεινὸν σῶμα προσέφυσε τῷ παιδὶ, καὶ καλὸς ἕτερος αὖθις ἐμόρφωσε τὴν ὄψιν ἐς κάλλος, νοσερὸς δὲ τοὐναντίον, ἢ καὶ δύστροπος τοιαύτην ἐντέθεικε τὴν ἰσχὺν, ἢ τὴν μορφὴν ἐτυπώσατο, οὕτω δὴ κἀνταῦθα, γνώμην ἀγαθὴν σοφός τις παιδαγωγήσας ἐνέφυσε· καίτις κἂν μὴ τὸ καλὸν εἶχε πάτριον, ἀλλ' ὑφ' ἑτέρου μαθὼν ἐπησκήσατο· εἰ μὲν οὖν ὑπὸ τῷ καταράτῳ ἐκείνῳ τραφέντες εἰς τόδε τῆς ἡλικίας ἀνέδραμον, ἦν ὡς τὰ πολλὰ τῶν ἐκείνου τυραννικῶν ἀπομαξαμένους ἀποκτείνειν οὐκ ἄλογον· νῦν δ' ὁ μὲν, ἐπ' ἄλλοις εἶχε τὸ πολὺ τῆς φροντίδος· καὶ τοὺς δορυφόρους τὰ βαρύτατα κακουργεῖν ἐξεπαίδευε· τούτους δὲ ἡ γενναιοτάτη πασῶν αὕτη γυναικῶν, πρῶτα μὲν ἀνῆκε τῆς γαστρὸς ὑπὸ μυρίαις ὠδῖσι βαλλομένη, ἔπειτα τεκοῦσα, τὴν μισοτύραννον θῆλυν ὑπανέτεινε, καὶ τυραννοκτόνου γάλακτος ἔγευσε, καὶ χερσὶν ἀνείλετο καθελούσαις τὸν τύραννον· ὡς εἰ δεῖ τι καὶ τῶν τεκόντων φύσει παῖδας ἐναποφέρεσθαι, ταύτης ἂν εἶεν παῖδες καὶ τὸν τρόπον ὁμοῦ καὶ τὴν γένεσιν· κἂν που τυραννοῦντα τινὰ μάθοιεν, ἴσως τὴν μητέρα ζηλώσουσι. διὰ ταῦτα μόνης ἐγὼ τῆς γενναίας ταύτης τοὺς παῖδας τίθεμαι. ἀπὸ τούτων τυραννοκτόνους ἕξειν τὴν πόλιν οὐ τυράννους μαντεύομαι ὁρῶ τὴν θρεψαμένην καὶ χρηστοὺς ἔσεσθαι τοὺς παῖδας στοχάζομαι ἐντεῦθεν ἕξεις καὶ σὺ φυλάξαι τὸν τυράννοις ἀγριαίνοντα νόμον. κἀμοὶ τὸν τοὺς παῖδας χαριζόμενον τῇ μητρὶ, μὴ καταπροέσθαι περίεστιν· οὐκ εἰσὶ τυράννου πατρὸς, καὶ τὸ γράμμα τὸ σὸν ἐκπεφεύγασι, τυραννοκτόνον οὐκ οὖσι μητέρα, καὶ τῇ μητρὶ παραψυ-

χὴν

χὴν ὁ δῆμος ἀπέλιπε, τούτους εἰς δωρεὰν, αὐτὴ μὲν ᾔτησεν, ἡ δὲ πόλις ψηφίζεται. δεῖ γὰρ τὴν θρεψαμένην εὐεργετεῖν, ὅπως ἄρα καὶ δύναιτό τις· εἶτα καὶ δωρεὰν αἰτεῖν ἣ καὶ τὴν πόλιν οὐ λυπήσει καὶ τὸν αἰτούμενον εὐφρανεῖ. οὐθ' ὁ τῆς εὐεργεσίας, οὐθ' ὁ τῆς ἀντιδόσεως ἐξενοχώρηται τρόπος, ἀλλ' ἐπ' ἀμφοῖν καὶ δρᾶσαι καὶ παθεῖν τὸ βούλημα γίνεται. τί γοῦν δεινὸν ὦ πρὸς τῆς δίκης αὐτῆς, εἰ δι' ὑμᾶς καθελοῦσα τὸν ἄνδρα τοὺς μηδὲν ἠδικηκότας παῖδας βούλεται περισώζειν; ἀλλ' ἐνταῦθα τὸ μὲν αἰτεῖν ὁ κατήγορος δίδωσι, τὸν δὲ τρόπον τῆς αἰτήσεως αἰτιᾶται· καινὰ γάρ φησιν αἰτεῖ, καὶ ἃ λαβεῖν ἔξεστιν ὑπερβᾶσα, ἃ μὴ δέδωκε νόμος βιάζεται. ἐγὼ δὲ καινὰ μὲν αἰτουμένην οἶδα καὶ αὐτὸς, ἀλλ' ἐπὶ καινοῖς τοῖς πεπραγμένοις, ἀλλ' ἐφ' οἷς οὔπω μέχρι καὶ νῦν ἡ πόλις ἐκόμπασεν. ἢ γὰρ ἔχεις αὐτὸς παρελθὼν εἰπεῖν μοι τοῦ καινοῦ τούτου δράματος πολλὰ παραδείγματα ἀπὸ τῆς ἡμετέρας, ἀλλ' ἀπὸ τῶν ἀστυγειτόνων, ἀλλ' ἀπὸ τῆς Ἑλλάδος, ἀλλ' ἀπὸ τῆς βαρβάρου, καί τοι τίς οὐκ οἶδεν ὡς ὁπότε τυραννοίη τις, δευτέραν δορυφορίαν τὴν συνοικοῦσαν αὐχεῖ καὶ πολλῷ μείζω τῆς ἔξωθεν τῆς τῶν σωματοφυλακούντων, κἂν δορυφόρος τι πρὸς ὀργὴν ὑπέγρυξεν, ἡ δὲ προεμήνυσε, κἂν δοῦλος τὶ πρὸς ἐπιβουλὴν ὑπετονθόρισεν, ἡ δὲ, προεσήμηνε· κἂν ἐγγενὴς, κἂν πρόσοικος τῇδε πρὸς τὸ οὖς ἐνέπεσεν, εὐθὺς ὁ τύραννος ᾔσθετο. ἀλλὰ τούτων οὐδὲν ἡ τυραννοκτόνος αὕτη προσήκατο, ἀλλ' ἅμα τε τῆς πόλεως τὴν δημοκρατίαν ἐκεῖνος, καὶ τοῦτον αὐτὴ κακὸν κακῶς τῆς ἀκροπόλεως ὡς ἄγος ἀπέρριψε· καινότατα γοῦν ἐπιβαλοῦσα τοῖς πράγμασιν, εἰκότως καὶ καινοτέραν ποιεῖται τὴν αἴτησιν· εἰ γὰρ τοῦτο νόμος ἀπείργει τυχὸν ὁ τῆσδε τῆς πόλεως, κἀκεῖνο νόμος οὐ μιᾶς πόλεως, ἀλλὰ τῆς ὅλης διεκώλυε φύσεως· ἀλλ' ὅμως τὸν κοινὸν τοῦτον ἀπετρέπετο νόμον, ἵν' ἡ πόλις ἔχῃ τὸν οἰκεῖον κόσμον τοῦ πολιτεύματος, καὶ μετὰ τῶν ἄλλων ἐπὶ τοῦ βήματος καὶ σὺ προσυπαναπτύσσεις τὰ γράμματα. ἔπειτα μέντοι καὶ καινὸν οὐδὲν εἰ παίδων ἀκούσασα μήτηρ, οὐδέν τι πρὸ τῶν παίδων

τίθε-

τίθεται. τοὐναντίον μὲν οὖν ἡ μήτηρ οὖσα μὴ τοὺς παῖδας εἰς δωρεὰν ἐζητεῖτο, θαῦμα ἄν τις ἐποιεῖτο τὸ πρᾶγμα, καί πού τι καὶ ὑπώπτευσε κατὰ τῆς μητρός. νῦν δ' ἀλλ' ἀνύποπτος ἡ τυραννοκτόνος αὕτη καὶ Φιλόπολις ἀκριβῶς, καὶ τὰ τῆς δωρεᾶς ἀκραιφνῆ, παῖδας αἰτεῖ μήτηρ οὓς ὤδινεν, οὓς ἀπεγαλάκτισεν, οὓς ἔθρεψεν, οὓς ἐπαίδευσε, καὶ τελευταῖον τοῦτο δὴ τὸ τῶν ὡς ἀληθῶς μητέρων, ἐφ' οἷς καὶ μόνοις τὰς ἐλπίδας ἐσάλευε. καὶ σὺ νῦν οὐκ αἰσχύνῃ καινὸν τοῦτο νομίζων ὦ πρὸς τῆς Φύσεως αὐτῆς; ὁρᾷς καὶ τῶν θηρῶν τοὺς ἀργίους, ὅπως τῶν τέκνων προκινδυνεύειν ἐθέλουσι καὶ τὸ ζῆν ἀπολέγονται, ἵν' ἐκείνοις τοῦτ' αὐτὸ περιλίποιτο. καινὸν οὖν ὦ θεοὶ καινὸν, εἰ ἃ καὶ τῶν ἀλόγων ἔχοι τις ἐπαινεῖν, ταῦτα καὶ μήτηρ ἄνθρωπος βούλεται, καὶ τῶν παίδων ἄγει πάντα δεύτερα ὑπὲρ ὧν καὶ τἆλλα πάντα τεχνάζεται, καὶ ψήφισμα τοιοῦτον ἐπ' ἐκκλησίας ἤκουσεν, ὡς εἰ μέλλει μὴ τοὺς παῖδας κατὰ τῆς γῆς ἐῤῥιμμένους ἰδεῖν, αὐτὴ τεθνάτω πρότερον, οὐκ ἂν εὐθὺς ἐπὶ τοὺς παῖδας ὥρμησεν; ὅπου δὲ καὶ νομοθέτης ἐφῆκεν αἰτεῖν, ὅτι καὶ θέλει τὶς ἐνταῦθα τὶ τῶν ἄλλων μὴ παραδραμοῦσα τοὺς παῖδας αἰτήσεται. εἰ δὲ καὶ τῆς πολιτείας ἔτι παραλελυμένης τὴν δημοκρατίαν κρύφα τῆς ἀκροπόλεως κατιοῦσα τὸν νόμον ἐζήτει τοῦτον ἀνῃρῆσθαι παρ' ἡμῶν, ἵνα καὶ παρ' αὐτῆς ὁ τύραννος πέσῃ, ἆρ' οὐκ ἂν ἔδωκας; ἆρ' οὐκ ἂν ὑφήρπασας ὡς ἕρμαιον τὸν λόγον; εἶθ' ἃ πρὶν ἢ γενέσθαι, παρεῖχες ἂν ἑτοίμως, ταῦτ' ἔχων οὐ δώσεις, ἀλλ' ἐφέξεις τὴν δωρεὰν τῆς οὐκ ἐπισχούσης. ὅπερ οὐδ' ὑμεῖς ᾐτήσασθε ἄν, οὐδ' ἡ Φύσις πράττειν ἐδίδου, διά τε τὴν τοῦ θήλεος ἀτολμίαν, καὶ τὴν ἐκ τῆς συζυγίας πρὸς τὸν ἄνδρα αἰδῶ, καὶ τοὺς γαμηλίους θεσμοὺς, καὶ τὴν ἐντεῦθεν στοργήν; ἔτι τοίνυν εἰ μὲν εἰς εὐνὴν ἀνδρὸς ἐλθεῖν ἤμελλε, πάλιν, οὐκ ἂν οὕτω τῆς προτέρας γονῆς ἐξείχετο, ἀλλ' εἶχεν ἂν ἐλπίδας, ἐξ ἑτέρου πατρὸς καὶ πάλιν μητέρα ἀκοῦσαι. ἐπεὶ δὲ τοῦτο μὲν, οὐδ' εἰς νοῦν ἔλαβε τὴν ἀρχὴν, οὐδὲ γὰρ τὸν σύνοικον αἰτιωμένη, τὰ μεγάλα ἐκεῖνα ἐτόλμα, ἀλλ' ὡς ἄνδρα μὲν ἔστεργε καὶ δι' ἡμᾶς ἀλλ' οὐκ οἰ-

κείους

κείους ἔρωτας τὸν πρῶτον ἄνδρα κατέκοπτεν, ἵνα καὶ δευτέραν ὑπανάψῃ δᾶδα γαμήλιον; πῶ τοῦτο τῇ πόλει πρέπον, ἢ τίνος ἐχόμενον δίκης τότε μὲν χήραν δι' ἡμᾶς γενομένην τῷ τὸν πάντα δυνάμενον σύνοικον ἐκ μέσου θέσθαι, νῦν δ' αὖθις δι' ἡμῶν αὐτῶν, καὶ τῆς τῶν παίδων γονῆς ἀποστερεῖσθαι. ἀλλὰ δεῖ πάντως καὶ μείζω τιμωρίαν τὸν τύραννον ὑπέχειν; οὐκοῦν ἐκείνῳ μὲν τοῦ κακῶς ἐθέλειν ἄρχειν τὸ τεθνᾶναι κάκιον, ὑπερβολὴ τιμωρίας ἐλείπετο· ταύτῃ δὲ, τὸ μὴ καὶ τοὺς παῖδας τὸ μόνον παραμύθιον ἀποσεσυλῆσθαι, καὶ μετὰ τῆς χηρείας καὶ ἀτεκνίαν προσεπιδεῖν εἴη ἂν λοιπὸν εἰς αἴτησιν· παῦσαι πρὸς τῆς παρούσης δημοκρατίας ὦ κατήγορε. μὴ καὶ δόξῃς οἷς ἀνεῖλε τὸν τύραννον ἄχθεσθαι, καὶ πρὸς ἄμυναν τῆς ἀπεκτονυίας. ἀλλ' οὐ πρὸς ὕβριν ἐκείνου ταῦτα τεχνάζεσθαι· ἱκανῶς ἀπέδοτο τὰ τροφεῖα τῇ πόλει. ἱκανῶς ὑπὲρ τῆς ἐνεγκούσης ἐφήψατο τοῦ ξίφους ἐντρύφα μὲν ὁ τύραννος ταῖς τῶν ἄλλων συμφοραῖς. ἦδ' ὡς ἐξῆν λανθάνειν [illegible], καὶ ταύτῃ μὲν κατὰ πρανοῦς ἔῤῥει τὰ πράγματα, δυστυχούντων δι' ἡμῶν, αὐτὴ τὸ τῆς τύχης εὐπετὲς οὐκ ἐδέχετο. ἐπὶ τούτοις τολμᾷ τι καὶ θρασύτερον, μετὰ ξίφους ἐπιπηδᾷ, καὶ τοῦ πολλοὺς ἀνελόντος αὐτόχειρ γίνεται, καὶ πεσόντι προσεπέλεγε· ταῦτά σοι τῆς καλῆς τ' ἐπίχειρα τυραννίδος, τοῦτό σοι τῶν πολλῶν φόνων ἀντίποινον, ἐξέβης τοὺς ἀνθρωπείους ὅρους τῇ τῶν τρόπων ὠμότητι, οὐκοῦν κἀγὼ παρόψομαί σοι τὸν ζυγόν· πολλοὺς ἐκ τῶν αὐτῶν αἱμάτων ἥμαξας. οὐκοῦν δέχου καὶ σὺ πρὸς τῆς γυναικὸς τὴν σφαγήν· παρεῖδες τοὺς ἔξωθεν νόμους τοὺς ἐν κύβεσι, τοὺς ἀπ' ἀγορᾶς, τοὺς ἐπὶ ἐκκλησίας γραπτούς· οὐκοῦν, ἐγώ σε καὶ τοῦτο μιμήσομαι, καὶ τοὺς ἔνδοθεν νόμους, οὓς ταῖς ψυχαῖς ἡ φύσις ἐνέγραψε, μετὰ καὶ τῆς τυραννίδος τροπώσομαι· ταῦτα, τίς οὐ ζηλώσει, τίς οὐκ εὐδαιμονίσει, τίς οὐ θαυμάσεται; ποῖος δὲ τοιαύτην γυναῖκα, τὸ κεκλῆσθαι μητέρα, δικαίως προσαφαιρήσεται; ἐπὶ γυναικῶν φορᾷ καὶ τὰ τῶν λακώνων σεμνύνεται; ἀλλὰ μέχρι τῆς γενναίας ταύτης καὶ φιλοπόλιδος μέγας Θρασύβουλος·

ἀλλ'

ἀλλ' ὅτι μὴ προσήκουσαν τυραννίδα κατέλυσε· πολὺς Ἡρακλῆς! ἀλλ' ὅτι θῆρας φοβεροὺς μὲν ἰδεῖν, φοβερωτέρους δὲ πρὸς πεῖραν ἀνδρείως ἀπέκτεινε. θαυμαστὸς ὁ Θησεύς! ἀλλ' ὅτι τὰς ὁδοὺς τῶν λῃστευόντων ἐκάθηρεν. ἡ δὲ πόλιν ὅλην ὑπὸ τυράννου πεπτωκυῖαν ἀνέστησε, καὶ τὸν τοῦ γένους παρεῖδε θεσμὸν, καὶ τὴν ἐκ φύσεως ἀνδρείαν κατεπολέμησεν, εἰς τοῦτον ἐγὼ σε τὸν κατάλογον τίθεμαι. μετὰ Θρασυβούλου θαυμάζω, μετὰ Θησέως προσκυνῶ, μεθ' Ἡρακλέους σέβομαι! ἐκπλήττομαι τοῦ θράσους! ὑπεράγαμαι τῆς τόλμης! κινδυνεύω μηδ' ἔργα γυναικὸς ταῦτα νομίζειν, ἀλλά τινος ἐφεστίου δαίμονος! δεῦρό μοι ὦ γενναιοτάτη γυναικῶν, ἀνάβαινε πρὸς τὸ βῆμα, τὸ διὰ σὲ νῦν κατὰ νόμους περικροτούμενον! προένεγκαί τι καὶ φθέγματος, μεθ' οὗ τὸν τύραννον ὑπὲρ τῶν νόμων ἱκέτευες! δεῖξον ᾑμαγμένην τῷ τοῦ τυράννου λύθρῳ τὴν χεῖρα, καὶ τάχα καταιδέσεις τοὺς ἀντιτείνοντας! ὁρᾷς ὡς σεσίγηκεν ὁ κατήγορος, ὁ δὲ δῆμος, ἐκάμφθησαν. θάῤῥει τὴν νικῶσαν! οὐκ ἀποίσῃ, τῶν ἐν λόγοις δεινῶν τοὔλαττον ἡ τοῖς ἔργοις ἀπενεγκαμένη τὸ μεῖζον· πρότεινε μετὰ τῆς χειρὸς τὸ ξίφος, ἔτι τοῦ τυραννικοῦ προσαποστάζον αἵματος! τοῦ τόσου τὸ ξίφος, ἐγὼ καὶ θεοῖς ἀναθήσομαι, μετὰ τοῦ τῆς Ἀθηνᾶς ἔγχους, μετὰ τοῦ Διὸς κεραυνοῦ τοῦ τόσου τὸ ξίφος τετάξεται· ἔλυσεν ὠμότητα τυραννικὴν, οὐ μακρῷ τῆς τῶν Τιτάνων ὕβρεως λειπομένην· ἀπέσφαξε τύραννον, μικροῦ καὶ γιγάντων παλαμναιότερον. τάχα που καὶ στήλην σοι λαμπροτέραν ἡ πόλις μετὰ καὶ τῶν παίδων ἐπιψηφιεῖται. καὶ ξίφη φοροῦσαν ὡς ἡμετέραν γράψομεν Δήμητραν· τί στένεις; τί δακρύεις; τί δὲ τούτους ὑφορᾷ; τοὺς πρὶν περιδεεῖς, τοὺς ὑποτρόμους· τοὺς συνεσταλμένους; καὶ νῦν κομψοὺς εὐρυβάτας πολλὰ στωμυλλομένους, πολλὰ ῥέοντας ἐπ' ἐκκλησίας· μὴ δέδιθι περὶ τῆς ψήφου. ἔχεις τοὺς δικαστὰς ἀφ' ὧν τοὺς νόμους ἐπέδωκας· ἔχεις τὸν δῆμον ἀφ' ὧν εἰργάσω δεσπότου τυραννοῦντος ἐλεύθερον. σῶζε σου τοὺς παῖδας τὰ δάκρυα. διὰ σὲ γὰρ ἡ πόλις, οὐκ ἀνδρῶν σφαγὰς, οὐ γυναικῶν ἁρπαγὰς, οὐ παίδων

ὕβρεις ὀδύρεται! πρὸς οἶκτον κινεῖ πάντας, πρὸς οἶκτον κοινῇ πάντας τὸ καινὸν τῆς συμφορᾶς ἐφέλκεται. οἷς γὰρ καὶ τἄλλα μεταπλάττεις ἐπὶ τὸ καινότερον τούτοις καὶ νῦν παῖδας τυράννου δεικνύεις ἐλεουμένους διὰ τυραννοκτόνον μητέρα δακρύουσαν. ἔχεις ἤδη τοὺς παῖδας. καὶ φύλαττέ μοι μέχρι καὶ τέλους γνώμης τὸ μισοτύραννον. καὶ λαβοῦσα παρὰ τοῦ δήμου, στέργε, τρέφε, νουθέτει, παίδευε! πάντας πρὸς τὸ δημοτικώτερον μεταρρύθμιζε, κἂν εἰς ἄνδρας φθάσωσι, τὸ ξίφος αὐτοῖς ἐπιδείκνυε· ἔφαψαι τοῦ χώματος τοῦ πατρὸς, διήγησαι τὴν τυραννίδα, ἐπίδειξαι τὴν δεξιὰν, ὑφ᾽ ἧς ὅλη τυραννὶς καταβέβληται! κἂν ἐκείνου τοῦ πατρὸς εἶναι βουλήσονται παῖδες, ἔχεις τὸ ξίφος καὶ καλοῦ τυραννοκτόνους καὶ πάλιν!

Μετὰ τὰ ἐν Χαιρωνείᾳ Φίλιππος ἐζήτησε τὸν Δημοσθένην· ὁ δῆμος ᾔτησε πέντε ἡμέρας εἰς διάσκεψιν· ἐν ταύταις ὁ Δημοσθένης ἀποθανεῖν ἀξιοῖ.

Ὃν μὲν ἐβουλόμην ὦ ἄνδρες Ἀθηναῖοι τρόπον ἀποθανεῖν, τοῦτον οὐκ ἐξεγένετό μοι τελευτῆσαι πρώην ἐπὶ τῆς μάχης. ἔδει γὰρ οὕτως ἀπελθεῖν τοῦ βίου Δημοσθένην μαχόμενον. καὶ μὴ μόνον διὰ τῶν λόγων, ἀλλὰ καὶ διὰ τοῦ σώματος χρήσιμον ὑμῖν γενόμενον. ἐπειδὴ δὲ οὐ κατὰ τὰς ἡμετέρας γνώμας εἴωθεν ἀπαντᾷν τὰ τέλη τῶν πραγμάτων, ἐφ᾽ ὑμᾶς ἀπήντηκα βουλόμενος ἐκ προσαγγελίας ἀποθανεῖν. ἵνα τοῦτο γοῦν μοι παρ᾽ ὑμῶν ὑπάρχῃ ταφῆναι παρ᾽ ὑμῖν ἀντὶ τῶν πεπολιτευμένων· τῷ δήμῳ μὲν οὖν οὐδὲν ἐγκαλῶ, καὶ γὰρ προθεσμίαν ᾔτησε παρὰ τοῦ Μακεδόνος· καὶ μέχρι τοῦ νῦν βουλεύεται. ἀλλ᾽ ἀμφότερα ταῦτα δεινά. τό, τε γὰρ ἐκδοθῆναι Φιλίππῳ, πάντων ἐστὶ χαλεπώτατον· τό, τε ζῆν οὕτως ἐλεούμενον, οὐδὲ μιᾶς λείπεσθαι συμφορᾶς ὑπολαμβάνω.

τί γὰρ ἀλγεινότερον τούτου γένοιτο, ἢ ζῆν μὲν ἐμὲ παρ' ὑμῖν ἐκ ψηφίσματος; ἥκω δὲ οὐ περὶ στεφάνων ἀγωνιούμενος, οὐδὲ περὶ δωρεᾶς, ἀλλ' ἀξιῶν μοι τῷ τὸ δοθῆναι παρ' ὑμῖν ἐν μέρει τῆς μεγίστης φιλανθρωπίας. ἀποθανεῖν εἰς τοῦτο γὰρ τἀμὰ περιέστηκε πράγματα, ὥστε τὴν τοῦ θανάτου κρίσιν δωρεὰν ὑπολαμβάνειν· οἴομαι δὲ Φίλιππον ἡσθῆναι μαθόντα τὴν ἐμὴν συμφοράν. οὐ γὰρ ἰδεῖν ἀλλ' ἀποθανεῖν Δημοσθένην βούλεται. ὥστε τά τε ἄλλα ὁ θάνατος οὗτος, καὶ φίλον ὑμῖν ἀποφαίνει τὸν Φίλιππον· δεῖ γὰρ ὑμᾶς διαλύσασθαι τὴν πρὸς ἐκεῖνον ἔχθραν ἐμοῦ τελευτήσαντος· δότε δέ μοι μικρὰ περὶ τῶν ἐμοὶ πεπολιτευμένων διελθεῖν καὶ κατηγορῆσαι Δημοσθένην Δημοσθένους ὡς ἔνεστιν· ἄλλως τε καὶ τῶν πραγμάτων ὑμῖν εἰς τοῦτο ἀπηντηκότων· πολυπράγμων ἐγενόμην ἐξ ἀρχῆς ἐγώ. καὶ τοιοῦτος οἷος οὐδεὶς ἄλλος τῶν ῥητόρων· καὶ τὸν δῆμον ἐν ἡσυχίᾳ βιῶναι βουλόμενον, καὶ θεώμενον τὰς θέας, καὶ τὰς πομπὰς ἡδέως τὰς τῶν διονυσίων περιεργάζεσθαι, καὶ πολεμεῖν ἠνάγκασα. φρόνημα λαβὼν ἀλλότριον καὶ κατὰ μηδὲν ἐμοὶ προσῆκον· τί γὰρ ἐμοὶ τῆς ἀρετῆς τῆς Μιλτιάδου προσῆκε; τί δὲ τῶν Θεμιστοκλέους κατορθωμάτων; τί δὲ εἴ τι σεμνὸν ἐπράχθη τούτοις τοῖς ἀνθρώποις, καὶ ταύτην εἱλόμην τὴν πολιτείαν, οὔτε ἐμαυτῷ λυσιτελοῦσαν, οὔτε ὑμῖν; καὶ δέον τὴν Εὐθυκράτους καὶ Καλλισθένους ζηλῶσαι προαίρεσιν· τῶν εὐδοκιμούντων νυνὶ παρὰ τῷ Μακέδονι, ὁ πάντων σκαιότατος ἐμισούμην ἐγώ, τοὺς τετελευτηκότας ὀμνύων ἀντὶ τῶν θεῶν, τοὺς ἀποθανόντας ἀντὶ τῆς πολιάδος· Μαραθῶνα, Σαλαμῖνα, ἀντὶ τῶν Ἐλευσινίων καὶ βουλομένων πολλάκις ὑμῶν διαλύσασθαι τὴν ἔχθραν τὴν πρὸς Φίλιππον· αὐτὸς ἐγενόμην ἐμποδών· δέον ὑμᾶς ἐν τῇ Θετταλῶν καὶ Δολόπων τάξει καταριθμεῖσθαι, καὶ τὰ Μεσηνίων καὶ τὰ Εὐβοέων νοσήματα νοσεῖν· οὐκ ἐξήρκεσε δέ μοι ταῦτα· οὐδὲ ὅρον τῆς πολιτείας μέχρι τούτων ἐποιησάμην· ἀλλ' ὁρῶν βαδίζοντα τὸν ἄνθρωπον ἐπὶ τὴν Ἀττικήν, ἵνα φίλος ὑμῖν γένηται, καὶ διὰ τοῦτο κεκινημένον μετὰ πάσης τῆς δυνάμεως, ἵνα τὸν δῆμον τῶν Ἀθηναίων εὐεργετήσῃ· τὰς εὐεργεσίας

γεσίας

γεσίας ταύτας ἃς εἴωθε παρέχειν, ἔπεισα μὲν ὑμᾶς τὸν πόλεμον ἄρασθαι· ἑπτακόσια δὲ τῆς Ἀττικῆς στάδια προελθόντας, τὴν συμβολὴν πρὸς αὐτὸν ποιήσασθαι. δέον ἐνταῦθα πρὸς τῷ Πειραιεῖ πρὸς τῷ Μαραθῶνι, ἵνα ἐξαλειφθῇ τὰ τρόπαια τὰ παλαιὰ τοῖς καινοῖς, ἀθύτων καὶ ἀκαλλιερήτων τῶν ἱερῶν ὑπαρχόντων, κατασπεύσας· δέον τὸ πρᾶγμα σχολὴν τοῦ πολέμου παρασχεῖν Μακεδόσι· τοιγαροῦν ἔπταικα λλον καὶ πάθεσι κέχρηται τοιούτοις ὁ δῆμος, οἵοις μηδέποτε πρότερον ἐχρήσατο· μήτ᾽ ἐπὶ τῶν Μηδικῶν, μήτ᾽ ἐν τῷ πολέμῳ τῷ Δεκελεικῷ· τί γὰρ ἡ ἐν Σικελίᾳ συμφορὰ πρὸς τῷ ἐν Χαιρωνείᾳ πάθος; τί δὲ τὰ ἐν Ἑλλησπόντῳ πταίσματα πρὸς τὰ ἐν Βοιωτίᾳ σφάλματα; χίλιοι ποτὲ τεθνήκασι, καὶ νῦν αἰχμάλωτα δισχίλιοι δεινὸν ἀνυπέρβλητον· τοιοῦτοι τὴν πόλιν ᾤκουν τὴν Ἀθηναίων οἱ γενναιότατοι τῶν πολιτῶν· καὶ ὑμεῖς ἐπὶ μιᾶς ἡμέρας δυστυχήσαντες ὡς ἅπαντα τὸν ἀγῶνα νενικημένοι· ταπεινῶς φρονεῖτε, καὶ στένετε, καὶ δακρύετε, τὰς δυστυχίας οὐ φέροντες· ἀλλ᾽ ἕν τι ὑμῖν εὐτύχημα συμβέβηκεν ἐν τοῖς κακοῖς· προστάττει Φίλιππος ὑμῖν καλὰ καὶ λαμπρὰ προστάγματα. ἃ δεῖ κυροῦν, ἀντὶ τῶν μεγίστων δωρεῶν, ἀπαλλάξαι ῥήτορος ὑμᾶς ἐσπούδακεν ἐνοχλοῦντος, πόλεμον ἐξ εἰρήνης πραγματευομένου, συνεχῶς ἐρεθίζοντος ὑμᾶς ἐφ᾽ ἃ μὴ προσῆκε. παρηγορῆσαι τὴν πόλιν ἐπὶ τοῖς ἐν Χαιρωνείᾳ πάθεσι βούλεται· δέξασθε ταύτην τὴν παραμυθίαν, καὶ δέδεχθε. τί γὰρ οὐ δεῖ τἀληθῆ λέγειν πέντε ἡμέρας ἡττήσασθαι πολλὰς προθεσμίαν μακράν; ἔδει γὰρ βουλεύσασθαι, καὶ περὶ τούτων σκέψιν προθεῖναι, καὶ οὐκ εὐθέως τῆς ἐπιστολῆς ἀναγνωσθείσης ἔκδοτον παρασχεῖν τὸν αἰτούμενον, ἀλλ᾽ ἐν μὲν τῷ πολέμῳ ταχεῖς, ἐν δὲ τῇ κρίσει τῇ περὶ τῶν πολιτῶν βραδεῖς· ἥκω τοίνυν εἰς τὸ βουλευτήριον· φθάνω τὸ ψήφισμα τὸ ὑμέτερον, πρὶν δοῦναι τὰς ἀποκρίσεις ἐκδημοκρατουμένης ἔτι τῆς πόλεως ἀπαλλάξομαι, ἀλλὰ λάβῃ με Φίλιππος ἐν Ἀθηναίων ὡς αἰχμάλωτον· ἐξαρκοῦσιν οἱ πρῴην ἑαλωκότες· ἥκω δὴ πεπεικὼς ἐμαυτόν, νόμων ἔχων καὶ λαμπρὰν τὴν βούλησιν

τοῦ θανάτου. τοῦτο ἔξαρκες τὸ προελέσθαι. τὸν μὲν γὰρ ἀδικοῦντα ἐξετασθέντα καὶ κριθέντα, δεῖ τὴν τιμωρίαν ὑπομένειν, τὸν δυστυχοῦντα δὲ θελῆσαι μόνον· οὐκ ἔστι μοι περὶ δωρεᾶς ὁ λόγος, οὐκ ἔστι μοι περὶ κηρύγματος, ἵν' ἀντιλέγητε καὶ κωλύητε, ἵνα βασκαίνητε καὶ φθονῆτε, οἷς οὐχ ὅσιον φθονεῖν· πολλή γε ὡς ἔοικεν ἡ μεταβολὴ γέγονε τῶν Ἀθήνησι πραγμάτων· οὐδὲ ἀποθανεῖν ἔξεστι βουλευσάμενον, ἀλλὰ καὶ συκοφαντοῦσιν ἡμῶν τὰς συμφοράς· ποῖ δὴ τράπηταί τις; ποῖ καταφύγῃ; παρὰ τίνων εὕρηται ταύτην τὴν φιλανθρωπίαν; ἂν ἄξιος ᾖ τοῦ ζῆν τις, ἀποθνήσκειν τοῦτον φασὶ δεῖν· ἂν ἄξια θανάτου πεπολιτευμένος, ζῆν τούτῳ παρακελεύονται ταύτην μὲν ἴσως ἐξῆν τὴν δωρεὰν λαβεῖν παρὰ Φιλίππου· καὶ γὰρ εἰ εἰς τὰ ἄλλα ἀνήμερός ἐστι καὶ σκυθρωπὸς, δίδωσι γοῦν τοῦτον τὸν ἔλεον τοῖς ἐξελθεῖν τοῦ βίου προαιρουμένοις. ἀλλὰ δεῖ καὶ τὰς αἰτίας εἰπεῖν· οὐκοῦν ἀκούσατε; πρῶτον μὲν γεγήρακα πολιτευόμενος, καὶ πᾶσι παρηκολούθηκα τοῖς ἑλληνικοῖς ἀτυχήμασι καὶ θεατὴς γέγονα δεινῶν πραγμάτων· δεῖ δὲ τὸν ἀγαθὸν πολίτην, εὐτυχούσης μὲν τῆς πατρίδος ἀφίεσθαι τοῦ βίου, καὶ τοῦ ζῆν ἐρᾶν· μεταβολῆς δ' ἐν τοῖς πράγμασι γενομένης, ὡς τάχιστα τὸν βίον ἀπολιμπάνειν· εἶτα καὶ αὐτὸς πολλὰ ἡμάρτηκα. τί γὰρ οὐ δεῖ τἀληθῆ λέγειν πρὸς ὑμᾶς; τί δὲ οὐ περὶ τὴν ὑστάτην ἡμέραν παρρησιάζομαι; ὁ δῆμος ὁ τῶν Ἀθηναίων ἐβούλετο φίλος εἶναι Μακεδόσι, καὶ παραχωρεῖν αὐτοῖς τῆς ἡγεμονίας· οὐκοῦν ἔδει ταῦτα πράττειν ἐπιτρέπειν· τί γὰρ ὦ πάντων ἀνθρώπων πονηρότατε Δημόσθενες; δότε γὰρ ἐμαυτῷ με ἐπιτιμῆσαι καὶ κατηγορίαν τῶν ἐμοὶ πεπολιτευμένων, ποιήσασθαι· τί οὖν ὦ Δημόσθενες τὸν δῆμον ἐτάραττες; τί δὲ ἐκίνεις ἀκαίρως αὐτὸν ἐπὶ τοιαύταις φιλοτιμίαις ἄρχετε τῆς θαλάττης λέγων; οὐ θέλετε ἐμβαίνειν εἰς τὰς τριήρεις; οὐ βούλεσθε ναυμαχεῖν; μὴ χρῆσθε ξενικῇ τῇ δυνάμει. τοὺς πολίτας εἰς τὸν κατάλογον τῶν μαχομένων ἐμποιήσασθε· καὶ οὐ κάλλιον θεάσασθαι τούτους ἢ μάχεσθαι, τοὺς πόρους τῶν στρατιωτῶν μὴ νέμεσθε. ὦ τῆς ἐπηρείας οὐ συγχωρεῖς Ἀθηναίους

τρυ-

τρυφᾶν, ἀλλ᾽ ἐξάγεις αὐτοὺς ἐκ τῶν διονυσίων ἐπὶ τὴν θάλατταν, καὶ κατακεκλεισμένους ἐν τῷ θεάτρῳ καὶ ταῖς πανηγύρεσι ταῖς τοιαύταις, τὰ τῶν Ἑλλήνων καταναγκάζεις πολυπραγμονεῖν πράγματα. Θετταλῶν καταλύει τὰς πολιτείας ὁ Φίλιππος. τί δέ σοι μέλει τῶν ἐν Θετταλοῖς ἀτυχημάτων; τυραννίδας ἐν Εὐβοίᾳ καθίστησιν· εἶτα δακρύεις Εὐβοέας τυραννουμένας; διοικίζει τὸ Φωκέων ἔθνος· κάλλιον γὰρ οἰκεῖσθαι κατὰ κώμας αὐτούς, ἢ κατὰ πόλεις ἀεί. εἰς τὴν Ἀμφικτυονίαν παραδύεται ἐγκαλύπτου· οὐδείς σοι τῶν ὅπλων ἕνεκεν τῶν Φιλίππου κρινεῖ· ἀπάγει τὴν ἱερὰν τριήρη τῆς Ἀττικῆς, καὶ γὰρ Λύσανδρος πρότερον πολλὰς ἡμῶν τριήρεις κατεναυμάχησεν· ἐπιβουλεύει τοῖς Ἀθηναίοις. σὺ μόνος οἶδας ταῦτα, καταμαντεύῃ τὰ μέλλοντα· πόσῳ κάλλιον ζηλῶσαι Φιλοκράτην; μιμήσασθαι τὴν Αἰσχίνου καὶ Δημάδου πολιτείαν, αἰχμαλώτους λαμβάνειν, ἐκπώματα, χρυσίον, εὐδοκιμοῦσιν οὗτοι καὶ τὸν δῆμον δοκοῦσι τῶν Ἀθηναίων φιλεῖν· κἂν μαστιγώσῃ τις αὐτῶν ὀλυνθίαν γυναῖκα θαυμάζεται. κἂν Φιλοτησίας προπίνῃ Φίλιππος, παρ᾽ ὑμῖν ἐπαινεῖται. ἀλλ᾽ ἀλγεῖς καὶ στένεις ἐπὶ τοῖς γιγνομένοις, οὐκοῦν οἴκοι στένε καὶ λυπούμενος λάνθανε. τί δὲ εἰς ἐκκλησίαν; τί δὲ εἰς τὸ θέατρον παρελθών, ἐπιτιμᾷς τοῖς Ἀθηναίοις; ἀργοὺς δὲ αὐτοὺς καὶ ῥαθύμους καλεῖς, καὶ μικρῶν λημμάτων ἥττους, καὶ τῷ θεωρικῷ δελεαζομένους, καὶ ἐοικότας τοῖς νοσοῦσι, ταῦτα σὺ ἐτόλμησας εἰπεῖν, Ἀθηναίοις ὀνειδίσαι, λοιδορήσασθαι, οὐ γὰρ ἔδεισε ἀποθανεῖν εὐθέως τὸν Κυρσίλου θάνατον ἐπὶ ῥήμασι πονηροῖς. ἐτόλμησας ὦ μιαρώτατε πάντων εἰπεῖν Ἀθηναίοις, ἐξέστητε τῆς ὑποθέσεως ἐφ᾽ ἧς ὑμᾶς οἱ πρόγονοι κατέλιπον. καὶ πάλιν, μανδραγόραν ἐοίκατε πεπωκόσιν ἀνθρώποις, ὑποκατακλινόμενοι Φιλίππῳ. ἐλοιδόρησας τὸν εὐεργέτην πάντων Φίλιππον· τὸν σωτῆρα τῆς Ἑλλάδος, βάρβαρον εἶπας αὐτόν· ὅθεν οὐδὲ ἀνδράποδον σπουδαῖον ἐστὶ πρίασθαι· τοιγαροῦν ὁ δοῦλος ὁ βάρβαρος· ἐπιτάσσει νῦν Ἀθηναίοις, ὡς φιλαίτερον ἄνθρωπον ἐχθρὸν σεαυτῷ καὶ τῇ πόλει κατεσκεύασας· ἔμελέ σοι περὶ Δωρίσκου καὶ Σερρίου· πάνυ γὰρ ἐκεῖνα θαυμαστὰ τὰ

χωρία Θράκην ὠδύρου, καθάπερ τὴν Ἀττικὴν πολιορκουμένην ὑπὲρ πάντων συγκλαίεις, Δημόσθενες, ὑπὲρ Ἰλλυριῶν, ὑπὲρ Τριβαλλῶν, ὑπὲρ Ἀμφιπόλεως, ὑπὲρ Ποτιδαίας· τοιγαροῦν ταῦτά σε ἀπολώλεκε τὰ δάκρυα! Φίλιππός σου κρατεῖ! ἀλλ᾽ ἔδει καὶ τὸ τέλειον τῶν ἀτυχημάτων Ἀθηναίοις γενέσθαι τὸ περὶ Χαιρώνειαν πάθος· μέχρι γὰρ τούτων καιρῶν ζῆν ἐσπούδακας, ὃν ὑπὸ τοὺς πρώτους χρόνους ἔδει τετελευτηκέναι. εἰ γὰρ οὐ δύνασαι φέρειν τὴν συμφορὰν τοῦ Μακεδόνος, οὐδὲ τοὺς Ἕλληνας ἀπολλυμένους ὁρᾷς ἡδέως. ἀλλ᾽ ἀλγεῖς καὶ λυπῇ, μετὰ τὴν πρώτην πόλιν ἁλοῦσαν σαυτὸν προσάγγειλον· σὺ δ᾽ ἀναμένεις ἐφησθῆναι πᾶσι τοῖς δημοσίοις κακοῖς, οἷον, ἦν πρὸ Φωκέων τετελευτηκέναι, πρὸ τῆς τῶν Ὀλυνθίων συμφορᾶς, πρὸ τῆς Εὐβοίας δεδουλωμένης, ἐκέρδανας ἂν τὸ μέγιστον κέρδος. ἐξῆλθες ἂν ἐκ τοῦ ζῆν ἀθέατος χαλεπῶν τοσούτων ἀτυχημάτων. σὺ δὲ διὰ πάντων ἔμεινας φιλοψυχῶν. ἄνανδρος ὡς ἀληθῶς ἦσθα καὶ δειλός· βραδέως ἀποθνήσκεις οὐκ ἤρκεσέ σοι τὴν παλαιὰν ἐκείνην πολιτείαν ἰδεῖν, ἀλλ᾽ εἰς τοῦτο περιέστησας Ἀθηναίων τὴν τύχην, ὥστε προστεθῆναι καὶ Βοιωτίαν τοῖς προτέροις διηγήμασι. τειχίζει τὴν Ἐλάτειαν Φίλιππος, ἀμέλει τὸ χωρίον ἐστὶ Φωκικόν· ἐπὶ Θήβας πάρεστι, βοιωτιάζεις· ἀπολλύτωσαν Θηβαῖοι μετὰ Φωκέων, Ἀθηναῖοι δὲ ἔνδον ἀκουέτωσαν τὰ δεινὰ μᾶλλον θεασάσθωσαν· ἀλλὰ φοβῇ καὶ δέδοικας μὴ μέχρι τῆς Ἀττικῆς ἔλθῃ Φίλιππος, τί θαυμαστόν; καὶ γὰρ Λακεδαιμονίους πολιορκοῦντας ἠνέγκαμεν, τὸ πρότερον οὐκ ἔστιν Ἀρχιδάμου, Φίλιππος, χαλεπώτερος. ἀλλὰ δεῖ τὸν στρατηγὸν ἐξαγαγεῖν, ἔασον καλλιερῆσαι τῇ πόλει· βραδῦναι, μελλῆσαι, παρασκευάσασθαι, δεηθῆναι τῶν συμμάχων, μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων τὸν πόλεμον ποιήσασθαι· πέμψαι παρὰ τὸν Πύθιον ἐρωτῆσαι, τί συμβουλεύει πράττειν Ἀθηναίοις. οὐ γὰρ συνεβούλευσεν ἡμῖν ἐπὶ τῶν Μηδικῶν ἃ δεῖ πράττειν· ἀλλ᾽ ἔδει καινοῦ χρησμοῦ τινές, καὶ συμβούλους ποιήσασθαι τοὺς θεούς· ἔδει πόλιν ἐλευθέραν εἶναι! δι᾽ ἐμὲ ἡ πόλις ἐδυστύχησε. δι᾽ ἐμὲ ὁμολογῶ δυστυχίαν μεγίστην ὑπὲρ τῶν Ἑλλήνων ἀ-

πάν-

πάντων, ἐπὶ Χαιρωνείας παρετάξατο μόνη. καὶ γὰρ Θεμιστοκλῆς ἥμαρτε τὸ πρότερον ἐκλιπεῖν πείσας Ἀθηναίους τὴν πόλιν· σὺ δὲ οὐδὲ τοῦτο τὸ παράδειγμα ἐφοβήθης, ἀλλὰ τοσούτους στρατιώτας εἰς Βοιωτίαν ἀπέστειλας, οὐκ ἂν εἰκότως ἐδυστυχήσαμεν. τίς ἂν ἐνέγκῃ θέαν νεκρῶν χιλίων; τίς ἂν ἐνέγκῃ δισχιλίων αἰχμαλώτων συμφοράν; οἱ μὲν, τεθνήκασιν, οἱ δὲ, οἰκοῦσι τὸ Φιλίππου δεσμωτήριον· εὐτυχέστεροι δέ γε οἱ τετελευτηκότες, μακαρίζω τούτους μᾶλλον τῆς τελευτῆς· νικῶντες τεθνήκασιν ἐλευθερίοις σώμασιν· οὐκ εἶδον Φίλιππον νενικηκότα, οὐκ εἶδον τὴν πόλιν ἡττωμένην, καὶ ταῖς μὲν ψυχαῖς ἐκράτησαν, τοῖς δὲ σώμασιν ἀπεῖπον· ἐπὶ τούτῳ ἔζησας Δημόσθενες, ἵνα λέγῃς ἐπιταφίους τῶν ἀποθανόντων; ἵνα σεμνύνῃς τὴν ἀρετὴν τῶν κειμένων; οὐχ ἱκανὰ ταῦτα προσαγγελίας, οὐ μέγιστα τὰ ἐγκλήματα, οὐ μυρίων θανάτων ἄξια; ἀλλ' ὅρα λοιπὸν καὶ τὸ κεφάλαιον τῶν σῶν ἀτυχημάτων! πέμπει Φίλιππος Ἀθηναίοις ἐπιτάγματα, δεινὰ καὶ χαλεπὰ οὐ τριήρεις αἰτεῖν νῦν, οἷον γὰρ ἦν τὸ δεινόν· οὔτε τείχη καθελεῖν· ἀλλ' ἄνδρας δημαγωγοὺς τῆς πόλεως τὴν παῤῥησίαν, τῶν Ἀθηναίων τὴν ἐκκλησίαν· τὸ βῆμα ἁρπάζει τὴν παῤῥησίαν οἰκουμένων Ἀθηνῶν, καὶ φησὶν, λεγέτω μηδεὶς, δημαγωγείτω μηδεὶς, ἄφωνος ὁ δῆμος ἔστω, καὶ τούτων ἀνέχεσθε ὑμεῖς. τί γὰρ ὀκνήσω καὶ ὑμῖν ἐπιτιμῆσαι ἄνθρωπος μέλλων ἀποθανεῖν; ἀλλὰ γῆν μὲν καὶ ὕδωρ αἰτήσαντος βασιλέως, τὸν ἄνθρωπον ἐκεῖνον ἐξεκηρύξατε, καὶ πρὶν ἥλιον δύναι τῆς Ἀττικῆς ἐξελθεῖν ἐκελεύσατε· Φιλίππου δὲ αἰτοῦντος τὸ μέγιστον κτῆμα τῶν Ἀθηνῶν, ἡττήθητε τῶν ἐπιταγμάτων· ᾐτήσασθε γὰρ πέντε ἡμέρας, οὐκ ἐλεοῦντες, οὐδὲ φιλανθρωπίᾳ χρώμενοι. ἀλλ' ἵνα με τῇ λύπῃ προαναλώσαντες, οὕτως ἔκδοτον Μακεδόσι παράσχητε, οὐκ ἐγνώρισα τὴν ἐκκλησίαν, οὐκ ἐγνώρισα τὰς ἀποκρίσεις· οὕτως ὁ δῆμος Ἀθηναίων βουλεύεται· εἴτε γὰρ μισοῦντες ᾐτήσασθε τὰς ἡμέρας, φθάνω τὸ μῖσος τὸ ὑμέτερον, εἴτ' ἐλεοῦντες ἵνα συνεὶς τῆς φιλανθρωπίας τῆς ὑμετέρας προσαγγείλω, βεβαιῶ τὴν γνώμην, τὴν ὑμετέραν· Δημοσθένης ἐπὶ μιᾶς ἡμέρας περὶ τῶν αὐ-

τῦ βυλεύεται. τέθνηκα ἤδη τῷ λογισμῷ· πᾶσιν ἀπεταξάμην, τοῖς οἰκείοις, τοῖς φίλοις, τῇ θυγατρὶ, ἣν καταλείπω μόνην. ἐάσατέ με ὑπὸ τῶν ταύτης ταφῆναι χειρῶν! ἀγήοχα καὶ ταύτην εἰς τὸ βυλευτήριον δεομένην ὑμῶν καινὴν δέησιν· ἐλεήσατέ με τὸν πατέρα· ἀπόδοτε αὐτῷ ταύτην τὴν χάριν, ἀντὶ Βυζαντίυ, καὶ Χεῤῥονήσυ, καὶ τῶν ψηφισμάτων, ὧν ἐπολιτεύσατο, ἀντὶ τῶν ἀποςόλων, ὧν ἔπεμψεν, ἀντὶ τῶν τειχῶν, ἃ κατεσκεύασεν, ἀντὶ θαλάττης, ἣν ἐτείχισε, ἀντὶ νεῶν, ἀντὶ συμμάχων, λαβόντες αὐτὸν ἀποκτείνατε· ἀλλ' ἀναμένω τὰς ὑμετέρας κρίσεις, καὶ τῆς γνώμης τὸ τέλος μανθάνω, καὶ διελέγξω τὰ ἀπόῤῥητα τὰ ὑμέτερα· φθάσαι κάλλιον, προλαβεῖν λυσιτελέςερον· ἀλλὰ παραμυθῦνταί με ὅτοι καὶ φασὶ τῦ διοχλῦντος ὁ δῆμος· ἀνθέξεταί μυ τῦ σώματος, καὶ ὐκ ἔςιν ὅπως προήσεταί με τοῖς Μακεδόσι· τί ῦν ὐκ εὐθέως ἀπεκρίνατο, ὐδὲ παραυτὰ τὴν γνώμην ἐξέφηνε τὴν ἑαυτῦ; ἀλλ' ἵν' ἄξιον φρονήσῃ τῶν πατέρων πέντε ἡμερῶν. δεῖ γάρ τί δ' ἂν καὶ γενοίμην αὐτῷ χρήσιμος ἐνταυθοῖ μένων· ἵνα τί εἴπω παρελθὼν, τίνας συμβυλίας ποιήσωμαι, ἵνα ἐρεθίσω πάλιν ὑμᾶς ἐπὶ τὰς μάχας· ὐ γάρ ἐςιν ὅπως ἐμπνέων ἔτι Δημοσθένης ταύτης τῆς τάξεως ἀποςερήσεται. ἀλλὰ κἂν μυριάκις ἡττηθῶμεν μαχόμενοι, ἀήττητον τὴν προαίρεσιν ἐπιδείξομαι τὴν ἐμαυτῦ· ἐρῶ πλεῖτε, κἂν μὴ πλέητε, ἐρῶ ςρατεύεσθε, κἂν ἡσυχάζητε. παρώξυγκέ με τὸ περὶ Χαιρώνειαν πάθος, τολμηρότερόν με καὶ θρασύτερον ἐπὶ ταῖς δημηγορίαις πεποίηκεν· ἔχω ταύτην τῦ μίσυς ὑπόθεσιν. κἂν οἱ νέοι ςρατεύεσθαι μὴ θέλωσι, τὺς πατέρας τῶν περὶ Χαιρώνειαν τετελευτηκότων παρατάξαι πειράσομαι· ἵν' ῦν μηκέτι τύτων ἀκύητε τῶν λόγων, ἀλλὰ ἀπαλλαγῆτε τῦ διοχλῦντος, τῦ διοχλῦντος ὑμᾶς, ἀποκτείνατε, λυπήσατε Φίλιππον, ἀχθεσθήσεται Δημοσθένους τε τελευτηκότος, ἐν Ἀθήναις ταφέντος. μὴ γὰρ ἴδοιμι ταύτην ἐγὼ τὴν ἡμέραν. μηδὲ θεασαίμην ἐκεῖνο τὸ θέαμα, ἐμαυτὸν ὑπὸ τῶν δορυφόρων ἀγόμενον καὶ βαδίζοντα τὴν ἐπὶ Μακεδονίαν ὁδὸν, διὰ πυλῶν

λῶν ἃς ἔκλεισα, διὰ Φωκέων οὓς ἔκλαυσα. οὐ βούλομαι τὰς κοινὰς κώμας ἰδεῖν τῶν ἑαλωκότων· οἷα γὰρ καὶ πείσομαι. θεάσεταί με Φίλιππος δεδεμένον· εἰσάξει με εἰς τὸ δεσμωτήριον τῶν ἑαλωκότων, ὃν οὐκ ἐχειρώσατο· ἐρεῖ ταῦτα· τούτους ἐπὶ Χαιρωνείας ἔλαβον, τοῦτον ἐξ Ἀθηνῶν, ἐκείνους ἐκ μάχης, τοῦτον ἐκ προστάγματος· κἂν μὲν εὐθέως ἀνέλῃ με, μέτριον πολλῷ τὸ δεινόν· νυνὶ δὲ, οἶδα γὰρ τὴν ὠμότητα τοῦ βαρβάρου, καὶ τὴν ἀκολασίαν, καὶ τὴν ἀσέλγειαν, καὶ τὸ μῖσος, ἐμπλησθήσεται τοῦ σώματος, καθ' ἑκάστην δημηγορίαν, καινῶν βασάνων, προπηλακίζεται τὸν δημαγωγὸν, τὸν ἄνθρωπον· ὑπὲρ τοῦ Βυζαντίου βασανισθήτω, ὑπὲρ πυλῶν καυσάτω τις αὐτὸν, ὑπὲρ Χαλκιδέων ἀναλωσάτω· πολλοὺς ὑπὲρ Ὀλυνθίων λόγους ἐποιήσατο· ὄψεταί με Εὐθυκράτης δεδεμένον· ὀνειδιοῦσι μοι τὴν εὔνοιαν, τὴν πρὸς ὑμᾶς ἐπαινέσουσιν αὐτοὺς τῆς προδοσίας· πῶς ἄν τις ταῦτα ἐνέγκῃ τὰ δεινά; πᾶς τις ὑπομείνῃ τὸ μέγεθος τῶν κακῶν ἐκεῖνο πάντων ἀλγεινότατόν ἐστιν, ἂν εἴπῃ παραστὰς Φίλιππος· ὦ πάντων ἀγενέστατε Δημόσθενες, οὐκ ἔδοξας Ἀθηναίοις οὐδὲ προσαγγελίας ἄξιος, ἐφθόνησάν σοι καὶ τελευτῆς ἀναγκαίας· μὴ, πρὸς τῆς Ἀθηνᾶς! ἄνδρες, μηδὲν ἐάσητε πραχθῆναι τούτων ἀτυχημάτων, ἀλλ' αὐτοὶ καταψηφίσασθε τὸν θάνατον βούλομαι δὲ ἀπαλλαττόμενος τοῦ λόγου, καλέσαι τοὺς ῥήτορας ἅπαντας· ἐγὼ μὲν ἐξέρχομαι τοῦ βίου, καὶ ταύτην ἄπειμι τὴν πορείαν, ἣν ἐβράβευσεν ἡ τύχη καὶ τὸ δαιμόνιον· ὑμῖν δὲ καταλιμπάνω τὰς Ἀθήνας οἰκουμένας, τὸν Πειραιέα μεστὸν σκαφῶν· οὐδεὶς ἐκεῖ Μακεδόνων ὁρμίζεται, κενὸς ὁ λιμὴν τριηρῶν πολεμίων· ἔχετε καὶ τεῖχος, ἔχετε καὶ συμμάχους· ἔστιν ὑμῖν καὶ χρήματα· πρὸ τούτων ἁπάντων, ἐκεῖνο λογίσασθε, μίαν μάχην νενίκησθε· πολυάνθρωπός ἐστιν ἡ τῶν Ἀθηναίων πόλις· οὐκ ἦσαν μόνοι τρισχίλιοι· ἐντεῦθεν ἐξέπλευσαν ἀπόστολοι πολλοί. ἐντεῦθεν συμμαχίαι γεγόνασι πολλαί· μετὰ τὸν θάνατον τὸν ἐμὸν, τὰς ἐμὰς δημηγορίας ἀναγνώσεσθε. ἀπολείπω γὰρ ὑμῖν κτήματα τιμιώτερα χρημάτων, τοὺς λόγους, τοὺς κατὰ τῶν Μακε-

δόνων, ἐνταῦθα πάντα ὄψεσθε τὰς ἀρετὰς, τὰ κατορθώματα· πείθητέ μοι μετὰ τὴν τελευτὴν εἰ καὶ ζῶντος ὠλιγορήσατε· ἐγὼ δ' εἰ καὶ νῦν δυστυχῶ καὶ τοῖς πολλοῖς ἐκταικέναι δοκῶ, τεύξομαι τῶν ἄθλων τῶν προσηκόντων. οὐκ εἰκῆ ταῦτα οἱ μυθογράφοι λέγουσιν, οὐδὲ πλάττουσι τοὺς λόγους, ἀλλ' ὡς ἐν θεοῖς γεγονότες τἀληθῆ τεκμαίρονται· ἔστι τις χῶρος ἀνιερωμένος τοῖς καθαρῶς τὸν βίον διαγαγοῦσι, καὶ κρίσεις καὶ δικαστήρια, εἰς ἐκεῖνον ἀφίξεται Δημοσθένης τὸν τόπον· ὅπου τὸν Ἀριστοτέλην εἶναι λέγουσιν, ὅπου τὸν Ἀριστείδην, ὅπου Μιλτιάδην, ὅπου Θεμιστοκλέα, ὅπου Θησέα, τοὺς ἥρωας τοὺς παλαιοὺς, διαδικάσομαι πρὸς ἐκείνους περὶ τῶν κατορθωμάτων· πρὸς μὲν Θησέα τούτους ἐρῶ τοὺς λόγους· σὺ μὲν ᾤκισας τὴν πόλιν τῶν Ἀθηναίων κατὰ δήμους οἰκουμένην· ἐγὼ δὲ σῶαν ἐτήρησα· σὺ Μιλτιάδη τὴν ἐν Μαραθῶνι μάχην ἐνίκησας, μιᾶς μοι λέγεις ἡμέρας ἔργον· ἐγὼ δὲ ἐν πολλῷ χρόνῳ πρὸς τὴν φορὰν τὴν Φιλίππου παρεταξάμην· σὺ δὲ Θεμιστόκλεις ἐπὶ Σαλαμῖνος κατώρθωσας, ἐγγὺς ἡ θάλασσα τῆς Ἀττικῆς καὶ τὸ χωρίον πλησίον ὁρώμενον τῶν Ἀθηνῶν· ἐγὼ δὲ, μέχρις Ἑλλησπόντου καὶ τῶν τόπων, τὴν εὐτυχίαν ἐξαγώγιμον ἀπέφηνα τῶν Ἀθηναίων· σὺ τοὺς φόρους ἔταξας, Ἀριστείδη, ταῖς πόλεσι καὶ τοῖς συμμάχοις. ἐγὼ δὲ αὐτὰς τὰς πόλεις ἐξειλόμην, τῶν ὅπλων τῶν Φιλίππου. ὑμεῖς στρατευόμενοι καὶ πονοῦντες· ἐγὼ δὲ ὀμνύων τὰ ὑμέτερα κατορθώματα.

Φιλάργυρος ἐρασθεὶς ἑταίρας, καὶ μισθὸν αἰτούμενος, ἑαυτὸν προσαγγέλλει.

Εἰ μὴ καὶ ὑμεῖς ἀργύριον ὦ βουλὴ τοῦ κωνείου με πράξεσθε, ἥδιστ' ἂν μηδὲν διδοὺς ἀποθάνοιμι. οὕτω κακῶς πράττω νῦν ἐρασθεὶς γυναικός· καλῆς μὲν, νὴ τοὺς θεοὺς, καὶ ἐρᾶσθαι δικαίας, ἀντεραστὴς δὲ οὐκ ἐμοῦ, ἀλλὰ τοῦ μου χρυσίου· οὗ λέληθα αὐτῆς πρεσβύτερόν γε καὶ σφοδρότερον ἔρωτα ἐρασθείς. ὥρμησα μὲν οὖν πρὸ τῶν τῆς ἐρωμένης θυρῶν, ἀναρτήσας ἐμαυτὸν ἀπαλλαγῆναι τοῦ βίου, καὶ γὰρ δὴ καὶ ἄλλους εἶδον ἐκεῖ τοῦτο ποιοῦντας πολλούς· λόγος δέ μέ τις ἐμπεσὼν, εἴτ' ἀληθὴς, εἴτε καὶ οὔ, διετάραξεν, ὡς ἄρα τοὺς χωρὶς ὑμῶν διαχρήσασθαι σφᾶς βουλομένους, εἶτα ληφθέντας, χρήμασι πολλοῖς ζημιοῦσιν οἱ νόμοι. ἵν' οὖν μὴ τοῦτο παθὼν τοῦ γε θανάτου διαμάρτοιμι, καὶ χρήματα προσθεὶς ζωὴν, βίον θανάτου πολὺ χαλεπώτερον, τὸν μὲν ἐπιζήμιον ἐκεῖνον θάνατον, ἀπολέλοιπα, παρ' ὑμᾶς δὲ ἧκον, ὦ βουλὴ, οἷς δοῦναι μὲν οὐκ ἔστι, λαβεῖν δὲ εἰ καὶ μηδὲν χρηστὸν ζημιούμενον· ἀλλ' οὖν λαβεῖν μηδὲν ζημιούμενον· ὡς μὲν οὐχ ἡδὺς ὁ βίος χρυσίου τε εὔφορος ὢν καὶ γυναικὸς οὕτω καλῆς, οὔποτ' ἀρνηθείην, οὐδ' ὡς οὐκ ἂν ἥδιστ' ἐβίων, εἰ ἀμφοῖν τούτοιν ἐξῆν ἀπολαύειν μηδὲν ὧν κέκτημαι προϊέμενον· εἰ δ' ἀναγκαῖον ἢ τῷ τῆς ἑταίρας ἔρωτι χαριζόμενον, προδιδόναι τι τῶν χρημάτων, ἢ τούτων ἀντεχόμενον διαμαρτάνειν ἐρωμένης καλῆς, τρίτου μοι τινὸς ἔρωτος δεῖ, δι' οὗ τούτοιν ἀμφοῖν ἀπαλλάξομαι. ἔστι δὲ οὗτος, ὁ, τοῦ παρ' ὑμῖν, ὦ βουλὴ, κωνείου δότε δή μοι, πρὸς Διὸς, ὦ φίλτατοι, δότε, ὅσον ἀποδύρασθαι τὴν ἐμαυτοῦ τύχην πρὸς ὑμᾶς ἀναμείναντες, καὶ δι' ἃ τοῦ θανάτου δικαίως ἐρῶ προδιεξελθεῖν, ἐξ ἀρχῆς, ὦ βουλὴ, δυστυχὴς ἐγενόμην ἐγὼ,

ἐγώ, καὶ ὃ ῥᾷστα τυχὼν ὧν ἐπεθύμησα· ἐπεθύμησα δὲ, ὃ πᾶς ἂν εὖ φρονῶν εἰκότως ἐπιθυμήσειε, συναγαγεῖν ὡς πλεῖστον, χρυσίον καὶ ἔχειν οἴκοι παρ' ἐμαυτῷ, καὶ ἠδὲ μηδέποτε. οὕτως γὰρ ᾤμην ἐν τοῖς πλουσίοις καὶ αὐτὸς τεταγμένος εἶναι τι δοκεῖν ἐν τῇ πόλει, καὶ μὴ καθάπερ ἀνδράποδον δεῦρο κἀκεῖσε περιελαύνεσθαι πένης καὶ πτωχὸς, καὶ μηδὲ ζῆν μηδ' ἀναπνεῖν ἄξιος παρὰ τῶν τὸ χρυσίον ἐχόντων ἀποκαλούμενος· καὶ δικαίως, ὦ βουλή· τί γὰρ ἀνδραπόδων διαφέρουσιν οἱ χρυσίου μηδένα ποιούμενοι λόγον; καὶ οἱ μὴ κτώμενοι παντελῶς ὑπ' ἀργίας καὶ μαλακίας, ἢ κτησάμενοι διὰ τύχην τινὰ δεξιάν· εἶθ' οἱ θεοὶ καθάπερ ὕδωρ ἀλλ' οὐ χρυσίον ἐκχέοντες, κἄπειθ' ὥσπερ κηφῆνες ζῶντες, ἐκ τῶν ἀλλοτρίων πόνων παρατρεφόμενοι· τῶν τοιούτων δὴ μηδὲ γενοίμην, ὦ βουλὴ, δεδοικὼς ἐπεθύμησα χρυσίου πολλοῦ γενέσθαι δεσπότης, καὶ εἷς τις τῶν πλουσίων εἶναι καὶ εὐδαίμων. πρὸς οὖν ταύτην μου τὴν ἐπιθυμίαν, οὕτω δυστυχὴς ἐγενόμην. οὐ φίλος μέ τις ἔγραψε κληρονόμον, οὐ συγγενὴς ἐπ' ἐμοὶ τέθνηκεν, οὐκ ἐπὶ κλήρου τινὸς ἐπεδικασάμην, οὐ παρακαταθήκην τις δοὺς. ὁ μὲν ἀφανὴς ἐγένετο, ἡ δὲ, ἔμεινε παρ' ἐμοί. θησαυρὸν μὲν εὑρεῖν εὐτυχεστέρου τινὸς, ἢ κατ' ἐμὲ τίθημι· ἀλλ' ὥσπερ οὐ τυφλὸς μόνον ὁ πλοῦτος ὤν, ἀλλὰ καὶ χωλὸς ἄμφω τὼ πόδε, οὕτω χολῇ καὶ μόλις καὶ ὀβολὸν ἐπ' ὀβολῷ φέρων. εἰς ἐμοῦ παραγίγνεται· καὶ ταῦτα οὐχ ἑκὼν, μὰ τοὺς θεοὺς, ἀλλὰ μόνον οὐκ ἀγχόμενος ὑπ' ἐμοῦ, καὶ βίᾳ πανταχόθεν περιελκόμενος. ἀπέοικε γὰρ οὐδὲν οὐδὲ οὗτος τῆς ἑταίρας τοὺς τρόπους, τὸν μὲν ἀγαπῶντα ἐμὲ, καὶ περὶ πλείστου τὸ κείνου πρᾶγμα τιθέμενον, καὶ τῆς ψυχῆς ταυτησὶ προτετιμηκότα, μήτε ἀνταπάγων παραπλησίως, μήτε ἀδραῖς ταῖς χερσὶ περιβάλλων, ὥσπερ εἰκὸς ἦν τὸν ὅλον πρὸς αὐτὸν κεχηνότα. πρὸς δὲ τοὺς μεθ' ὕβρεως ἐξωθοῦντας αὐτὸν καὶ ἀσελγῶς ἀεὶ κεχρημένους, πολλάκις εἰσοικιζόμενος, καὶ πληρῶν αὐτοῖς τὰ πάντα χρυσίου, ὡς ἐπεθύμησα μὲν καὶ τότε θανάτου καὶ ἧξα πολλάκις ἐφ' ὑμᾶς, ὦ βουλή· ἐννοήσας δὲ ὅμως τουτὶ τὸ λεγόμενον ὡς ὁ σμικρὸν ἐπὶ

σμι-

σμικρῷ καταθεὶς, καὶ τοῦτο τὸ μικρὸν μέγα ποιεῖ, καρτερεῖν ᾤμην δεῖν, καὶ μηδενὸς τῶν διδομένων καταφρονεῖν· κἂν ὀβολὸς, κἂν χαλκοῦς, κἂν ὅτι δήποτε ᾖ τῶν ἐλαττόνων, νόμον τέθεικα, καὶ τῷ νόμῳ, καὶ ὅρκον προσέθηκα. τὸ τεθὲν ἅπαξ, μηδενὶ τρόπῳ τῆς οἰκίας τῆς ἐμῆς προεξελθεῖν, ἀλλὰ κἂν λιμῷ δέῃ τεθνάναι, τοῦ κειμένου μὴ ἅψασθαι, ἀλλ' ὥσπερ ἱερὸν ἄσυλον καὶ ἄψαυστον ἐᾷν· πλὴν ὅσον ἀπαριθμήσασθαι δὶς ἢ τρὶς τῆς ἡμέρας, καὶ ὅσον χθὲς ἦν καὶ ὅσον προσέθηκα τήμερον, καὶ ὅσον αὔριον δεῖ γενέσθαι συλλογισάμενον ἀπελθεῖν· μὴ οἰκέτῃ, μὴ φίλῳ, μὴ συγγενεῖ, πόσον τέ ἐστι καὶ ποῦ τὰ νῦν κατάκειται φράσαντα· τοῦ τε μὴ ἐπιβουλεύεσθαι χάριν, καὶ τοῦ μὴ αἰτεῖσθαι παρὰ τῶν τότε φασκόντων εἶναι φίλων καὶ συγγενῶν, ὅταν ἐπηρεῶ τί δέῃ· ἠδέσθην μὲν γὰρ οὐδ' ἂν ἕνα αὐτῶν, οὐδ' ἂν ῥύπον ἀργυρίου προηκάμην τινὶ, τοῦτο γάρ ἐστιν ἀργύριον ἀγαπᾷν ἀντ' αὐτοῦ, ἵνα μηδ' ἐνοχλοῖεν ὅλως, μηδὲ προσίοιεν. μηδὲ δὸς λέγοιεν πολεμιώτατον ὄνομα ἀκούειν ἐμοὶ, οὐδ' ὅτι κέκτημαι κατάδηλος εἶναι βουλόμενος· μὴ γὰρ δὴ οἴεσθε, ὦ ἄνδρες, βούλομαι γὰρ ἐπειδὴ προϊὼν τοῦ τε βίου καὶ τῶν φιλτάτων χρημάτων διὰ τὴν χρηστὴν ἐρωμένην στερήσομαι, ὑμῖν ὥσπερ τινὰ κλῆρον τοῦ περὶ τοῦ κτᾶσθαι διδασκαλίαν καταλιπεῖν· μὴ οὖν δὴ οἴεσθε πολεμιώτερον εἶναί τι τῷ πλουτεῖν βουλομένῳ, τὸ σφόδρα εὐχερᾶς καὶ ἀνοήτως ἅπαξ εἰς τὰς χεῖρας ἐλθὸν, αὖθις προΐεσθαι, ἀλλ' εἶναι δύο ταύτας ἀρχὰς πλούτου συλλογῆς, μήτε προσιόντος κέρδους καταφρονεῖν κἂν σφόδρα μικρὸν δοκῇ τισιν ἄλλοις· οὐ γάρ ἔμοιγε μικρόν τι πώποτε κέρδος ἐφάνη, καὶ τὸ ἅπαξ δοθὲν ἀπρὶξ κατέχειν· καὶ ὡς ἕν τι τῶν φιλτάτων ἀεὶ περιέπειν, οἷς ἀμφοτέροις, βουλοίμην μὲν ἂν χρήσασθαι· καὶ ὑμᾶς μετὰ τὴν ἐμὴν τελευτήν, ἐγὼ δὲ εἰς δεῦρο σφόδρα ἀκριβῶς διεφύλαξα. καὶ οὐδεὶς ἄν με ἐλέγξειεν, οὐδεὶς ἕτερον τούτων παρανομήσαντα· ἀλλὰ τοσούτῳ φοβερωτέραν ἐμαυτῷ κατέστησα, τὴν εἰς ταῦτα παρανομίαν, ἢ ὑμεῖς τὴν εἰς τοὺς νόμους τῆς πόλεως· ὥσθ' ὑμεῖς μὲν, ἀτιμίᾳ τοὺς παρανομοῦντας κολά-

ζετε

ζετε, ἐγὼ δὲ θανάτου τοῦτο ἐτιμησάμην. καὶ νῦν ἐπειδὴ καιρὸς ἧκε ζημίας ἀπαραίτητος, καὶ θεὸς βίαιος ἐπιστὰς οὐκ ἐᾷ κρατεῖν με τῶν ἐμαυτοῦ λογισμῶν, ἀλλ' ὥσπερ τύραννος τοὺς νόμους λύειν βιάζεται, καὶ τὸ χρυσίον ἐκ τῶν ἐμῶν χειρῶν εἰς ἑτέρους μετάγειν, ὃ τῶν πικρῶν τυραννίδων ἐστὶ τὸ βαρύτατον· ἵνα μὴ παρανομεῖν βιασθῶ, τεθνάναι μᾶλλον εἱλόμην· πρὶν δὲ εἰς ἀνάγκην τοιαύτην ἐλθεῖν, οὔ ποτε ὑμᾶς ὦ φίλτατα χρήματα, ἐγκατέλιπον, οὐδὲ τοὺς ἐμοὺς ἐφ' ὑμῖν νόμους, παρέβην· ἀλλὰ καὶ προσέθηκα ἀεί, ὅπερ ἅτερος νόμος κελεύει, ἀφειλόμην δ' οὐδέποτε θατέρου νόμου τὸ ἐπίταγμα. ὅθεν καὶ προσετίθην, καὶ πῶς ταῦτα ἐφύλαττον, ποθεῖτε ἴσως μαθεῖν, καὶ τελείαν τὴν διδασκαλίαν λαβεῖν; ἀκούετε δή, καὶ γὰρ ἐμαυτῷ χαριζοίμην ἄν, μετάγων τὴν ψυχὴν ἀπὸ τῶν δακνόντων αὐτήν, ἐπὶ τὰ ἡδονὴν ἀεὶ παρεσχηκότα· πρόσοδοι τοίνυν ἐμοὶ πρῶτον μὲν, αἱ κοιναί, οἷον, εὖ ποιῶν ὁ νομοθέτης καὶ τὴν αὐτὴν ἐμοὶ ἔχων γνώμην, οὐδὲν ὧν προσέταττεν ᾤετο χωρὶς κέρδους τῶν ποιούντων γενήσεσθαι. οὐκ ἐκκλησίαν, οὐ δικαστήριον, οὐ βουλήν, οὐ πανήγυριν, ἀλλὰ μάτην ἀνεῶχθαι τὰ δικαστήρια, μάτην τὴν ἐκκλησίαν, μάτην τἆλλα συνέδρια. μὴ τῶν πληρούντων αὐτὰ, κἂν τῷ βαλαντίῳ τι κατατιθέμενον· διὸ κἂν θεωρῇ φησὶ, τὼ δύ' ὀβολὼ λαμβανέτω· ἵνα μὴ οἴκοθεν θέαν πριάμενος πλέον δάκνηται ζημιούμενος, ἢ θεώμενος τέρπεται κἂν δικάζῃ, ὁ μισθὸς ἔξω τῷ μέλλοντι τῆς τῶν δικαζομένων κραυγῆς, καὶ ἀναισχυντίας ἀνέξεσθαι· καὶ καθάπαξ. ὅποι μέλλει τὴν πόλιν εἰσιὼν ὠφελεῖν, κερδαινέτω παρὰ τῆς πόλεως. δίκαιον ὦ θεοὶ τὸ κέρδος· καὶ σοφοῦ νομοθέτου τὸ ἐπίταγμα, μὴ κεναῖς χερσὶν ἀπελθεῖν τὸν τὴν ἡμέραν ὅλην ὑπὲρ τῶν κοινῶν κατατρίψαντα. ταῦτ' οὖν ταῖς προσόδοις οὐ παρέργους προσεῖχον, ὦ βουλή, ἀλλ' ὁσάκις θεωρικοῦ διανομὴν ἡ πόλις ἐποίει. ὁ μὲν γείτων ἐκάθευδεν ἄν, καὶ ὑετὸν ἢ κρύος ἀντὶ τῆς ἀργίας ἐμποδὼν εἶναι φήσας, ὑπερεφρόνει τοῖν δυοῖν ὀβολοῖν· καὶ σεμνότερος ἦν τῶν νόμων, ἐμοὶ δέ, οὐδὲ ὕπνος ἐπῄει, οὐδ' ἦν τὰ ἐκ τοῦ οὐρανοῦ δεινὰ,

φοβε-

φοβερώτερα τοῦ μὴ λαβεῖν, ἀλλὰ μέσων νυκτῶν ἀναστὰς, ἐφεστήκειν ἂν τῷ διανέμοντι. καὶ κατὰ σχολὴν τἀργύριον καταριθμηθεὶς ὅπερ οὐκ ἂν ὑπῆρξε μετὰ πολλοὺς ἐληλυθότι· ἀλλὰ προσέρριψεν ἂν ἐν τῷ ὄχλῳ τὸ ἥμισυ, ἀπῄειν οἴκαδε τὸ πᾶν ἔχων, καὶ πρίν τινα κινηθῆναί τις εἶχε τὼ δύ' ὀβολώ· θέαν δ' οὐκ ἂν ἔτ' ἐπριάμην, ἀλλ' ἐρρῶσθαι φράσας τῷ ἀρχιτέκτονι καὶ τῷ σεμνῶς καθῆσθαι θεώμενος, ἑστὼς ἐθεώμην παρενείρας που τοῖς μετοίκοις ἐμαυτὸν ἢ τοῖς ξένοις. καὶ οὕτως ἡ τέρψις ἦν οὐκ ἐλάττων, καὶ τἀργύριον πλέον· ταύτην τε οὖν τὴν πρόσοδον οὕτω συνελεξάμην, καὶ ἔτ' ἀκριβέστερον τὰς λοιπὰς, τὸν δικαστικὸν μισθὸν, τὸν τῆς ἐκκλησίας· καὶ ὃν νῦν ὑμεῖς ὦ μακάριοι λήψεσθε. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ὅτε δικάζειν κληρουμένων τῶν φυλετῶν ἀπελείφθην ἐγώ. ἐν μὲν τῷ πολλάκις κληροῦσθαι, πολλάκις δικάσειν οἰόμενος, ἐν δὲ τῷ πολλάκις δικάζειν, πολλάκις ἂν λαβεῖν ὀβολούς· τοὺς δ' ὀβολοὺς τούτους, συνεχῶς διδομένους, γίνεσθαι δραχμὰς φυλαττομένας, γίγνεσθαι μνᾶς· ὥσθ' ὃ μικρὸν ὑμεῖς καθεκάστην οἴεσθε, τοῦτ' ἐμοὶ συγκεφαλαιούμενον, γίγνεται μέγα· καὶ οὐ τοῖς ἄλλοις ἀναίσθητος ἡ ὠφέλεια, τούτου μοι γέμει βαλάντιον· γέμει δὲ πλείονα κἀκ τῆς ἐκκλησίας, τρίτον διδούσης ἑκάστου μηνός. ἀνὰ τὰς συγκλήτους, ἀπέχω. ἐν δὲ τοῖς μεγάλοις καὶ κατεπείγουσι πράγμασι, καὶ πλέον τοῦ συνήθους λαμβάνουσιν οἱ πρῶτον παραγενόμενοι, ὅτε δὴ ὁ πρύτανις ἔφθασεν, ὦ βουλὴ, ὁ πρόεδρος, οὐχ ὁ τὰς κλεῖς ἔχων τῆς πυκνὸς ἐπιστάτης οἶδα πολλάκις, νὴ τοὺς θεοὺς, πρὸ τῶν τοξοτῶν ἀφικόμενος, καὶ λαβὼν ἂν τὸν τοῦ τάχους μισθόν. προσελάμβανον αὖθις τὸν τῆς ἐκκλησίας, καὶ οὕτως ἐπληροῦντο τὸ τοῦ ἔπους. τὸ, ἔνθα κἄϋπνος ἀνὴρ, δοιοὺς ἐξήρατο μισθοὺς πρόσθετε τούτοις, ὦ βουλευταὶ, τὰς παρὰ τῶν γάμους μνωμένων· τὰ παρ' ἑκάστου τῶν γαμούντων, τὰ παρὰ τῶν ἀρχὰς εἰληφότων· οἷα διαιτήσας ἔλαβον, ὅσα συνθήκας παραγενόμενος, ὅσα τοῖς πωλοῦσιν, ὅσα τοῖς ὠνουμένοις, ὅσα τοῖς διαθήκας γράφουσι· κιχρῶν τὴν χεῖρα πανταχοῦ, καὶ παρέχων ἰσχὺν τοῖς ἐκείνων γράμμασι διὰ τῶν ἐμαυ-

τοῦ· εἰ γοῦν καταμάθοι τις αὐτῇ πόλει γραμματεῖα, οὐχ ἑνὸς ἔτους, οὐδὲ δυοῖν, ἀλλὰ τόσων καὶ τόσων, τὰ πλεῖστα ἂν εὕρῃ τῇ μῇ χειρὶ βεβαιούμενα. ὧν τὸ κέρδος ὅστις φυλάττοι καθάπερ κἀγώ, οὐδένα ἂν εὕροι, τῶν εὐφορωτάτων ἀνδρῶν, τοσαύτην ἀποφέροντα πρόσοδον· ἀλλὰ γὰρ ἀγροῦ μνημονεύσας, ἐπιθυμῶ τὰς ἐκεῖθεν προσόδους διεξελθεῖν, καὶ προσέτι συνοικιῶν, καὶ ὅσας τὰ ἐργαστήρια δίδωσι· τοιαῦτα γὰρ τἀμὰ κτήματα, οὐ τέρψιν διδόντα τοῖς ὀφθαλμοῖς, ἀλλ' ἀργύριον τῇ χειρί. κἂν εἰς ἀγρὸν ἔλθοι τις ἐμόν, οὐ δένδρα ὄψεται μακρὰ καὶ εὔκαρπα στοιχηδὸν ἑστῶτα, τὸν ἥλιον ἀποκλείοντα τοῖς βαδίζουσι. οὐ λουτρὰ δὶς μὲν ἢ τρὶς τὸν δεσπότην λούσαντα, τὸν δὲ ἄλλον χρόνον ἐνηχεῖν ἑστῶτα τοῖς τῶν ἀγροίκων παιδίοις. οὐδὲ οἰκήσεις ἀρκούσας μὲν ὄχλῳ πολλῷ μηδὲ ἄνθρωπον ὑποδεχομένας, καὶ γῆν πολλὴν μὲν ἐπεχούσας, σκιαζούσας δὲ πλείονα, ἣν ἄν τις εἰ κατέσπειρε, κέρδος ἦν οὐκ ὀλίγον, οὐχ οὕτως γὰρ ἠλιθίως ἐμοί, τὰ τῶν ἀγρῶν διατέτακται. ἀλλὰ τίς ἂν ἀμείψειεν ἀργυρίου πρὸς ταῦτα; ἀνεῖται ἡ γῆ πυρούς, κριθάς, οἶνον, ἐλαίας, ἰσχάδας, ἃ κἂν ταῖς ἀρούραις ὄντα, μόνον οὐκ ἀριθμήσας, τοῖς φύλαξι παραδίδωμι, καὶ τεθέντων εἴσω, μὴ ὅτι ἄνθρωπος, ἀλλ' οὐδ' ἂν μῦς, ἢ ὄρνεον λάβοι. δῶρον μὲν γὰρ ἂν αἰτῇ τις καὶ σκώπτῃ μὴ διδόντα, ἔσκωψε μέν, οὐκ ἔλαβε δέ. πωλῶ δέ, οὐχ ὅτε ὑμεῖς, (ῥίψαι γὰρ ἄμεινον) ἀλλ' ὅτε σίτου μέδιμνος καὶ οἴνου κεράμιον τῶν φιλτάτων ὑμῖν τιμιώτερα. καὶ οὐ πόσου δεῖ πριᾶσθαι, ἀλλὰ πριᾶσθαι μόνον πᾶς τις ἂν εὔξαιτο. ἔρχομαι δὲ εἰς ἀγρόν· οὐκ οἰκετῶν πολλῶν ἑπομένων, οὐχ ἵππων, οὐχ ἡμιόνων· οὐδὲ γὰρ κέκτημαι τὴν ἀρχήν· ἀλλὰ καὶ τοὺς ἔχοντας ἐλεῶ· καὶ σιδηρᾶν ἡγοῦμαι ψυχὴν ἔχειν, εἰ μὴ γίνονται αὖοι τοσούτων ἀλφίτων καὶ κριθῶν ἀναλισκομένων· ἀλλ' ἐμοί γε ὁ κέρδων ἕπεται μόνος, οὗ καὶ πρὸς τοὔνομα χαίρω, καὶ ὅτι χρείαν ὄνου πληροῖ, τὰ στρώματα φέρων· ἐλθὼν δὲ οὐ δέομαι πλατυτάτης οἰκήσεως, ἀλλ' εἰς τοῦ τῶν γεωργῶν ἑνὸς εἰσοικίζομαι· τῷ ἐκείνου σκιμποδίῳ καὶ τραπέζῃ χρώμενος· ἐσθίων ὅσα κἀκεῖνος,

κυά-

κυάμους, κρόμμυα τῶν ἀγρίων λαχάνων. εἰ δὲ ὄρνιν σφάζειεν, ἢ ὠὰ παραθείη, οὐκ ἐμοὶ λογίζεται. οὐ γὰρ ἂν ἁψαίμην. ἀλλὰ ξένια δίδωσιν, ἃ δ' ἀποφέρειν μοι τέτακται. καὶ οὗτος καὶ οἱ λοιποὶ γεωργοὶ πρὸς ἀργύριον ἀκριβῶς τιμησάμενος, δραχμὰς οὐκ ὀλίγας ἐκλέγω· δελφάκιον δὲ καὶ ἄρνα καὶ ἔριφον θύσαντα, ἀλλ' ἐπαινέσας ἂν καὶ λαβὼν, τρέφειν κελεύω κἂν τοῖς τοῦ δεσπότου καταριθμεῖν· εἶτ' αὐξηθέντων, ἀπαιτῶ τὰ ἔκγονα. καὶ ποιῶ ταῦτα ἀργύριον· σῦκα δὲ καὶ βότρυς, καὶ μῆλα, καὶ ἄπιοι, ἐμοῦ μὲν τοὺς ὀφθαλμοὺς, καὶ τὴν ῥῖνα εὐφραίνουσιν· ἐσθίει δὲ, ὁ διδοὺς ὀβολούς· ὅσα δ' ὡς ἄχρηστα μὴ παραμένει, τοῖς οἰκέταις δίδωμι, καὶ τῆς τροφῆς ὑφαιρῶ ἐγὼ, καὶ τὰ φύλλα τῶν δένδρων, οὐκ ἐῶ τοὺς ἀνέμους ἐπὶ πλέον βλέπειν καὶ κατέχειν· ἀλλ' εἰσὶ γὰρ οἳ καὶ τούτων δέονται πρὸς νόσου παραμυθίαν, ἀπεμπολῶ κερμάτιον καὶ διὰ χρόνου· καὶ οἱ κιττοὶ ἐν ταῖς θεῶν ἑορταῖς πληροῦσί μοι βαλάντιον ὅλον, τὸ δὲ μέγιστον τῶν κερδῶν, ὅσον ποιῶ χρόνον ἐν ἀγρῷ. ποιῶ δὲ ἀμέλει συχνὸν, τρέφομαι τοῖς τῶν γεωργῶν ἀναλώμασι καὶ τότε με μόνον ἡ γαστὴρ οὐ ποθεῖ· ἣν δὲ ἐν ἄστει, φειδασμὸν αὐτῇ παρέχω, τὰς τροφάς. οὐδὲ γὰρ ἀνέχεται παραινοῦντος πολλάκις ἀρκεῖσθαι τῷ ἀέρι καὶ μὴ εἶναι χείρω τῶν τεττίγων οἳ τῇ δρόσῳ τρέφονται μόνῃ. ἀλλὰ δεῖται ἄρτου φακῆς, κρομμύων. ταρίχους ἂν οὕτω τύχῃ, πολλάκις καὶ σερίδων, ἵν' εἴη τὸ τάριχος ἥδιον· καὶ νῦν μὲν, ἐπριάμην ἂν, νῦν δὲ ἐπιπλήξας αὐτῇ, ἀπῆλθον ἔχων τἀργύριον· οὐ γὰρ ἠνεχόμην ἀριθμούμενον ὁρῶν καὶ τὸν μὲν φύλλα διδόναι, ἐμὲ δὲ κερμάτιον· μίαν οἶδα τῇ γαστρὶ χάριν, καὶ νὴ τοὺς θεοὺς, οὐ μικρὰν, ἐν τοῖς τῶν καλούντων δείπνοις ἐμφορᾶται πλειόνων. καὶ τήν τε ἡμέραν ἐκείνην οὐκ ἐδεήθη τροφῆς, καὶ τῆς ὑστεραίας μέχρις ἑσπέρας. τὴν δ' ἑσπέραν ταύτην ἁλῶν καὶ ἄρτου βραχέος ἐκφαγὼν, ἐκαθεύδησα. καὶ οὕτω δύο ἡμερῶν ἐταμιευσάμην ἑστίασιν φίλου. πολλάκις δ' ἂν, ὦ βουλὴ, καὶ τῶν κρεῶν μοῖραν οὐκ ὀλίγην λαβὼν, καὶ ἄρτων πλειόνων, ἔδωκα τῷ παιδὶ, καὶ εἶπον μὲν φαγεῖν, ἔνευσα δὲ τη-

ρεῖν, κατατρυφῶν πολλῶν ἑξῆς ἡμερῶν, μηδὲν ζημιούμενος· καί μοι δοκῶ νῦν γὰρ ᾐσθόμην ἐκ τῶν τοιούτων, ὦ βουλευταὶ, δείπνων, διεφθάρθαι τὸν νοῦν, καὶ τρυφᾷν ἐκ τῶν ἀλλοτρίων μαθὼν, ελαθον εἰς πάθος ἐμπεσὼν ἐκ κόρου τικτόμενον· ἐκεῖθεν ἡμᾶς ἐκεῖθεν ὁ ἔρως ἐνήδρευσε μαλακωτέραν ποιῶν τὴν ψυχὴν, καὶ συνεθίσας ὄψων πρῶτον ἐρᾷν· οἶδα γοῦν τοὺς ὀφθαλμοὺς τοῖς κατ᾽ ἀγορὰν ὠνίοις ἐπιβαλών· καὶ μηκέτ᾽ εὐχερῶς ἀπαγαγὼν, ἀλλ᾽ ἔπαθόν τι πρὸς αὐτὰ πάθος, ἀσύνηθες. ἐπῄνεσά τε αὐτῷ, καὶ ἡδέως ἂν ἔφην φαγεῖν· καὶ τὸ βαλάντιον λύειν ἕτοιμος ἐγενόμην, ἐν δὲ τῷ λύειν, πολλάκις μὲν ἀνανήψας, ἐπέπληξα ἐμαυτῷ, τί τοῦτο, εἰπὼν, ὦ κακόδαιμον, οὐ μενεῖς ἐπὶ τῆς συνήθους διαίτης; οὐ διαῤῥαγήσῃ πρότερον εἰ ταύτην προτιμήσαις τοῦ κερματίου, πολλάκις δὲ καὶ ἡττήθην ὁμολογῶ καὶ κρεῶν μὲν ἢ ᾠῶν, ἢ τούτων τινὲς τῶν πολυτελῶν, οὐδ᾽ οὕτως ἂν ἐπριάμην. οὐχ οὕτως εἰ μυριοί με ἐκέντουν ἔρωτες, εἰωθὼς δὲ ἐνίοτε τοῦ Βυζαντίου ταρίχους ἐσθίειν. ἴστε δὲ ὡς καὶ χρηστὸν ὄψον οἱ σκόμβροι καὶ εὔωνον, τοῦ γαδειρικοῦ τότ᾽ ἂν ἐπεθύμησα, καὶ στένων μὲν, ἐπριάμην δ᾽ ἂν ὅμως. εἶτ᾽ ἐλθὼν οἴκαθε οὐκ ὀπτήσας, ἔφαγον ἄρτον ξηρόν. ὅ μοι δεῖπνον ἀεὶ τὸ ἥδιστον ἦν, ἀλλ᾽ ἐπέσταξα ἂν ἐλαίου, καὶ ὄξους, καὶ ἐλαίου ἐνέτυχον, καὶ ῥαφανίδας συνέφαγον· ὧν καὶ ἓν ἤρκει πρότερον, δεῖπνον ποιῆσαι πολυτελές. ἄλλοτε γαστρὸς, ὦ βουλὴ, βοὸς ἐπεθύμησα, ἄλλοτ᾽ αἰγείων χορδῶν· καὶ οὐκ ἐπεθύμησα μόνον, ἀλλὰ οἶμαι, νὴ τοὺς θεοὺς, καὶ ἠγορακέναι· ὥστ᾽ ἐκ ταύτης τῆς τρυφῆς ὁ κακοδαίμων ἀκόλαστος ἐγενόμην· καὶ γυναικὸς κάλλος ἰδὼν, ὁμοίως ἐθαύμασα, καὶ ἅψασθαι, καὶ περιβαλεῖν, καὶ ὡς ἐμαυτὸν ἀγαγεῖν παραπλησίως ηὐξάμην. τίς δ᾽ οὐκ ἂν καὶ ἄλλος, ὦ βουλευταὶ, κάλλος οὕτως ἄμαχον θεασάμενος, τὸ μὲν πρόσωπον αὐτῆς, οἷον, ἐν χρυσῷ καταλάμπεται. ἀργύρου δὲ μαρμαρυγὰς ἐκπέμπει τὰ ὄμματα. ἡλικία δὲ καὶ πλῆθος καὶ περιβολὴ καὶ στάσις, ἀτεχνῶς οἷα τῶν χρυσῶν ἀγαλμάτων τῶν ἐν τοῖς ἱεροῖς· ὁ δ᾽ ἔξωθεν κόσμος, βαβαὶ πόσος! καὶ ὅπως ἐράσμιος

διπλα-

διπλασιάζων τὸ κάλλος τῇ γυναικὶ, πλήρης μὲν ἡ κεφαλὴ χρυσοῦ, πλήρης δὲ ἡ δέρη, ἐλλόβια, βουβάλια, ἀμφὶ δὲ ζώνιον, ἐσθὴς ἐρίου μὲν, ὀλίγου, χρυσίου δὲ πολλοῦ, καὶ ὁμοῦγε τὸ πρῶτον· ταῦτα κατέχεν ἐπὶ πλείονα χρόνον τὰ ὄμματα, εἶθ᾽ εἵλκυσε τὸ πρόσωπον ἐφ᾽ αὐτό. κἀκ τοῦ προσώπου πληγή τις ἐπὶ τὴν καρδίαν ἀφίκετο. ὀξυτέρα μὲν τῆς ἐκ βέλους, ἴση δὲ μικρὸν εἰπεῖν, τῆς διὰ ξίφους ἢ δόρατος. ἀλλ᾽ οὕτως οἶδα πληγεὶς, ἀδοκήτῳ ποτὲ ζημίᾳ περιπεσὼν τὰ γοῦν ἐκ τῶν πληγῶν πάθη, οὐδ᾽ ἀκαρῆ διενήνοχεν· ἀλλ᾽ ὥσπερ τότε καὶ νῦν ἡμιθνὴς ἐγενόμην, ὠχρὸς, ἄφωνος, ἴλιγγος ἐν τῇ κεφαλῇ, σκότος παρὰ τὰ ὄμματα. οἱ πόδες οἷ μὲν ἐβουλόμην, οὐ προσῆσαν, τῶν δὲ τῆς ἑταίρας ἰχνῶν ἐξεδέδεντο· καὶ παρειπόμην τῶν μὲν ἐν ποσὶν οὐδὲν καθορῶν, εἰς δὲ αὐτὴν ὅπως τε τῷ χρυσίῳ καὶ τῷ κάλλει κεκόσμητο κεχηνὼς, ἕως οἴκαδε ἐλθοῦσα, τοὺς μὲν παρῆκεν ἔσω τῶν ἐραστῶν, ἐμὲ δὲ ἀπέκλειστεν· ἦν μὲν οὖν καὶ τοῦτο μυρίων, ὦ βουλὴ, θανάτων ἄξιον, καὶ πᾶς ἄν μοι κἀνταῦθα δικαίως ἐπιπλήξειεν οὐκ ἀπάγξῃ, δυστυχὴς, οὐκ εἰς κρημνόν τινα ὤσεις σαυτὸν, ἀλλ᾽ ἐρῶν ἔρωτα οὕτως ἀνδρικὸν καὶ γενναῖον ᾧ συνετράφης, ᾧ συνηυξήθης, ᾧ συνήκμασας, ἐπεισφέρεις ἕτερον αὐτῷ τὸν τῶν μειρακίων· καὶ μόλις πρὸς ἐκεῖνον ἀρκῶν μερίσας τὸν χρόνον τὸν ἥμισυ τῷ δευτέρῳ τούτῳ προσπέφυκας, καὶ φοιτᾷς ἐπὶ θύρας, ὅθεν κεναῖς ἐπανήξεις χερσὶν, ὃ μήπω πεποίηκας πρότερον· ἦν μὲν οὖν καὶ διὰ ταῦτα τεθνάναι μοι καλὸν ὅπερ ἔφην· τί γὰρ ἔδει με ζῆν, ὦ βουλευταὶ, πράγματι παρακαθήμενον κέρδος οὐ φέροντι; τὰ δ᾽ ἐφεξῆς, οὐδὲ βουλομένῳ μοι ζῆν συγχωρήσειεν ἄν· ὡς γὰρ καιρὸν ἔχε ποτὲ διαλεχθῆναι, κἀμοὶ πολλάκις τὸν οὐδὸν τῶν θυρῶν κατατρίψαντι, καὶ ἀπῆλθον οἴκαδε ὡς αὐτὴν, κιχλισμὸς ἦν πρῶτον τῶν θεραπαινίδων πολύς. καὶ ἡ μὲν, θοιμάτιον ἔσκωπτε, καὶ τὸ χιτώνιόν τι τοῦ κρόνου πρεσβυτέρα, ὅτι πλείους ἔχοι τὰς ὀπὰς τῶν στημόνων αἱ δὲ ἠριθμουν δὴ προσερραμμένα τοῖς ὑποδήμασι μου καττύματα, καὶ πόσας πενταετηρίδας ἐξήρκεσεν ἐπυνθάνοντο, καὶ

πόσας ἔτ' ἐξαρκέσει· μία δὲ προσελθοῦσα πόσον οὐκ ἐλάσσω φησὶ χρόνον, ὦ βέλτιστε, ἐμοὶ μὲν γὰρ, νὴ τὴν ἀφροδίτην, δοκεῖς ἐξότου παρεγένου· πρὸς μὲν γὰρ τὸ μύρον ἔοικας ὥσπερ οἱ κάνθαροι διαφθείρεσθαι· οὐ γὰρ ἂν ὡς ἡμᾶς εἰσιὼν, ἐδώδεις οὕτω κακοῦ· ταῦτα δὲ ἐγὼ μὲν ἐπριόμην ἀκούων, ἡ δὲ, τέως μὲν ἐμειδία μάλα ἡδὺ, τέλος δὲ σιωπᾷν αὐταῖς ἐπιτάξασα, προσέβλεψέ τέ με θαυμάσιον οἷον· καὶ τὸ χρυσοῦν διανοίξασα στόμα, τί δεῦρο ἥκεις ἐπύθετο· μὴ τούτων ἐρώντων μου μειρακίων παιδαγωγὸς ἢ τροφὸς ἂν, ἀπαγορεύσων ἥκεις μηκέτ' αὐτὸ δέχεσθαι τοῦ λοιποῦ. οὐκ ἔγωγε, εἶπον, ὦ καλλίστη γυναικῶν, ἀλλ' ἐραστὴς ὢν καὶ αὐτός· τίνος, εἶπεν, ἢ ταυτησὶ τῆς χρυσίου; ἐπεστράφην πρὸς τοὔνομα, καὶ ποίου, φημὶ, λέγεις χρυσίου; ταύτης, εἶπε, τῆς χρυσῆς θεραπαίνης· ἰδὼν δὲ ἐγὼ παιδισκάριον οὐκ ἀηδὲς, καλὴ μὲν, εἶπον, καὶ χρυσίον, καὶ μάλιστα διὰ τοὔνομα, ἐγὼ δὲ οὐ ταύτης, ἀλλὰ τοῦ κάλλους ἐρῶ. εὖγε ποιῶν, εἶπεν, ὦ τᾶν· καὶ ἅμα ἀφεῖσα ἐμὲ, ἐπυνθάνετο μεγάλῃ φωνῇ, εἰ τὸν εὐνοῦχον ἔπεμψεν ὁ ξεναγὸς Θρασυλέων, ὅς με σὺν τῷ δε τῷ ὅρμῳ τεθήραται· (δείξασα κόσμον κομψοῦ πάνυ χρυσίου) εἰ τὴν αὐλητρίδα Πολέμων ὁ τοῦδε ἀντεραστής. τὸ μὲν γὰρ ζώνιον τόδε, ταῖς ἑαυτοῦ χερσὶ φιλήσας ἅμα ἐπέζωσεν· εἰ τὸ μειράκιον ὁ Μοσχίων τὰς εἴκοσι μνᾶς ἃς τὸν δᾶον ἥξειν, ἔφη, κομίζοντα. αὔριον δὲ, εἶπεν, ὦ φίλτατε, καὶ περὶ σοῦ πευσόμεθα. εἰ ὁ νέος ἐραστὴς ὁ καλὸς ἃ χθὲς ὑπέσχετο πέπομφεν; ὑποσχήσῃ γὰρ δῆλον ὅτι καὶ ὑπερβαλῇ μάλιστα μὲν, καὶ τοὺς ἄλλους ἐραστάς· εἰ δὲ μὴ, τὸν Μοσχίωνα; τί με οἴεσθε, ὦ βουλευταὶ, πάσχειν ταῦτα ἀκούοντα; λίθοις βάλλεσθαι κατὰ τῆς κεφαλῆς ἐδόκουν. ξίφει κατὰ τῆς καρδίας μόλις ἐπέχον ἐμαυτὸν μὴ πεσεῖν. ἡ δὲ, πρὶν ἐκ τούτων ἀνενεγκεῖν τῶν πληγῶν, ἑτέρας ἐπῆγε χαλεπωτέρας. τέως γὰρ, ἔφη, δείπνου δεῖ τήμερον, καὶ τοῦτο σὺ παρασκεύασον, ἵν' ἅμα μοι καὶ συνδειπνῇς ἐγγὺς κατακείμενος· τὸ δὲ δεῖπνον ἔστω μὴ πάνυ πολυτελές. κἀγὼ μὲν ἐλαάς που καὶ τυρὸν ἀκούσεσθαι προσεδόκων, ἢ νὴ δία γε λάχανα καὶ ᾠά. ἃ καὶ

γα-

γαμοῦσιν ἀνθρώποις ἀρκεῖ. καὶ πρὸς ταῦτα ἀπεκναιόμην, ὡς παρέξων, ἀλλ' ὡς τῷ λόγῳ τέως ἀνιασόμενος. ἡ δὲ, κατέλεγε τράπεζαν, ἣν φρίττω, νὴ τοὺς θεοὺς, καὶ ὀνομάσαι βουλόμενος· θάσιον οἶνον, ὄρνις, ἰχθῦς, πλακοῦντας, ἀλλ' ἅττα ὧν οὐδὲ τὰ ὀνόματα ἠπιστάμην. πρίω δὲ, φησι, καὶ ἄνθη, καὶ στεφάνους, καὶ μύρον· ὄζειν γὰρ δεῖ παρ' ἡμῖν καὶ τὸ οἰκίδιον μύρου. ἐξέκραγον ἐνθάδ' οὐκέτ' ἀναχόμενος, μὴ γὰρ βασιλέα τὸν μέγαν ἐραστὴν ἔχεις ὦ γύναι! μὴ γὰρ ἐκ γῆς καὶ θαλάσσης προσόδους ἐκλέγοντα, καίτοι κἀκεῖνος πτωχὸς ἂν γένοιτο οὐ πολλοῦ, εἴ τις αὐτοῦ μνᾶς εἴκοσι καὶ δεῖπνον τοιοῦτον ἀφέλοιτο· ἐμὲ δὲ πρὶν πτωχὸν, νεκρὸν ἂν ποιήσῃ, καὶ μία ληφθεῖσα δραχμὴ τοιοῦτος οὑμὸς τρόπος. ἀκούω δὲ ὑμᾶς, ὦ βελτίστη, σφόδρα ἁρμόζεσθαι πρὸς τοὺς τρόπους τῶν ἐραστῶν· ἅμοσαι δὴ πρὸς τὸν ἐμὸν λαμβάνειν εἴωθεν οὐχὶ διδόναι, καὶ μάλιστα μὲν ὦ φιλτάτη καὶ δὸς, οὐ γὰρ ἄμεινον ἄλλως ἁρμόσαιο· εἰ δὲ μὴ, μή με ἀπαίτει μηδὲν, ἄλλως τε, ἔφην, οὐδ' ἀκερδὴς ὁ ἐμὸς ἔρως σοι γέγονεν, ἀλλὰ μαρτυρίαν ἤνεγκέ σοι τοῦ κάλλους μεγάλην, τοῦτό σε τῶν ἄλλων ἑταιρῶν, ἐνδοξοτέραν πεποίηκεν· ἡ γὰρ πόλις ὅλη τοὐμὸν αἰσθομένη πάθος, ἐν στόμασιν ἔχειν καὶ φοιτᾶν πανταχοῦ λόγον· τίς ἡ τὸν σκληρὸν τουτονὶ κατακλείσασα; ποῖον ὂν τὸ κάλλος ἄμαχον, ὃ τοῦτον κατηγωνίσατο; τίνα ἴσην ἔκρινε τοῦ χρυσίου; εἶθ' οἱ μὲν ἐρῶντες καὶ πρότερον προσλαμβάνουσι πόθου, οἱ δ' οὔποτε θεασόμενοι μεταθέουσιν ὀψόμενοι, καὶ ἰδόντες, ἐρῶσι. καὶ ἐρῶντες, διδόασιν· ὥσθ' ὅσα παρὰ τῶν δι' ἐμὲ προσιόντων λαμβάνεις, ἐμὲ διδόναι σοι νόμιζε, καὶ προῖκα σύνετο· ταῦτα ἐμοῦ λέγοντος, ὦ βουλὴ, καὶ τῶν χειρῶν ἁπτομένου, καὶ μόνον οὐ δακρύοντος, οὐ μᾶλλον ἤκουεν, ἢ λύρας ἀκούσειεν ὄνος, ἀλλ' ᾖδεν τινὰ ᾠδὴν ἁπτομένην ἐμοῦ· τέλος δὲ, ἀφῆκε φωνὴν ἣ με εὐθὺς ἐπὶ τὸ κώνειον ἤγαγε· νῦν μὲν γὰρ, ὦ οὗτος, εἶπεν, ἐντετύχηκάς μοι μηδὲν δεδωκὼς, ἄλλοτε δὲ οὐδὲ ὄψει ἢ τὸν κόλπον τοῦτον ἐμπλήσας χρυσίου, (τοιοῦτος οὑμὸς τρόπος) οὐκ ἂν χαρισαίμην τινὶ μὴ λαβοῦσα· μετὰ δὴ ταύτην, ὦ

βουλή, τὴν φωνήν, τὴν οὕτως ἀπηνῆ τὴν ἀπὸ σκυθῶν, ὡς ἀληθῶς, τί δράσαι με χρὴ ἢ ἕτερον, ἢ τεθνάναι; οὐ γὰρ δὴ τὰ συνήθη ταῦτα ἐροῦσιν οἱ γείτονες ὡς μικρὸν τὸ πάθος, καὶ οὐκ ἄξιον τοῦ κωνείου. ἀλλ' ἴστε δὴ πάντες ὡς καὶ καθ' αὑτὸν ὁ ἔρως οὐκ ἀνεκτὸν, ἀλλὰ τοὺς μὲν ξίφει, τοὺς δ' ἀγχόνῃ, τοὺς δ' ἄλλῳ τῳ διεχρήσατο. καὶ αὖ προσδοκίᾳ μόνῃ ζημίας, πολλοὺς ὦσεν εἰς κρημνόν· καὶ ἔγωγε τοῦτο μυριάκις παθεῖν ἐκινδύνευσα· εἰ τοίνυν μία τῶν ἐμῶν συμφορῶν οὐ φορητὴ, πῶς ἐμὲ ζῆν ἀξιοῦσι, ταῖς δύο βαλλόμενον; καὶ ὥσπερ ἐν κλύδωνι πρὸς ταύτην, ἐξ ἐκείνης, ὠθούμενον· νῦν μὲν γὰρ ἐκστήσας ὁ ἔρως με τῶν φρενῶν, καὶ ὅλον ἀναρτήσας τῆς ἐρωμένης, ἐπὶ τὸ κιβώτιον ἄγει, καὶ ἀνοίγειν κελεύει, καὶ κενώσαντα φέρειν τῇ πάντα εὐτυχεῖ γυναικὶ, νῦν δὲ ἀνοίγοντα, τρόμος λαμβάνει, τοῦ τε ἄλλου σώματος, καὶ μάλιστα τῆς χειρὸς, ἥτε βάλανος οὐχ ὑπείκει μοι· πρότερον ἡ φίλτατη μόνον οὐκ ἀφ' αὑτῆς ἀνοιγομένη, εἴ ποτε ἐμβαλέσθαι χρυσίον ἐδέησεν. ὀψὲ δὲ μόλις ἀνοίξαντος, μάχη τοῖν δυοῖν ἐρώτοιν γίνεται καρτερά. καὶ ὁ μὲν κλείειν, ὁ δ' ἀνοίγειν κελεύει. καὶ τοῦτο πολλάκις ἑκάτερος, ἀεὶ δ' ἐπικρατεῖ καλῶς, ποιῶν ὁ τοῦ κιβωτίου καὶ θᾶττον τοῦ αἵματος, ἢ χρυσίου μοι μεταδοῦναι τινὶ συγχωρεῖ. ἐπισφράξας οὖν τὸ σῶμα τῷ κιβωτίῳ, καὶ κλείσας ἀσφαλῶς ἀποτρέχω· εἶτ' οὐκ ἔχω τίς γένωμαι, ἀλλ' ἀλύων ἄνω καὶ κάτω, περίειμι τὴν ἀγορὰν, τὸ ἄστυ πᾶν τὴν οἰκίαν, καὶ οὐκ ἐπὶ τῆς κλίνης ἀνέχομαι μένειν, οὔτε φέρουσιν ἑστῶτες οἱ πόδες· καὶ καθιζήσας μὲν, ἀναπηδῶ, πάλιν ἀναπηδήσας δὲ, θέω μέχρι τῶν θυρῶν· εἶθ' ὑποστρέφω πατάξας τὰς θύρας. ὕπνου καιρὸς, καὶ πρὶν μύσαι τὰ ὄμματα, διεγείρομαι θορύβου μεστός· ἠγρύπνουν μὲν γὰρ ἀεὶ, καὶ τὸν ἄλλον πάντα χρόνον, ἀλλ' ἐπὶ λογισμῶν ἦν στρεφόντων μου τὴν ψυχήν· πόσον ἐνοίκιον κατέβαλε τῆς συνοικίας ὁ ναύκληρος; πόσων ἔτι μηνῶν χρεωστεῖ; πόσος ὁ τῶν ἐργαστηρίων μισθός; εἰ συνήχθη μοι τῆς ἐσχατιᾶς ἁπάσης ἡ πρόσοδος; πόσα μοι βαλάντια γέμει; πόσα κιβώτια; ποῦ τὸ χρυσίον, ποῦ

τὸ ἀργύριον; καὶ πῶς ἂν ταῦτα πλείονα γένοιτο; νῦν δὲ εἰμὶ μὲν κἀν τούτοις, οὐδὲ γὰρ θάνατος ἄν με ταύτης ἀφέλοιτο τῆς φροντίδος· πολλάκις δέ με μεταξὺ τούτων, ἐπὶ τὴν κεφαλὴν, κἀκ τῆς κλίνης ἀναπηδῶ συνεχῶς, καὶ παῖδα καλῶ μηδὲν δεόμενος, καὶ προσελθόντα, μηδὲν προστάξας, ἀπέπεμψα. καὶ νυκτὸς μὲν οὔσης, τὴν ἡμέραν ποθῶ. ἐν ἡμέρᾳ, ἡ νὺξ αὖθις αἱρετωτέρα ἦν, ὡς ἐν τοσούτοις κακοῖς ἀγαθὸν ἔχων· μισῶ τὴν τροφὴν, καὶ ἢ παντελῶς οὐ προσίεμαι, ἢ σφόδρα ὀλίγην· καὶ ταύτην οὐκ ἐγὼ πριάμενος, ἀλλ' ἐλεοῦσά με ἡ γραῦς ἢ ὁ κέρδων, οὐκ οἶδ' ὅθεν λαβόντες προσφέρουσι· τίς οὖν ὁ τὸν οὕτως ἔχοντα ζῆν ἀξιῶν, ἢ τίνα τρόπον, φρασάτω καὶ ζήσομαι; ζῶντα, φησὶ, διαφθείρεις με. ὦ ἄνθρωπε, πρὸ τοῦ κωνείου, καὶ οὐκ ἄχρι τῆς ψήφου τῶν βουλευτῶν βιῶναί μοι συγχωρεῖς. οἷα γὰρ, ὦ θεοὶ παραινεῖς, ἀποσυλῆσαι μὲν ἐμαυτὸν, ἐνθεῖναι δὲ καὶ τὴν βουλὴν πεῖσαι, ψηφίσασθαι μὴ λαμβάνειν παρ' ἐμοῦ μισθὸν τὴν ἑταίραν, ὡς μὴ δυναμένου με διδόναι· εἰ δὲ μὴ, παρ' ἐκείνην αὐτὸν ἀφικόμενον· φοβοῦνται δὲ ὑμᾶς μόνους ἀεὶ ἑταῖραι τοὺς ῥήτορας, ὡς καὶ κατηγοροῦντας αὐτῶν καὶ λοιδορουμένους ἐν οἷς συγγράφετε λόγοις, εἰπεῖν πρὸς αὐτὴν ἐπάραντα τὴν φωνήν· τί τοῦτο πολίτην ἄνθρωπον, ἀστὸν ἐξ ἀμφοῖν, προσέχοντα ἑαυτῷ, πόνῳ πολλῷ χρυσίον ὀλίγον κτησάμενον, καὶ μὴ δυνάμενον τοῦτο ῥιπτεῖν, ἐξαγαγεῖν ἑαυτὸν ἠνάγκασας ἐκ τοῦ βίου, καὶ πολίτου χρηστοῦ τὴν πόλιν ἀποστερεῖς; εἰ δὲ καὶ προσέθηκας, ὡς ἤκουσεν ἡ βουλὴ τὸ πρᾶγμα, καὶ σφόδρα ἀγανακτεῖν καὶ πέμπειν ἐπ' αὐτὴν ἑτοίμην τοὺς σκύθας, καὶ προσέθηκεν· εὖ οἶδ' ὅτι χρήματα, ἵνα μηκέτ' αὐτὴν ἐνοχλῶ τοῦ λοιποῦ. οὐ πενομένου, ἐγὼ μὲν ἂν μακάριος ἦν, ἐκ τῶν φιλτάτων χειρῶν χρυσίον δεχόμενος, σοὶ δὲ, μισθὸν μὲν οὐκ ἂν ἔδωκα τοῦ χρυσίου, εὐεργέτην δ' ἂν εἰς τὸν ἅπαντα χρόνον ἔγραψα· εἰ δὲ τοῦτο μὲν οὐ ποιεῖς, ἐχθρᾷ δὲ ἀφίης ῥήματα, καὶ τοῖς τῆς ἑταίρας ταυτά. οὐ δέομαι συμβούλου κενοῦντες μοι τὸ κιβώτιον· ἃ γὰρ ἐμαυτῷ συνεβούλευσα, πολλῷ τῶν σῶν αἱρετώτερα. ἀπελθεῖν ἐκ τοῦ βίου πρίν τινα

ἰδεῖν τῶν ἐμῶν κυριεύοντα ποῦ ποτ' οὖν ὁ δώσων τὸ κώνειον. σὺ μὲν, ὦ βέλτιστε φιάλην ἀργυρᾶν, ἢ χρυσῆν πληρώσας ἵν' ἡδιοπίω περίμενε. ἐγὼ δὲ ὅπερ εἰώθασιν οἱ πρὸς θάνατον τοιοῦτον ἰόντες, ὃ φίλτατον ἔχουσι τοῦτο ἀσπάζονται. ἀσπάσομαι οἴκαδε εἰσελθὼν, ἅ μοι παίδων ἦν καὶ γυναικὸς προτιμότερα, καὶ θρηνήσω πρῶτον μὲν ἐμαυτὸν, ὅσων καὶ οἵων ἀγαθῶν αὐτίκα στερήσομαι· ἔπειτα δὲ κἀκεῖνα, οἷον κηδεμόνα ἀπώλεσε, καὶ ὅτι καθάπερ ὡς ἀληθῶς ὀρφανὰ μικρὸν ὕστερον, οἱ τυχόντες αὐτὰ διαρπάσουσιν· οὐ γάρ δή τις ὑμῶν οὕτω φιλάνθρωπος, ὦ βουλὴ, ὡς συγκατορύξαι μου τὴν οὐσίαν, καὶ πρὸ τοῦ χώματος ταύτην ἐπισωρεῦσαι τῷ σώματι ἐγενόμην ἂν εἷς τῶν θησαυρὸν φυλαττόντων, καὶ οὐχ ὥσπερ ἐκείνων τινὲς πλὴν ἐμοῦ κἂν τούτῳ δυστυχοῦς πολλοῖς ἤδη προήκαντο, ἀλλ' ἄβατον ἂν τὸ χωρίον ἀνθρώποις ἐποίησα, πόῤῥωθεν εἴργων μὴ προσιέναι. οἷα καὶ ἄλλα κατὰ τὴν χώραν ἐστιν. τυχὸν που κἀκεῖ φιλοχρύσων δαιμόνων ἐπικαθημένων χρυσίῳ· καὶ οὕτως ἂν ἐπλουτουν ἀθάνατα. εἰ δ' ἀληθές ἐστιν ὃ φασὶν οἱ σοφοὶ καὶ αὖθις γε εἰς ἀνθρώπου σῶμα ἐρχόμεθα, ἕτοιμον ἕξω πλοῦτον τὸν ἐμαυτοῦ λαβὼν θησαυρόν.

Ἐγρά

Ἐγράψατό τις τὸν ἑαυτοῦ παῖδα βουλεύσεως. ὁ παῖς ἀκρίτως ἀποθανεῖν ἀξιοῖ, κατὰ τὸν περὶ τῶν ἀκρίτων νόμον.

Τὸ μὲν οὖν εὐτυχέστερον, ὦ πολῖται, μὴ πρὶν εἶναί μοι καιρὸν ἐπὶ τοῦτ' ἀναβῆναι τὸ βῆμα, μὴ δ' αὖ περὶ τούτων ὁποίων νῦν ἐρῶν ἀφῖγμαι, μηδέποτε λόγους ἐν ὑμῖν ποιήσασθαι. ἐπεὶ δὲ εὔξασθαι μὲν ἅ τις βούλεται, ῥάδιον, πράττεται δὲ τὰ τῆς ἀνάγκης, καὶ ταύτην οὐκ ἔνι διαφυγεῖν, οὔτε νέοις οὔτε γέρουσιν, ἥκω δεησόμενος ὑμῶν· ἄνθρωπος οὐδ' ἱκανῶς εἰς ὑμᾶς βλέψαι δυνάμενος, τῷ μὲν ἥττων εἶναι τῶν ἐν ταῖς ἐκκλησίαις θορύβων, καὶ τῇ τῶν ἐνταυθοῖ πραγμάτων ἀπειρίᾳ. νομίζων οὐδαμῶς ἂν ὧν ἐσπούδακα τυχεῖν. τῷ δ' ὑμᾶς εἶναι φιλανθρώπους, καὶ τῷ πεπαιδεῦσθαι τοὺς ἀτυχοῦντας ἐλεεῖν, ἐλπίζων ὅτι με τῆς κρίσεως ἐξελόμενοι, τῷ πατρὶ παραδώσετε πρὸς φόνον· εἰ μὲν οὖν ἠξίουν ὑμᾶς διαλλάξαι μοι τὸν πατέρα, καὶ ποιῆσαι πρᾶον, καὶ πεῖσαι, τὴν οὐδὲ μέχρι ῥήματος ἐμοὶ φορητὴν ταύτην δόξαν ἀποθέσθαι, τάχα μὲν οὐδ' οὕτως ἄν, οὔτε τῶν ὑμετέρων ἀλλότρια τρόπων ἐζήτουν, οὔτ' ἐναντία τῇ φύσει, τῇ παῖδας καὶ γονέας οἰκείως ἔχειν ἀλλήλοις ἐθελούσῃ. ἴσως δ' ἄν τις ἠγανάκτησε τῶν οὐδ' ἐν τοῖς πολλοῖς ὑμῖν ἐοικότων, εἰ τοιαύτην αἰτίαν ἐγὼ λαβὼν, ὅπως μήτε λόγον μηδένα, μήτε δίκην μηδεμίαν τῷ πατρὶ δοῖεν διεπραττόμην. ἐπεὶ δὲ ὁ τῆς κρίσεως ἐστὶν, ἂν ἀλλῷ πέρας τοῦτ' ἂν βουλοίμην ὑπομεῖναι σιωπεῖν, τοῦ πατρὸς αὐτοῦ τὰ τῆς ψήφου ποιοῦντος, οὐκ οἶδα εἰς τί τις βλέπων, ἢ τί τῶν ἁπάντων ὑφορώμενος, οὐκ ἂν δοίη τὴν χάριν· εἰ μὲν οὖν ἑώρων καὶ νῦν τὸν πατέρα ἐφεστηκότα, καὶ τοὺς ἐναντίους ἐμοὶ παρεσκευασμένον, πρὸς ὑμᾶς εἰπεῖν λόγους, οὐδὲν ἂν ὧν διανοοῦμαι φράσας, εὐθὺς

ἂν ἀποπηδήσας ᾠχόμην, εὖ τοῦτο εἰδὼς, ὡς ἅπαντα ἂν ἐλέγετο μάτην, ἀντιλέγοντός τε καὶ χαλεπαίνοντος ἐκείνου. ἐπεὶ δὲ, εἰ μηδὲν ἄλλο, τοῦτό γε ἡμῖν ἡ τύχη κεχάρισται, τὸ τὸν μὲν ἀπεῖναι τῆς ἐκκλησίας, ἐπ' ἄλλοις διατρίβοντα, τῶν δ' ἄλλων τινὰς, ὧν οὐδ' αὐτῶν μὲν ἔνι μοι καταφρονεῖν, οὐ τοσοῦτος δὲ, ὅσος ἐκείνου φόβος, τοὺς ἐναντιωσομένους εἶναι, ἔχω τινὰς ἐλπίδας πλέον οἴεσθαι τῆς τούτων φιλονεικίας, τὰς τοῦ τοιαῦτα ἀτυχοῦντος ἐμοῦ δεήσεις· ἀνάγκη μὲν οὖν μετὰ δακρύων πολλῶν, ὦ πολῖται, γίγνεσθαί μοι τοὺς λόγους· ἐπεὶ καὶ ὅλως νῦν ἐν δάκρυσι διάγω, καὶ οὔτε ἡμέρα, οὔτε ἡ νὺξ, οὔτε τῶν οἰκείων οὔτε τῶν φίλων οὐδεὶς, ἐπειδὲ με μετὰ τὴν ὀργὴν τοῦ πατρὸς ἢ φθεγξάμενον ἢ σιγήσαντα, ἀδακρυτί. καὶ τί θαυμαστὸν, εἰ αὐτὸς ἠνάγκασμαι πενθεῖν, ὅπου γε καὶ τοὺς ἐμοὶ συνήθεις ἴδοι τις ἂν, ταυτὸν ἐμοὶ ποιοῦντας; ὁ γὰρ δὴ πονηρότατος ἐγὼ περὶ τοὺς ἐμαυτοῦ, τοὺς ἐκ παλαίστρας καὶ διδασκαλείων ἑταίρους ἅπαντας ἔχω συμπενθοῦντας. καὶ οὐδὲν τῇ λύπῃ τοῦ κινδυνεύοντος ἐμοῦ διαφέροντας. οἶμαι δὲ καὶ ὑμῶν πολλοὺς εἰς δάκρυα πεσεῖσθαι, τῶν κακῶν τῶν ἡμετέρων ἀκούοντας. ἔστω οὖν τις κἀμοὶ συγγνώμη, μὴ συνεχῶς ἅπαντα δυναμένῳ λέγειν. ἔγημεν ὁ πατὴρ τὴν μητέρα τὴν ἐμὴν ὡς οὐκ ἔδει· γήμας ἐποιήσατό με ὡς οὐκ ἔδει. γενόμενος ηὐξήμην, οὐδὲ τοῦτο ἔδει· καὶ διέφυγον πολλὰς νόσους, ὑφ' ὧν ἔδει με τεθνάναι· ἐφιλούμην παρὰ τοῦ πατρὸς, ἠγαπώμην· πάντα ἦν ὁ παῖς ἐκείνῳ, καὶ σπουδῆς οὐδὲν ἀπῆν· ἀλλὰ παιδαγωγοὶ, διδάσκαλοι, μισθοὶ, φροντίδες, εὐχαὶ πρὸς θεοὺς, πλῆθος θυσιῶν, ἔπαινοι πρὸς ἑτέρους πατέρας· εἴ τι προσπέσοι δυσχερὲς, τοῦτ' ἐκ τῶν ἐλπίδων τῶν παρ' ἐμοῦ τὴν παραμυθίαν ἐλάμβανε· κἀν τοῖς διδασκαλείοις, οὐκ οἶδα μᾶλλον ἑτέρους εὐδαιμονίσας, ἢ μακαρισθεὶς ὑπ' ἄλλων· ὁρῶν δὲ τὸν πατέρα τῆς οὐσίας ἐπιμελούμενον, καὶ πλείω τὰ ὄντα ποιούμενον, καὶ ὅπως εὖ πράττοντί μοι παραδοίη τὸν οἶκον, πάντας ὑπομένοντα πόνους, καὶ οὐκ ὄντα χαλεπὸν οὐδ' ἀκριβολογούμενον, εἴ τι φανείην ἀναλίσκων, ἔχαιρον. καὶ εἰς ἱερὰ βαδίζων ἀπὸ τοῦ πατρὸς, ἠρχόμην τῶν εὐχῶν. οὕτω δὲ

ἡμῖν τῶν πραγμάτων χωρούντων, εἴπω τὰ λοιπὰ μετὰ παῤῥησίας. ἀλλ᾽ οὐκ ἐβουλόμην μὲν οὐδὲν δυσχερὲς περὶ οὐδενὸς λέγειν, νέος τε ἂν ἔτι καὶ εἴπερ τις ἄλλος τῶν ἡλικιωτῶν εὐφημεῖν περὶ ἁπάντων, καὶ πολιτῶν, καὶ μετοίκων, καὶ ξένων μεμελετηκώς, καρτερεῖν δὲ οὐκ ἔστιν ἀδικούμενον· εἰσί τινες, ὦ πολῖται, τοῖς ἑτέρων ἀγαθοῖς ἀχθόμενοι, καὶ νομίζοντες ἐν ταῖς τῶν πολλῶν εὐτυχίαις, αὐτοὶ δυστυχεῖν. καὶ τούτων οἱ μὲν ἡσυχῇ στένουσιν, οἱ δὲ καταρῶνται καὶ διαμέμφονται τὴν τύχην· οἱ δ᾽ αὖ τούτων ἀνδρειότεροι, εἰ μὴ καὶ μεταστήσαιεν ἐπὶ τἀναντία, τὰς οὕτως ἐχούσας οἰκίας, οὐ φέρουσι, καὶ ποιοῦσι δὴ τὰ τῶν πολεμίων, λόγοις ψευδέσι καὶ πεπλασμέναις αἰτίαις, ἀνθ᾽ ὅπλων καὶ μηχανημάτων χρώμενοι. καὶ νῦν μὲν ἄνδρα πρὸς γυναῖκα, νῦν δὲ θεῖον πρὸς ἀδελφιδοῦν, νῦν δὲ ἀδελφοὺς πρὸς ἀλλήλους, νῦν δὲ οἷόν τι τὸ παρὸν, πατέρα πρὸς υἱὸν, ἐξεπολέμησαν. κἂν λάβωσι τινὰ χρηστὸν, καὶ οὐδὲν ἑαυτοῖς ἐοικότα, διεπράξαντο ῥᾳδίως. ὁ γὰρ ἥκιστ᾽ ἂν αὐτὸς τοιαῦτα ἑτέροις ἐπιβουλεύσας, ῥᾷστα ἂν ὑπὸ τῶν τὰ τοιαῦτα μηχανωμένων διαπραχθείη· ἆρα ἄν μοι δοίητε εἰπεῖν, ὅτι τούτων εἷς ὑπὸ τῶν τοιούτων ἠπατημένων καὶ ὁ πατήρ μοι γεγένηται, καὶ νῦν ἐγὼ θανατῶ διὰ τὴν ἐκείνου χρηστότητα· εἰ γὰρ ἃ συνῄδει μοι περὶ πάντα τὸν χρόνον ἰσχυρότερα, ὧν χθὲς ὡς εἰπεῖν ἤκουσεν ἐπεποίητο τῶν παρόντων, οὐδὲν ἂν ἡμᾶς ἤλαυνε. νῦν δ᾽ ὁ πατὴρ ἡμῖν οἴκοθεν ἐξελθὼν, ἐπανῆλθε πολέμιος ἐξαίφνης, καὶ δεινὸν ἔβλεπε, καὶ τολμηρὸν ἔπληττε, καὶ βοῆς ἐνεπίμπλα τὴν οἰκίαν, τότε πρῶτον τοιαῦτα ποιῶν· ἐρωτῶντος δὲ μου, τί τὸ ταῦτα ἀναγκάζον καὶ ποιεῖν καὶ λέγειν, σύ, φησιν, ὃν ἐμαυτοῦ φονέα βόσκων οὐκ ᾔδειν· ἀνεβόησα, ὦ πολῖται, καὶ ταῖς χερσὶν τὸ πρόσωπον ἔτυπτον, καὶ θεοὺς καὶ δαίμονας ἐκάλουν, καὶ μὴ τοιαῦτα ἀσεβεῖν ἐδεόμην· τοῦ δὲ, καὶ σφόδρα ταῦτα πεπεῖσθαι λέγοντος, καὶ οὐδέν᾽ ἂν αὐτὸν μεταπεῖσαι ῥήτορα, προσπεσὼν πρὸς τὰ γόνατα, λαμβάνειν ἠξίουν δίκην παρ᾽ ἐμοῦ τὴν ἐσχάτην· οὗτος, ἔφην, αὐχήν σοι γυμνὸς, αὕτη κλεὶς, τουτὶ στῆθος, πάντα

ἕτοιμα

ἕτοιμα δέχεσθαι ξίφος, μὴ μέλλε χεῖρα ἔχων καὶ νόμον. ὁ δὲ, τὸ μὲν αὐτὸς κατεργάσασθαι τὸν υἱὸν, ὤκνει, δικαστηρίου δὲ ἐμέμνητο καὶ γραφῆς, καὶ ἑτέρου νόμου τοῦ τῆς βουλεύσεως καὶ ᾤμην γε αὐτὸν ἐνταυθοῖ λήξειν καὶ ὧν εἶπον ἐπιλήσεσθαι· ἀλλ᾽ οἱ τὸν σπινθῆρα ὡς ἔοικεν ἐμβαλόντες τὸ πρῶτον, ἐρίπιζον τὸν θυμόν· ὁ γὰρ μισθὸς οὐ μικρὸς ἀνθ᾽ ἡμῶν τὰ ἡμέτερα ἔχειν· τί δεῖ τὰ πολλὰ λέγειν, διώκει τὸν παῖδα βουλεύσεως ὁ πατήρ. οὐ μὴν ἔγωγε ἀποδρὰς ᾠχόμην, καί τοι τῶν οἰκείων παραινούντων, ὡς τοῦ χρόνου παύσοντος τὴν ὀργὴν, καὶ οὐ διὰ τέλους τῶν κακουργούντων ἡμῖν τὴν οἰκίαν κλεισόντων· ἀλλ᾽ οὐκ ἔγωγε ἠνεσχόμην αἰσχρῶς σωθῆναι, οὐδὲ ἐλθὼν μετὰ τοιαύτης αἰτίας παρ᾽ ἑτέροις οἰκεῖν, οὐδὲ παρασχεῖν τοῖς ἅπαν τὸ πρᾶγμα παρεσκευακόσι, λέγειν ἃ μάλιστα ἦν βουλομένοις. ἀλλὰ μένω, καὶ δίδωμι τῆς ὑποψίας δίκην, καὶ φέρω κατ᾽ ἐμαυτοῦ τὴν ψῆφον· καὶ τί ἂν δέοι δικαστήριον ἀνοίγειν καὶ ὕδωρ μετρεῖν, ἐμοῦ τὸ ξίφος ἐπισπωμένου, καὶ δεομένου τὸν πατέρα με παρ᾽ ὑμῶν λαβόντα ἀποκτεῖναι· ἀλλ᾽ οὐκ εἰωθότα φησὶ ζητεῖς, τὸν κρῖναι βουλόμενον, ἀναγκάζων ἄκριτον τὸν αὑτοῦ σφάττειν· οὐδὲ γὰρ εἰωθότα, ὦ πολῖται, ἐγκέκλημαι. οἷον, πίνειν τοῦ μέτρου πλέον, διάγειν ἐν κώμοις, προσκεῖσθαι κύβοις, ἑταίραις κελύσθαι· ταῦτα δὴ τὰ πολλοὺς τῶν νέων καταδεδουλωμένα. ἀλλ᾽ ἐκεῖνα διαφυγὼν, ἃ μὴ ῥᾴδιον, μόνος ἐγκέκλημαι ταῦτα, ἃ μηδεὶς ἄλλος νέων. τί οὖν θαυμαστὸν εἰ ὑπὸ καινῶν ἐγκλημάτων ἐπὶ καινοὺς προῆγμαι λόγους; χωρὶς δὲ τούτων, οὐκ ἐπιτάττω τῷ πατρὶ τήμερον, οὐδὲ ἐφεστηκὼς λέγω. τοῦτο μὲν οὐδ᾽ εἰ βούλει ποιήσεις, ἐκεῖνο δὲ, κἂν εἰ μὴ βούλοιο· καὶ κρῖναι μὲν οὐκ ἐπιτρέψω, κτεῖναι δὲ ἐπαναγκάσω· ἀλλ᾽ ἐφ᾽ ὑμᾶς ἥκω τὸν δῆμον τὸν φιλάνθρωπον, τὸν κοινὸν πατέρα τῶν νέων· καὶ τὸ μὲν ἐμόν ἐστιν ἱκετεία, τὸ δὲ παρ᾽ ὑμῶν ἐσόμενον. πειθὼ διαφέρει δὲ πολὺ πεισθέντα δοῦναι χάριν, ἢ μὴ βουλόμενον βιασθῆναι. καὶ τὸ μέν ἐστι δημοκρατίᾳ πρέπον. τὸ δὲ, εἰς τυράννους ἔρχεται· οὐδὲ γὰρ εἰ τῶν συγγενῶν τινὰς τῷ πατρὶ προσέπεμπον ὑπὲρ τούτων διαλεξομένους,

ἀνάγκη

ἀνάγκη τοῦτο ἂν ἦν. ὅπου γὰρ ἦν ἅψασθαι γενείου καὶ γονάτων, καὶ δακρῦσαι καὶ εἰπεῖν, εἶξον, ἐλέησον· αὐτὸς ἀπόκτεινον, πρὸς θεῶν, πρὸς ἑστίας, τίς ἐνταῦθα χώρα τῷ τῆς ἀνάγκης ὀνόματι; εἰ μὲν οὖν ἐκείνους ἀποχρήσειν ἡγούμην, οὐκ ἂν ὑμῖν ἠνώχλουν, οὐδ' ἂν φορτίον μεῖζον ἢ κατ' ἐμαυτὸν ἀνηρούμην, δήμῳ διαλεγόμενος· ἐπεὶ δὲ ἐλάττους εἰσὶ τοῦ πράγματος, ὑμᾶς ὁ καιρὸς ζητεῖ, τοὺς τῶν ὅλων κυρίους, ὑφ' ὧν εὔξαιτο ἄν τις αἰτηθῆναι χάριν. γραφὴν οὖν, φησιν, ἀπενεχθεῖσαν διαγράψεις; οὐκ ἐγὼ πόθεν; οὐδ' αὖ ὁ δῆμος. ἀλλ' ὥσπερ ἀνήνεγκεν εἰ πείθοιτο τῷ δήμῳ, πείσεται δὲ παρ' οὗπερ οὐκ ὀλιγάκις τετίμηται· τίς οὖν ἀναστῇ τοῦ πατρὸς ἀτιμία, εἰ ἄκοντος μὲν, οὐδεὶς λύσει τὰ κινοῦντα, αὐτοῦ δὲ αὐτὸς ἑκών. οὐδὲ γὰρ χαίρειν εἰπόντες ἐκείνῳ τὸν ἄρχοντα καλέσαντες, μὴ ἐξέστω δὲ τῷ πατρὶ τὸν παῖδα διώκειν ἐροῦσιν. ἀλλ' αὐτὸν τὸν πατέρα καλέσαντες, τοιαῦτα πρὸς ἐκεῖνον ἐροῦσιν· ὦ φίλτατε, ἐπειδὴ μόνος οἴει πατέρων ὑπὸ τοῦ παιδὸς μεμισῆσθαι, καὶ τὸ μῖσος εἰς βουλὴν φόνου προβεβληκέναι, καὶ τοῦτο ἐδυνήθης πεισθῆναι, λάμβανε μὲν τὴν δίκην, οὐ παραιτούμεθα, λάμβανε δὲ κατὰ τὸν νόμον ὃς ποιεῖ σε κύριον τοῦ ἐκείνου σώματος· ταῦτα γὰρ, ταῦτα ὁ παῖς ἱκετεύει, πραγμάτων σε πολλῶν ἀπαλλάττων, καὶ τούτων τῶν λογογράφων. ἂν ταῦτα ὁ πατὴρ προέμενος ἀποστῇ τῆς κρίσεως, τίς ἠδίκηται νόμος; τίς ἀνθρώπων ὕβρισται; τίς βεβίασται τῶν πολιτῶν; οὐδείς. ἀλλ' εἷς οὗτος βεβαιοῦται νόμος τήμερον, ὁ περὶ τῶν ἀκρίτων φόνων· εἰ μὲν οὖν ἡ μηδεμίαν, ἢ μικρὰν ἀντὶ μείζονος ὑποσχεῖν ἠξίουν δίκην. οἱονεὶ ταῦτα ἔλεγον παρελθών· ἄνδρες πολῖται, πονηρῶν καὶ κακοήθων ἀνδρῶν συμμορία, τὴν οἰκίαν ἡμῖν κεκώλυκε καὶ πολιορκεῖ· βοηθήσατε, πρὶν αὐτὴν ἐξέλωσιν· ὁ πατὴρ ἀναπέπεισται, διανενόηταί με τὴν ψυχὴν αὐτὸς ἀφελέσθαι, ὃ οὔτε ἐγένετο, μήτε γένοιτο· πῶς γὰρ ἂν ἐγὼ γεγονὼς ἐξ ἐκείνου, καὶ τοῦτο ἀκριβῶς εἰδὼς, καὶ τραφεὶς οὐδενὸς φαυλότερον, καὶ παιδείας μεταχὼν, ἣ τοὺς ἀναισθήτους ἀμείνους ποιεῖν δύναται, καὶ δικαίους καὶ καλῶν ἔργων ἐπιθυμητάς,

μητάς, πῶς ἂν ἐγὼ τὸν πατέρα εἶναί μοι δεινὸν ἡγησάμην, τῆς ὀρφανίας μεγίστης εἶναι συμφορᾶς ὁμολογουμένης· ἢ οὐχ ἡδὺ πατέρα γηραιὸν, ὥσπερ τινὰ δαίμονα θεραπεύειν; κἂν ταῖς εἰς ἐκεῖνον ἐπιμελείαις, κτᾶσθαι τὰς ἀμείνους ἐλπίδας, οὐκ ἂν ἔδεισα τοὺς ἐνταῦθα νόμους οὐκ ἂν ἔδεισα, τοὺς ἐν ᾅδου φόβους· ποιήσατε τοίνυν ἥμερόν μου τὸν πατέρα, καὶ κρατήσατε τῶν διαστελλόντων ἡμῖν τὸ γένος. εἰ ταῦτα ἐδεόμην, εἰκότως ἂν ἠγανάκτεις· ἠγανάκτεις δ' ἂν εἰκότως ἐκεῖνά μου λέγοντος, ὀργιζέσθω μὲν καὶ λαμβανέτω δίκην ἐπειδήπερ βούλεται. ἀλλὰ παίων, ἀλλὰ μαστίζων, ἀλλ' ἀποκηρύττων, ἀλλ' ἐξελαύνων τῆς οἰκίας. εἰ δὲ οὐκ ἀρκεῖ τοῦτο τῆς πόλεως ζῆν μόνον ἐπιτρεψάτω· ταῦτ' ὀργὴν ἂν ἐποίει δικαίαν, ἐπὶ τούτοις ἄν τις εἰκότως ἠγανάκτει. νῦν δ' ὡς ὁρᾷς ὡς ἔτου δεινότερον οὐδὲν εἰς τιμωρίας λόγον εὑρῆσθαι δοκεῖ· τί γὰρ ἂν εἴη δεινότερον, τοῦ μηκέτ' εἶναι, μήδ' ἀπολαύειν ἡλίου τε καὶ τῶν ἄλλων, ὧν ὁ θεὸς ἐδημιούργησεν ἀγαθῶν; ὑπὸ τοίνυν τοῦτο τὸ δεινότατον, ἑκὼν ἔρχομαι, ἀποτεμνέτω μου τὴν κεφαλὴν ὁ πατήρ. εἰ οὖν ὅπερ ἄλλους ἔπαχον, τοῦτο ἕτοιμος καὶ πρὸ τῆς δίκης παθεῖν, τίνος εἰπέ μοι τὸν πατέρα ἀποστερῶ; νόμος φησίν ἐστι τῷ πατρὶ, διδοὺς τὸν αὐτοῦ κτείνειν ἄκριτον εἰ βούλοιτο, μὴ βουλόμενον δὲ, οὐκ ἐπαναγκάζει. καλῶς οὐκ ἂν οὐδὲ νῦν ὁ νόμος ἀναγκάσει. ἀλλ' ὁ μὲν ὁ νόμος αὐτὸς, βουληθῆναι δὲ ὁ παῖς διὰ τοῦ δήμου παρακαλεῖ· τίς οὖν γένοιτ' ἂν ὠμότερος τῶν ἀντιλέγειν πειρωμένων, οἳ φθονοῦσί μοι ταχείας τελευτῆς; ἀλλὰ μανία φησὶ, προέμενον τὸ τῆς κρίσεως ἄδηλον, ἐπὶ φανερὰν σφαγὴν ἑκόντα δραμεῖν. καὶ τί δέδοικας, φησὶν, εἰ μηδὲν ἀδικεῖς, τὴν κρίσιν; πολλὰ, ὦ πολῖται, πολλά! καὶ πρῶτον μὲν τὸ, πάντων ἡμῶν ἀκουόντων, εἰπεῖν ὅτι ψεύδεται ὁ πατὴρ, καὶ συκοφαντεῖ, καὶ μηδαμοῦ γεγενημένα πλάττει. ἤδη δέ τις τοιαῦτα καὶ περὶ μικρῶν τινων ἀγωνιζόμενος εἴρηκεν. ὅταν δὲ ὁ λόγος περὶ θανάτου, καὶ ἐπ' αἰτίαν τοιαύτην, καὶ τὴν ζημίαν ἡ χείρων δόξα παρέρχεται, πῶς ἂν τούτων ἀπέχεσθαι δύναιτο; εἰ μὲν γὰρ ἀξιοῖ μέ τις εἰσελθόντα σιω-

πᾶν,

πᾶν, καὶ πολλῶν ὄντων τῶν κατ' ἐμοῦ ῥεόντων, ἄφωνον ἑστάναι καθάπαξ, τί μοι τῆς κρίσεως τὸ κέρδος, τί δ' ὑμῖν τῇ ἄλλως παραναλίσκεται δικαστήριον; εἰ δὲ δεήσει με λέγειν τὶ καὶ μὴ δέχεσθαι τὴν αἰτίαν, ἀνάγκη πολλὴ τὰ τῶν ἀλγούντων, καὶ τὰ τῶν ὀδυρομένων, ἐν οἷς ἂν ἐκδράμῃ τι τοιοῦτον, ὃ σιωπᾶσθαι βέλτιον. ἐγὼ οὖν καλέσω τὸν πατέρα μου συκοφάντην, ἐγώ τι πικρότερον εἴπω πρὸς αὐτόν· μίμνησαι πάτερ τὰ θηρία. κἀκεῖνα κήδεται τῶν τέκνων· ἀλλὰ πρῶτον μὲν ἀσεβές τε καὶ δεινὸν, καὶ θεοῖς καὶ δαίμοσιν ἐχθρὸν, καὶ μυρίων ἐμοὶ θανάτων βαρύτερον· ἔπειτα πόσην εἰκὸς ἔσεσθαι βοήν; πόσον δὲ θόρυβον ἐν τῷ δικαστηρίῳ καὶ τῶν καθημένων καὶ τῶν περιεστηκότων; ἐξελήλεγκται τἀδίκημα, δέδεικται τὸ σκευώρημα, τοῦ τοιαῦτα λέγοντός ἐστι, τὸ κἀκεῖνο τετολμηκέναι, καὶ τῆς αὐτῆς ψυχῆς, καὶ τὰ ῥήματα, καὶ τὰ ἔργα. εἰ γὰρ ἐν μέσῳ ταῦτα, τί λάθρα οὐ βαλεῖ τις, οὐκ ἀποκτενεῖ τὸν φονέα τοῦ πατρός; εἰ οὖν ἥ τε σιωπὴ τῆς αἰτίας ὁμολογία σαφὴς, καὶ ἡ φωνὴ ταυτὸν ἂν ποιῇ, τίς ὄνησις τῷ φεύγοντι τοῦ δικαστηρίου; ἀλλὰ θῶμεν βούλεσθαι πᾶσαν ἄδειαν ἅπαντος ἔσεσθαί μοι λόγου, καὶ μηδένα ἐπιστομίσειν, μήτε διακωλύσειν, μηδ' ἐπὶ μηδενὶ τῶν λεγομένων δυσχεραίνειν. ἀλλ' ἄπειρος ὢν, ὦ πολῖται, δικαστηρίων, καὶ νέος, καὶ ἡλίκον ὁρᾶτε, καὶ μόνος. πῶς οἴσω γῆρας πατρὸς, καὶ προσηγορίαν καὶ ἐμπειρίαν πραγμάτων, καὶ πλῆθος ῥητόρων, καὶ οἷς λυσιτελεῖ τὸ ἐμὲ τεθνάναι; τίς μοι παραστῇ; τίς ἀμυνεῖ, τίς συλλήψεται; εἰ μήτε τῶν πρεσβυτέρων ἐθελήσει μηδ-ὶς, μήτε τῶν νέων δυνήσεται· οἱ μὲν γὰρ, τιμῶν τῆς αὐτῆς ἡλικίας, συνοργιοῦνται τῷ πατρί. οἱ δ', οὐδ' ἂν παρακύψαι θαῤῥοῖεν εἰς τὸ δικαστήριον· πῶς γὰρ οἳ κἂν ἐν τοῖς στενωποῖς, πλείοσιν ὑμῶν συντύχωσιν, ἰλιγγιῶσιν; ἀλλ' ἀργύριόν τις ἐλπίσας παρέξει μοι· πόθεν; ἀλλ' εὖ τι πεπονθὼς καὶ χάριν ἀποδιδοὺς ποίαν; ἐγὼ γάρ τοι φιλῶ μὲν ὑμᾶς ἅπαντας, ὦ πολῖται, καὶ τοὺς ὑμετέρους παῖδας, ὡς ἴσασιν οἱ θεοὶ, τὸ δὲ εὐεργετηκέναι μεγάλα τινὰς ἀνθρώπων, οὐχ ἡμῶν τῶν νέων. οἴχεται, νὴ Δία, μεθ'

ἡμῶν

ἡμῶν ἔσονται! πάνυ γε οἱ τοῦ πατρὸς, οἱ τὰς πέδας εἰδότες, καὶ τὸν μύλωνα. πῶς οὖν πρὸς τίνας βλέψω; τίνας οἴσω; τίνας ἐρήσομαι; τίσιν ἀποκρινοῦμαι; πῶς διαφεύξομαι τοσαύτας τρικυμίας; ἀλλὰ δίκαια λέγων ἡττήθη! πολλάκις ἐν τοῖς δικαστηρίοις, ἤδη τις δίκην ὀφείλων, οὐκ ἔδωκεν ἕτερος οὐκ ὀφείλων, ἐκολάσθη. καὶ ὥσπερ οἱ χείμαῤῥοι πολλάκις ἀποφέρουσι τὰ πρὸς φυλακὴν πεποιημένα τῶν ἀγρῶν, οὕτω παρασύρεται τῶν δικαίων ἡ μερὶς, ὑποστάσεως κολάκων καὶ σεμνοτέρων ὀνομάτων· ὁποῖόν τι καὶ τὸ τοῦ πατρός. εἰ γὰρ τἆλλα πάντα ἔχων εἰσῄειν, ὧν οὐδέν ἐστί μοι νῦν, οὐκ ἂν ἐξήρκουν αἱ ὀφρύες τῷ πατρὶ, καὶ τὰ νεύματα, καὶ μικρὰ φωνὴ, καὶ πρόσωπον κατηφές. καὶ τὸ, ὦ θεοὶ, τί γὰρ ἐγάμουν; οὐδὲν οὖν ἕτερον, ἢ ἐν σχήματι κρίσεως, ἄκριτος ἀπολοῦμαι· καὶ δοκῶν τῶν ἴσων μετέχειν, εἰς ἄνισον ἀγῶνα ἐμπεσοῦμαι. ᾧ τοίνυν ἅπαν δικαίωμα πρὸς σωτηρίαν ἄχρηστον, καὶ τὸ πάντως ἁλώσεσθαι πρόδηλον, πῶς οὐκ ἂν ἀνόητος εἴην, μὴ φθάνων τοὺς δικαστὰς, ὅτι φησὶν ὀμοῦνται, καὶ οὐδ' εἰ σφόδρα βούλοιντο, χαρίσαιντ' ἂν θατέρῳ. κωλύσει γὰρ ὁ φόβος· ἐγὼ δὲ, ἀμελήσειν μὲν ὅρκων, οὐκ ἂν αἰτιασαίμην τοὺς ψηφιουμένους. οἶδα δὲ πολλοὺς πολλάκις τῶν δικαστῶν, καὶ ταῦτα οὐκ ὀλίγην πεποιημένους τοῦ μὴ παρακρουσθῆναι πρόνοιαν, ἠπατημένους. πῶς δὴ τοῦτο γίγνεται; παρὰ τῶν δικαζομένων ἔρχεται μαθησόμενος ὁ δικαστὴς, περὶ ὧν ψηφιεῖται, οὗτοι δὲ, ποτὲ μὲν ἱκανῶς ἐδίδαξαν, ποτὲ δὲ οὔ, τούτων δὲ πολλάκις. οἱ μὲν δεινοὶ λόγῳ διαστρέψαι τἀληθές. οἱ δὲ, οὐ δύνανται δηλῶσαι περὶ ὧν ἔχουσιν ἱκανῶς. ἐνταῦθ' οὖν ἐμοῦ τε τὸ δίκαιον ἡττᾶται, καὶ ὁ ὅρκος οὐ παραβαίνεται· ὁ γὰρ ἀκούων, ἁμαρτὼν τοῦ προσήκοντος, αἰτίας ἔξω, καὶ τούτου μάρτυς, ὁ νομοθέτης, ἀπομνησθεὶς τε ἀπάτης, καὶ καταρώμενος ἀντὶ τῶν παρηγμένων τοῖς φενακίζουσιν· εἰ δὲ πανταχοῦ τὸ δίκαιον ᾔδει νικῆσον, οὐκ ἂν ἦν ἐν τοῖς νόμοις, οὔτε τὸ τῶν ἀπατώντων, οὔτε τὸ τῶν ἀπατωμένων ὄνομα. ἀλλ' εἰδὼς μὲν ὡς οὐκ ἔστιν ὅλως ἀπάτης δικαστήρια καθαρεύειν, βουλόμενος δὲ αὐτὸ

κωλυ-

κωλύσαι, τῶν μὲν ἄλλων ἐπὶ τοῦτο εὕρισκεν οὐδὲν, τὴν ἀρὰν δὲ μόνην ᾤετο δεῖν ἔσεσθαι. βραχὺς δὲ ἄρα ταύτης ὁ λόγος τοῦ ἴσου καὶ τοῦ δικαίου· ἂν οὖν οἱ μὲν τὰ τῶν δεινῶν καὶ σοφιστῶν ποιῶσιν, ἐγὼ δὲ ἐκπεπληγμένος ἑστήκω, καὶ σκοτοδινιῶ, καὶ τὰ μὲν εὑρίσκω, τῶν δὲ ἐπιλανθάνωμαι, μικρὸν δὲ φαίνωμαι τῶν ἀνδριάντων διαφέρειν, τοῦτ' ἤδη κατηγορία τῶν δικαστῶν· τί γὰρ ἢν ἐκεῖνοι μὲν ἐρωτῶσι, τί πρὸς ταῦτα φὴς ὦ παῖ; πῶς συκοφαντεῖσθαι λέγεις, ἐμοὶ δὲ τὸ πρόσωπον τοῦ πατρὸς ἀποστρέφει τὴν γλῶτταν ἢ τοῦ φεύγοντος αἰδώς; κακία ἂν εἴη τοῦ δικαστοῦ, ποία μὴ τοίνυν με τῶν δικασόντων νομιζέτω τις κατηγορεῖν, ὅταν ἀπεγνωκέναι λέγω τὴν ἀφιεῖσαν ψῆφον. οὐ γὰρ ἐκείνους ὑφορώμενος, ἐμαυτὸν δὲ καταμεμφόμενος, ταῦτα εἰκάζειν ἔχω. ἀλλ' εἰ δεῖ με καὶ τοῦτο συγχωρῆσαι, καὶ ταῦτα οὐδαμοῦ γενησόμενα δοῦναι. ἐγνήσεσθαι ἀνωμολογημένως, ψευδεῖς ἡγήσονται τὰς αἰτίας, καὶ συκοφαντίαν οὐ γεγενῆσθαι πώποτε ταύτης φανερωτέραν. καὶ τοῖς μὲν, περὶ τὸν κατήγορον ἐπιτιμήσειν, τὴν ἐμὴν δὲ ἐλεήσειν ἐρημίαν. εὖ τοίνυν ἴστε ὡς καὶ τοῦτο ἐγὼ δέδοικα, καὶ νῦν ἐμοὶ τῷ ταλαιπώρῳ, ἁλῶναί τε, ὁ μεγίστη συμφορὰ, καὶ ἀποφυγεῖν, οὐ μικρὰ τοῖς καὶ τὸ φυγεῖν ἐφ' οὕτως ἀτόποις ἀφόρητον. οἷον στρατηγὸς εὔνους μὲν τοῖς ἐπιστευκόσι, βαρὺς δὲ τοῖς πολεμίοις, ὡς τἀκείνων αὔξων ἐκρίθη, καὶ κριθεὶς ἀπέφυγε τούτων· οὐ τὸ μὴ ἁλῶναι παραμυθεῖται, τὸ δὲ κεκρίσθαι λυπεῖ. καὶ οὐδὲ ζῆν ὅ γε τοιοῦτος βούλοιτ' ἂν ἰατρὸς κατὰ ταῦτα, πάσαις μὲν ἐπινοίαις ὑπὲρ τῶν καμνόντων περὶ πάντα τὸν χρόνον χρησάμενος. κρίσιν δὲ ὑπομείνας ὡς προστιθεὶς τοῖς νοσήμασι μένων, κέρδος ἂν ἡγεῖτο, κἂν ἀποφύγῃ τὸν θάνατον· ἧς γάρ τις ὡς πλεῖστον ἀφέστηκεν αἰτίας, ταύτην εἰ λάβον ἀρατοῦντι τὸ πρᾶγμα ἀφόρητον· μένει γάρ πως τὸ τῆς αἰσχύνης, κἂν ὁ θάνατος λυθῇ, καὶ δεῖ τὸν ταύτῃ πεπληγμένον, ἢ πίπτειν εἰς τὴν γῆν ὥσπερ τινα ἄτιμον ἢ φθεγγόμενον ἐλευθερωθέντα πρέπον τῶν ἐκ τῆς γραφῆς ὀνειδῶν ἀπέχεσθαι· οὐ τοίνυν οὐδ' αὐτῷ μοι ζῆν ὑπὸ τοι-

τοιαύταις ὑποψίαις ἀνεκτόν· οἶδα γὰρ οἷα καὶ περιὼν ἀκούσομαι· ὁ τοῦ πατρὸς φονευτὴς, ὁ τοσοῦτον εἰς τὸν οἶκον ἐμβαλλόμενος κακὸν, τοῦτον δεῖ εἰς ἱερὰ φοιτᾶν; τοῦτον δὲ ἀγορᾶς ἐπιβαίνειν; τοῦτον δὲ μετέχειν ἐκκλησιῶν; ἀλλὰ γὰρ ἐπελαθόμην ἐμαυτοῦ προσδοκῶν σωτηρίαν, καὶ οἷά με μένει ῥήματα νενικηκότα· πόθεν γὰρ ἐμοὶ νίκη; τί ποιήσει παῖδα πατρὸς ἐν δικαστηρίῳ δυνατώτερον; ποία τύχη; ἀλλ' ἀκούσεται, φησιν, ὁ πατὴρ, κακὸς ἀποκτείνας ἄκριτον. ὁ γὰρ λοιδορεῖν βουλόμενος, τὸν οὐδὲν ἠδικηκότα φησι παῖδα τεθνάναι· κρίνας δὲ ὦ τὰν, ταῦτα διαφεύξεται; οὐ γὰρ καὶ τότε οἱ λέγοντες ἔσονται, ἀνηρπάσθη νέος, ἐκ συκοφαντίας; κατέχωσεν ὁ πατὴρ βλασφημίαις τὸν υἱόν; ἐπέκλησε φωναῖς ῥητόρων γεγυμνασμένων τὸν οὐδὲ οἷ γῆς εἱστήκει καλῶς εἰδότα; οἴεσθε, ὦ πολῖται, παῖδα πατρὸς ἐν δικαστηρίῳ ἡττημένον, δείξειν ποτὲ δικαίως ἡττῆσθαι; οὐκ ἔστι δὲ οὕτω μικρὸν ὄνομα ὁ πατήρ· τῆς οὖν αὐτῆς ἐξ ἑκατέρου περιστησόμενος δόξης χαρίζομαι τῷ πατρὶ τὰ πολλά· τὸ μήτε εἰσαγωγέων, μήτε δικαστῶν, μήτε λόγων, τῶν ἵνα τί λάβωσιν ἅπαντα ποιούντων δεῖσθαι, μηδὲν φθείρονται παρ' αὐτῶν καθ' ἑκάστην ἡμέραν, καὶ στένουσι δὴ καὶ τὸν κατάρατον καὶ τὸν δυσσεβῆ, καὶ πάντα τὰ τοιαῦτα καλοῦσιν ἐμέ. καὶ οἶδα ὡς ἀνθ' ἑκάστου τούτων τῶν ῥημάτων φέρων, τί τούτων ἕκαστος τῶν ἀνθρώπων ἀπέχεται· τοῦτον ἐλευθερῶ τὸν ἐμαυτοῦ πατέρα μεθιστὰς ἐπ' ἔργον αὐτὸν τὰ πολλὰ ταῦτα κεκτημένον. τί γὰρ ἂν γένοιτο συντομώτερον, τοῦ ξίφους ἀνελώμενον, πλῆξαι τὸν οὐ μαχόμενον. ἀλλὰ χαλεπόν, φησι, τοῦτο πατρὶ, καὶ ἴσως οὐδὲ δυνατόν· οὐδὲ γὰρ ὑφ' ὅτου παρακαλοῖτ' ἂν παραδείγματός ἐστι. οὐδαμοῦ γὰρ ὁ νόμος οὗτος, ἔργον φαίνεται προσλαβών. πρόσθες εἰ βούλει καὶ ταῦτα, τὰ πανταχοῦ τε καὶ παρὰ πάντων θρυλλούμενα· ὅτι ὁ νόμος οὗτος ὁ λέγων ἀκρίτων εἶναι παίδων σφαγὰς, δεδοικέναι μὲν τοὺς παῖδας τὴν ἐξουσίαν ταύτην, καὶ κατὰ τοῦτο σωφρονεῖν βούλεται, σφάττειν δὲ οὐδένα δίδωσιν, οὐδὲ μύσους. οὗ οὐδεὶς ἂν ἐκνίψειν ἐμπιπλῶν τὴν πόλιν.

πόλιν· ἤκουσα ταῦτα πολλάκις. ἀλλ᾽ ὅμως ὁ ἐμὸς πατὴρ σφαττέτω μόνος, ἐπειδὴ καὶ μόνου ἐστὶ παιδὸς πατὴρ, οὕτως ἐπιθυμοῦντες ἀποθανεῖν. ἀλλ᾽ ἐμποδὼν, φησιν, ἡ φύσις ἔσται. ποία φύσις, ἣν ἐγὼ σαθρὰν, ὡς αὐτὸς φησιν, ἀπέφηνα; πάλαι ταῦτα ἦν κοσμεῖν τὴν φύσιν, καὶ θεὸν, καὶ θεῶν μεγίστην ἀποκαλεῖν· ἣ καὶ δι᾽ αὐτῶν ἀφικνεῖται τῶν ἑρπετῶν, τὴν αὐτῆς ἐπιδεικνυμένη ῥώμην, ἣ πείθει μὲν πατέρας προκινδυνεύειν παίδων, τῶν πατέρων δὲ, τούτους τάξεις, καὶ μάχας, καὶ φόνους. καὶ τὸν τοῦ θνήσκειν ἐν τοῖς ὅπλοις ἔρωτα ἥδε ἐστὶν ἡ ποιοῦσα. αὕτη διδάσκει τοὺς μὲν, τῶν ψυχῶν ὠνεῖσθαι τοῖς ἐγγόνοις τὴν ἐλευθερίαν, τοὺς δὲ ἐκείνους, ἐξ ὧν ἔφυσαν αὐτοὶ, τούτους ἀλύτους μέχρι τῆς ἐμῆς τόλμης ἐτήρησεν ὁ χρόνος τοὺς νόμους. ἀλλ᾽ αὐτὸς, τοσαύτην ἰσχὺν, ὡς αὐτὸς βοῶν λέγει, ἐξήλεγξα, καὶ διέφθειρα, καὶ κατεπάτησα τὸν θεσμόν. καὶ ὅτι δὴ πρὸς αὐτὸν ἐμνήσθην οἶκος τῆς φύσεως, διεφαύλισεν· αὐτὸς τοίνυν ὁμολογείτω, καὶ μὴ νῦν μὲν αὐτὴν τὸ μηδὲν, νῦν δὲ μέγα τι νομιζέτω. ἀποστήτω τῆς τοῦ παιδὸς ἐννοίας, καὶ λεγέτω πρὸς αὐτόν· οὐ παῖδα κτείνεις οὔ, ἀλλ᾽ ἐχθρὸν, δυσμενῆ, πολέμιον· εἰ μὲν γὰρ οὐ ταῦτα πέπεισται, τί πρὸς τὴν κρίσιν αὐτὸν ὠθῇ, τί ἀποστερεῖ τὸν οἶκον, παιδὸς οὐδὲν ἠδικηκότος· εἰ δ᾽ οὐδεὶς ἂν αὐτοῦ τοῦτο ἐξέλοι τῆς γνώμης, τῷ τρόπῳ κρινέτω τὸν υἱὸν, μὴ τῷ σπέρματι. καλεῖτε δὴ τὸν πατέρα, καὶ τὴν χάριν ἀπαγγέλλετε! παραλαμβανέτω με παρ᾽ ὑμῶν, καθάπερ τινὰ αἰχμάλωτον! εἴτ᾽ ἐνταῦθα βούλοιτο σφάττειν, ἐν ὀφθαλμοῖς τοῦ δήμου παντὸς σφαττέτω. εἴτ᾽ ἐν τῷ βουλευτηρίῳ, τῆς βουλῆς καθημένης κτεινέτω. εἴτε πρὸ τοῦ δικαστηρίου, πληττέτω· εἴτ᾽ ἐπὶ μέσης τῆς ἀγορᾶς, παιέτω· τάχα δ᾽ ἂν πρέποι τῷ ἔργῳ τῆς οἰκίας ὁ ἀνδρὼν, οὗ τῷ πατρὶ συσσιτῶν, οὐδὲ αὐτὴν ᾐδέσθην τὴν τράπεζαν· καλεσάτω μὲν τὴν συγγένειαν ἅπασαν· περιστήσας δέ με τῷ σώματι, καὶ ἄνδρας καὶ γυναῖκας, ἀνίσχοντος ἡλίου, πολλὰ διαλεχθεὶς πρὸς αὐτὸν κατ᾽ ἐμοῦ, οὕτω κατακοπτέτω· ἀλλ᾽ οὐδὲν ἂν τοῦτο δύναιτο καλῶς, ἀλλ᾽ ἐκεῖνό γε ῥᾷστον, τοῖς

πρώτοις τουτὶ περὶ ἐμοῦ πρὸς αὐτὸν φθεγξαμένοις, παραδοῦναί με πρὸς σφαγήν. οἴσω κἀκείνους ἐπιφέροντας τὸ ξίφος. εἰ δὲ κἀκεῖνοι φύγοιεν ἂν τὸν φόνον; ὅπερ ἐγὼ θαυμάσαιμ' ἄν, ἕξει τινὰ τῶν οἰκετῶν ἀντ' αὐτοῦ, οὐκ ἀπορήσει παντάπασι σφαγέως. ἐπειδὰν οὖν ὅδ' εἴη τῷ θυμῷ κεχαρισμένος, σπεισάσθω πρὸς τὸν νεκρόν· καὶ καταλυσάτω τὴν ὁρμήν, καὶ δείτω τινα τεθνεῶτι τῶν θεῶν χάριν. πολλοὶ δὲ οἷς ζῶσιν ἐπολέμουν, τούτους ἐδάκρυσαν κειμένους. οἴεσθέ με μνῆμα ἐρεῖν καὶ κολωνὸν, ἢ τί τῶν τοιούτων, ἃ παραμυθεῖσθαι δύναιτ' ἄν, τὴν οὕτως ἀπελθοῦσαν ψυχήν; οὐδαμῶς! τοιγάρτοι, τοὐναντίον αἰτῶ. μηδεὶς ἐμὸς φαινέσθω τάφος! μηδὲ ἐχέτω τις ἐπιστὰς, λέγειν ὁ δεῖνα, τοῦ δεῖνος, ἐνθάδε κεῖται· ἀλλ' ἀγνοείσθω μὲν οὗ κέκρυμμαι· γεωργὸς δὲ ἄνωθεν ἀρούτω καὶ σπειρέτω. μᾶλλον δὲ, ἄταφόν με ὁ πατὴρ ἐκριψάτω. βέλτιον δὲ ἴσως εἰ καταποντίσειε· πρὸς δὲ τοὺς ἡλικιώτας τοὺς ἐμαυτοῦ, τοσοῦτον εἰπὼν, παύσομαι· ὦ κοινωνοὶ παιδείας καὶ τῶν καλλίστων διατριβῶν, ὅτι μὲν ἐστὲ καὶ χρηστοὶ καὶ δίκαιοι καὶ φιλοπάτορες, (εὖ οἶδα δεῖ μέντοι δεδοικέναι, μὴ τουτί που κακὸν ἀρξάμενον ἀπ' ἐμοῦ, πολλοὺς τῶν νῦν ἐπαινουμένων, εἰς ὁμοίαν δόξαν ἐμβάλῃ) φυλάττετ' οὖν ἅπαντα καὶ πάνυ τηρεῖτε, καὶ ὅπως μὴ λαθών τι τὴν παροῦσαν ἡμῖν εὐδαιμονίαν ἀνατρέψῃ σκοπεῖσθε, τουτὶ δὲ οὐχ' ὑμῶν μᾶλλον, ἢ ὅλης τῆς πόλεως ὄφελος. ὁ πατὴρ δὲ, εἰ σφόδρα ἐπιθυμεῖ δικαστηρίου καὶ κρίσεως, νῦν μὲν ἀποκτεινάτω με. μετὰ δὲ ταῦτα ἐν ᾅδου τεθνεὼς, τεθνεῶτα παρὰ τοῖς ἐκεῖ δικασταῖς διωκέτω· οὐ μία πλεονεξία, μόνη τῶν δικαίων ἡ ῥοπή.

ΛΙΒΑ-

ΛΙΒΑΝΙΟΥ ΣΟΦΙΣΤΟΥ ΠΡΟΓΥΜΝΑΣΜΑΤΩΝ ΠΑΡΑΔΕΙΓΜΑΤΑ.

Οἱ λύκοι παρὰ τῶν προβάτων εἰρήνην καὶ ἡσυχίαν ᾔτουν, καὶ ἥδε ἡ ἡμέρα μεγάλων ἄρξει ἀγαθῶν ἡμῖν τε καὶ ὑμῖν, ἔλεγον· ἀπαλλαγεῖσι γὰρ πολέμου καὶ κακῶν, ἐξέσται παρ' ἀλλήλους φοιτᾷν ἀδεῶς. σπενδώμεθα τοίνυν· ἀλλ' εἰ μέλλοι τι βέβαιον ἔσεσθαι ταῖς σπονδαῖς, καὶ οὐ γράψαντες αὐτίκα λύσομεν, τοὺς πονηροὺς καὶ πολεμίους κύνας ἀποδιωκτέον ὑμῖν· ἐπεὶ καὶ νῦν παρὰ τούτων ἡ ταραχὴ, καὶ τὸ ὑποπτεύεσθαι τοὺς λύκους. πολλάκις γὰρ ἁπλῶς παριόντας ἡμᾶς τὰ ποίμνια, προεκπηδῶντες ὑλακτοῦσιν. οἱ δὲ οὐ σφόδρα θέλοντες, παροξύνονται, καὶ λυποῦσι. τί οὖν ὑμῖν δεῖ κυνῶν, εἰρήνης οὔσης πρὸς λύκους; ὑπήχθη τὰ πρόβατα· τοιοῦτον γὰρ τὸ γένος, εὐηθείας γέμον. καὶ οἱ κύνες ἀπεσκορακίζοντο, καὶ ἐφεστήκεσαν οἱ λύκοι. τὰ δὲ, ἔρημα κατησθίετο.

Τοῖς ἐχθρῶν λόγοις, οὐ πιστευτέον[1] τὴν προσήκουσαν φυλακήν.

ΜΥΘΟΣ β'.

Σεμνὸς ἦν ὁ ἵππος ἐπὶ τῷ τάχει, καὶ ἀπέκναιε τὰ ἄλλα ζῶα, σφόδρα ἑαυτὸν ἐπαινῶν, μάλιστα δὲ τὴν χελώνην· λυπηρὸς δὲ ἦν[2] προφέρων τὴν βραδυτῆτα. ἡ δὲ ἤλγησε

[1] οὐ πιστευτέον, [subaudi τούτῳ ὅστις ποιήσεται τὴν π. φ. quicumque sibi cauere ita, vt par est, volet, is inimicorum ne fidat orationi.

[2] f. μάλιστα δὲ τῇ χελώνῃ λυπηρὸς ἦν προφ. num προσιούσης nocte accedente, h. e. sub vesperam? vulgatam si tueri mavoles, interpretaberis: nocte iam altum profecta.

ἤλγησε τοῖς ὀνείδεσι, καὶ ποιεῖται πρόκλησιν εἰς δρόμον. τῷ δὲ ἵππῳ γέλως τε ἦν ἡ πρόκλησις, καὶ οὐκ ἠξίου διαμιλλᾶσθαι. γέλωτος δέ τι καὶ τοῖς ἄλλοις ζώοις ἐνέπεσεν εἰς τὸ παράλογον ὁρῶσι τῆς φύσεως. ἐγκειμένης δὲ τῆς χελώνης, καὶ διισχυριζομένης ὡς περιέσαι, ἀναγκάζει τὰ ἄλλα ζῶα τὸν ἵππον μὴ ἀπαρνηθῆναι τὴν ἀγωνίαν. ἀποδείκνυται δὴ τὸ στάδιον, καὶ ἡμέρα τῷ δρόμῳ· καὶ τὸ ἐντεῦθεν ὁ μὲν ἵππος ἐτρύφα παρὰ τῇ φάτνῃ, τῇ δὲ χελώνῃ μελέτη ἦν συνεχὴς, καὶ οὐδὲ νυκτὸς προϊούσης ἔληγεν. ἧκε δὲ ἡ κυρία, καὶ μεστὸν ἦν τὸ θέατρον, καμήλων, ὄνων, οἷς τε ἄνθρωποι χρῶνται, καὶ μὴν ἐλάφους συνήγαγεν ἡ φήμη· καὶ ἐμειδία τὸ θέατρον ὡς παραπαιούσης τῆς χελώνης. ἐπεὶ δὲ ἤρθη τὸ σημεῖον, καὶ θεῖν ἐχρῆν, ὁ μὲν ἵππος πεπεδημένος, ὥσπερ καὶ πρώην, ἔμεινεν ἐν ἀργίᾳ τε καὶ κόρῳ· τῇ δὲ ἡ μελέτη τάχος ἐδεδώκει, καὶ νίκην. καὶ σὺ, ὦ παῖ, μὴ τῇ φύσει πιστεύσας κάθευδε, ἀλλ' οἴου καὶ πόνου δεῖν· εἰ δὲ μὴ, παραδραμεῖται ῥᾳδίως ἐκεῖνος, οὐκ εὖ πεφυκώς.

ΜΥΘΟΣ γ'.

Ἔδοξε τῷ Διῒ βασιλεῦσαι[3] καὶ τὸ ὀρνίθων γένος, καὶ διὰ τοῦ Ἑρμοῦ πρὸς ἀγῶνα κάλλους ἐκάλει, ὡς δώσων τῷ καλλίστῳ φανέντι τὴν ὀρνίθων ἀρχήν. ἐκαλλωπίζετο γοῦν τὰ ὄρνεα τὰ μὲν ἐν κρήναις, τὰ δ' ἐν πηγαῖς τε καὶ λίμναις, καὶ τῶν πτερῶν ἐξεκαλεῖτο ὁπόσα ἑαυτοῖς ὥραν οὐκ ἔφερον. ὁ δὲ κολοιὸς (ἦν γὰρ ἄμορφος) ἐπιτεχνᾶται τοιάδε. τῶν πτερῶν ὁπόσα ἐπέπλει τοῖς ὕδασιν ἀναιρούμενος, ἕκαστον ἑαυτῷ περιετίθει, συναρμόττων σοφῶς ἄλλο ἐπ' ἄλλῳ, καὶ χρῆμα ποικιλότερον γίγνεται. καὶ ὡς ἧκεν ἐπὶ τὴν κρίσιν, ἐπέστρεφε[4] μὲν τῶν ὀρνέων τὰ ὄμματα· θάμβος δὲ ἐνέβαλλε καὶ αὐτῷ τῷ δικαστῇ. ὥστε ὑπεχώρει μὲν αὐτῷ καὶ ὁ λευκότατος κύκνος. μικρὸν δὲ ὁ ταὼς ἐδόκει, καὶ αἱ τούτου βαφαὶ, κατεπεφρόνητο δὲ καὶ ἀετῶν

τῶν

[3] recte margo βασιλεύεσθαι. [4] ἐπέστρεψε m. M.

τῶν ἡ σεμνότης. μέλλοντος δὲ ἤδη τοῦ Διὸς αὐτῷ ἐγχειρίζειν τὸ σκῆπτρον, ἡ γλαὺξ ἰδοῦσα τὸ ἑαυτῆς ἐν τῷ κολοιῷ πτερὸν, προσιοῦσα ἀπέσπα, καὶ ἄλλος τὸ ἑαυτοῦ, καὶ πᾶς τὸ οἰκεῖον. ἀπελθόντων δὲ τῶν ἀλλοτρίων, ἐγυμνοῦτο τοῦ κολοιοῦ τὸ εἶδος, καὶ ἐγελᾶτο· τὸ μὴ τοῖς οἰκείοις κοσμεῖσθαι, βραχεῖαν μὲν τὴν ἀπόλαυσιν, πολλὴν δὲ ἐλεγχθέντι ποεῖ τὴν αἰσχύνην.

ΔΙΗΓΗΜΑ α'.

ΔΗΙΑΝΕΙΡΑΝ τὴν Οἰνέως ἐβούλετο μὲν γαμεῖν Ἡρακλῆς· εἶχε δὲ τὸν ποταμὸν Ἀχελῷον ἔρως τῆς κόρης. ὁ δὲ ἀμφότερα[4] δεδοικὼς, οὐδέτερον χαρίζεται. στήσας οὖν ἆθλον τὴν θυγατέρα, διαγωνίζεσθαι ἐκέλευε. καὶ Ἡρακλῆς ἐνίκα παλαίων, τὸ κέρας ἀνασπάσας τοῦ ποταμοῦ, καὶ τὸ αἷμα ἔῤῥει, ἀφ' οὗ Σειρῆνες ἐγένοντο.

ΔΙΗΓΗΜΑ β'.

ΑΚΟΥΕΙΣ ἄνθος ὑάκινθον,[6] τοῦτο ἦν πάλαι μειράκιον Ἀμυκλαῖον, καὶ καλόν. ἐρασταὶ δὲ αὐτοῦ γεγόνασι δύο, Ζέφυρός τε καὶ ὁ Λητοῦς. ἐπεὶ δὲ ἐχαρίζετο τῷ θεῷ, βουλεύει φόνον ὁ Ζέφυρος ἐπ' αὐτῷ·[7] καὶ τηρήσας ἀφιέντα δίσκον, ἐπαιδεύετο γὰρ Ὑάκινθος Ἀπόλλωνι τὰ τοιαῦτα, πνεῖ τε ἀπὸ τοῦ Ταϋγέτου, καὶ περιτρέπει τῷ μειρακίῳ τὴν βολὴν, καὶ τὸ μὲν ἔκειτο· ἡ δὲ γῆ ἠλέει τὸ πάθος, καὶ ἀνήει[8] τὸ ἄνθος.

ΔΙΗΓΗΜΑ γ'.

ΕΡΩΣ ἅπτεται ποταμοῦ· πόθον οὖν ἐμβέβληκεν Ἀλφειῷ, Σικελικῆς πηγῆς Ἀρεθούσης τοὔνομα. πληγεὶς δὲ ἔρχεται δι' Ἰονίου παρ' αὐτὴν, φυλάττων ἀμιγὲς καὶ ἐν θαλάττῃ τὸ ῥεῖθρον.

5 f. ἀμφοτέροις. ille autem, Oeneus puta, ambos reueritus, Herculem et Acheloum.

6 ὑακίνθινον m. M.

7 ἐπ' αὐτῷ] redit ad Apollinem, ad quem etiam ἀφιέντα redit.

8 ἀνῆκε m. M.

ΧΡΕΙΑ α'.

Ἀλέξανδρος ἐρωτηθεὶς παρά τινος, ποῦ ἂν ἔχοι τοὺς θησαυρούς, τοὺς φίλους ὑπέδειξεν.

ΟΤΙ μέγας μὲν καὶ θαυμαστὸς ὁ βασιλεὺς Μακεδόνων Ἀλέξανδρος, καὶ τὴν ἤπειρον ἑκατέραν τῶν αὐτοῦ κατορθωμάτων ἐνέπλησε, καὶ τοσοῦτον τοὺς ἔμπροσθεν καὶ τοὺς ὕστερον παρήνεγκεν, ὡς πρώτῳ χώραν μὴ δοῦναι, πάντας ἡγοῦμαι συμφῆσαι, πλὴν εἴ τις ἢ παντάπασιν ἀναισθήτως, ἢ λίαν ἀγνωμόνως ἔχοι. ἐμοὶ δὲ δοκεῖ[9] καλὰ[10] πρᾶξαι καὶ παραδοῦναι τοῖς ἐσομένοις ὑμνεῖν, οὐ τύχῃ μόνον, ἀλλὰ καὶ συνέσει χρησάμενος πρὸς ἅπαντα, καὶ τῇ παρ᾽ ἐκείνης ῥοπῇ τὰ παρὰ τῆς φρονήσεως ἀγαθὰ συνεισενεγκών. οὐ γὰρ ταυτὸν ἔπαθε τοῖς ἄλλοις βασιλεῦσιν, οἷς ἄχρηστος μὲν ἡ παιδεία κέκριται, τῆς δὲ εὐδαιμονίας ὅρος ἡ τρυφή, ἀλλ᾽ ἡγησάμενος οὐδὲν τῶν ἀνδραπόδων διαφέρειν τοὺς ἀμοιροῦντας τούτου τοῦ κτήματος, καὶ βουληθεὶς ἀμείνων εἶναι τῶν ἀρχομένων ἐν τῷ καλλίστῳ τῶν ὄντων, Ἀριστοτέλει φέρων ἑαυτὸν συνῆψε, καὶ κατέστησε τοῦ σοφωτάτου μαθητήν, καὶ τῶν μετὰ ταῦτα λαμπρῶν καὶ βεβοημένων ἡ πρὸς ἐκεῖνον συνουσία τὴν ὑπόθεσιν δέδωκε. περὶ μὲν οὖν τῆς ἀνδρείας, ἢ τῆς δεινότητος, ἢ τοῦ πρὸς ἔργοις ἔχειν δεῖν τὸν λογισμόν, ἤ τι τῶν τοιούτων εἰ διεξίοιμι, μακροτέρων ἂν δέοι λόγων. ὡς δὲ κοινὸν ἑαυτὸν κατέστησε καὶ πρὸς τοὺς συνόντας ὁμιλητικόν, ὥστε καὶ ἔρεσθαι τοῖς βουλομένοις ἐξεῖναι, καὶ τυχεῖν ἀποκρίσεως εὐμενοῦς, τοῦτο τίς οὐκ ἂν ἀγασθείη; τοῖς μὲν γὰρ ἄλλοις εἴ τις ἀντιβλέψειεν, ἀδίκημα νενόμισται. Ἀλέξανδρος δὲ εἰ μὴ πρὸς τὰς ἐντεύξεις ἡμερώτατος φαίνοιτο, πάντων αἴσχιστον ἡγεῖτο.[11] καὶ γάρ τοι προσελθών τις, ἥδιστα ἂν ἔφη τοὺς θησαυροὺς ἴδοιμι τοὺς σοὺς ὦ βασιλεῦ. καί μοι δοκεῖ τοῦτο ἐπαρθῆναι ποιῆσαι, ὁρῶν μὲν ἅπαν ἔθνος ἤδη κατεστραμμένον, ἡγούμε-

9 f. ἐμοὶ δὲ δοκεῖ ταῦτα καταπρᾶξαι, καὶ π.

10 κάλλα καλὰ m. M.

11 ἠγᾶται m. M.

γούμενος δὲ πλήθει χρημάτων ταῦτα εἰς τέλος ἥκειν. πῶς οὖν Ἀλέξανδρος οὐχ ὑβρίζειν ὑπέλαβεν, εἴ τις ἐρωτήσειε προχείρως; ἔπειτα ἐκέλευσε τοῖς διακόνοις λαβοῦσι τὸν ἄνθρωπον περιάγειν, καὶ δεικνῦναι ȣ̓ χρυσίου πλῆθος, ἀργυρίου[12] τάλαντα τόσα καὶ τόσα, ȣ̓ λαφύρων[13] ἀφθονίαν, ἀλλ᾽ εἰς τοὺς φίλους προστάξας ἰδεῖν, μὴ ζητήσῃς ἕτερον φησὶν Ἀλέξανδρος·[14] οὗτοι γάρ ἐμοὶ θησαυροί. ὡς τοίνυν εἰκότως ταύτην ἡγήσατο πρέπειν τὴν προσηγορίαν τῆς φιλίας,[15] ῥᾴδιον γνῶναι, εἴπερ ἐξετάσομεν τούς τε καιροὺς οἷς ἀνάγκη χρῆσθαι τοὺς ἀνθρώπους, καὶ τύχας ἀμείνους καὶ παραπλησίους,[16] καὶ χείρονας· ἔτι δὲ πρὸς τούτοις ἡλικίας,[17] καὶ ὅτε τις βουλεύεται. οὐκοῦν δύο μὲν καιροὶ πάντα διαιτῶσι τὰ τῶν ἀνθρώπων πράγματα, λέγω δὴ πόλεμον καὶ εἰρήνην. ἐν ἑκατέρῳ[18] δὲ μέγιστον ἡ τῶν φίλων ἰσχύει μερίς. οἷον, τοῖς πολεμοῦσι δεῖ μὲν χρημάτων, δεῖ δὲ ὅπλων, δεῖ δὲ συμβούλων, δεῖ δὲ συμμάχων. οὐκοῦν λύει μὲν τὴν ἀπορίαν τῶν χρημάτων εἰς μέσον τιθεὶς τὰ ὄντα ὁ φίλος, ȣ̓κ αὐτȣ̃ μᾶλλον ἡγούμενος εἶναι τὴν οὐσίαν, ἢ τȣ̃ συνήθους, συμβουλίας[19] τὰς ἀρίστους ἀναζητᾶν, καὶ λέγων ἐκείνας ὀρθοῖ τὰ πράγματα· ἤδη δέ τινες ὅπλων ἀποροῦντες, εἰς τοὺς φίλους ἰδόντες ηὐπόρησαν. καὶ μὴν τόγε τῶν συμμάχων ἀγαθὸν, τῆς φιλίας ἡγησαμένης ἂν γένοιτο· τὸ δ᾽ αὐτὸ καὶ πόλεσι καὶ τοῖς καθέκαστα χρήσιμον. καλῶ μὲν γὰρ ἔγωγε πόλεων φίλους, τοὺς εὔνους τοῖς καθεστηκόσιν. οὗτοι δὲ νόμους τιθέντες, καὶ ψηφίσματα γράφοντες, καὶ γνώμας ἀγορεύοντες, καὶ τοὺς ἀδίκους ἐλέγχοντες, καὶ τοὺς χρηστοὺς ἀμείβεσθαι πείθοντες. ἀλλὰ

μὴν

[12] f. ȣ̓κ ἀργυρίȣ.

[13] ȣ̓ λαφύρων] sic dedi, M. omittit ȣ̓.

[14] Ἀλεξάνδρȣ m. M.

[15] aut τοῖς φίλοις leg. aut τῇ φιλίᾳ.

[16] f. καὶ παραπλησίως καὶ χ. parique modo sequiores etiam.

[17] f. καὶ πρὸς ἡλικίας ἐστὶν ὅτε τις β.

[18] ἐν ἑκατέρῳ] ἐν omittit M.

[19] f. συμβȣλίας δὲ τὰς ἀρίστας ἀναζητῶν καὶ λέγων ἐκείνῳ (vel ἐκείνȣ) ἐπανορθοῖ τὰ πράγματα m. M. dat λέγον, ἐκείναις.

μὴν καὶ τοῖς καθέκαστον μέγα παρὰ τῶν ἐπιτηδείων τὸ κέρδος. ἐκεῖνοι γάρ εἰσιν οἱ νουθετοῦντες ἁμαρτάνοντας, οἱ σφαλλομένοις ἐπὶ τὰ βελτίω μεθιστῶντες, οἱ δεομένοις ἐπικουροῦντες, οἱ ταῖς εὐπραξίαις χαίροντες, οἱ τοῖς ἀτυχοῦσι συναλγοῦντες. ἐκεῖνοι καὶ πολέμους καταλύειν πειρῶνται ὡς ἄριστα, καὶ τὴν εἰρήνην ὡς ἐπιπλεῖστα φυλάττειν, καὶ τὸ πρόσφορον ἑκατέρῳ συντηροῦντες, ἀεὶ τὰ συνοίσοντα πράττοντες.[20] ἀλλὰ μὴν πόλεων τὰς μὲν βασιλεύεσθαι, τὰς δὲ καὶ δημοκρατεῖσθαι συμβέβηκεν·[21] τὰς δὲ ἐν ταῖς ὀλιγαρχίαις καθεστάναι. ὁ δὲ τοῖς ὑπάρχουσιν οἰκείως ἔχων, σώζει μὲν βασιλεῖ τὴν βασιλείαν, τηρεῖ δὲ δήμοις τὴν ἐλευθερίαν, φυλάττει δὲ ταῖς ὀλιγαρχίαις τὸ σχῆμα. ἀλλὰ μὴν τῶν ἀνθρώπων οἱ μὲν πενίᾳ συζῶσιν, τοῖς δὲ πολὺς παρὰ τῆς τύχης ὁ πλοῦτος. ἑκάτερον δὲ δεῖται πρὸς ὑπερβολὴν τῆς τῶν φίλων ῥοπῆς. τοῖς μὲν γὰρ διασώζει τὰ ὄντα, τοῖς δὲ τὴν πενίαν ἐπικουφίζει. καὶ μὴν ἅγε δι' ἡμῶν αὐτῶν πράττειν ἀδύνατον, ταῦτα τῇ φίλων προσθήκῃ πληροῦμεν. τίς γὰρ οὐκ οἶδεν, ὅτι δεῖται μὲν γυναικὸς ἀνὴρ κατὰ τὸν Ἡσίοδον, αὐτοὶ δ' οἱ γαμεῖν μέλλοντες ἐρυθριάσαιμεν ἂν ὑπὲρ τοῦ γάμου διαλεγόμενοι· ἐνταῦθα δὴ τὸν ἐπιτήδειον ἡ χρεία καλεῖ. ὁ δὲ πολλοὺς καὶ καλοὺς μελετήσας λόγους, καὶ τὰ ὄντα ἄρας, καὶ τὰ οὐκ ὄντα προσθεὶς, ῥᾷστα συνάπτει τὰ γένη. ἀλλ' ἐν ταῖς ἀποβολαῖς τῶν παίδων καὶ τῶν ἀναγκαιοτάτων οὗ πολλάκις τὸ πάθος μεῖζον ἢ φέρειν, τίνες οἱ παρόντες καὶ τῆς λύπης ἀφαιροῦντες, καὶ κωλύοντες ὁρμῆσαι πρὸς ξίφος, οὐχ οὗτοι; πῶς ἂν φύγοιεν, ὅστις οὐκ ἄπειρος φίλων; ἐπεὶ καὶ πᾶσαν ἡλικίαν ἔγωγ' ἂν φαίην μέγιστα τοῦ πράγματος ἀπολαύειν· τὸ γῆρας ἐκεῖθεν κουφότερον τοῖς ἀκμάζουσιν· ἀπὸ τούτων οἱ συνεργοί·[22] τοῖς παι-

σὶν

[20] f. πράττειν.

[21] ἐν δὲ ταῖς in. M.

[22] sic distingue: κουφότερον Senium hinc (per amicos) est toleratu facilius. τοῖς ἀκμάζουσιν ἀπὸ τούτων οἱ συνεργοί. hinc adiutores sunt hominibus in flore aetatis vegetae constitutis.

σὶν οὐχ ἑτέρωθεν οἱ τῶν ἀσκήσεων κοινωνοί. οὕτως οὐδέν ἐστιν, ὃ φαίης ἂν ἔξω καθεστάναι τῆς παρὰ τῶν συνήθων χρείας. ἔστι μὲν οὖν οὐδὲ ταῦτα μικρὰ παραδείγματα τοῦ σώφρονα ἀποκρίνασθαι τὸν Ἀλέξανδρον. δοκεῖ δ' ἄν μοι τις ἰδεῖν ἀκριβέστερον, ἡλίκον τέ[23] πρᾶγμα τὸ τῶν φίλων, εἰ τοὺς ἐστερημένους ἐκείνων σκέψαιτο. οὐκοῦν ὁ μὲν τύραννος ἐν φόβῳ βέβαιον μὲν οὐδὲν τῶν παρόντων ἀγαθῶν ἡγούμενος, ἀεὶ δὲ τὸ μέλλον προσδοκῶν χαλεπόν. ᾧ γὰρ οὐκ ἔστι σύμβουλος ἀποστήσων μὲν τοῦ χείρονος, προσάξων δὲ τῷ βελτίονι, καὶ πείσων τὰ μὲν φεύγειν, τὰ δὲ διώκειν, πῶς ἂν ὁ τοιοῦτος ἢ πολεμήσειεν ὅτε ἄμεινον, ἢ ποιήσειεν τὴν εἰρήνην ὅτι βέλτιον ἔχει; παρὰ τοῦ δ' ἂν τοὺς ἐπιβουλεύοντας προμαθὼν ἀποκρούσαιτο πρὸ τῆς πείρας τὰ δυσχερῆ; τίς δ' ἂν αὐτοῦ νενικηκότος συμπαιανίσειε; τίς δ' ἂν ἡττωμένῳ συναχθεσθείη; τῇ πόλει δὲ κηδεμόνος ἀπορούσῃ, τίς τῶν ὄντων ἀσφάλεια, τίς ὑπὲρ τοῦ μέλλοντος ἄδεια εἶεν; τοῖς δὲ δὴ καθέκαστον, οὐκ ἀλγεινότατος ὁ βίος, τῆς τοιαύτης κοινωνίας ἐστερημένος; τίς ἐπ' ἀγορᾶς διαλέξεται, τίς ὅτι χρὴ πράττειν ὑποθήσεται, τίς ὅτι φυλάξασθαι δεῖ συμβουλεύσειεν, τίς κουφίσει συμφοράν, τίς κρινομένῳ παρέσται; ἀφήρηται καὶ τῆς νεότητος ἡ τέρψις ἄνευ φίλων, καὶ γῆρας βαρύτερον, εἰ τοῦδε ἀφέλοι τις, καὶ πενία μὴ τοῦτο ἔχουσα διπλοῦν ἂν εἴη κακόν. ὁ δέ γε πλούσιος τοὺς μὲν ἐπιβουλεύοντας πολλούς, τοὺς δὲ βοηθοῦντας οὐδαμῶς ὄψεται. καὶ πολλὰ ἂν εἴη λέγειν αὐτοῖς[24] ἀποροῦσι φίλων συνέζευκται χαλεπά. εἰ τοίνυν τοῖς σπανίζουσι φίλων τοιαῦτα[25] περιέστηκε τὰ δεινά, τοῖς γε[26] ἐν εὐπορίᾳ γνωρίμων εὐδαιμονία πολλή. παραπλησίως[27] τοῖς μὲν ἥδιστος, τοῖς δὲ βαρύτατος ὁ βίος· καὶ μὴν εἰκότως ἂν μᾶλλον οἱ φίλοι θησαυροὶ προσαγορευθεῖεν, ἢ ταῦτα ἃ νῦν

23 τε] lege τι.

24 αὐτοῖς] lege ἃ τοῖς duobus vocabulis.

25 πάντα m. M.

26 γε] lege τε.

27 sic distinguo: πολλή· παραπλησίως· (hic desinit protasis periodi, tum incipit apodosis τοῖς μὲν —

νῦν οὕτω κέκληται. τί γὰρ τοσοῦτον παρὰ τῶν χρημάτων, ὅσον τὸ παρὰ τούτων; παρετάξατο χρήματα πολεμοῦσι καὶ παρεκινδύνευσεν; οὐκ ἔστιν. ἀλλ᾽ εἰσηγήσατο γνώμην; ἀλλὰ προκατεμήνυσεν ἐνέδραν; ἀλλ᾽ ἔλυσε στάσιν, ἀλλὰ φρονιμώτερον ἐποίησεν; οὐδαμῶς. καὶ μὴν πάντα γε ταῦτα, καὶ ἔτι πλείω τούτων παρὰ τῶν ἐπιτηδείων, καὶ πρός γε αὐτὰ τὰ χρήματα, καὶ παρ᾽ αὐτῶν γένοιτ᾽ ἄν. ἔτι τοίνυν οἱ μὲν ἄριστοι τῶν φίλων, οὐδεπώποτε χείρους τοὺς χρωμένους ἐποίησαν. τὸν δὲ πλοῦτον ἀκούομεν πολλάκις εἰς κακίαν συντελεῖν. ὥστε νουνεχόντως Ἀλέξανδρος μετέστησεν ἀπ᾽ ἐκείνων [28] ἐπὶ τούτους τοὔνομα. διόπερ ἀεὶ φίλων δεῖ τοῖς μέλλουσι εὐδαιμόνως βιώσασθαι. ὅτῳ δὲ οὐκ ἔστι τοιοῦτον κτῆμα, παραπλήσιον εἴη πεπονθὼς τῷ τῆς ἑτέρας ἐστερημένῳ τοῖν χεροῖν. ὅσον γὰρ ἀλλήλοις οἱ πόδες ἐν τῷ βαδίζειν συνεισφέρουσι, τοσοῦτον ἐν τοῖς πράγμασι οἱ φίλοι παρέχονται. [29] οὐχ ἁμάρτοι δ᾽ ἄν τις οὐδὲ τὴν συζυγίαν τῶν ὀφθαλμῶν παραβαλὼν τῇ κοινωνίᾳ τῶν φίλων. ἔστι μὲν οὖν καὶ παρὰ τῶν καθ᾽ ἡμέραν γινομένων πλῆθος ἀποδείξεων λαβεῖν. καὶ μεστὸς ὁ βίος τῶν εἰς τοῦτο φερόντων. ἔχοι δ᾽ ἄν τις καὶ πρὸς τοὺς ἄνω χρόνους τῶν ἡμιθέων ὁρῶν, ἀπ᾽ αὐτῶν κομίσαι τὰ παραδείγματα. τί γὰρ ἐνδοξότερον τῆς Ἡρακλέους καὶ τῆς Θησέως φιλίας; ἢ τί τῶν κατορθωμάτων αὐτοῖς; [30] οὐ γὰρ ταὐτὸν προελέσθαι τε καὶ φρονῆσαι παραπλήσιον, καὶ συμπνεῦσαι πρὸς τοὺς ἄθλους. ὅτε δὲ ἀποστροφῆς ἐδέησεν αὖθις τῷ Ἡρακλεῖ, τίς ἀγαγὼν αὐτὸν Ἀθήναζε πρὸς τὴν χρείαν ἤρκεσεν; οὐ Θησεύς; αὐτὸς τοίνυν οὗτος [31] Πειρίθῳ χρώμενος, ἐξετάσομεν ἅτε ἀπέλαυσεν, [32] ἅτε παρέσχεν. οὐκ οὖν [33] ἔδει μὲν τῷ Θησεῖ τὴν Ἑλένην γενέσθαι δι᾽ ἁρπαγῆς, ἐπεί γε πείθων

[28] ἀπ᾽ ἐκείνου, ſi nempe ad πλοῦτον refertur. vulgata ſi ſeruabitur, ad ἐκείνων referetur.

[29] παρέχουσιν m. M.

[30] f. ἢ τί τῶν κατορθωμένων αὐτοῖς μέγιστον; aut quodnam in eorum praeclaris factis eſt maximum? οὐ γὰρ — nonne?

[31] οὗτος Θησεὺς ὁ m. M.

[32] ἀπέλαυσεν.] ἀπήλαυσεν M.

[33] οὐκοῦν vno vocabulo.

πείθων οὐκ εἶχε λαβεῖν· ἣν δὴ[34] ὁ κίνδυνος οὐ μικρὸς, τοῦτο μὲν ἐκ τοῦ πατρὸς, τοῦτο δὲ ἐκ τῶν ἀδελφῶν καὶ τῶν ἄλλων τῶν ἐν Λακεδαίμονι. ἀλλ᾽ ὅμως ἐτόλμα Θησεὺς, οὐκ ἀπελείπετο δὲ Πειρίθους τὴν χάριν πρὸ τῶν φόβων τιθέμενος. καὶ οὐκ ἐμέμψατο τὴν προθυμίαν. ἀλλὰ τάχιστα δὴ τὴν ἀντίδοσιν ἐκομίζετο. βουληθεὶς γὰρ μνηστεῦσαι Κόρην τὴν Διὸς καὶ Δήμητρος, ἐκέλευσε τῷ μὲν Θησεῖ συνακολουθήσειν. ὁ δὲ τὰ μὲν πρῶτα κατέχειν ἐπειρᾶτο, πρόδηλον εἶναι λέγων τὴν συμφοράν. ἐπεὶ δὲ πείθειν λέγων οὐκ ἴσχυε, ἐκοινώνει τῶν κινδύνων, εἰδὼς μὲν ἃ πείσεται, παθεῖν δὲ μᾶλλον αἱρούμενος ἢ λυπῆσαι τὸν φίλον. τὸν δὲ παῖδα τὸν Ἀγαμέμνονος, πῶς ἀκούομεν διατεθεῖναι[35] μετὰ τὸν φόνον τῆς μητρὸς; οὐκ ἠλαύνετο μὲν ὑπὸ τῶν ἐριννύων, ἐμισεῖτο δὲ ὑπὸ τὸν[36] ἰδίων, ἐπάρατος δὲ καὶ δυσσεβὴς ἐδόκει παρὰ πᾶσι καὶ μιαρώτατος εἶναι; ἀλλ᾽ ὅμως ὁ Πυλάδης οὐκ ἀπεστράφη μετὰ τῆς τύχης τὸν ἄνθρωπον, οὐδὲ ἐνθυμηθεὶς ὡς μεταλήψεται τῆς ἀδοξίας ἐγκαλυψάμενος ἔφυγεν· ἀλλὰ παρῆν καὶ συνηκολούθει καὶ συνηγωνίζετο, καὶ θεραπεύειν οὐκ ᾐσχύνετο τὸν αὐτόχειρα τῆς μητρός. μικρὰ ταῦτα, πρὸς τὴν Ἀχιλλέως γνώμην κρινόμενα. ἐκεῖνος γὰρ, ἤδη σαφῶς ἀκούσας, ὡς δεῖ δυοῖν θάτερον, ἢ τὸν Ἕκτορα μὴ διαφθείρειν, ἢ καὶ αὐτὸν τεθνάναι· ἀλλ᾽ ὅμως ἔμπροσθεν τῆς ἑαυτοῦ ψυχῆς ἐποιήσατο, τιμωρῆσαι Πατρόκλῳ. αὕτη μὲν ἡ τῶν πραγμάτων Ἀλεξάνδρῳ τιμωρία.[37] δεῖ δὲ μὴ Εὐριπίδην παραλιπεῖν· πάντως δὲ οὐκ ἀμφισβητήσιμος ἡ σοφία τοῦ ποιητοῦ. τί οὖν ἐκεῖνος φησί; μηδὲν εἶναι προτιμότερον φίλου σαφοῦς, ὃ δὴ πᾶν[38] ἐφεξῆς ἄριστον. εἶτ᾽ ἐπειδὴ τοὺς ἀνθρώπους ἑώρα πλοῦτον καὶ τυραννίδα θαυμάζοντας, διαῤῥήδην φησὶν,

Οὐ πλοῦτος, ὁ τυραννὶς. τοῦδε βέλτιον.

εἰκότως ἄρα θησαυροί τε ἐνομίσθησαν Ἀλεξάνδρῳ, καὶ ὠνομα-

[34] δὴ] l. δέ.
[35] f. διατεθῆναι.
[36] f. ὑπὸ τῶν.
[37] τιμωρία] imo vero μαρτυρία. δεῖ δὲ μηδ᾽ Εὐριπίδην.
[38] ὁ δὴ πᾶν —] locus vitiosus.

ὠνομάσθησαν οἱ φίλοι. ἔστι τοίνυν ἐχόντων νοῦν, κἀκείνων ἐπαινεῖν τοῦ λόγου, καὶ αὐτοῖς μιμεῖσθαι τοῖς ἔργοις. ὡς οὐκ ἔσθ᾽ ὅπως εὐδαιμόνως βιώσομεν, εἰ μὴ φίλων πολλῶν καὶ ἀγαθῶν εὐποροῖμεν.

ΧΡΕΙΑ ΑΛΛΗ.

Διογένης μειράκιον ἰδὼν ἀτακτοῦν, τὸν παιδαγωγὸν ἔπαισεν, εἰπών, τί γὰρ ταῦτα[39] παιδεύεις;

ΑΠΑΣΑ μὲν[40] ἡ φιλοσοφία τίμιον καὶ δαιμόνιον. καί μοι δοκοῦσιν οἱ τοὺς ἐν αὐτῇ ζῶντας μὴ θαυμάζοντες, ἴσως ἂν πάντων τῶν θεῶν ὀλιγωρῆσαι. χρὴ δὲ τοσοῦτον αὐτοὺς τῶν λοιπῶν διαφέρειν, ὅσον περ ἐκεῖνους τῶν θηρίων. τῶν δ᾽ αὖ τούτων ᾑρημένων τὸν βίον, εἰκότως ἄν μοι δοκεῖ Διογένη τε διαφερόντως ἀγασθῆναι, καὶ τὴν ὁδὸν ἣν οὗτος ἦλθε. τὸ μὲν γὰρ οὐρανοῦ τε καὶ γῆς μέτρα, ἡλίου τε καὶ σελήνης διερευνήσασθαι δρόμους, ἄλλοις ἀφῆκεν. αὐτὸς δὲ μετῆλθεν ἀρετὴν, ἣ μάλιστα τοὺς ζῶντας ὀνήσειν ἔμελλε· πλούτου κατεφρόνει, τῶν ἡδονῶν ἐκράτει, τὸ σῶμα παρεῖχε τοῖς πόνοις, τὴν τῶν δυνατῶν εὐδαιμονίαν δυστυχίαν ἐνόμιζε. πάντας δὲ ἀνθρώπους οἰκείους[41] ἡγούμενος, ἐπεμελεῖτο πάντων· καὶ συλλήβδην εἰπεῖν, Ἡρακλέους ἑαυτὸν ζηλωτὴν κατέστησεν, αὐτῇ βακτηρίᾳ περιϊὼν ἐπὶ τῷ βελτίους[42] ποιεῖν οἷς ἐντυγχάνοι. οἷον δ᾽ αὖ κἀκεῖνο διεπράξατο; παιδὶ μὲν γὰρ ὁ παιδαγωγὸς παρῆν, τὸν δὲ προσήκοντα κόσμον ὁ παῖς οὐκ ἐφύλαττε. Διογένει δὲ τὸ πραττόμενον ἐπανορθώματος ἐδόκει δεῖσθαι. τί οὖν ποιεῖ; τὸν μὲν νέον ὑπερβὰς, ἐπὶ τὸν ἐφεστηκότα φέρεται, καὶ παίει κατὰ τοῦ νώτου πολλὰς, καὶ προστίθησι ταῖς πληγαῖς τὸν λόγον· ὡς οὐκ ἄρα χρὴ τοιοῦτον εἶναι παιδευτήν. πρῶτον μὲν οὖν ἀμφοτέρων εἵνεκα τὸν ἄνδρα ἐπαινῶ· τοῦ τε μὴ κατοκνῆσαι ταῖς χερσὶ χρήσασθαι πρὸς τὸ σωφρονῆσαι, καὶ τοῦ τὴν αἰτίαν εἰπεῖν, δι᾽ ἣν τοῦτο πεποίηκε. τούς τε γὰρ

[39] ταῦτα] malim τοιαῦτα.
[40] μέν μοι m. M.
[41] δικαίους m. M.
[42] βελτίους] βελτίω M.

γὰρ σφόδρα ἀδικοῦντας ἔργῳ παιδεύειν ἠξίου, τό τε μὴ σιωπῆσαι, καὶ τὸ πόθεν ἐπὶ τὰς πληγὰς παρωρμήθη, δηλοῦντος ἦν τῷ πεπονθότι τῦ χάριν ταῦτα ἐπεπόνθει. εἰ γὰρ πλήξας ἀπιὼν ᾤχετο σιωπῇ, οὐδὲν ἂν ἐκώλυσε, τὸν μὲν παιδαγωγὸν ἀγνοῆσαι πλημμελήσαντα, τῇ δὲ ἀγνοίᾳ μηδὲν βελτίω γενέσθαι. καὶ μὴν τὸ τῶν ἁμαρτημάτων τῦ νέου παρὰ τῦ παιδαγωγοῦ τὴν τιμωρίαν λαβεῖν,[43] νῦν ἐχόντων εὑρήσομεν. ἐνθυμηθῶμεν γὰρ ὅτου χάριν οἱ γονεῖς μισθοῦνται τοὺς ἐπιςησομένους τοῖς υἱέσιν. ἆρά γε μάτην ἐπιθυμοῦντες δαπανᾶσθαι χρήματα, ἀναλίσκειν πλοῦτον. πόθεν; οὐδεὶς οὕτως ἀπόπληκτος. ἀλλὰ πρὸς τί δὴ βλέπουσιν; ἴσασιν ἐκεῖνοι τὴν νεότητα, ἐπιῤῥεπῆ φύσει πρὸς τὰ ἁμαρτήματα. κατὰ δὲ τῶν χρηςῶν ἀεὶ τὴν ἐναντίαν δόξαν ἔχουσαν, καὶ φεύγουσαν μὲν ἀφ᾽ ὧν ἐςὶν εὐδαιμονίαν λαβεῖν, διώκουσαν δὲ δι᾽ ὧν ἐςὶν ἀθλιωτάτους γενέσθαι. ἐν οὖν τῷ νέῳ μανθάνειν εἴη παρὰ τῶν πρεσβυτέρων, τισὶ μὲν προσεκτέον, τίνων δ᾽ ἀφεκτέον. τούτῦ χάριν, τὴν πλείςην χάριν ἐντεῦθεν εἰσφέρονται,[44] παιδαγωγοὺς ὡς μάλιςα βελτίςους ἀνερευνᾶν·[45] κανόνα τῶν τῦ παιδὸς πραγμάτων ποιούμενοι, τὴν ἐκείνου γνώμην. τεκμήριον δέ· τῶν γὰρ ἀνθρώπων ἕκαςος, τῷ τῦ παιδαγωγοῦ τρόπῳ τεκμαίρεται τὸν τῦ νέου. κἂν μὲν ᾖ χρηςὸς ἐκεῖνος, καὶ περὶ τούτου προσδοκᾷ τὰ βελτίω. μὴ τοιούτου δὲ ὄντος, χείρους ἐλπίδας καὶ περὶ τῦ νέου λαμβάνει. ὐκ οὖν τῦ μὲν πατρὸς ἀργύριον δοῦναι, τῦ δὲ παιδαγωγοῦ τῶν λοιπῶν φροντίσαι, μηδὲν ὑποςελλόμενον. διὰ τῦτο γὰρ καὶ παίειν, καὶ ἄγχειν, καὶ ςρεβλοῦν, καὶ ἃ τῶν δεσποτῶν πρὸς τοὺς οἰκέτας, ταῦτα καὶ τῶν υἱέων τοῖς ἐφεςῶσιν ἀξιοῦσι ὑπάρχειν· ὡς μηδεὶς ἀπόλογος ἐσύςερον ᾖ. τί οὖν φημί; μᾶλλον δὲ, τί Διογένης φησίν; ἂν πίνειν παρὰ[46] τῦ μετρίῦ βούληται, μηδαμῶς ὦ τᾶν ἐπίτρεπε, καὶ τὸν ὕπνον δὲ τὸν ἔξω τῦ προσήκοντος διάκοπτε.

[43] παραλαβεῖν' m. M.

[44] f. τὴν πλάστην σπεδὴν (vel ἐπιμέλειαν) εἰσφέρονται.

[45] βελτίῦς ἐρευνᾷν m. M.

[46] παρὰ] lege πέρα.

κόπτε. καὶ πρὸς ἀργίαν[47] ἐκφερόμενον, ἀνέγειρε, καὶ παρατήρει βλέμμα, καὶ σχῆμα, καὶ φωνὴν μὴ παρὰ μέλος συμβῇ. καὶ τὰ μὲν πρῶτα πειρῶ νουθετεῖν. εἰ δέ τι ἀντιτείνει, κόλαζε, καὶ πικρὸς ὑπὲρ σωφροσύνης τῆς φιλοτιμίας[48] φαίνου μᾶλλον, ἢ τῇ φιλανθρωπίᾳ ζημίου.[49] πάρεστιν ἱμὰς ξαῖνε κατὰ τοῦ νώτου πολλάς. φοβείσθω τὴν σὴν βακτηρίαν. εἰ γὰρ οὐκ ἐκεῖνος τὴν σὴν, σὺ τὴν ἐμήν. τούτους ἡγεῖσθαι χρὴ Διογένους τοὺς λόγους. ἐν γὰρ τῷ, τί γὰρ τοιαῦτα παιδεύεις; εἰπεῖν, ταῦτα πάντα παρείληφεν. ἔτι τοίνυν εἰ δεῖ[50] σκεψώμεθα. πότερον οὖν παρῆν διαπαντὸς τῷ παιδί, ἢ οὔ; εἰ μὲν γὰρ ἀπεστάτει, προδότης ἦν τοῦ νέου σαφής· εἰ δὲ συνέζευκτο, πότερον ἠρέσκετο τοῖς πλημμελήμασιν, ἢ οὔ; εἰ μὲν γὰρ βουλομένου τούτου ἦν ἁμαρτάνεσθαι,[51] τίς τοῦ τοιούτου πονηρότερος; εἰ δὲ οὐ βουλομένου, τί παθὼν οὐκ ἐκώλυεν; οὐ γὰρ δὴ χεῖρας ἔμελλεν ὁ νέος ἀνταίρειν. τὸ γὰρ πείθεσθαι, καὶ οὐκ ἀντιβλέπειν,[52] ἀναγκαῖον ὂν ἠπίστατο. εἰ δὲ ἃ τὸν παιδαγωγὸν ὁ Διογένης, ταυτὰ τὸν νέον ἐτύγχανε δράσας, οὐκ ἂν ἐκεῖνον εἰπεῖν νομίζομεν; ὦ σοφώτατε Διόγενες, ἐμοὶ γὰρ ὑπείληπται καλὸν, ὃ δίδωσι πράττειν ὁ κύριος· καὶ νῦν σὺ μὲν ταῦτα ἀταξίαν, ἐγὼ δὲ παιδείαν ἡγοῦμαι. σημεῖον δὲ, τὸ μηδὲ τὸν παιδαγωγὸν ἀποτρέπειν ποιοῦμαι· εἰ ταῦτα ἤκουσεν, ἆρα οὐχ ὡμολόγησεν ἂν ἀκρισίᾳ περὶ τὰς πληγὰς κεχρῆσθαι; πάνυγε. διόπερ οὐδὲν τοιοῦτον οὔτε ἔπραξεν, οὔτε ἤκουσεν. ἐπεὶ δὲ καὶ πανταχοῦ τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις τῶν πραγμάτων σκοπεῖν προσῆκόν ἐστι, καὶ πρὸς ἐκείνας πάντα ἀναφέρειν τὰ δεύτερα. τὸ γὰρ παρέχον τὴν ἀφορμὴν, καὶ τῶν ἀκολουθούντων κομίζεται τὸν λόγον. καὶ τὸ τῆς ἀταξίας ὑπὸ τοῦ παιδὸς ἐγίνετο.[53] κατεσκεύαστο δὲ τῇ τοῦ παιδαγωγοῦ ῥαθυμίᾳ. οὐ δὴ

[47] πρὸς ἀργίαν.] ἀργίροαν M.

[48] τῆς φιλοτιμ. desunt m. M.

[49] ζημίου] imperatiuus praesentis actiui. *mulcta, puni.* ζημιοῦ M.

[50] δεῖ] num βούλει. *si vis?*

[51] ἁμαρτάνειν. scil. τῷ νέῳ.

[52] ἀντιβλέπειν οὐκ ἀν. m. M.

[53] παιδὸς ἐγίγνετο] interponendum videtur μέν.

δὴ ψιλὸν ἐξήτασε τὸ ἔργον, ἀλλὰ καὶ τὸν δόντα τῷ πράγματι τὴν μεταβολήν.[54] καὶ τῷ μὲν πράγματι συνέγνω, τὸν δὲ δόντα τὴν ἄδειαν ἐμίσησεν. οὐ[55] γὰρ μὴ συγχωρήσαντος οὐκ ἂν ποτε ἐπέπρακτο, τοῦτον ἡγεῖτο δίκην τῶν πραχθέντων ὀφείλειν. καὶ γὰρ ὡς ἀληθῶς τῶν ἀτοπωτάτων, εἰ μέν τι τῶν ἀμεινόνων ὑπὸ τῶν νέων γένοιτο, τὸν ἐφεστηκότα τὴν δόξαν καρποῦσθαι. τῶν δὲ ὡς ἑτέρως ἐχόντων, μὴ τὸν αὐτὸν τοῦτον ὑπεύθυνον εἶναι. ἐγὼ πολλάκις ἔγνων τὸν μὲν νέον ἀπομνημονεύοντα καλῶς, τὸν δὲ παιδαγωγὸν μέγα φρονεῖν ἀξιοῦντα, καὶ τὸν νέον μὲν ὡς ὀξύτατα συνιέντα, τὸν δὲ μάλιστα σεμνυνόμενον, καὶ τὸν μὲν σωφρονοῦντα, τὸν δὲ εἰ μή τις αὐτὸν ἐπαινοίη δεινὰ φάσκοντα πάσχειν. καὶ μὴν οἱ γονεῖς ὅταν ὁρῶσι τὰ τοῦ παιδὸς αὐτοῖς ὡς ἄριστα προχωροῦντα, καὶ λόγων εἵνεκα, καὶ τρόπων, αὐτὸν μὲν οὐδὲ μικρὸν ἐπὶ τούτοις ἂν θαυμάσειαν. εἰς δὲ τὸν ἐπόπτην, καὶ τὸν ἐπὶ τοῦτον ἄγοντα ῥέπουσι, κροτοῦσιν, ἐπαινοῦσι, χρήματα προτείνουσι· καὶ τῶν παραχρῆμα διδομένων, τὰ προσδοκώμενα μείζω. ἔστιν οὖν ἁπλοῦς καὶ δίκαιος λόγος, οὐδεὶς θαυμάζεται[56] τὸν νέον τῶν ἀγαθῶν.[57] οὐ τοίνυν οὐδὲ κολάσει τῶν ἐναντίων. ἐπὶ τὸν παιδαγωγὸν ἥξει τὸ θαῦμα τῶν δεξιῶν, οὐκοῦν καὶ τῶν ἁμαρτημάτων ἡ ζημία. ἢ μέγιστα ἂν πλεονεκτοῖεν,[58] κἀκείνων δῶρα λαμβάνοντες, καὶ τούτων δίκην μὴ διδόντες. ἀλλ᾽ οὐκ ἄξιον. ἀλλ᾽ εἰ τῶν τιμῶν,[59] καὶ τῆς τιμωρίας, εἰ πλημμελοῖτό τι, κληρονομοῖεν ἂν εἰκότως. καὶ μὴ τῆς φιλοτιμίας ἀντιποιούμενοι, ἀγανακτούντων[60] ἐπὶ ταῖς πληγαῖς. τοῦτο τὸ δίκαιον πανταχοῦ σωζό-

[54] recte margo καταβολήν, fundamentum, principium.

[55] οὐ] imo vero οὗ (genitiu. articuli postposit.)

[56] f. θαυμάσεται] in futuro medii, pro futuro actiuo, et futurum hic locum imperatiui obtinebit.

[57] τῶν ἀγαθῶν] subaudi ἕνεκεν.

[58] πλεονεκτοῦντες m. M.

[59] τῶν τιμῶν] scil. κληρονομοῦσι.

[60] f. μηδ᾽ ἀγανακτούντων. et negligentes honestatem, aegre quoque ne ferant, si vapulent.

σωζόμενον εὑρήσομεν. ᾖσεν ὁ χορὸς πλημμελῶς, τὸν διδάσκαλον ἐν αἰτίαις ἔχει τὸ θέατρον. καὶ τῶν μὲν χορευτῶν οὐδεὶς καθάπτεται· τὸν δὲ οὐ καλῶς ῥυθμίσαντα,[61] τοῦτο ἐλαύνουσι. δῆλον γὰρ, ὡς εἴπερ οὗτος ὑφηγεῖτο τὴν ἀμείνω, ταύτην ἂν ἦλθεν ἐκείνων ἕκαστος. βοῦς δὲ ὅταν κερύπτῃ, πότερα τὸν βουκόλον ἢ ἐκεῖνον μεμφόμεθα; πῶλος δὲ ὅταν ἀτακτῇ, πότερον ἐκεῖνον, ἢ τὸν ἡνίοχον κακίζομεν; φροντιζέτω δὲ καὶ τῆς τῶν ναυτῶν ἀρετῆς ὁ κυβερνήτης, ὡς αὐτὸς ὑφέξων λόγον ἂν αὐτοὶ[62] σφαλῶσιν. ὥσπερ γὰρ ἐπὶ τῶν λοχαγῶν[63] τὰ τῶν ἑπομένων ἐγκλήματα βαδίζει· τὰ γὰρ ἐκείνων νεύματα τῶν πρακτέων τοῖς στρατιώταις ὅρος· οὕτω καὶ τὴν αἰτίαν τῶν ἁμαρτανομένων τοῖς νέοις, ἐπὶ τὴν τοῦ παιδαγωγοῦ κεφαλὴν δικαίως ἀναθεῖεν ἅπαντες. γένοιτο δ᾽ ἂν ὃ φημι φανερώτερον,[64] εἰ πρὸς τὰς μεγίστας τῶν Ἑλληνίδων πόλεων ἀποβλέψαιμεν· τὴν Ἀθηναίων λέγω, καὶ Λακεδαιμονίων. Ἀθηναῖοι μὲν οὖν ἐκ ἀναιρεθέντων τῶν πεσόντων ἐν Ἀργινούσαις, τοὺς μὲν στρατηγοὺς ἀπέκτειναν, τοὺς δὲ λοιποὺς οὐδ᾽ ἐμέμψαντο, καίτοι γε πάντες ὁμοίως ἦσαν ἠμεληκότες τῶν ἀπελθόντων ταφῆς.[65] ἀλλ᾽ ἐπειδὴ τὴν ῥαθυμίαν ᾔδεσαν, ἀπὸ τῶν στρατηγῶν ὡρμημένην,[66] τούτων τὸ ἔγκλημα καὶ τὴν δίκην ἐποιήσαντο. Λακεδαιμόνιοι δὲ τῇ πρὸς τὸν Θεμιστοκλέα τιμῇ, δῆλον κατέστησαν, ὡς τῶν τὰς αἰτίας παρεχομένων, τὰ λοιπὰ πάντως γίνεται. μετὰ γὰρ τὰς γενναίας ἐκείνας, καὶ θαυμαστὰς πράξεις, ἃς ἐπεδείκνυντο κατὰ τοῦ βαρβάρου, Θεμιστοκλῆς ἧκεν εἰς Σπάρτην. οἱ δὲ αὐτὸν ἐστεφάνουν, τῆς ἐν Σαλαμῖνι ναυμαχίας ἀφορμὴν ποιούμενοι, τὴν ἐκείνου διάνοιαν. οὐκοῦν Διογένης ὀρθῶς οἶδεν, ὅτῳ προσήκουσι πληγαί. δεῖ δὲ τοὺς εὐφρο-

[61] ῥυθμίσαντα] ῥυθμήσ. M.

[62] ἐκεῖνοι m. M.

[63] ἐπὶ τὸν λοχαγὸν (in accuſ. ſingul.) et tum ἐκείνε, aut ſi ibi ſeruabitur ἐκείνων, legendum erit hic ἐπὶ τὰς λοχαγύς.

[64] γνωριμώτερον m. M.

[65] τῆς τῶν ἀπελθόντων ταφῆς defunctornm.

[66] ὡρμημένην] ὁρμ. M.

εὐφρονοῦντας ἐκεῖνον ἐπαινεῖν, καὶ τοῖς ἔργοις μιμεῖσθαι.

ΑΛΛΗ ΧΡΕΙΑ.

Ἰσοκράτης τῆς παιδείας τὴν μὲν ῥίζαν πικρὰν εἶναι ἔφη, τοὺς καρποὺς δὲ γλυκεῖς.

Ὁ Μέν τις Ἰσοκράτην ἐπαινεῖ τῶν λόγων, οἷς τοὺς ἄνδρας τοὺς ἀγαθοὺς ἐκόσμησεν· ὁ δὲ τῶν συμβουλιῶν, ἐν αἷς πολλὴν ἐπεδείξατο τὴν σύνεσιν. ἔνιοι δὲ καὶ τῶν δικανικῶν, ἐν οἷς οὐδενὸς ἐφάνη φαυλότερος· οἱ δὲ τοῦ τῶν ὀνομάτων, οἱ δὲ καὶ τοῦ τῶν ῥυθμῶν ἑαλώκασι κάλλους· ᾐσθόμην δέ τινων καὶ τὸ μὴ τοῖς κοινοῖς αὐτὸν ἐθελῆσαι προσελθεῖν ἐν θαύματι πεποιημένων. λογίζονται γάρ, ὡς εἰ μὲν ἐγένετο τῶν ἐπὶ τοῦ βήματος, αὐτὸν ἂν μόνον παρέσχε ῥήτορα τῇ πόλει τῶν Ἀθηναίων· παιδεύειν δὲ τάξας ἑαυτὸν, καὶ τὴν τῶν λόγων ὑφηγεῖσθαι τέχνην, πολλοὺς ἀνθ᾽ ἑνὸς τῷ βίῳ κατέστησεν. ἐγὼ δὲ ἐπαινῶ μὲν καὶ ταῦτα. ἢ σφόδρα ἂν εἴην ἄτοπος, εἰ μὴ βουλοίμην ἐπαινεῖν. οὐδὲν ἧττον μέν τοι θαυμάσας ἔχω τὰς ὑποθήκας, αἷς ὅσοι ἐπείσθησαν, εὗρον ἐπὶ τῶν πραγμάτων τὸ κέρδος· αὐτῶν δέ γε τῶν ὑποθηκῶν τὰς μὲν ἐν γράμμασι, τὰς δὲ ἀπὸ στόματος οὑτωσὶ πρὸς τοὺς συνόντας εἰπὼν ἐν μνήμῃ κατέλιπε.[67] τῶν δ᾽ αὖ τῇ μνήμῃ σωζομένων πολλὰς μὲν ἔστιν[68] ἐξετάσαι, χαλεπὸν δὲ ἁπάσας. διόπερ ἑνὶ μόνῳ πρὸς τὸ παρὸν χρήσομαι, ὃ περὶ τῆς παιδείας εἴρηκε. καὶ γὰρ ἂν εἴη πρέπον παιδεύειν ἐπιχειροῦντι, τοῦτο πρὸ τῶν ἄλλων πρεσβεύειν. ἐκεῖνος γὰρ ὡς εἶδε τοὺς νέους ἀποδιδράσκοντας τῷ φόβῳ τῶν πόνων, καὶ τοὺς μὲν ἐν ἀρχῇ λογιζομένους ἱδρῶτας, τὸ δὲ ἀπ᾽ αὐτῶν κέρδος οὐ προσενθυμουμένους, τί ποιεῖ; παραθεὶς τοῖς πρώτοις τὴν τελευτὴν, καὶ τοῖς λυπηροῖς τὴν ἡδονὴν, μᾶλλον δι᾽ ἐκείνην ἐρρωμενεστέρους κατέστησεν, ἢ διὰ ταῦτα ἀθυμοτέρους. ἡ γὰρ παιδεία, φησὶν, ἔχει μὲν ῥίζαν,

[67] καταλέλοιπε m. M.

[68] ἔξεστιν m. M.

ῥίζαν, ἔχει δὲ καρπόν· καὶ τῇ μὲν τὸ πικρὸν πρόσεστιν, τοῖς δὲ ἥδιστον συνέζευκται. τίς οὐκ ἂν θαυμάσειε, πρὸ τῶν ἄλλων εὐθὺς τὴν ἀλήθειαν; ἐξετάσωμεν γὰρ ἀμφοτέρων τοὺς καιρούς, τόν τε τῆς ἀρχῆς ὃν ὀνομάζει ῥίζαν, καὶ τὸν τῆς τελευτῆς, ὃν εἰσφέρει τὸν τῶν καρπῶν.[69] εὑρήσομεν γάρ, τὴν μὲν ἀποκναίουσαν ἀηδίᾳ, τὴν δὲ εὐφραίνουσαν μεθ' ὑπερβολῆς. σκόπει γάρ. ἵδρυται μὲν ὁ διδάσκαλος ἐφ' ὑψηλοῦ τινος, ὥσπερ οἱ δικασταί, φοβερός, συνάγων τὰς ὀφρῦς, θυμὸν ἐμφανίζων, οὐδὲν εἰρηναῖον προδεικνύς. δεῖ δὴ τὸν νέον προσιέναι τρέμοντα καὶ συνεσταλμένον, ποικίλην ποιησόμενον τὴν ἐπίδειξιν, ὧν εὗρεν, ὧν συνέθηκε, μνήμης ἐπὶ τούτοις. κἂν φαύλως αὐτῷ ᾖ τὰ πεπραγμένα, ἀγανακτήσεις, λοιδορίαι, πληγαί, περὶ τοῦ μέλλοντος ἀπειλαί. ἂν δὲ πάντα αὐτῷ πρὸς ἄκρον ἠσκημένα φαίνηται, καὶ μηδαμοῦ μέμψει παρέχῃ χώραν, κέρδος τὸ μὴ παθεῖν κακῶς, καὶ παραγγέλσεις τοῦ μὴ χείρω πρὸς τὰ δεύτερα γενέσθαι. μᾶλλον δὲ τοῖς πάντα, ἃ προσήκει, πληροῦσι, ἀπόκειταί τι χαλεπόν. ὁμοῦ τε γὰρ ἐνδεῶς ἔδοξαν εἰρῆσθαι,[70] καὶ μεῖζον ὑπομένουσι φορτίον. δοκοῦσι δὲ[71] καὶ τοῖς μείζοσι τάχιστα ἂν ἀρκέσαι. τὰ μὲν δὴ τοῦ διδασκάλου τοιαῦτα, καὶ παραπλήσια. ὁ δὲ δὴ παιδαγωγός, ἡράκλεις, τῶν δεσποτῶν βαρύτερος, ἐφεστηκὼς ἀεὶ μικροῦ[72] καὶ συνημμένος, ἐπεγείρων συνεχῶς, ἐπιπλήττων διαπαντός, ῥᾳστώνης ἀπελαύνων, πρὸς ἔργον[73] τὸν λογισμὸν ἔχειν κελεύων, τῶν μὲν χρηστῶν οὐδὲν ἐπαινῶν, ἐπὶ δὲ τοῖς μικροῖς ὑπερβαλόντως κολάζων, ἔνοπλος ὡσάντις εἴποι ἑπόμενος, βακτηρίαν ἢ σκῦτος ἐν τῇ δεξιᾷ προφέρων. ἀλλ' οἱ γονεῖς φιλάνθρωποι τοῖς νέοις; οὐδὲν οὖν τῶν εἰρημένων ἡμερώτεροι, πολλῷ δὲ χαλεπώτεροι. καὶ γίνεται δεύτερος ἀγὼν ἐπὶ τῆς οἰκίας, οὐδὲν τῶν ἐν τοῖς διδασκαλείοις φαυλότε-

69 f. ὃν εἰκάζει τῷ τῶν καρπῶν.

70 f. εἰρηκέναι. in actiuo.

71 δὲ] imo vero γάρ.

72 μικρᾶ cohaeret cum ἀεὶ paene ſemper.

73 πρὸς ἔργοις (in datiuo urali.)

λότερος. ἀντὶ γὰρ τοῦ σιτίον[74] ἢ ποτὸν ὀρέξαι, τί κατειργάσω, καὶ τί προκέκοπται, καὶ τί προσειλήφαμεν εἰς λόγους; καὶ τὰ τοιαῦτα παρὰ τοῦ πατέρος. προσθήσω δὲ καὶ ἃ παρὰ τῆς μητρός εἰσιν. ἢ τόν γε[75] ἀνάγκη τὰς εὐθύνας διδόναι. εἰ δέ τις λήθης αἰτία γένοιτο, μικρὸν εἰπεῖν τὰς πληγὰς, ἀλλὰ καὶ τῶν σιτίων ἀποκεκλεῖσθαι δεῖ. ἑσπέρας δὲ ἐλθούσης, ἣ τοῖς μὲν ἄλλοις λύει, τοῖς δὲ ἐπιτείνει τοὺς πόνους καὶ τὴν τέχνην. νὺξ δὲ δὴ καιρὸς ἀναπαύλης δοθεὶς, ἔργον τοῖς νέοις γίνεται, καὶ μέγιστον ἐγκλημάτων, εἰ μὴ πρὸ τοῦ κόρου τὸν ὕπνον ἀπεσείσαντο. οὔτ᾽ οὖν προϊοῦσιν, οὔτ᾽ οἴκοι διατρίβουσιν, οὐ παρὰ τοῖς παιδευταῖς, οὐ παρὰ τοῖς γονεῦσιν. οὐ νυκτὸς οὐχ ἡμέρας ἐστὶν ἀναπαύλης σχολὴ, ἀλλὰ διὰ πάντων τῶν πόνων χωρεῖ. τοῖς δέ γε οὐδὲ ὀνειράτων ἔξεστιν εἰρηνικῶν ἀπολαῦσαι. ἀλλὰ κἀκεῖνα τῶν μελλόντων ἀλγεινῶν ἔχει τὴν μαντείαν πολλάκις. μή τῳ δοκεῖ κακῶς ἐσκέφθαι τῆς παιδείας τὴν ῥίζαν Ἰσοκράτης; ὁρᾷς τὸ χαλεπὸν, τὸ πικρὸν, τὸ γέμον φροντίδος. οὐ μὴν ἐνταῦθα φησὶν ἕστηκε τὸ πρᾶγμα. οὐδὲ τῆς παιδείας ὁ ὅρος τὸ χαλεπόν. ἀλλ᾽ ἀπόβλεψον εἰς τοὺς καρποὺς, καὶ παραθεὶς ἐκείνῃ τῇ ῥίζῃ, τάχα τοῖς λυπηροῖς εὑρήσεις τὴν ἡδονὴν ἀντίπαλον. τί δὲ μὴ λαμπρὸν,[76] τί δὲ ὅλως τῶν οὐ βελτίονων ἐστὶν, ᾧ μὴ τοῦτο κεκοινώνηκεν; ἐπειδὴ γὰρ ὁ νέος ἱκανῶς ἔχῃ[77] τοῦ παιδεύεσθαι, καλεῖται μὲν εἰς βουλὴν, καλεῖται δὲ εἰς ἐκκλησίαν, δῆμος δὲ ὅλος εἰς τὴν ἐκείνου γνώμην ὁρᾷ. καὶ καθάπερ χρησμοῖς πείθονται ταῖς εἰσηγήσεσι. τοσούτῳ[18] μεῖζον μὲν εἰς ἡδονὴν τὸ πρυτανεῖον, ἢ τὸ διδασκαλεῖον εἰς λύπην, μείζων δὲ τῶν πληγῶν ὁ στέφανος. παρίησι δὲ τὴν τῶν παιδαγωγῶν ἀηδίαν ἡ τοῦ κήρυκος φωνή. ὅταν παρα-

στᾶσα

74 σιτίον.] σιτᾶον M.
75 γε] lege νέον.
76 f. τί δὲ λαμπρὸν, τί δὲ ὅλως τῶν βελτιόνων, ᾧ μὴ οὗτος (scil. iuuenis, probe literis imbutus,) κεκοινώνηκεν.
77 ἔχῃ] ἔχει M.

στᾶσα[79] λαμπρῷ τῷ κηρύγματι, τὴν εὔνοιαν[80] μαρτυρεῖ. δέχου δὴ καὶ τὰ λοιπὰ τῶν καρπῶν. πρεσβείας καταλαμβάνει καιρὸς, εὐθὺς ἡ ψῆφος ἐπὶ τὸν πεπαιδευμένον, καὶ γίνεται τῇ πατρίδι δι' ἐκείνου τὸ κέρδος. ἐκεῖνος δὲ παρ' ἀμφοτέροις ἐπιφανὴς,[81] τοῖς τε ἀπεσταλκόσι, καὶ παρ' οὓς ἦλθε πρεσβεύων. συμβαίνει διαφορὰ πρὸς τοὺς ἀστυγείτονας, καὶ δεῖ ταύτην κωλυθῆναι, ἐνταῦθα οὐκ ἰσχυρὸς, οὐ πλούσιος, οὐ κάλλει διαφέρων, ἀλλ' ὁ παιδεύσει διαφέρων πρὸ τῶν ἄλλων κεχειροτόνηται. ὅλως δὲ τὰ μὲν μέγιστα ταῖς πόλεσι, παρὰ τῶν ῥητόρων, οἱ δὲ ῥήτορες ἀπὸ τῶν πεπαιδευμένων, ἐκεῖνοι νόμους, ἐκεῖνοι ψηφίσματα γράφουσιν, οἷς πέφυκεν ἡ πολιτεία συνέχεσθαι· καίτοι τὸ δοκεῖν τὰ μέγιστα παρασχεῖν, μείζω τοῖς λαμβάνουσι καὶ τοῖς παρέχουσι παρέχει τὴν ἡδονήν. αἱ γὰρ εὐεργεσίαι τοῖς μὲν ὠφελουμένοις ἐπανορθοῦσι τὰς χρείας, τοῖς δὲ ὠφελοῦσιν ἀρετῆς δόξαν κομίζουσι. καὶ μὴν κἀκεῖνο δῆλον, ὡς ἀμύνεσθαι τοὺς λελυπηκότας, μὴ παθεῖν[82] τι κακῶς ὑπὸ τῶν ἐχθρῶν, πάντων μέγιστον. ταῦτα δὲ πάντα[83] μετὰ τῶν πεπαιδευμένων ἐστί. τοὺς μὲν γὰρ ἠδικηκότας αὐτοὺς, γράφονται, κρίνουσιν, εἰς δικαστήριον ἄγουσι, παραδιδόασι τοῖς νόμοις. εἰ δέ τις ἐπ' αὐτοὺς ἔλθοι συκοφάντης, δεινὸν οὐδὲν, ἀρκεῖ γὰρ πρὸς σωτηρίαν ἡ δεινότης. κηδεῦσαι δεῖ· τίς οὐκ ἂν εὐχὴν ποιήσαιτο τῷ πεπαιδευμένῳ; γενέσθαι δὲ φίλος, ἐπιτήδειος κληθῆναι; ἐκεῖνοι γὰρ οὐχ ἑαυτοῖς μόνοις ἀρκεῖεν ἂν, ἀλλὰ καὶ τοῖς συνήθεσιν ἀντὶ λιμένων καθίστανται, παρόντες ἐν ταῖς χρείαις, ἐν ταῖς ἀκαιρίαις συμμαχοῦντες, παραμυθούμενοι, βοηθοῦντες. ὅπως δὲ λαμπρῶς ἐπὶ τὸ βῆμα παραπέμπονται, ὅπως δὲ ἀπὸ τοῦ βήματος λαμπρότερον, ἡνίκα ἂν εὐδοκιμήσωσι. καὶ μὴν εἰ χρημάτων

[79] παραστᾶσα] quasi ad φωνὴ rediret. lege παραστὰς, in masculino. non vox praeconis adstat, sed praeco ipse.

[80] τὴν εὔνοιαν] scil. τῆς πόλεως πρὸς αὐτόν.

[81] περιφανὴς m. M.

[82] f. τοὺς λελυπηκότας, αὐτὸν δὲ μὴ παθεῖν.

[83] τοίνυν ἄμφω μ. m. M.

μάτων ἔρως αὐτοὺς εἰσέλθοι, πλησίον ὁ πλοῦτος, καὶ οὗτός γε δίκαιος καὶ ἀπὸ τῆς τέχνης. ἔτι τοίνυν ἐν τοῖς κοινοῖς συλλόγοις, ἀπόντας μὲν ποθοῦσι, παρόντων δὲ θαῤῥοῦσιν. εἰρήνη δὲ καὶ πόλεμος δι᾽ ἐκείνων πρυτανεύεται, εὐδοξίαν δὲ τοῖς γονεῦσι παρέχουσιν, εὔκλειαν δὲ τοῖς παισὶν ἀπολείπουσι. τὸ δὲ τοῦ γήρως αἰδέσιμον, ἐπ᾽ ἐκείνων διπλασιάζεται τῇ παιδείᾳ. τετελευτηκότων δὲ, εἰκόνες ἐπ᾽ ἀγορᾶς σώζουσι μήκει χρόνου τὴν μνήμην. ὁρᾷς τοὺς καρποὺς, ὡς ἀπεναντίας τῇ ῥίζῃ πεφύκασιν; ὁρᾷς ὡς τοῦ πονῆσαι πλέον ἐπὶ τῆς παιδείας[84] τὸ τερφθῆναι; ὁρᾷς ὅτι τὸ σκυθρωπὸν ἐκεῖνο καταλαμβάνει τὰ πάντων φαιδρότατα; καί μοι δοκεῖ τοῦτο εἰκότως οὕτως ἔχειν. ἐξετάσωμεν γὰρ, πότερον μικρόν τι καὶ φαῦλον ἡ παιδεία, καὶ τοιοῦτον ὃ κἂν διαπτύσαι[85] τις ῥᾴδιον, ἢ τοὐναντίον μέγα καὶ θαυμαστὸν, καὶ τῷ κεκτημένῳ συμφορώτατον, καὶ τοῖς οὐ κεκτημένοις ζηλωτόν. καὶ μὴν ἅ γε ἄρτι κατελέξαμεν ὑπὲρ αὐτῆς, δείκνυσιν ὡς οὐκ ἐσχάτῃ[86] μοίρᾳ τεθείη δικαίως. πάντα γὰρ ἐφαίνετο[87] λαμβάνουσα, κρότον, ἔπαινον, εὐπορίαν, στεφάνους, τιμὰς, ζῶσι καὶ τετελευτηκόσιν. ἔχει τοίνυν τὴν αἰτίαν ἔγγυθεν, δι᾽ ἣν ἀνάγκη πονήσαντα, κτήσασθαι. καὶ γὰρ οὕτως ἔχει. τῶν πραγμάτων τὰ μὲν οὐδενὸς ἄξια, τὰ δὲ πολλοῦ. τῶν μὲν οὖν προτέρων,[88] διὰ ῥᾳστώνης ἡ κτῆσις· ἐπὶ δὲ τὸ δεύτερον, παραπέμπουσιν οἱ πόνοι, καὶ οὔτε τοῖς μικροῖς ἱδρῶτας συνέζευξεν ἡ φύσις, οὔτε τοῖς μεγίστοις τὴν ῥαθυμίαν. ἀλλ᾽ ἐφ᾽ ἑκατέρῳ προοίμιον ἁρμόττον τῷ τέλει, ἐκεῖ μὲν τρυφὴ, ταλαιπωρία δὲ ἐνταῦθα. δεῖ δὲ δυοῖν θάτερον· ἢ τὸ τῆς παιδείας εἰπεῖν μικρὸν εἶναι, ἢ μὴ τοῦτο ὁμολογοῦντα, δέχεσθαι τοὺς πόνους. εἰ μὲν ὑπὲρ ἀπαιδευσίας ἤ τινος τῶν φαυλοτέρων Ἰσοκράτης διαλεγόμενος, τῶν τοιούτων

ταῖς

84 f. πλέον ἐστιν ἀπὸ τῆς παιδείας.

85 διαπτύσαι] διαπτύσαιτο M.

86 f. ὡς οὐκ ἐν ἐσχάτῃ.

87 ἐφαίνετο] ἐφαίνοντο M.

88 προτέρων et κλῆσις.] acquisitio. πρότερον et κτίσις M.

ταῖς ἀρχαῖς ἔφησε προσεῖναι πόνους, πάνυ ἂν ἐμεμψάμην. μεσταὶ γὰρ ἡδονῆς ἐκεῖναι αἱ ῥίζαι. ἐὰν δὲ ὑπὲρ πράγματος, οὗ τὴν δόσιν εἰς θεοὺς ἀναφέρειν ἄξιον, λόγον ἀποφαινόμενος, τὰς μὲν ἀρχὰς ἔφησεν ἀηδεστέρας εἶναι, τὴν δὲ τελευτὴν εὐφροσύνης,[89] καὶ τὸ τοῦ πράγματος μέγεθος συναγωνίζεται τῷ λόγῳ. τοιοῦτον καὶ τὸ τῶν ἐμπόρων. οὐ γὰρ ἐπ' ἀμφόδοις καθεύδουσιν, οὔτε οἴκοι καθημένοις ἄνευ πραγμάτων ὁ πλοῦτος παραγίνεται· ἀλλὰ δεῖ μὲν προσεδρεῦσαι λιμένι, καὶ τῷ ναυκλήρῳ διαλεχθῆναι. δεῖ δὲ ἐνθέμενον τά τε ὄντα καὶ τὸ σῶμα ἐς τὴν ναῦν, γῆν μὲν ἀποκρύψαι, πελάγιον δὲ ἀναδειχθῆναι,[90] πολλὰς ἡμέρας ἐφεξῆς νυκτὶ συνάπτοντα. καὶ οὔπω τὸ μεῖζον εἴρηται. πολλάκις γὰρ τὰ μὲν ἄρτι κατὰ πρύμναν ἑστηκότα λήγει πνεύματα, κάτεισι δὲ τὰ ἐναντιώτατα, καὶ πάλιν ὅθεν ἀνήχθησαν, ἐκεῖσε καταφέρονται, καὶ κέρδος οὐδὲν τοῦ διηνυσμένου. σκηπτοὺς δὲ τοὺς ἐμπίπτοντας ἐγγὺς τῆς ὁλκάδος, καὶ βροντὰς ῥηγνυμένας, καὶ τὸ κλυδώνιον ἐπανιστάμενον, καὶ τρικυμιῶν φόβον, τίς ἂν πρὸς ἀξίαν διέλθοι; ταῦτα ἐκεῖνοι μετὰ πάσης ἀνδρίας ἐνεγκόντες, ὠνοῦνται ἐκ τῶν κινδύνων εὐπορίας. καὶ δεῖ δυοῖν θάτερον, ἢ πολλῶν ἀνέχεσθαι δυσχερῶν, ἢ μὴ μείζω ποιῆσαι τὴν οὐσίαν. καὶ μὴν εἴ τις ἀντιθεῖναι μέλλοιτο[91] τῇ παιδείᾳ τὸν μέγιστον πλοῦτον, γέλως ἂν φανείη περὶ[92] ταύτην κρινόμενος. τί δὲ θαυμαστὸν εἰ προσδεῖται πόνων ἐκείνη, μηδὲ τῶν ἐλαττόνων ἄνευ ταλαιπωρίας ἐθελόντων περιγίνεσθαι; τοὺς δὲ τῆς Δήμητρος οἱ γεωργοὶ, πῶς σοι δοκοῦσι θερίζειν; ἆρα ἄσπαρτα καὶ ἀνήροτα, κατὰ τοὺς Κύκλωπας; μῦθος ἐκεῖνα, καὶ λόγος. ἀλλὰ πᾶσα ἀνάγκη θεραπεῦσαι βοῦν, καὶ ἄροτρον πήξασθαι, καὶ ἀναρρῆξαι τὴν γῆν εἰς αὔλακας, καὶ σπόρου καιρὸν διαγνῶναι, καὶ μὴ τοῖς ὀρνέοις ἐπιτρέψαι τὸ καταβληθὲν ἀνελέσθαι

89 post εὐφροσύνης videtur μεστὴν deesse.

90 ἀναχθῆναι m. M.

91 recte margo M. βούλοιτο.

92 περὶ] lege παρὰ cum literatura comparatae opes.

σθαι,[93] καὶ τὰ τοῖς στάχυσι παραφυόμενα πρὸς λύμην ἐκκόψαι. ἐπειδὴ δὲ πᾶν εἶδος ἐπιμελείας εἰσενέγκηται, περὶ τὸ λήϊον τὸ θέρος ἀναμείνας, οὕτω προσοίσει τὸ δρέπανον. καὶ οὐδεὶ τοῦτο σκοπεῖν μόνον, ὅτι τὰς ἅλως ἐπλήρωσεν, ἀλλ᾽ ὅσους ὑποστάντι πόνους τοῦτο ὑπῆρξεν ἰδεῖν. ταῦτα δὲ καὶ περὶ τῶν ποιμένων εἴποι τις, καὶ τῶν ἄλλων τεχνῶν, ὧν οὐ κατὰ παιδείαν τὸ κέρδος. καὶ τί δεῖ περὶ ταῦτα διατρίβειν, ἔχοντα παραδείγματα χρήσιμα, ἃ λαμπρότερον μαρτυρεῖ τῷ λόγῳ; τί γὰρ ἂν γένοιτο μεῖζον ἢ σεμνότερον Δημοσθένους; οὐ τοῦ στρατηγήσαντος ἐν Σικελίᾳ, ἀλλὰ τοῦ ῥήτορος λέγω. ἢ τί μᾶλλον ἐν καιρῷ τοῖς τε Ἀθηναίοις πάλαι, καὶ μετὰ ταῦτα πᾶσιν ἀνθρώποις κατέστη; τίς οὐκ ἂν εὔξαιτο τὸν ἑαυτοῦ παῖδα, μὴ ὅτι τοιοῦτον ἀποφανθῆναι παντελῶς, ἀλλ᾽ ὁπωσοῦν προσάψασθαι τοῦ ζήλου; ἐκεῖνος τοίνυν οὐχ ἑστιάσει καὶ πότῳ προσέχων τὸν νοῦν, οὐδὲ Συβαριτικὴν παρατιθέμενος τράπεζαν, οὐδὲ τὴν ἡδονὴν εὐδαιμονίαν κρίνων, οὐδὲ τῇ γαστρὶ χαριζόμενος, οὐδὲ πρὸς ἀνάπαυλαν τὸ πλεῖστον ποιούμενος, εἰς τοσοῦτον προὔβη τῆς νῦν περὶ αὐτοῦ κατὰ πᾶσαν γῆν καὶ θάλατταν κατεχούσης δόξης· ἀλλὰ πόθεν δὴ, καὶ τίνι τρόπῳ τοιαύτας συνέλεξε δεινότητας; συνελόντι μὲν εἰπεῖν, ἐκ τοῦ τῶν πόνων συνεχοῦς. τὰ δὲ καθέκαστα, ἐκ τοῦ φεύγειν τὰ ῥᾷστα, ἐκ τοῦ προστετυχηκέναι βιβλίοις, ἐκ τοῦ τὸ ὕδωρ οἴνου χρησιμώτερον νομίσαι τῷ γε ἐν λόγοις βιοῦντι, ἐκ τοῦ τὸν καιρὸν τοῦ ὕπνου καιρὸν ἔργων ποιήσασθαι. ὅς γε οὕτω σύμπαντα ἑαυτὸν ἀνέθηκε τοῖς μαθήμασιν, ὥστε ὑπὸ γῆν ὀρύξας οἴκημα, καινήν τινα καὶ ἄτοπον ἐμηχανήσατο οἴκησιν, ὡς ἂν μηδεὶς θόρυβος αἴσθησιν παρέχων, ἐκκρούῃ τῶν προκειμένων τὸν λογισμόν. οὔπω τὸ μέγιστον εἴρηται. ἐκεῖνος γὰρ τὰς προόδους μέγιστον ἐμπόδισμα ἡγούμενος, καὶ βουλόμενος αὐτῷ τετάχθαι τοὺς πόνους, ξυρεῖν ᾠήθη δεῖν τὸ τῆς κεφαλῆς μέρος, τὴν οἴκοι μονὴν ἐντεῦθεν ἑαυτῷ κατασκευαζόμενος. οὑτωσὶ μὲν δὴ ὁ Δημοσθένης

πικρῶς

[93] ἀνελέσθαι δεῖ m. M.

πικρῶς[94] ἀπήλαυσε τῆς ῥίζης· ἀλλ' ἀπήλαυσε μέν τοι καὶ τῆς τῶν καρπῶν ἡδονῆς. ἀντὶ μὲν γὰρ τῶν λυπηρῶν ἐκείνων, σώζειν οὐ μόνον τοὺς Ἀθηναίους, ἀλλὰ καὶ τοὺς Ἕλληνας ἐπεπίστευτο. καὶ πάντα χαίρειν ἐάσαντες, εἰς ἐκεῖνον ἔβλεπον μόνον, δημαγωγὸν εὔνουν, σύμβουλον ἀγαθὸν, ῥήτορα δεξιὸν, συνετὸν, ὀξὺν, πάντα τὰ ἄριστα καλοῦντες, καὶ πάντα ἐκεῖνον ἡγοῦντο· νόμους τιθέντα, ψηφίσματα γράφοντα, πρεσβείας ἐπιστάμενον, λέγοντα, πείθοντα. καί τοι τὴν κεφαλὴν ἐκείνην, ἣν ἐδόκει διαθεῖναι κακῶς, ὕστερον ἐστεφανωμένην ἐδείκνυεν. ἀντὶ δὲ τῆς καθείρξεως ἐκείνης, καὶ στενῆς διατριβῆς, εἰς πᾶσαν τὴν οἰκουμένην τὸ κλέος ἐξήνεγκε. καὶ τετελευτηκὼς οὐκ ἔληξεν ὡσὰν εἴπῃ τις τὸν βίον, ἀλλὰ τελεῖ τὰς ψυχὰς καὶ νέων καὶ πρεσβυτέρων, εἰς ἔρως τῆς ῥητορικῆς, καὶ οὔτε ῥίζης ἀηδεστέρας, οὔτε καρπῶν βελτιόνων οὐδεὶς ἐγεύσατο. τί δὲ ὁ Λυκοῦργος ἐκεῖνος, ὁ κατ' αὐτὸν ἐκεῖνον γεγονὼς τὸν Δημοσθένην; ἆρ' ἢ φαῦλος τὶς ἔδοξεν εἶναι ῥήτωρ τοῖς Ἀθηναίοις, ἢ τὸ μέγα εἶναι καὶ νομίζεσθαι χωρὶς τῶν πόνων ἐκτήσατο; καὶ τίς οὕτως ὀψιμαθὴς, ὅστις οὐκ ἤκουέ τι καινὸν, καὶ τὸν τρόπον, ᾧ τὸν ὕπνον διέκοπτεν. ὅτι τοίνυν σωφρόνως ὁ λόγος ἔχει, μετὰ πολλῶν τῶν εἰρημένων Ἡσίοδος μαρτυρεῖ.[95] πάντως δὲ οὐδεὶς οὕτω θρασὺς, οὐδὲ πάντα τολμῶν, ὅστις ἂν ἐπισκήψειε τῷ μάρτυρι. οἶμαι γὰρ δὴ καὶ τοὺς παῖδας τοῦτο ἐγνωκέναι, ὡς μάλιστα δὴ τῶν ὑμνουμένων ποιητῶν Ἡσίοδος ὁ Μουσόληπτος γένοιτο. καὶ παρ' ἐκείνων προσταχθείη γένος τε θεῶν, καὶ ἄλλα πολλὰ καὶ χρηστὰ τοῖς ἀνθρώποις ᾄδειν. ἐκεῖνος τοίνυν ἐν τοῖς ἔπεσιν ὑπὲρ ἀρετῆς διαλεγόμενος, ἐφ' ὑψηλοῦ μὲν αὐτὴν καθῆσθαι φησὶ. δοὺς δὲ τὸ τὴν ἐπ' αὐτὴν ὁδὸν ἀνάντη τε εἶναι, καὶ χαλεπὴν ἣν ἀνύσαι χρὴ μετὰ πολλῶν ἱδρώτων, τῷ γε τῆς ἀρετῆς ἐπιθυμοῦντι λαβέσθαι. εἷς ἀμφοτέρων ὁ λογισμὸς, ὁ πρὸς[96] τὸ αὐτὸ φέρων τὰς γνώμας. ἐν δὲ τοῖς ὀνόμασι

τὸ

94 f. πικρᾶς (in genitiuo sing. gen. foem.) et vtraque loco ἀπέλαυσε.

95 ὁμολογεῖ m. M.

96 f. ὁ λογισμὸς, καὶ πρός.

τὸ διαλλάττον ὅπερ Ἰσοκράτης παίδευσιν, τοῦτο ἐκεῖνος ἀρετὴν ἔφη. ὃ δὲ οὗτος ῥίζαν, τοῦτο ἐκεῖνος οἶμον, καὶ πάλιν ὅπερ Ἰσοκράτης πικράν, τοῦτο ἐκεῖνος τραχεῖαν. ὁ δὲ παρὰ μὲν τῶν θεῶν εἰπὼν ὠνεῖσθαι τοῖς ἀνθρώποις[97] τὰ ἀγαθά, ὠνεῖσθαι δὲ οὐκ ἀργυρίου καὶ χρυσίου καὶ τῶν τοιούτων, ἀλλὰ πόνων, ἆρα οὐ δοκεῖ καλῶς μὲν Ἰσοκράτει, καλῶς δὲ Ἡσιόδῳ συνᾴδειν; εἶθ' ἡμεῖς οὕτως ἕξομεν ἀγνωμόνως, ὥστε τοσούτων ἡμᾶς ἀγαθῶν ἀποστερήσομεν τῷ τὰ πρότερα δεῖσαι; καὶ οὐ τῶν μὲν ἐπιθυμήσομεν, τὰ δὲ ἀνδρείως ὑποστησόμεθα; καὶ πῶς οὐ δόξομεν πολλῶν καὶ σοφῶν ἀνδρῶν κατεγνωκέναι λῆρον; πῶς δὲ οὐκ ἀνάγκη δυοῖν θάτερον δοκεῖν, ἢ ψέγειν ἃ θαυμάζειν ἄξιον, ἢ μὴ[98] πείθεσθαι τούτοις ἃ δὴ θαυμάζομεν;

ΓΝΩΜΗ.

Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα.

ΟΜΕΝ πολεμικὸς Ὅμηρον θαυμαζέτω τῶν τακτικῶν, ὁ δ' αὖ τεκτονικὸς τῶν περὶ τεκτονικῆς ἐμπείρως εἰρημένων. οὐ μὴν οὐδὲ τοὺς ἰατροὺς ἀπορεῖν,[99] ὅθεν αὐτὸν ἀγασθήσονται. ἴδοι δ' ἂν καὶ ἡνίοχος καὶ ναυτικός, ἀμφότεροι τὰς ἑαυτῶν τέχνας παρ' αὐτῷ. μακρὸν δ' ἂν εἴη λέγειν μαντικήν, χαλκευτικήν, τοὺς ὑπὲρ δικαιοσύνης, τοὺς ὑπὲρ τῶν θείων λόγους. ἀλλ' ὃ ὅμως[100] δοκεῖ κοινῇ πάντας ὠφελεῖν, τοῦτο ἔγωγε φημὶ τὰς γνώμας, ὧν αἱ μὲν εἴργουσι τῶν πονηρῶν, αἱ δὲ ἐπαίρουσι πρὸς τὰ χρηστά. πάσας μὲν οὖν εὕροι τις νοῦν ἔχουσας καὶ προσήκοντα λογισμὸν καὶ τοῖς ἐθέλουσι πείθεσθαι φερούσας τὸ κέρδος. δοκεῖ δέ μοι

97 f. τοὺς ἀνθρώπους in accuſatiuo.
98 μὴ omittit m. M.
99 poſt ἰατροὺς ſine dubio deeſt οἴομαι. m. M. dat ἰατροὺς οἴομαι ποιεῖν.
100 f. ἀλλ' ᾧ ἐμοὶ δοκεῖ. qua autem re Homerus mihi videtur omnibus omnino prodeſſe. ἀλλ' ὃ ὅλος m. M.

μοι τὰς ἄλλας νικᾶν, καὶ πολλῷ γε τῷ μέτρῳ, ἣν πρὸς τοὺς προβούλους ἀπεφήνατο, περὶ τοῦ μὴ δεῖν τὸν ὅλον καιρὸν τῆς νυκτὸς ὕπνον[1] ποιεῖσθαι. πάντως δὲ κἂν αὐτὸν Ὅμηρον εἴ τις ἤρετο, τοῦτο ἂν ἀπεκρίνατο, τὸ πολὺ τὰς ἄλλας ἡττᾶσθαι. τί τούτου τεκμήριον; οὐ Νέστωρ αὐτὴν, οὐδὲ Ὀδυσσεὺς, οὐδὲ ὁ δεῖνα τῶν Ἀχαιῶν, ἀλλ' ὁ τῶν θεῶν κορυφαῖος πεποίηται λέγων. καὶ μὴν οὐκ ἂν αὐτὴν εἰ μὴ πασῶν ἄριστα ἔχουσαν ἑώρα, τῷ πάντων ἀρίστῳ περιῆπται[2] θεῶν. ἄξιον δὲ καὶ τοὺς λογισμοὺς αὐτοὺς προάγοντας, ἐξετάσαι τὸν λόγον. οὐ χρὴ, φησιν, ἄνδρα παννύχιον ἀναπαύεσθαι, ᾧ βουλῆς ἀνάγκη. ὅρα τοίνυν, ὅπως τὸ συμφέρον ἀμφοτέρωθεν προείδετο, τοῦ τε ἀνδρὸς καὶ τῶν πραγμάτων. οὐ γὰρ ὅλως μὴ καθεύδειν φησὶ δεῖν, ἀλλὰ μὴ καθεύδειν ἀεί. ὥστε τὸ μὲν τοῦ ὕπνου μέρος σώζει τὸν ἄρχοντα, τὸ δὲ, τῆς ἀγρυπνίας αὐτὴν τὴν ἀρχήν. διὰ ταῦτα μερίζει τὴν νύκτα πρὸς ἀνάπαυσιν καὶ βουλήν. τοῦτο μὲν τοίνυν οὕτως αὐτῷ μετρίως ἔχει. καὶ οὐδὲν ἀδύνατον, οὐδὲ ἀμήχανον προσέταξεν αὐτῷ.[3] ὃ δὲ νῦν πεποίηκεν, ἀκριβοῦς συμβουλῆς, ἣν εἰ μὴ φυλάξειεν ὁ βουληφόρος κατ' αὐτὸν εἰπεῖν τὸν Ὅμηρον, οἰχήσεται ταχέως αὐτός τε ἐκεῖνος, καὶ ὧν ἐτάχθη προνοεῖν. ἄλλως τε καὶ εἰ τύχοι πολεμῶν, καὶ πολλοῖς ἐφεστηκώς. ἅπερ ἀμφότερα ἦν ἐκείνοις τοῖς καιροῖς, ἐν οἷς ὁ λόγος ἐλέχθη. σκοπῶμεν δὲ, ὅπως.[4] ἔστιν ὁπλιτικὸν τοῖς ἄρχουσιν. ἔστι ναυτικὸν πολλάκις, εἰσὶ τοξόται, σφενδονῆται, ψιλοὶ, πᾶν ἁπλῶς εἰπεῖν εἶδος εἰς πόλεμον φέρον. τούτων ἁπάντων αὐτῷ φροντιστέον. ἅπερ[5] εἰ μὲν ἔχει καλῶς, φυλαχθήσεται· εἰ δὲ μὴ, πρὸς τὸ βέλτιστον ἐπανορθώματος τυχόντα μεταστήσεται. ἐπαινέσεται μὲν τὸν μελετῶντα τὴν τέχνην· κακιεῖ δὲ τὸν οὐ θέλοντα παρέχειν ἑαυτὸν ἀγαθὸν στρατιώτην. καὶ τῷ μὲν δώσει

τι-

[1] recte dat margo ὕπνῳ somno dare.

[2] f. περιῆπτε (in imperfecto actiui.)

[3] ἐκείνῳ m. M.

[4] οὕτως m. M.

[5] ὅπερ m. M.

τιμὰς, τῷ δὲ ζημίας. καὶ τὸν μὲν σωφρονίσει, τὸν δὲ καταστήσει βελτίω, ἐκείνῳ μελλήσει[6] ναυτῶν, κυβερνητῶν, ὅπλων, πόρων, ἀφορμῶν, καιροῦ, πολέμου στρατοπέδῳ ῥοπὴν φέροντος. δεῖ μὲν αὐτὸν τὰ τῶν πολεμίων ἀνιχνεύειν, δεῖ δὲ πράττειν, ὅπως μὴ τὰ αὐτῶν οἱ πολέμιοι γνώσονται. εἰ πεζομαχίας ἡ χρεία, τοῦτο ἐξετάσει· εἰ ναυμαχίας, τοῦτο ζητήσει. εἰ μηχανήματα προσοιστέον, εἰ προδοσίᾳ τοὺς ἐχθροὺς ληπτέον, δεῖ μὲν αὐτὸ[7] ἐμβαλεῖν τοῖς δυσμενέσι στάσιν· δεῖ δὲ τὰς παρὰ τοῖς οἰκείοις ἐκκόπτειν, ἰάσεται ναῦς κεκμηκυίας, ἐκπέμψει τὰς ἄριστα πλεύσας ἐπ' ἔργον, ἑτέρας ναυπηγήσεται. θύσει θεοῖς, χρήσεται μάντεσι. οὐδεὶς ἂν ἀφίκοιτο[8] τοῦ πλήθους τῶν πραγμάτων, ἃ τοῖς βασιλεῦσι πρόκειται. τούτων ἕκαστον καὶ βουλευθῆναι δεῖ, καὶ πραχθῆναι. τό, τε γὰρ ἄνευ βουλῆς ἐπιχειρῆσαι τοῖς ἔργοις, πολλάκις ἔβλαψεν, ἃ φεύγειν ἄξιον, ταῦτα ἡμῶν διωκόντων. τό, τε βουλεύεσθαι μόνον, πράττειν δὲ μηδὲν, οὐδ' ὁτιοῦν ὤνησεν. ἅπασα γὰρ σκέψις πράξεως[9] ἄμοιρος, οὐκ ἔχει τὸ κέρδος. δεῖ τοίνυν ὅπερ ἔφην ἀμφοτέρων. οὐκοῦν τὴν ἡμέραν μὲν τῶν ἔργων, τὴν δὲ νύκτα βουλῆς εἶναι δεῖ καιρόν. εἰ δὲ τὴν μὲν ὕπνῳ δώσομεν, εἰς δὲ τὴν ἄξομεν τὰ ἀμφοτέρων, ἐλάττων ὁ καιρὸς τῆς χρείας· καὶ δυοῖν θάτερον, ἢ πρὶν μαθεῖν ὅτι βέλτιστον, ἅπτεσθαι τῶν πραγμάτων, ἢ μαθόντας ὅ,τι βέλτιστον οὐκ ἔχειν χρῆσθαι τοῖς πράγμασιν. εἰς ταύτην ἄγει[10] τὴν ἀνάγκην τοὺς βασιλέας τὸ τῶν ἀρχομένων πλῆθος, καὶ τῶν πραγμάτων. ἄνευ δὲ τούτων καὶ καθεύδειν ἕξεσι. τεκμήριον δὲ, οὐδὲ[11] ἐζημίωσε τὸν ἰδιώτην ὁ ὕπνος. μικρῶν γὰρ οἶμαι κύριος, οἰκιδίου φαύλου καὶ τριῶν ἢ τεττάρων ἀνδραπόδων καὶ δραχμῶν οὐ πολλῶν, καὶ τὸ τῆς ἡμέρας ἀπέχρησε μέτρον εἰς βουλήν τε καὶ ἔργον. τί λέγω τῆς ἡμέρας ἁπάσης; εἰς[12] μικρὸν

6 f. μελήσει (vno λ.)
7 f. αὐτὸν (in masculino.)
8 f. ἐφίκοιτο.
9 πράξεων m. M.
10 ἄγειν m. M.
11 f. οὐδὲν (in neutro.) ἠζημίωσε m. M.
12 εἰς delendum, vt e fine vocabuli ἁπάσης iteratum.)

κρὸν ἡμέρας μέτρον ταῦτα ἀμφότερα δέχεται. κἂν εἴ τις[13] αὐτῷ κελεύῃ τὸ μὴ καθεύδειν, παρὰ τὸ μὴ πολλοῖς ἐφεστηκέναι πράγμασιν, οἷς γε συμβαίνει[14] πολλῶν πραγμάτων κυρίοις εἶναι τούτοις, ἡ μεγίστη βλάβη τὸν ὕπνον εἰ μὴ φεύγοιεν. ὁρᾷς ὦ ἀγαθὲ τὸν κυβερνήτην, ὃν οὐκ ἄν μοι δοκεῖ τὶς ἁμαρτεῖν εἰπὼν βασιλέα τῆς νηός. οὐ τῆς νυκτὸς ἐπελθούσης ἐπὶ τῶν οἰάκων κάθηται, τὰ ὄμματα στήσας ἀκριβῶς πρὸς τὰ ἄστρα, καὶ οὐ φιλονικεῖ[15] τοῖς ναύταις περὶ τῆς ἀναπαύλης; καὶ οἱ μὲν κεῖνται, καθεύδοντες μετὰ πολλῆς τῆς ῥαστώνης, οἱ μὲν ἐπὶ τῶν καταστρωμάτων, οἱ δὲ ἐν κοίλῃ τῇ νηΐ. ὁ δὲ οὐ ζηλοτυπεῖ τῆς ῥαστώνης ἐκείνοις, ἀλλ' ἐν τῷ μὴ καθεύδειν αὐτὸς, ἐκείνοις ἀποδίδωσι τὸ τρυφᾶν. οὐκ ἔπεισεν ἡ νὺξ ἐπελθοῦσα τὸν Ἕκτορα ἀναπαύεσθαι, ἀλλ' ἐν αὐτῇ τὰ μέγιστα κατορθοῦν ἠξίου, καὶ συνῆγεν οὓς ἐχρῆν, καὶ δώρων ὑποσχέσει πρὸς κατασκοπὴν τοὺς ἐπιτηδείους ἐξήγειρε. καὶ μηδεὶς ἀγνοείτω[16] τὸ τέλος, ἀλλ' εἰ μὴ τὸ βούλευμα λόγον εἶχε τινά. τοῦ μὲν γὰρ ἡ τύχη κυρία, τὸ δὲ παρ' ἡμῶν αὐτῶν ἀπαιτοῦμεν. ὁ δὲ Ἀγαμέμνων ἐκεῖνος, εἰ δουλεύειν ᾤετο δεῖν ὕπνῳ, τίς μὲν ἔγειρε[17] τοὺς ἀρίστους εἰς σύλλογον; πότε δ' ἂν ὁ Διομήδης Ὀδυσσέα λαβὼν, τὰ τῶν πολεμίων ἐσκέψατο πράγματα, οὕτω καὶ Τροίαν Ἕλληνες παρεστήσαντο. οὗτος ὁ καιρὸς τοῖς Ἀχαιοῖς παρέδωκε τὴν Πριάμου πόλιν· τῶν μὲν Τρώων ὑπὸ μέθῃ κειμένων, τῶν δὲ οὐχ ἡττηθέντων ὕπνου. καὶ τί δεῖ παλαιὰ λέγειν; ἀλλὰ τὸν ἁπανταχῇ[18] περιφερόμενον, τίς οὐκ οἶδε λόγον, ὅς φησι δεῖν ἐν νυκτὶ βουλῆς ἔχεσθαι; ὁ δὲ σοφὸς Σοφοκλῆς, τί μαθὼν εὐφρόνην ἀπεκάλει τὴν νύκτα; οὐχ ὅτι τὸ φρονεῖν, ὡς μάλιστα τότε τοῖς ἀνθρώποις παραγίνεται; εἰς ταὐτὸν ὁρῶν

ὁ

13 f. κἂν ἁμάρτῃ εἴ τις et peccet adeo quispiam, si —

14 sic distinguo et lego οἷς δὲ συμβ.

15 f. φιλονεικεῖ (per diphthongum.)

16 ἀγνοείτω] num ἐννοείτω? cogitato.

17 f. ἤγειρε. sed sunt alia plura huius loci corrupta, quae emendare non valeo.

18 πανταχοῦ m. M.

ὁ βασιλεὺς, ἀποσειέσθω τὸν ὕπνον, εἰδὼς ὡς οὐκ ἔστιν ὁμοῦ ῥαθυμεῖν καὶ πολλοῖς ἐπιτάττειν.

Ἡ αὐτὴ γνώμη, ἑτέρως.

ΟΜΗΡΟΣ ὁ ποιητὴς τῷ μὲν τὰς τῶν Τρώων διηγεῖσθαι συμφορὰς ἐπὶ δικαιοσύνην μοι δοκεῖ τοὺς ἀνθρώπους παρακαλεῖν, δεικνὺς ἃ τοὺς ἀδικοῦντας ἀναμένει κακά. τῷ δὲ λέγειν τοὺς Ὀδυσσέως ἄθλους, καρτερικοὺς φαίνεται τοὺς ἀνθρώπους ἀπεργάζεσθαι. τίς γὰρ οὐκ ἂν πάντα φέρειν παιδευθείη, ἐκεῖνον ὁρῶν ἐν τοῖς ἔπεσιν ὑπὸ τῶν οἰκετῶν τῶν αὐτοῦ προπηλακιζόμενον; ἔχοντα δὲ παρ' ἑαυτῷ τὼ χεῖρε, καὶ τοὺς καιροὺς ἀναμένοντα. ποιῶν δὲ ἀμείνους τοὺς ἀνθρώπους τῷ τῶν ὑποθέσεων βουλήματι, οὐχ ἧττον διὰ τῶν γνωμῶν,[19] ἃς ἐγκατέλιπεν, ὠφελεῖ, νῦν μὲν λέγων ὅπως δεῖ προσφέρεσθαι ξένοις, νῦν δὲ ὅπως θεοῖς. πάλιν ᾗ τινι γνώμῃ χρηστέον ἐν τοῖς ὑπὲρ πατρίδος κινδύνοις. πάντα μὲν οὖν ἐπαίνων ἄξια. νικᾶται δὲ τῷ πρὸς τοὺς βασιλεῖς ὑπὲρ ἀγρυπνίας εἰρημένον. καὶ γὰρ τὸν ἄρχοντα ποιήσας ἀγαθὸν, δι' ἐκείνου τοὺς ἀρχομένους ἐποίησε.[20] θαυμάζοι δ' ἄν τις τὸ καὶ τῶν πραγμάτων αὐτῶν[21] μελῆσαι, καὶ τοῦ περὶ τούτων βουλευομένου. οἷς φεύγειν χρῆναι τὸν ὕπνον εἰπὼν, οὐ δι' ὅλου προσέθηκεν· ἀλλ' ἠξίωσε τὸν καιρὸν τέμνειν εἰς ὕπνον, καὶ φροντίδα.

Οὐ χρὴ, γάρ φησι, παννύχιον εὕδειν βουληφόρον ἄνδρα,

μεγάλην ἀρχὴν ἔχοντα· καλῶς καὶ προσηκόντως εἰπών. ὅρα γὰρ, πόσα περιέστηκε τὸν βασιλεύοντα. πλήθους ἐπιμελήσεται στρατιωτῶν, καὶ ὅπως ἔσονται κρείττους τῆς τῶν ἀντιπάλων ἀρετῆς, καὶ τῆς ἐν ὅπλοις μελέτης. εἰδὼς ὅτι μετ' ἀμαθίας τὸ πλῆθος ἄχρηστον, ἐπὶ τούτοις

ὅπλων

[19] παραινέσεων m. M.

[20] f. δι' ἐκείνου καὶ τὰς ἀρχ. ἐποίησε. scil. ἀγαθάς.

[21] recte marg. αὐτῷ in dativo.

ὅπλων ποιήσεται καὶ τροφῆς φροντίδα, ὅπως τὰ μὲν ἄριστα κατασκευασθείη, τὴν δὲ ἔχωσιν ἄφθονον. τοῖς δὲ παρακελεύσεται τὸ τεῖχος παρασκευάσαι, τοῖς δὲ τάφρον περιελαύνειν, τοῖς δὲ σκόλοπας καταπηγνῦναι. σκοπεῖσθαι δὲ τῶν νεῶν τὸν ἀριθμὸν, καὶ τούτων τίνες ἀκέραιοι, τίνες δὲ χρήζουσαι θεραπείας. σκοπείτω περὶ τῶν τοξοτῶν, περὶ τῶν ἵππων, περὶ τῶν ὁπλιτῶν· καὶ τὰ μὲν καλῶς κείμενα φυλαττέτω, τὰ δὲ κακῶς ἐπανορθούτω πρὸς τὰ χρηστότερα,[22] τὰ δὲ τῶν ἐναντίων ὅπως ἕξει στάσιν ποιείτω. μυρία περὶ τῶν πραγμάτων ὁ βασιλεὺς ἂν ἀπαιτοῖτο, κἂν καὶ μικρὸν[23] εἰς βουλὰς καὶ εἰς πράξεις τὸ τῆς ἡμέρας δεῖται μέτρον, καὶ τῆς νυκτὸς οὐκ ὀλίγον ἀποδιδόναι τῇ περὶ ταῦτα προνοίᾳ· τοῦτο γὰρ αὐτῷ διατηρεῖ[24] τὴν ἀρχήν· ἂν μὲν ἡ νὺξ δέχηται τὰς βουλὰς, τῆς δὲ ἡμέρας φανείσης ἐπιτελῇ τὰ δόξαντα. ταῦτα πρὸς τὸν πολλῶν ἡγούμενον Ὅμηρος λέγει. τὸν δὲ ἰδιώτην ἀφίησι καθεύδειν. τί γὰρ ἄν τις αὐτὸν ταύτης ἀποστεροίη τῆς ἡδονῆς, δυοῖν ἀνδραπόδοιν κύριος, καὶ μνῶν τεττάρων· εἰ δὲ βούλει, πλειόνων ταλάντων. περὶ γὰρ τοσούτων πρὸς τῇ νυκτὶ καὶ τῆς ἡμέρας τὸ πλεῖον καθεύδων, καὶ βουλεύεσθαι δύναιτ' ἂν ἤδη. τοῖς μὲν οὖν ἰδιώταις πολλὴν παρέχει τὴν ἀνάπαυλαν τὸ μὴ περὶ πολλῶν ἀναγκάζεσθαι φροντίζειν· τοὺς δὲ βασιλεῖς τὰ μεγέθη τῶν ἀρχῶν, αἷς ἐφεστήκασιν, ἀφαιρεῖται τὸν ὕπνον. καὶ μὴν κἀκεῖνο αἰσχρὸν, ταῦτα[25] κυβερνήτην[26] ἀμείνω εἶναι ὑπομένειν τῶν τηλικαῦτα ἐγκεχειρισμένων. νόμος γὰρ οὗτος κυβερνητῶν, κρείττους εἶναι τῆς ὕπνου δυναστείας. καί τοι τοὺς ἄλλους ὁρῶσι ἐπὶ τῶν καταστρωμάτων καθεύδοντας· ἀλλ' οὐ διὰ τοῦτο τὸν αὐτῶν ἀφέντες πόνον, πρὸς τὰ ἐκείνων καταφέρονται. ἀλλ' ἴσασιν, ὅτι ναύτης μὲν ὑπὸ τῆς τάξεως, ἣν τέτακται, καθεύδειν τέτακται. κυβερνήτην δὲ ἡ τῆς

νεὼς

[22] recte margo πρὸς τὸ χρηστότερον.

[23] f. κἂν οὐ μικρόν.

[24] διατηρήσει m. M.

[25] ταῦτα cohaeret cum ὑπομένειν.

[26] παρὰ κυβερνήτου ὑπομένειν ἀμείνους εἶναι τῶν m. M.

νεὼς ἀρχὴν βλέπειν ἐπαναγκάζει πρὸς τὰ ἄστρα. σκόπει δὴ τοῦτον Ἀγαμέμνονα, τὸν τὴν συμβουλὴν δεξάμενον, οἷος ἦν τοῖς[27] μετὰ ταῦτα. τὸν μὲν ὕπνον ἀπεσείσατο, τοὺς δὲ ἀρίστους συνήγαγε τὰ τῶν ἐναντίων σκεψαμένους· καὶ τηλικοῦτον εἰργάσατο διὰ τῶν ἀπεσταλμένων ἔργον ἐν τῇ νυκτὶ, ὥστε καὶ τοὺς Τρῶας εἰς ἀθυμίαν ἐμβαλεῖν, καὶ τοῖς Ἕλλησι, καί τοι κακῶς πεπραχόσι, τεθαῤῥῆσθαι παρασχεῖν. οὐ τοίνυν οὐδὲ ὁ τῶν Τρώων στρατὸς ὑπὸ τῆς εὐημερίας εἰς ῥᾳστώνην ἀπέκλινεν. ἀλλὰ καὶ αὐτὸς ἆθλα προὐτίθει τῆς νυκτὸς τοῖς τολμῶσι τῷ νεωρίῳ προσελθεῖν. καὶ τύχῃ μὲν ὁ Δόλων ἐχρήσατο χείρονι. τοῦτο δὲ οὐκ ἐλέγχει τὴν Ἕκτορος βουλὴν, ὡς οὐκ ἀγαθή. ὅλως δὲ τῆς νυκτὸς ἡ φύσις ξυμπράττει πρὸς τὴν εὐβουλίαν, οὐχ ἑλκομένου τῇδε κἀκεῖσε τοῦ λογισμοῦ καὶ τῆς ψυχῆς ἀπὸ τοῦ πλήθους τῶν πραττομένων ταραττομένης, ἀλλ' ἡσυχίᾳ ῥᾳδίως εὑρούσης[29] τὸ δέον. ἐντεῦθεν εὐφρόνη καλεῖται παρὰ τῶν ποιητῶν ἡ νὺξ, καὶ τὴν παροιμίαν ἐποίησε, τὰς βουλὰς εἰς τὸν τῆς νυκτὸς ἄγειν καιρόν. ταῦτα δεῖ πάντα τοὺς βασιλεῖς ἐνθυμουμένους, ἥκιστα μὲν ὕπνῳ δουλεύειν, μάλιστα δὲ τοῦ φροντίζειν ἔχεσθαι.

ΑΝΑΣΚΕΥΗ, ΟΤΙ ΟΥΚ ΕΙΚΟΣ ἀφικέσθαι τὸν Χρύσην εἰς τὸν ναύσταθμον τῶν Ἑλλήνων.

ΟΥΔ' ἄλλων[30] μὲν ἠξίουν οὐδένα τῶν ποιητῶν τῆς ἀληθείας ἀμελεῖν, ἄλλως θ' ὅτι καὶ παρὰ τῶν Μουσῶν κινούμενοι φασὶ λέγειν ἃ λέγουσιν, ἀλλὰ μᾶλλον σπουδάζειν ὅπως τι λέξωσιν ἀληθὲς, ἢ ὅπως τὸν ἀκούοντα τέρψωσιν. Ὅμηρον δὲ μάλιστα πάντων ἔδει τοῦτο φυγεῖν, οὕτως ὄντα γενναῖον καὶ μεγαλοπρεπῆ. νῦν δὲ φαίνεται καὶ αὐτὸς

27 οἷός ἐστιν ἐν τοῖς. m. M. dat ῥῆμα. ὅσιος ἦν ἐν τοῖς.
28 τεθαῤῥῆσθαι] fort. τὸ θαῤ.
29 εὐασκέστης m. M.
30 ἄλλον in accuſ. ſing.

τὸς ψευδῆ διώκων, ἐν ἄλλοις τε οὐκ ὀλίγοις, καὶ οὐχ ἥκιστα τοῖς πρώτοις τῆς Ἰλιάδος εὐθύς. λέγει γὰρ, ἐλθεῖν ἐπὶ τὰς ναῦς τῶν Ἑλλήνων τὸν Χρύσην ἐπὶ λύσει τῆς θυγατρὸς, καὶ ποιεῖσθαι διπλὴν τὴν ἱκετείαν, τὴν μὲν πρὸς τὸν ὄχλον, τὴν δὲ πρὸς τοὺς ἄρχοντας. τυχόντα δὲ τῶν πολλῶν, χαλεποῦ πειρᾶσθαι τοῦ κρατοῦντος, καὶ λόγους ἀκούειν ἀπειλῆς γέμοντας. ἤλγησε φησὶν οἷς ὑβρίσθη, κατέφυγεν ἐπὶ τὸν Ἀπόλλωνα, δεόμενος αὐτοῦ μέμψασθαι[31] τὰ γεγενημένα καὶ δίκην λαβεῖν παρ' Ἑλλήνων, ταῦτα φησὶν Ὅμηρος· τούτοις οὐ πείθομαι. πῶς γὰρ ἂν ἐτόλμησε γέρων ἄνθρωπος παρὰ τοὺς πολεμίους ἐλθεῖν; ὃ μηδὲν[32] νεανίας ὑπέμεινεν ἄν; οὓς γὰρ ἐπιόντας φεύγειν εἰκὸς, πῶς εἰς τούτους ἐλθεῖν ἂν ἐθέλησεν, οὓς ᾔδει μισοῦντας Ἴλιον, πορθοῦντας τοὺς περιοίκους; ὁ πόθος τῆς θυγατρὸς ταῦτα ἠνάγκαζεν; ἀλλ' ὁ φόβος τῶν ἐναντίων ἐκώλυεν. ἦν δ' ἱκανὰ ἐκεῖνα[33] παραμυθεῖσθαι. πρῶτον μὲν τὸ μὴ μόνον δυστυχεῖν, ἀλλὰ σὺν ἄλλοις πολλοῖς, ὧν παῖδες οἱ μὲν ἐτεθνήκεσαν, οἱ δὲ κατείχοντο. ἔπειτα τὸ τῆς βασιλίδος τὴν αὐτοῦ θυγατέρα τάξιν ἐν τοῖς Ἕλλησιν ἔχειν. ἤκουε γὰρ ἴσως παρὰ τῶν ἀγγελλόντων, τὴν περὶ τὸ γύναιον τοῦ βασιλέως σπουδὴν, ὡς ἀγαπᾶται, καὶ ὡς θαυμάζεται, καὶ πάντα ἐστιν αὐτοῦ. τοῦτο δὲ καὶ κουφίζειν αὐτοῦ τὴν λύπην ἠδύνατο, καὶ φόβον παρεῖχεν αἰτεῖν ἐπιχειροῦντι. νὴ δία, ἀλλὰ τῷ σκήπτρῳ καὶ τοῖς στέμμασιν ἐθάῤῥει; καὶ τίς λόγος τοῖς πολεμίοις τῶν παρὰ τοῖς ἐναντίοις θεῶν; οὐχ ἑώρα τὰς ὑπ' Ἀχιλλέως πόλεις πλείους ἢ εἴκοσι, ἐν αἷς τεμένη πολλὰ, πολλοὶ δὲ βωμοὶ, πολλοὶ δὲ νεῲ, πολλὰ δὲ ἀγάλματα, οἷς πᾶσι σίδηρον καὶ πῦρ ἐπήνεγκαν[34] Ἕλληνες; πῶς οἱ ταῦτα ἐν φαύλῳ πεποιημένοι πάντα, ἔμελλον χαριεῖσθαι τῷ Χρύσῃ διὰ τὸ σκῆπτρον; πόσης δὲ ἀνοίας, τὸ τοὺς ἀρχομένους μετὰ τούτου

[31] μέμψασθαι] num ἀμέψασθαι?

[32] μηδὲ (sine ν) ne iuuenis quidem.

[33] κἀκεῖνα m. M.

[34] ἐπήνεγκαν] sic dedi, ἤνεγκαν M.

τούτου ἱκετεύειν; εἰ μὲν γὰρ ὁ ὄχλος ἐκράτει, τί τοῖς Ἀτρείδαις διελέγετο; εἰ δὲ τῶν Ἀτρειδῶν τὸ κράτος, τί τῶν πολλῶν ὄφελος, ἀλλὰ δεδόσθω τοῦτο ὑπὸ τῆς λύπης ἁμαρτάνειν τοῦ προσήκοντος· οἱ δὲ Ἕλληνες δεινοῦσιν ἄν, ὡς πρὶν ὅτι τοῖς ἄρχουσιν ἀρέσκει[35] μαθεῖν, συναγορεῦσαι τῷ γέροντι, καὶ βοηθῆσαι. τουτὶ γὰρ ἦν καταλύειν τὴν ἀρχὴν, καὶ τὴν ἐξουσίαν εἰς αὐτοὺς μεθιστᾶναι. ἀλλὰ ταυτὶ μὲν δημοκρατίας, βασιλείας[36] δὲ ἡ τοῦ δυναστεύοντος γνώμη νόμος τοῖς ἄρχουσιν[37] ἐστίν. εἰ δ' οὖν ὡς ἀληθῶς συνέβη τὶ τοιοῦτο. καὶ τὴν τοῦ βασιλεύοντος γνώμην ἡ τῶν ἀρχομένων διέφθαρτε, δοκῶ μοι μήπω τὸν Ἀγαμέμνονα φιλονικῆσαι,[38] καὶ μάταιον ἐκείνοις ἀποφῆναι τὴν σπουδήν. εἰδὼς ὅσαι κατελύθησαν τῶν ἀρχῶν, διὰ τὴν τῶν ἀρχομένων ἀπέχθειαν. οὐ γὰρ ἐν πλήθει χειρῶν, οὐδ' ἐν ὑπερβολῇ γνώμης τῆς ἑαυτῶν ἔχουσιν οἱ κρατοῦντες τὸ βέβαιον, ἀλλ' ἐν τῇ τῶν ὑπακουόντων εὐνοίᾳ, ἣν εἴ τις μεταστήσειεν ἐπὶ τὰ ἐναντία, ῥᾴδιον μεταναστῆναι, καὶ καθελεῖν τὴν ἀρχήν. τοῦτο δὴ οὖν[39] καὶ σώματος ἑνὸς ἐφυλάξατο ἄν, καὶ ἐπρίατο τὴν βεβαιότητα τῆς ἀρχῆς. τόν τε πρεσβύτην οὐκ ἔσθ' ὅπως ἂν ὕβρισεν, οὔτε αὐτὸν, οὔτε τὸ σκῆπτρον τῷ ἄπρακτον πέμπειν, εἰδὼς ἀπαίδευτον τὸ πρᾶγμα καὶ ἀσελγὲς, καὶ πρέπον ἀγροίκοις τισὶ μᾶλλον ἢ βασιλεῖ. τί δ' ἂν καὶ πλέον ἀπὸ τῶν ὑβρισμάτων ἐγένετο,[40] κατέχοντι τὴν ἄνθρωπον; ἐξῆν γάρ που

35 f. δοκῶσιν ἄν πως (enclitice) πρὶν ὅ, τι τοῖς ἄρχουσιν ἀρέσκοι (in optat.)

36 f. βασιλείας δὲ οὖ, ἐν ᾗ ἡ τοῦ δ.

37 aut ἀρχομένοις leg. est cum margine, aut ἀρχθεῖσιν.

38 f. δοκεῖ μοι Ἀγαμέμνων μὴ φιλονεικῆσαι.

39 οὖν] f. εἰδώς. m. M. dat ἐφύλ. ἄν, καὶ σώμ. ἑνὸς ἐπρ.

40 ecquid etiam tandem contumeliis Chrysae dandis lucratus esset, plus quam iam tenebat. Puellam Chrysae iam tenebat — vel a contumeliis Chrysae irrogandis ecquod novum emolumentum fuisset profecturum praeter ea, quae iam tenebat?

που καὶ τοῦτο εἰπεῖν,[41] μάτην ἥκεις. οὐ δώσω. τῆς εἰς θεοὺς[42] παροινίας οὐχ ὁρῶ τὸ κέρδος. ὅμως δὲ τίς ἡ ταραχὴ τῆς γνώμης; ὡς μὲν γὰρ αἰδούμενος τὸν θεὸν, οὐκ ἀπέκτεινεν. ὡς δὲ οὐ προσποιούμενος, ἠτίμαζε. τὸ δὲ τὴν ἀρὰν κατὰ τῶν Ἑλλήνων γενέσθαι, τίς ἂν πιστεύσειεν; οὐδὲ γὰρ[43] μικρὸν μειρακυλλίδιον κομιδῆ, πρὸς τοῦτο ἂν ἦλθεν ἀνοίας, ὥστε παρὰ τῶν βεβοηθηκότων τιμωρίαν ζητεῖν. νῦν ὁ πρεσβύτης, ὁ ἱερεὺς, ὁ παρὰ τοῖς ἀγάλμασι βεβιωκὼς, ὁ τῷ θεῷ φίλος, ὁ τοῖς ἄλλοις δικαιοσύνης διδάσκαλος, πειρᾶται κινεῖν τὰ τοῦ θεοῦ βέλη κατὰ τῶν ἀνθρώπων[44] Ἑλλήνων. καὶ θαυμάζω τὸ πάντων δεινότατον. ὁ μὲν αἰτεῖται οὕτως ἄτοπα, ὁ δὲ πείθεται καὶ δίδωσιν, ὁ Λητοῦς καὶ Διὸς, ὁ μισῶν τοὺς ἀδικοῦντας. οὐκ ἔστιν ὅπως ἐγὼ τούτῳ πεισθήσομαι. ἃ γὰρ οὐδὲ τοὺς βελτίστους ἐστὶν ἁμαρτεῖν τῶν ἀνθρώπων, πῶς ἂν ὑπὸ τῶν οὐρανὸν ἐχόντων πλημμελοῖτο; ταῦτα καὶ ψευδῆ, καὶ βλαβερὰ τοῖς ἀκούουσι. καὶ προσήκει τῶν ποιημάτων ἢ παντάπασιν ἀπέχεσθαι, ἢ ψυχαγωγίας[45] ἕνεκεν ἅπτεσθαι εἰδότας, ὅτι τοῦτο[46] μὲν δύναται ποιεῖν, ἀληθείας δὲ ὠλιγώρηκεν.

ΚΑΤΑΣΚΕΥΗ ΟΤΙ ΕΙΚΟΤΑ τὰ κατὰ τὴν κρίσιν τῶν Ἀχιλλέως ὅπλων.

ΘΑΥΜΑΖΩ τῶν ὁμολογούντων μὲν, λείπεσθαι τῆς τῶν ποιητῶν ἐνθέου μανίας, αὐτοῖς δὲ τούτοις τολμώντων ἐπιτιμᾷν, εἰ μὴ δύναιντο συνιέναι[47] τοῦθ' ὅτι τὰς Μούσας ἐν ταῖς τῶν ποιητῶν αἰτίαις διαβάλλουσι. τὰ μὲν

[41] f. καὶ τοῦτο μόνον εἰπεῖν vel hoc solum simplex dicere, procul contumelia verborum.

[42] f. τῆς γὰρ εἰς θεούς.

[43] οὐδὲν πρ. m. M.

[44] recte margo φιλανθρώπων.

[45] f. ἢ μόνον ψυχαγωγίας.

[46] τοῦτο] scil. τὸ ψυχαγωγεῖν carmina poetarum delectare quidem posse.

[47] συνιέναι] sic dedi συνεῖναι M.

μὲν γὰρ λεγόμενα[48] ἐκείνων· ἡ φωνὴ δὲ τούτων. ἀλλ' οἵγε συκοφάνται πρὸς τοσοῦτον ἥκουσι θράσους, ὥστε πλάσματα πειρῶνται δεικνύειν τὰ μετὰ τὴν τελευτὴν Ἀχιλλέως, περὶ τῆς πανοπλίας ἐκείνου διαλεγόμενα·[49] καί τοι πρὸς τοὔσχατον ἀληθείας ἥκει. σκοπῶμεν δέ. τὸ μὲν σῶμα εἶχεν ἡ Θέτις τοῦ παιδὸς, μισθὸν δὲ ἔθηκεν εἰς μέσον τῷ κεκομηκότι[50] τὰ ὅπλα. ἐπειδὴ γὰρ Αἴας τὲ καὶ Ὀδυσσεὺς αὐτὰ ἔφασκεν ἑκάτερος τοῦτο πεποιηκέναι, νομίσασα μηδετέρῳ δεῖν χαρίσασθαι, δικαστηρίῳ καὶ ψήφῳ[51] ταῦτα ἀφῆκεν. ἦν μὲν γὰρ αὐτῇ[52] καὶ ἕτερα δοῦναι. τοιοῦτο δὲ εἶχεν οὐδέν· ἄλλως τε καὶ μέλλουσα στρατιώτας ἀμείψασθαι· πάσας γὰρ δὴ μικροῦ[53] χεῖρας ὑπερέβαλλεν ἡ περὶ ταῦτα τέχνη. καὶ ἅμα ᾔδει καλῶς, ὅτι κείμενα μὲν οἴκοι διαφθαρήσεται. κοσμήσαντα δὲ ἕτερον, ἀθάνατον καταστήσει τοῦ παιδὸς τὴν μνήμην. ὁ γὰρ ἰδὼν καὶ θαυμάσας, εὐθὺς ἂν ἤκουσε τὸν τούτων[54] δεσπότην. λαβὼν τοίνυν Ὀδυσσεὺς, οὗπερ ἐβούλετο τὸν Αἴαντα, τοῦτο δέ ἐστιν ἐν ἀγῶνι λόγων, παῖδα ἄντικρυς ἀπέφηνε. καὶ γὰρ εἰ μηδὲν εἶχε λέγειν δίκαιον, τῇ γε δυνάμει τῶν λόγων τἀληθὲς διέστρεφε, λογιζόμενος,[55] τῇ δὲ κἀκεῖσε, τεχνάζων, πάσῃ δεινότητι χρώμενος. ταῦτα γὰρ ἦν Ὀδυσσέως ἰσχὺς, ἃ ῥητορικῇ δυνάμει[56] καὶ τὴν

[48] τὰ λεγόμενα] scil. ὑπὸ τῶν ποιητῶν, ἐκείνων illorum sunt, h. e. ab illis dicta sunt, atque illis imputanda, poetis puta. vox autem, h. e. aura vocalis, vel res voce enunciandae, ab his Musis puta, profectae et illis, poetis, in mentem iniectae sunt.

[49] f. λεγόμενα simplex.

[50] τῷ κεκοσμηκότι ei qui ista, arma puta, oratione fuisset ornaturus.

[51] τὸ πρᾶγμα m. M.

[52] αὐτῷ m. M.

[53] f. μικροῦ paene, propemodum omnes tantum non manus, h. e. artem nullius non artificis vincebat ars in horum armorum structura, effectione demonstrata. aut μακρῷ leg. longe longeque m. M. dat μιαρῶν.

[54] πάντων m. M.

[55] f. λυγιζόμενος, (per ypsilon) sese torquens, vt luctatores.

[56] ἃ ῥητορικῇ δυνάμει] delenda sunt haec verba, vt scholium vocabuli δεινότητι.

τὴν δόξαν ἐν τοῖς Ἕλλησιν ἐντεῦθεν εἶχεν. ὅταν δὲ εἴπω ῥήτορα, ἄνθρωπον λέγω τὰ μεγάλα μὲν ἱκανὸν ὄντα μικρὰ δεῖξαι, τὰ μικρὰ δὲ μεγάλα· καὶ τὰ μὲν ἄδικα δίκαια, τὰ δὲ δίκαια οὐ τοιαῦτα. ὁ δ᾽ αὖ τοῦ Τελαμῶνος ἕτερα ἠπίστατο, ἕτερα πεπαίδευτο· τρέψαι στρατόπεδον ἐναντίων, ἀποσφάξαι πολλοὺς, δέξασθαι προκαλούμενον, κρατῆσαι ῥᾳδίως, ἀντισχεῖν πρὸς δύσκολον τύχης,[57] ἀπὸ τῆς χειρὸς συμβαλέσθαι πράγμασιν.[58] ὥσπερ οὖν εἰ δι᾽ ὅπλων ἔδοξε περὶ τῶν ὅπλων κρίνεσθαι, τὸν Αἴαντα πάντως ἔδει νικῆσαι, οὕτως εἰς λόγους τοῦ πράγματος ἥκοντος, οὐ δεῖ θαυμάζειν εἰ τὰς ψήφους Ὀδυσσεὺς ἠνέγκατο. ἐπεὶ καὶ νῦν καθ᾽ ἑκάστην ἡμέραν πολλοὺς ὁρῶμεν ἐν τοῖς δικαστηρίοις, μετὰ μὲν τῶν δικαίων εἰσιόντας, ἀπιόντας δὲ ἡττημένους, οὐ χρήμασι τοῦ δικάζοντος διαφθαρέντος, ἀλλὰ τέχνῃ τοῦ λέγοντος ἀπαντήσαντος.[59] τὸν οὖν παρ᾽ ἀξίαν καὶ περιφανῶς ἡττημένον, τί χρὴ ποιεῖν; ἐπαινεῖν μὲν τοὺς δικαστάς. ἐπαινεῖν δὲ τὸν νενικηκότα.[60] παρελθόντα δὲ Ὀδυσσεῖ μαρτυρεῖν, ὡς αὐτὸς ἦν τὰ πάντα τοῖς Ἕλλησι, γελοῖον. ἀλλ᾽ ἀθυμεῖν καὶ λυπεῖσθαι, καὶ ὀργίζεσθαι καὶ χαλεπαίνειν. οὐκοῦν ταῦτα φασὶν αὐτὸν ἂν[61] οἱ ποιηταὶ πεποιηκέναι. ἦν μὲν τοίνυν ἀνάνδρου καὶ δειλοῦ καθ᾽ ἡσυχίαν ἀλγεῖν. ἀνδρὸς δὲ μεγαλόφρονος, ἦν δὲ οὗτος ὁ Τελαμῶνος, ὁ[62] καὶ δίκας ἐπιζητεῖν παρὰ τῶν ἠδικηκότων λαβεῖν. τοῦτο τοίνυν ὁρᾷς καὶ προθυμηθέντα, καὶ πράττοντα. λαμβάνει μὲν τὸ ξίφος.[63] φέρεται δὲ

θυμῷ

[57] aut πρὸς δύσκολον τύχην (in accusat.) aut πρὸς δυσκολίαν τύχης.

[58] πράγμασιν] f. τάγμασιν, cohortib. s.

[59] ἀπατήσαντος (ab ἀπατᾶν decipere. quia iudices decepti essent ab arte oratoris. τοῦ λέγοντος ἀπατήσαντος idem est atque si dixisset τοῦ ἀπατήσαντος ἐν τῷ λέγειν, vel διὰ τοῦ λέγειν.

[60] τοὺς νενικηκότας m. M.

[61] ἂν] f. καί.

[62] ὁ delendum est. Constructio haec est. ἀνδρὸς δὲ μεγαλόφρονος ἦν ἐπιζητεῖν δίκην λαβεῖν.

[63] f. λαμβάνει μὲν γὰρ τὸ ξ.

θυμῷ κατὰ τῶν ȣ̓ δίκαια[64] γνόντων, κατά τε τῶν μὴ δίκαια[65] κεκρατηκότων. βλάπτει δὲ Ἀθηνᾶ τὰς φρένας, καὶ τρέπει τὸν ἄνθρωπον ἐπὶ τὰ ποίμνια. εἰκότως. ἐκείνων γὰρ[66] εἶχε λόγον τὸ ἐπιβουλεύειν, ταῦτα δὲ τὸ[67] κωλύειν. ὁ μὲν γὰρ ὃ τῶν ἐχθρῶν καὶ λελυπημένων ἐποίει·[68] ἡ δὲ τὸ τῆς κηδεμόνος καὶ βοηθούσης ἐπλήρου. τοιαύτη γὰρ ἡ θεὸς, διαπαντὸς παροῦσα τοῖς Ἕλλησι, σώζουσα, ῥυομένη κινδύνων, κράτος παρέχουσα. τȣ̃ κινδύνου τοίνυν παρελθόντος, καὶ τῶν κινδύνων ὄντων[69] ἐπὶ τῆς ἀσφαλείας, ἀπειλήφει μὲν οὗτος τὸ δύνασθαι λογίζεσθαι. ὁ νοῦς[70] δὲ ἅ τε ἐπεχείρησεν, ἅν τε ἥμαρτεν ἀποθανεῖν ἠξίου, τὴν ἀπὸ τῆς μανίας ἀδοξίαν οὐ φέρων. τοιοῦτοι γὰρ οἱ γενναῖοι, καὶ λαμπροὶ καὶ τοὺς πολλοὺς ὑπεραίροντες, εἰ μὴ σὺν καλῷ τῷ σχήματι ζῆν ἐξῇ, κούφην ἡγοῦνται τὴν τελευτήν. τί γὰρ αὐτὸν ἐβούλου πράττειν, δείξαντα μὲν τὴν ἔχθραν, ἀποσφαλέντα δὲ τῆς πείρας; ποῦ ζῆν, ἢ πῶς, ἢ τί πράττοντα; παρὰ τοὺς Τρῶας ἐλθεῖν ἔδει, καὶ θεῖναι ἱκετηρίαν, μετὰ τοὺς πολλοὺς ἀγῶνας καὶ μάχας καὶ νίκας; ἀλλὰ καὶ τῆς αἰσχύνης χωρὶς οὐδὲν ἧττον[71] ἦν τὸ πεῖθον, ὅτι φείσονται τȣ̃ τὰ τοιαῦτα δεδρακότος τὴν ἐκείνων πόλιν. ἀλλὰ μετὰ τῶν ὁμοφύλων, ὥσπερ πρότερον, διατρίβειν; ποίων; τῶν ἀπεσφαγμένων, τῶν κατακοπέντων, τῶν ἀπολωλότων τὸ ἐκείνου μέρος; καὶ ποίοις ἂν ὀφθαλμοῖς εἶδε τοὺς Ἀτρείδας; ποίοις ἂν τὸν Ὀδυσσέα; πῶς δ' ἂν ἐκεῖνοι λαβόντες ἀπέχοντο, καὶ οὐ

64 κατά τε τῶν ȣ̓ δ. γ. m. M. dat μὴ δ.

65 ȣ̓ δικαίως m. M.

66 f. ἐκείνῳ μὲν γάρ.

67 f. ταύτῃ δὲ τό.

68 f. λελυπημένων ἦν, ἐποίει.

69 recte margo τῶν κινδυνευόντων.

70 ὁ νȣ̃ς bene si habet, idem valet, atque τὸ αἰσθάνεσθαι. quid si tamen legatur ἔννους δὲ γενόμενος?

71 ἧττον delendum videtur, vt natum ex ἦν. ne de ignominia dicam, quam apud Troianos erat toleraturus, nihil erat, quod fidem ei faceret, fore, vt Troiani ei parcant.

οὐ κατέλευσαν; οὐ γὰρ δὴ τῆς μανίας ἣν ἐμάνη, μισθὸν ἡγήσατ' ἂν[72] ὀφείλειν αὐτῷ. λοιπὸν τοίνυν ἦν, καθελκύσαντα τὰς ναῦς ἀποπλεῦσαι, πῆ μέλλοντα προσορμιεῖσθαι (πρὸς Διὸς) τὰς ναῦς; εἰς τὸν λιμένα τῆς Σαλαμῖνος; καὶ τί καλὸν ἂν εἶπε πρὸς τὸν πατέρα περὶ τῶν ἀπὸ[73] Τροίας πραγμάτων ἐρωτῶντα; τί δὴ τὸν πόλεμον ἀφεὶς ἀτελῆ προαπῆρεν; οἷος ἂν ᾖ διηγούμενος τὸν ἀγῶνα, τὴν κρίσιν, τοὺς λόγους, τὴν ψῆφον, τὴν ἧτταν, ἣν ἐζήτησε δίκην τῆς γνώμης, τὴν νόσον. εἰ δὲ δεῖ τὴν ἁπάντων τούτων λύσιν εὑρεῖν καλῶς[74] πρέπουσαν, καὶ ἐλευθέραν τῆς αἰσχύνης ἀπαλλαγὴν εὕρατο; μὴ περιμείνας ἀνδρὸς δυσμενοῦς δεξιὰν, ἀλλ' ἀρκέσας αὐτῷ πρὸς θάνατον.

ΚΑΤΑΣΚΕΥΗ ΟΤΙ ΕΙΚΟΤΑ τὰ κατὰ τὴν Ἀχιλλέως ὀργήν.

ΕΛΕΕΙΝ ἄξιον τοὺς κατηγοροῦντας τῶν ποιητῶν, εἰ δὴ τοὺς ἔκφρονας καὶ μεμηνότας ἐλεεῖν ἄξιον. πῶς γὰρ οὐκ ἐξεστήκασι σαφῶς οἱ τούτοις ἐπιτιμῶντες, ὧν πλεῖστόν εἰσι τῆς σοφίας ἀπολειπόμενοι; θαυμάζω δὲ εἰ μὴ τοῦτο δύναται μαθεῖν, ὅτι προσποιοῦνται μὲν ἐκείνων, κατηγοροῦσι δὲ τῶν Μουσῶν. εἰ γὰρ ἐκ τοῦ παρὰ τῶν Μουσῶν πνεύματος οἵδε ποιοῦσιν,[75] οἱ δὲ τούτους λέγουσι κακῶς, ἀνάγκη ἐπ' ἐκείνους[76] ἰέναι, τὰς αἰτίας τῶν ποιήσεων. πᾶσιν οὖν οἶμαι δεῖν βοηθεῖν τοῖς ποιηταῖς, Ὁμήρῳ δὲ καὶ πρὸ τῶν ἄλλων δίκαιος, κοινῷ προγόνῳ τῆς Ἑλληνικῆς σοφίας γεγενημένῳ. ἤδη γάρ τινες καὶ ἐπὶ τοῦτον ἀφῆκαν τὴν γλῶσσαν, λέγοντες οὐδὲν γεγονέναι τούτων, ἀφ' ὧν ὀργισθῆναι τὸν Ἀχιλλέα συνέβη. δεικτέον τοίνυν ἡμῖν ὡς πάντα γέγονε, καὶ λόγον εἶχεν ὁ θυμός.

72 ἡγήσαντ' ἂν (in plurali.)

73 ἀπὸ] malim ἐπί.

74 f. καλοῖς τοῖς πρότερον ἔργοις πρέπουσαν. m. M. dat καὶ πρέπουσαν ἐλευθέρῳ.

75 f. οἱ μὲν ποιοῦσιν carmina ngunt.

76 τὴν αἰτίαν ἐπ' ἐκείνας m. M.

θυμός. διὰ τί γὰρ οὐκ ἂν ἧκεν ὁ Χρύσης ἐπὶ λύσιν τῆς θυγατρὸς παρὰ τοὺς Ἕλληνας. οὐκ ἦν πατὴρ, οὐχ οὗτος τῆς φύσεως νόμος, προκινδυνεύειν τῶν ἐγγόνων; οὐχ ὑπὲρ τούτων ὅπλα λαμβάνομεν, καὶ παραταττόμεθα, καὶ προσπίπτομεν ἡδέως ταῖς ἡμετέραις χερσὶ κτώμενοι τὴν ἐλευθερίαν ἐκείνοις. ὁ δὲ καὶ γέρων ἦν, καὶ οὐκ ἦν λόγος αὐτῷ περὶ μακροῦ βίου· ἀλλὰ καὶ τὴν σωτηρίαν ὑπισχνεῖτο, καὶ τὴν ὁδὸν ἔπειθεν οὐ μάτην ἔσεσθαι, τὸ πλῆθος τῶν λύτρων. τὸ τοῖς Ἕλλησι δεῖν χρημάτων ἐπ' ἀλλοτρίας καθημένοις, καὶ τοὺς αὐτοὺς τούτους πολλάκις ἀφεικέναι αἰχμαλώτους χρημάτων. οὐ γὰρ αὐτὸς ἤρχετο καταδείξων τὸν νόμον, ἀλλὰ παλαιῷ χρησόμενος. μεγάλη δὲ κἀκείνη συμμαχία τὸ τῶν ἱερῶν προεσχηκέναι,[77] τὸ τοῦ θεοῦ δεικνῦναι τὸ σκῆπτρον, τὸ φέρειν στέμματα. τοὺς γὰρ Ἕλληνας ὄντας Ἕλληνας οὐ ῥᾳδίως ἡγεῖτο τούτων ὑπερόψεσθαι, εἰ κατηρᾶτο[78] τοῖς Τρωσὶ, καὶ συνηύχετο τούτοις μὴ θαυμάσῃς. ᾔδει γὰρ ὡς οὐδὲν ἠδίκουν οἱ Ἕλληνες, οἱ δὲ τούτους μᾶλλον ἠδίκουν, καὶ τῶν Τρώων οἱ περίοικοι πλεῖστα ἐπεπόνθεσαν διὰ τὴν ἐκείνων ὕβριν. εἰ γὰρ ἐκεῖνοι τὸ δίκαιον ἐτίμων, οὐδὲν ἂν ἦν τούτοις κακόν. εὖ δὲ τὸ στρατόπεδον καὶ ἐψηφίζετο δοῦναι· τοιοῦτον γὰρ τὸ πλῆθος, ὀξὺ πρὸς ἔλεον, καὶ δεινὸν ἐπικαμφθῆναι πρὸς οἶκτον· καὶ ἅμα μετῆν αὐτοῖς παῤῥησίας. οὐ γὰρ ἐδούλευον, ἀλλὰ γνώμῃ συνεμάχουν. ὁ δ' Ἀγαμέμνων ἄρχων ὢν καὶ τοῦ λογίζεσθαι[79] τοὺς πολλοὺς πλεονεκτῶν, καὶ τὸ πρᾶγμα ἐξετάζων καλῶς, οὐκ ἐνέδωκεν, εὖ φρονῶν. πρῶτον γὰρ μὲν ᾔδει[80] καταλύσων τὴν ἀρχὴν, εἰ πάντα ἐπὶ τῷ στρατοπέδῳ ποιεῖτο.[81] δεύτερον δὲ, ἠπίστατο μικρὰ τὰ αὐτοῦ ποιήσων, εἰ τοῦ γέρως ἀποστεροίη.[82] τρίτον δὲ, προ-

77 interpres latinus expressit προεστηκέναι.

78 l. εἰ δὲ κατηρᾶτο.

79 f. καὶ τῷ συλλογίζεσθαι.

80 πρῶτον μὲν γὰρ ᾔδει.] M. dat γὰρ μὲν ᾔδη.

81 aut ἐποιεῖτο in imperfecto, aut ποιοῖτο in optatiuo.

82 f. εἰ τοῦ γέρως ἑαυτὸν ἀποστεροίη.

προδώτων τὸν ἀδελφὸν, εἰ τῆς Ἑλένης παρ' ἐκείνοις οὔσης, αὐτὸς ἀποπέμπει[83] τοῖς πολεμίοις τὰς ἐκείνων γυναῖκας, καὶ γένοιτο πρᾶος εἰς πονηρούς. καὶ μὴν κἀκεῖνο ἐφύλαττετο,[84] μὴ τῶν αἰχμαλώτων ἡ πρόφασις ἀφορμὴ γένοιτο τοῖς ἐναντίοις κατασκοπῆς.[85] καὶ δοκοῦντες ἐπὶ λύσει φοιτᾶν, ἐκμανθάνοιεν τὰ τῶν Ἑλλήνων. τοῖς ςέμμασι δὲ οὐ προσεῖχεν ὁ βασιλεὺς, πολέμου νόμῳ. ταῦτα γὰρ πρότερον μὲν ἂν ᾐδοῦντο· νῦν δὲ τούτων[86] ἀπέχονται. ἀλλ' ἅμα τε ἐμβαίνουσιν εἰς πόλεμον ἄνθρωποι, καὶ πάντα τὰ τῶν ἐναντίων δυσμενῆ κέκριται· ἡ γῆ, οἱ τάφοι, ὅλα[87] ἱερά. εἰ δὲ τὸ σκῆπτρον αὐτὸν ἐποίησε μετριώτερον, τί ἂν ἐκώλυσε τὸν γέροντα ἐκεῖνον αὐτὰ ταῦτα[88] προτεινόμενον, ἀξιοῦν αὐτὸν[89] ἀποςῆναι τῆς Τροίας; οὕτως ἰὼν μὲν σωφρόνως[90] ὁ βασιλεὺς, ὑπερεῖδε τῆς ἱκετηρίας. θαυμαζέτω δὲ μηδεὶς, εἰ κατὰ τῶν Ἑλλήνων ἐκάλει τὸν θεὸν ὁ πρεσβύτης, οἱ συνηγόρουν αὐτῷ. πρῶτον μὲν γὰρ οὐ διὰ τέλους αὐτῷ συνηγωνίσαντο, οὐδ' ἔπραξαν ὅπως ἀπολήψεται. ἀλλ' ἐνδειξάμενοι τινὰ φιλανθρωπίαν, κατέλυσαν τὴν σπουδήν. ὥςτ' οὖν αὐτοὺς εἰρωνεύεσθαι μᾶλλον, ἢ παντὶ θυμῷ βοηθεῖν. εἰ γὰρ ἤθελον ἀφελόμενοι δοῦναι, τίς ἦν ἐμποδών; αἱ χεῖρες Ἀγαμέμνονος νὴ δία. πρῶτον μὲν οὖν, ὅπερ ἔφην, κατὰ ἀνθρώπων οὐ πάντα αὐτῷ κεχαρισμένων ηὔχετο. ἔπειτα τοῦτο ᾔδει μάλιςα τὸν Ἀγαμέμνονα λυπήσειν, εἰ τὰ πράγματα αὐτῷ διαφθαρείη,[91] καὶ διασείη τὴν δυναςείαν, καὶ κατ-

ἄγῃ

[83] aut ἀποπέμποι in optat. aut ἀποπέμπῃ in coniun t.

[84] ἐφυλάττετο] ἐφύλαττε M.

[85] εἰς κατασκοπὴν m. M.

[86] f. νῦν δ' οὐδὲ τούτων.

[87] ὅλα] num ὅσια. ciuilia? deinde f. εἰ δὲ τὸ σκῆπτρον αὐτὸ αἰτοῦντα αὐτὸν ἐπ μ. δ. sceptrum per se efficere poterat, vt postulans fieret tolerabilior, aut vt postulatio postulantis minus videretur indigna et aspernanda. ὅσα m. M.

[88] αὐτὰ ταῦτα] sceptrum et infulas.

[89] αὐτὸν] Agamemnonem.

[90] f. οὕτωσὶ μὲν ἂν σωφρόνως.

[91] f. διαφθαρείη.

ἄγῃ τὴν ἀρχήν. οὐ γὰρ ἴσον ἀνθρώποις συμφορᾶς[92] ἀπελθεῖν εἰσάπαξ, ἢ ζῆν εἰς ἀθυμίαν. ὁ μὲν γὰρ τεθνεὼς, ἀναίσθητος κείσεται· ὁ δὲ ἐν τῷ ζῆν ἀνιώμενος, ὡς ἀληθῶς κολάζεται. πρὸς δὲ τούτοις ᾔδει τοῦτο, ὅτι τοῦ μὲν τελευτήσαντος ὁ πόλεμος πέπαυται, καὶ μετὰ τῶν Ἑλλήνων οἰχήσεται τὸ θυγάτριον, εἰ δὲ τὸ στρατόπεδον πιέζοιτο νόσῳ, καὶ ἁλίσκοιτο, ζήτησις μὲν ἔσται τοῦ κακοῦ· φανεῖται δὲ ἡ πρόφασις, καὶ κομιεῖται τὴν παῖδα. διὰ τοῦτο καὶ αὐτὸς ταῦτα ᾔτει, καὶ θεὸς ἐχαρίζετο τῷ θεράποντι τῶν νεῶν[93] ἀντεισφέρων τὰς ἀμοιβάς. τῶν τοίνυν Ἑλλήνων πιπτόντων Ἀχιλλεὺς αἰσθάνεται πρῶτον, ὅ, τί ποτ' ἦν τὸ συμβάν. ἀλλὰ τί[94] ἐβούλου τὸν Ἀγαμέμνονα, τὸν Ὀδυσσέα, τὸν Νέστορα πρὸ τοῦ τῆς ἰατρικῆς ἐπιστήμονος; ἦν συνετὸς ὁ Νέστωρ, ὁμολογῶ. ἦν δεινὸς Ὀδυσσεύς, οὐδὲ τοῦτο ἀπιστῶ. ἀλλὰ τούτω ἑκάτερος ἴσχυεν ἐν ἐκκλησίαις, ἐν τῷ τὸ δέον ἰδεῖν, καὶ δεῖξαι τί τὸν πόλεμον ὀνήσει. ὅπου δὲ καὶ λοιμὸς,[95] καὶ νόσος, ὁ καιρὸς τὸν ἰατρὸν ἐκάλει. ὥστε λανθάνειν,[96] εἰ τὸν Ἀχιλλέα μὲν ἐλάνθανεν. ὑπ' ἐκείνων δὲ τὸ λυποῦν[97] ἐγίνετο, δέον τούτῳ πρὸ τῶν ἄλλων γενέσθαι τοῦ πράγματος αἴσθησιν· φαίην δὲ ὅτι καὶ γνόντες, οὐκ ἂν εἰς μέσον ἤνεγκαν τοῦ κακοῦ τὸν λόγον. πολλὰ γὰρ

[92] f. ἀνθρώποις εἰς συμφοράν, hominibus ad calamitatem perinde non eſt, prorſus excedere vita, atque ad perpetuam moeſtitiam extendere vitam.

[93] num τῶν εὐχῶν precum et votorum, a Chryſa ad ſe profectorum.

[94] τί] fort. σύ. verumtamen tu volebas vt Agamemnon ſentiret? nam ad accuſatiuos illos ſubauditur αἰσθάνεσθαι.

[95] λοιμὸς eſt ſtrages hominum, a peſte iam peremtorum, νόσος eſt morbus adhuc in periculo exitii verſantium.

[96] poſt λανθάνειν videtur ἀνάγκη deeſſe. quapropter neceſſe eſt, vt morbum nemo ſenſiſſet, niſi Achilles deprehendiſſet, et ab illis oriunda cauſa mali, (ab Agamemnone puta, Vlyſſe et Neſtore.)

[97] ηὑρίσκετο m. M.

γὰρ πολλοῖς[98] συνόντα σιγᾶται τῇ πρὸς τοὺς ἄρχοντας χάριτι. ἔτι δὲ πολλαχόθεν ἔχων τὸ μέγα φρονεῖν, εἰκότως ἐχρῆτο παῤῥησίᾳ δικαίᾳ, καὶ οὐκ ἠξίου κρύπτειν ἃ γνοίη. καὶ συνῆγεν εἰς ἐκκλησίαν κύριος ὢν, φαίην ἂν, καὶ τοῦ πολέμου κεφάλαιον. σὺ δ' ἐβούλου τὸν Ἀχιλλέα πονεῖν[99] μὲν ὑπὲρ τοὺς ἄλλους, ἄκυρον δὲ εἶναι τοῦ ποιεῖν ἐκκλησίαν· τὸν αἱροῦντα τὰς πόλεις, τὸν καταστρεφόμενον, τὸν κομίζοντα λάφυρα, τὸν παρέχοντα πλουτεῖν, τὸν κατακλείοντα τοὺς Τρῶας, ἐν ᾧ τὰς ἐλπίδας εἶχε τοῦ πολέμου ἀνακειμένας ὁ στρατός. οἱ δὲ Ἕλληνες, εἰ καὶ μὴ πρότερον ὑπήκουον καλοῦντος, τότ' ἂν ὑπήκουον. διὰ τί; ὅτι τὸ νοσεῖν καὶ κακῶς πράττειν πολλὰ τῶν καθεξηκότων ἐκίνει. καὶ τὸ προσδοκᾶν ἀκούσεσθαί τι χρηστὸν, ταχέως αὐτοὺς συνήγαγεν. οὑτοσὶ γὰρ τῶν ἐν ἀτυχίαις ὁ τρόπος ἄγεσθαι ὑπὸ τῶν ἐλπίδων τὸν νοῦν. οὐκοῦν ὅτι μὲν λοιμὸς ἦν τὸ κατέχον, ἀπὸ τῆς τέχνης ἦν ἰδεῖν. τὸ δὲ ὅθεν ὁ λοιμὸς ἐπεπτώκει,[100] τοῦτο τοῦ μάντεως ἐγίνετο. οὐκοῦν συνῆγε μὲν εἰς ἐκκλησίαν ὡς εὐδοκιμῶν ἀπὸ τῶν ἔργων. εὕρισκε δὲ τοῦ κακοῦ τὴν φύσιν, ὡς ἰατρός. ἐκάλει δὲ ἐπὶ τὴν δήλωσιν τῆς αἰτίας τὸν ταῦτα ἀνιχνεύοντα τῇ μαντικῇ. ὁ δὲ ἔδεισεν, εἶτα ἐθάρσησεν· ἑκάτερον οὐκ ἄνευ λόγου. τὸν μὲν γὰρ Ἀγαμέμνονα λυπήσων ᾔδει, καὶ διὰ τοῦτο ἐφοβεῖτο. λαβὼν δὲ ἐγγυητὴν τῆς σωτηρίας, τὸν φόβον ἀνεῖλεν, ὥστε καὶ εἰκότως σιγᾷ τὴν πρώτην, καὶ μετὰ τοῦτο φθέγγεται. τῷ δὲ Ἀγαμέμνονι τὰ τρία λόγον ἔχει. καὶ τὸ τὸν μάντιν ὑβρίσαι, καὶ τὸ τὴν θυγατέρα τοῦ Χρύσου ταχέως ἀποπέμψαι, καὶ τὸ Ἀχιλλέως ἀφελέσθαι γέρας. τὸ μὲν γὰρ ὡς ἐρῶν ἐποίησε· τὸ δὲ, ὡς τοῦ στρατοῦ κηδόμενος· τὸ δὲ, ὡς τιμῆς ἀντιποιούμενος. ἤλγησεν; ἐπεθύμει γὰρ τῆς γυναικός. ἀπέδωκεν; ἠνάγκαζε γὰρ τὸ κακόν. ἀφῃρεῖτο τὸ Ἀχιλλέως γέρας;

δεινὸν

[98] f. πολλὰ γὰρ πολλοὶ (in nominatiuo) συνέντες, tametsi probe norint et cernant, tamen σιγῶσι τῇ πρ. m. M. dat πολ. σιγ.

[99] ποιεῖν m. M.

[100] f. ἐπεπεπτώκει. (ab ἐπιπίπτειν.)

δεινὸν ἡγούμενος τῷ μὲν εἶναι, ἑαυτῷ δὲ μὴ εἶναι. ὁ δὲ, τῆς κόρης ἀπέστη, τὸν θεσμὸν τῆς ἀρχῆς αἰδούμενος, τοῦ πολέμου δὲ ἀπέστη, παροινεῖσθαι μὴ φέρων. καὶ ἅμα τοῖς Ἀχαιοῖς δεῖξαι βουλόμενος, τὴν ἐν τῇ παρουσίᾳ ῥοπὴν ἐκ τῆς ἀπουσίας. οὕτω πάντα μετ' ἀληθείας εἴρηται τῷ ποιητῇ. καὶ παραφρονοῦσι σαφῶς οἱ τὸν σοφώτατον Ὅμηρον κακῶς λέγειν ἐπιχειροῦντες.

ΚΟΙΝΟΣ ΤΟΠΟΣ ΚΑΤΑ ἀνδροφόνου.

ΟΤΙ μὲν καὶ τὴν γραφὴν ἡμεῖς ἐπὶ πᾶσι δικαίοις πεποιήμεθα, καὶ τοῖς λελεγμένοις[1] οὗτος ἔνοχός ἐστιν, οἶμαι πάντας ὑμᾶς ἀκριβῶς ἐξ ὧν εἴρηκα μεμαθηκέναι. δεῖ τοίνυν ὃ λοιπόν ἐστι τοῖς ἐλέγχοις προσθεῖναι. τοῦτο δέ ἐστι ψῆφος τῆς ὀργῆς τῶν ἀδικημάτων ἀξία. ἢ πλέον οὐδὲν τῶν ἡμετέρων λόγων, εἰ τὰ παρ' ὑμῶν ἐλλείποι. κατηγορία γὰρ προσήκουσα τὴν ἀγανάκτησιν προσλαβοῦσα τῶν δικαστῶν, ἰσχυρὰ γίνεται. ταύτης δ' ἀπούσης, φλυαρία φαίνεται. πολλῶν δὲ ὄντων εἰς ἃ δεῖ βλέποντας ὑμᾶς παροξυνθῆναι, τὴν ἀρχὴν ἀπὸ τῶν νόμων ποιήσασθαι βούλομαι τῶν φονικῶν, οἳ πάντων τῶν παρ' ὑμῖν εὐδοκιμούντων, πολὺ τῶν ἄλλων ἀκριβέστερον ἔχουσι. τί οὖν ἐκεῖνοι λέγουσι; πάντων τῶν κατὰ ἀνθρώπων τετολμημένων, τοῦτο εἶναι[2] δὴ τὸ δεινότατον. καὶ διὰ τοῦτο χερνίβων εἰργέσθω φησὶ, σπονδῶν, κρατήρων, ἀγορᾶς, ἱερῶν, ἢ κἂν ὑπὸ τὰς ψήφους ἔλθοι, θανάτῳ ζημιούσθω. κάλλιστον μὲν οὖν, καὶ τῶν μεγίστων[3] ἀγαθῶν, τὸ μυστηρίων μετέχειν.[4] ἀλλὰ καὶ τούτων τῶν μυστηρίων[5] ἀποκεκλείκασι, καὶ οὐδὲ τοῖς ἀκουσίοις φόνοις παντελῶς συγγνώμην εἴασαν εἶναι ἀλλὰ μισοῦσι μὲν μειζόνως τοὺς ἑκουσίους, τιμωρίαν δὲ κἀκεί-

1 ἐγκεκλημένοις m. M.
2 δοκεῖ m. M.
3 τῶν μεγίστων ἀγαθῶν] subaudi ἕν.
4 μετέχειν] scil. τινα.
5 recte post μυστηρίων addit margo M. τὸν ἀνδροφόνον.

κἀκείνοις εὑρήκασι, φυγὴν τάξαντες, δι' ὧν[6] ἐστιν ἀποστερεῖσθαι τῶν τῆς οἰκίας[7] καλῶν. οὕτω δὲ δεινὸν καὶ θεοῖς ἐχθρὸν ἡγήσαντο τὸν ἀνδροφόνον, ὥστε κἂν τὸν αὐτὸν ὄροφον ὑπέλθοι τις τῷ τοῦτο τετολμηκότι, κοινωνὸς τῆς ἀδικίας νενόμισται· καὶ τοῦ δεδρακότος οὐ πολὺ μειότερος,[8] ὁ τῷ δεδρακότι συγγενόμενος.[9] καὶ πρὸς εἰδότας ἂν λέγοιμι τὰ λοιπά, διόπερ παρήσω. τῷ γὰρ τούτοις ἐπεξιόντι μετὰ ἀκριβείας, οὐκ ἂν εἴη μνημονεῦσαι τῶν ἄλλων. τῆς δ' οὖν τοσαύτης προνοίας καὶ φύσεως,[10] ἄξιον ἀκοῦσαι τὴν αἰτίαν. ἡ πόλις οὐδέν ἐστιν ἕτερον πλὴν τὰ τῶν ἐνοικούντων σώματα. καὶ γὰρ ὁ περίβολος, καὶ τὰ τῆς κατασκευῆς[11] ἐδάφη, καὶ νῆες, καὶ ἵπποι, καὶ ὅπλα, καὶ βέλη, διὰ τούτους ἐστὶ χρήσιμα. πᾶν γὰρ ὅτι ἂν εἴποις ἄνευ τῶν χρησομένων, μάταιον. ἤδη τοίνυν[12] ἐπὶ σωζομένων μὲν τοῖς ὅπλοις ἔνι συνέχεσθαι. σκοπεῖτε γάρ, δεῖ πλεῖν, δεῖ πεζῇ παρατάττεσθαι, πρεσβεύειν, ἀποκρίνασθαι, ἐνδεικνῦναι τοὺς ὀφείλοντας, εἰσάγειν τοὺς ἀδικοῦντας, ψηφίσματα γράφειν, νόμους τιθέναι. πάντα δὲ ταῦτ' ἐστὶν ἀνθρώπων ἔργα. τὸ δὲ μέγιστον, πολυανθρωπία φοβερὰ μὲν τοῖς ἐναντίοις, τοὐναντίον δὲ λίαν εὐκαταφρόνητον. ἑώρων τοίνυν οἱ ταῦτα ἐξ ἀρχῆς τὰ νόμιμα διελόντες, ὡς εἰ μὴ πικρῶς κολάσωσι τοὺς παρ' ἀλλήλων φόνους, φθάσονται τοὺς πολεμίους οἱ πολῖται, σφᾶς αὐτοὺς ἀναλώσαντες. διόπερ τὸν ἐγκαλεῖν τι τῷ πλησίον

[6] f. *δι' ἣν ob quam.*

[7] *οἰκείας patriae.*

[8] f. *οὐ πολύ τι σεμνότερος* aut vt margo *οὐ πολύ τι τιμιώτερος.*

[9] *συγγενόμενος.*] ſic dedi. *συγγενησόμενος* M.

[10] *φύσεως*] num *ῥύσεως. cautelae, tutelae?*

[11] *τὰ τῆς κατασκευῆς* intelligo. Sunt ſupellex domeſtica. verum *τὰ τῆς κατασκευῆς ἐδάφη* non intelligo. num *ὁ περίβολος, τὰ ἐδάφη, τὰ τῆς κατασκευῆς, καὶ νῆες —?*

[12] *ἤδη τοίνυν*] non intelligo. Num *ἤδη τοίνυν ἔτι σωζομένων* (ſcil. *τῶν πολιτῶν*) *ἐν τοῖς ὅπλοις ἔνι συνέχεσθαι.* ciuibus adhuc ſaluis licet in armis congredi. tum deeſt aliquid. *ἀπολωλότων δὲ, οὐδείς ἐστιν ὁ ἀμυνόμενος.* c. c. peſſumdatis autem, nemo eſt qui hoſtes arceat, aut vlciſcatur.

σίον ἔχοντα, πρὸς τὸ δικαστήριον ὁρᾷν κελεύουσι, καὶ δείξαντα ὡς ἠδίκησεν, εἰσπράττεσθαι νομίμως τὴν δίκην, ἀλλ' οὐκ αὐτὸν ὡς βούλεται τιμωρίαν λαμβάνειν. εἰ γὰρ ὁ μὲν ἀγανακτήσας ὑπὲρ τοῦ τυχόντος ἀποκτενεῖ τὸν λυπήσαντα πάλιν δὲ οἱ τούτῳ προσήκοντες τὸν ἀνῃρηκότα, ἐκείνους δὲ ἕτεροι, τί πέρας ἔσται τῆς τοιαύτης ὁδοῦ; τούτοις μέντοι καλῶς οὕτω καὶ σφόδρα εὐσεβῶς κειμένοις ὑμεῖς μὲν καλῶς ποιοῦντες πείθεσθε· μόνος δὲ οὗτος ἐξ ἁπάντων ἠναντίωται. καὶ νομίσας ὡς ἀληθῶς εἶναι ὕθλον καὶ γράμματα κενά, τὴν αὐτοῦ δεξιὰν κυριωτέραν τοῦ θεσμοῦ πεποίηται. σχῆμα μὲν ἐπιεικὲς προβαλλόμενος,[13] γνώμῃ δὲ πονηρᾷ χρησάμενος, καὶ τοῖς φαινομένοις ἐναντίαν τὴν προαίρεσιν κεκτημένος. ἐν μέσῳ μὲν πρᾶος, ἐν δὲ ταῖς ἐρημίαις ἀπηνής. λόγῳ μὲν φιλάνθρωπος, ἔργῳ δὲ ὠμότατος. ἐπὶ μὲν τῆς ἀγορᾶς μέτριος, ἔξω δὲ τειχῶν θηριώδης. καταλαβὼν γὰρ τόπον ὑψηλόν τε καὶ ἀπόκρημνον, τοὺς μὲν πορευομένους[14] ὠθεῖ πόῤῥωθεν, τοὺς δὲ ἀνῃρημένους ἀφανίζει, τὴν νύκτα λαβὼν εἰς τὸ τόλμημα συνεργόν. ἡράκλεις. οἵων δραμάτων ἐπλήρωσε τὴν ὁδόν. ἐπείγετό[16] τις εἰς δῆμον ἐλθεῖν, καὶ ἀπώλλυτο· ἀνέστρεφεν εἰς ἄστυ, καὶ διεφθείρετο· μετήει δέ τις οἰκέτην ἀποδράντα, καὶ διεσφάττετο.[17] ῥᾴδιον δὲ τῷ παρεσκευασμένῳ τὸν ἀφύλακτον κτεῖναι. τῷ δὲ πεπτωκότι σωτηρίας οὐκ ἦν πόρος. ὁ δὲ τοὺς ἀνθρωπίνους λογισμοὺς ἐκβαλὼν ὤθει τὸ ξίφος ἀφειδῶς ἐγκαλεῖν μὲν οὐδὲν ἔχων, ὅπως δὲ τῶν χρημάτων ἀποστερήσας κερδάνῃ[18] τὸν ἔλεγχον. καὶ οὔτε τὴν νύκτα ᾐσχύνετο, ἣν ἐμίαινε τοῖς φόνοις, οὔτε τὸν ἥλιον προσβαλεῖν μέλλοντα τὴν ἀκτῖνα τοῖς σώμασιν, οὔτε τὴν γῆν αὐτὴν τὴν δεξαμένην τοὺς νεκρούς. ὦ τῆς ἀπονοίας! οὐκ εἰσῆλθέ σε τότε τῶν ἁπάντων οὐδέν; οὐ σχῆμα

[13] προβαλόμενος ἀθρεῖ m. M.
[14] f. ὠθεῖ κατὰ τῶν πετρῶν.
[16] ἠπείγετο, in imperfecto.
[17] aut lectio marginis ἀπεσφάττετο est optanda, aut leg. καὶ δὴ ἐσφάττετο.
[18] κερδαίνῃ m. M.

μα πολιτείας, ἧς ἐκοινώνεις τοῖς ἀνῃρημένοις; οὐκ ἐκκλησίαις,[19] ἣν μετ᾽ αὐτῶν ἐπλήρωσας; οὐ βουλῆς; οὐ δικαστηρίων; οὐχ ἱερῶν; οὐ σπονδῶν; οὐ μυστηρίων; οὐ τελετῶν; οὐκ ἔπαυσε τὴν ὁρμὴν ἄνθρωπος, τὴν αὐτὴν φωνὴν ἀφιείς; οὐκ ἔκλασεν ὁμοιότης σώματος; ἀλλ᾽ ἱκετεύοντας ἔπαιες, καὶ δεομένους ἀπέσφαττες, καὶ προκυλινδουμένους κατέκοπτες. οὗτος μὲν οὖν ἐν τοῖς ἑτέρων θανάτοις ἐτρύφα. περιῆν δὲ ἡμῖν ἀλγεῖν· ἀνεμνήσθητε γὰρ πρὸς τὴν ἀκοὴν,[20] οἷς ἐχρώμεθα δακρύοις. ἤγομεν ἑορτὴν, καὶ παραχρῆμά τις ἤγγελλε φόνον· καὶ τὸ τερπνὸν τῶν ὁρωμένων ὑπὸ τῆς φήμης διεφθείρετο. διελύομεν ἐκκλησίας, καὶ πάλιν ἕτερος φόνος, καὶ συνεχὴς οἰμωγὴ κατὰ τὴν πόλιν, παίδων ὀδυρομένων, γυναικῶν θρηνουσῶν, μετεχόντων τῆς λύπης τῶν οἰκείων, διαβαίνοντος ἐφ᾽ ἅπαν τὰ γένος τοῦ κακοῦ. δεινότατον δὲ τῆς συμφορᾶς, τὸ μηδὲ τῶν πιπτόντων τοὺς πολλοὺς[21] ὑπάρχειν ἀνελέσθαι. τοῦ γὰρ μέλλοντος ὁ φόβος, εἴσω πυλῶν καθεῖργεν ἅπαντας, καὶ πολλὰ πραχθῆναι δέον ἔλιπε, προδήλου τῆς τελευτῆς οὔσης, εἰ πρὸ τῶν τειχῶν τις φανείη. τούτων δὲ γιγνομένων, καὶ τῶν μὲν ἀπολλυμένων,[22] τοῦ δὲ τούτων αἰτίου λανθάνοντος, ἐπράττετο μὲν ὃ μόνον ἐστὶν[23] ἐν τοῖς τοιούτοις. ηὐχόμεθα τὸν τούτων αἴτιον ὑπὸ χεῖρα λαβεῖν. ὡς εἰ τοῦτο γένοιτο, προσληψόμενοι[24] τὸν δήμιον. τί οὖν, ἐπειδὴ τὰ παρὰ τῶν θεῶν ἠκολούθησε, καὶ πέφηνεν ὁ τέως ἀγνοούμενος, καὶ νῦν ἐφ᾽ ἡμῖν ὁ καθ᾽ ἡμῶν ἀνδρεῖος, καὶ νῦν ὑπὸ νόμοις ὁ καταγελῶν τῶν νόμων, οὐκ ἀγανακτήσετε; διότι καὶ τρὶς ἀποθανὼν, εἴπερ οἷός τε οὐκ ἀρκοῦσαν ἀποδώσει τὴν δίκην. τὸ δὲ πάντων δεινότατον, ὅτι

τοιαῦτα

19 f. οὐκ ἐκκλησίας μνήμη. nam vt σχῆμα tacite e praemiſſis repetatur, haud ſatis conuenit.

20 πρὸς τὴν ἀκοὴν] ad famam harum caedium. cohaeret cum ἐχρώμεθα, quas lacrymas profuderimus, his de caedibus inaudientes. m. M. dat τῶν δακρύων ἐκείνων οἷς ἐχρ. πρὸς τὴν ἀκοήν.

21 malim τοῖς πολλοῖς.

22 θρηνουμένων m. M.

23 f. ὃ μόνον λοιπόν ἐστιν.

24 f. παραληψόμενοι.

τοιαῦτα ποιῶν ἐπ' ἐρημίας, ἰὼν ἡμῖν ἀνεμίγνυτο. καὶ τῶν αὐτοῦ μιασμάτων ἀγνοοῦντας ἡμᾶς κοινωνοὺς ἐποιεῖτο. ἢ που καὶ ἔλαχε μεθ' ὑμῶν πολλάκις, καὶ περὶ φόνου ψῆφον ἐξήνεγκεν. ἢ πού καὶ ταῖς νουμηνίαις μεθ' ὑμῶν προσῆλθε τοῖς ἱεροῖς, καὶ ταῖς χερσὶν, αἷς ἔδρασε τὸν φόνον, συνεφήψατο τῶν ἱερῶν θυσιῶν. παροξύνθητε[25] τοίνυν ὑπὲρ ἀγορᾶς, ὑπὲρ θυσιῶν, ὑπὲρ βωμῶν, ὑπὲρ ἀνακτόρων, ὑπὲρ τοῦ τῆς πόλεως ἐδάφους. ἅπαντα[26] οὗτος ἔχρανεν ἐνδιατρίβων. λάβετε δὲ ἐν λογισμῷ πάνθ' ὅσα κατὰ ἀνθρώπους τολμᾶται, καὶ παράθετε τῷ κρινομένῳ νῦν ἕκαστον τῶν ἀδικημάτων. εὑρήσετε γὰρ τῶν πάνυ νομιζομένων εἶναι δεινῶν τοῦτο χαλεπώτατον. εἰ γάρ τις ὑμᾶς ἔροιτο, τί μάλιστα μισεῖτε; τὰς μοιχείας εἴποιτ' ἂν, καὶ τὰς ἱεροσυλίας, καὶ ὅσα περὶ τοὺς κειμένους ἁμαρτάνεται. πρὸς δὲ τὸ παρὸν νῦν ἐκεῖνα μικρὰ φαίνεται.[27] κάλλους τις ἡττηθεὶς, ἀδικεῖ μὲν, ἀλλ' ἔχει παραίτησιν· ἐβιάσθη γὰρ ὑπὸ τοῦ θεοῦ, καὶ πρὸς τὴν ἔρωτος δυναστείαν[28] ἀνταίρειν οὐκ εὔπορον. ἔπειτα τῇ γυναικὶ κατείληπται[29] διορθῶσαι τὸν τρόπον. πολλαὶ γὰρ ὑπαχθεῖσαι τὴν πρώτην, εἶτα πρὸς τὰ βελτίω μετέστησαν. ὅμως δ' ἐπ' ἐκείνων, ἀκόλαστος μὲν ἡ γνώμη· πρὸς δὲ τὸ θηριῶδες οὐκ ἐκβαίνει. τούτῳ δὲ τί καὶ γένοιτο ἂν εἰς συγχώρησιν; τίς δαίμων ἐπαναγκάσας, τίς εὐπρόσωπος αἰτία; καὶ γάρ τοι τοῖς μὲν εἰς ταὐτὸν ἐλθεῖν οὐ κωλύουσιν οἱ νόμοι, τὴν δὲ πρὸς τούτους κοινωνίαν ἐν ἀδικήμασι κρίνουσιν. ἔστι τοίνυν ὁ μὲν ὥρας σωμάτων ἥττων γεγενημένος, οὔπω δῆλον εἰ καὶ φόνον ἂν τολμήσειεν. ὁ δὲ φόνον τετολμηκὼς, οὐδ' ἐκεῖνο ἂν κατοκνήσειε. καὶ μὴν ὁ μὲν τῆς γυναικὸς ἀπο-

[25] παροξύνθητε] vno vocabulo. παροξύνθη τε M.

[26] malim ἃ πάντα duobus vocabulis. *quae omnia.*

[27] φαίνοιτο m. M.

[28] πρὸς τὴν ἔρωτος δυναστείαν] τὴν ἔρωτον M.

[29] f. καταλέλειπται mulieri ſtupro a moecho corruptae relinquitur vel reliquum manet hoc.

ἀποστερῶν τὸν συνοικοῦντα, τὸ γύναιον αὐτοῦ[30] τοῦ ζῆν οὐ προσαποστερεῖται. ὁ δὲ τὴν γυναῖκα τοῦ συνοικοῦντος ἀποστερήσας, κἀκείνην αὐτὴν ἀφείλατο τοῦ περιεῖναι. δεινὸν ὁ τυμβωρύχος· ἀλλ' οὐχ ὅσον ἀνδροφόνος. ὁ μὲν γὰρ τεθνεὼς παροινούμενος, ἔξω τῆς λύπης καθέστηκεν, ἐπεὶ καὶ τῆς αἰσθήσεως τῶν γιγνομένων ἔξω. τῷ δὲ δεχομένῳ τὴν πληγὴν, οὐκ ἔστιν ἀγνοεῖν ἃ πάσχει. ὅσῳ δὴ τοῖς πάσχουσι τοῦτ'[31] ἐκείνου μᾶλλον ἀνιαρὸν, τοσούτῳ μιαρώτερος ὁ τοῦτο δρῶν τοῦ τολμῶντος ἐκεῖνο. μᾶλλον δὲ καὶ τὰ τῶν τυμβωρύχων[32] ὁ κρινόμενος[33] ἐν αὐτῷ τῷ φόνῳ συνείληφεν. ἀποσφάττων γὰρ, προσαφαιρεῖται τὰ ὄντα, τοῦτο δὲ ἦν[34] ἀποστερῆσαι ταφῆς. εἰ δὲ τἀκριβὲς εἰπεῖν, ἀνοσιώτερος τῶν τυμβωρύχων, εἰς αὐτὴν τὴν τῶν κειμένων ὕβριν. οἱ μὲν γὰρ[35] οὐ κωλύουσι τῶν νομιζομένων τυχεῖν, ἀλλὰ τυχόντας τινὰς ἐκδύουσιν. οἱ δὲ, ** τοσοῦτον τυμβωρύχος ἀνδροφόνου πρᾳότερος. ἀλλὰ νὴ δία τὸ τῶν ἱεροσύλων ἁμάρτημα μεῖζον. τοῖς γὰρ τῶν θεῶν ἀναθήμασι προσάγουσι τὰς χεῖρας. ἄνθρωποι δὲ οὐ θεῶν κτῆμα πολὺ τιμιώτερον τῶν φιαλῶν; αὗται δὲ αἱ φιάλαι, τίνων ἀναθέντων ὑπάρχουσιν; ἢ ἐκ ἀνθρώπων; θυσίαι δὲ πόθεν, καὶ παιᾶνες, καὶ πρόσοδοι, βωμοὶ δὲ καὶ νεὼ καὶ τεμένη θεῶν, αὐτὰ δὲ τὰ ἀγάλματα, τίνων δημιουργήματα; μὴ τοίνυν ἐλάττων[36] κεκρίσθω πονηρὸς τῶν ἐκεῖνα σεσυληκότων, ὁ τούτους διαφθείρας, παρ' ὧν ἐκεῖνα γεγένηται. φρίττετε τυραννίδος καὶ τοὔνομα νοῦν ἔχοντες, ὡς ἡγοῦμαι. τί ποτ' οὖν τῶν ἐκείνης τοῦτον ὑμῖν ἐμποιεῖ τὸν φόβον. ἆρά γε δημεύσεις καὶ

[30] f. τὸ γύναιον αὐτὸ (in nominatiuo) τοῦ ζῆν ἀποστερεῖται. *Sola uxor occiditur.*

[31] τοῦτο] ſcil. τὸ φονεύεσθαι. ἐκείνου ſcil. τοῦ συλᾶσθαι ὑπὸ τοῦ τυμβωρύχου.

[32] καὶ τὰ τῶν τυμβωρύχων] ſcil. ἐγκλήματα.

[33] ὁ κρινόμενος] ſcil. νῦν ἐπὶ φόνῳ.

[34] f. τοῦ τυμβωρύχου δὲ ἦν (ſubaudi ἔργον) ἀποστερῆσαι ταφῆς. εἰ δὲ δεῖ τἀκριβὲς εἰπεῖν.

[35] οἱ μὲν γὰρ] effoſſores ſepulcrorum

[36] aut ἔλαττον adverbialiter eſt leg. *minus*, aut ἐλαττόνως.

καὶ φυγαὶ καὶ τὸ δεδέσθαι τινὰς, οὐ δικαίως, οὐ. ἀλλὰ τὸ κώνειον[37] τινὰς τῶν πολιτῶν ἀναρπάζειν. ἐνθυμεῖσθε γὰρ, ὅτι τοὺς μὲν πεφευγότας, ἔνεστι κατελθεῖν. καὶ τοὺς τὴν οὐσίαν ἀφαιρεθέντας, ἀπολαβεῖν αὖθις καὶ κομίσασθαι. θάνατον δὲ οὐκ ἔστιν ἰάσασθαι. ὃ τοίνυν τῶν ἐν τυραννίδι κεφάλαιον, τοῦθ᾽ οὗτος ἐν δημοκρατίᾳ τετέλεκε,[38] καὶ τὸ φοβερωτάτην[39] ἐκείνην ποιοῦν, ὑπὸ τοῦδε πέπρακται τῷ ξίφει τὰ κωνείου πληρώσαντος· ὅσπερ δὴ τρόπος τελευτῆς ἀλγεινότατος. εἶτα ἂν μὲν μοιχὸν κρίνοιτε, δεῖ χαλεπαίνειν, καὶ κατὰ τοῦ τυμβωρύχου τὴν ὀργὴν εἶναι μεγάλην. κἂν διασπάσησθε, μικρὰν οἴεσθε προσλαβεῖν[40] τὴν δίκην. νῦν δὲ κάθησθε τῶν ἡμετέρων δεόμενοι λόγων, παρ᾽ οἷς ὑβριστὴς μισεῖται; παρ᾽ οἷς κλέπτης κολάζεται; καὶ τί κωλύσει τὴν πόλιν οἰχήσεσθαι τῶν εἰς ἀλλήλους φόνων λαβόντων ἄδειαν; μᾶλλον δὲ, πῶς χαλεπανεῖτε τοῖς ταῦτα κακουργοῦσιν, ὅταν τοῖς αὐτοῖς πρᾴως ἔχητε; πρότερον μὲν οὖν ἡ τῶν ἀνθρώπων φύσις πολλοῖς καὶ μεγάλοις[41] θηρίοις διεστῶσα, μάλιστα τῷ μὴ κτείνειν ἀλλήλους ἐξεῖναι διέφερεν· οὗτος δὲ συγχεῖ καὶ συνταράττει τοὺς ἄνωθεν καθεστῶτας νόμους. τί λέγω συνταράττει; τῶν θηρίων αὐτῶν ἀγριώτερος πέφηνε. τῶν μὲν γὰρ τὰ πολλὰ φείδεσθαι τῶν ὁμοφύλων φασὶ, καὶ πρὸς τοὺς ἐπιόντας ἀλλήλοις ἀμύνειν. ὁ δὲ ἄνθρωπος ὢν, ἀνθρώπους ὥσπερ τι τῶν ἄλλων θηρίων μετακεχείρισται. νῦν μὲν οὖν εἴληπται τὸ δεινότατον εἰργασμένος. ἥκειν δέ μοι δοκεῖ πρὸς τοῦτο ἐκ τῶν ἐλαττόνων πεπορευμένος. πολλὰ κεκλοφὼς ἔλαθεν, οὐκ ὀλίγους τοίχους διώρυξεν, ἐπεβούλευσε γάμοις, βεβίασται, τὰ μὴ προσήκοντα ῥᾳδίως ἥρπασε. τῷ δὲ ἐφ᾽ ἑκάστῳ μὴ διδόναι δίκην, ἐπαιδεύθη

[37] f. κωνείῳ in datiuo. sed hoc, quod tyrannis nonnullos per cicutam de medio repente tollat.

[38] τετόλμηκε m. M.

[39] φοβερωτάτην] φοβερώτατον M.

[40] λαβεῖν m. M.

[41] πολλοῖς καὶ μεγάλοις] subaudi κάλλεσι vel πλεονεκτήμασι. tum leg. cum margine τῶν θηρίων.

δεύθη μὲν ἀποκνεῖν[42] μηδαμῶς. γέγονε δὲ ἡμῖν ἀνδροφόνος, ἐν τοῖς ἄλλοις οὐ κεκολασμένος. πόθεν οὕτω τεκμαιρόμενος λέγω; φύσει τῶν κακούργων ἕκαστος, ἀπὸ τῶν οὐ σφόδρα δεινῶν ἄρχεται τῆς πονηρίας.[43] κατὰ πεῖραν αὐτοῦ λαμβάνων ἐν τοῖς πρώτοις, χωρεῖ πρὸς τὰ δεύτερα. κἀκεῖθεν τὰ χαλεπώτατα μέτεισι, καὶ τελευτῶν ἐπ' αὐτὸ βαδίζει τῶν ἀτυχημάτων τὸ κεφάλαιον. ἐπεὶ καὶ τὴν καλοκαγαθίαν, καὶ τὴν τῶν τρόπων ἀρχὴν[44] οὕτως ἴσμεν τελουμένην. οὐδεὶς εὐθὺς ἐξ ἀρχῆς ἄκρος, ἀλλὰ κατὰ βραχὺ τοιοῦτος γίνεται. νῦν οὖν εἰσῆκται μὲν αὐτὸς ἐπὶ φόνῳ. πολλῶν δὲ ὀφείλει δίκην, ὃς οὐκ ἠθέλησεν εὐπορεῖν ἀφ' ὧν βέλτιον, οὐδὲ τὴν αὐτὴν ἦλθεν ὁδὸν τοῖς ἄλλοις ἡμῖν. διὰ τί γάρ, ὦ κακὴ κεφαλή, τὴν γεωργίαν ἀπεστράφης; διὰ τί τὴν κατὰ θάλατταν ἐμπορίαν πέφευγας; πόνου μὲν δεῖ πρὸς ἐκεῖνα τὰ κέρδη. κερδαίνειν δὲ ἐστιν ἄνευ μέμψεως. οὐδέτερον βούλει τούτων; ἐπ' ἀγορᾶς ἐργάζου, μεταχειρίζου τέχνην τούτου χρησιμωτέραν. ἀλλ' ἀνδρεῖος εἶ, καὶ γέμεις θυμοῦ, γενοῦ μισθοφόρος, ἐπ' ἀργυρίῳ παρατάττου; ἀλλ' οἶμαι τοῦτο μὲν ἱδρῶτος ἤδει προσδεές. ἐφ' ἃ δὲ νῦν τέτραπται, πλοῦτον ἔχειν ἀθρόον πραγματείας ἄμοιρον. ὑμεῖς οὖν τὸν σκοπήσαντα μόνον ὅπως λήψεται, τὸ δ' εἰ καλῶς ἢ μή, τοῦτο οὐδὲ ζητήσαντα, ἀφήσετε λαβόντες; διὰ τί; ὅτι νὴ Δία δακρύσει, καὶ δείξει τοὺς παῖδας, καὶ δεήσεται μὴ τούτους ὀρφανοὺς καταστῆσαι; τοῦτο γάρ ἐστι λοιπόν, ὃ τοῖς ἀτυχοῦσιν ὀφείλεται, οὐ τοῖς πεπονηρευμένοις δοθῆναι. πολὺ διενήνοχεν, ὦ δυσσεβέστατε πράττειν τὰ[45] παρὰ τὴν ἀξίαν κακῶς, ἢ δικαίως κολάζεσθαι. τὸ μὲν γάρ ἐστι δαίμονι δυσκόλῳ, τὸ δὲ προαιρέσει δεινῇ κεχρημένον. μὴ τοίνυν εἰς τοὺς δευτέρους τελῶν,

[42] ἀποκνεῖν] imo vero ἀποκτάνειν. nullo quidem modo fas est dici, eum a nobis eruditum fuisse ad caedes patrandum. m. M. dat μηδὲν ἀποκνεῖν. καὶ γέγονεν ἡμῖν.

[43] οὐδ' ἀπὸ τῆς πον. ἄρχεται m. M.

[44] ἀρχὴν] f. ἀρετήν.

[45] τὰ delendum videtur.

λῶν, τὸν ἄλλοις ἀποκείμενον ἔλεον ἐφάρπαζε.[46] πολλὰς ὑπερεῖδες ἱκετείας τῶν ὑπὸ σοῦ κατενεχθέντων. μὴ τοίνυν ὧν οὐ μετέδωκας, ταῦτα ἔχειν παρ' ἑτέρων ἀξίου. πολλὰς δεήσεις διέπτυσας τῶν δεχομένων τὰς πληγάς· μὴ τοίνυν ζήτει φιλανθρωπίαν, ἣν ἀνῄρηκας. δεινὰ πείσεσθαι τοὺς σοὺς παῖδας ἡγῇ, σοῦ τεθνηκότος; τοὺς δὲ ἐκείνων, οὓς ἀπέκτεινας οὐ δεινὰ πεπονθέναι; καί τοι τοὺς σοὺς μὲν παραμυθήσεται τὸ τῷ νόμῳ τὸν πατέρα τεθνηκέναι, τοῖς δὲ οὐδέν ἐστιν ὃ κουφίσει τὴν συμφοράν. ὅλως δὲ εἰ πλεῖον ἰσχύσει τοῦ προσήκοντος τὰ δάκρυα, κεκλείσθω τὰ δικαστήρια. τί γὰρ δεῖ τοὺς ἀδικοῦντας ἐλέγχειν; εἰ τοῖς ἁλοῦσιν ἀπὸ τῶν θρήνων σωτηρία; τοιοῦτον ἐβουλόμην εἶναι τοῦτον ἐπὶ τῆς ἐρημίας, ὁποῖος νῦν εἶναι πλάττεται. καὶ τὴν μέχρι τοῦ σχήματος ἐπιείκειαν ἐπὶ τῶν ἔργων δεικνύναι καὶ μὴ θρασὺν μὲν ἐν τῷ ὄρει, ἐν δὲ τῷ δίκην ὑπέχειν ταπεινὸν εἶναι.[47] γενέσθε δὴ τῷ λογισμῷ ἐπὶ τῶν φονικῶν, κατανοήσατε[48] τοῦτον μὲν ἐφεστηκότα μετὰ τοῦ ξίφους· τὸν δὲ εἰλημμένον ἀντιβολοῦντα, θεῶν ἀναμιμνήσκοντα, φύσεως, νόμων, δικαστηρίων. τοῦτον δὲ ταῦτα πάντα λῆρον ἡγούμενον, καὶ ἀποσφάττοντα καὶ διαφθείροντα, καὶ μὴ ἐπικαμπτόμενον πρὸς τὸν ὀδυρμόν.

ΚΟΙΝΟΣ ΤΟΠΟΣ
κατὰ προδότου.

ΤΟ τοῦτον ἐφ' ἡμῖν εἶναι τήμερον, ἀλλὰ μὴ τοὺς πολεμίους δεσπότας, παρὰ τὴν τῶν θεῶν εὔνοιαν ὑπῆρξε. δεῖ δὲ ὑμᾶς εἴπερ εὐφρονεῖτε, τοῖς μὲν ὧν ἐκώλυσαν εἰδέναι χάριν, τὸν δὲ ὧν ἐπεχείρησεν ἀπαιτῆσαι δίκην. ὡς ἔστι τῶν ἀτοπωτάτων, τὴν ἡμετέραν εὐτυχίαν τούτῳ γενέσθαι σωτηρίαν. οἱ μὲν οὖν εὖ πεποιηκότες τὴν πόλιν, ἔχουσι τὰς ἀμοιβάς, οἱ μὲν στεφάνους, οἱ δὲ εἰκόνας, οἱ δὲ ἕν τι τῶν εἰς τιμὴν τοῖς εὐεργέταις εὑρημένων. ἄξιον δὲ ὑμᾶς μὴ εἰς

46 f ὑφάρπαζε. 47 ὁρᾶσθαι m. M.
48 ἐννοήσατε m. M.

μόνον φαίνεσθαι θαυμάζοντας τὴν ἀρετὴν, ἀλλὰ καὶ μισοῦντας τὴν κακίαν· ὡς ἀμφοτέρωθέν ἐστι τὴν πόλιν σώζεσθαι, τῶν μὲν ταῖς τιμαῖς παρακαλουμένων εἰς τὰ βελτίω, τῶν δὲ ταῖς τιμωρίαις παιδευομένων μηδὲν ἀδικεῖν. τοῖς μὲν οὖν πολεμίοις ἡ τούτου κρίσις συμφορὰ, καὶ τὰς ἐλπίδας, ἃς εἶχον ἐν τούτῳ νῦν ἀπολωλεκότες στένουσιν. ὅς τις δὲ κρινόμενος τοὺς πολεμίους λυπεῖ, παρ' ἡμῖν οὗτος ἀπολωλεκέναι[49] δίκαιος. οὐ γάρ ἐστιν εὔλογον, ᾧ παρὰ τοῖς ἐχθροῖς ἔστιν εὐδοκιμεῖν, τοῦτον[50] καὶ παρ' ὑμῖν σωτηρίας τυγχάνειν. οἱ μὲν οὖν ἄλλοι πάντες ὑμεῖς τὰ δίκαια ποιεῖτε πρὸς τὴν πατρίδα, φέροντες αὐτῇ πάντα ἃ δυνατὸν ἑκάστῳ φέρειν. ὁ δεῖνα ἀπέδωκε[51] τριήρη, τάλαντον οὗτος, ἕτερος ἔθηκε νόμον συμφέροντα, ψήφισμα ἐκεῖνος ἔγραψε γενναῖον, οἱ μὲν ἐπρέσβευσαν γενναίως,[52] οἱ δὲ τὰ δίκαια εἰσηγήσαντο. καλὰ μὲν οὖν καὶ ταῦτα. πολὺ δὲ τούτων ἀμείνους ἐκεῖνοι, οἱ τῶν κινδύνων καλούντων τὰ ὅπλα θέμενοι, δυοῖν θάτερον ἀξιοῦσιν, ἢ νικᾷν, ἢ πεσεῖν, τὴν τῆς εὐνοίας ἐπίδειξιν ἐν τῷ σώματι παρεχόμενοι· ταῦτα ὑμεῖς ποιοῦντες ἀκολουθεῖτε τοῖς νόμοις, οἱ πολλὴν ποιησάμενοι πρόνοιαν καὶ περὶ τῶν μειζόνων καὶ περὶ τῶν ἐλαττόνων,[53] μάλιστα περὶ ταῦτα σπουδάζουσιν ἀφ' ὧν ἐστι φυλακὴ τῷ κοινῷ. καὶ τί δεῖν[54] λέγειν τοὺς γεγραμμένους νόμους, ὧν ἔστιν εἰπεῖν ἄνθρωπον νομοθέτην. ἡ φύσις αὐτὴ διαλέγεται[55] πᾶσι τὴν πατρίδα ποιεῖσθαι μετὰ τοὺς θεούς. καὶ τούτῳ τῷ νόμῳ καὶ τοὺς βαρβάρους ὁρῶμεν πειθομένους, οἳ τοῖς θηρίοις ἐοίκασι. καὶ τ' ἄλλα δεεστηκότες τῶν Ἑλλήνων μισοῦνται[56] δικαίως. πολλὰς γὰρ ὀφείλουσιν ἄνθρωποι χάριτας ταῖς πατρίσι, τοῦ φῦναι καὶ γενέσθαι, καὶ τοῦ τὸν ἥλιον ἐπιδεῖν. ἔτι πρὸς τούτοις τροφῆς, παίδων,[57] γάμων

49 f. ἀπολωλέναι.
50 ἐνθάδε m. M.
51 f. ἐπέδωκε.
52 δικαίως m. M.
53 ἡττόνων m. M.
54 τί δεῖ (in indicatiuo).
55 f. ἡ φύσις αὐτὴ, ἣ διαλέγεται, κελεύει πρώτην τὴν πατρίδα.
56 αἰδοῦνται m. M.
57 aut παίδων est delendum, (ob insequens παιδοποιΐας) aut leg. τροφῆς αὐτῶν τε καὶ παίδων.

μων, παιδοποιίας, κτήσεως χρημάτων, δόξης ἀγαθῆς, βίου, σχήματος ὅσε ἂν εἴποις ἐνταῦθα. παρ' ἧς[58] οὖν ἡμῖν ταῦτα, πῶς οὐχὶ καὶ τὰ παρ' ἡμῶν δίκαιον εἶναι; μηδεὶς γὰρ οἰέσθω πλείω τοῖς γονεῦσιν ὀφείλειν, ἢ τῇ πατρίδι αὐτε, ἢ καὶ τοὺς γονεῖς[59] ἤνεγκε. καὶ δι' αὐτῆς εἰσιν ἡμῖν πατέρες· ἀλλ' ἐ τούτων τῶν πολλῶν καὶ καλῶν νόμων οὗτος ἀκήκοεν· ἀλλὰ πάντα ἀνελὼν, καὶ τε μηδενὸς ἄξια τολμήσας[60] ὅσα διῆλθον, καὶ καταγνοὺς φλυαρίαν τούτου τε θεσμοῦ, καὶ νομίσας ματαίαν εἶναι σπουδὴν τὸ ταῦτα τηρεῖν, καὶ πᾶσαν γῆν αὐτὴν[61] ἡγησάμενος, μᾶλλον δὲ οὐ ταυτὴν,[62] ἀλλὰ τὴν μὲν ἐχθρὰν φίλην, τὴν δὲ δικαίως φίλην[63] ἐχθρὰν, ἀνέτρεψε καὶ συνέχεε τὰ πανταχοῦ πεπηγότα· τὴν εὔνοιαν ἐκείνοις νείμας, οὓς ἔδει μισεῖν· μισήσας δὲ τούτους, ὧν ἔδει κήδεσθαι. γενόμενος γὰρ ἡμῖν ὡς ἐκ ἔδει, καὶ τραφεὶς ἐπὶ τῷ τῆς οἰκείας κακῷ, καὶ εἰς ἄνδρας ἥκων, καὶ πιστευθεὶς, τὰς μὲν τῶν ἄλλων πολιτῶν γνώμας ἐκ ἐζήλωσεν, οὐδὲ τοῖς ἐπείγουσι τῶν καιρῶν παρέχεν ἑαυτὸν χρήσιμον, πλαττόμενος δὲ εὔνοιαν καὶ τοῖς ῥήμασιν τοῖς αὐτε, κηλῶν[64] καὶ παρακρουόμενος, καὶ διὰ τούτου γενόμενος ἀεί τινος κύριος, οἷον, ὦ γῆ καὶ ἥλιε καὶ ἱερὰ καὶ τάφοι, βούλευμα ἐβούλευσεν ἐφ' ἡμῖν; παρ' ἡμῖν ἦν, εἶδε δὲ ἑτέρωσε. μετὰ μὲν ἡμῶν συνέζη, τοῖς δὲ πολεμίοις ἔζη. μετὰ τῶν πολιτῶν ἔθυε, τοῖς δὲ πολεμίοις[65] συνηύχετο. βουλῆς ἐκοινώνει, καὶ μετεῖχεν ἐκκλησίας, καὶ ψηφίσματα ἔγραφεν· οὐχ ὅπως τί γένηται τῶν ἡμετέρων βέλτιον, ἀλλ' ὅπως ἐκείνων τὰ ἡμέτερα

58 f. ὅσα ἂν εἴποις. εἶτα, παρ' ἧς —

59 f. ἢ τῇ πατρίδι, ἢ αὐτόν τε καὶ τὰς γονεῖς —

60 τολμήσας] imo vero νομίσας, aut alias leg. τολμήσας ἡγεῖσθαι.

61 f. γῆν τὴν αὐτὴν omne solum eodem loco habens, existimans, perinde sibi conuenire.

62 f. ἐ τὴν αὐτὴν, ἀλλ' τὴν μὲν δικαίως (vel φύσει) ἐχθράν.

63 δυσμενῆ δὲ τὴν ἐκ τῶν δικαίων φίλην m. M.

64 φηλῶν m. M.

65 ἐναντίοις m. M.

τερα γένοιτο. καὶ παραχρῆμα ἡνίκα τί παρ' ἡμῖν καὶ παρ' ἐκείνοις ἔγνωσαι,[66] πάντα τούτῳ[67] φροντίζοντι καὶ πωλοῦντι. συνῆλθες λάθρα τοῖς πολεμίοις, ὦ μιαρὰ κεφαλή, ἐκοινολόγησας λάθρα τοῖς κοινοῖς ἐχθροῖς, ἐδέξω λόγον κατὰ τῆς πατρίδος, ἐδέξω χρυσίον κατὰ τῆς ἐνεγκούσης, πρατὴρ ὑπέμεινας γενέσθαι τῶν τιμιωτάτων, ὑπέσχες τὴν χεῖρα τῷ λήμματι, καὶ οὐκ ἔφριξας ἐνθυμηθεὶς ἐφ' ᾧ κερδανεῖς. ἀλλ' ἤγαγες εἰς τὴν πόλιν κατὰ τῆς πόλεως χρήματα, καὶ ᾤκεις ἣν ἐπώλεις. εἰπὲ τοῖς δικασταῖς τοὺς λόγους, οἳ πρὸς ἀλλήλους ὑμῖν ἐγένοντο· στῆθι μεθ' ἡμῶν, ἀφεὶς τοὺς πολίτας. στήσομαι. δέχου μισθὸν κατὰ τῆς πατρίδος. δέξομαι. μηδὲν ἡμᾶς τῶν ἐκεῖ λανθανέτω. πάντα εἴσεσθε. τούτοις ἴσως προστιθεὶς τὸ μηδὲν αὐτοῖς δεήσῃ[68] πόνων καὶ πραγματείας, πρὸς τὸ καὶ τὴν πόλιν ἑλεῖν· ὡς τῆς προδοσίας μεῖζον ἰσχυούσης τῶν ὅπλων. βλέψατε δὴ πρὸς τὴν πόλιν ἅπασαν· ἐννοήσατε τὸ μέγεθος, τὸ κάλλος νεὼς,[69] ἀγορὰς, τὸν κοινὸν πλοῦτον, τὰ ὄντα ἑκάστοις, ὁπλίτας, ἱππέας, παῖδας, γυναῖκας, ἀφθονίαν, εὐσχημονίαν. ταῦτα πάντα οὗτος, ὥσπερ τι τῶν ἐξ ἀγορᾶς ἀπέδοτο. καὶ τὴν ἀναίρεσιν τῆς πόλεως πρόσοδον ἐποιήσατο καὶ πεπλουτηκὼς ἐκ τοσαύτης ἀσεβείας, εἰς ὑμᾶς βλέπει τοὺς πεπραμένους. καὶ ὑμεῖς μέλλετε, καὶ λόγον ἀκούετε, τί τῶν δεινῶν καὶ καθ' ὧν εἰσι τιμωρίαι τῷ παρόντι παραπλήσιον ὁρῶντες; ποίαν εἰς θεοὺς ὕβριν, ποίαν εἰς οἰχομένους; ὁ μοιχὸς ἔρωτι πληγεὶς, ἔβλαψε μίαν οἰκίαν. δεινὸν μὲν, ἀλλ' ἐν ἑνὶ[70] τὸ κακὸν ἵσταται. ὁ τὸν ἐχθρὸν ἀποσφάξας, οὐ πάντας ἐφεξῆς τὸ αὐτὸ δρᾷ. τῶν ἀναθημάτων ἥψατό τις· ἀλλ' οὐ τὰ ἀγάλματα προσ-

[66] f. ἡνίκα τι παρ' ἡμῖν γνωσθῇ decretum fuerit. καὶ παρ' ἐκείνοις ἔγνωσαι etiam apud illos notum et diuulgatum est.

[67] τούτῳ] non video, vnde pendeat hic datiuus. videntur quaedam deesse.

[68] recte margo δεήσειν in infinitiuo futuri.

[69] νεῶν (in genitiuo plur.) fanorum.

[70] ἀλλ' ἐν ἑνὶ] sic dedi, ἐν omittit M.

προσαφήρηται. περὶ νεκρούς τις ἐπλημμέλησε, καὶ τάφον ἐκίνησεν, ἀλλ' ὅσον[71] ἀπέχετο πλείονα ἢ θεοῖς[72] προσῆλθε. καὶ μὴν ἐκείνων ἕκαστος τοῦ μὲν ἀπέχετο, τοῦ δὲ οὐ καθαρεύει. ὁ μοιχὸς οὐ πάντως ἀνδροφόνος. ὁ μὴ τὴν χεῖρα καθαρὸς, οὐκ ἤδη καὶ ἐμοίχευσεν. ἐκ τῶν ἱερῶν ὁ πλουτῶν, οὐκ ἤδη τυμβωρύχος. ὅτῳ γέγονεν ἀπὸ τῶν τάφων εὐπορεῖν, ἀπέχετο τῶν ἱερῶν. προδότην δὲ ὅταν εἴπω, πάντα τὰ ἀδικήματα λέγω. ἃ γὰρ ἐκεῖνοι διήρηνται, ταῦτα οὗτος μόνος συνείληφεν. ἴστε γὰρ δήπου τοῦθ' ὅτι πόλεως ἁλούσης, γυναῖκες ὑβρίζονται, ἄνδρες ἀποσφάττονται, τάφοι παροινοῦνται, ἱερὰ οὐ συλεῖται[73] μόνον, ἀλλὰ καὶ κατασκάπτεται. τῷ τε οὖν πάντας ἀδικεῖν ἐκείνους ὑπερβέβληκε, καὶ τῷ καθέκαστον πλείω. παρὰ μὲν γὰρ ἐκείνων εἰς μέρος ἡ βλάβη. τῇ δὲ ἐκ τῆς προδοσίας ἀδικίᾳ, τὸ κοινὸν ζημιοῦται. μὴ γὰρ ἐκεῖνο σκοπῶμεν, ὡς οἱ πολέμιοι τοῦτ' οὐκ ἔδρων,[74] ἀλλ' ὡς ἐκείνοις ταῦτα ἐξεῖναι ὑπῆρξε, παρὰ τούτου.[75] δεῖ δὲ τὰ ἀδικήματα νομίζειν οὐ τῶν ταῖς χερσὶν ἐργαζομένων μᾶλλον, ἢ τῶν τὸ δυνηθῆναι δεδωκότων. ὁ δὲ νῦν ἐκείνοις τὰ ἡμέτερα διδοὺς, οὗτος ἂν ἦν ὁ πάντα[76] ποιῶν. ἕνα ὑπ' ἐκείνων πάσχειν ἔδει. εἰ δέ τις ὑμᾶς ἔροιτο, τί δεινὸν[77] νομίζετε; πάντες εὖ οἶδ' ὅτι φήσετε,[78] τὸ συγχυθῆναι τοὺς νόμους, τὸ γενέσθαι τύραννον. ἔστι δὲ τοσούτῳ χαλεπώτερον προδοσία τυραννίδος, ὅσῳ τῇ μὲν τὸ τέλος μηκέτι εἶναι τὴν πόλιν. ἡ δὲ τὰ ἄλλα κινοῦσα, τῆς πόλεως κήδεται. δῆλον γάρ ἐστι τῷ γε βουλομένῳ τυραννεῖν, ὅτι δεῖ σώζεσθαι τὴν πόλιν, εἴ γε κἀκείνῳ

δεῖ

71 ἀλλ' ὅσον] locus mendoſus et perceptu inuius.

72 ἴσ. κείνων vel πλειόνων ἃ θ. m. M.

73 f. συλᾶται.

74 ἂν ἔδρ. m. M.

75 τοῦδε m. M.

76 ὁ πάντας (in accuſ. plur. generis maſcul.) ποιῶν ἃ ἕνα qui ciuibus omnibus eas ignominias eosque cruciatus iniungebat, quos illum vnum ſolum ex omni populo tolerare par erat.

77 f. τί μάλιστα δεινόν.

78 malim φήσαιτε.

δεῖ τὴν ἐξουσίαν σεσῶσθαι. τῷ προδότῃ δὲ ὁ διδοὺς, ἐπ' αὐτῷ τῷ τῆς πόλεως ἐδάφει δίδωσι. τί μάλιστα πόλιν ἄρδην ἀπόλλυσι; πολέμιοι κεκρατηκότες, οἶδ' ὅτι φήσετ'[79] ἄν. ἀλλ' ὁτοσὶ καὶ τῶν ταῦτα ποιούντων πολεμίων, μᾶλλον ἄξιος μισεῖσθαι. διὰ τί; ὅτι τοῖς μὲν νόμῳ πολεμούντων[80] ταῦτα πράττεται· καὶ τὸ ἔργον ἀκολουθεῖ προσηγορίᾳ. πολέμιοι γὰρ τὰ πολεμίων ἐργάζονται. ὁ δὲ τὴν αὐτοῦ συναναιρῶν ἐκείνοις, ἐν τῷ διαφθείρειν, ἣν σώζειν ἔδει, τῶν πολεμίων πικρότερος. ἔτι* τοίνυν τούτους μὲν ἔδει φυλάξασθαι, κηρύττουσι γὰρ τὴν ἔχθραν. ὁ δὲ σὺν τούτοις, οὐκ ἀπόλλυσι, λανθάνων κακῶς ποιεῖ. εἰ δὲ τοὺς πολεμίους ἥδιστα ἂν ἀποκτείνομεν,[81] πῶς οὐχὶ μικρὰ τούτῳ ζημία θάνατος; ὥστε ἐκεῖνο[82] νικᾷ. ἐγὼ πολλάκις τινὰς εἶδον φεύγοντας κλοπῆς, καὶ ὑμᾶς ὀργιζομένους, εἰκότως. δεῖ γὰρ πρὸς μηδὲν ἀδίκημα πρᾴους εἶναι. εἶτα τοὺς ἐπὶ πέντε δραχμαῖς[83] ἁλόντας κολάζετε, προδότην δὲ ἐν χερσὶν ἔχοντες οὐ διασπάσεσθε; ὃς νῦν μὲν ἐπὶ προδοσίᾳ κρίνεται, πάντα δὲ ἐκεῖνα διεξελήλυθε, κλοπὰς, μοιχείας, ἱεροσυλίας, ἐν οἷς μοι δοκεῖ παιδευθεὶς μηδὲν φοβεῖσθαι, καὶ τελευτῶν εἰς τοῦθ' ἥκεν. οἱ γὰρ τὰ μέγιστα ἀδικοῦντες, οἷα νῦν οὗτος, δῆλον ποιοῦσιν, ὡς ἀπ' ἐλαττόνων ἐνταῦθα προὔβησαν· τῷ μὲν λαθεῖν, οὐ δόντες δίκην· τῷ δὲ μὴ δοῦναι, μειζόνων ἐπιθυμήσαντες. ἦν σοι πλουτεῖν, ὦ μιαρὸν θηρίον, καὶ μὴ κρίνεσθαι. ὁρᾷς τὴν γῆν; γεώργησον. ὁρᾷς τὴν θάλατταν; πλεῦσον. ἀλλὰ φεύγεις ἐκεῖνα, καὶ ζῆν ἐπιθυμεῖς ἐν ἄστει; εἰσὶν ἐργασίαι κἀνταῦθα πολλαὶ, δι' ὧν ἕκαστος τῶν μετρίων πολιτῶν, αὐτός τε εὐπορεῖ, καὶ τῇ πόλει λειτουργεῖ. ἀλλ' οἶμαι μόνον οἶδας, ὃ λήψει. τοῦτο δὲ οὐκ οἶδας. ὡς οὐχ ὅθεν ἄξιον

[79] φήσαιτε malim.

[80] πολεμούντων non improbo, praeferam tamen πολέμου.

* ἔνι in. M.

[81] malim ἀποκτείναιμεν.

[82] f. ὅσγε ἐκείνους (hostes puta) νικᾷ odio nimirum et infestis animis.

[83] δραχμαῖς] sic dedi. δραχμὰς M.

ἄξιον. ἀλλὰ τὸ μὲν κέρδος ἐθαύμασας, τοῦ δὲ κέρδους τὴν ἀφορμὴν[84] οὐκ ἐζήτησας. εἶτα τὸ τῶν οὐδὲν ἐχόντων δίκαιον ποιήσει. δακρύσεται, καὶ περὶ τοῦ δεῖν ἐλεεῖν πολλὰ διαλέξεται. ἐγὼ δὲ τί φημι; εἰ μὲν ἀτυχεῖς ἄνθρωπε, σώζου· δίκαιον γάρ. εἰ δὲ πεπονήρευσαι, μὴ τὰ μὲν τῶν ἀδικούντων ἐπιτέλει, τὰ δὲ τῶν ἠτυχηκότων ἐπιζήτει. δημοκρατία γὰρ τὸ μὲν τηρεῖ τοῖς ἐπταικόσι, τῷ δὲ χρῆται πρὸς τοὺς ἐργαζομένους οἷα σύ. σὲ δὲ εἰ σώσουσι, παρὰ του δίκαιον ἄρτι λήψονται;[85] τοῦ τὰ ἐλάττω κακουργοῦντος; καὶ πῶς; ἀλλὰ τοῦ τὰ αὐτὰ σοὶ τολμῶντος; καὶ πῶς ἔνι προδότην νῦν μὲν ἐλεεῖν, νῦν δὲ μισεῖν; οὐκοῦν ἀνάγκη μάτην συγγεγράφθαι τοὺς νόμους, μάτην ἑστάναι τὰ δικαστήρια. τοῦ κολάζειν γὰρ οὓς ἄξιον οὐκ ὄντος ἐν τῇ πόλει, τί δεῖ τούτων; οὐ μόνον οὗτος κρίνεται σήμερον, ἀλλὰ καὶ νομοθετεῖται[86] τῇ ψήφῳ, πότερον δεῖ πάντας τὰ τούτου ζηλοῦν, ἢ δικαίους εἶναι περὶ τὴν πόλιν. ἂν μὲν γὰρ οὗτος ἀφεθῇ, προδόται πάντες. ἂν δὲ δῷ δίκην, οὐδεὶς ἐλέου μεμνήσεται, πόλιν ὅλην οὐκ ἐλεήσας. ἐλεεῖσθαι ἀξιοῖς[87] παρὰ τούτων, οἳ τὸ σὸν μέρος οὐκ εἰσί; πολλὰ ἂν ἐδάκρυσαν αἱ ἡμέτεραι γυναῖκες, πολλὰ ἂν οἱ παῖδες, οὓς οὗτος οὐκ ἠλέησε. μεταστήσατέ μοι τὸν λογισμὸν ἀπὸ τῶν τούτου δακρύων, ἐπ᾽ ἐκείνην τύχην, ἣ κατεῖχεν ἂν τὴν πόλιν. ὁρᾶν οἴεσθε στρατιὰν προσβάλλουσαν, μηχανήματα προσιόντα, τείχη κατασκαπτόμενα, τάφους ἀναῤῥηγνυμένους, χρήματα διαρπαζόμενα, γυναῖκας ἑλκομένας, παῖδας ἀγομένους, ἱερὰ συλώμενα, πάντα ἀπολλύμενα σιδήρῳ καὶ πυρί. γέγονε μὲν γὰρ τούτων οὐδὲν, οὐδὲ γένοιτο. νοῦν δ᾽ ἐχόντων ἂν εἴη τὸ μὲν εἰδέναι τοῖς βεβοη-

84 τοῦ δὲ κέρδους τὴν ἀφορμήν. scil. τὴν ὁσίαν καὶ δικαίαν. m. M. dat τὴν δὲ τοῦ κέρδ. ἀφ.

85 f. παρὰ τοῦ δίκην ἄρα λήψονται; a quonam tandem poenas repetent?

86 σήμερον, ἀλλὰ καὶ νομοθετεῖτε fertis, statuitis. alloquitur iudices.

87 ἀξιοῖς] ἀξιοῖ M.

βεβοηθηκόσι θεοῖς τὴν χάριν, ἐπὶ δὲ τοῦτον νῦν ἔχειν ὀργὴν, ἣν εἴχετ' ἂν ἁλισκόμενοι.

ΚΟΙΝΟΣ ΤΟΠΟΣ

κατὰ ἰατροῦ φαρμακέως.

Ἔχετε, ὦ ἄνδρες, τὸν τῷ καλλίστῳ χρήματι κακῶς κεχρημένον· καὶ προσειπόντα μὲν ἑαυτὸν ἰατρὸν, ἀπεκτονότα δὲ φαρμάκῳ πλείους τῶν αὐτὸ τοῦτο[1] πεποιημένων βίον. ὃν οὖν εἰ προείδεσθε, καὶ πάντα[2] ἂν πρὸ τῶν ἔργων κατελύσατε,[3] τοῦτον ἐπὶ τοῖς ἀπολωλόσιν οὐ διασπάσησθε; δίκαιον γὰρ ἃ μὴ γενέσθαι βούλοισθ' ἂν, τούτων τετολμημένων τιμωρίαν ἀπαιτεῖν. οἱ μὲν οὖν οἰκεῖοι τῶν τεθνεώτων περιεστᾶσιν, ὡς ὁρᾶτε, δεικνύντες ἃ πεπόνθασι, καὶ διὰ τῆς ἐσθῆτος, καὶ διὰ τῶν ἄλλων ἁπάντων. ἡμῖν δὲ, εἰ μὲν ἀναστῆσαι τοὺς τεθνεῶτας ἐνῆν, πάντως ἐν[4] αὐτοῖς ταύτην ἐβοηθεῖτε τὴν βοήθειαν. ἐπεὶ δὲ τοῦτο τῶν ἀδυνάτων, δότε τὴν δυνατὴν παραμυθίαν αὐτοῖς· μὴ μόνον τοῦτον ἀποκτείναντες, ἀλλὰ καὶ δῆλον ποιήσαντες, ὡς ἀγανακτεῖτε. τῷ μὴ δύνασθαι μείζω θανάτου τιμωρίαν εὑρεῖν. μάλιστα μὲν, εἰ καὶ τοῦθ' ἐν ἐκερδαίνομεν μόνον διὰ τῆς τιμωρίας τὸ τὰ τούτου φάρμακα διαφυγεῖν, οὐκ ἂν ἐνῆν, οὐδὲ οὕτω[5] μικρὸν, ἀπηλλάχθαι τοῦ τοιούτου τὴν πόλιν ἰατροῦ, καὶ τοῖς ἀπολωλόσιν ἐξημιῶσθαι μόνοις· ἐπεὶ δὲ καὶ τοὺς ἄλλους ἅπαντας ἰατροὺς βελτίους ποιήσομεν, τῇ δίκῃ δείξαντες ὡς ἕνα δεῖ χρηματισμὸν αὐτοὺς εἰδέναι τὸν ἀπὸ τῶν σώζειν δυναμένων φαρμάκων, ἀμφοτέρων ἕνεκα κολαστέος. ὅπως μήτ' αὐτὸς εἴη,[6] μήτ' ἄλλος τοῦτο μηδεὶς ζηλώσῃ· τοὺς μὲν

[1] αὐτὸ τοῦτο] scil. τὸ ἀποκτείνειν φαρμάκοις.

[2] f. καὶ πάντες. vniuersi. vbi καὶ redundat. ἴσ. πάντως m. M.

[3] f. κατελεύσατε saxis obruturi fuissetis, antequam illa patraret, quae patrauit.

[4] ἐν] leg. ἄν.

[5] οὐκ ἂν ἦν οὐδ' οὕτω.

[6] f. μήτ' αὐτὸς κακὸς εἴη.

μὲν οὖν θεοὺς οὐκ ἂν ᾐτιάσατό τις ὡς ἠμεληκότας ἡμῶν καὶ τῇ τῶν νοσημάτων ἰσχύϊ εἰσδεδωκότας τὰ τῶν ἀνθρώπων σώματα. ἀλλ' ἐπαινοῖμεν αὐτοὺς ὧν ἔδοσαν· ἔδοσαν μυστήρια,[7] λόγους, σοφίαν, ταλασίαν, γεωργίαν, ναυτιλίαν· ἄλλας τέχνας μυρίας. μεγίστῳ δὲ ἡμᾶς ἐδωρήσαντο τῇ τῆς ἰατρικῆς τέχνης δόσει· καὶ ποιεῖται παῖδα ὁ Ἀπόλλων Ἀσκληπιὸν, δι' οὗ τὴν τέχνην ἐστελώσατο·[8] καὶ ὁ μὲν διὰ τοῦτο γίνεται θεός· οἱ δὲ ἐξ ἐκείνου φιλάνθρωποί τε ὄντες, καὶ τοῦ πατρὸς ἄξιοι, γῆν καὶ θάλασσαν ἐνέπλησαν τῆς ἐπικουρίας, ἣ τοὺς κάμνοντας ἐξαιρεῖται θανάτων. εἰ δὲ οὐκ ἦν ἰατρικὴ, καὶ τοῖς νοσοῦσιν ἐπήμυνε, κομιδῇ τινες ἂν ὀλίγοι πρὸς γῆρας ἀφικνοῦντο· κατὰ πολλὰ τοῦ κωλύοντος τῶν ἀῤῥωστημάτων κρατοῦντος. τοῖς μὲν οὖν θεοῖς ἐμέλησε τοῦ γένους. ἐμέλησε γὰρ οἶμαι καὶ τοῖς βελτίστοις τοῖς περὶ τὴν τέχνην, τοῦ μήτε τῶν δέντων, μήτε τοῦ πράγματος ἀναξίους φανῆναι. τί οὖν τὸ πρᾶγμα[9] πρὸς αὐτοὺς λέγει; τῶν ἰατρευόντων εἷς, καὶ αὐτὸς ἐπιθυμήσας γενέσθαι, καὶ διδασκάλων τυχὼν, μέτασχε ἱκανῶς τῆς τέχνης· χρηστότητα ἄσκει· φιλανθρωπίαν μελέτα· καλούμενος τρέχε εἰσελθὼν ὅλῃ τῇ διανοίᾳ τὸν ἀσθενοῦντα σκόπει· συναλγεῖ τοῖς ἀνιωμένοις, σύγχαιρε τοῖς ῥαΐσασι· κοινωνὸν ἡγοῦ σαυτὸν τῶν νοσημάτων εἶναι· κίνει πάντα ὅσα ἐπίστασαι πρὸς τὸν ἀγῶνα τοῦτον· τῶν μὲν ἡλικιωτῶν νόμιζε σαυτὸν ἀδελφόν· τῶν δὲ πρεσβυτέρων παῖδα· τῶν νεωτέρων πατέρα· κἂν ἐκείνων τις περὶ αὐτοῦ[10] ῥαθυμῇ· σοίγε τοῦτο

[7] f. ἔδοσαν δὲ μυστήρια.

[8] f. ἐστεφώσατο. m. M. dat ἴσ. ἐτελεώσατο.

[9] f. sic est distinguendum: τί οὖν τὸ πρᾶγμα; quid ergo est id, quo veritas (h. e. natura medici et medicinae) cernitur? πρὸς αὐτοὺς λέγει τῶν — dicit hoc ad eos (h. e. exponit hoc illis, (medicis puta) vir, qui et ipse haberi in numero exercentium artem medicam voluit. Hippocrates is est. aut sic: τί οὖν τὸ πρᾶγμα (ars medica) πρὸς αὐτοὺς λέγει; respondet λέγει τῶν ἰατρ. conf. paullo post sequentia.

[10] malim περὶ αὐτόν.

τοῦτο μὴ νόμιζε ἐξεῖναι ὅλως·[11] ἢ τοῦτο δεῖν εἶναί σε τοῖς νοσοῦσιν, ὅπερ οἱ Διόσκουροι τοῖς πλέουσι. ταῦτα χρὴ νομίζειν ἀκούειν τὸν ἰατρὸν παρὰ τῆς τέχνης· ταῦτα, ὦ ἄνδρες, παρὰ τῶν ἄλλων ἰατρῶν ἡμῖν πεφύλακται, οἱ πρὸ τῶν χρημάτων,[12] τὴν ἀπὸ τοῦ νενικηκέναι[13] δόξαν διώκουσιν. οἶδα ἔγωγε πολλοὺς ἰατροὺς ἀντὶ τοῦ λαβεῖν, εἰς σώματα πενήτων αὐτοὺς ἀνηλωκότας. εἰκότως· καὶ γὰρ αὐτοῖς ἡ τέχνη, τὴν παρὰ τῶν πόλεων αἰδῶ προξενεῖ· καὶ προσορῶσιν αὐτῶν τοὺς ἄκρους, ὥσπερ θεοὺς, ἐν αὐτοῖς ἔχειν μετὰ τοὺς θεοὺς ἐλπίζοντες, τὴν τῆς σωτηρίας ἐλπίδα· τοὺς μὲν οὖν ἄλλους ἐπαινοῦμεν, τῷ ἀρχηγέτῃ θεῷ καλῶς ἑπομένους· καὶ τοῖς ὅρκοις οὓς ὤμοσαν ἀπτόμενοι τῆς τέχνης ἐμμένοντες· μόνος δὲ οὗτος ὁ κακουργότατος, ὁ μιαρώτατος· ὁ πᾶσι μὲν ἀνθρώποις πᾶσι δὲ θεοῖς ἐχθρός· τὰ δεινότατα τοῖς καλλίστοις ἐνέμιξε· τοῖς σώζουσι τὰ ἀπολλύντα· τοῖς βοηθοῦσι τὰ πολεμοῦντα· τοῖς ῥυομένοις τὰ φθείροντα· καὶ ἡ μὲν ὑπόσχεσις καλὴ, τελευτῆς ἐξαρπάσειν· τὸ δὲ ἔργον, τελευτὴ πρὸ μοίρας· καὶ θάνατος ἐκ φαρμάκων. παραδοὺς γὰρ αὐτὸν διδασκάλοις ἀγαθοῖς, καὶ μαθὼν τάτε ἀπαλλάττοντα νόσου, καὶ τἀναντία τούτων. οὐχ' ἵνα ἀμφοτέροις χρήσηται· ἀλλ' εἰδὼς τὴν βλάβην φυλάξεται[14] καὶ τὸ μὲν προσενέγκῃ· τὸ δὲ φύγῃ· τρεῖς ἢ τέτταρας ἀναστήσας, ἵνα εὐδοκιμήσας πιστευθείη· ἐπειδὴ λαμπρὸς ἦν καὶ δόξαν ἐκέκτητο· καὶ παρὰ τῶν πλουτούντων, καὶ μεγάλα δυναμένων, ἐκαλεῖτο, εἰσήρχετο μὲν ὡς λύσων τὸ κακόν. ἕτερον δὲ πρᾶγμα τιθεὶς ἐξήρχετο. ὦ τῶν λόγων οἷς ἤκουέ τε καὶ ἔλεγε πρὸς τοὺς τῶν καμνόντων ἐχθρούς· οὗτος ὁ νοσῶν, ἰατρὲ, πολλά με λελύπηκε, καὶ οὐδὲ ἀφέξεται μέχρις ἂν ἐμπνέῃ· χαρίσαι

[11] f. ἐξεῖναι, ὅλως δὲ (scil. νόμιζε) vniuerse autem h. e. quouis loco atque tempore existima, te oportere aegrotantibus idem esse, quod —

[12] χρημάτων m. M.

[13] f. ἀπὸ τοῦ τὰς νόσους νενικηκέναι.

[14] f. ἀλλ' ἵν' εἰδὼς τ. βλ. φυλάξηται in coniunctiuo.

ρισαι δή μοι τὴν πρὸς τὸ μέλλον ἀσφάλειαν· τοιαῦτα ἀκούων ἐπένευσεν ὁ χρηστὸς ἰατρός· καὶ πόσον δὲ τὸν μισθὸν καταβαλεῖς; ἠρώτα· καὶ ὡς οἶσθα δὲ τόλμημα ὡς δεινόν,[15] καὶ οἷον οὐκ ἄλλο, καὶ ὅτι δεῖ τὸ κέρδος ἐξισοῦσθαι τῷ πονηρεύματι· καὶ τὰ τοιαῦτα λέγων, καὶ ἐπὶ τούτοις λαμβάνων, οὐκ ἠπάτα τὸν δεδωκότα· ἀλλ' ἐξ ὧν τοὺς κάμνοντας ἠδίκει, δίκαιος ἦν πρὸς τοὺς μεμισθωμένους. ἀπὸ τοιούτων τοίνυν τῶν συνθηκῶν εἰσιὼν, αἴρων τοῦ νοσήματος τῷ λόγῳ τὴν ἰσχὺν, φαρμακοποσίαν[16] ἔφασκε δεῖν, καὶ ταύτην ἔχειν μόνην εἰς σωτηρίαν ῥοπὴν, καὶ μὴ δεῖν ὀκνεῖν. ἐπείθοντο οἱ πάντες τούτῳ πειθόμενοι· πῶς δὲ οὐκ ἔμελλον ἰατρῷ πείθεσθαι; τίς δ' ἂν ὑποπτεύσειεν ἰατροῦ κύλικα· καὶ οἱ μὲν ἔπινον οἱ δυστυχεῖς χαίροντες· ὁ δὲ πιὼν τὰ ἔνδον κατησθίετο· καὶ ἡράκλεις, καὶ τί πέπωκα, καὶ κάλει τὸν ἰατρόν. ὁ δὲ εἰσήρχετο μειδιῶν· ὡς δὴ ταύτην ἔχοντος τοῦ φαρμάκου τὴν φύσιν, τὰ πρῶτα λυπεῖν· ἔπειθ' ὕστερον τὴν ὠφέλειαν δεικνύναι. ἐμειδία δὲ ἄρα, ὡς τῆς ἐπιβουλῆς αὐτῷ πρὸς ἔργον χωρούσης. τοιαῦτα εἰσῆγεν οὗτος εἰς τὴν οἰκίαν τῶν ἀθλίων φάρμακα· ἐπὶ μὲν οὖν τῶν ἄλλων τῶν ταύτῃ τελευτώντων, εἰώθασιν οἱ ἰατροὶ βοᾷν, καὶ δεικνύναι τοῖς τῶν τελευτησάντων οἰκείοις, ἐν τῷ σώματι τοῦ τεθνεῶτος, πονηρῶν σημεῖα φαρμάκων. ὁ δὲ αὐτός τε ὢν καὶ τοῦτο[17] δεδρακὼς, καὶ κύριος τοῦ παντὸς, ἀκρασίαν τοῦ τεθνεῶτος ἐκάλει τὸ πεπραγμένον· τῆς γὰρ προστεταγμένης ἐξελθόντα διαίτης ἀπολωλέναι. Καὶ εἵπετο μὲν ἐπὶ τὸ μνημεῖον δακρύων· ἔτρεχε δὲ ἐκεῖθεν παρὰ τοὺς ἐπὶ τῷ φόνῳ κροτοῦντας· καὶ ταῦτα ποιῶν διὰ πολλῶν ἤρχετο γενῶν, ἰατρὸς λοιμοῦ χαλεπώτερος. πολλοὶ παῖδας διὰ τοῦτον ἀπώλεσαν ἐφήβους. πολλοὶ πατέρας, ἄρτι γάλας[18] ἀπηλλαγμένοι. πενθεῖ τις ἀδελφὸν

15 f. καὶ· Οἶδα δὲ τὸ τόλμημα ὡς δεινόν.

16 aut φαρμακοποσίας in genit. ſing. aut in genit. plur. φαρμακοποσιῶν.

17 f. αὐτός τε ὢν καὶ μόνος τοῦτο δ. aut alias καὶ eſt delendum.

18 recte coniecit Morellus in margine γάλακτος.

φὸν χρηστόν. ὁ δὲ γυναῖκα ἀγαθήν· ὁ δὲ κόρην ἡλικίαν ἔχουσαν γάμου. διὰ τίνας; οὐ διὰ πολεμίους, οὐδὲ διὰ λῃστῶν σίδηρον· οὐδὲ οἰκετῶν νύκτωρ ἐπαναστάντων· οὐδὲ πονηρᾶς γραὸς λάθρα τῷ οἴνῳ φάρμακον ἀναμιξάσης. ἀλλὰ τίνος ἀπεκτόνοτος; τοῦ καὶ πρὸς ταῦτα[19] ἀγωνίζεσθαι τεταγμένου· ἰατρὸς, Ἄπολλον, ἐκέρασεν ἐπὶ θανάτῳ φάρμακον· καὶ τοιούτου γε πόματος διπλοῦν ἠνέγκατο μισθόν· τὸν μὲν παρ᾽ ἐκείνων, οἷς τὰ τοιαῦτα ὑπηρετεῖ. τὸν δὲ παρ᾽ αὐτοῦ τοῦ πεπωκότος, ὦ Ζεῦ! ὁ γὰρ πιὼν ἐπὶ ταῖς ἐλπίσιν ἐδίδου. τῆς πείρας δὲ τ᾽ ἀναντία φερούσης, εἴχετο τῶν τούτου χειρῶν, σωτῆρα ἐπονομάζων, δεόμενος βοηθεῖν. ὁ δὲ ἐφεστήκει μέγα φρονῶν, ὡς εἰκὸς, ἐπὶ τῷ διαλύοντι φαρμάκῳ τὰ μέλη· ἥπτου καὶ τὴν δεξιὰν, ᾗ[20] τὸ φάρμακον ἐσκεύασεν, ἐφίλησεν ὁ νοσῶν. ταῦτα θεῶν τις ἰδὼν ἠγανάκτησε. καὶ πρᾶγμα οὐ ῥᾴδιον ἐλεγχθῆναι· δεινὸς γὰρ λαθεῖν φαρμακεὺς ἰατρὸς, εἰς μέσον ἐξήνεγκεν· ὥστε τοῦτον, μηδὲ εἰ σφόδρα ἐστὶν ἀναιδὴς, ἔχειν ἀναισχυντεῖν. ἐπὶ πᾶσι μὲν οὖν τοῖς ἀδικήμασιν ἄξιον ἡμᾶς χαλεπῶς ἔχειν, ὦ ἄνδρες, μάλιστα δὲ ἐπὶ τοῖς τεχνικῶς καὶ ὡς ἥδιστά[21] τις ἐπίδοι κατασκευαζομένοις· ὁ μὲν οὖν ταύτην ἐλθὼν ἐξ ἀρχῆς τοῦ βίου τὴν ὁδὸν ταχέως ἁλίσκεται· καὶ δίκην ἂν ἀπὸ πρώτων ἀδικημάτων δοίη πολλάκις, οὐκ ἔχων προκάλυμμα τῆς πονηρίας ἐπιείκειαν. ὁ δὲ ἰατρὸς μὲν εἶναι λέγων, ποιῶν δὲ ἐκεῖνο,[22] δύναιτ᾽ ἂν οὐκ ὀλιγάκις καὶ διὰ τέλους ἀσφαλῶς κακουργεῖν, παραπετάσματι τῆς πονηρίας, τῷ προσχήματι τῆς τέχνης χρώμενος. κἀκεῖ μὲν πολλῶν δεῖ τῶν διακονησόντων, οὓς χαλεπὸν[23] εὑρεῖν· κἂν εὑρεῖν ὑπάρξῃ, τοῦτ᾽ αὐτὸ ποιεῖ[24] τὸν ἔλεγχον, τὸ πλῆθος τῶν

19 πρὸς ταῦτα] scil. τὰ φάρμακα. aduersus venena dimicare.

20 ᾗ in datiuo non prorsus improbo. mallem tamen ἣ in nominatiuo, *quae manus*.

21 f. ἥκιστα *minime*.

22 ποιῶν δὲ ἐκεῖνο] quo redit? num ad ἔχων προκάλυμμα τῆς πονηρίας ἐπιείκειαν?

23 χαλεπὸν] χαλεπῶν M.

24 τοῦτ᾽ αὐτὸ ποιεῖ] αὐτὸν ποιοῖ M.

τῶν συνειδότων· ἐνταῦθα δὲ, δι᾽ ἑνὸς ἅπαντα πληροῦται· αὐτὸς ἂν ὀρύξειεν ὧν εἰς τὸ φάρμακον δεῖ. αὐτὸς ἂν πρὸς ἀλλήλους[25] μίξειεν· αὐτὸς ἂν κομίσειεν· αὐτὸς ἂν ὀρέξῃ πάντων[26] ἀρκούντων[27] μᾶλλον. τοῦτον φαρμακέα οὐδ᾽ ὑποπτεῦσαι καλόν. τοὺς οὖν ὧν εἶναι δοκοῦσι πορρώτατοι, ταῦτ᾽ ἀδικοῦντες, καὶ τούτῳ γε αὐτῷ θαρροῦντες τῷ δοκεῖν εἶναι πόῤῥω, πολὺ μισεῖν ἄξιον· ὅτι ὧν τοσοῦτον ἀφεστᾶσι τολμῶσι, καὶ γίνονται χείρονες ἧς ἔχουσι δόξης. φέρε, εἰ κυβερνήτην ἦγον εἰς ὑμᾶς, ἐγκαλῶν ὅτι τὰ τῶν πολεμίων αὐτὸς ἔδρασε τὴν ναῦν, ἣν ἐκυβέρνα, οὐκ ἂν μᾶλλον ἐμισεῖτο οὗτος τῶν πολεμίων; τί δὲ, εἰ στρατὸν,[28] μείζω δίκην ἔδοξεν ὀφείλειν, ἧς ἂν ἔδωκεν ὁ τῶν ἐναντίων ἁλούς. τί δὲ, εἰ τὸν παλαιστὴν,[29] οἷς ἐγύμναζε λυμαινόμενον, ἆρά γε ἦν ἀξία δίκη; τοιοῦτο δὴ καὶ τὸ νῦν. ἄνθρωπος ἔχων τέχνην, ἧ ἐστιν ἔργον τὸ σώζειν, πολλοὺς ἐποίησε τάφους· καὶ γέγονε τῶν νοσημάτων τοῖς πολίταις πολεμιώτατος.[30] τὰ μὲν γὰρ πολλάκις ἰατρῶν οὐ παρόντων ἔληξεν αὐτόματα. τούτοις[31] δὲ καὶ τὰ τούτων φάρμακα διαφυγεῖν οὐκ ἐνῆν. τοῦ δὲ χάριν, ὦ κακὴ κεφαλὴ, ταῦτα ἐτόλμησε; χρημάτων; εἶτ᾽ οὐκ ἤρκει τὰ παρὰ τῶν νοσούντων; οὐχ ἑώρας τοὺς καλῶς καὶ δικαίως τῷ πράγματι χρωμένους πεπλου-

[25] f. πρὸς ἄλληλα. in neutro. nam redit ad ὧν εἰς τὸ φάρμακον δεῖ. quod ὧν habeo pro neutro.

[26] πάντων ἀρκάντων μᾶλλον] locum hunc non intelligo. videntur haec vocabula, si non omnia, pro parte salkim, a sua vera sede aberasse, et post πόῤῥω πολὺ deducenda esse. ad hunc modum πολὺ πάντων μᾶλλον μισεῖν ἄξιον.

[27] ἴσως ἀργάντων m. M.

[28] recte Morellus in margine coniecit στρατηγόν· sed et οὐχὶ est addendum, ad hunc modum: εἰ στρατηγὸν [scil. ἦγον εἰς ὑμᾶς] οὐχὶ μείζω δ.

[29] τὸν παλαιστὴν] rursus subaudi ἦγον εἰς ὑμᾶς. — οἷς] id est τούτοις, οὓς ἐγύμναζε, λυμαινόμενον.

[30] πολεμιώτερος in comparatiuo.

[31] τούτους in accusatiuo. scil. medicos malos et veneficiis grassantes.

πεπλουτηκότας; ἀλλ' οὐχ ἡγοῦ τὰ ἐκείνων πλοῦτον· οὐδὲ τὰ μετὰ πόνων ἐπῄνεις, ἀλλ' ἐζήτεις ἀπόνως τε καὶ ταχὺ τοὺς τυράννους παρελθεῖν τοῖς χρήμασιν. εἰρες οὖν τὸν ἀδικώτατον πόρον καὶ πρᾶσιν τινα ταύτην ἐποιήσω ψυχῶν· εἶτ' οὐ πέπρακας οὗτος[32] καὶ τὴν ἡλικίαν τὴν ἑαυτοῦ; τί δέ; οὐκ ἐξήνεγκεν ἀπόρρητα Φίλων οὐ τὰ τῶν πόλεων τοῖς πολεμίοις; οὐκ ἔστιν αὐτὴ[33] τῶν πονηρευμάτων ἀρχή; παλαιᾶς ἐστὶ παιδείας τὸ παρὸν κακόν· μελέτης συνεχοῦς, τῆς τοῦ λαμβάνειν ὅθεν οὐ δεῖ. σκοπεῖτε τοίνυν ἅπαντα τὸν τούτου βίον, ἐν τῷ τελευταίῳ βίῳ·[34] καὶ γένοιτ' ἂν ὑμᾶς ἐντεῦθεν ἐκεῖνα μανθάνειν· καλείτω τις τοὺς τῶν τεθνεώτων οἰκείους. μᾶλλον δὲ ὅσους οἷόν τε. πολλοὺς γὰρ ὑπὸ τῆς συμφορᾶς οὐκ ἔστιν οὐδὲ κινεῖσθαι. Ὁρᾶτε, ὦ ἄνδρες, τῶν πενθούντων. τὸ πλῆθος ἀκούετε τῶν οἰμωγῶν. τοῦθ' ἅπαν τὸ δεινὸν ἔργον ἰατροῦ. τούτοις μόνοις οὐκ ἔστι παραμυθίαν εὑρεῖν. τούτοις γὰρ οὐδένες ὁμοίως πεπόνθασιν. ἀπώλεσας τοὺς αὐτῶν;[35] τοῦτο κοινὸν πρὸς ἄλλους. ἀπώλεσας οὕτως, τοῦτο κοινὸν ἔχουσι.[36] τοσούτους τοίνυν ἐκ φαρμάκων πονηρῶν διεφθαρκὼς οὗτος, τῷ διαβεβληκέναι τὴν τέχνην πλείους ἀπόλλυσιν. οὐδεὶς γὰρ ἔτι τῶν νοσούντων ἰατρὸν, ὡς ἴστε, καλεῖ. ἀλλ' ἀσφαλέστερον εἶναι δοκεῖ τοῖς νοσήμασιν αὐτοὺς ἐπιτρέποντας, ὅ, τι ἂν ἐκβαίη φέρειν, ἢ τὰ σώματα ἐγχειρίζειν ἰατροῖς, τοιαῦτα οἴκοθεν κομίζουσι φάρμακα. οὐκοῦν ἔρημοι μὲν ἰατρῶν οἱ νοσοῦντες· ἄποροι δὲ τῆς τέχνης. ἐνδεεῖς ἰατροὶ τῆς τέχνης ἀπιστουμένης· εἰς ταῦτα ὁ χρηστὸς οὗτος κατέστησε τὴν πόλιν. πόλις μᾶλλον ἰατρικὴν δέδοικεν, ἢ πυρετόν. πόλις μᾶλλον ἰατρικὸν[37]

ἢ

32 recte dat margo πέπρακεν. sed ἂν quoque addi velim. οὗτος item seruabo.

33 αὕτη. Scelus hoc non est primum specimen, quo nequitia et improbitas eius se protulit. non nunc primum, hoc in facinore, coepit sceleratus esse.

34 βίῳ] num ἔργῳ?

35 ἴσ. αὐτοῦ m. M.

36 f. τοῦτο οὐκέτι κοινὸν ἔχ.

37 f. ἰατρόν.

ἢ λοιμόν. ἀποβλέψατε, ὦ ἄνδρες, πρὸς τὰς ἄλλους ἰατρους, ὡς αἰσχύνονται, καὶ συγκαλύπτονται, καὶ στένουσιν· εἰδότες οἷον πεπόνθαμεν ὑπὸ τούτου τὸ πρᾶγμα.[38] ὑμεῖς οὖν ἐλεήσαντες μὲν τούτους. ἐλεήσαντες δὲ καὶ τοὺς τεθνεῶτας· καὶ ζῶντας[39] τῇ τούτου τιμωρίᾳ διαλλάξατε πρὸς τὴν τέχνην. ἀλλ᾽ ὅμως ἔλεον αἰτήσει τίνα αὐτὸς ἐλεήσας; εἰπάτω τίνα τῶν πινόντων; τίνα τῶν μελλόντων;[40] τίνα νέον; τίνα γέροντα; τίνα ἄνδρα; τίνα γυναῖκα; οὐκ ἔφριξας, ὦ κατάρατε, τῶν ἀῤῥωστούντων ἐρήμας ἐπεχόντων τὰς χεῖρας; οὐκ ᾐδέσθης τῶν πιομένων τὴν πίστιν; ἀλλ᾽ ἵστης ἀπὸ τῶν ἐν σοι τὰς ἐλπίδας ἐχόντων τρόπαια. ἄνδρες δικασταί εἰ μὲν ὅλως ἐγνώκατε μηδένα τῶν ἀδικούντων κολάζειν, μὴ μόνον ἀφῆτε[41] τοῦτον, ἀλλὰ καὶ στεφανώσατε, καὶ ταῖς ἄλλαις τιμαῖς ἁπάσαις τιμήσατε. τὴν ὀργὴν ἐπὶ μὲν τῶν ἐλαττόνων δεικνύντες· τὰ μείζω δὲ ῥᾳδίως φέροντες· ἢ τί τῶν ἅπαντων οὐχὶ τοῦδε μετριώτερον· τί οὖν ὑμᾶς δεῖ ποιεῖν; εἰ μὲν οἷόν τε ἦν, πολλάκις ἀποκτεῖναι τοῦτον· τούτου δὲ οὐκ ἔχοντος φύσιν, κελεύσατε αὐτὸν δεῦρ᾽ ἐνεγκεῖν τὸ πολλοὺς τῶν πολιτῶν φάρμακον κατῆξαν[42] ἐκεῖνο· ἀναγκάσατε πιεῖν· κείσθω δὲ ἐπ᾽ ἀγορᾶς ἅπασιν ὁρᾷν τε καὶ ἐμβοᾷν καὶ λέγειν, ὡς οὔπω ταῦτα ὧν δέδρακεν ἄξια.

[38] f. ὑπὸ τοῦτου καλὸν πρᾶγμα διαφθείραντος.

[39] καὶ τοὺς ζῶντας cum articulo, et adhuc superstites cum arte medica reconciliate poenas ob hoc scelerato repetendo, per poenas, in eo exsequendas.

[40] τῶν μελλόντων] scil. πίνειν τὰ αὐτοῦ φάρμακα.

[41] malim ἄφετε in imperatiuo, ob insequens στεφανώσατε.

[42] f. κατατῆξαν. quod colliquauit, tabe resoluit.

ΚΟΙΝΟΣ ΤΟΠΟΣ

κατὰ τυράννου.

ΕΠΕΙΔΗ καλῶς ποιοῦντες οἱ θεοὶ, τετηρήκασιν ἡμῖν τοὺς νόμους καὶ τὴν πολιτείαν, καὶ τὸν ταῦτα ἐπιχειροῦντα καταλῦσαι παρέδωκεν[43] εἰς ἡμᾶς χρήσασθαι ταῖς ψήφοις ἐπ' αὐτὸν τὸν ὅπως μηκέτι δικαστηρίου ψῆφος ἰσχύσει παρ' ἡμῖν ἐσπουδακότα· Δεῖ μὲν οὖν ἐφ' ἅπαντι ἀδικήματι χρήσασθαι ταῖς ὡρισμέναις τιμωρίαις· μάλιστα δὲ ἐπὶ τούτοις, οἷς οὐδὲν τῶν ἄλλων ἴσον. τὰς γὰρ, οἶμαι, τῶν ἀδικημάτων ὑπερβολὰς ἀπαραιτήτως προσήκει κολάζειν· εἰδότας, ὡς ἐν μὲν τοῖς σμικροῖς εἴ τις φανῇ πρᾶος, ἔλαττον ἔβλαψεν. ὁ δὲ τοῖς μεγίστοις μὴ τὴν ἀξίαν ἐπιθεὶς, αὐτὸν ἐζημίωσεν. εἰ μενοῦν νῦν ἀφεθεὶς μὴ πάλιν ἔμελλε τῶν αὐτῶν ἐπιθυμήσειν, οὐδ' οὕτω μὲν ἐχρῆν αὐτὸν ὧν ἐβούλευσεν, ἤδη μὴ[44] δοῦναι καὶ δίκην. ἴσως[45] δ' ἂν τις ἦν καὶ λόγος μαλακισθεῖσιν.[46] ἐπεὶ δὲ τοσούτῳ μᾶλλον ἕξεται τῆς τυραννίδος, ὅσῳ ἂν καὶ τῆς κρίσεως, καὶ ἡμᾶς[47] καταγελάσει, δόντω δίκην ἀμφοτέρων ὧν τε ἐξελήλεκται, καὶ ὧν δῆλός ἐστι ποιήσων, εἰ μὴ κολασθείη. ἐνθυμήθητε δὲ οἵαν πολιτείαν οὗτος ἀναιρῶν, οἵαν ἀντεισάγειν ἐπεχείρησεν ἡμῖν· οἱ πατέρες μετὰ τῆς πόλεως, δημοκρατίαν παρέδωκαν· καθ' ἣν ζῶντες καὶ πολιτευόμενοι τῶν ἀγαθῶν ἀπολαύομεν, καὶ τὰ δυσχερῆ διαφεύγομεν· καὶ νόμοις χρώμεθα πρὸς ἀλλήλους, βίας ἀπούσης· ἡ βουλὴ προβουλεύει. ὁ δῆμος ἐκκλησιάζει· τὰ δικαστήρια τοῖς ἀδικουμένοις ἀμύνει· τοὺς ἀδικοῦντας κολάζει· ἄρχει δὲ οὐχ ὁ βουλόμενος· ἀλλ' ὅτῳ δίδωσιν

ὁ

[43] lege παρέδωκαν in plurali. redit enim ad deos.

[44] sic distinguo: ὧν ἐβούλευσεν ἤδη, μὴ δ.

[45] ἴσως] *fortassis.* ἴσος M.

[46] μαλακισθεῖσιν] scil. ὑμῖν quod nescio an sit addendum.

[47] ἡμῶν (aut ὑμῶν) in genitiuo. cohaeret enim et hoc et κρίσεως cum καταγελάσει, et ad ὅσῳ subauditur e praemissis μᾶλλον.

ὁ κλῆρος ἢ ἡ χειροτονία[48] τοῦ δήμου· κατὰ τούτους γὰρ τοὺς νόμους πρέσβεις ἀποστέλλομεν, πρέσβεσι χρηματίζομεν· τὸ βῆμα δὲ ἀνέῳκται τοῖς βουλομένοις λέγειν. τῶν δὲ λεγόντων, ὁ μὲν ἃ μὴ προσήκει πείσας, ἔδωκε δίκην. ὁ δὲ τὰ δέοντα εἰπὼν, τετίμηται· ὁ δὲ πράξας ὁτιοῦν, εἰς τοὺς λογιστὰς ἄγεται· καὶ οὐδὲν ἀνεξέταστον ἐν δημοκρατίᾳ. πολλῶν δὲ ἡμῖν ὑπαρχόντων νόμων, οἳ τὰ ἀδικήματα κωλύουσι, μέγιστα πάντων ὠφελεῖν δοκοῦσιν οἱ τὴν δημοκρατίαν συνέχοντες· οὗτοι δέ εἰσιν οἱ πικρὰς τιμωρίας ἐπὶ τοῖς τυράννοις ὁρίσαντες· καὶ γὰρ ζῶντας μισοῦσι, καὶ τεθνεῶτας πολεμοῦσιν, εἴργοντες ταφῆς, καὶ ῥίπτειν κελεύοντες εἰς ὕβριν τὰ σώματα· κἂν ἀποκτείνῃ τὶς τύραννον, χαλκοῦς εὐθέως, καὶ μετὰ θεῶν θαυμάζεται. ὃ γὰρ ἡγοῦνται ταῖς πόλεσι βλαβερὸν, τοῦτο εἴ τις ἐκκόπτῃ[49] καὶ τῷ τιμᾶσθαι τοὺς ἄλλους πάρεισι. τί μαθόντες οὖν οὗτοι τὸ τῆς δημοκρατίας ἡγοῦνται μέγα; τὸ τῆς ἐλευθερίας. τυραννίδα δὲ καὶ ταύτην οὐκ ἔνι συνελθεῖν· ἀλλ' ὁμοῦ γεγένηταί τις τῶν ὅλων κύριος, καὶ τὴν τοῦτο παθοῦσαν πόλιν, ἀνάγκη δουλεύειν. ὅπερ γὰρ καὶ τοῖς ἀργυρωνήτοις οἱ δεσπόται, τοῦτο τοῖς ἀρχομένοις οἱ τύραννοι· δημοκρατία δὲ τὸ ἴσον νέμει. καὶ τὸ δίκαιον τιμᾷ. καὶ τὸ πλέον[50] κολάζει· καὶ τοὐναντίον[51] ἐκβάλλει. κοινὰ πᾶσι τὰ παρ' αὐτῆς ἀγαθὰ προτιθεῖσα. πένης τίς ἐστιν, ὁ δὲ εὔπορος. ὁ μὲν οὖν φαῦλος ἐστὶ τοὺς τρόπους ἐν τῷ πλουτεῖν, ὁ δὲ ἀμείνων ἐν τῷ πένεσθαι. πλέον ἐστιν οὐδὲν[52] τοῦ τὴν ἀρετὴν ἔχοντος, χρήματα δὲ οὐκ ἔχοντος. ἀλλ' ὁ μὲν[53] ἐν τάξει, καὶ πιστεύεται. ὁ δὲ ἀπέῤῥιπται καὶ μισεῖται. γαμεῖ τις καὶ θαῤῥεῖ περὶ τῆς γυναικός. παίδων γεγένηται πατήρ. καὶ περὶ πάντων, οὐ δέδοικεν ὕβριν. ἔνεστι δὲ

48 ἢ ἡ χειροτονία] sic dedi. ἢ omittit M.

49 ἐκκόπτῃ] ἐκκόπτει M.

50 τὸ πλέον] scil. τοῦ ἴσου.

51 τοὐναντίον] scil. τῷ ἴσῳ.

52 ἐστιν οὐδὲν] scil. τούτῳ vel τῷ πλουσίῳ.

53 ὁ μὲν] scil. pauper, virtute praeditus.

δὲ εὐπορεῖν μὲν, ἄνευ τοῦ διὰ τοῦτο πάσχειν κακῶς· ζῶντα δὲ ἐν μικροῖς τοῖς οὖσιν ὑπὸ τῆς ἀρετῆς εὐδοκιμεῖν. ἔτι τοίνυν οἱ δημοκρατούμενοι, ζῶσι μὲν σωφρόνως, οὐδενὸς ὄντος τοῦ βιαζομένου πρὸς ὕβριν. ζῶσι δὲ ἐλευθερίως. τοῦτο δὲ αὐτοῖς ἐμποιεῖ φρόνημα γενναῖον. τῷ φρονήματι δὲ, ἀκολουθεῖ τὰ ἔργα. καὶ τοὺς ἐν ταύτῃ τῇ πολιτείᾳ ζῶντας τὰ μέγιστα ἂν εὕρῃ τὶς, καὶ κάλλιστα εἰργασμένους· καὶ τὰ σεμνότατα τρόπαια τούτων ἐστί· κἂν τοῖς πολεμίοις,[54] πλέον ἔχουσι τῶν τυραννουμένων. ἅ τε γὰρ οὐκ ἄλλως πονοῦντες, ἄνδρες, ἐν ταῖς μάχαις, βουλεύονται τὰ δίκαια· προστιθέντες τὰ ἔργα. διὰ μὲν δὴ ταῦτα, τὰς ἄλλας πολιτείας ἀτιμάσαντες, οἱ πρόγονοι ταύτην τὴν πόλιν διῴκησαν.[55] οὑτοσὶ δὲ περινοῶν μείζω τῶν καθεστώτων, ἐγράφη μὲν ἐν τοῖς νόμοις. ὑπερεῖδε δὲ τῶν νόμων· καὶ ταπεινὸν ἡγησάμενος, τὸ τοῖς νόμοις ἐμμένειν, ἐπεχείρησεν ἀντὶ τῶν ὡρισμένων ἡμῖν δικαίων, αὐτὸς καταστῆναι, καὶ τὴν τῆς πολιτείας ἰσχὺν, εἰς ἑαυτὸν μεταθεῖναι. εἶδεν, ὦ γῆ καὶ ἥλιε, πρὸς τὰ μετέωρα. δορυφόρους ἐνενόησεν· ὕβρεως ἐπεθύμησε. βίαν ἐζήτησε· καὶ τὸ κατ' αὐτὸν διέλυσε μὲν τὴν βουλήν. ἔκλεισε δὲ τὰ δικαστήρια. κατέλυσεν ἀρχήν·[56] κατέλυσε θυσίας· συνέχεε τὸ ἴσον· ἐπήγαγε δεσπότας. ἦ που ταῦτα πρὸς σεαυτὸν, ὦ κακὴ κεφαλὴ, διελέχθης.[57] πλουτῶ. καὶ τί μοι κέρδος εἰς πενίαν οὐ παροινοῦντι[58] ἐρῶ γυναικός· εἶτα δεῖ με παθεῖν,[59] ἀντὶ τοῦ λαβεῖν δι' ἁρπαγῆς· κἂν ἁλῶ κολάζομαι· εἶτ' εὐθὺς, ἕπεται κατήγορος, καὶ ταφὴ καὶ ὕδωρ καὶ ψῆφος καὶ τίμημα· ταῦτα τῆς δημοκρατίας ἐπιχώρια. δεῖ ποτε γενέσθαι ἐλεύθερον· ὡς νῦν γε δουλεύω τοῖς ῥήμασι. ταῦτα ἴσως εἶπε πρὸς ἑαυτόν. ἀπὸ τούτων ἦλθεν ἡμῖν εἰς τὸ καλὸν ἐγχείρημα,

[54] f. κἂν τοῖς πολέμοις in bellis.

[55] διῴκησαν] διῴκεσαν M.

[56] malim ἀρχὰς, aut ἀρχαῖα.

[57] διελέχθης] διηλέχθης M.

[58] παροινοῦντι] sic m. M. sed t. M. παροινοῦντα.

[59] f. ποθεῖν.

μαι, οὗ τὴν πεῖραν ἐκώλυσαν μὲν οἱ θεοὶ, λογισμῷ δὲ ἰδεῖν ἐστι. μὴ γὰρ ὅτι μὴ πεπόνθαμεν σκοπείτω τις. ἀλλ' ὡς [60] ἂν ἦμεν πεπονθότες, εἰ μή τις θεῶν ἐκώλυσε, καὶ ὑμεῖς οἱ ἐγγραψάμενοι.[61] δεῖ τοίνυν ἡμᾶς ὀργὴν ἔχειν, οὐ τῶν ἐκπεφευγότων, ἀλλὰ τῶν δουλευόντων. πόσοι μὲν[62] ἂν ἐδέδεντο νῦν; πόσοι δ' ἂν ἐδημεύοντο; πόσοι δ' ἂν ἔπιον κώνειον;[63] ὁ μέν τις ἂν ἡμῶν ἐδάκρυε παῖδα σφαττόμενον· ὁ δὲ θυγάτριον ἀποσπώμενον· ὁ δὲ γύναιον παροινούμενον. οἰμωγὴ δ' ἂν κατεῖχε τὴν πόλιν ὑπὲρ τῶν πεπραγμένων, ὑπὲρ τῶν ἐσομένων, ὑπὲρ τῶν γινομένων. ὡς[64] οὗτος ἁπάντων δότω δίκην. καὶ βουληθεὶς δρᾶσαι, δοκείτω δεδρακέναι. τί γὰρ τῶν δοκούντων εἶναι δεινῶν, οὐ νενίκηκε τοῖς ἑαυτοῦ; δεῖ τὸν μοιχὸν ἀποθνήσκειν; πολλῷ μᾶλλον τὸν τύραννον. πολλοὺς γὰρ ἀποσφάττει. καὶ τοῦτό ἐστιν ἥδιον αὐτῷ τὸ πολλοὺς κατενεγκεῖν. μισεῖ τις τοὺς τὰ τῶν θεῶν ἀφαιρουμένους; ὁ δὲ τύραννος οὐδὲν δεῖται κλέπτειν, ἀλλὰ φανερῶς ἁρπάζει. χαλεπώτερον[65] κέκριται τὸ κινεῖν τάφους; ὁ δὲ τύραννος ἀποστερεῖ καὶ ταφῆς τὴν ἀρχήν. τοσούτῳ τῶν ἐκεῖνο ποιούντων χαλεπώτερος, ὡς τοῦ πολλῶν θανάτων ἄξιος κρίνηται. ἃ γὰρ ἐκεῖνοι διελόμενοι τολμῶσι, μόνος συνείληφε. δοκεῖ δέ μοι μὴ τοῦτο εἶναι προοίμιον τῶν τούτου κακῶν. ἀλλ' ἐκ πολλῶν καὶ μεγάλων ἓν[66] ταῦτα ἥκει. τὸ τὴν πόλιν εἰς δουλείαν ἐμβαλεῖν ἐθελῆσαι. καὶ καταφρονήσας ἐν ἐκείνοις τῶν νόμων, ἥψατο τοῦ κεφαλαίου· καὶ γὰρ οὕτως ἔχει. πρὸς ἄκρον ἀρετῆς

[60] f. ἀλλ' ὅσ' (id eſt ὅσα quanta mala) ἄν.

[61] num ὑμεῖς οἱ ἐγγραψ? vos, patres conſcripti. verum ſic ſenatores appellare Graecis mos non eſt, neque oratio haec ad ſenatores habetur, ſed ad iudices. latinus interpres vertit ac ſi legiſſet οἱ γραψάμενοι. verum iudices non γράφονται accuſant, ſed δικάζουσι iudicant.

[62] πόσοι μὲν] ὅσοι μὲν M.

[63] ἔπιον κώνειον] M. dat ἐπὶ κ.

[64] ὡς] lego ὧν.

[65] malim χαλεπώτατον.

[66] ἓν] leg. ἐς.

τῆς καὶ κακίας, αἱ μελέται τοὺς ἀνθρώπους ἄγουσι. καὶ δὴ καὶ τοῦτο δεῖ νομίζειν· πολλὰ μὲν εἰς τοὺς ἐντυγχάνοντας ὑβρικέναι·[67] πολλοὺς δὲ λελυκέναι γάμους. πολλοὺς δὲ χρήματα ἀποστερῆσαι· δίκην δὲ ἐν ἐκείνοις οὐ δόντα, καὶ τοῦτο[68] ἐλπίσαι. Φιλοτιμίας ἐπιθυμεῖς, ὦ κακὴ κεφαλή, καὶ τοῦ δοκεῖν εἶναί τις, εἶτα οὐκ εἶδες τὰς ἄλλας ὁδοὺς, ἀφ᾽ ὧν ἔστι καὶ σεμνὸν εἶναι, καὶ μηδὲν ἀδικεῖν, ἃς οἱ πολλοὶ τῶν πολιτῶν ἐλθόντες, εὐδοκιμοῦσιν, ἀγαπώμενοι. τί δὲ ταῦτα; ἔστι χρήματα; ἐπίδος· χορήγησον ἑκών. γενοῦ φιλάνθρωπος εἰς θυγατέρας πενήτων. χρῆσαι τὸ[69] πλουτεῖν εἰς δέον. ἐν ἐλευθέρῳ θαυμάζου· ἀλλὰ μικρὰ τούτῳ ταῦτα καὶ ἀνάξια τοῦ φρονήματος, ἓν δὲ ἱκανὸν, ὡς ἔοικεν ἡ τυραννὶς, καὶ τὸ πάντα συγκεχύσθαι, καὶ τὸ μηκέτι εἶναι τοὺς νόμους, καὶ τὸ δεσπότην ἀντὶ τῶν νόμων εἶναι· καὶ τὸ ἀπὸ πνεύματος[70] ἐξεῖναι πληροῦντας ἡδονάς. εἶτα ταῦτα βουλεύσας, καὶ μικροῦ δεδρακὼς, εἰς δάκρυα καταφεύξεται· καὶ τίς οὐκ οἶδεν, ὅτι τύραννος οὐκ οἶδε δακρύοντας ἐλεεῖν; μὴ οὖν οἷς ἐχρήσατο ἂν ὠμῶς, τούτων ἀπολαυέτω πράως·[71] μηδ᾽ ὃν οὐκ ἐμέμψατο ἂν δακρύοντες, ἔνδοτε τούτῳ κλαίοντι· πολλῶν ἂν οὗτος κατεγέλασε δακρύων, ἀπὸ τῆς ἀκροπόλεως ἰσχύων. οὐκ ἂν ἠλέησε γυναῖκας, οὐκ ἂν ᾤκτειρε γέροντας. πρὸς δὲ τὸν τοιοῦτον, τίνας δεῖ γενέσθαι τοὺς δικαστάς, οὐ πικροὺς, οὐκ ἀπαραιτήτους; ἢ παρὰ

[67] ὑβρικέναι] scil. αὐτόν.

[68] τοῦτο] scil. τὸ οὐ διδόναι δίκην τῶν πλημμελημάτων sperauisse etiam hoc futurum, vt scil. scelerum suorum nullas poenas daret.

[69] recte margo τῷ πλ. verum ἐν ἐλευθέρῳ haud satis pacet pro ὡς ἐλεύθερος. verumtamen recurrit p. 63. 15. ed. M. ἐν χειμάῤῥῳ et ἐν δαίμονι pro: tanquam torrens, et tanquam numen.

[70] ἀπὸ νεύματος a nutu ἐξεῖναι πληροῦν τὰς ἡδονάς. vt primum oculis innueris, eoque significaueris, te hoc vel illud appetere, habere statim, qui tibi capita administrent.

[71] malim πράων (in genitiuo plur.) probo quoque Morelli coniecturam ἐκάμψατε, quem lacrymis vestris non flexissetis.

παρὰ τίνος ἔτι λήψεσθε δίκας, εἰ τυραννίδα[72] μὴ λάβητε; καὶ γὰρ εἰ χείριστον ἁπάντων εἶναι δοκεῖ τοῦτο, δόξεται δὲ συγγνώμην[73] κατὰ τῶν ἄλλων, οὐκ ἔστιν ὀργὴν λαβεῖν· πῶς γὰρ οὐκ ἄτοπον, ἐν μὲν τοῖς μικροῖς χαλεπῶς ἔχειν, ἐπὶ δὲ τοῖς τηλικούτοις, πράως[74] ὁρᾶσθαι. φοβητήτω τοῦτο αὐτόν. οἶδεν οἷος[75] ἔσται σωθείς. ὃν γὰρ οὐκ ἐκώλυσεν ἀδικεῖν ὁ τῆς κρίσεως φόβος, οὗτος τί ποιήσει θαῤῥήσας; φοβηθήτω[76] τοὺς τούτῳ παραπλησίους. εἰσὶ γάρ. εἰσὶν, οἷς οὐκ ἀρέσκουσιν οἱ νόμοι. δῆλον γὰρ, ὡς εἰ μὲν κολασθείη, πᾶσαν ἄδειαν ἕξομεν. εἰ δὲ ἀποφύγῃ, πάλιν ἐν φόβοις ἡ πόλις.

ΚΟΙΝΟΣ ΤΟΠΟΣ

ὑπὲρ τυραννοκτόνου.

Ἀπειλήφαμεν, ὦ πολῖται, τὴν ἐλευθερίαν· τούτου μὲν ἐπιτεθειμένου τῷ τυράννῳ· τῶν θεῶν δὲ συνηγωνισμένων. εἰκὸς μὲν οὖν ἡμᾶς τούτους μὲν θυσίαις θεραπεύειν, τοῦτον δὲ τιμαῖς ἀμείβεσθαι. καὶ τῆς δημοκρατίας ἄρξασθαι πάλιν ἀπὸ τοῦ νόμου τοῦ διδόντος τῷ καθελόντι τὸν τύραννον γέρας. οἱ μὲν οὖν δορυφόροι καὶ πάντες οἱ τῆς ἐκείνου μερίδος γεγενημένοι, δίκην διδόασιν, ὅσοι μὴ διαδράντες ᾤχοντο. καὶ καλῶς τοῦτο γίνεται. δεῖ γὰρ μὴ τυράννους μόνον, ἀλλὰ καὶ τοὺς τὰ ὑπ'[77] ἐκείνων ᾑρημένους μισεῖν. ἔστι τοίνυν ἀκόλουθον τῷ χαλεποὺς εἶναι τοῖς καταλελυκόσι τοὺς νόμους, τὸ κοσμεῖν τιμαῖς

[72] aut εἰ τυραννίδα μὴ κολάζητε, aut εἰ παρὰ τυραννίδος μὴ λάβητε.

[73] sic lego et distinguo; δέξεται δὲ (a δέχεσθαι) συγγνώμην, veniam autem impetrabit, κατὰ τῶν ἄλλων οὐκ ἐστὶν ὀργὴν λαβεῖν in alios delinquentes, aut in aliorum delicta, non licebit animaduertere.

[74] malim πράους in accusat. plur.

[75] f. φοβείτω aut φοβησάτω τοῦτο ἡμῶν ἕκαστον. οἴδαμεν γὰρ αὐτὸν, οἴδαμεν, οἷος.

[76] leg. est aut φοβείτω aut φοβησάτω.

[77] ὑπὸ est delendum.

τιμαῖς τοὺς ὑπὲρ τῶν νόμων ἠγωνισμένους. εἰ μὲν οὖν δῆλον ἦν, ὡς οὐδεὶς αὖθις ἐπιθήσεται τῇ πολιτείᾳ, καὶ οὕτω μὲν ἔδει τοὺς ἀπηλλαχότας τῶν ἐπικειμένων κακῶν, ἀξιοῦσθαι τιμῶν. ἦν δ' ἂν οὗτος[78] ἐκ τῆς ἀχαριστίας ὁ κίνδυνος. νῦν δ' ὄντων οὐκ ὀλίγων οἱ τὰ τεθνεῶτος μιμήσονται, καὶ τοὺς τὰ τούτου ζηλώσοντας πολλοὺς ἀποδείξατε. τοῦτο δὲ γένοιτ' ἂν ἐκ τῆς δωρεᾶς· ἢ παρακαλεῖν εἴωθε τοὺς χρηστοὺς, ἐπὶ κινδύνους, καὶ[79] καλούς. νῦν μὲν οὖν, δημοκρατούμεθα, καλῶς ποιοῦντες. ἕως δὲ ἦμεν ὑπὸ δεσπότου, κατελέλυτο μὲν ὁ δῆμος. ἐκέκλειστο δὲ τὸ βουλευτήριον· ἀνῄρητο δὲ τὸ δικαστήριον· νόμων δὲ ἴσχυεν οὐδείς. ἀντὶ δὲ τῶν νόμων, ὁ τύραννος ἦν· ὃς τὰ μετέωρα καταλαβὼν, καὶ περὶ αὐτὸν ἔχων δορυφόρους καὶ τοξότας, καὶ πολλούς τινας φύλακας, τί τῶν δεινῶν οὐκ ἐτίθει;[80] διέκοπτε γάμους, κόρας δὲ γάμων ἀπεστέρει, χρήματα δὲ ἥρπαζε. τῶν δὲ μὴ ταῦτα φερόντων, τοὺς μὲν ἐδήμευε, τοὺς δὲ ἐξήλαυνε, τοὺς δὲ ἀπέσφαττε· μόνους δὲ φίλους ἡγεῖτο τοὺς ἐπαινοῦντας τὴν ἀδικίαν. ὧν γιγνομένων, πάντα ἦν μετὰ[81] θρήνων, λύπης, ὀδυρμῶν, νύκτωρ ὁμοίως καὶ μεθ' ἡμέραν. Οἱ μὲν, ἔστενον ἐφ' οἷς ἐπεπόνθεισαν· οἱ δὲ ἐν τῷ πάσχειν ἦσαν κακῶς. οἱ δὲ ἐν τῷ φοβεῖσθαι μὴ πάθωσι· τοὺς τικτομένους δὲ ἠλεοῦμεν, εἰς οἵαν ἥξουσι πεῖραν κακῶν. οἱ μὲν οὖν ἄλλοι πάντες, μέχρι τοῦ καταρᾶσθαι, καὶ τοῦτο λάθρα, τὸν θεοῖς ἐχθρὸν ἐκεῖνον ἠμύνοντο. ὁ δὲ γενναῖος οὑτοσὶ καὶ δημοτικὸς καὶ εὔψυχος, μόνος ἀπέδωκε τὰ τροφεῖα τῇ πόλει. λαβὼν δὲ ἐγχειρίδιον ὑπὸ μάλης, ὥρμησεν ἐπὶ τὸν τῶν ἐλευθέρων δεσπότην· καὶ ὡς ἐπλησίασε ταῖς φυλακαῖς, οὐδὲν ἔφερεν αὐτόν· ἀλλ' ὡς ἐν χειμάρρῳ πάντα κατασύροντι, ἢ δαίμονί γε ἀνθρώπους ἐλαύνοντι, τοὺς

[78] οὗτος] lego οὐδεὶς, nil verendum erat mali ab iſta animi ingenti et immemoris demonſtratione.

[79] aut καὶ eſt delendum aut leg. ἐπὶ κινδύνους καὶ ἀγῶνας καλούς.

[80] ἐτίθει] ferebat tanquam legem.

[81] μετὰ] lege μετά.

τοὺς μὲν κατέκοπτε· τοὺς δὲ ἔμελλε· τὸν δὲ ἠπείλει·[82] πᾶς δὲ ὅπη βλέψειεν, οὗτος ἔκειτο.[83] καὶ δὴ τρέχων διὰ τῶν νεκρῶν προσπίπτει τελευταῖον. τῷ τὸ κράτος ἔχοντι. ὁ δὲ ὡς εἶδεν ἀναπηδήσας ἐκ τοῦ θρόνου καὶ πεσὼν εἰς τὸ γόνυ, ἱκέτευε μὲν, ἐλέου δὲ οὐκ ἐτύγχανεν. ἀλλ᾽ ἀποτέμνων οὑτοσὶ ὁ κράτιστος τὸν τράχηλον ἔλεγε, δέχου πληγάς. ὑπὲρ τῶν πτωχευόντων,[84] ὑπὲρ τῶν ὑβρισμένων, ὑπὲρ τῶν πεφευγόντων, ὑπὲρ τῶν τεθνεώτων. ἀπὸ τοιούτων ἔργων ἥκει· καὶ τὸ ξίφος, καθαρὸν[85] μὲν ἔχων ἀνέβη. κεκόμικε δ᾽ ἐξ ἀκροπόλεως, ἡμαγμένον. καὶ νῦν ἡμεῖς ἐπ᾽ ἐκκλησίας· καὶ τοὺς ῥήτορας τὸ βῆμα δέχεται διὰ τὴν τούτου δεξιάν. δότε δὴ, δότε τὴν δωρεὰν, ἣν οἱ νόμοι κελεύουσιν, οὓς οὗτος ἐπανήγαγεν. τιμάσθω μὲν γὰρ καὶ ὁ πρεσβύτης[86] δικαίως, καὶ ὁ γνώμην εἰπὼν συμφέρουσαν. καὶ ὁ νόμον θεὶς λυσιτελοῦντα. καὶ ὁ χρήματα καὶ τριήρεις ἐπιδούς. δεῖ γὰρ ἅπαντας τῆς ἴσης τυγχάνειν ἀμοιβῆς· ὁ δὲ τοῦ τυράννου σφαγεὺς, ὅσῳ μετὰ[87] κινδύνων τὴν εὔνοιαν δεικνύει, τοσούτῳ μείζοσι κοσμείσθω ταῖς δωρεαῖς· καὶ πολλῷ μᾶλλον, τῶν ἐν πολέμῳ τοῦτο ἐργαζομένων. διὰ τί; ὅτι τοῖς μὲν ἐκεῖνο ποιοῦσι παρὰ τῶν συστρατευόντων ὑπάρχει βοήθεια· κἂν μικρόν τι τῶν ἄλλων διενέγκοι, τῶν κοινῶν πόνων τὴν δόξαν ἠνέγκατο. καί τις ἤδη τῶν παρεστηκότων φερόμενον ἐπ᾽ αὐτὸν ἀπέωσο[88] βέλος. πρὸς δὲ, τούτῳ μὲν ἐστὶ καὶ κράνος, καὶ ἀσπὶς καὶ δόρυ, καὶ κνημίδες καὶ ξίφος. ὁ δὲ ἐπὶ τὸν τύραννον ἐρχόμενος αἰφνιδίως τῷ λανθάνοντι πιστεύει μόνῳ.

[82] f. τοῖς δ᾽ ἠπείλει.

[83] sic distinguam: βλέψειεν οὗτος, ἔκειτο. quocunque hic respiceret, is humi stratus iacebat.

[84] f. ὑπὲρ τῶν διὰ σὲ πτωχευόντων.

[85] f. ὃ καθαρόν. a talibus facinoribus rediit etiam gladius (eius puta) quem gladium habens parum hic tyrannicida cum ascendisset in arcem, inde descendit habens cruore pollutum.

[86] malim πρεσβευτὴς legatus.

[87] post μετὰ deesse videtur μειζόνων aut πλειόνων.

[88] malim ἀπέωσε (in activo.)

γω. δεῖ γὰρ εἶναι τὰ ἄλλα γυμνὸν, εἰ μέλλει τὶ δράσειν ἐκ τοῦ μὴ προκηρύττειν τὴν γνώμην. εἰ δὲ τὸ μόνον ἐν μέσῳ τοσούτων ὁπλιτῶν στρέφεσθαι, μεῖζον τοῦ μετὰ φάλαγγος ὁρμᾶν, σεμνότερος ἀριστείας ἡ τυράννου σφαγή. μέγα μὲν οὖν καὶ τὸ νῦν πεπραγμένον. ἄξια δὲ τιμῶν καὶ τὰ πρὸ τούτου. διδάσκει γάρ με τὸ νῦν γεγενημένον, τίς ἦν οὗτος τὸν παρελθόντα χρόνον. δοκεῖ γάρ μοι, σώφρων τὲ καὶ δίκαιος γεγενημένος, καὶ μέτριος καὶ φιλόπολις, καὶ τὸ σῶμα πόνοις, καὶ μαθήμασι τὴν ψυχὴν ἀσκῶν. ἀπ' ἐκείνων εἰς τὸ καὶ τοιαῦτα θαῤῥεῖν ἀφῖκται.[89] τίς οὖν εὖ φρονῶν οὐκ ἂν αἰδεσθείη τὴν τούτου γνώμην, ὃς ᾠήθη δεῖν παῦσαι τὴν ἀθυμίαν, ἢ μηκέθ' ὁρᾷν ἥλιον; οὐ γὰρ ὥσπερ τῶν στρατηγῶν τις ἀνέβαινεν, οὐδὲ τοῦτ'[90] ἤκουσε παρὰ τῶν μαντέων· ἀλλ' ὡς ἔχων[91] αὐτῷ καλῶς ἢ κατενεγκεῖν ἢ πεσεῖν. τῷ δὲ τὴν ψυχὴν ἐπιδιδόντι τῇ πόλει, δότω τιμὴν ἡ πόλις. οὐ γὰρ ἐπαχθὲς οὐδὲν αἰτήσει. ποῦ γὰρ[92] εἰπέ μοι θαλλοῦ στέφανος, ἢ κήρυγμα; ποῦ δὲ εἰκὼν ἢ σίτησις ἐν πρυτανείῳ; μᾶλλον δὲ καὶ γῆν εἰ βούλεται, καὶ χρήματα λαμβάνειν, λήψεται ἀπὸ τούτων, ὧν ἔσωκε· καὶ φυλάξας ἁπάντων τὰς οὐσίας, μικρὰ ἀπὸ πολλῶν ὧν σέσωκε κερδαίνει·[93] μὴ τοίνυν τῷ τὰ[94] δεινὰ λελύσθαι, πρὸς τὸν εὐεργέτην, ἀγνωμονείτω μηδείς. ἀλλ' ἐννοείτω τὸν σκηπτὸν ἐκεῖνον, τοὺς δορυφόρους, τὰς ἁρπαγὰς, τὸν ἐπὶ τὰ μετέωρα θέοντα. τὸν μαχόμενον ταῖς φυλακαῖς, τὸν ἐμπίπτοντα τῷ τυράννῳ· τὸν οὐχ[95] ἁπανταχόθεν ἀστράπτοντα σίδηρον. τὸν κεκρατηκότα τοσαύτης ἰσχύος. ταῦτ' οὖν ἐνθυμηθέντες, γένεσθε δίκαιοι πρὸς ἄνθρωπον ἐν ξίφει τὴν ἐλευθερίαν ἀποδόντα.

89 ἀφῖχθαι in infinitiuo perfecti passiui.

90 τοῦτ' ἔχων π. τ. μ.] scil. ὅτι ἐπανήξει κατενεγκὼν τὸν τύραννον.

91 ἔχον (in neutro) vt rem sibi gloriosam futuram.

92 ποῦ γὰρ] subaudi ἐπαχθές τι ἦν.

93 malim in futuro κερδανεῖ.

94 τὸ τὰ m. M.

95 οὐχ delendum.

ἘΓΚΩΜΙΟΝ ΟΔΥΣΣΕΩΣ.

ΑΠΑΝΤΩΝ ἔμοιγε τῶν Ἡρώων Ὅμηρος ὁ ποιητὴς θαῦμα γενναῖον ἐντέθεικεν.[1] οὐχ ἥκιστα δὲ Ὀδυσσέως· ὃν τῆς μὲν Ἰλιάδος πεποίηκε κοινωνόν, τῇ δὲ ἑτέρᾳ ποιήσειν μόνον τετίμηκε. Καί μοι δοκεῖ τῷ προγόνῳ τούτου χαριζόμενος Ἑρμῆ, ταῦτα εἰς αὐτὸν σπουδάσαι. τοῦτο δὲ καὶ αὐτὸν[2] καὶ ἡμᾶς εἰκότως ἂν ἐπεγείροι πρὸς τὸν ἔπαινον τοὺς[3] τῆς τέχνης, ἧς προστάτης αὐτὸς οὗτος ὁ θεός, ὃς γεννήσας Αὐτόλυκον, ἔδωκεν ἐντεῦθεν Ὀδυσσεῖ τοῦ γένους τὴν ἀφορμήν· παρ' οὗ δεῖ καὶ τὸ[4] συνέσει νικᾶν εἰς αὐτὸν καταβῆναι. Ὥσπερ γὰρ οἱ φύντες ἐξ Ἄρεως, ἔρωτα πολέμου ἔχον· καὶ κατὰ τοῦτο διήνεγκον· οὕτω καὶ οὗτος Ἑρμῆν παρεχόμενος πρόγονον, συνέσει πάντας ἀπέκρυψεν. ἀλλ' ὑπὲρ μὲν τούτων ὕστερον. πατρὶς δὲ αὐτοῦ νῆσος εὐφυὴς εἰς φορὰν ἀνδρῶν ἀγαθῶν, καὶ οὐ πλήθει καρπῶν μᾶλλον, ἢ ταῖς τούτων ἀρεταῖς κοσμουμένη. τραφεὶς δὲ ἐν βασιλείᾳ, οὐκ ἠμέλησεν Ὀδυσσεὺς παιδείας, ἀλλ' εἷς ἦν τῶν εἰς Χείρωνα[5] πεφοιτηκότων, καὶ μαθόντων ὁπόσα Χείρων ἐδίδασκε. καταβὰς γὰρ ἀπὸ τοῦ Πηλίου, τὴν γνώμην ἐν τοῖς ἀεὶ περιπίπτουσι τῶν πραγμάτων ἐδείκνυ. καὶ τῶν ὑπὲρ τῆς Ἑλένης ὅρκων οὗτος αἴτιος ἦν· ἐπειδὴ γὰρ τὸν Μενέλαον ὁ Πριάμου ἀδικήσας εἶχεν, ἁρπάσας ἐκείνην, οὕτως ἤλγησεν,[6] ὥστ' αὐτὸς περιιὼν ἤγειρε τὸν στρατόν. καὶ διὰ τοῦτον Ἀχιλλεὺς οὐκ ἔμενεν ἐν Σκύρῳ μετὰ τῶν παρθένων, ἀκούων τὸν πόλεμον. ἀλλ' ἀντὶ τοῦ σὺν ἐκείναις

εἶναι

[1] malim ἐκτέθεικεν. *expoſuit.*

[2] αὐτὸ malim in neutro. Sed et hoc ipſum vel ſolum, nos quoque ad Vlyſſem praedicationem incitet.

[3] τοὺς] malim τὸ τῆς τέχνης ſcil. κάλλος vel ἀγαθὸν, artis [illegible]ta, quam Vlyſſes exercuit, praeſtantia.

[4] f. παρ' οὗ δὴ καὶ τὸ σ. ν. ε. α. κατέβαινε. aut alias poſt δεῖ addi νομίζειν vel tale quid.

[5] aut εἰς Χείρωνος (in genitiuo) aut ὡς Χείρωνα.

[6] ἤλγησε] non Paris, ſed Vlyſſes.

εἶναι διέφερεν, ἀκόλουθον[7] πράττων· καὶ τὸν ἐκείνου παῖδα μετὰ ταῦθ' ὕστερον ἐπὶ τὴν Τροίαν ἐκ τῆς νήσου κομίζει. καὶ σιωπῶ τὸν Φιλοκτήτην, καὶ μυρία πρὸ τούτου ἕτερα. κρινέσθω δὲ Ὀδυσσεύς, ἀφ' ὧν ἐν τοῖς Ἑλληνικοῖς ἀτυχήμασιν ἔπραξεν· εἰ μηδὲ ἐκεῖνο μικρὸν, τὸ πρεσβεύσαντα πρὸς τοὺς ἐναντίους, θαῦμα τῆς ἑαυτοῦ δεινότητος ἐμβαλεῖν τούτοις. ἀλλὰ μεθεστήκει μὲν Ἀχιλλεὺς διενεχθεὶς πρὸς τὸν Ἀγαμέμνονα, κόρης ἕνεκα· συμμεθειστήκει δὲ πρὸς τοὺς ἐναντίους ὁ Ζεὺς χαριζόμενος Θέτιδι. πεῖραν δὲ ὁ βασιλεὺς εἰς τὸ στρατόπεδον μεθίει,[8] καὶ φυγῆς ἐμέμνητο· οἱ δὲ ὡς ἤκουσαν, ἐπὶ τὰς ναῦς ἔθεον. καὶ ὁ πόλεμος διελέλυτο· τὰ δὲ πράγματα ἀπολώλει. ὁ δὲ καιρὸς ἐκεῖνος, ἀνδρὸς ὡς ἀληθῶς ἐδεῖτο τοῦ μέλλοντος ἐπισχήσειν τὴν τοσαύτην αἰσχύνην. ἐφάνη τοίνυν οὕτως[9] αὐτὶς Ὀδυσσεύς· καὶ τὸ σκῆπτρον Ἀγαμέμνονος ἁρπάσας, ἐπὶ τοὺς τῆς θαλάσσης ἐπιθυμοῦντας ἐφέρετο· καὶ πρὸς ὁρμὴν οὕτω ζέουσαν, ἀντέταξε τοὺς λόγους. μᾶλλον δὲ πρὸς μὲν οὓς ἀπέχρη λόγος, τούτους κατεῖχε λέγων· οὓς δὲ ἔργων ἑώρα χρήζοντας, τούτους πληγαῖς ἐπανῆγεν εἰς τὸ μένειν. μετὰ τοιούτου δὴ σχήματος πᾶσαν ἐπιὼν τὴν στρατιὰν, ἀπέσπασε τῶν νεῶν τοὺς Ἕλληνας. καὶ μένειν τοὺς μὲν ἔπεισε· τοὺς δὲ ἠνάγκασε· καὶ τὸ αἰσχρὸν ἀνεῖχε· καὶ τοὺς ὀρεγομένους τῆς οἰκείας[10] ἐπαινέτας εἶχεν ἐπὶ τῇ δημηγορίᾳ τῇ περὶ τῆς μονῆς· τοσοῦτον ἴσχυσεν ὁ ῥήτωρ. καὶ μὴν κἀκεῖνο σημεῖον οὐ[11] μέγα τῆς Ὀδύσσεως δεινότητος, τὸ πρεσβείας

ὡς

[7] f. ἀκόλουθα (in plur.) scil. τ πολέμῳ.

[8] καθίει, quod est verbum in hac re proprium. immittebat Agamemnon in copias tentamen. h. e. *er stellete sie auf die Probe.* faciebat periculum, vnde intelligeret, quo essent animo futuri erga consilium, cuius ipse mentionem ad eos faciebat; quod consilium cuiusmodi fuisset, ipse Libanius in continenti docet, scil. iniiciebat mentionem praecipitis atque clandestini discessus e solo Troiano.

[9] recte coniecit Morellus οὗτος.

[10] ἴσ. οἰκίας m. M.

[11] aut σημεῖον οὐ φαῦλον aut σημεῖον ἓν μέγα vel σημεῖον, καὶ πάνυ μέγα.

ὡς τὸν Ἀχιλλέα δεῆσαν, αὐτὸν[12] φέρειν τοῖς ἐκπέμπουσι τὰς ἐλπίδας. σκόπει γὰρ ὅτι[13] μελλόντων ἐξιέναι παρ' Ἀγαμέμνονος, ὁ Νέστωρ δεινότερον ἐκείνῳ[14] παρεκελεύετο φροντίζειν, ὅπως διδάξῃ τὸν ἄνδρα[15] τόνδε· τὸν μὲν μένειν κατὰ χώραν τὸν Νέστορα· τὸν δὲ ἰέναι παρὰ τὸν Ἀχιλλέα· τίνος σύμβολον.[16] οὐ τοῦ τοῖς λόγοις κρατεῖν τοῦ Νέστορος, ὃν αὐτὸ τοῦτο εἰς Ἴλιον ἤγαγε, τὸ λέγειν δύνασθαι; ἆρ' οὖν λέγειν μὲν ἱκανὸς,[17] πράττειν δὲ οὐ τοιοῦτος; οὐ ταῦτά φησι Διομήδης, ὃς ὑποστὰς τὴν κατασκοπὴν, μίαν εὗρεν αὐτοῦ σωτηρίαν, τὴν Ὀδυσσέως κοινωνίαν. διαῤῥήδην εἰπὼν καὶ πυρὸς καταφρονεῖν ἐκείνου παρόντος· καὶ ὡς οὗτος ἐγίνωσκεν, ἐδήλωσε τὸ ἔργον. καὶ γὰρ ὁ τὸν Δόλωνα προϊδὼν, καὶ φράσας τῷ Τυδέως· καὶ τοὺς Θρᾶκας εὑρὰν οὓς ἐμήνυσεν εἰλημμένος ὁ Δόλων· οὗτος ἦν καὶ δείξας τὸν Διομήδην, μαθητοῦ τάξιν πρὸς τὸν διδάσκαλον ἔχοντα πρὸς αὐτόν. καὶ τί δεῖ τἄλλα λέγειν, ἃ καθεύδοντας ἔδρασε τοὺς πολεμίους; ἀλλ' ἐν τοῖς ἐσχάτοις καιροῖς κεκυκλωμένος ὑπὸ τῶν ἐναντίων, ἐξὸν ὑποχωρεῖν μετὰ χείρονος τοῦ σχήματος, εἵλετο μένων, κινδυνεύειν μετὰ τοῦ κρείττονος· καὶ πάλιν ἕτερα οὐ φαυλότερα τῶν προτέρων ἐπολιτεύετο· δευτέραν φυγὴν ἐπι-

12 αὐτὸν] subaudi τοῦτον, hunc ipsum, Vlyssem puta, pertulisse ad Achillem spes Graecorum, a quibus missus Vlysses ad Achillem fuisset. Dicitur autem aliquis ad aliquem perferre spes eorum, a quibus legatus venit, cum, ad quem missus est, ei exponit postulata atque sperata eorum, quorum personam gerit.

13 ὅτι] malim ἔτι. *adhuc.*

14 δεινότερον ἐκείνῳ] subaudi ἢ τοῖς ἄλλοις αὐτοῦ συμπρεσβευταῖς acrius, vehementius, diligentius huic vni Vlyssi, quam aut Phoenici, aut Aiaci, iniungebat, vt virum (Achillem puta) doceret.

15 f. τὸν ἄνδρα. hic desinit sententia. tum nouit incipit: τὸ δὲ τὸν μὲν (Nestorem puta) μένειν.

16 sic distingue: τίνος σύμβολον; cuiusnam id est rei indicium? quidnam docet? οὐ τοῦ τοῦτον τοῖς λ. κρ. non hoc docet? Vlyssem Nestori praestare eloquentia, quem Nestorem tamen hoc ipsum ad Troiam adduxisset, quod facundia polleret.

17 ἱκανὸς] Vlysses puta.

ἐπιχὼν, καὶ δευτέραν αἰσχύνην ἀνελών· καὶ νὴ Δία γε, καὶ συμφορὰν μετὰ τῆς αἰσχύνης. ὁ μὲν γὰρ κελεύων ἀνάγεσθαι, πάλιν Ἀγαμέμνων ἦν· ὁ δὲ ἐμφράττων τῷ βασιλεῖ τὸ στόμα, καὶ κωλύων μὴ τοιούτους προΐεσθαι λόγους, ὁ Ἰθακήσιος. ὃς εἰ μὴ τότε ἐμποδὼν ἔστη τοῖς κακοῖς[18] βεβουλευμένοις, ἅπαντα ἂν διέφθαρτο· τῶν μὲν Τρώων ἐπικειμένων καὶ κατ' ἄκρας ἐλαυνόντων· τῶν δὲ ἐν τῷ τῶν νεῶν ἅπτεσθαι κατακοπτομένων. τοσαῦτα τοίνυν ἐκ τοῦ λέγειν ὠφελῶν, οὐδ' ὅσα δοκεῖ τοῦ σώματος εἶναι καλὰ, τούτων ἐστέρητο· ῥώμης λέγω καὶ τάχους. φέρε γὰρ τίς ἰσχυρότερος;[19] οὐχ ὁ Τελαμῶνος; τίς ἐν ποδῶν τάχει τὰ πρωτεῖα ἔχων; οὐχ ὁ τῶν Λοκρῶν ἡγούμενος, ὁ ὁμώνυμος τούτου; οὐ τοίνυν ἐν οἷς εὐδοκίμουν αὐτοὶ, τούτων[20] Ὀδυσσεὺς δεύτερος ἐγίνετο. εἰ δέ τις χαίρει τῶν Τρώων ἡττημένων, καὶ τῆς Τροίας ἁλούσης, μὴ κοινὸν ἡγείσθω τῶν Ἑλλήνων τὸ ἔργον· ἀλλ' ἑνὸς ἀνδρὸς Ὀδυσσέως, καὶ τῆς ἐκείνου διανοίας τε καὶ τόλμης· ὡς[21] ἐλθὼν εἰς μέσους τοὺς πολεμίους, τὴν ἱερὰν ἄκυραν[22] ὑπέσπασε· λέγω δὴ τὸ τῆς Ἀθηνᾶς ἄγαλμα· τὸ τῆς Τροίας φυλακτήριον οὗ στερηθεῖσαν, οὐκ ἔτ' εἶναι τὴν πόλιν ἔδει. λέγουσι δέ τινες καὶ τοῦ λόχου[23] τὸ πλεῖστον ἐπ' ἐκεῖνον ἐλθεῖν, καὶ τὴν ἑαυτοῦ[24] σοφίαν ἐμπλῆσαι τὸν ἵππον τῶν ἀρίστων ἀνδρῶν. διὰ ταῦτα Ὅμηρος ἀρχόμενος τῆς εἰς αὐτὸν ποιήσεως, τὴν ἐκ τῶν πραγμάτων εὐφημίαν αὐτῷ σέσωκεν εἰπών,

— ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσε.

Δοκεῖ δέ μοι καὶ ταῖς περὶ τὴν οἴκαδε κομιδὴν Ὀδυσσεὺς δυσκολίαις κεχρῆσθαι· καὶ τοσούτοις ὡμιληκέναι κακοῖς· οὐχ

18 f. κακῶς [in aduerbio] βεβ.

19 f. ἰσχυρότατος in ſuperlatiuo: ſubaudi πάντων.

20 τοῦτο m. M.

21 ὡς] imo vero ὅς.

22 τὴν ἱερὰν ἀγκύραν] Palladium, in quo Troianorum ſpes omnis conquieſcebat.

23 τοῦ λόχου] inſidiarum, per equum ligneum Troiae ſtructarum, heroum graecorum, in illo equo abſconditorum, et vniuerſae illius machinationis.

24 ἑαυτοῦ] imo vero αὐτοῦ.

οὐχ ὅτι αὐτὸς ἄξιος ἦν κακῶς παθεῖν· ἀλλ' ὅπως οἱ μετὰ ταῦτα ἀκούοντες, τίς ἦν ἐν τοῖς δυσκόλοις, ἐπιθυμῶσι σοφίας, ὡς πάντα διαφευγούσης τὰ δυσχερῆ. θεώρει τὸν ἄνδρα περὶ πάντα τὸν πλοῦν. οὐ γάρ ἐστιν ἔνθα οὐχ εὑρήσεις ἔργα θαύματος ἄξια. εὐθὺς μὲν οὖν ἀναχθεὶς ἐξ Ἰλίου, προσβαλὼν Κικόσιν, ἑλὼν τὴν πόλιν, ἀπηλλάγη, καὶ γεγόνασιν εὐπορώτεροι κοινῇ. προσχὼν δὲ τοῖς Λωτοφάγοις· ὁ δὲ λωτὸς οὕτως τοὺς γευσαμένους κατεῖχε, καὶ πάντα ἔπειθεν ἡγεῖσθαι πλὴν αὐτοῦ μικρά· τοιαύτης τοίνυν γῆς ἐπιβὰς, καὶ ἐκ ταύτης ἐπανήγαγε τοὺς ἑταίρους, καὶ ταῦτα γεγευμένους.[25] τί δὲ ἄν τις εἴποι μεῖζον, ἢ ὅτι ὁ Πολύφημος, ὁ τοσοῦτος μὲν τῷ σώματι, τοιοῦτος δὲ τὴν ὠμότητα, ἐν χερσὶν ἔχων αὐτὸν, καὶ μόνον οὐκ ἐδηδοκὼς,[26] ῥᾳδίως εἰργάζετο. καὶ τὸ ἔτι μεῖζον, οὕτω διαθεὶς αὐτὸν καὶ διέφυγε, καθήμενος[27] ἐν τῇ θύρᾳ ἐπὶ τῶν ἐξιόντων. καὶ δὴ καὶ Λαιστρυγόνων οὐ πολὺ τούτου μετριωτέρων, καταγελάσας ἀπῆλθε. Κίρκη δὲ ἡ φαρμακὶς ἡ μεταποιοῦσα[28] τὸ βούλημα εἰς τὰς τῶν ζώων ἰδέας, καὶ πάντα ἰσχύουσα τῇ τέχνῃ, οὐκ ἴσχυσε κρατῆσαι τῆς Ὀδυσσέως φύσεως. ἀλλ' οὕτως αὐτὸν ἔδεισέ τε καὶ ἐθαύμασε, ὥστε καὶ ὅσους αὐτῷ τῶν ἑταίρων μεταβεβλήκει, πρὸς τὰ ἀρχαῖα κατέστησεν·[29] οἱ τοίνυν ἐπαινοῦντες τὸν Ἡρακλέα, τοῦτο μέγιστον[30] παρ' αὐτοῦ λέγουσιν, ὅτι τοῖς ὑπὸ γῆν ὡμίλησεν. ἦλθε τοίνυν καὶ ταύτην Ὀδυσσεὺς τὴν ὁδόν. καὶ κατὰ τὸ μέγιστον τῶν Ἡρακλέος, Ἡρακλεῖ παρισοῦται.

Σειρῆνες

25 f. καὶ ταῦτα λωτοῦ γεγευμένους.

26 hic desunt nonnulla.

27 καθήμενον in accusatiuo, qui accusatiuus, ad Polyphemum referendus, aptus est e v. διέφυγε. effugit Vlysses ad Polyphemum, sedentem in ostio ad custodiendum et pertentandum gregem exeuntem, aliosque elabi conantes. ἐπὶ cum genitiuo h. l. est *coram*.

28 f. ἡ μεταποιοῦσα πρὸς τὸ βούλημα τὰς τῶν ζ.

29 f. πρὸς τὰ ἀρχαῖα ἤδη κατέστησεν.

30 f. μέγιστον τῶν αὐτοῦ aut μ. τῶν παρ' αὐτοῦ.

Σειρῆνες δὲ αἱ πάντας ἀπολλύουσαι τοῖς ᾄσμασι, μάτην ᾖδον, Ὀδυσσέως παραπλέοντος· αἱ δὲ ἐρῶσαί τε αὐτοῦ καὶ κατέχουσαι, καὶ ποίησιν[31] ἀθάνατον ὑπισχνούμεναι, τί σοι φαίνονται μαρτυρεῖν; ἢ γὰρ τὴν ὄψιν ὁρῶσαι καλήν,[32] τοῦτ' ἔπαθον· ἢ παρὰ τῆς συνέσεως, ὁ ἔρως λαμβάνει τὴν ἀρχήν. ὁ δ' οὕτως ἄρα δίκαιος, ὥστε καὶ τῆς πατρίδος ἐμέμνητο, καὶ τοῦ παιδὸς οὐκ ἠμνημόνει, καὶ τῆς γυναικὸς εἴχετο, ὥς τε ταῦτα πάντα λῆρον ἡγεῖτο πρὸς τὸ κομίσασθαι τὴν Ἰθάκην. ἔδει δὲ αὐτόν, ὡς ἔοικε, καὶ μετὰ ναυάγιον σωθῆναι, καὶ πλῆθος κακῶν, ὧν οὐκ ἄν τις εἶπεν. ὃν νῦν μὲν τῆς νεὼς ῥαγείσης ἡ τρόπις ἔφερε· νῦν δὲ τῆς σχεδίας διαλυθείσης, ἡ περὶ τὸ νεῖν ἐξέφερεν εἰς τὴν νῆσον τέχνη. Νῆσον ἣν ᾤκουν Φαίακες, ἧς καὶ γυμνὸς ἐπιβὰς ἐθαυμάζετο παραχρῆμα ὑπὸ τῆς Ἀλκινόου θυγατρός· μικρὸν δ' ὕστερον πεῖραν αὐτοῦ διδοὺς ὑφ' ἁπάντων, ἐκλήθη μὲν ὑπὸ[33] τῶν Φαιάκων ἐπὶ θέαν ἄθλων ἐκπλήξας δὲ αὐτοὺς οἷς ἐποίησεν,* ἀπῆλθεν· ὥς τε αὐτὸν καταπλουτίσαντες, ἀπέπεμπον οἴκαδε. καὶ ταῦτα πάντα ἐγίνετο, τῆς Ἀθηνᾶς βουλομένης. Τὸ δὲ βούλεσθαι ταῦτα τὴν Ἀθηνᾶν, ἦν ἐκ τοῦ συζῆν ἀρετῇ τὸν Ὀδυσσέα· δι' ἣν καὶ θαλαττίοις δαίμοσιν ἔμελε· καὶ ἡ Λευκοθέα νέοντι παρῆν, καὶ παρεῖχεν ἀφ' ὧν ἔμελλε διαφεύξασθαι τὸν κλύδωνα. εἶχεν Ἰθάκην· καὶ τὸ θαῦμα[34] ἀπὸ τῆς καρτερίας αὐτοῦ. πράγματα γὰρ ὁρῶν ἐπὶ τῆς οἰκίας, ἃ καὶ λίθον ἐξεβιάσαντο πρὸς[35] φωνήν, μνηστήρων ὕβριν, χρήματα ἀναλισκόμενα, φθειρόμενον οἶκον, γυναῖκα ἄκουσαν ἑλκομένην εἰς γάμον, δούλων εἰς αὐτὸν παροινίας, ὅτε δὴ καὶ ἐλακτίζετο· σιγῇ πάντα φέρειν ἠξίου, καὶ κρύπτειν ἑαυτὸν πτωχοῦ σχήματι, καὶ τοὺς καιροὺς ἀναμένειν. ὧν ἐπελθόντων,

ἔδειξε

[31] f. ποιήσειν. [scil. αὐτὸν] se reddituras eum esse immortalem.

[32] f. καλὴν formam praestantem.

[33] f. ἐκλήθη μὲν γὰρ ὑπὸ —

[34] f. καινὸν θαῦμα [scil. ἐγίγνετο vel συνέβη.] tenebat Ithacam, nouum ibi miraculum exsistebat a viri tolerantia malorum.

[35] f. ἐξεβιάσατ', ἂν πρὸς φ.

ἔδειξέ τε ὃς ἦν, καὶ τοὺς ὑβρίζοντας τοξεύων ἀνήλισκε. θαυμαστὸς ἦν Αἴας· ἀλλὰ τούτου δεύτερος [36] δηλοῖ δὲ καὶ ἡ περὶ τῶν ὅπλων κρίσις. μέγας ἦν Ἀχιλλεὺς ἐν ὅπλοις· ὁ δὲ ἐν συνέσει τοῦτο δὲ ἰσχυρότερον ἐκείνου. ὅλως δ' ἔτι ὃ πέπρακται [37] ἐπὶ Τροίας γενναῖον, δι' Ὀδυσσέως πέπρακται, τοῦ καταχόντος τοὺς Ἕλληνας ἐπὶ τοῦ πολέμου μέχρι τέλους· καὶ τὸ ἔτι μεῖζον, ὅσῳ χαλεπώτερος Ἕκτορος Κύκλωψ, τοσούτῳ κρείττων, τούτου [38] κρατήσας, τοῦ κτείναντος ἐκεῖνον. καὶ μὴν τῶν ἐπανηκόντων [39] σεμνότερος, οἷς ἐπαναπλέων κατώρθωσεν. εἰ δὲ μέγιστον εἰς εὐδαιμονίαν, τὸ ὧν τις ἐπιθυμεῖ καλλίστων τυχεῖν, καὶ τοῦτο Ὀδυσσέως. τὴν γὰρ Ἰθάκην ἰδὼν, καὶ τῶν αὐτοῦ κύριος καταστὰς, γηραιὸς ἐτελεύτησεν.

ΕΓΚΩΜΙΟΝ ΑΧΙΛΛΕΩΣ.

ΟΜΗΡΟΣ ἐραστήν με κατέστησεν Ἀχιλλέως· οἶμαι δὲ καὶ πάντας ὅσοι τῆς ἐκείνου μετέχον ποιήσεως· ἐρεῖν δὲ πάντα οὐκ ἂν δυναίμην. ἀλλ' ὅσα ἐπέρχεταί μοι, τὸν ἥρω κοσμεῖν, [40] ἔχοντα μὲν παρὰ [41] τοῦ ποιητοῦ τὴν ἀξίαν. δίκαιον δὲ ὄντα καὶ τῆς παρ' ἐμοῦ δυνάμεως ἀπολαῦσαι. κἂν ᾖ σμικρά· ὅτι μὲν δὴ πρόγονος αὐτῷ τῶν θεῶν ὁ κορυφαῖος· καὶ ὅτι τὸ τῶν Αἰακιδῶν γένος, κρεῖττον τῶν ἄλλων ἡμιθέων, περὶ μὲν ταῦτα τί δεῖ καὶ διατρίβειν· ὧν κοινωνοῦντες εὑρίσκονται πλείους. ἀλλ' ἥ γε μήτηρ αὐτοῦ θεός· καὶ τροφὴ, μυελοὶ λεόντων ἀντὶ γάλακτος. οἷς ἀμφοτέροις πολὺ διήνεγκεν· οὐ γὰρ τίτθη παραλαβοῦσα τὸ παιδίον μαστοῖς ἔτρεφεν· ἀλλ' ἣν ὁ Χείρων ᾔδει πρὸς ἀνδρείαν αὐτοῦ συμβαλλομένην, [42] ταύτην

[36] malim δευτέρως [in adverbio]

[37] f. ὅλως δὲ ὅ, τι καὶ πέπρακται.

[38] f. κρείττων ὁ τούτου κρ.

[39] f. καὶ μὴν καὶ τῶν ἐπανηκόντων.

[40] f. τὸν ἥρω βουλομένῳ κοσμεῖν.

[41] περὶ m. M.

[42] f. ἀλλ', ἣν τροφὴν ὁ Χείρων — πρὸς ἀνδρείαν αὐτῷ συμβαλουμένην quod alimentum Chiron ei norat adiumento futurum ad creandam fortitudinem.

τὴν ἐπενόησε, τὴν κοινὴν ἀνθρώπων ἀφείς· οὗτος γὰρ ὁ Κένταυρος, εἰς πάντας μὲν ἥρωας ἀπέθετο τὰ παιδεύματα· περὶ δὲ τὸν Πηλέως καὶ Θετίδος μᾶλλον ἐφιλοτιμήσατο, πάσης παιδείας ἐμπιπλὰς αὐτῷ τὴν ψυχήν. τοῦτο μὲν μουσικῆς· τοῦτο δὲ ἰατρικῆς. ὥστε τῇ μὲν πραΰνειν τὸν θυμόν· τῇ δὲ ἀπελαύνειν τὰ νοσήματα. ἤσκει δὲ καὶ τὼ πόδε πρὸς τάχος, ἀναγκάζων αὐτὸν παραθεῖν· τά γε μὴν πολεμικὰ δεινότερον ἁπάντων ἀπειργάσατο, καὶ τὴν ῥώμην ἔθρεψεν αὐτῷ πρὸς τὸν Ἡρακλέους ζῆλον· ὥς τε οὗτος πλείονα[43] τὸν ἀγῶνα ἦγεν, ὧν ἀπὸ τῆς εἰρήνης ἡδέων ἐπεθύμουν ἕτεροι. διέδειξε τοῦτο καλῶς ὁ τρωϊκὸς πόλεμος· οὗ τοὺς μὲν ἄλλους καταχεῖν[44] ἐποίησε, τὸ πρόσθεν ὀμωμοκέναι. ἔδει γὰρ ἢ τοῖς Τρωσὶ πολεμεῖν, ἢ πολεμεῖσθαι παρὰ τῶν κρειττόνων, ὡς τῶν συνθηκῶν ἀμελουμένων. εἰ δέ τίς μοι λέγει Σκῦρον καὶ Παρθενῶνα, καὶ σχῆμα γυναικεῖον, συκοφάντην ἔγωγε τοῦτον ἡγοῦμαι καὶ κακοδαίμονα καὶ ψευδολόγον· οὔτε γὰρ τῆς περὶ Πηλέως ἀρετῆς, οὔτε τῆς περὶ Χείρωνος, οὔτε τῆς Ἀχιλλέως φύσεως ταῦτά γε ἄξια· ἀλλ' εἰ δοκεῖ δῶμεν καὶ κρυφθῆναι, καὶ πάλιν ἐκπηδῆσαι, τοῦ παρθενῶνος· τάχα γὰρ ἂν καὶ τοῦτο μέρος τῆς γε εὐφημίας εἴη, εἰ τῇ τε μητρὶ φοβουμένῃ χαρίσασθαι δεῖν ᾠήθη, καὶ τὴν φύσιν οὐ κατῄσχυνεν. εἰς ὑπήκουσε τῷ καλοῦντι. ἀλλ' ἐκεῖσε ἐπάνειμι, ὅτι τοῖς μὲν ἄλλοις, οὐδὲ βουλομένοις ἐνῆν μὴ στρατεύειν· ἐνεβίβαζον γὰρ αὐτοὺς εἰς τὰς ναῦς ὅρκοι καὶ σπονδαί· Ἀχιλλέα δὲ ὅρκος μὲν οὐδείς, ὁ δὲ[45] τῆς δόξης ἔρως ὥπλιζε· καὶ πρῶτα μὲν, τῆς πλάνης ἀπήλλαξε τὸ στρατόπεδον· ᾔδει μὲν γὰρ τὴν χώραν τῶν ἠδικηκότων οὐδείς. ὅποι δὲ τύχοι φερόμενοι προσέπιπτον· οἷς μὲν ἐνεκάλουν, τούτους εὑρεῖν μὴ δυνάμενοι· οὓς δὲ ᾐτιῶντο,[46] τούτους κακῶς ποιοῦν-

[43] f. πλείονος maioris faciebat Achilles certamen [bellum], quam voluptates, quas alii e pace venantur.

[44] καταχεῖν] imo vero μεταχεῖν. Particulae μὲν hoc versu 13. respondet δὲ versu 27.

[45] ὁ δὲ] sic coniecit M. οὐ δὲ t. M.

[46] οὓς δὲ οὐδὲν ᾐτιῶντο.

ποιοῦντες· τὴν δέ γε Μυσίαν Τρωάδα νομίσαντες, ἐπιβάντες ἐδέοντο·[47] ὡς δὲ ἐξῆλθον οἱ Μυσοὶ, καὶ μάχη συνειστήκει, τιτρώσκεται μὲν ὁ Τήλεφος· οἱ δὲ γνόντες τὴν ἁμαρτίαν, ἀπέπλεον[48] αἰσχυνόμενοι τοῖς πεπραγμένοις· τοῦ δὲ ἕλκους ἴασιν οὐ δεχομένου, χρῆται μὲν ὁ τρωθεὶς τῷ θεῷ· πέμπεται δὲ ὡς Ἀχιλλέα, μόνον ἀκούσας ἰατρὸν ἔσεσθαι· καὶ ὁ μὲν ἰᾶτο· ὁ δὲ ἐδῄου τῶν πολεμίων τὴν γῆν· οὗτος γὰρ ὡμολόγητο μισθός. ὥς τε οὐδὲν ἐκώλυε διαφυγεῖν τοὺς Τρῶας τὴν δίκην. εἰ μὴ Ἀχιλλέως τὸ δόρυ, καὶ τὰ παρ' ἐκείνου πρὸς Τήλεφον τὴν ἄγνοιαν ἔλυσεν· ἐπεὶ δὲ εὗρον τὴν Τροίαν, Κύκνος μὲν ὁ Ποσειδῶνος, ἐν ᾧ πλείστας ἂν[49] εἶχον οἱ Τρῶες τὰς ἐλπίδας, εὐθὺς ἀπέθνησκεν ὑπ' Ἀχιλλέως. οἱ λοιποὶ δὲ δείσαντες ἔφυγον· καὶ περιῆν, τοῖς μὲν Ἕλλησι, τρυφᾶν· τοῖς δὲ ἐναντίοις, κατακεκλεῖσθαι· κατείρξας γὰρ αὐτοὺς εἰς τὸ ἄστυ, καὶ παραδοὺς τοῖς ὁμοφύλοις τὴν πολιορκίαν, ἐπὶ τὰς ἐκεῖθεν πόλεις ὠφελούσας τοὺς πολεμίους ἐχώρει, περικόπτων αὐτοὺς[50] πανταχόθεν, καὶ καθιστὰς εἰς ἐρημίαν φίλων· ἔφερε δὲ τὸν στρατιώτην οὐδεὶς, οὐκ ἠπειρώτης, οὐ νησιώτης· ἀλλὰ τρεῖς παρέσυρε καὶ εἴκοσι πόλεις· τοσαύτην ἐρημίαν περὶ Ἴλιον εἰργάσατο. καὶ τὸ μέγιστον, οὐ χρημάτων ἔρως ἔπειθε κινδυνεύειν αὐτόν. Οὔκουν αὐτὸς ἐγίνετο τῶν λαφύρων κύριος. ἀλλ' ἰδίους μὲν τοὺς κινδύνους· κοινὰ δὲ τὰ ἆθλα τῶν Ἑλλήνων ἐποίει καὶ τὸν πλοῦτον τῶν ἀπολωλότων εἶχε τὸ κοινόν. καὶ διὰ ταύτης τῆς εὐπορίας, οὐ κατέλυσαν τὸν πόλεμον αἰσχρῶς· τοῦ νοσήματος δὲ ἐμπεσόντος, καὶ τῶν καταλόγων κενουμένων, ὁ μὲν ἄρχειν ἀξιῶν, αὐτὸς ὢν αἴτιος τῶν κακῶν, ἐπανόρθωσιν οὐκ ἀνεζήτει· ἀλλ' οὐδὲ ὁ δεινότατος Ὀδυσσεὺς, οὐδ' ὁ σοφώτατος Νέστωρ, οὐδὲν ἤλγησαν· ἀλλ' ὁρῶντες φθειρομένην τὴν στρατιὰν

[47] aut deest hic aliquid, aut pro ἐδέοντο leg. est. ἐληΐζοντο.

[48] ἀπέπλεον.] sic dedi, ἀπέπλον M.

[49] ἂν malim abesse.

[50] αὐτοὺς] Troianos puta.

τιὰν ἡσύχαζον. μόνος δὲ Ἀχιλλεὺς ἡσυχίαν[51] τε ἐποίει, καὶ μάντιν ἐκάλεσε, καὶ βοηθεῖν ὑπισχνεῖτο, καὶ παρεκάλει πρὸς τὸ θαῤῥεῖν καὶ οὐ προαπέσῃ, πρὶν εὑρεῖν ἴασιν τοῖς κακοῖς. ἄριστον μὲν οὖν ἦν, στεφάνων αὐτὸν καὶ ἀναῤῥήσεων ἐπὶ τούτοις τυγχάνειν. διὰ δὲ τὴν τῶν εὖ παθόντων ἀγνωμοσύνην,[52] προὐπηλακίζετο, καὶ τοῦ γέρως ἀπεστερεῖτο. κύριος μὲν ὢν καταχεῖν, καὶ τοὺς ἥκοντας[53] ἀποσφάξαι καὶ προσέτι γε τὸν ἀπεσταλκότα. πρᾴως δὲ τῆς Βρισηΐδος ἀποστὰς, τοῦ μὴ πάντα συγχέαι· οὐ μὴν ἔμεινεν ἐπὶ τοῦ συμμαχεῖν· ἀλλὰ τὴν μὲν ἐπιείκειαν ἔδειξεν ἐν τῷ μὴ φιλονεικῆσαι περὶ τῆς ἀνθρώπου, τὸ δὲ μὴ παροινούμενος φέρειν ἐν τῷ τῆς συμμαχίας ἀποστῆναι. ἔργῳ γὰρ ἐβούλετο διδάξαι τὸν ὑβριστὴν, εἰς ὅν τινα ὄντα ἡμάρτανε. καὶ οὐκ ἔφθη χαλεπήνας· καὶ συμμετέστησεν αὐτῷ τὸν Δία.[54] ὥσθ' ὁ πρότερον μείζω ποιῶν τὰ τῶν Ἑλλήνων, καὶ τοῖς βαρβάροις ἐγκείμενος, ἐπὶ τοὺς Ἕλληνας μετὰ βαρβάρων ἐστράτευσε· σκηπτοῖς αὐτοὺς ἐξελαύνων, καὶ τοῖς ἐξ οὐρανοῦ πεμπομένοις βέλεσιν· οἱ δὲ τειχήρεις ἐκεῖ τι καὶ τρέμοντες, καὶ οἷς ἤρκει σωθῆναι, πῦρ ἐπὶ τὰς τῶν Ἑλλήνων ἐκόμιζον[55] ναῦς. καὶ ὅπως αὐτοὺς μὴ λάθωσιν ἀναχεθέντες[56] ἐσκόπουν. ἐνταῦθα δὴ φαίνεται, πότερος ἦν τοῖς πράγμασιν Ἀχιλλεύς. ὡς γὰρ ἔκειτο μὲν τὸ τεῖχος, ἐκεκράτηντο δὲ λαμπρῶς· σωτηρίας δὲ πόρος οὐδαμόθεν ἦν· ἐπὶ τὸν ὑβρισμένον ὁ παροινεῖν νομίσας καταφεύγει· δῶρα, τὰ μὲν διδοὺς· τὰ δὲ ὑπισχνούμενος, εἰς τὸ γένος αὐτὸν[57] εἰσάγων διὰ τῶν πρεσβευτῶν· ἱκετεύων[58] λῆξαι τῆς ὀργῆς. ὁ δὲ οὐκ ἦν

ἄρα

[51] ἡσυχίαν] sententia postulat ἐκκλησίαν, efficiebat, vt concio coiret.

[52] εὐγνωμ. m. M.

[53] ἥκοντας] scil. ἐπὶ τὴν κομιδὴν τῆς Βρισηΐδος.

[54] simulac Graecis coepisset succensere, Iouem ipsum quoque ab illis abalienauit.

[55] ἐκόμιζον] ἐκόμιζε M.

[56] ἀναχεθέντες] imo vero ἀναχθέντες.

[57] αὐτὸν] sic coniecit M. αὐτῶν t. M.

[58] sic distinguo: εἰσάγων, inducebat Agamemnon Achillem in genus suum, h. e. filiam suam ei deferendo, inuitabat

ἄρα μειράκιον, ῥᾳδίως ἑλκόμενον· οὐδ' ἐξεπλάγη χρυσίον ἀκούων, οὐδὲ πόλεις, οὐδὲ αἰχμαλώτους· ἀλλ' ἐγνωκὼς αὐτὸν, καὶ τίς ἂν ἠτιμάζετο, τὴν ἀπέχθειαν ἐφύλαττε· τὰ δὲ τῶν Ἑλλήνων πράγματα, καὶ δὴ μᾶλλον διεφθείρετο. πῦρ μὲν ἐπενέμετο τὴν Πρωτεσίλα ναῦν. ἐλπὶς δὲ ἦν, ἐπὶ πάσας προβήσεσθαι τὸ κακόν· σαφὴς δὲ ὄλεθρος ἐπεκρέματο τοῖς ὅλοις· ἐνταῦθα δακρύσει μὲν ὁ Πάτροκλος κάμπτεται δὲ ὁ Πηλέως, τοῖς πολλοῖς ἐκείνου δώροις οὐ μεταπεισθείς. καὶ μέσην τινὰ ἔρχεται· τοῦ πολέμου γὰρ οὐκ ἐφάπτεται τῇ χειρί. τῇ δὲ μοίρᾳ τῶν Μυρμιδόνων, τὴν βοήθειαν ἐπεκλήρωσε[59] καὶ κοσμήσας τὸν Πάτροκλον τοῖς ὅπλοις τοῖς ἑαυτοῦ, τοσοῦτον ἴσχυσε παρεῖναι νομιζόμενος, ὥστε ἀναπνεῦσαι μὲν τοὺς Ἕλληνας· περιφόβους δὲ γενέσθαι τοὺς Τρῶας. πολλὴν δὲ τοῖς πράγμασι φανῆναι τὴν μετάστασιν· ὡς δὲ ἤκουσεν ἀπεσφάχθαι τὸν Πάτροκλον, μικροῦ μὲν ἑαυτὸν ἀπέσφαξεν· οὕτως φιλέταιρος, καὶ τοσοῦτον ἐποιεῖτο τοῦ συνήθους λόγον· κωλυθεὶς δὲ ὑπ' Ἀντιλόχου, πρὸς τὸν πόλεμον ὑπήγετο· συμπεσεῖν ἐπιθυμεῖ[60] τῇ Πατρόκλου σφαγῇ. καὶ ταῦτα, εἰδὼς, ὡς κοινὸν αὐτοῦ[61] κἀκείνου κατεψηφίζετο θάνατον· ἔδει γὰρ αὐτὸν ἐφ' Ἕκτορι κεῖσθαι· καὶ τοῦτο ἦν βούλημα τῶν μοιρῶν· ὁ δὲ τὴν τιμωρίαν[62] τὸν ἑταῖρον ἀπεκτονότος, τιμιώτερον ἐποιήσατο τῆς ἑαυτοῦ σφαγῆς καὶ λαβὼν ὅπλα περὶ[63] Ἡφαίστου· ἦν δὲ ἄρα καὶ τὰ πρότερα τῆς ἑαυτοῦ[64] τέχνης, θεῖα γὰρ ἀμφό-

tabat eum ad gentis suae communionem, διὰ τῶν πρεσβευτῶν ἱκετεύων per legatos ei supplicabat, vel per legatos eum rogabat supplex.

59 num ἀπεπλήρωσε?

60 probo Morelli coniecturam ἐπιθυμῶν. sed et praeterea legi velim τῷ Πατρόκλου σφαγεῖ. [a nominatiuo σφαγεύς.]

65 αὐτοῦ redit ad Achillem.

κἀκείνου ad Patroclum, κατεψηφίζετο rursus ad Achillem; communem sibique Patrocloque caedem ipse contra semet decernebat Achilles.

62 probo coniecturam Morelli, τοῦ addentis. verum etiam τιμιωτέραν erat leg. in foemininо.

63 περὶ] lege παρά.

64 ἑαυτοῦ] imo vero αὐτοῦ. redit enim ad Vulcanum.

φότερα· μεστὸν μὲν τὸ πεδίον νεκρῶν. μεστὸν δὲ τὸν ποταμὸν ἐποίει, ὥστε αὐτῷ καὶ τὸν εἰς θάλατταν ἀνακόπτεσθαι δρόμον. φεύγοντα δὲ τὸν λαμπρὸν ἔδειξε τὸν Πριάμου· καὶ μετὰ ταῦτα κείμενον ἐδείκνυ· πραξάμενος δὲ τὴν τιμωρίαν διὰ τοῦ φόνου, τὸν μὲν ἐκείνου νεκρὸν, ᾔσχυνεν ἑλκύσας. τὸν Πατρόκλου δὲ ἐτίμησεν ἄθλοις· ἡκούσης δὲ τῷ Πριάμῳ συμμαχίας, πανταχόθεν πάντα ἤλεγξε, καὶ τοῦ μηδενὸς ἀπέφηνεν ἄξια· Μέμνονά τε διαφθείρας τὸν Αἰθίοπας ἄγοντα· καὶ Πενθεσίλειαν· ᾗ γυναῖκες ἠκολούθησαν, ἀνδρῶν ἐς μάχην φοβερώτεραι. ὅσοι μὲν οὖν ἄλλοι τῶν Ἑλλήνων ἐτρώθησαν. οἱ βάρβαροι τοῖς τούτων ηὐδοκίμησαν τραύμασιν· Ἀχιλλεὺς δὲ ἀποθνήσκων οὐδενὶ ἀνθρώπων περιέθηκε δόξαν· τόξων δὲ Ἀπόλλωνος ἡττηθῆναι, κόσμος τῷ πεπονθότι. καὶ τὸ κάλλιστον. τῷ πολέμῳ[65] γὰρ τεθνεὼς, ἐπέθηκε δόξαν. καὶ τὸ Ἴλιον οὐκ ἄνευ τῆς Ἀχιλλέως οἰκίας ἑάλω· διὰ γὰρ τοῦ Νεοπτολέμου τὸ πᾶν ἐξειργάσατο. ἦν τις ἐν τῇ στρατιᾷ ταχὺς, ἀλλὰ κατ' Ἀχιλλέα·[66] καὶ καλὸς, ἀλλ' μετ' ἐκεῖνον. καὶ τί δεῖ καθ' ἕκαστον παραβάλλειν, Ὁμήρου κηρύξαντος, ὡς πάντα μετ' Ἀχιλλέα δεύτερα.[67]

ΕΓΚΩΜΙΟΝ ΔΙΟΜΗΔΟΥΣ.

ΟΜΗΡΩι καὶ κατὰ τοῦτο φαίην ἂν ἥδεσθαι, ὅτι τὸν Διομήδην ὧν προσῆκεν ἠξίωσεν ἐν τῇ ποιήσει. ὁ δὲ τὸν Ὅμηρον ἐπαινῶ πεποιηκότα, τοῦτο καὶ αὐτὸς μιμήσομαι, οὐχ ὡς ἱκανῶς ἐκείνου τὴν ἀρετὴν τῇ Διομήδους οὐ δεδηλωκότος· ἀλλ' ὅτι καὶ αὐτὸς ἀμείνων ἂν εἴην λέγων ὡς δυνατὸν, ἢ μηδὲ ὅσα ἔξεστι λέγων.

Πατρὶς

65 f. τῷ πολέμῳ γὰρ καὶ τεθνεὼς ἐπέθηκε τέλος, ταῖς μοίραις οὕτω δόξαν [in participio aor. 1.]

66 f. ἀλλὰ μετ' Ἀχιλλέα.

67 δεύτερα videtur delendum, vt scholium vocabuli μετά.

Πατρὶς μὲν, τῆς Πελοποννήσου τὸ κάλλιστον αὐτῷ καὶ περιφανέστατον, καὶ μάλιστα τῇ Ἥρᾳ κεχαρισμένον. ἀκούεις γὰρ ὃ[68] πρὸς τὸν Δία ἐν μνήμῃ πόλεων ἃς εἶναι φιλτάτας ἑαυτῷ[69] φησὶ, καὶ ὡς πρώτην εἰποῦσα τὴν Ἀργείων, ἔπειτα τὰς ἄλλας[70] προστίθησι· τοῦτο δὲ τὸ Ἄργος πρῶτον ἀνῆκεν ἐκ γῆς ἀνθρώπους καὶ εἰσιν Ἀργεῖοι παλαιότατοι πάντων· τοιαῦτα οὖν παρεχόμενος τῇ πόλει,[71] ἐξ ἀγαθῶν τε ἔφυ, κἀκείνων ἄξιον ἑαυτὸν ἀπέδειξε. Τυδεὺς μὲν γὰρ τούτου πατήρ· ἐκείνῳ δὲ Οἰνεύς. τούτοις δὲ ἐκ θεῶν τὸ γένος. τὸν δὲ Τυδέα τοῦτον ἄλλα τε ἐκόσμει πολλὰ, καὶ ἡ ἐπὶ Θήβας στρατεία. ὡς γὰρ ἦλθεν εἰς Θήβας πεμπόντων Ἀργείων, καὶ συνεγένετο τοῖς πολεμίοις ἐν πρεσβευτοῦ σχήματι πρὸ τῆς μάχης καὶ τῶν κοινῶν ἔργων· ἐδείκνυε τοῖς Θηβαίοις, ὅσον αὐτῶν ἀργεῖοι βελτίονες. πυκνὰς μὲν τὰς προκλήσεις ποιούμενος· πυκνὰς δὲ τὰς νίκας ἀναιρούμενος. ἐκ τοιούτων[72] δὴ γενόμενος Διομήδης, καὶ μητρὸς ἧς ἦν Ἄδραστος πατὴρ· ἀνὴρ μετὰ τῆς εὐβουλίας κεκτημένος καὶ μέγεθος τύχης· ἀξίως μὲν ἐπαιδεύετο τῆς εὐγενείας· τοῦ καιροῦ δὲ τῶν ἔργων ἥκοντος, ἐδείκνυ τὴν παιδείαν[73] ἀνέβη μὲν γὰρ ἐς τὸ Πήλιον, καὶ ἐφοίτα τῷ Χείρωνι· ταχὺ δ' ἐλάμβανε τάς τε τῆς ψυχῆς ἀρετὰς, καὶ ὅσαι τοῦ σώματος, ὥστε τὴν[74] μὲν ὁρᾶν ἃ πράττειν ἄξιον· τῷ δ' ἐπιτελεῖν ἃ δόξειε. Τοῦ Τρωϊκοῦ δ' ἐπελθόντος πολέμου, καὶ βασανίζοντος ἀρετὴν καὶ κακίαν· ὁ μὲν Ἰθακήσιος μαίνεσθαι δοκεῖν ἐβουλεύετο μᾶλλον ἢ στρατεύεσθαι, καὶ τῇ μὲν τοῦ ζεύγους[75] ἀναρμοστίᾳ τὸ μὴ σωφρονεῖν ἐπλάττετο. Πηλέως δὲ ὁ παῖς καὶ Θέτιδος τὰ

[68] ὃ] fort. ὅτι.

[69] ἑαυτῇ [nam Iuno loquitur] φησὶ, πρώτην [omissis illis duobus. καὶ ὡς.

[70] f. ἔπειτα καὶ τὰς ἄλλας.

[71] f. παρεχομένη ἐξισάμενος τῇ πόλει.

[72] ἴσ. τοιούτου m. M.

[73] παιδείαν.] sic coni. M. παῖδα t. M.

[74] τὴν] imo vero τῇ, scil. χῇ mente.

[75] τὸ ζεῦγος m. M.

τὰ παρθένων ἐσχηματίζετο, καὶ μετὰ παρθένων διῆγε, καὶ τὰ ὅπλα ῥίψας ἠφάνιζε τὴν φύσιν τῷ πλάσματι. ἀλλ' οὐχ ὁ Τυδέως· ἀλλ' ἡδέως μὲν ἐδέξατο τὸν καιρόν· ἀσμένως δὲ ἐδέξατο τὰ ὅπλα· προθύμως δὲ καθεῖλκε τὰς ναῦς. ἐμέμνητο δὲ τοῦ πατρὸς, καὶ τὸν ζῆλον οἴκοθεν εἶχεν. ἐπεὶ δὲ ἧκεν[76] εἰς Τροίαν, ὁ μὲν ἑκών· οἱ δὲ φεύγοντες τὸν κίνδυνον, ἄκοντες· ὧν τὸν μὲν Παλαμήδην[77] ἤλεγξε· τὸν δὲ Πηλέως, οὗτος αὐτὸς ὁ Διομήδης· ἦν μὲν καὶ τὸν ἄλλον ἅπαντα χρόνον χρήσιμος τοῖς πράγμασι· μάλιστα[78] δὲ καὶ τῆς ὀργῆς διεδέχθη τῆς Ἀχιλλέως, μεμψαμένου τὸν Ἀγαμέμνονα τούτου, καὶ τοῦ συμμάχου ἀποστάντα.[79] καὶ διὰ τῆς μητρὸς τὸν Δία πεποιηκότος[80] μετατάξασθαι· καὶ λαμπρῶς ἐκείνου[81] τὰ τῶν Τρώων εἰρημένου· καὶ τὰ τῶν Ἑλλήνων φθείροντος καὶ ἀπολλύντος·[82] Διομήδης ἐστὶν ὁ τὴν ἑαυτοῦ φύσιν ἀντιτάξας τῇ τοῦ καιροῦ δυσκολίᾳ, καὶ γενομένης μάχης,[83] ἐμπίπτων τοῖς ἐναντίοις σφοδρῶς, καὶ ἀποσφάττων. οὕτω δὲ οὐδὲν κατεῖχεν αὐτὸν, ὥστε τῶν μὲν οἰκείων ἐκπηδῶν, τῶν δὲ πολεμίων ἁπτόμενος, οὐ παρεῖχε τοῖς ὁρῶσι γινώσκειν ὁποτέρων ἦν στρατιώτης· ἔφερε δὲ τὸν ὁπλίτην οὐδέν· ἀλλ' ὅτῳ περιφέρει. τοῦτο[84] εὐθὺς ἀπέφερεν· οὐχ οὕτω χειμάρρους παρατύρει τὴν γεωργίαν, ὡς ἐκεῖνος τὰς φάλαγγας· ἔπιπτε μὲν ὑπ' ἐκείνου Πάνδαρος ἀπὸ τῶν τόξων ἀφελῶν τὴν Πριάμου πόλιν· καὶ δίκην ἐδίδου πρέπουσαν τῷ κεκινηκέναι τὰς σπον-

76 malim ἧκον [in plurali]

77 Παλαμήδης] sic coni. M. Παλαμήδην t. M.

78 f. μάλιστα δὲ κατὰ τὸν [scil. καιρὸν] τῆς ὀργῆς διεδέχθη [scil. χρήσιμος] τῆς Ἀχιλλέως. hic desinente sententia, incipit noua μεμψαμένου γὰρ τὸν Ἀγ. τούτου.

79 ἀποστάντος. cum Achille ab Agamemnone, quem nuper socium belli habuisset, defecisset.

80 ambigo adhuc inter vulgatum πεποιηκότος et πεπεικότος.

81 ἐκείνου] redit ad Iouem.

82 ἀπολλύντος] ἀπολλόντος M.

83 post μάχης deest ἠρίστευσεν, aut simile quid.

84 probo Morelli coniecturam τοῦτον. Sed et ὅτῳ προσφέροιτο l.g. aut ὅτῳ περιπέσοι.

σπουδάς. Αἰνείας τοῦ Διομήδου μὲν ἡττᾶται, διὰ δὲ τῶν θεῶν σώζεται· οὕτω δὲ ἐξῆλθεν[85] ἀμύνων, καὶ τοὺς βαρβάρους κτείνων καὶ ποιῶν ἐλάττους ἀεὶ, ὥστε καταγνόντες ἑαυτῶν, ἀφέντες τὰς ἐν ὅπλοις ἐλπίδας,[86] εὐχαῖς τῷ Διομήδει τὴν Ἀθηνᾶν ἐπανίστασαν. ὁ δὲ θαυμαστὸς Ἕκτωρ ὃς ἀνέχειν ἐδόκει τὰ πράγματα τοῖς Τρωσίν· ἐφ᾽ ᾧ τὸ Ἴλιον ἐσώζετο, πρόφασιν ὁρῶν τῆς οἴκαδε πορείας, ἀκμάζουσαν, ἀφῆκε τὴν μάχην καὶ πρὸς τὴν πόλιν ἐχώρει, κινήσων τὰς Τρωάδας εἰς εὐχήν· τοῦτο δὲ ἦν λιπεῖν φόβῳ τὴν τάξιν, οὐ χρείας θεραπεύειν, αὐτοῦ δεομένης.[87] οὐ γὰρ δὴ στρατηγῶν φωνὴν ἀπῄτει τὸ ῥῆμα τοῦτο, ὅτι προσῆκεν[88] εὔξασθαι. ἀλλ᾽ οὐκ ἂν Ἰδαῖος ἤρκεσε τῷ λόγῳ; καί τις ἂν ἄλλος ἴσως τῶν ἐκείνῳ τεταγμένων ὑπηρετεῖν; ἀλλ᾽ οἶμαι τὴν διακονίαν ἥρπασεν εἰς σωτηρίαν. οὐ τοίνυν δεινὸς μὲν ἦν τρέψασθαι τοὺς πολεμίους· θυμῷ δὲ ἐδούλευε, καὶ ταῖς ἡδοναῖς ἐχαρίζετο· ἀλλ᾽ οὕτως ἤσκει τούτων ἁπάντων ἐγκράτεια,[89] ὥστε καὶ εἰ μὲν δεινὸς ἦν ἐν μάχαις, ἀπό τε[90] τούτων ἱκανῶς εὐδοκίμει. ὅταν οὖν ἀκούεις ὡς ἐτέρωτε[91] νῦν μὲν τὸν Ἄρη, νῦν δὲ τὴν Ἀφροδίτην, ταῦτα ἡγοῦ[92] κεκρατῆσθαι τὰ πάθη· ποιητῶν δὲ ἄρα νόμος, ἀντὶ τούτων δὴ τῶν παθῶν ὀνομάζειν θεούς. ἀλλὰ γὰρ ἐπὶ τὰς μάχας πάλαι ἐπανακτέον τὸν λόγον. φανεῖται γὰρ ἐν τοῖς ἐσχάτοις ἀτυχήμασι, μείνας ἐπὶ τῆς ἀνδρείας,

[85] duo vocabula δὲ ἐξῆλθεν in vnum διεξῆλθε videntur esse contrahenda.

[86] τὰς ἐν ὅπλοις ἐλπίδας.] τὰς ἐνόπλους ἐλ. M.

[87] f. δεομένας. nam χρείας est pariter accusatiuus pluralis.

[88] f. προσήκοι [in optatiuo] εὔξασθαι. οὐδ᾽ οὐκ ἂν neque Idaeus non suffecisset huic praecepto promulgando καὶ εἴ τις ἂν ἄλλος [scil. παρῆν] et si quis alius praesto fuisset.

[89] f. ἐγκρατείαν. tum probo Morellum, μὲν cum μὴ permutantem.

[90] τε] lege γε. ab his certe laudibus.

[91] ἔτρωσε vulneratum a Diomede fuisse modo Martem, modo Venerem. ἴσ. οὔτασε vel ἐτραυμάτισε m. M.

[92] f. ταῦτα ἡγοῦ δηλοῦν τὸ ὑπ᾽ αὐτοῦ κεκρατῆσθαι τὰ πάθη. ποιητῶν γὰρ νόμος.

ἀνδρείας, καὶ μείνας γε μόνος. καὶ τῶν φευγόντων κατηγορῶν. ἐπειδὴ γὰρ ἔδοξε τῷ Διῒ τὰ τῶν Τρώων αὔξηται καὶ πάντες οἱ πρό του λαμπροὶ τῆς ἀκαιρίας ἥττηντο, ὁ βασιλεὺς, ὁ Ὀδυσσεὺς, ὧν πλεῖστος ὁ λόγος, Αἴας ἑκάτερος. Νέστορα δὲ τὸ περὶ τῶν ἵππων κατεῖχε πάθος. Ὁ δὲ Ἕκτωρ ὑπὸ τοῦ Διὸς ἐπηρμένος, σφοδρὸς ἐπέκειτο. Διομήδης δὲ ἵσταται πρὸς τὴν συμφορὰν τοῦ γέροντος· καὶ μεμψάμενος τὸν Ὀδυσσέα τῆς δειλίας. κἀκεῖνον εἰς τὸ ἅρμα ἀναλαβὼν, αὖθις ἐτάραττε τοὺς ἐχθρούς. ὅτε δὴ καὶ τοῖς ἐξ οὐρανοῦ βαλλόμενος βέλεσιν οὐκ ἐβάλλετο[93] ἀλλ' ὁ μὲν Ζεὺς ἄνωθεν ἐμάχετο τοῖς κεραυνοῖς· ὁ δὲ καὶ ταῦτα ἠνείχετο· καὶ τὴν μὲν ἀνδρείαν ἐν τούτοις ἐνεδείκνυτο. τὸ δὲ εἰδέναι πείθεσθαι συμβούλῳ, τῷ μὴ τὴν παραίνεσιν ἀτιμᾶσθαι[94] τοῦ γέροντος· ὃς ἔπειθε τὸν Διομήδην εἶξαι τῷ Διΐ· σεμνύνει μὲν δὴ καὶ ταῦτα τὸν Ἥρω· πολὺ δ' ἔτι κάλλιω τὰ δεύτερα· διὰ γάρ τοι τοῦτο[95] καὶ τὴν τούτου παῤῥησίαν, οὐκ ἀπῆλθον ἀπὸ τῆς Τροίας Ἕλληνες ἄπρακτοι. πιεζομένου γὰρ ταῖς συμφοραῖς Ἀγαμέμνονος, καὶ σαφῶς ἀπειρηκότος, καὶ μεμνημένου φυγῆς ἐν τοῖς ἀρχομένοις, καὶ κελεύοντος ἀνάγεσθαι καὶ τῶν ἄλλων οὓς ἔδει κωλύειν ἡσυχαζόντων. τοῦτο δὲ οἶμαι σύμβολον ἦν ἢ τοῦ μὴ βέλτιον ὁρᾶν· ἢ τοῦ μὴ τολμᾶν ὃ βέλτιστον ἡγοῦντο λέγειν· μόνος ὁ Διομήδης ἤλγησέ τε ὑπὸ τῆς αἰσχύνης, καὶ τὸ περιστὰν[96] οὐκ ἀπεκρύψατο· ἀλλὰ μάλ' ἀνδρείως δειλὸν ἀποκαλέσας, καὶ τοῖς φαυλοτάτοις τῶν Ἑλλήνων ἀνεῶχθαι τὴν θάλασσαν, αὐτῷ καλὸν μένειν ἔφησεν. οὐδὲ γὰρ προσήκει[97] προδοῦναι τὰς παρὰ τῶν θεῶν ἐλπίδας. οὕτω δὴ τὴν αἰσχύνην ἀνελὼν, καὶ κατασχὼν τὸν στρατὸν, ἐπὶ τοῦ πρέποντος σχήματος, πάλιν ἑτέρᾳ δημηγορίᾳ τὸν στρατὸν ἐπτέρωσε, διαπτύσας μὲν τὴν ὀργὴν Ἀχιλλέως, μεμψάμε-

93 f. οὐ κατεβάλλετο.

94 ἀτιμάσαι [in actiuo.]

95 τοῦτο] imo vero τοῦτον [in masculino] propter hunc Diomedem, et propter eius in loquendo fiduciam.

96 παραστὰν animi sui sententiam.

97 προσήκειν [in infinitiuo.]

ψάμενος δὲ τὴν πρεσβείαν· καὶ τοῦ[98] μὴ συνεῖναι τοῦθ' ὅτι τοῖς δώροις,[99] ἐκεῖνος ἔσαι χαλεπώτερος· τοῖς μὲν λόγοις κρείττους ἐποίησε τοὺς Ἕλληνας, ἀπαλλάξας ἀθυμίας· νυκτὸς δὲ ἐπελθούσης, καὶ καθεύδοντας τοὺς πολλοὺς ὠφέλει[100] κουφίζων τοῖς τολμήμασι τὰ δυστυχήματα. ἀπέκτεινε μὲν τοίνυν τὸν Δόλωνα· καὶ τοὺς πολεμίους ἐν ἀγνοίᾳ τῶν Ἑλληνικῶν πραγμάτων ἐτήρησε· πρὶν ἀποκτεῖναι,[1] τὰ ἐκείνων μαθών· εἰδὼς δὲ ὡς καιρὸς ἐπιθέσθαι τοῖς Θραξὶν ἐφεισήκει· κειμένους[2] ἀπέσφαττεν, ὕπνῳ κατειλημμένους· ὥστε οὐκ ἀπέλαυσαν[3] οἱ Τρῶες τῆς τοῦ Ῥήσου συμμαχίας. Ὀδυσσεὺς δὲ μᾶλλον εἵπετο μάρτυς ἢ συνεργὸς τῶν ἐκείνῳ δεδρασμένων. Ἐπεὶ δὲ ἔδει βληθῆναι, καὶ τοῦτο ἐπεπόνθει, τῶν πραγμάτων[4] οὐδ' οὕτως ἀφεισήκει παντελῶς· ἀλλ' οὐκ ἔχων τῷ σώματι συντελεῖν, τῇ γνώμῃ συνηγωνίζετο, τὰς παρακλήσεις[5] τῶν χειρῶν συνεισφέρων τῇ χρείᾳ· καὶ τί δεῖ λέγειν, ἵππων ἀγῶνας, καὶ νίκην ἣν ἀνείλετο, τὰς Εὐμήλου παραδραμών· ὧν τὸ τάχος Ὅμηρος τοῖς τῶν ὀρνίθων ἀπεικάζετο[6] πτεροῖς. Ὅμηρος δέ μοι παίζειν δοκεῖ, τῶν Ἀχαιῶν ἄριστον μετ' Ἀχιλλέα τιθεὶς τὸν Αἴαντα. οἷς γὰρ αὐτὸς ἐκεῖνος πεποίηκεν, ἀμφοτέρων ὁ Διομήδης[7] πέφηνε· τοῦ μὲν γὰρ ἐκράτησε μονομαχῶν,

[98] semper τὸ leg. est loco τοῦ, siue τὴν πρεσβείαν seruas, siue τῆς πρεσβείας praefers, reprehendens in legatis,. praeter alia, etiam hoc, quod non perspexissent —

[99] τοῖς δώροις] id est ἐπὶ τοῖς δώροις vel μετὰ, vel διὰ τὰ δῶρα, *post*, vel *ob* munera.

[100] ὠφέλει] ὠφελεῖ M.

[1] idem est ac si dixisset πρὶν ἀποκτεῖναι τὸν Δόλωνα, παρ' ἐκείνου τὰ τῶν Τρώων μαθών.

[2] f. τοῖς Θραξὶν, ἀφειδῶς κειμένους —

[3] ἀπέλαυσαν] ἀπηλ, M.

[4] f. τῶν δὲ πραγμάτων.

[5] τὰς παρακλήσεις τῶν χειρῶν bene si habet, idem significabit atque τὰς παρ. πρὸς τοὺς ταῖς χερσὶν ἀκμάζοντας. malim tamen τὰς παρακλ. ἀντὶ τῶν χειρῶν [scil. τῶν ἑαυτοῦ] loco manuum, quibus iam vti nil posset, conferens reip. adhortationes, tempore necessitatis.

[6] ἀπεικάζει [in indicatiuo praesentis actiui.

[7] post Διομήδης videtur κράτιστος deesse.

χῶν, ἡνίκα ὁ Πατρόκλου τάφος ἐτιμᾶτο τοῖς ἄθλοις· καὶ τὸ πρᾶγμα δέος ἤνεγκε τοῖς θεωμένοις περὶ τοῦ Τελαμῶνος.[8] τὸ δὲ, ὅτι κρείττων ἦν Ἀχιλλέως ἡ τῶν Τρώων πόλις ἐβόα· τὰς δὲ τῶν πολεμίων ἀρετὰς οἱ πολέμιοι καλῶς ἴσασι· τὴν ἀπόδειξιν τῆς ἑκάστου φύσεως, ἐξ αὐτῶν ὧν πεπόνθασι λαμβάνοντες· καὶ μὴν εἴτις ἤρετο ὁντιναοῦν τί[9] κατήνεγκε τὸ Ἴλιον, τὴν κλοπὴν εὐθὺς ἀκούσεται τοῦ ἀγάλματος· οὗ μένοντος εἴσω τειχῶν, ἔδει μένειν τὴν πόλιν.[10] μεταστάντος δὲ ἑτέρωσε, μηκέτ' εἶναι τὴν πόλιν· τοῦτο τοίνυν τοῦ Διομήδους ἔργον· καὶ ὅστις τῶν Ἀχαιῶν εἰς Ἴλιον ἦλθε, διὰ τοῦτον εἰσῆλθε· καὶ πάντα ἦν τὰ πάντων γ' ἑνὸς Ἥρωος, τοῦ Διομήδους. διὰ τοῦτον ἄνδρας ἔσφαττον· διὰ τοῦτον χρήματα ἥρπαζον· διὰ τοῦτον γυναῖκας ἦγον· διὰ τοῦτον ἔλαβε τέλος ὁ μακρὸς ἐκεῖνος πόλεμος· οὗτος παρέδωκε τὴν Πριάμου πόλιν σιδήρῳ καὶ πυρί· καὶ εἴτις τὸν ἵππον ὃς ἐδέξατο τὸν λόχον, αἰτιᾶται τῆς τοῦ Ἰλίου καταστροφῆς, μάλιστα μὲν ἐκεῖθεν[11] καὶ τότε ἴσχυσε· κατέβη δ' οὖν καὶ ταῦτα,[12] καὶ ἦν ὑπὲρ τοὺς ἄλλους· θαυμαζόμενος δὲ, καὶ τυχὼν ὧν τὸν ἀγαθὸν ἐχρῆν, ἐμβὰς εἰς τὴν ναῦν, λαμπρῶς ἀνήγετο.

ΕΓΚΩΜΙΟΝ ΘΕΡΣΙΤΟΥ.

ΠΑΡΑΙΤΗΣΑΜΕΝΟΣ Ὅμηρον ἔχειν μοι συγγνώμην, ὃν ἐκεῖνος εἰπεῖν ἐβουλήθη κακῶς, τοῦτον αὐτὸς ἐγ-

κωμι-

8 περὶ τοῦ Τελαμῶνος] id est περὶ τοῦ υἱοῦ τοῦ Τελαμῶνος.

9 recte coniecit Morellus τί κατήνεγκε, sed r. M. omittit τί.

10 f. ἔδει μένειν καὶ τὴν πόλιν, vel ἔδει καὶ μένειν τὴν πόλιν. m. M. dat οὐ μένοντ' εἴ τι ᾔδει.

11 locus mendosus, et implicatus. num ἐκεῖθεν καὶ τὸ τέλος ἴσχυσεν? illinc [ex equo Troiano] vel maxime effectus est belli Troiani finis. verum enim vero, ipsemet ego haud multum huic coniecturae tribuo.

12 num κἀντεῦθεν? etiam Diomedes cum aliis heroibus illinc [ex equo Troiano] descendit.

κωμιάζειν ἐπιχειρῶ, Θερσίτην λέγω. πειράσομαι δὲ περὶ αὐτοῦ διαλεχθῆναι μικρόν· καὶ τὸν[13] Ὅμηρον αὐτὸν ἔς τινα παρεχόμενος μάρτυρα. πρῶτον μὲν τοίνυν οὐκ ἐκ φαύλων οὐδὲ ἀνωνύμων ἦν γονέων. εἰ μή φαῦλόν τις ἡγεῖται τὸν Ἄγριον καὶ τὸν τούτου πατέρα, καὶ τὸν ἐκείνου· ἀλλ' οὐδεὶς ἂν εὖ φρονῶν. ὥστ' εἴπερ ἐβούλετο Θερσίτης. ἐν τοῖς Ἕλλησι σεμνύνειν ἀπὸ τῶν προγόνων ἑαυτὸν, ὥσπερ ὁ τούτου συγγενὴς Διομήδης, οὐκ ἂν ἠπόρησεν· ἀλλ' εἶχεν ἂν καὶ αὐτὸς εἰπεῖν,

Πορθεῖ γὰρ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο.

Νῦν δὲ, οὐδ' ὅτε ἠδικεῖτο ἀπὸ Ὀδυσσέως, ἐμνήσθη τῶν πατέρων, ὡς ἄν τις ἀξιῶν αὐτὸς ἀπὸ τῶν αὐτοῦ παρὰ τοῖς Ἕλλησιν[14] εὐδοκιμεῖν. Τραφεὶς οὖν ὡς εἰκὸς τὸν ἐκ τοιούτων, καὶ δυνάμενος ἔργων κοινωνεῖν τοῖς Ἕλλησι πρεπόντων· ἧκε μὲν ἐπὶ τὸν σῦν, ὅτε δὴ καὶ τοὺς[15] ἄλλους ἅπαντας τοὺς ἀρίστους[16] ὁ Μελέαγρος ἐπὶ τὸν τῆς χώρας ἐκεῖνον λυμεῶνα συνῆγεν· ἀπελθὼν ἐκεῖθεν, ἠσθένησέ τε, καὶ τὸ σῶμα αὐτοῦ ἡ νόσος κατέβλαψεν, οὐ μὴν τήνγε ψυχὴν ἐποίησε χείρονα, οὐδὲ ἐξέβαλεν αὐτοῦ οὔτε τὴν ἀνδρείαν, οὔτε τὸ δόξης ἐπιθυμεῖν· σημεῖον δέ. τῶν γὰρ Ἀτρειδῶν ἀγειρόντων τὸν ἐπὶ τοὺς βαρβάρους στόλον, ἔχων πρόφασιν εὐπρόσωπον, εἴπερ ἐβούλετο ῥαθυμεῖν, τὴν περὶ τὸ σῶμα τύχην, οὐκ ἤνεγκεν οἴκοι μένων περὶ τῶν ἔργων ἀκούειν· ἀλλ' ἀφειμένος τῆς ἀπὸ τῶν ὅρκων[17] ἀνάγκης, ἢ τοὺς ἄλλους εἰς τὰς ναῦς ἀνεβίβαζεν,[18] ὥσπερ ἅπαντας ὅρκους ὀμωμοκώς, ἔπλει καὶ παρωξύνετο κατὰ τῶν ἠδικηκότων, ὁ χωλὸς, ὁ φολκὸς,[19] νομίζων δεῖσθαι τὸν πόλεμον ψυχῆς τολμᾷν[20] ἐπισταμένης·

[13] ſic lego eſt diſtinguo — διαλεχθῆναι, μικροῦ καὶ τὸν — ipſum propemodum Homerum — μικροῦ eſt aduerbium, idem ſignificans atque μικροῦ δεῖν, tantum non, ferme. μικρὰ B.

[14] ἄλλοις B.

[15] δὴ καὶ τοὺς] ſic B. καὶ omittit M.

[16] τοὺς ἀρίστους] ſic Bau. τοὺς deeſt M.

[17] ὅρκων] ſic B.

[18] ἐνεβίβ. B.

[19] καὶ φολκὸς B.

[20] τολμᾷν] ſic B. τόλμαν M.

νης· ὥστε μοι δοκεῖ, καὶ τοὺς ἄλλους εἰς τὴν ἀναγωγὴν ποιεῖσθαι προθυμοτέρους ὁ τοιοῦτο σῶμα τῷ Τρωϊκῷ συνεισφέρων. τίς γὰρ οὐκ ἂν ᾐσχύνθη τῶν ἄλλων, ἀστρατίας[21] εἶναι ζητῶν, Θερσίτου δοράτων καὶ τραυμάτων ἐπιθυμοῦντος.[22] ἀκούων δὲ Ὀδυσσέα καὶ τὸν Πηλέως τὸν καλὸν, αἰσχρῶς ἑαυτοὺς τῶν ἀγώνων ἐκκλέπτειν[23] πειρωμένους, καὶ τὸν μὲν σχῆμα κόρης· τὸν δὲ δόξαν μανίας ὑπιόντας,[24] κατεγέλασέ[25] τε καὶ λόγους ἔλεγε πρέποντας τῇ τοιαύτῃ μανίᾳ,[26] οὐ φθονῶν τῷ μὲν τῆς συνέσεως, τῷ δὲ τῆς ἀνδρείας· ἐπεὶ οὕτως ἂν ἐφθόνει Αἴαντι[27] τῷ Τελαμῶνος· ἐφθόνει δὲ τῷ γλυκυτέρῳ[28] τοῦ μέλιτος Νέστορι. ἀλλ᾽ οἶμαι τὰ κακὰ τῶν ἔργων μὴ κακίζειν οὐκ εἶχεν· οὐκοῦν οὔτ᾽ ἀντεῖπεν Ἀχιλλεῖ ποιοῦντι τὸν ἐν τῇ νόσῳ[29] σύλλογον· οὔτε ἐφήσθη τὴν τιμὴν ἀφαιρεθέντι·[30] ἀλλ᾽ αὐτῷ τοὐναντίον συναχθεται·[31] οὐ τοίνυν οὐδὲ[32] Ὀδυσσέως τὴν θεωρίαν ἀπάγοντος διαβάλλει τὸν ἑλόμενον·[33] ἀλλ᾽ ὑπὸ τῶν οὐκ ὀρθῶς πραττομένων ἐκινεῖτο πρὸς λόγους· καὶ τὰς κατὰ τῶν ἁμαρτανόντων αἰτίας, οὐ δεδιὼς τὴν τύχην ἐνίων· οὐδὲ τοὺς μὲν δυναστείας[34] ἔχοντας κολακεύων· τοῖς δὲ τοῦ δήμου χαλεπὸς

[21] ἀστρατίας] ſic B. homo militiam detrectans, defugiens. ἀτρατίαν M.

[22] τραυμ. ἐρῶντος. ἀκ. δὲ ὡς εἰκὸς Ὀδυσσέα τε καὶ τὸν Π. B.

[23] ἐκκλέπτειν] ſic B. ἐκλάπτειν M.

[24] ὑπεισιόντα B.

[25] κατεγέλα B.

[26] μανίᾳ] κακίᾳ Bau. non male. *ignauiae*, *pauori* militiam reformidanti. tam Achillis, quam Vlyſſis coeptum erat κακία, at non vtriusque μανία, ſed Vlyſſis tantum.

[27] ἐπεὶ γ᾽ ἂν οὕτω ἐφθόνει μὲν Αἴαντι B.

[28] coniecturam Morelli γλυκυτέρῳ confirmat B. t. M. dat γλυκυτάτῳ.

[29] νήσῳ B.

[30] Bau. dat οὔτε ἐφήσθη τὴν τιμὴν ἀναιρεθέντι. Supplementum neceſſarium vtique amplector. quod deſignet τὴν κόρην Briſeida. verum ἀφαιρεθέντι ſeruandum cenſeo. τὴν τιμὴν omittit M.

[31] συνάχθεται] ſic B. et m. M. συνάχθεσθαι t. M.

[32] οὐδὲ] ſic B. οὔτε M.

[33] τὸν ἑλόμενον] eum, qui Vlyſſem legatum legiſſet, vel legationis principem. Sed videtur aliud neſcio, quid latere.

[34] δυναστείας in plurali] ſic Bau, δυναστείαν M.

πὸς ὢν· προπηλακίζων[35] καὶ ἐλαύνων τῶν ἀσθενεστέρων ἕκαστον· ᾔδει γὰρ ὅτι τούτοις μὲν ἐς τὸ σωφρονεῖν ἀρκεῖ τὸ μὴ τρυφᾶν. τοῖς δ' ἐν ἀρχαῖς, καὶ πλήρετι τραπέζης καὶ πλούτου δεῖν ἄρχοντος ἔχοντος[36] φρόνημα καὶ παρρησίαν συμφέρουσαν· ὃς[37] ἔμελλεν εἴσεσθαι τὰ ἁμαρτανόμενα, καὶ ἐπιπλήξειν καὶ καταβοήσεσθαι. καὶ τὰ μὲν διακωλύσειν τὰ δὲ ἐπανορθώσειν, καὶ δείσειν τῶν ἁπάντων μηδέν· μὴ σκῆπτρον· μὴ δεινότητα ἀνδρός, μὴ φίλων πλῆθος· μὴ τοὺς ἐκείνων προβεβλημένους. οἷον ὕστερον συνέβη παρ' Ἀθηναίοις γενέσθαι τὸν Δημοσθένην. ᾧ τὸ κοινῇ συμφέρον πρὸ τῶν αὐτῷ λυσιτελούντων ἐκέκριτο· καὶ λέγων οἷς ᾔδει τὸν δῆμον ἀνιάσων,[38] μᾶλλον ᾑρεῖτο λυπεῖν, ἢ χαρίζεσθαι κακῶς· ἐπὶ ταύτης αὐτὸν καὶ Θερσίτης ἔταξε τῆς τάξεως· καὶ πολλαὶ μέν, ὡς εἰκός, ἐκκλησίαι,[39] πολλὰς καὶ καλὰς ἐδέξαντο δημηγορίας τοῦ ῥήτορος, οὐ βραχέα[40] περὶ μεγάλων λέγοντος· ἀλλ' ἐκτείνοντος πρὸς τὴν χρείαν τοὺς λόγους· πάνυ δ' ἄξιον ἄγασθαι τοῦτον τὸν καὶ[41] παρ' Ὁμήρῳ μνήμης ἠξιωμένον· ὁρῶν γὰρ ἐκεῖνος τὸν ἄρχειν ἀξιοῦντα[42] τῶν ἄλλων, αἰχμαλώτοις δουλεύοντα γυναιξί, καὶ ποτὲ μὲν αἴτιον λοιμοῦ τῷ στρατοπέδῳ γινόμενον· ποτὲ δὲ ἀποκόπτοντα τῆς δυνάμεως τὸν Ἀχιλλέα· νῦν μὲν διὰ τοῦ Χρύσου,[43] νῦν δὲ διὰ τὴν Βρισέως,[44] καὶ σκοποῦντα μόνον, ὅπως ὥρας ἀπολαύοι σώματος· ἰδὼν ἐντεῦθεν

ὅτι

[35] τοὺς δὲ τοῦ δήμου χαλεποιῶν καὶ προπηλακίζων P.

[36] B. non male δεῖ τινος ἔχοντος.

[37] καὶ ὃς B

[38] f. τὸν δῆμον ἐπ' ἀγαθῷ (vel συμφερόντως) ἀνιάσειν.

[39] f. ὡς εἰκὸς γενόμεναι ἐκκλησίαι.

[40] βραχέα in neutro] sic B. βραχέας M.

[41] malim τοῦτο τὸ καὶ π. huius Therſitae facinus illud quoque apud Homerum commemoratione cohoneſtatum, aut, ſi mauis, παρ' Ὁμήρῳ a b Homero dignum commemoratione habitum.

[42] ἀξιοῦντα B.

[43] B. u. διὰ τὴν Χρύσιν cum s ſuper ν extremo ſcripto. lege διὰ τὴν [ſcil. θυγατέρα] Χρύσου.

[44] τὴν Βρ.] ſic B. τῆς Βρ. M.

ὅτι χειρόνων ἕξει[45] τὰ πράγματα τοῖς Ἀχαιοῖς οὐ προτιμῶντα· καὶ ἐν μὲν τῷ φανερῷ μεμνημένον φυγῆς, λάθρα δὲ κατεσκευακότα τὴν μνήμην·[46] καὶ τὰ μὲν αὐτὸν λέγοντα· τὰ δὲ διὰ τῶν κολάκων πράττοντα, καὶ ποιοῦντα ἔργον μὴ ὅτι βασιλέως, ἀλλ᾽ οὐδὲ ἰδιώτου χρηστοῦ, παρελθὼν μάλα ἀξίοις τοῦ γένους ἐχρήσατο λόγοις, τὴν φιλοχρηματίαν[47] εὐθὺς προφέρων· ἢ ὃ καὶ παρ᾽ Ἀχιλλέως εἰς ἑαυτὸν εἴρητο πρότερον· καίτοι πῶς οὐ δεινόν, ὅταν μὲν Ἀχιλλεὺς λέγῃ μὴ εἶναι τὸν λόγον ἀνόητον· ὅταν δὲ ἕτερος. οὐκ οὖν τὴν μὲν τοῦ Θερσίτου δικαιοσύνην[48] τὸ τ᾽ ἀληθῆ κατηγορηκέναι. τὴν δὲ ὑπὲρ τῶν κοινῶν φροντίδα τὸ τῆς συμμαχίας ἀποστάντος Ἀχιλλέως ἀγανακτεῖν. τὸ δὲ ἀνδρεῖον, τὸ θαρρούντως ἐπιτιμᾶν τῷ τὴν ἀρχὴν ἔχοντι καὶ τὸ φάσκειν, εἶναι τὸν ὑβρισμένον ἐκείνου κρείττονα· ὡς δὲ καὶ πόλεσι προσέβαλλε, καὶ αἰχμαλώτους ἤρει, δῆλον εἰς περὶ αὐτοῦ λέγει ποιεῖ·[49] οὐ γὰρ ἂν ἐν τοῖς τἀναντία συνειδόσιν, οὕτως ἀναιδῶς ἠλαζονεύετο· ἀλλ᾽ ἔχων μαρτυροῦντα τὰ πράγματα, σεμνοῖς εἰκότως ἐπὶ τῆς ἐκκλησίας[50] ἐχρῆτο τοῖς λόγοις· πλὴν εἰ μὴ

[45] praefero e B. *σωμάτων* in plurali. tum sic emendo. *εἰ δ᾽ ἐντεῦθεν ἔτι χεῖρον ἕξει* pensi non facientem, si hoc pacto fiat, vt res Graecorum adhuc etiam magis pessum eant. *χεῖρον* etiam in B. reperi.

[46] non displicet Morelli coniectura *τὴν μονήν.* tametsi a B. non confirmatur.

[47] recte B. *τὴν φιλοχρηματίαν.* tum legendum videtur *ἣ καὶ* — [sine *ὃ*] quae cupiditas iam antea quoque ab Achille ipsi fuerat vitio data. videtur in codicibus Libanii duplex lectio fuisse, in aliis *ἥ*, quae ad *φιλοχρηματίαν* redit, in aliis *ὅ*, quae ad rem vniuersam, scil. *τὸ εἶναι αὐτὸν φιλοχρήματον.* M. dat *φιλοτιμίαν.*

[48] post *δικαιοσύνην* deesse aliquid, siue id est, quod Morellus coniecit, *ἔδειξε*, siue aliud quid simile, penes me certum est. Durum enim sit haec referre ad *δῆλον ποιεῖ* [Homerus puta] quod paulo post legitur. quod si probetur, *τὸ* primum et secundum et tertium et quartum mutanda sint cum *τῷ* quater iterando.

[49] *ποιεῖ* sic B. *ποιεῖν* M. *ἴσ. ποιητὴς* m. M.

[50] *τῆς ἐκκλησίας*] sic B. *in* vel *coram* concione *τὴν ἐκκλησίαν* M.

μὴ μεμηνέναι[51] φαίη τις αὐτόν. ἀλλ᾽ οὐχ Ὅμηρός γε τοῦτο[52] ἔφησε· ἀλλὰ φοξὸν μὲν, καὶ ψεδνὴν λάχνην, καὶ μακρολογεῖν, καὶ τοιαῦτα εἶπε· τοῦτο δὲ οὐ προσέθηκεν· οὐκοῦν ἄγε τοῦ μεμηνότος ἐστὶν, ὃ σωφρονῶν οὐκ ἄν ποτε πάθοι. εἰς οὖν ἦν ὁ Θερσίτης τῶν τοῖς πολεμίοις φοβερῶν· εἴγε τοὺς υἱεῖς τοὺς ἐκείνων δεσμίους[53] ἦγεν· εἰ δὲ μὴ οὕτω ταῦτ᾽ εἶχεν,[54] ἀλλ᾽ ἦν παντάπασιν ἄχρηστος, οὔτ᾽ ἂν ἧκε τὴν ἀρχὴν, οὐκ ἐῶντος τοῦ Διομήδους. εἴτε[55] καὶ τότε[56] παρώφθη, ταῖς γε ἐκκλησίαις οὐκ ἂν ἐνοχλεῖν ἐπέτρεπεν οὐδὲ τὰ μὴ προσήκοντα αὐτὸν ἐγκωμιάζειν· εἰδὼς ὅτι καὶ αὐτὸς ἂν μετεῖχε τῆς αἰσχύνης. φέρε δὴ τί τούτοις χεῖρων ἦν τοῦ Νέστορος;[57] μᾶλλον δὲ πῶς οὐ βελτίων; ὁ μὲν γὰρ ἀμφοτέρους θεραπεύει, τόν τε ἠπειληκότα, καὶ τὸν ὑβρισμένον· καὶ οἶδε μὲν ἅπαντα καλῶς· εἰπεῖν δὲ ἃ φρονεῖ, καθαρῶς οὐ τολμᾷ· Θερσίτης δὲ οὐδὲν προκαλυψάμενος πρὸ τῆς τύχης τὴν ἀρετὴν ἄγει· καὶ ταῦτα ἔλεγεν οὐ ζηλοτυπῶν αὐτὸν τῆς Βρισηΐδος· ἀλλ᾽ ὁρῶν ἃ συμβήσεται μὴ συμπολεμοῦντος Ἀχιλλέως, ἃ καὶ αὐτὸς Ὅμηρος διηγεῖται. φαίνεται οὖν ἡ παῤῥησία παρὰ τῷ Θερσίτῃ μείζων ἢ παρὰ τῷ Νέστορι τῷ γενεὰς βασιλεύοντι τρίτης· οὐκοῦν ἐμίσει μάλιστα τὸν Ἀχιλ-

[51] μεμηνέναι] sic B. μεμηνῆκαι M.

[52] τοῦτο] scil furiosum eum esse.

[53] δεσμῶν B. f. voluit ἀποδεσμῶν.

[54] recte B. οὔτ᾽ ἂν ἧκε, neque venisset vnquam ad Troiam Thersites, τὴν ἀρχὴν οὐκ ἐῶντος — quia Diomedes ei nunquam permisisset illuc proficisci. M. dat οὐκ ἂν ἄγει.

[55] ἄγε dat B. voluit εἴτε. quod verum est. εἰ δὲ M.

[56] τότε] τοῦτο B. non male. seruabo tamen vulgatam, nisi quod cum B. sic distinguam: εἴ τε καὶ τότε παρώφθη, siue tum per conniuentiam et dissimulationem, siue etiam per contemptum, exclusus communione expeditionis non fuit Thersites, cum Argiui Argis exirent ad illud bellum capessendum. profecto tamen Diomedes Thersitam passus non esset conciones turbulentis orationibus exagitare.

[57] non displicet lectio B. τί τούτοις ἦν ποίοις λόγοις χεῖρων τοῦ Νέστορος;

Ἀχιλλέα· ἀλλ᾽ ἐκεῖνον μὲν ὡς εἰκὸς, ὀγκούμενον κατεμέμφετο· τοῖς δ᾽ ἄλλοις ὁπότε καιρὸς ἦν, ὑπὲρ ἐκείνου προσέκρουεν. οὐδένα ὑπ᾽ οὐδενὸς, τόγε αὐτοῦ μέρος, ἐῶν ἀδικεῖσθαι· καὶ ὅτι γε ηὐδοκίμει λέγων, ἐμαρτύρησαν οἱ Ἕλληνες, οὔτε ἐκβαλεῖν μεταξὺ λέγοντα δεῖν εἰπόντες· οὔτε δίκην ἀπαιτῆσαι τῶν εἰρημένων· ἀλλά τις ἦν ὁ παροινῶν, ὁ ῥήτωρ εἶναι βουλόμενος, ὁ δακνόμενος τῷ ῥεύματι τῶν τοῦ Θερσίτου λόγων· καὶ ῥήματι διαβάλλων τὴν τέχνην· ἀμφοτέρους τοίνυν ἔλαβε μάρτυρας ἀνὴρ ἐκεῖνος, τοῦ δικαίως[58] κεχρῆσθαι[59] τοῖς λόγοις, τόν τε πλήξαντα αὐτὸν καὶ τὸν Ἀγαμέμνονα· τὸν μὲν τῷ σιγῆσαι· τὸν δὲ, αὐτῷ τῷ πλῆξαι· τοῦ γὰρ μηδὲν αὐτὸν ἔχειν ἐλέγχειν, ὁμολογία τοῦτό γε ἦν· οὐ δὴ τοῦ πεπονθότος τοῦτό γε ψόγος· ἀλλὰ τοῦ δράσαντος· καὶ μέμφοιτ᾽ ἂν τις εἰκότως ὑπὲρ μὲν τοῦ σώματος τὴν τύχην, ὑπὲρ δὲ τῆς ἀσελγείας τὸν παραβάντα τοὺς τῆς ὕβρεως νόμους. Θερσίτης δὲ καὶ θαυμάζοιτ᾽ ἂν ταύτῃ, ὅτι πάσχων κακῶς, ἠπίστατο φέρειν· καὶ ἐκ ηὐτομόλησε περὶ[60] τοὺς πολεμίους. οὓς καὶ ἐπῆρεν ἂν, καὶ θρασεῖς ἐποίησε, πάντα ἐξαγγείλας τὰ τῶν Ἑλλήνων ἀπόῤῥητα.

ΕΓΚΩΜΙΟΝ ΔΗΜΟΣΘΕΝΟΥΣ.

Εἰ μὴ Δημοσθένην ἐπαινεσόμεθα παρ᾽ οὗ γέγονεν ἡμῖν τὸ δύνασθαι λέγειν, πάντων ἀδικώτατον πράξομεν. εὐθὺς τοίνυν ἐκεῖνο μέγιστον εἰπεῖν, ὅτι γενόμενος ἐξ ἀρίστης πόλεως, ἄξιον αὐτὸν τῆς ἐνεγκούσης ἔδειξεν. Ἀθηναῖος μὲν γὰρ ἀνὴρ πόλεως πρεσβυτάτης καὶ θεοφιλεστάτης· θεοῖς μὲν ἐμβαλούσης ἔρωτα· δεξαμένης δὲ παρ᾽ ἐκείνων δωρεάς· κοινωνησάσης δὲ ἐς τὸν[61] δοθέντα τῷ γένει, μακρὸν λέγειν, ναυμαχίας, πεζομαχίας, νίκας,

[58] δικαίως] sic B. δικαία ὡς M.
[59] γα. κέχρησθαι vel κεκρῖσθαι m. M.

[60] περὶ] lege πρὸς vel, vt in B. est, παρά.
[61] f. κοινωσάσης δὲ τὰ δοθέντα.

νίκας, τρόπαια, καὶ πάντα τὰ Ἀθηναίων καλά. Τεχθεὶς δὲ παρ' ἐκείνοις ἐκ πατρὸς ἐπιεικοῦς· καὶ τὸν βίον ἀπὸ τῶν δικαίων ποιούμενος, τύχῃ μὲν βλάπτεται· γνώμῃ δὲ πρὸς τὴν τύχην ἵσταται· καταλειφθεὶς μὲν γὰρ ἐν ὀρφανίᾳ καὶ παρούσης ἐξουσίας εἰς τὸ ῥαθυμεῖν, οὐκ ἔμεινεν ἐν ἀπαιδευσίᾳ· τοῦτο δὴ τὸ τῶν ἐνταῦθα ἡκόντων· οὐδ' ἐπειδὴ τὸν ἐπιτάξαντα οὐκ εἶχε, διὰ τοῦτο πρὸς ῥαστώνην ἔδραμεν· ἀλλ' ἀντὶ τοῦ πατρὸς ἑαυτῷ καταστὰς, εἴχετο πόνων· καὶ τῶν ἐπιτρόπων ἀρπαγὰς,[62] νέος μὲν ὢν διήνεγκεν· ἀνὴρ δὲ γενόμενος διήλεγξεν· οὕτω καλοὺς λόγους ὑπὲρ τοῦ δικαίου συνθεὶς, ὥστε καὶ τοὺς πρεσβυτέρους τῶν τότε ῥητόρων ἐν θαύματι καθεστάναι· τὸ δὲ κάλλιστον τῶν ἐν ἐκείνοις πράγμασιν. οὐ γὰρ ὅσον ἀπέδειξεν ἀπεστερημένος εἰσεπράξατο· ἀλλ' ἐπὶ τοῖς ἐλέγχοις πρᾶος ἐγίνετο· μικρὰ μὲν λαβὼν, ἀφεὶς δὲ τὰ τελείω·[63] τῇ μεγαλοψύχῳ[64] τοίνυν ἀφ' οὐσίας χρησάμενος, αὐτὸς ἦν ἐν τοῖς κοινοῖς χορηγῶν, εἰσφέρων, τριηραρχῶν· ἐν δὲ χορηγιῶν μνήμῃ δίκαιον μηδ' ἐκεῖνο παρελθεῖν· ἐφεστήκει μὲν γὰρ τὰ Διάσια· χορηγὸς δὲ οὐκ ἦν τῇ Πανδιονίδι φυλῇ· ταραχῇ δὲ ἦν ἐν τῷ δήμῳ, καὶ τὸ δοκεῖν ἠμελῆσθαι παρὰ[65] τῆς πόλεως τὸν θεόν. ὁ δ' ἑκὼν ὑποστὰς, τέλος ἀνεῖλε τὰ δυσχερῆ. μικρὰ ταῦτα, τὴν προαίρεσιν εἴ τις ἐξετάζῃ, μεθ' ἧς ἥψατο τοῦ βήματος· ἴδοι δ' ἄν τις τὸν Δημοσθένην καλῶς, εἰ πρότερον σκέψαιτο τὸν Φιλίππου τρόπον· ἐκεῖνος προσέθηκε μηχανὴν τοῖς Ἕλλησι χαλεπωτάτην, τὴν διὰ τῶν χρημάτων· οὐ γὰρ ὁπλίτας συνέστησεν ἐπ' αὐτοὺς καὶ στρατόπεδα· καὶ δι' ἀγώνων ᾕρει τὰς πόλεις, ἀλλ' ἐδίδου χρυσίον· ὠνεῖτο τοὺς προεστηκότας, καὶ δι' ἐκείνων εἶχε τὰς πόλεις· καὶ τοῦ νοσήματος καταχόντος τὴν Ἑλλάδα, καὶ τῶν ἑκασταχῇ πολιτευομένων δεχομένων ἐπὶ ταῖς πατρίσι· Δημοσθένης μόνος οὐχ ὑπέσχε τὴν χεῖρα· ἀλλ' ὁρῶν ἑτέρους πλουτοῦντας,

αὐτὸς

[62] f. τὰς ἁρπαγάς.

[63] recte coniecit Morellus πλείω.

[64] f. τῇ μεγαλοψυχίᾳ.

[65] περὶ τὸ m. M.

αὐτὸς εἰ σώζοι τὴν ἑαυτοῦ, κέρδος ἡγεῖτο· καὶ διὰ τῆς φωνῆς ἀνθίστατο τῷ διδόντι,[66] τοῖς λαμβάνουσι, τῷ δήμῳ τὸν μὲν ἀποκρουόμενος τῶν δὲ ἐλέγχων τὴν πονηρίαν· τῶν δὲ αἰτιώμενος τὴν ῥᾳθυμίαν. ἐπῄει[67] Φίλιππος Ὀλυνθίοις. ὁ δὲ ἀνίστησι[68] τοὺς Ἀθηναίους ἐπὶ τὴν σωτηρίαν τῶν ἀποίκων, πυκναῖς δημηγορίαις καὶ τὸ Δημοσθένους μέρος οὐχ εἷλε[69] ὁ Φίλιππος, Ὄλυνθον· Εὐθυκράτους δὲ ἡ[70] μισθαρνία τὴν τούτου σπουδὴν διέφθειρε.

Πάλιν πρεσβεύων ὡς[71] τὸν Φίλιππον, ἐμίσει τὸν τύραννον καὶ ἐμισεῖτο παρ' αὐτοῦ. χαριζόμενος οὐδὲν φεύγων τὰ λήμματα, καὶ μέχρι τῶν ξενίων προὔδοσαν ἕτεροι τὴν Θρᾴκην μέλλοντες· ὁ δὲ ἐβόα, σπεύδωμεν[72] πάλιν Φωκέας Αἰσχίνης ψευδόμενος· ὁ δὲ ἐκώλυε· καὶ Φωκεῖς ἦσαν ἄν· εἰ μὴ τὴν ἀλήθειαν τῶν παρ' ἐκείνου λέγων, ἢ τῶν ἐλπίδων ἐκίνησεν[73] ἡδονή· ἀλλ' οὐδὲ ἀνῃρημένων Φωκέων ἡσύχαζεν· ὁ δὲ[74] πάλιν ἐφενάκιζε, καὶ πονηρὸς ὢν ἀπέφυγεν· οὐ μὴν διὰ τοῦτο Δημοσθένης ἀγανακτήσας ἀπέστη τῶν κοινῶν ἀλλ' ἐφύλαττε διὰ τέλους τὴν τάξιν· πόνους τῷ Φιλίππῳ παρέχων, καὶ τριβὴν ἐμποιῶν· εἰς Πελοπόννησον παρεδύετο καὶ πρεσβείᾳ Δημοσθένους ἐξηλαύνετο· τῆς Εὐβοίας ἥπτετο· καὶ πρεσβείαις ὁμοῦ καὶ στόλῳ ἐξεκρούετο· διὰ μὲν Δημοσθένην ὁ δῆμος ἐκινεῖτο. διὰ δὲ τὸν δῆμον αἱ πόλεις ἐλεύθεροι· Βυζάντιον. Χερρόνησος, Πέρινθος. δι' ἐκεῖνον οὐκ ἐξέπεσεν ἡ πόλις τῆς θαλάττης· ὁ γὰρ τὸ ναυτικὸν διαφθειρόμενον ἐπανορθωτὰς τῷ νόμῳ, καὶ τὸ πλεῖν Ἀθηναίοις δέδωκε· καὶ τὸ κεκτῆσθαι τὴν θάλατταν. συστη-

[66] τῷ διδόντι B M. dat. διδόντι.

[67] ἐπῄει] inuadebat. ἐποίει M et in. M. ἴσ. ἐπόει Φ. Ὀλυνθίοις.

[68] ἀνίστη m. M.

[69] οὐχ εἷλεν.] non cepit. ἔσχεν M.

[70] ἡ μισθαρνία] M. dat μισθάρνης et in m. ἴσ. μισθάρνησις.

[71] πρὸς m. M.

[72] σπεύδων m. M.

[73] ἐκίνησεν ſuſpectum.

[74] ἡσύχαζεν] Philippus. ὁ δὲ] Aeſchines.

συστήσας τοίνυν οὕτω τὸ ναυτικὸν ἐξήρπασεν αὐτὸ τοῦ πυρὸς, ὃ προσῆγεν Ἀντιφῶν. οὗτος γὰρ ἧκε μὲν ἐπὶ τὸ καῦσαι τὰς ναῦς. ἐξηρέθη δὲ πρὶν ἐμβαλεῖν ὑπὸ τοῦ Δημοσθένους· μόνος γὰρ ἐκεῖνος ὑπὲρ τῶν κοινῶν ἄγρυπνος ἦν καὶ διετέλει, γράφων, λέγων, πρεσβεύων, προϊέμενος οἴκοθεν· οὐ λαμβάνων κατὰ τῆς ἐνεγκούσης· οὕτως οὐ μόνον ἔσωζε τὴν πόλιν, ἀλλὰ καὶ ὅπως μὴ τὴν χείρω λάβῃ δόξαν, ἐπραγματεύετο. Πύθωνος γὰρ ἥκοντος ἐπὶ τὸ δεῖξαι τὴν πόλιν ἀδικοῦσαν, ἠναντιώθη· καὶ τοὺς Φιλίππου φίλους οἱ παρῆσαν, μάρτυρας τῇ πόλει κατέστησε τοῦ βελτίονος λόγου. πολλὰς μὲν ἐποιήσατο τὰς πρεσβείας· πανταχόθεν δὲ νικῶν ἀπῆλθε· πολλὰς μὲν κρίσεις·[75] ἀεὶ δὲ συκοφαντούμενος ἀπεδείχθη[76] Δημοσθένης, οὐκ ἀφῆκε Φίλιππον προσελθεῖν τοῖς τείχεσιν. ἀλλ' ἔστησεν ἐν Χαιρωνείᾳ τὸν κίνδυνον. τὴν Θηβαίων πόλιν Ἀθηναίοις προσθεὶς διὰ πρεσβείας, ἣν ἐλπὶς ἦν συνεπιστρατεύσειν εἰς Ἀθήνας τῷ Φιλίππῳ. καὶ μοῖραν τηλικαύτην ἀπέκοψε τοῦ πολεμίου· προσένειμε δὲ τοῖς πολίταις. καὶ ταῦτα εἰκότως εἶχε προνοεῖν· κρατήσας γὰρ οἴνου, καὶ τὴν ψυχὴν ἐλευθερώσας τῆς ἐκεῖθεν ταραχῆς, κατὰ πολλὰς ὀξύτητας[77] τῶν φρενῶν ᾔδει τὸ δέον. θαυμαστὸς ὁ Περικλῆς· ἀντηγωνίζετο γὰρ τοῖς Λακεδαιμονίοις, τοῖς Ἀργείοις, τοῖς Μελίταις[78] τοῖς οὐκ ἀναμίξασι προδοσίαν πολέμοις· ὁ δὲ ἀντηγωνίζετο ταῖς Φιλίππου τέχναις, τοῖς δώροις, ταῖς ἀπάταις, ταῖς ἐπιορκίαις δι' ὧν[79] ἐκεῖνος εἶχε τὰς πόλεις, πρὶν ὃ βούλεται δηλῶσαι. Θεμιστοκλῆς κρείττων ἐφάνη τοῦ Πέρσου τρυφῶντος ἀνθρώπου καὶ ἐκλελυμένου, καὶ παραπαίοντος, καὶ τῶν συμφερόντων οὐδὲν εἰπεῖν δυναμένου· ὁ δὲ κρείττων ἐγένετο τῶν Φιλίππου καὶ πόνων

[75] post κρίσεις videtur κρινόμενος vel tale quid deesse.

[76] ἀνεδ. m. M.

[[77] f. μετὰ πολλῆς ὀξύτητος in singulari.]

[78] τοῖς μελίταις] quid hoc sibi vult?

[79] δι' ὧν] sic recte coniecit M. δι' ὃν t. M.

πόνων καὶ χρημάτων· καὶ ὁ μὲν ἐκολάκευε τὸν βάρβαρον, καὶ ἐνεχείριστεν ἑαυτὸν τῷ δήμῳ·[80] καὶ δεσπότην ἐποιήσατο τὸν δυσμενῆ. Δημοσθένης δὲ ὡς ἔγνω τὴν ψυχὴν Μακεδόνων γεγονυῖαν,[81] οὐδὲν ἀνάξιον τῶν βεβιωμένων ὑπέμεινεν· ἀλλ᾽ ἐπειδὴ δυρεῖν[82] θάτερον ἐχρῆν, ἢ θεραπεῦσαι Μακεδόνας, ἢ προαπελθεῖν μετέστησεν ἑαυτὸν τοῦ βίου φαρμάκῳ· θαύματος μὲν ἀξίως βιούς· ἐφάμιλλον δὲ τῷ βίῳ τὴν τελευτὴν δεξάμενος.

ΕΓΚΩΜΙΟΝ ΓΕΩΡΓΙΑΣ.

ΦΘΑΣΑΣ ἡμᾶς Ἡσίοδος ἐπῄνεσε τὴν γεωργίαν ὁμοία τε καὶ ἴσῃ σπουδῇ χρησάμενος περί τε θεῶν γενεαλογίαν καὶ τὰ περὶ γῆν παιδεύματα. δῆλον γὰρ ὅτι μέγα τε καὶ ἀγαθὸν ἡγούμενος, τῆς αὐτοῦ[1] μνήσης ἠξίωσε. πῶς γὰρ ἂν εἴη μικρὸν ὑπὸ τοιούτων καὶ τηλικούτων θεῶν συμπεπορισμένον; ἀκούσαις γὰρ ὡς Ἀθηνᾶ βοῦν τε ἤγαγεν ὑπὸ ζυγὸν, καὶ ἄροτρον ἔδωκεν ἀνθρώποις· Διόνυσος δὲ τὴν τῆς ἀμπέλου χάριν ἔφηνε· πυροὶ δὲ καὶ κριθαὶ, Δήμητρος δόσις· ἐλαία δ᾽ αὖ Ἀθηνᾶς ἱερὸν, καὶ εὕρημα τῆς θεοῦ τὸ φυτὸν ἐν τῇ πρὸς Ποσειδῶ κρίσει περὶ τῆς Ἀττικῆς ἐδηλώθη. ἕως μὲν οὖν ἡ τέχνη τῆς γεωργίας ἀπῆν, οὐδὲν διέφερεν ὁ τῶν ἀνθρώπων βίος τοῦ τῶν θηρίων, οὐδὲ πόλεων ἦσαν κατασκευαὶ, οὐδὲ τάξις πολιτείας, οὐδὲ νόμων θέσις· ἀλλὰ χάριτι τὸ δίκαιον ἐκρίνετο, καὶ ὁ ἀσθενὴς ὑπὸ τοῦ ἰσχύοντος εἵλκετό τε καὶ ἤγετο. γεωργίαν δὲ ἡγοῦμαι συναγαγεῖν τε ἀνθρώπους, καὶ ἄστη κτίσαι, καὶ ὁμόνοιαν ἐμφυτεῦσαι καὶ τὰ διάφορα ἐκεῖθεν ὑπὸ νόμων λύεσθαι. μυρία μὲν οὖν ἐπιτηδεύματα κατὰ ἀνθρώπους· ἄριστον δὲ ἡ γεωργία. τὸ γὰρ μέγιστον κέρδος δίδωσι τοῖς γεωργοῦσι. τοῦτο δέ ἐστιν αὐτοὺς ἀγαθοὺς εἶναι. ἀνὴρ γὰρ ἀρούρᾳ προσκείμενος

καὶ

[81] f. τὴν τύχην τῶν Μακεδόνων ὑπερτέραν [scil. τῆς ἑλληνικῆς] γεγονυῖαν.

[82] δυρεῖν] lege δυεῖν [sine ρ], quod Atticis idem est, atque δυοῖν.

[1] Ita. αὐτῆς m. M.

καὶ περὶ τὴν γῆν ἐσπουδακὼς, πόῤῥω μὲν ἀγορᾶς, καὶ τῆς ἐν ἀγορᾷ φιλονεικίας πόῤῥω δὲ δικαστηρίων, καὶ τῶν ἐν δικαστηρίῳ συκοφαντιῶν· πόῤῥω δὲ ἐκκλησίας. καὶ τῶν ἀπ' ἐκκλησίας θορύβων· οὐ γραφόμενος· οὐ ψευδόμενος, οὐ φεύγων, οὐ τὰ ψευδῆ μαρτυρῶν. οὐ τὴν ἴσην ἀνταπόδοσιν ἀπαιτῶν· οὐδὲ ἐργαζόμενος χρήματα, ἐξ ὧν ἕτερον συμφοραῖς περιέβαλλεν· ἀλλὰ σπείρας, καὶ τὰ ἄλλα ποιήσας ὁπόσα περὶ τὰ φυτὰ, περιμένει τὴν ὥραν, καὶ τὸν ἐκεῖθεν πόρον. μετὰ μὲν εὐχῶν καταβάλλων τὰ σπέρματα· τῶν δὲ καρπῶν ἀπαρχόμενος τοῖς δεδωκόσι θεοῖς· φιλοπραγμοσύνης ὅτι πλεῖστον ἀπελθών·[2] ἅτε ἐν βουσὶ καὶ προβάτοις καὶ αἰξὶ διατρίβων· ὥστέ μοι δοκοῦσι καὶ ῥᾶον τυγχάνειν τῶν θεῶν, ἡνίκα ἂν αὐτοὺς καλῶσιν αἰτοῦντες ἑαυτοῖς ἀγαθά· οὐ γὰρ δὴ ἑτέροις κακά. καὶ μὴν καὶ σωφροσύνην παρὰ τοῖς γεωργοῦσι μάλιστα ἂν εὕροιμεν. οὐ γὰρ δὴ ἑταῖραι καὶ κῶμοι καὶ προαγωγοὶ καὶ μέθαι πρὸς Ἀφροδίτην αὐτοὺς ἐρεθίζουσιν· οὐ γὰρ ἀγρῶν ταῦτα ἐπιχώρια. προσέχουσι δὲ τὸν νοῦν τῇ γυναικὶ, καὶ τὰς δικαίας ἐπίστανται μόνον μίξεις, τὰς ὑπὲρ παίδων γονῆς. εἰ ἀνδρείας ἐστὶ θάλπος ἐνεγκεῖν, καὶ ψύχους ὑπερβολήν. γεωργοῖς ἀεὶ ἀνάγκη πρὸς ταῦτα μάχεσθαι· οὐ γὰρ δὴ ὑπορόφιοις οὖσιν ἀνύοιτ' ἂν τὸ ἔργον. ἀλλ' ἀνάγκη πονεῖν ὑπαίθριον θέρει τε καὶ χειμῶνι. ὅταν οἱ φιλοσοφοῦντες[3] ἐπιπονῶσιν· ὀλίγοι δὲ οὗτοι σφόδρα ἀξιοῦσι τιμᾶσθαι. καὶ μὴν σοφίας γε οὐ μικρὸν μέρος ἔρχεται εἰς γεωργίαν. ἢ γὰρ[4] οὐ σοφίας ἐπιστήμονες εἶναι, τῶν ἄστρων; Γεωργὸς τοίνυν ἂν μήτε εἰδῇ περὶ πλεια-

[2] f. ἀπέχων.

[3] f. ὅταν οἱ φιλοσοφοῦντες ἐπιπόνως [ὀλίγοι δὲ οὗτοι σφόδρα] ἀξιοῦσι τιμᾶσθαι. verum non satis video, quid haec sententia h. l. sibi velit.

[4] f. τί γάρ; quid enim? scil. ais. ἢ σοφίας [scil. ἐστὶ γένος vel μέρος, vel ἔργον] nonne sapientiae [genus] ἐπιστήμονας εἶναι τῶν ἄστρων tenere astrorum rationes?

πλειάδων, καὶ τῶν ἄλλων ἃ εἰδότι αὐτῷ λυσιτελήσει, τὸ μὲν ὄνομα αὐτοῦ γεωργὸς ἂν εἴη· τοῦ δὲ ἔργου πλεῖστον διαμαρτάνοι· καὶ ἀπολλύοιτ' ἂν αὐτοῦ ξύμπας ὁ μόχθος οὐ τοῦ καιροῦ τυγχάνων. τοιοῦτοι μὲν ἀπὸ τοῦ γεωργεῖν τὰς ψυχὰς γίνονται. διαφεύγουσι δὲ καὶ τὰς πολυειδεῖς ταύτας νόσους, ἃς ἐντίκτει τὸ τρυφᾶν· ὑφ' ὧν ὁρῶμεν διαφθειρομένους τοὺς εὐδαίμονας καλουμένους. πρὶν γὰρ τοῦτο ἐκβαλεῖν τὸ ἀῤῥώστημα, ἕτερον προσέπεσε· καὶ εἰσὶ συνεχῶς ἐν χερσὶν ἰατρῶν. γεωργοὶ δὲ οὐδ' ἂν δέοιντο[5] ἰατρῶν· τὸ γὰρ πονεῖν ἀεὶ περὶ γῆν, φρουρὰ τοῖς σώμασι· καὶ εἰσὶ κρείττους ἁλῶναι ὑπὸ τοιαύτης προσβολῆς· εἰ δὲ δὴ μέγιστον ἐν ἀνθρώποις ἡ ὑγεία, καὶ τοῦτο γεωργοὺς[6] περιείληφεν.[7] ἠπείρων μὲν δὴ καὶ νήσων κόσμος αἱ πόλεις· αὐτὰς δὲ τὰς πόλεις ὁ συνίστησί τε καὶ συνέχει, γεωργός· καὶ γὰρ τὰ μεγέθη τῶν οἰκοδομημάτων, καὶ τὰ κάλλη τῶν ἱερῶν, καὶ τὰς ἐπ' εἰρήνης[8] εὐωχίας, τὰς εἰς πόλεμον παρασκευὰς, γεωργίᾳ προστιθεὶς τις, οὐκ ἂν ἀδικοίη. γνοίη δ' ἂν τις τὴν ἀπ' ἐκείνου ῥοπὴν, εἰ λογίσαιτο πρὸς ἑαυτὸν, τίς ἂν ἦν ὁ βίος ἡμῶν, γεωργίας ἀπούσης. εἰ γὰρ δὴ τὸν οἶνον ἐξέλοι τὶς, τούς τε πυροὺς, ὀπώραν τε, καὶ τὸ τῆς Ἀθηνᾶς δῶρον, τοῖς λύκοις ἂν ἐξῆ πρὸς ἡμᾶς ὑπὲρ εὐδαιμονίας ἐρίζειν. ἀλλ' οὐδ' ἂν ἐν ταῖς μάχαις μετὰ ἀλκῆς συμπλεκοίμεθα τοῖς ἐναντίοις. πάλαι γάρ με ἐδίδαξεν Ὅμηρος ὡς πέφυκεν ἄνθρωπος σίτῳ καὶ οἴνῳ κτᾶσθαι καὶ ἀλκήν. εἰ δέ τις οἴεται τερπνότερον εἶναι τὸν ἐν ἄστει βίον, ἐνθυμηθήτω πρὸς ἑαυτὸν, οἷον μέν ἐστιν ἄμπελον ὁρᾶν καὶ βότρυς κρεμαμένους. οἷον δὲ ὑπὸ πίτυι ἢ πλατάνῳ μεσημβρίαν[9] κεῖσθαι· ὅσον ἰδεῖν λήϊα ζεφύρων αὔραις κινούμενα. οἷον δὲ ἀκοῦσαι βοῶν μυκωμένων καὶ προβάτων βληχομένων. οἷον δὲ θέαμα δαμάλεις σκιρτῶσαι, καὶ ἕλκουσαι γάλα·

[5] γεωργοὶ et δέοιντο] γεωργοῖς et δέοιτο M.
[6] γεωργοὺς] γεωργοῖς M.
[7] ἴσ. περιελήφθη m. M.
[8] f. ἐπ' εἰρήνης] in pace. ἐπ' εἰρήνην M.
[9] f. κατὰ μεσημβρίαν. item οἷον [scil. πρὸς ἡδονὴν] pro ὅσον.

γάλα· ἐμοὶ γὰρ δοκεῖ μηδὲν εἶναι τὰ ἐν τοῖς θεάτροις δεικνύμενα πρὸς τὴν ἀπ' ἐκείνων ἡδονήν. ἐπεὶ καὶ τὸ διὰ τῶν κρουνῶν[10] ὕδωρ καὶ μακρῶν Φερόμενον ὀχετῶν, Φαίην ἂν λείπεσθαι τῶν πηγῶν αὐτῶν· πολλῷ γὰρ καθαρώτερα τὰ ἐκ τῆς γῆς ἀναδιδόμενα νάματα, τῶν ἐπὶ τὰ ἄστη τεκτόνων χερσὶν ἀγομένων. καλὸν μέν τισι δοκεῖ τὸ ἐπίστασθαι παλαίειν καὶ στεφανοῦσθαι καὶ κρατεῖν ἐν τοῖς γυμνικοῖς ἀγῶσιν. ἀλλὰ τοῦτο ῥώμην ἔδειξε τοῦ κρατοῦντος· ὤνησε δὲ τοὺς συνελθόντας οὐδέν. γεωργοὶ δὲ τοῖς αὐτῶν πόνοις τρέφουσιν ἅπαντας. ῥητορικὴν δὲ ὅστις θαυμάζει, λογιζέσθω πρὸς ἑαυτὸν ὡς ἄνευ μὲν ῥητορικῆς εἶεν ἂν αἱ πόλεις, ἄνευ δὲ γεωργίας οὐκ ἂν εἶεν· ἀναμιμνησκέσθω δὲ καὶ τῆς Τριπτολέμου διφρείας, καὶ τῶν ὑποπτέρων δρακόντων καὶ τῶν μετεώρων σπερμάτων· καὶ ὡς οὐδαμοῦ τοῦτο περὶ ῥητορικῆς ἐμυθολογήθη· διότι τὸ μὲν εἶναι πᾶσιν ἀνθρώποις ἀναγκαῖον καὶ ἐλευθέροις καὶ δούλοις, καὶ Ἕλλησι καὶ βαρβάροις. ῥητορικῆς δὲ οὐ τοσαύτη χρεία· τῶν Ἑλλήνων αὐτῶν εὕροις ἂν οὐκ ὀλίγους τοῦ πράγματος ἠμεληκότας. ναυτιλία[11] δὲ ὅστις μάλιστα τίθεται, χρημάτων ὁ τοιοῦτος ἐπιθυμεῖ μετὰ κινδύνων καὶ χειμώνων· καὶ ἔστι δοῦλος κερδῶν. εἰ δὲ ἀποθανεῖται κακός,[12] καὶ προσέτι ἄταφός ἐστι φθειρόμενος ἐν τοῖς κύμασι. κἀκεῖνο μέν τοι ἴστω, διὰ τῆς γεωργίας ἔχων τὸ πλεῖν· εἰ γὰρ μὴ τὴν ὁλκάδα τῶν ἀπὸ τῆς γῆς ἐμπλήσας ἀνάγηται, πρότερον ἀπολεῖται λιμῷ, ἢ τοὺς λιμένας ἐφ' οὓς ἐπείγεται ὄψεται. οὕτω γεωργία κάλλιστον καὶ χρησιμώτατον, καὶ πάντα νικᾷ τὰ ἐπαινούμενα.

10 κρηνῶν m. M.

11 ναυτιλία] ναυτιλίαν M.

12 κακῶς [in aduerbio] vel potius vtrumque simul, κακὸς κακῶς.

ΕΓΚΩ-

ΕΓΚΩΜΙΟΝ ΔΙΚΑΙΟΣΥΝΗΣ.

ΔΙΚΑΙΟΣΥΝΗΝ, καλὸν μὲν ἐπιτηδεύειν· καλὸν δὲ ἐγκωμιάζειν·* περὶ ἧς τί μεῖζον εἴποι τις ἄν, ἢ ὅτι θεοῖς ἐστι φίλη· καὶ ταύτην ἀσκοῦσι, καὶ ταύτῃ συζῶσιν. ἐν μὲν γὰρ τοῖς ἑτέροις διεσήκασι· καὶ τῷ μὲν ὅπλων· τῷ δὲ χαλκείων· τῷ δὲ γάμων· τῷ δὲ ἑτέρων μέλει· δίκαιοι δὲ πάντες εἶναι βούλονται. καὶ εἰσίν· ὁ δὲ Ζεὺς πάρεδρον ποιεῖται τὴν Δίκην· ὡς οὐκ ἂν ἄλλως κάλλιον διοικήσων, οὔτε τὴν ἐν οὐρανῷ βασιλείαν, οὔτε τὰ ἐν τῇ γῇ πράγματα· τῶν δὲ αὖ ἡμιθέων ὅσοι τὸν αὐτῶν βίον τοιοῦτον παρέχοντο, ζῶντές τε μοι δοκοῦσι, καὶ μεταστάντες εὐδαιμονέστερον διαιτῶνται.[13] τίς γὰρ οὐκ ἀκήκοε περὶ Μίνωος· ὡς ὑπὸ γῆν κάθηται τοῖς ἐπιοῦσι[14] δικαστής, τοῖς μὲν ὁσίως βεβιωκόσιν ἆθλα διδούς· τοὺς δὲ πονηροὺς πέμπων εἰς τὸ τῆς τιμωρίας χωρίον; Αἴακος δὲ ὁμοπάτριος μέν, ἀδελφὸς δὲ[15] τούτῳ, γενόμενος δὲ χείρων[16] τὴν γνώμην, πλέον ἴσχυσε τῆς κοινῆς τῶν Ἑλλήνων ἀτυχίας· καὶ τὸν ἐκ τῆς αὐχμῆς[17] λιμὸν ἔλυσεν Ἀχαιοῖς. καὶ τί δεῖ περὶ τὰ παλαιὰ διατρίβειν; ἔτι καὶ νῦν τοῦ πράγματος εὐδοκιμοῦντος· πρῶτον μὲν τοίνυν θεοῖς οἱ τοιοῦτοι φίλοι· φίλοι δὲ ὄντες εἰκότως ἂν τυγχάνοιεν καὶ τῶν παρ' ἐκείνων ἀγαθῶν, σωτηρίας, ὑγείας, πλούτων· τῶν ἄλλων ὅσα κάλλιστα καὶ μέγιστα ἐνομίζετο[18] εἰ δὲ καὶ πένησιν εἶναι συμβαίη τοῖς τοιούτοις, ἥγ' ἐπὶ τῆς ψυχῆς δικαιοσύνη, τὴν ἄκραν αὐτοῖς εὐδαιμονίαν ἔχει· οἷς γε μᾶλλον τῶν χορηγούντων καὶ χρήματα ἐπιδιδόντων, ἐπαινεῖσθαι καὶ θαυμάζεσθαι παρὰ τοῖς πολλοῖς ὑπάρχει· καὶ ὅπερ Ὅμηρος ἔφησε περὶ τῶν δεινῶν εἰπεῖν, ὅτι θεοῖς παραπλήσιοι δι' ἀγορᾶς ἔρχονται. τοῦτ' ἂν τις δικαιότερον ὑπὲρ τῶν δικαίων εἴποι· τούτους γὰρ

* f. καλὸν δὲ καὶ ἐγκωμιάζειν.

[13] probo Morelli διαιτᾶσθαι.

[14] f. τοῖς ἀπιοῦσι, defunctis. na n ἀπιέναι et ἀπελθεῖν vsurpatur pro mori, vita excedere.

[15] recte deletum it Morellus δὲ.

[16] f. οὐ χείρων.

[17] τῶν αὐχμῶν m. M.

[18] f. νομίζεται.

γὰρ ὡς ἀληθῶς ἅπαντες αἰδοῦνται καθάπερ δαίμονας. σύλλογός τίς ἐστι καὶ βουλὴ περὶ συμφερόντων.[19] τοῖς τούτων λόγοις οἱ καθήμενοι προσέχουσιν· οὐ γὰρ διαβάλλει τὴν γνώμην, ὑποψία χρημάτων. πρεσβείαν ὁ καιρὸς καλεῖ; τούτους χειροτονοῦσι καὶ πέμπουσιν. εἰδότες ὡς οὐχ οὕτω πολλὰ δώσουσιν οἱ πολέμιοι, δι᾽ ἃ προήσονται τὸ τῶν γραμμάτων[20] συμφέρον. ἀλλὰ καὶ τὰς δυνάμεις οὐχ ἑτέροις ἐγχειρίζουσιν οἵγε σώζεσθαι βουλόμενοι, νομίζοντες μεῖζον ἰσχύσειν τοῦ στρατοπέδου τὴν γνώμην τοῦ στρατηγοῦ. τίς οὐκ ἂν εὔξαιτο τῷ τοιούτῳ κηδεῦσαι; τίς οὐκ ἂν τὴν τούτου διώξειε φιλίαν; τίνι δὲ οὐκ αἰσχύνη τῷ τοιούτῳ πολεμεῖν; ὁ δίκαιος κατηγορῶν πιστεύεται· καὶ κρινόμενος ἀποφεύγει· καὶ μαρτύρων οὐ δεῖται πολλῶν, μαρτυροῦντος τοῦ τρόπου· δικαζομένῳ δὲ εἰ μαρτυρήσειε,[21] κατὰ τούτου ἡ ψῆφος ἐξηνέχθη· θεωρίαν δὲ εἰ δεήσει πέμπειν, τίς ἂν αἱρεθείη πρὸ τοῦ δικαίου; δῆλον γὰρ ὡς τὰ διὰ τούτων[22] γινόμενα, κεχαρισμένα τοῖς θεοῖς· καὶ μὴν οἵγ᾽ ἀμφισβητοῦντες, ἢ περὶ γῆς ἢ περὶ χρημάτων, τοὺς ἀποδεδειγμένους δικαστὰς ὑπεριδόντες, ἐπὶ τούσδε καταφεύγουσι· τούτοις καὶ ἡ γῆ φέρει καρποὺς, καὶ γυναῖκες τίκτουσι. τούτοις ἡδέως ἄν τις γένοιτο σύμπλους· ὡς κἂν τῆς θαλάττης κηδομένης τοῦ πλοίου τοῦ τὸν δίκαιον φέροντος. οὗτος ὅλῃ πόλει σωτήριος. οὐ μόνον τὰ βέλτιστα συμβουλεύων, ἀλλὰ καὶ πόλεων παύων[23] θυμόν· καί τις ἂν ὅλῃ πόλει τὰς αἰτίας ἀφείη, τὸν δίκαιον αἰδεσθείς. οὐ μὴν οὐδὲ γαστρὶ δου-

λεύ-

[19] συμφερόντων] ſic coniecit M. recte. in t. M. lacuna eſt.

[20] probo Morelli πραγμάτων, niſi malumus τῶν ἐκπεμψάντων.

[21] aut εἰ τἀναντία μαρτυρήσειε leg. eſt, aut κατὰ τοῦτον. Si prius, haec eſt ſententia: Aduerſa ſi cui iuſtus teſtetur litiganti, aduerſus hunc (litigantem) datur ſententia; poſterius autem ſi praefertur, ita ferme reddes: Iuſtus, ſi pro quo teſtetur litigante, ſecundum illum iuſtum (h. e. ſecundum eius teſtimonium) ius datur.

[22] malim διὰ τοῦτο.

[23] ἴσ. πολιτῶν in. M.

λεύσειαν[24] ἂν οἱ δίκαιοι, δεδοικότες μὴ φθείρῃ τὸν τρόπον ἡ πλησμονὴ, καὶ τῶν κεκρυμμένων[25] καλῶν ἐκβάλῃ.[26] καὶ πρὸς τὰς ἀτόπους ἡδονὰς ἑλκύσῃ. ζῶντες δὲ ἐν τοιαύτῃ διαίτῃ καὶ διαφύγοιεν ἂν νόσους· οἶμαι δὲ, εἰ καὶ λῃσταὶ προσπεσόντες ἀφέλοιεν τὰ ὄντα, πολλοὺς ἔσεσθαι τοὺς σώζοντας,[27] καὶ τοσαῦτα καὶ πλείω· κέρδος αὐτῶν ἡγουμένων[28] τὴν δόσιν. οἱ οὖν ἄλλοι πλουτήσαντες κακῶς, καὶ χαριζάμενοι ταῖς ἡδοναῖς ἐν τῷ βίῳ· δεδιότες εἰς ᾅδου πορεύονται, τῶν ἐνταῦθα κακῶν ἐκεῖ τὰς δίκας εἰδότες γινομένας. ὁ δέ γε δίκαιος, χαίρων μεθίσταται, καλῶν ἀποδημίαν τὴν καλήν·[29] κήπους καὶ ἄνθη, καὶ αὔρας ὀνειροπολῶν· καὶ ἀπελθόντος χαίρει[30] τοὔνομα· καθάπερ Ἀριστείδῃ[31] τῷ Λυσιμάχου· καὶ μόνοις τοῖς δικαίοις καλὰ μὲν τὰ τῇδε· καλλίω δὲ τὰ ὑπὸ γῆν. καὶ θάπτονται μὲν σὺν ἐπαίνοις· χωροῦσι δὲ παρὰ φαύλους[32] τοὺς ἐκεῖ θεούς. τοῖς παισὶν οἱ μὲν καταλιπόντες μετὰ χρημάτων τὴν παρὰ πάντων εὔνοιαν, οἱ δ' αὖ τὴν εὔνοιαν[33] ἀντὶ χρημάτων. ὁ ἀριστεὺς ἂν μὴ δίκαιος ᾖ, ταῖς χερσὶ κατὰ τῶν πολιτῶν ἐχρήσατο. ὁ ῥήτωρ ἂν δικαιοσύνης ἀμελεῖ, συμφορὰ τοῖς χρωμένοις ἐστί. σωφροσύνη δ' οὐδ' ἂν γένοιτο τὴν ἀρχὴν, μὴ δικαιοσύνης ἡγουμένης· καὶ ὅλως τὰ μὲν ταύτης κεκοινωνηκότα, καὶ τοὺς κεκτημένους, καὶ τοὺς ἄλλους ἂν ὠφελήσειε· τὰ δὲ ἐστερημένα καὶ τοῖς ἔχουσι κακὰ, καὶ ὅσοι τούτοις συζῶσι.

[24] δαλεύσειαν] sic dedi δαλεύσειεν M.

[25] ἴσ. κεκτημένων m. M.

[26] ἐκβάλῃ] ἐκβαλεῖ M.

[27] f. τοὺς ἐπιδώσοντας. aut saltim τοὺς δώσοντας. m. M. dat ἴσ. διδόντας.

[28] f. κέρδος αὐτῶν ἡγουμένους (in accusat.)

[29] f. τὴν καλὴν τελευτήν.

[30] χαίρει] sententia postulat ζῇ aut ἀνθεῖ.

[31] Ἀριστείδου (in genitivo.)

[32] φαύλους] imo vero φίλους.

[33] f. οἱ δ' αὖ μόνην (vel ψιλὴν) τὴν εὔνοιαν.

ΒΟΟΣ ΕΓΚΩΜΙΟΝ

συγγραφικῷ χαρακτῆρι.

ΠΕΡΙ βοὸς τί μεῖζον εἴποι τις ἄν, ἢ ὅτι φίλος θεοῖς ὁ βοῦς· τοῦτο μὲν σελήνῃ· τοῦτο δὲ Δήμητρι, καὶ ἔτι γε ἡλίῳ. ἡ μὲν γὰρ τούτους ζευξαμένη πορεύεται τὴν ἑαυτῆς πορείαν. Δημήτηρ δὲ διὰ βοὸς δίδωσι τὰ ἑαυτῆς δῶρα ἀνθρώποις· ἡλίου δὲ ἱερὰν ἀγέλην ἀκούεις· ἐπεὶ δὲ ἥψαντό τινες πεινῶντες, οὕτως ἤλγησεν, ὥς τ᾽ αὐτοὺς πλέοντας ἀπώλεσε διὰ τοῦ Διός· καὶ στέφανος μὲν ἐν[34] οὐρανῷ τὰ ἄστρα· συντελεῖ δὲ καὶ ὁ ταῦρος εἰς τοῦτον δὴ τὸν τοῦ οὐρανοῦ στέφανον· γῆ δὲ οὐχ ἡ μὲν ἔχει βοῦν, ἡ δὲ ἀπεστέρηται τοῦ βοός· ἀλλ᾽ οὗ γένος ἀνθρώπων, ἐνταῦθά που καὶ βοῶν· ὥς τ᾽ οὐκ ἔστιν ἀνθρώπων ὅς τις οὐκ εἶδε βοΐδιον· καλὸν μὲν δὴ καὶ εὐθὺς γενόμενον,[35] καὶ ἐπὶ τὸ γάλα τῆς τεκούσης τρέχον· κάλλιον δὲ ἤδη μητρὶ παραθέον· καὶ ὀφθαλμοῖς ὅτου ἂν εἴποις, ἥδιον τὸ ἐκείνου σκίρτημα· καὶ ὑπὸ τῶν βουκόλων ὁ μόσχος ὥσπερ παιδίον ἀγαπᾶται· τροφὴ δὲ αὐτοῖς οὐκ ἀπὸ παντὸς, ἀλλὰ τὰ ἐκ τῆς γῆς φυόμενα βόσκει τὸ βοῶν γένος. ἐν λειμῶνι δὲ ἀγέλη βοῶν τοῦ λειμῶνος οὐ φαυλότερον θέαμα· τὰ γὰρ χρώματα τῶν ἀνθέων ἐν τῇ τριχὶ δεικνύει. τοὺς μὲν φοινικοῦς, τοὺς δὲ, λευκούς· τοὺς δὲ, ἱματίοις[36] ἐοικότας· οἱ δέ τινες καὶ πάντα συνάγουσι. τοῦ κάλλους δὲ μνησθεὶς, ἀνεμνήσθην Ὁμήρου, ὃς ἐνδείξασθαι βουλόμενος ὡς εἴησαν ὀφθ...μοὶ τῇ Ἥρᾳ καλοί τε καὶ μεγάλοι, βοῶπιν αὐτὴν ἐκάλεσε· καὶ τὸ ἐρασθῆναι δὲ Πασιφάην ταύρου μὴ ἄλλό τι νομίζωμεν ἢ τεκμήριον εἶναι κάλλους βοῶν. καὶ τί λέγω Πασιφάην ἐπειδὴ τὴν Ἰὼ μεταβαλεῖν ἔδει, βοῦν αὐτὴν ἐποίησε,[37] καὶ οὕτω συνῆν, ὡς οὐ καταβλάψων αὐτῷ τὴν τῆς ὁμιλίας ἡδονὴν ἐν τῷδε τῷ τύπῳ. καὶ ἑαυ-

[34] recte abest a quibusdam codicibus ἐν, teste margine Morellianae.

[35] γεννώμενον m. M.

[36] ἱματίοις] imo vero ἴοις violis.

[37] post ἐποίησε deesse videtur Ζεύς.

ἑαυτὸν δὲ, ἐπεὶ ἐχρῆν ἕτερον εἶδος ὑποδύντα θηράσαι τὴν Εὐρώπην, εἰς ταῦρον μετέστη τε· καὶ εἷλε τὰ παιδικά. θαυμάσασα γὰρ ἡ κόρη τὴν ὥραν, προσελθοῦσα ἐφιλάνει, καὶ ἤγετο διὰ θαλάττης εἰς Κρήτην. ἔστι γοῦν δὴ τῶν ζώων πολλὰ λαμπρὰ μὲν ἐν ὥρᾳ, εἰ μὴ καὶ ἐν ἴσῳ βουσὶ χρῆσθαι δὲ ἐν ἀνθρώποις, οὐ μᾶλλον ἐπιτήδεια. βοῦς δὲ ἐν τῷ ὠφελεῖν ἀνθρώπους τὸ αὐτοῦ κάλλος παρίησιν.[38] ὠφελεῖ δὲ τὰ μέγιστα, καὶ πάντα·[39] τροφῆς μὲν γὰρ οὐκ οὔσης, οὐδ' ἂν ἄνθρωποι ἦσαν. ἀνθρώπων δὲ οὐκ ὄντων οὐδ' ἂν πόλεις ἦσαν, οὐδὲ τέχναι, οὐδ' ὅσα νῦν ἐστίν· ἄνθρωπος δὲ μετὰ βοῶν γῆν ἐργάζοιτ' ἄν· ἄνευ δὲ βοὸς οὐκ ἂν ἀρόσαι· μὴ ἀρῶν δὲ, οὐκ ἂν σπείραι· μὴ σπείρων δὲ οὐκ ἂν ἀμήσαιτο. οὕτω τὸ βοῶν γένος συνέχει τὸν βίον ἀνθρώποις. καλῶς ἄρα Ἡσίοδος καὶ τῶν Μουσῶν ἀξίως, τρία τίθησιν ἐν πρώτοις, οἶκον, γυναῖκα καὶ βοῦν· ὡς τῷ μὲν ἀντέχοι πρὸς τὰς ὥρας· ἐκ δὲ τῆς, παιδοποιοῖτο· διὰ δὲ ἐκείνου καρποῖτο τὴν γῆν καὶ σώζοιτο· τὸ δὲ ἰσχυρὸν καὶ θυμοειδὲς καὶ πρᾷον. δηλοῦται δὲ[41] ἡ μὲν ἰσχὺς τοῖς ἄχθεσιν, ἃ βόες ἕλκουσιν· ἡ δὲ πρᾳότης ἐν τῷ τῶν βουκόλων ἀνέχεσθαι καὶ γεωργῶν, καὶ ἑκόντα ὑπιέναι ζυγὸν, καὶ πρὸς τὰς πληγὰς μηδὲν ποιεῖν ἀσελγές. τῷ θυμῷ δὲ κέχρηται δικαίως ἐπὶ τὰ βλάπτοντα τῶν θηρῶν. κατιδὼν δ' ἂν εἰς τὰ κέρατα, γνοίης σαφῶς, ὅτι δὴ μάλιστα θεοῖς βοῶν ἐμέλησεν· ἔδοσαν γὰρ αὐτοῖς περὶ τὸ μέτωπον τὰ ὅπλα, καὶ οὐκ ἀφῆκαν βορὰν τοῖς θηρίοις, ὥσπερ καὶ ἵππους καὶ ὄνους. ὁ βοῦς δὲ οὕτως ἐστὶ καλὸς καὶ ἀγαθὸς ὥστε πρὸς μὲν τοὺς οἰκείους οὐκ ἔστιν αὐτῷ κέρατα· πρὸς δὲ τοὺς ἐχθροὺς καὶ λίαν ἐστίν. ἔδωκε καὶ ἐλάφῳ κέρατα ἡ φύσις καλά· ἀλλὰ τηνάλλως ταῦτ' ἔχουσι, καὶ οὐδὲν ὠφελεῖ.

[38] f. πάρεισιν praeterit, transit, h. e. excedit, superat, tametsi est inprimis formosus, multo tamen vincit formam eius vtilitas, quam humano generi praestat.

[39] f. τὰ μέγιστα κατὰ πάντα.

[40] βοὸς m. M.

[41] f. δὲ vna cum puncto est delendum vt sit πρᾷον δηλοῦται, ἡ μὲν ἰ.

ὠφελεῖ. ἤδη δὲ καὶ διωκομένην ὑπὸ κυνῶν ἐζημίωσεν· ὑπὸ γὰρ τούτων τοῖς κυσὶ παρεδόθη. ἵππον δὲ ὅςις ἐπαινεῖ, διὰ τοὺς πολέμους καὶ τὰς ἱππομαχίας, ἀκούσεται παρ' ἡμῶν[42] τιμιωτέραν εἶναι μάχης εἰρήνην· οὐκοῦν ἵππου μὲν ἐν τοῖς ἀηδέσιν ἄνθρωποι χρήζουσι· βοὸς δὲ ἐν τοῖς ἡδίςοις. ἔτι τοίνυν τὰ μὲν περὶ γῆν ἵπποις οὐ πράττεται· βόες δὲ συντελοῦσιν εἰς τὰ τοῦ πολέμου, τοῦτο μὲν εἰς τὴν τροφὴν ἐξ αὐτῶν ἄγοντες·[43] τοῦτο δὲ τὰς ἀσπίδας ποιοῦντες· μὴ γὰρ ἀμνημονείτω τὶς τῆς Αἴαντος, ἣν ὁ Τύχιος ἐδημιούργησε· καὶ αὐτὸ δὲ τὸ πολεμεῖν ζώντων ἐςί· τὸ δὲ ζῆν, ἀπὸ τῶν καρπῶν. ἐκεῖνοι δὲ ἀπὸ τοῦ βοός. εἰ δέ μοι λέγεις ἅρματα ἁμιλλητήρια τέρψιν λέγεις· ἐγὼ δὲ ὠφέλειαν ἀφ' ἧς αὐτοῖς τοῖς ἵπποις ζῆν ἔνι καὶ τρέχειν. αἱ γὰρ κριθαὶ τῶν βοῶν πόνος. ταχὺς ὁ ἵππος, ἀλλ' οὐδὲ ὁ βοῦς βραδύς· λακτίζει τὸ λυποῦν ἐκεῖνος; ἔνι καὶ τὸ βοΐ τοῦτο· καὶ ἔτι προσκέκτηται κέρατα. μέγιςον μὲν οὖν ἀνθρώποις θεῶν εὔνοια· τοῦτο δὲ αἱ θυσίαι φιλοῦσιν ἐργάζεσθαι. θύομεν δὲ οὐχ ἵππους, ἀλλὰ βοῦς· καὶ δὴ γεύσασθαι μὲν βοὸς ἀνθρώποις νόμος, ἵππου δὲ οὐ νόμος· τὰ δὲ κρέα ταῦτα καὶ πολεμοῦσι χρηςά,[44] καθάπερ τοῖς Ἀχαιοῖς.[45] ὅταν οὖν τοῦτο[46] καὶ θεοὺς ἡμῖν διαλλάττῃ, καὶ εὐωχεῖσθαι παρέχῃ, πῶς οὐ μέγα νομιςέον; Ἡρακλῆς καὶ Θησεὺς, ὀνομαςοὶ μὲν ἀπὸ τῶν ἄθλων· ἐν δὲ ἑκατέρου τοῖς ἄθλοις, αἱ μὲν βόες αἱ Γηρυόνου τὸν Ἡρακλέα· τὸν δὲ Θησέα εὐδόκιμον ἐποίησεν ὁ ἐν Κρήτῃ ταῦρος κατενεχθείς. τὸ δὲ δὴ κεφάλαιον, βοῦς Αἰγυπτίοις ἐςὶ θεός, καὶ

[42] εἰρήνης τιμ. εἶναι γεωργίαν m. M.

[43] f. τοῦτο μὲν εἰς τὸ ςρατόπεδον τὴν τροφὴν ἄγοντες, τοῦτο δὲ τὰς ἀσπίδας ἐξ αὐτῶν ποιοῦντες. bos dicitur ſcutum ex ſeſe facere, cum tergus praebet ei conficiendo.

[44] poſt χρηςὰ videtur καὶ εἰρηνεύουσι vel καὶ εὐωχοῦσι deeſſe.

[45] καθάπερ τοῖς Ἀχαιοῖς] apud Homerum, Troiam obſidentibus.

[46] τοῦτο] ſcil. τὸ θρέμμα, quod aegre patior abeſſe.

καὶ τιμᾶται παρ' αὐτοῖς ὁ Ἄπις ὅσα περ παρ' Ἕλλησιν ὁ Ζεὺς τὲ καὶ οἱ ἄλλοι θεοί. βοῦς καὶ ζῶν ἀνθρώποις συνεργὸς, καὶ ἀπελθὼν ὤνησεν· ὅςις γὰρ οὐκ ἔχων μελίττης σμῆνος, ἐπιθυμεῖ μελιττῶν, βοῦν κτείνει[47] ῥοπάλοις. εἰς δὲ τὸ σῶμα τίκτει μελίττας· καὶ ἔςιν ἡ τελευτὴ βοὸς μελίττης γένεσις.

ΨΟΓΟΣ ΑΧΙΛΛΕΩΣ.

Εἰ καὶ δόξα τις κεκράτηκεν, εἶναι τὸν Ἀχιλλέα θαυμαςὸν, ἐπειδὴ τῶν πραγμάτων ἡ βάσανος οὐ τοιοῦτον δείκνυσι, γενώμεθα τῆς ἀληθείας μᾶλλον, ἢ τῶν εἰκῆ[1] δοκούντων. καὶ φανείτω[2] διὰ τῶν λόγων οἷος ἔςιν, οὐχ οἷος ὑπείληπται. καί με μή τις[3] οἰέσθω ἀντερεῖν, ὡς οὐκ ἦν δίκαιος Αἰακὸς, Πηλεὺς δὲ σωφρονῶν, ἢ συγχωροῦντα χρηςοὺς ἐκείνους γεγονέναι βλαβήσεσθαι πρὸς τὴν παροῦσαν ἀπόδειξιν· τοῦτο γὰρ αὐτὸ καὶ τὸ δεινόν ἐςιν, ὅτι βλέπων εἰς πατέρων ἀρετὰς, ἐπὶ τὴν κακίαν ὥρμησε· καὶ καλῶν αὐτῷ παραδειγμάτων ἑςηκότων, οὐκ ἠβουλήθη μιμήσασθαι. τῷ μὲν γὰρ ἐκ φαύλων, εἰ μὴ ποιοῖτο[4] λόγον τοῦ κρείττονος, ἔνι συγγνώμη. τῷ δ' οὐ παρέχοντι τῶν προγόνων ἄξιον ἑαυτὸν, οὐκ ἔςι παραίτησις, ἀλλὰ τοσούτῳ[5] μισεῖται,[6] ὅσῳ τοὺς προγόνους ἀρνεῖται τῷ τρόπῳ· ὅτι τοίνυν τοιοῦτος ἦν Ἀχιλλεὺς, δείξω σαφῶς· τοσοῦτο ὑπειπὼν, ὡς οἱ σεμνύνοντες αὐτὸν, λέγουσιν ὑπὸ τροφεῖ τῷ Χείρωνι μυελοὺς λεόντων ἀντὶ γάλακτος γενέσθαι οἱ τροφήν. ἔςω τοίνυν, θεῖον γενέσθαι τὸν κένταυρον. καί τοι τίς ἂν πιςεύσειεν συντεθῆναι[7] σώματος εἶδος ἐξ ἀνθρώπου καὶ ἵππου. καὶ περὶ τροφῆς οὐκ ἀμφισβητήσειεν. ἐκεῖνο[8] φαίην ἂν, ὅτι

[47] f. ῥοπάλοις. σαπὲν δὲ τὸ σῶμα.

[1] f. ἐν δίκῃ.

[2] φανείτω] sic dedi. φανοίτω M.

[3] καὶ μή με τις.

[4] ποιοῖτο] ποιεῖτο M.

[5] τοσούτῳ subaudi μᾶλλον.

[6] μειζόνως μισ. m. M.

[7] συντεθῆναι] sic dedi. συντεθεῖναι M.

[8] f. οὐκ ἀμφισβητήσεις, ἐκεῖνο φ.

ὅτι ἡ πρέπουσα τοῖς ἀνθρώποις τροφὴ, τὸ γάλα, καὶ τῷ νόμῳ συμβαίνει τῆς φύσεως. ὅτῳ δὲ μὴ κατὰ τοῦτο[9] συμβαίνει[10] τραφῆναι, τοῦτο εἰς ἐλάττωμα τῷ τραφέντι σαφῶς ἀφῖκται. ἡμέροις ἐκεῖνο πρέπον, τοῦτο θηριώδεις ποιεῖ. ἀλλ' ἐάσθω ταῦτα, καὶ μὴ λίαν ἀκριβολογώμεθα. τὸν στρατιώτην δὲ δοκιμάσωμεν, τὸν ἤδη δυνάμενον τοῖς ἔργοις[11] ἄρχειν, ἔλθωμέν τε ἐπὶ τὸν Τρωικὸν πόλεμον, κἀκεῖθεν λάβωμεν τὴν ἐξέτασιν, ἵν' εἰδῶμεν τί τῶν ἄλλων ποιούντων, ἐν τίσιν ἦν ὁ θαυμαστὸς Ἀχιλλεύς. οὐκοῦν ἦγε μὲν ὀργὴ δικαία τοὺς Ἕλληνας ἐπὶ τὴν Πριάμου πόλιν, καὶ τιμωρίαν ἔδει λαμβάνειν παρὰ τῶν βαρβάρων, τῆς ὑπ'[12] ἐκείνων ὕβρεως. τῶν λοιπῶν δὲ τὸν καιρὸν ἁρπαζόντων, καὶ τῶν γενναίων καὶ τῶν οὐ τοιούτων, καὶ οὐδὲ Θερσίτου μένοντος οἴκοι τοῦ πρόφασιν ἔχοντος εἰς τὴν μονὴν δικαίαν τὴν τοῦ σώματος βλάβην, μόνος Ἀχιλλεὺς οὐκ ἐν ὅπλοις ἦν, ἀλλ' ἐν Σκύρῳ μετὰ τῶν παρθένων· καὶ αὐτὴν ἀποθέμενος τὴν σκευὴν τὴν πατρῴαν, ἐοικέναι γυναιξὶν ἐσχηματίζετο. τοῦτο δὲ εἴτε ἄκων, εἴτε ἑκὼν, εἴτε αὐτοῦ τῇ μητρὶ χαριζόμενος ἔπραττεν, ἀμφοτέρωθεν[13] οὐ καλόν. μὴ γάρ μοι μηδὲ γονεῦσι χαριζέσθω μηδεὶς, ἀφ' ὧν ἄδοξος ἔσται· μὴ δὲ εἰ κακῶς ἐκεῖνοι βεβούλευνται, βεβαιούτω παρεὶς ἀντιλέγειν. ἐγὼ γὰρ ἠξίουν τόν γε ὄντως ἀγαθὸν, ἐξελεῖν[14] τὸ δέος τῆς μητρὸς παραθαρρῦναι καὶ διαλεχθῆναι περὶ δόξης· ἀντιστατῆσαι τῷ φόβῳ τὸ κλέος, ἀλγῆσαι, δακρῦσαι, πεῖσαι τὴν βουλομένην φυλάττειν, ὅτι τοῦτο θανάτου χαλεπώτερον. καὶ μὴ πείθοντά γε, τοῦτο μόνον ἀνιᾶσαι τὴν μητέρα, τὸ καὶ ἀκούσης[15] γενέσθαι γενναῖον. ἐπεὶ δὲ ἧκε ποτὲ τέχνῃ καὶ μόλις εἰς[16] τὴν

Τροίαν,

[9] κατὰ τοῦτον [scil. τὸν νόμον τῆς φύσεως.]

[10] συνέβη m. M.

[11] τοῖς ἔργοις] num τοῖς λόγοις?

[12] ὑπὸ malim abesse.

[13] ἀμφοτέρωθεν non *utrinque*, sed *undecunque*.

[14] aut βουλόμενον deest pro ἐξελεῖν, aut paulo post leg. est καὶ παραθαρρῦναι.

[15] ἀκούσης (sc. ἄκων) *illa vel invita*. ἀκρασάσης M.

[16] ἐπὶ m. M.

Τροίαν, τὴν ἑαυτοῦ τάξιν ὑπερβάς. ἐπειρᾶτο τὸν Ἀγαμέμνονα τῆς ἀρχῆς ἐκβαλεῖν. καὶ συνῆγεν ἐκκλησίας, ἄκυρος ὢν τοῦ παντός. καὶ τοὺς ἰδιώτας ἔπειθεν ἀναισχυντεῖν πρὸς τοὺς ἄρχοντας, τὴν ἑαυτοῦ ῥοπὴν ὑπισχνούμενος. τοῦ δὲ Ἀγαμέμνονος αὐτὸν σωφρονίζοντος καὶ παιδεύοντος, καὶ πειρωμένου βελτίω ποιεῖν τῇ τῆς κόρης ἀφαιρέσει, πεσὼν εἰς θυμὸν, καὶ τὸν λογισμὸν ἀπολέσας, καὶ καταχεθεὶς ὑπὸ[17] τῆς ὀργῆς, τί μὲν οὐκ εἶπε; τί δὲ οὐκ ἔδρασεν; ὡς πάντα[18] τὰ κακὰ ὑβρίζων διεξεληλύθει, τελευταῖον ὥρμησεν ἐπ' αὐτὸν ἐν μέσοις τοῖς Ἀχαιοῖς μετὰ τοῦ ξίφους. καὶ εἰ μὴ θεῶν τις ἐκώλυσεν, ἐπέπρακτο ἂν τὸ πρᾶγμα[19] δεινόν. ὁ δὲ, ἐπὶ τούτῳ ἀφίσταται τοῦ συμμαχεῖν. καὶ πρὸς τὴν γυναῖκα βλέπων ἀπιοῦσαν ἔκλαε. κατηρᾶτο τοῖς οἰκείοις. οὐδὲ τὰ μικρὰ ταῦτα φέρειν ἠπίστατο. καὶ μεθίησι τὴν εὔνοιαν ἐπὶ τοὺς Τρῶας, καὶ ὅλως μετεβέβλητο, διὰ μίαν αἰχμάλωτον. καὶ οὐκ ἔστιν εἰπεῖν ὡς ὠργίσθη μὲν. ἑαυτοῦ δὲ ταχέως ἐγένετο, καὶ πάλιν ἐκοινώνει τῶν πόνων. ἀλλ' οὕτως ἀθάνατα ἐμήνυεν, ὥστε τοὺς οἰκείους ὁρῶν πράττοντας κακῶς, καὶ πρέσβεις ἥκοντας ἐπὶ τῷ λῦσαι τὰ ἐγκλήματα, καὶ πολλῶν λόγων ἀκούσας καλῶν, ἔμενεν ἐν τοῖς[20] αὐτοῖς, ἃ μηδὲ τὴν ἀρχὴν ἔδει ποιεῖν. οὐ τὴν Αἴαντος συγγένειαν αἰδεσθεὶς, οὐ τὴν Φοίνικος πολιὰν, οὐ τοῦ τροφέως τὰ δάκρυα. καί τοι παρὰ[21] φύσει πολεμίους πρέσβεις ὁρῶντες, οἱ πεπονθότες κακῶς ἐν ταπεινῷ τῷ σχήματι, τὸν θυμὸν καταλύουσι. καὶ σπεισάμενοι φιλανθρωπίας ἀξιοῦσιν. ὁ δὲ Ἕλλην ὁ πολλὰ δίκαια πρὸς τοὺς Ἀχαιοὺς ἔχων, ἀπράκτους ἀπέπεμψε πρέσβεις αἰδεσίμους, καίπερ οὕτως εὐλόγως ἥκοντας. καὶ εἰ μέν τις αὐτὸν εἴρετο τί πεπονθὼς χαλεπαίνει, τὸν Ἀγαμέμνονα εἶπεν ἂν, καὶ τὰ παρ' ἐκείνου. τὸ δίκην δὲ παρὰ τῶν οὐδὲν εἰς αὐτὸν ἠδικηκό-

των

17 ἐπὶ m. M.

18 l. ὡς δὲ πάντα, vel καὶ ὡς πάντα.

19 πρᾶγμα malim abesse.

20 τούτοις m. M.

21 περὶ m. M.

τῶν λαμβάνειν, οὐδὲν ἡγεῖτο δεινόν.[22] ἀνδρὸς γὰρ ἦν οἶμαι μὴ πικροῦ καὶ ἀνιαροῦ, καὶ τοῖς θηρίοις ἐοικότος, μετὰ τῆς μηδὲν ἠδικηκυίας στρατιᾶς, σῶσαι τὸν λελυπηκότα, ἢ διὰ τὴν πρὸς ἐκεῖνον ὀργὴν πάντας ἀπολέσαι. τοιοῦτος τοίνυν ἐξ ὧν εἶπον πεφηνως,[23] ἔτι ἀτοπώτερος[24] ἐν τοῖς δευτέροις εὑρίσκεται. τῆς γὰρ τύχης λαμπροτέρας μετὰ τῶν Τρώων ἀνθισταμένης, καὶ τῶν Ἑλλήνων ἐμπεπρῆσθαι[25] τὰς ναῦς πιεζομέναν, οὐδ' ὑπὸ τοῦ πυρὸς διηλλάττετο· ἀλλ' ὥσπερ μετὰ τῶν πολεμίων αὐτὸς εἰργασμένος,[26] καὶ Πριάμῳ σύμμαχος ἥκων, ἔχαιρε μετὰ τῶν νενικηκότων. καὶ τοῦ Πατρόκλου κλαίοντος πρὸς τὰς ἐκείνων τύχας, καὶ θρηνοῦντος τοὺς τετρωμένους, καὶ διδάσκοντος ὡς οἴχεται τὰ Ἑλλήνων, ἐπετίμα τοῖς δάκρυσι, καὶ τὴν φιλανθρωπίαν ἐκάκιζε, καὶ τὸ τοὺς ὁμοφύλους ἐλεεῖν ἐν ὀνείδει προὔφερεν. ὡς δ' ἐκεῖνος ἔμενε δεόμενος, καὶ πάντα κινῶν, ὅρα τί ποιεῖ. μένει μὲν αὐτὸς ἐπὶ τῆς σκηνῆς, δίδωσι δ' ἐκείνῳ[27] τὴν σκευὴν καὶ τὸ στράτευμα, καὶ συνῆγεν εἰς ταυτὸ διαλλαγὰς καὶ μῖσος. τὸ μὲν γὰρ ἀναστῆσαι τὸν ἑταῖρον εἰς συμμαχίαν, διηλλαγμένου· τὸ δὲ μὴ αὐτὸν παρεῖναι τὸν παραταττόμενον,[28] θυμουμένου. ἐχρῆν δὲ οἶμαι τὸν μὲν πεπαυμένον τῆς ὀργῆς ἐξιέναι· τὸν δ' ἐπ' αὐτῆς ὄντα, μηδενὶ λόγῳ βοηθεῖν. ὁ δὲ, τὸ μὲν ποιεῖ μισοῦντος, τὸ δὲ κηδομένου, ποίας ταῦτα παιδείας; μᾶλλον δὲ τίνος οὐκ ἐμπληξίας,[29] σχίζεσθαι τὴν γνώμην· καὶ μὴ ἔχειν ὁρᾶν, τί ποιῶν ἄμεινον ἔσται. ἐπεὶ δ' ἔπεσεν ὁ Πάτροκλος, καὶ οὐκ ἔτ' ἦν οὐδὲ βουλόμενον καθῆσθαι, καὶ τὸν ἐκεῖ-

22 παρὰ τῶν οὐδὲν εἰς αὐτὸν ἠδικηκότων λ. οὐδὲν ἡγεῖτο δ.] sic dedi. περὶ τὸν — ἠδικηκότα λ. οὐ. εἰσηγεῖτο M.

23 ἴσ. πεφυκὼς m. M.

24 ἀτοπώτερος.] sic dedi, ἀτοπώτ M.

25 f. Ἑλλήνων τῷ ἐμπεπρῆσθαι. m. M dat Ἑλλ. πιεζομένων ὥστε καὶ ἐμπε τ ν. ο.

26 εἰργασμένος] scil. τὸν ἐμπρησμόν.

27 δίδωσι δ' ἐκείνῳ] δ' omittit M.

28 f. τοῖς παραταττομένοις.

29 ἐμπληξίας.] ἐκπλ. M.

ἐκείνου φονέα μετῄει σφοδρῶς, καὶ εἶδεν αὐτὸν, καὶ ἐμονομάχει, ποῖός τις κἀνταῦθα γίνεται; τέχνῃ μὲν οὐ λαμπρὸς, τύχῃ δὲ μέγας καὶ οὐδὲ ὡς ἀμείνων ἐκράτησεν Ἕκτορος, ἀλλ᾽ ἀπέσφαξεν ἠτυχηκότα. καὶ τὸ ἔργον ἦν, τῶν τοῦτο κρινόντων θεῶν· πρὸς ὃ κἂν ὁ φαυλότατος[30] τῶν Ἑλλήνων ἤρκεσε. δῶμεν τοίνυν, αὐτὸν πάντων ἄριστον εἶναι μάχεσθαι· καὶ παραθέντες ἀκαιρίαν[31] ἧς[32] ἔγεμε, σκοπῶμεν εἰ μὴ διὰ ταῦτα μισεῖσθαι μᾶλλον ἄξιος, ἢ δι᾽ ἐκεῖνο θαυμάζεσθαι. ὥσπερ γὰρ οὐδενὸς τινος[33] ἵππου τάχος ὠφέλιμον δι᾽ ἀμαθίαν,[34] οὐδ᾽ ἔστιν οὐδεὶς οὕτω κακοδαίμων, ὅς τις ἐθέλει[35] κεκτῆσθαι θρέμμα οὕτως ἄχρηστον, οὕτως οὐδὲ ἀνδρὸς μετὰ πολεμικῆς ἐμπειρίας, πονηρίᾳ συζῶντος. πλέον γὰρ ἂν βλάψειεν, ἢ δοίη κερδᾶναι. ὅρα τοίνυν, ὅπως καὶ τὴν νίκην κατῄσχυνεν, ἐν οἷς μετὰ τὴν νίκην ἔπραξεν. Ἕκτορος ὁ νεκρὸς εἵλκετο τεθνεῶτος, ἐξημμένος τοῦ ἅρματος. ὁ δ᾽ οὕτως ἦν ἀνόητος, ὥστε λυπεῖν τὸ σῶμα ἀναίσθητον ᾤετο, καὶ οὐκ εἶχε συνιδεῖν, ὅτι ὃν μὲν ἡγεῖτο λυπῆσαι, τοῦτον οὐχ ὕβριζεν· ὑβρίζετο δὲ ὁ τῆς φύσεως ἐν τῷ τετελευτηκότι νόμος, ὃς τὸν ἀπελθόντα γῇ κρύπτεσθαι βούλεται. παρὰ ποίων ταῦτα βαρβάρων ἔμαθες Ἀχιλλεῦ; τίς σαυτὸν[36] ἐδίδαξεν, ὡς ἄρα προσήκει καὶ κειμένοις πολεμεῖν; ὁ δὲ, καὶ τὸν νεκρὸν πεποίηται πρόσοδον. καὶ τὸ σῶμα Πρίαμος μὲν ὁ πατὴρ ὠνεῖτο πολλῶν χρημάτων, ἐπώλει δὲ ὁ λαμπρὸς Ἀχιλλεὺς, καὶ οὓς ᾐκίζετο τεθνεῶτας, ἀπὸ τούτων ἐπλούτει. καὶ οὐκ ἐν τούτοις μόνον ἔξω τῶν Ἑλληνικῶν[37] καθίστατο νόμων, ἀλλὰ καὶ τῷ Πατρόκλου τάφῳ τιμὰς ἀλλοκότους εὕρισκεν, ἀντὶ βοσκημάτων αἰχμαλώτους σφάττων ἐν

τῇ

30 φαυλότατος.] φαυλότερος M.

31 ἀκαιρίαν] (in singular) ob insequens ἧς. ἀκαιρίας M.

32 ὡς m. M.

33 τινος videtur delendum.

34 δι᾽ ἀμαθίαν.] δι᾽ ἀμαθίας M.

35 ἐθέλοι in optat. aut ἐθέλῃ in conj.

36 ἔμαθεν Ἀχιλλεύς; τίς αὐτὸν m. M.

37 ἐψήφιζετο m. M.

τῇ πυρᾷ. καί τοι τίς οὐκ οἶδεν, ὡς ὁ πολέμιος ἄλλους οὐκ ἔτ' ἐστὶ δυσμενής· ἀλλ' ὑπ' αὐτοῦ τοῦ κεκρατῆσθαι μεταβάλλει τὴν προσηγορίαν, ἱκέτης ἀντ' ἐχθροῦ καλούμενος. εἶτ' ἐπὶ τούτοις ἀνέξομαι τῶν λεγόντων, ὡς Ἀχιλλεὺς ἄριστος τῶν ἐπὶ Τροίαν ἐλθόντων; τίνος ἕνεκα; τῆς ἀσελγείας; τῆς παροινίας; τῆς ἀσπονδείας; τῆς ἀγροικίας; τῆς ἀσεβείας; τῆς ἀκρασίας; ἣν οὐχ ἡ Βρισηῒς ἐλέγχει κόρη ζῶσα μόνον, ἀλλὰ καὶ νεκρά. οὗτος γάρ ἐστιν ὁ τῆς Ἀμαζόνος μετὰ τὸν φόνον ἐρῶν, καὶ τῇ Πενθεσιλείᾳ κειμένῃ ἐπιχυθείς. καὶ νὴ δία γε εἰκότως. τῆς γὰρ αὐτῆς ψυχῆς καὶ πολεμεῖν νεκροῖς, καὶ νεκρῶν ἐρᾷν. οὗτός ἐστιν, ὃν ἐποίει προδότην τῶν ὁμοφύλων τῆς Πολυξένης τὸ κάλλος. ὡς γὰρ εἶδεν αὐτὸς, καὶ ἐθαύμασε, καὶ τῶν πολεμίων ἦν· καὶ ὡς μὲν δοῦλος ἀφροδισίων ἐμνήστευεν, ὡς δὲ ἠλίθιος τοῖς ἐχθροῖς ἐπίστευε. καὶ τῇ τῆς πίστεως ἐλπίδι δελεασθεὶς, ἐν χερσὶ τῶν δυσμενῶν ἦν, καὶ ἀπεσφάττετο. καὶ παῖδα καταλιπὼν τῆς μανίας κληρονόμον τὸν Νεοπτόλεμον, ὃς καὶ χρώμενος ἐν Δελφοῖς περὶ[38] τὸν νεὼν ἀπεσφάττετο.

ΨΟΓΟΣ ΕΚΤΟΡΟΣ.

ΑΛΛ' οὐδὲ τὸν Ἕκτορα φήσαιμ' ἂν εἶναι γενναῖον κἂν τισιν ἔδοξεν, οὔτε ἀγαθὸς[39] ἀνὴρ οὔτε ἐκ τοιούτων. τίς μὲν γὰρ οὐκ οἶδεν αὐτὸν βάρβαρον; τίς δὲ οὐ τοὺς βαρβάρους ἐγγυτάτω τῶν θηρίων ἥκειν; τῶνδε ἄρα καὶ Φρύγα εἶναι συνέβαινεν, ἐν δὲ τῇ κλήσει ταύτῃ τὴν δειλίαν ὅση τοὺς Φρύγας ἔχει, τίς ἀγνοεῖ; τὸ δὲ Ἴλιον ἀκοὴν ἀνθρώποις ἐρχόμενον ἀθυμίαν φέρον προσέρχεται. ῥηθὲν γὰρ τοὔνομα συμφορῶν ἀναμιμνήσκει· καὶ δὴ ὅστις βούλεται μέγα σημῆναι πάθος, Ἰλιάδα προσαγορεύει κακῶν. πρὸς τοιαύτην ἥκει παροιμίαν ἡ τῆς ἐκείνου πόλεως τύχη· τοὺς προγόνους δὲ αὐτοῦ λαμπροὺς οὐκ ἂν
εὕρῃ

38 περὶ] f. παρά.

39 f. οὔτε γὰρ ἀγαθός.

εὕρῃ τὶς ἀπ' ἐκείνων, ἃ τοὺς ἄλλους εἴωθε ποιεῖν,[40] ἀγῶνας, καὶ μάχας, καὶ πολέμους, καὶ τρόπαια, καὶ τὸ συμμαχῆσαι φίλοις, καὶ τὸ κολάσαι δυσμενεῖς·[41] καὶ τὸ μείζω καταστῆσαι τὴν ἀρχήν. εἰ μὴ τοῦτό τις ἡγεῖται λαμπρὸν τὸ καταφρονεῖν τῶν θεῶν, καὶ παροινεῖν εἰς τὸν εὐεργέτην Ἡρακλέα· καὶ τὰς συνθήκας παραβαίνειν. ταῦτα γὰρ τὰ Λαομέδοντος·[42] ἀλλ' οὐκ ἐμέμψατο τὴν δίκην· ἀλλ' ἑώρα τὴν πόλιν κειμένην ὑφ' Ἡρακλέος· καὶ τοιούτων ἐπειρᾶτο κακῶν, ὁ παῖς μὲν ἐκείνου, πατὴρ δὲ Ἕκτορος· ὃν ὅπως[43] ἐκτρέφει γενόμενον· ὡς ἐν βαρβάροις εἰκὸς καὶ τυραννίδι, ἐν μέθῃ καὶ ὕβρει καὶ ἀπαιδευσίᾳ· δῆλον δὲ καὶ ἐκ τῆς κακίας, ἣν ἔδειξεν εἰς ἄνδρας ἐλθών. ἐπιχειροῦντος γὰρ τοῖς μεγίστοις ἀδικήμασιν Ἀλεξάνδρου, καὶ παρεσκευασμένου πλεῖν εἰς Πελοπόννησον ἐφ' ἁρπαγῇ τῆς Ἑλένης· καὶ φανερῶς ναυπηγουμένου, καὶ πόλεμον εἰσάγοντος εἰς τὴν Τρωάδα βαρύν. οὐ γὰρ ἦν ἄδηλον ὡς οἱ πεπονθότες κακῶς καὶ τιμωρίαν ζητοῦσιν.[44] ὁρῶν ταῦτα ἐκεῖνος, οὐ παρῄνεσεν, οὐκ ἀπέτρεψε μὴ τολμᾶν, οὐκ ἔπεισεν, οὐκ ἠνάγκασεν· οὐδὲν οὔτε μικρὸν οὔτε μέγα ἐποίησε, κωλύων τὴν ἀδικίαν εἰ δ'. ὁ μὲν ἔπλει καὶ ἐλάμβανεν,[45] ὁ δ' ἐξὸν ἐπισχεῖν, ἐνεδίδου πλεῖν, ἐκοινώνει τῶν πονηρευμάτων τῇ γνώμῃ. μᾶλλον δὲ τὸ πᾶν[46] εἰς αὐτὸν ἔρχεται, τὸν κύριον ὄντα μὴ συγχωρῆσαι[47] ταῦτα γενέσθαι. ἆρ' οὖν ἐπειδὴ ταῦτα παρεῖδε, καὶ ἦν ἡ Μενελάου γυνὴ ἐν ταῖς

Τρωσί·

40 f. ἃ τοὺς ἄλλους εἴωθε ποιεῖν. (scil. λαμπροὺς.) ἐκείνων γὰρ τίς οἶδεν ἀγῶνας.

41 καὶ τὸ συμμαχῆσαι φίλοις, καὶ τὸ κολάσαι δυσμενεῖς] sic dedi. M. omittit τὸ primum et dat κλαῦσαι.

42 Verum perfidiae poenas dabat haud mediocres. non habebat, quod de lenitate poenae, sibi irrogatae, quereretur, quam satis iustam et acerbam persoluit. non inulto hoc tulit

43 probo Morelli coniecturam οὕτως.

44 malim ζητήσουσιν.

45 post καὶ ἐλάμβανεν deesse videtur haec ferme sententia: ὧν ἐπιθυμεῖν ἀδικία καὶ ὕβρις ἦν.

46 μᾶλλον δὲ τὸ πᾶν] sic dedi. τὸ omittit M.

47 f. κύριον ὄντα τοῦ μὴ συγχ.

Τρωσί· καὶ κίνησις ἐγεγόνει μεγίστη, τῶν ἀπαιτούντων ἡμέρως τὸ πρῶτον, οὐκ ἐν τοῖς ὅπλοις,[48] εὐθὺς διωρθώσατό τι τῶν οὐ καλῶς ἠμελημένων· καὶ παρελθὼν ἀπέδωκε τὴν ἄνθρωπον, καὶ τὴν πόλιν ἠλευθέρωσεν ὀλέθρου σαφοῦς; οὐκ ἔστιν. ἀλλ' ὁρῶν πρεσβείαν ἐπὶ δικαίοις ἀφιγμένην, καὶ τὴν πόλιν ἄγων, διὰ τὸ γῆρας τοῦ πατρὸς, καὶ κυριώτερος ὢν Ἀλεξάνδρου, καὶ τοῖς ὅλοις ἐφεστηκὼς,[49] οὐκ ἐξέβαλε τὴν ὑπόθεσιν τῶν συμφορῶν· ἀλλ' ἐπιστάμενος, ὡς ἐπὶ τῇ πόλει[50] πάσῃ τὸ γύναιον μένει, μᾶλλον Ἀλεξάνδρου τὰς ἡδονὰς[51] ἐθεράπευεν· ἢ δι' ὧν ἔσται σώζεσθαι, προὐνοεῖτο. πόλεμος ἐντεῦθεν καὶ τῶν Ἑλλήνων ἡ στρατιὰ τοὺς ὁμόρους ἔφθειρε. τοῦτο δὲ ἀσθενῆ τὰ τῶν Τρώων ποιήσειν ἔμελλεν. ἆρ' οὖν ἐκινήθη; παρωξύνθη; τὰ ὅπλα ἔλαβε; δύναμιν ἄγων ἧκε τοῖς κακουμένοις; οὐκ ἔστιν. ἀλλ' ἐκάθητο τὸν ἐμπρησμὸν παραμένων, ὁπότε λήψεται τῆς πόλεως. καὶ δὴ προσέχον τῇ ἐκείνου φερόμενοι,[52] καὶ τὰς ναῦς κατελκύσαντες, τοὺς περιοίκους ἥρπαζον· πάλιν Ἕκτωρ τὰ τῶν γειτόνων κακὰ ἐπυνθάνετο· παρῆν τῶν πορθουμένων οὐδενί· τὴν ἠϊόνα τῶν σκηνῶν ἐπίμπλασαν οἱ Ἕλληνες· ὁ δὲ ἀπὸ τῶν τειχῶν μετ' αὐτῶν ἐθεᾶτο τῶν γυναικῶν. τὸ σεμνὸν δὲ ἦν, προκύψαι τῶν πυλῶν, οὐκ ἐπ' ἔργοις καὶ μάχαις, ἀλλ' ὥστε προσιόντων πολεμίων φεύγειν· μέγας γὰρ νὴ δία καὶ φοβερὸς Ἀχιλλεὺς, καὶ οὐκ ἦν ἐνεγκεῖν

48 sic distingue: καὶ οὐκ ἐν τοῖς ὅπλοις, Graecis, amice, non autem vi et armis, sua repetentibus, εὐθὺς — num statim illis mulierem restituit? ad ὅπλοις subauditur a communi ἀπαιτούντων τὴν Ἑλένην. plenius vtique dixisset ἡμέρως τὸ πρῶτον, ἀλλ' οὐκ ἐν τοῖς ὅπλοις. quomodo postea factum est. cohaerent inter se ἄρα οὖν εὐθὺς διωρθώσατο; Hector puta. Respondet huic interrogationi οὐκ ἔστιν. nequaquam. res ita se non habet.

49 τοῖς ὅλοις ἐφεστηκώς.] sic recte coni. M. τῆς ὅλης ἀφεστηκὼς t. M.

50 ἐπὶ τῇ πόλει] in damnum et pestem reip.

51 τὰς ἡδονὰς] ταῖς ἡδοναῖς M.

52 φερόμενοι] num ἐῤῥωμένοι;

κεῖν τὸν Πηλέως καλῶς. ὃν δὲ ἐκεῖνος ὠργίζετο χρόνον, καὶ τῶν πραγμάτων ἀφειςήκει, καὶ λαμπρᾶς ἀπέλαυον[53] τῆς τύχης οἱ Τρῶες, ἐν τούτοις ἔδειξεν ἀρετῆς τὶ μετέχον,[54] ποίας; οὐ τοὺς ὅρκους ὁρῶν ὀλιγωρουμένους καὶ συνθήκας λυομένας, καθ᾽ ἃς Ἀλεξάνδρῳ Μενέλαος ἐμονομάχει, τὴν ἡσυχίαν ἦγεν· ἀλλὰ τί χρῆν ποιεῖν; ἀποσπάσαντι τὴν Ἑλένην δοῦναι τῷ νενικηκότι, καὶ τὸν Ἀλέξανδρον δειλὸν ὄντα κελεῦσαι, μὴ τῶν ἀλλοτρίων ἔχεσθαι. οὐ τοῦ Διομήδους εὐδοκιμοῦντος, καὶ τοῖς ἐναντίοις ἐμπίπτοντος, καὶ τοῦ καιροῦ ζητοῦντος ςρατιώτην ἀρκοῦντα ςῆσαι τὴν συμφορὰν, ἀφεὶς τὴν τάξιν τῆς μάχης, Ἑκάβῃ τῇ μητρὶ διελέγετο, καὶ τῇ γυναικὶ συνῆν, καὶ ταῖς εὐχαῖς ἀντὶ τῶν ὅπλων ἐχρῆτο. οὐχ οὗτος ὁ θρασὺς μὲν προκαλέσασθαι,[55] φαῦλος δὲ μαχέσασθαι, καὶ τοῖς μὲν ῥήμασι λαμπρὸς, τοῖς δ᾽ ἔργοις ταπεινὸς, οὗτος Αἴαντος[56] λίθῳ κατενεχθεὶς, μόλις ἀνας̣ὰς, ἐπινίκιον ᾖσεν εἰς τὸν ἐχθρόν. καὶ τί δεῖ λέγειν τὸν Πηλέως[57] καὶ Τελαμῶνος, οὐ τὸν Ἀτρέως ἔτρεμε; σημεῖον δέ; πρὸ γὰρ τῆς Ἀγαμέμνονος πληγῆς οὐδαμοῦ φαίνεται. μετὰ ταῦτα δὲ ἦγε καθ᾽ Ἑλλήνων, ἀξιῶν εἶναί τις· ἤδη τοίνυν τὶς αὐτὸς μὲν οὐκ εἶχε τὸ δέον εὑρεῖν, ἑτέρῳ δ᾽ ἠκολούθησεν εὑρόντι. τοῦτο δὲ ἔλαττον εἰς εὐφημίαν ἐκείνου. σῶσαι δὲ ἀρκεῖ τὸν πειθόμενον. Ἕκτωρ δὲ μετὰ τῆς ἀνοίας ἀπειθεῖν εἶχε,[58] καὶ οὔθ᾽ ἑώρα, οὔτ᾽ ἐπείθετο καὶ τοῦ Πολυδάμαντος καταφρονῶν, ἄχρι ἐποίει παρὰ τῷ ςρατοπέδῳ,[59] τὴν ἐκείνου συνε-

[53] ἀπέλαυον] ἀπήλαυον M.

[54] malim μετέχων in masculino. ἔδειξε μετέχων id est ὅτι μετεῖχε.

[55] προκαλέσασθαι] prouocare. προσκαλ. M.

[56] f. ταπεινὸς, οὐχ ὑπ᾽ Αἴαντος.

[57] f. καὶ τὸν Τελαμῶνος.

[58] f. μετὰ τῆς ἀνοίας καὶ τὸ ἀπειθεῖν εἶχε. praeter ſtultitiam etiam pertinacia laborabat, monitorum ſapientiam aſpernante.

[59] f. ἄχρηςον ἐποίει τῷ ςρατοπέδῳ (aut παντὶ τῷ ςρατοπέδῳ) m. M. dat it. ἄχαριν.

σύνεσιν. τῷ τέλει μανθάνων, ὡς ἄρα πείσεσθαι[60] κάλλιον. ὁ δὲ τῆς Πατρόκλου μεμνημένος τελευτῆς, ἐν ἐπαίνοις Ἕκτορος, ἐκ οἶδεν ἀντ' Εὐφόρβου τὸν Ἕκτορα θαυμάζων. κειμένοις[61] ἐπεμβαίνων ἀνδρεῖος; ἀλλ' ὁ πρωτως κατενεγκών. ὂν τὰ μὲν[62] Εὐφόρβου, τὸ δὲ Ἕκτορος. ὅταν δὲ ἐννοήσω τὴν αἰτίαν, δι' ἣν ἐπεθύμει κρατῆσαι τῦ σώματος, ὁρῶ τὸν βάρβαρον ἀκριβῶς, καὶ μισῶ τὸν τρόπον. ἐπὶ γὰρ[63] ὕβρει λαβεῖν ἔσπευδε καὶ τῷ τὴν κεφαλὴν ἀποτεμεῖν, τὰ τῶν θηρίων ἐπὶ τὸν οἰχόμενον ἐζήτει[64] καὶ τὴν γνώμην ἔδειξεν οἷς ἐβούλετο, τὴν δ' ἀσθένειαν οἷς ἐκ ἴσχυε. τὸ δὲ οὐ δικαίως ἐπιχειρῆσαι,[65] τὸ[66] δικαίως αὐτὸν παραπλήσια παθεῖν. ὡς γὰρ ἔπεσεν ὑπ' Ἀχιλλεῖ θράσει μὲν ἔξω τείχους μείνας· δειλίᾳ δὲ προσιόντος φυγὴν,[67] ἀπεσφαγμένος εἵλκετο καὶ ὑβρίζετο, πάσχων ἃ δρᾶσαι βεληθεὶς ἐκ ἔσχε. καὶ τὸ δὴ καινότατον, ἐπράθη νεκρὸς[68] ὑπὸ τῶν πολεμίων τῷ πατρί. μὴ δὴ συγχωρείτω τὶς ἄριςον εἶναι τῶν Πριαμιδῶν τὸν Ἕκτορα. τὸ μὲν γὰρ τῶν ἄλλων ἄδηλον πῶς ποτ' ἂν ἐχρήσαντο τοῖς προδόταις τὴν ἀρχήν·[69] τοῦ δὲ τὴν κακίαν ἑωράκειμεν ἐν τῷ κρατεῖν. καὶ τὸ δὴ πέρας τῶν κακῶν, Ἀνδρομάχη ἐμίγνυτο Νεοπτολέ-

μῳ

60 aut *πάθεσθαι* leg. aut, quod malim, *ἐπᾶσθαι*. id quod etiam in mutis fuisse colligo ex annotatione marginali M. *πεσᾶσθαι*.

61 f. *θαυμάζων. ὁ γὰρ ὁ κειμένοις — ἀλλ' ὁ πρῶτος κατενεγκών·* m. M. dat *ἴσ. ὁ κειμ.*

62 *τὸ μὲν*] scil. *τὸ πρῶτος κατενεγκεῖν*. primus feralem plagam Patroclo inferre eaque eum prosternere. *τὸ δὲ*] scil. *τὸ ἐπεμβαίνειν κειμένῳ* in iacentem, et repugnare haud valentem, insilire, et sic iugulare.

63 *ἐπὶ γὰρ*] sic recte coni. M. *ἐπεὶ γὰρ* t. M.

64 f. *ἐπὶ τῶν οἰχομένων ἐζήλε* aemulabatur belluarum mores in defunctis.

65 post *ἐπιχειρῆσαι* videtur *ἐδήλωσε* vel *ἐδηλώθη* vel simile quid deesse.

46 *τὸ*] malim *τῷ* in datiuo.

67 f. *φυγὼν*, quoniam in fugam se coniecisset, Achille adueniente.

68 *νεκρός.*] *νεκρὸν* M.

69 f. *τοῖς προδόταις, κεκτημένοι τὴν ἀρχήν.* Si potestatem summam adepti fuissent.

μω τῷ παιδὶ τοῦ τὸν Ἕκτορα ἀποκτείναντος. τὸν δὲ παῖδα τι ἐκείνου λαβὼν, ἔῤῥιψεν ἀπὸ τοῦ τείχους.

ΨΟΓΟΣ ΦΙΛΙΠΠΟΥ.

ΕΙ τοὺς πονηροὺς ψέγειν δίκαιον, καὶ τοῖς τοῦτο ποιοῦσιν ἔπαινον ἔχον, οὐκ οἶδ' ὅτου μὲ χρὴ κατηγορεῖν, ἀφέντα Φίλιππον· Τύραννος μὲν γὰρ τῶν ἐν ἀνθρώποις κακῶν τὸ χείριστον· τῶν δὲ τυράννων ἁπάντων Φίλιππος.[70] Τί γὰρ ἄν τις εἴποι περὶ αὐτοῦ καλόν; τὴν πατρίδα; βάρβαρος ἦν. τὸ τῆς πόλεως μέγεθος; καὶ τί φαυλότερον τῆς Πέλλης; οἱ πρόγονοι δὲ αὐτοῦ δοκοῦντες ἄρχειν, ἐδούλευον· δεχόμενοι μὲν ἐπιτάγματα παρὰ τῆς τῶν Περσῶν βασιλείας· φόρους δὲ φέροντες τῇ τῶν Ἀθηναίων πόλει. Παῖς[71] δὲ ὢν Ἀμύντου Φίλιππος, ὃν Ἀμύντας ἀπ' οὐδενὸς ἔργου λαμπροῦ ἐν ἤθεσι βαρβαρικοῖς ἐτύγχανε τραφεὶς ἐν οἷς οὐ μουσικῆς ἔρως, οὐ σοφίας ἄσκησις, οὐκ ἐπιθυμία λόγων, οὐ σωφροσύνης φροντὶς, οὐ δικαιοσύνη τίμιον· ἀλλ' οἶνος πολὺς καὶ μέθη καὶ πλησμονὴ, καὶ χαρίσασθαι ταῖς ἡδοναῖ, καὶ μηδὲν τῶν αἰσχίστων ὀκνῆσαι· ταῦτα ἐμάνθανε Φίλιππος, ἐν τούτοις ἐπαιδεύετο· ἀπὸ ταύτης τῆς μελέτης εἰς ἄνδρας ἧκε· παῖς δὲ ὢν ἔτι παρὰ Θηβαίοις ὡμήρευεν· ὃ σημεῖον ἦν τῆς τοῦ πατρὸς ἀσθενείας· δεῖγμα δὲ τῆς τούτου κακοδαιμονίας, τὸ τῶν οἰκείων ἀπεῖναι· οὐ μὴν ἠμέλητο παντάπασιν· ἄρα τοῖς Θηβαίοις·[72] ἀλλ' ἔμεινεν αὐτοῦ πα . . . . καὶ νέος ἐραστής· ὁ δὲ φιλάνθρωπός τε ἦν, καὶ ἐχαρίζετο παραλαβόντα[73] τὰ πράγματα καὶ σωθεὶς σαφῶς ὑπ' Ἀθηναίων ἐπὶ τοὺς σεσωκότας τῷ ἑαυτοῦ ἐχρήσατο τόπῳ,[74] τὴν Ἀμφίπολιν ἀποστερῶν τὴν Ποτίδαιαν ἁρπάζων·

70 Φίλιππος] scil. ἐςὶ τὸ χείριςον.

71 f. παῖς δὲ ὢν Ἀμύντου Φίλιππος. Ἀμύντας δ' ἀπ' οὐδενὸς —

72 l. παντάπασιν παρὰ τοῖς Θηβαίοις.

73 f. παραλαβὼν δὲ τὰ πράγματα. principatum adeptus.

74 τόπῳ] imo vero τρόπῳ.

ζων· πολλὰς μὲν εἷλε πόλεις· μετὰ δὲ καλοῦ σχήματος οὐδεμίαν· οὐδὲ γὰρ μαχόμενος κρείττων ἐγένετο τῶν ἀνδρῶν· ἀλλὰ δελεάζων καὶ κολακεύων, καὶ φιλίαν πλαττόμενος, καὶ δωρούμενος τὰ πατρῷα, δούλους εἶχε τοὺς λαμβάνοντας· θαυμαςὸν δὲ ἦν, οὐ τὸ σύνταγμα τῶν Φιλίππου ςρατοπέδων. ἀλλὰ τὸ χρυσίον ὃ τοῖς πολιτευομένοις ἤρχετο. τοιαῦτα τὰ ἐκείνου μηχανήματα· δοῦναι. φενακίσαι, παρακρούσασθαι· χρηςὴ μὲν ἡ ἐπαγγελία·[75] παμπόνηρα δὲ τὰ ἔργα· τὴν δ᾽ Ἀμφίπολιν πολιορκῶν, ὑπὲρ Ἀθηναίων ἔφασκε τοῦτο ποιεῖν· ὡς δὲ εἷλεν, ἐζήτουν[76] εὐθὺς οἱ Ἀθηναῖοι καὶ τὴν Ποτιδαίαν. Θετταλοῖς ἔδοξε τυραννίδα καταλύειν· καὶ πιςευθεὶς εὐθὺς ἐφίςη τὴν[77] τυραννίδα χαλεπωτέραν· Ὀλυνθίοις ἠφίει τὶ χωρίον, ὡς δὴ φιλόδωρος· καὶ μικρὸν ὕςερον οὐ[illegible] δαμοῦ τῆς Θρᾴκης Ὀλύνθιοι, μᾶλλον δὲ οἱ Χαλκιδεῖς, δύο καὶ τριάκοντα πόλεις· καὶ τοι τοιαῦτα ποιῶν, οὐ Χαλκιδεῦσιν ἐπολέμει μόνον, ἀλλὰ καὶ τοῖς θεοῖς, οἳ παρ᾽ ἐκείνοις ἐτιμῶντο· ὧν οὐκ ἔδεισε κατασκάπτων ἱερὰ, καὶ βωμοὺς ἀνατρέπων, καὶ θυσίας συγχέων· Ἀμφιπολιτῶν τινὰς θεραπεύσας, ἔσχεν Ἀμφίπολιν. ὡς δὲ ἦν δεσπότης, δι᾽ ὧν εἴληφε τὴν πόλιν, τούτους ἐξήλαυνε. πρὸς δέ γε τοὺς Πυδναίους, οὐ διέςησεν ἀπὸ τῶν σπονδῶν τὰς σφαγάς· ἀλλ᾽ ἀνέμιξεν ἀμφότερα.[78] ταῖς αὐτοῦ τέχναις οὐ λαμβάνων Φερράς, ὕςερον ἐδηοῦτο· καὶ οὐ χαλεπὸς μὲν τοῖς προδοθεῖσι, πιςὸς δὲ τοῖς προδόταις·[79] ἀλλὰ μετὰ τὴν χρείαν, [illegible] πᾶς [illegible]

[75] ἡ ἐπαγγελία] sic dedi ob insequens παμπ. δὲ τὰ ἔργα. M. omittit ἡ.

[76] ἐζήτουν] desiderabant a Philippo sibi ereptam.

[77] aut pro τὴν leg. est φοβεράν, aut sic: ἐφίςη τῆς προτέρας τυραννίδος χαλεπωτέραν δεκαδαρχίαν, aut τετραρχίαν.

[78] sic distinguo — ἀμφότερα. Sed ambo, sacris, quo induciae sanciebantur, immiscuit caedes. ταῖς αὐτοῦ τέχναις οὐ λαμβάνων Φερράς. artibus suis h. e. corruptionibus et imposturis Pheras expugnare cum nequiisset.

[79] idem est ac si dixisset: καὶ οὐκ ἦν πιςὸς τοῖς προδόταις, καί τοι χαλεπὸς ὢν τοῖς προδοθεῖσιν. neque dicere licet, Philippum, cum saevus erga proditos esset, erga proditores tamen fidelem fuisse.

πᾶς ὁ συμπράξας ἄτιμος. οὐ τοίνυν τὰς μὲν πόλεις οὕτως ἔκλεπτε, τῷ δὲ ἄλλῳ βίῳ προσῆν τι κόσμου, καὶ τάξεως· ἀλλ' ἐμέθυεν, ἐκορδάκιζε συνῆγε τοὺς ἀσελγεῖς· τούτοις συνέπινε μετὰ τούτων ἠσχημόνει καὶ οἷς οὐκ ἦν ἀλλαχοῦ ζῆν, τούτους ἦν εὐδοκιμεῖν παρ' ἐκείνῳ. Καλλίας ἦν δημόσιος Ἀθήνησι· τούτου τὴν βδελυρίαν μὴ φέρων ὁ δῆμος, ἐξέβαλεν· οὗτος οὐκ ἠγνόησεν οἷ χρὴ δραμεῖν, ἀλλ' ἧκε τῷ Φιλίππῳ, καὶ πρὸ τῶν ἄλλων ἐκέκειτο· νοσῶν τοίνυν τὴν τῆς φιλοτιμίας νόσον, καὶ ζημίαν ἡγούμενος, εἰ μή τις εἴη παρ' αὐτῷ τῶν βελτιόνων ἢ τῶν[80] ἀφροδισίων, οὐ μόνον τούτων τῶν ἐχόντων δή τινα καὶ παραίτησιν· ἀλλὰ καὶ ὅσα νόμῳ φύσεως κεκώλυται, οὐκ ᾐσχύνετο τῷ παρ' Ἀθηναίων ἀφιγμένῳ,[81] περὶ τῆς τοῦ παιδὸς διαλεγόμενος ὥρας· Φίλιππος ἦν ὁ τὴν μὲν εἰρήνην ζητῶν, ἐν ᾧ πολεμεῖν ἔδει· τὰ δὲ τοῦ πολέμου ποιῶν, ἐν εἰρήνης καιρῷ· ὧν τὸ μὲν ἀσθενείας. τὸ δὲ πονηρίας δεῖγμα. δι' ἐκεῖνον ἡ περὶ τὸν Πύθον χώρα[82] πολλὴν ἐρημίαν ἐδέξατο· καὶ δύο καὶ εἴκοσι πόλεις πιστεύσασαι διῳκίσθησαν· ἐκεῖνος ἦν ὃς τὴν αὐτοῦ τάξιν ὑπερβὰς, δεσπότην ἐπῆγε τοῖς ἐλευθερωτάτοις Ἕλλησιν σπενδόμενος· εἶτα διορύττων τὰς πόλεις. καὶ μὴν καὶ τὸ σῶμα τοιοῦτος, οἷον ἄν τις ἰδὼν οἰωνίσαιτο· χωλεύων, τὸν ὀφθαλμὸν ἐκκεκομμένος, πολλὰ τῶν μελῶν πεπηρωμένος. ἀλλ' οὐδὲ οἱ Φιλίππου θαυμάζουσιν ἔνιοι[83] τὰ περὶ τὴν Χαιρώνειαν, οὐδ' ἐνταῦθα πολέμων[84] ἂν ἀξιωθείη. πρῶτον μὲν γὰρ οὐκ ἐφ' ὅπερ ἐκέκλητο, τοῦτο ἔπραξεν· ἀλλ' ἑτέραιν ἐτράπη, τὸ μὲν τῶν κεκληκότων ἀφιεὶς· τὸ δὲ αὐτοῦ σκο-

[80] ἢ τῶν] lege ἥττων, vno vocabulo. Si quis, cur si qua honestiore loco natus aut nata penes se esset, a Veneris flagitiosae intactus probris, non iis solummodo, quae quodammodo sint intra veniam (vt si quis virgines aut matronas vi stupret) sed iis adeo, quae lex naturae vetat (paed- (crastia.) —

[81] Phrynondem designat. v. p. 132. 27. ed. M.

[82] f. ἡ περὶ τὰς πύλας χώρα.

[83] f. ἀλλ' οὐδὲ τῶν Φιλίππου θαυμαζόντων θαυμάζουσιν ἔνιοι —

[84] πολέμων] num πρωτείων?

σκοπῶν. ἔπειτα Θραξὶ μὲν χρώμενος, Ἀθηναίοις ἐπήει καὶ Θηβαίοις· ἀπὸ δὲ τῶν ἔργων ἐμάνθανε τοῖς ἀμείνοσι ἐπιχειρῶν· ἡττᾶται[85] γὰρ καὶ πρώτην μάχην καὶ δευτέραν· τὴν δὲ τρίτην οὐ δικαίως ηὐτύχει. τὸ δὲ τῆς τύχης ἐπιεικῶς τοιοῦτον. μετὰ τῶν φαυλοτέρων ἵσαται τὰ πολλά· οὐ μὴν ἐπὶ πολὺ τῆς οὐ δικαίας τύχης ἀπέλαυσεν·[86] ἀλλ᾽ ὀφείλων δίκην τοῖς Ἑλληνικοῖς θεοῖς ἀνθ᾽ ὧν παρῆλθεν[87] ὕβρει τοὺς Θρακῶν βασιλεῖς, ἐδέξατο τελευτὴν οὐδὲν ἐπαίνοις προσήκουσαν· Παυσανίας γὰρ ᾧ γε Φίλιππος[88] ἐτύγχανεν αἰσχύνας τὴν ἑαυτοῦ νεότητα, τὸ ξίφος εἰς αὐτὸν ὤσας ἀπέκτεινεν.

ΨΟΓΟΣ ΑΙΣΧΙΝΟΥ.

ΟΥΚ οἶδα πῶς ἂν ἐμαυτῷ συγγνοίην, εἰ μὴ διεξέλθοιμι κατ᾽ Αἰσχίνου λόγους, ὧν αὐτὸς ἐκεῖνος ἄξιον ἑαυτὸν ἀπέφηνε· καὶ θαυμαστὸν οὐδὲν εἰ γεγονὼς ἐκ δούλου πατρὸς, καὶ τούτου πονηροῦ, καὶ πόρνης μητρὸς, καὶ τραφεὶς ὡς εἰκὸς τὸν ἐκ τοιούτων φύντα, μηδὲν γενναῖον, μηδὲ καλὸν μήτε ἐπετήδευσε, μήτε εἶπε, μήτ᾽ ἔπραξεν. ὃς εὐθὺς μὲν ἐξ ἀρχῆς ἐμιμεῖτο τὴν ἑαυτοῦ μητέρα· τοῖς βουλομένοις μεταδιδοὺς τὴν ἑαυτοῦ νεότητα, καὶ κοινωνῶν τελετῶν, ἐφ᾽ αἷς ἤδη δίκην εἰλήφεισαν Ἀθηναῖοι παρὰ τῶν τελούντων· ἀνὴρ δὲ γενόμενος χοροὺς εἶχε γραῶν, μέγα ποιούμενος εἰ κιττοφόρος ἀκούσειε. καὶ ταῦτα ὑπέμειεν ὑπὲρ νεηλάτων καὶ στρεπτῶν· οὗτος γὰρ ἦν ὁ μισθός· ἐπεὶ καὶ τὰ τραύματα καὶ τοὺς κινδύνους τοὺς ἐν θεάτροις ὑπὲρ τοιούτων ὑπέμεινεν ἑτέρων, συκῶν, καὶ βοτρύων· οὐ γὰρ ἐπὶ σκηνῆς ἡδὺς ἦν· ἀλλ᾽ εἶχε πολεμοῦντα τὸν θεατήν· ἀλλ᾽ ὅμως ὑπὸ τῆς πενίας, ἅπαντα δεῖν ἀνέχεσθαι

85 malim ἡττᾶτο.

86 ἀπέλαυσεν.] ἀπήλαυσεν M.

87 idem eſt ac ſi dixiſſet: ἀντὶ τούτων, ἐν οἷς παρῆλθεν ὕβρειν τῶν ἐπὶ Θρᾴκης βασιλέων.

88 f. ᾧ γε Φίλιππος ἐχθρὸς ἐτύγχανεν ὢν, αἰσχύνας τὴν αὐτοῦ νεότητα qui Philippo infeſtus erat ideo, quod Philippus ipſius pueritiam ſtupro polluiſſet.

χεσθαι ᾤετο· πενίαν δὲ ὅταν εἴπω, δυσμένειαν λέγω θεῶν· οὗτος ὁ γεγονὼς ἐκ τοιούτων Ἀθηναῖος ἔδοξε, καὶ παρέγραψεν ἑαυτὸν εἰς Κωθωκίδας, τοὺς νόμους τῆς πόλεως παραβάς· καὶ πάλιν βλέψας οὐκ ὄντας[89] τοὺς νόμους ἐν οἷς ἐγραμμάτευε, Φίλιππον ὁρῶν δεόμενον προδοτῶν, καὶ διδόντα πολὺ χρυσίον, καὶ πόλεις ὠνούμενον, ἐπὶ τὸ βῆμα ἀνέβη· καὶ σπεύδων κύριος γενέσθαι πραγμάτων· καὶ σαφῶς εἰδὼς ὅτι εἰ μὴ δόξει τὸν Φίλιππον μισεῖν, οὐδὲν πιστευθήσεται, λέγει κακῶς τὸν Μακεδόνα καὶ προσποιεῖται χαλεπῶς φέρειν τῆς Ἑλλάδος διορυττομένης· εἶτ' εὔνους[90] νομισθεὶς ἧκεν εἰς Ἀρκαδίαν· καὶ πάλιν ἐχρῆτο τῇ τέχνῃ· κἀκεῖ ἥκων[91] τῆς αὐτῆς αὖθις εἴχετο, ἕως ἐνεχειρίσθη τὴν πρὸς ἐκεῖνον πρεσβείαν, ὃν ᾔδει δώσοντα χρυσίον. ἀφεὶς γὰρ τὸν Δημοσθένην, καὶ τοὺς τὴν πατρίδα σώζεσθαι βουλομένους, προσέθηκεν αὑτὸν Φιλοκράτει τῷ τὴν εἰρήνην ἄνισον ποιοῦντι τοὺς δὲ συμμάχους ἀπελαύνοντι. τὸν Φίλιππον δ' ἰδὼν, εὐθὺς αὐτῷ Φίλιππος[92] ἦν, κοινολογούμενος ἄνευ τῶν ἄλλων, συνὼν, δειπνῶν παρὰ τυράννοις ἀνθρώποις κατὰ τῶν ταλαιπώρων Ὀλυνθίων. μικρὰ ταῦτα πρὸς τὰς ἐπαγγελείας[93] καὶ τὰς ὑποσχέσεις. αἱ δὲ ἦσαν· ἀπολεῖ Φίλιππος Θηβαίους· σώσει Φωκέας· πάντα ποιήσει κατὰ νοῦν Ἀθηναίων. ἀπὸ τούτων τῶν λόγων ὁ μὲν δῆμος ἐλπίζων ἐκάθητο· Φωκεῖς δὲ διῳκίζοντο· Πύλας δὲ εἶχεν ὁ Φίλιππος, ὧν ἐγκρατὴς καταστὰς, ἔθυε μὲν τὰ Πύθια,[94] μέγας δὲ ἐγεγόνει τοῖς Ἕλλησιν. ἀπειλῶν δὲ οὐκ ἐδόκει μείζω τῆς δυνάμεως θρασύνεσθαι· ἀλλὰ

καὶ

89 f. βλέψας πλουτοδοτῆρας ὄντας cernens, eas leges, in quibus exſcribendis et cuſtodiendis ipſe, vtpote ſcriba publicus, verſaretur, haud largiri diuitias.

90 εἶτ' εὔνους.] εἰ τ' εὔνους M.

91 f. κἀκεῖθεν ἥκων (id eſt ἐπανήκων.)

92 Φίλιππος delendum videtur.

93 f. ἀπαγγελίας. id eſt πρὸς τὴν Αἰσχίνου περὶ τὰς ἀπαγγελίας ψευδολογίαν. Si comparentur cum mendaciis et imposturis, quibus ciues circumuenit falſa renunciando atque promittendo.

94 Πύθια] Πυθίας M.

καὶ πρὸ τῶν Φωκέων ὁ τὴν Θρήκην ὑπ᾽ ἐκείνῳ πεποιηκὼς Αἰσχίνης ἦν, ὁ μὴ σπεύδων ἐπὶ τοὺς ὅρκους, ὁ κωλύων σπεύδοντας. τῇ τοίνυν ἀπάτῃ τοῦ δήμου προσέθηκε τὴν τῶν δικαστῶν, ἐν οἷς ἐκρίνετο· καὶ τοσοῦτον Ἀθηναίοις αἴτιος ἐπιορκίας κατέστη· νομίζων δὲ βραχύ τι Φιλίππῳ κεχαρίσθαι, πόλεις τοσαύτας καὶ τοὺς Ἀθηναίους, ὡς ἂν ἔχωσι[95] τὸ ναυτικὸν, ἱκανοὺς ἔσεσθαι πάντα ἐπανορθοῦσθαι· τὸν Ἀντιφῶντα τὸ πῦρ ἐγνωκότα προσάγειν ταῖς τριήρεσι. παρεκάλει πρὸς τὴν ἐγχείρησιν· σημεῖον δὲ, ἁλόντα γὰρ καὶ κινδυνεύοντα, διασώζειν ἐπειρᾶτο. καὶ προϊὼν οὐκ ἀπέστη τῆς πονηρίας· ἀλλ᾽ ἐδέχετο μὲν κατασκόπους εὐμενοῦς[96] πάντα ἐξεδίδασκε· συνηγόρει δὲ τῷ Πύθωνι, καταχέοντι[97] τὴν πόλιν· ἐκεῖνον ἐγὼ καὶ τῆς ἐν Χαιρωνείᾳ αἰτιῶμαι συμφορᾶς· ἡ μὲν γὰρ μάχη ταῦτα ἐποίησε·[98] τὴν δὲ ἔξοδον, Ἐλάτεια κατειλημμένη[99] τοῦτο δὲ ἔσχεν[100] ὁ Φίλιππος, ἐκ τῆς τῶν Ἀμφικτυόνων ταραχῆς· ἡ ταραχὴ δὲ τῶν Ἀμφικτυόνων, ἔργον Αἰσχίνου· πάντα τοίνυν ὅσα τῇ κατὰ Χαιρώνειαν ἠκολούθησαν πληγῇ. τὴν ἀρχὴν ἀπὸ τῶν Αἰσχίνου λόγων ἔσχεν· οὓς ἐκεῖνος κακῶς[1] ἐν τῇ πόλει διεξῆλθεν· ὡς μὲν οὖν πονηρὸς, ἠδίκει τὴν πόλιν· ὡς δὲ δεινὸς εἰπεῖν, οὐκ ἐδίδου δίκην· ὡς δὲ οὐ λανθάνων, ὅτι εὔνους ἦν,[2] οὐκ ἐτιμᾶτο. ὡς δὲ βάσκανος, ἐρρήγνυτο τιμωμένων ἑτέρων. ἀλλὰ γὰρ

[95] f. καὶ γὰρ τοὺς Ἀθηναίους, ἕως ἂν ἔχωσι τ. ν.

[96] l. εὐμενῶς.

[97] f. καταθέοντι persultanti, h. e. metaphorice dictum, pro insectanti et proscindenti probris.

[98] ταῦτα ἐποίησε] id est συμφορὰν προσῆψε τῷ τῶν Ἀθηναίων δήμῳ.

[99] f. τὴν δ᾽ ἔξοδον [subaudi ἐποίησεν a communi] Ἐλάτεια κατειλημμένη vt autem Athenienses in castra exirent, id effecit Elateae occupatio. Conf. p. 133. ed. M circa finem. ἴσ. ἐν Ἐλατείᾳ κατειλ. m. M.

[100] f. τοῦτο δὲ τὸ φρούριον (vel χωρίον) ἔσχεν.

[1] f. ἃς ἐκεῖνος κακῶς δημηγορῶν (vel συμβουλεύων) ἐν τῇ πυλαίᾳ διεξῆλθεν.

[2] f. ὅτι Φιλίππῳ εὔνους ἦν. m. M. dat ἴσ. ἄνους.

γὰρ τοῦτο μόνον καλῶς ἐποίησεν,[3] ὃς τὸν Κτησιφῶντα γραψάμενος ἔφυγεν Ἀθήνηθεν οὐκ ἐνεγκὼν τὴν ἧτταν. καὶ διατρίβων ἐν νήσῳ, καί τινα τρόπον πατρὸς[4] ἐπιτηδεύων, πόῤῥω τῆς οἰκίας ἀπέθανεν· ὑπερβαλλόμενος μὲν Εὐθυκράτη, καὶ Λασθένη τῇ προδοσίᾳ. νικήσας δὲ τοὺς Θετταλίαν πεπρακότας. πλείονας μὲν ὀφείλων τῇ πόλει χάριτας, εἰς ἣν δοῦλος ὢν ἐπολιτεύετο, δούλην αὐτὴν[5] ἐπεχείρησε ποιῆσαι. κοινῇ δὲ τοὺς Ἕλληνας ἀπώλλυε, διὰ μιᾶς ταύτης τῆς πόλεως·[6] ὥσθ' οἱ μὲν ἄλλοι τὰς αὑτῶν προδιδόντες, ἐκείνας μόνας ἀφῃροῦντο τὴν ἐλευθερίαν. ὃδ' ἐν ταῖς Ἀθήναις λαμβάνων, κατὰ παντὸς ἐλάμβανε[7] τοῦ τῶν Ἑλλήνων γένους.

ΨΟΓΟΣ ΠΛΟΥΤΟΥ.

ΑΛΛ' εἰ καὶ πολλοὺς λυπήσω φιλοχρημάτους, λέγων περὶ πλούτου τ' ἀληθῆ, τῆς γε ἀληθείας οὐδὲν πρότερον ποιήσομαι· Φημὶ τοίνυν ἀγαπᾶσθαι μὲν αὐτὸν, ὑπὸ τῶν κακῶς τὰς γνώμας διακειμένων, εἶναι δὲ μέγιστον τοῖς ἔχουσι κακόν· καὶ πρῶτόν γε ἐντεῦθεν, γνοίη τις ἂν τὴν φύσιν αὐτοῦ. Πλοῦτος οὐκ ἔστι παρὰ θεοῖς οὐδὲ ἄργυρος καὶ χρυσίον, καὶ σκεύη καὶ ἐσθήματα· οὐδ' ἕτερος εὐπορώτερος ἑτέρου.[1] καί τοι τῶν γε καλῶν εἴπερ ἦν, ἀνάγκη παρ' ἐκείνοις ἂν ἦν·[2] ὥσπερ τὰ ἄλλα τὰ φύσει κακὰ,[3] δικαιοσύνη καὶ ὁμόνοια καὶ φιλία. ἀλλ' οὐδὲ τοὺς

[3] f. sic distinguendus et exarandus est locus — ἐποίησεν. hic definit sententia: hoc vnum fecit egregie. Scilicet, ὡς τὸν Κτησιφ. vt ab accusatione, in Ctesiphontem suscepta, necessum habuerat Athenis emigrare, quod amissae causae dedecus non ferret —

[4] f. τὰ πατρὸς, scil. ἐπιτηδεύματα, patris studia sectatus, id est, idem vitae et quaestus genus secutus, cui pater deditus antea fuisset. ludum ille literarium aperuerat. Ibidem τῆς οἰκείας leg. procul a patria.

[5] f. ἐν ᾗ γὰρ δοῦλος ὢν — δούλην ταύτην —

[6] ταύτης τῆς πόλεως] M. omittit τῆς.

[7] λαμβάνων et ἐλάμβανε] scil. δῶρα.

[1] ἑτέρου] sic recte coni. M. εὐπορωτ. α t. M.

[2] ἴσ. εἶναι m. M.

[3] κακὰ] imo vero καλά.

τοὺς εὐδοκιμήσαντας παῖδας τῶν θεῶν, εὕροιμεν ἂν περὶ χρημάτων σπουδάσαντας, οἷον Ἡρακλέα καὶ Θησέα καὶ Πειρίθουν. καὶ πολλοὺς ἑτέρους καίτοι πλεῖστον ἁπάντων διενεγκόντες· καὶ δυνάμει ῥᾳδίως, εἴπερ ἐβούλοντο τὰ τῶν ἄλλων ἔχειν· οὐκ ἠξίωσαν ἀπὸ τοῦ πολλὰ κεκτῆσθαι λαβεῖν ὄνομα. μητέρα τοίνυν ἔγωγε νομίζω πλούτου πλεονεξίαν εἶναι καὶ τὸ μὴ τοῖς ἴσοις τὸ ἴσον ἀγαπᾶν. οὗτος πολέμους ἔδωκεν· αὐτὸς λῃστείας ἐποίησε. τὸ γὰρ τὰ τῶν πλησίον ἐθέλειν ἔχειν, ἐπὶ τὰ ὅπλα τοὺς φιλοχρημάτους ἤγαγε. καὶ μάχας κατέδειξε καὶ παρατάξεις. καὶ τροπὰς, καὶ μηχανήματα. καὶ πόλεων κατασκαφὰς, καὶ οὐδὲ τὴν θάλατταν ὁ φιλοχρήματος τῶν κακῶν ἀφῆκεν εἶναι καθαράν· ἀλλ᾽ ἐναυπηγήσατο πλοῖα λῃστρικὰ, καὶ κακούργους ἐνεβίβασε, καὶ τραύματα καὶ φόβους εἰσήγαγεν εἰς τὴν θάλασσαν· ὁ τύραννος ὑπὸ τοῦ πλούτου καθίσταται· καὶ ὅπως ἔτι μᾶλλον πλουτήσειεν, ἐπιθυμεῖ τῆς δυναστείας· γενόμενος δὲ τῶν πραγμάτων κύριος, τοὺς μὲν πένητας ἐᾷ. τοὺς δὲ εὐπόρους σφάττει. καὶ γίνεται τοῖς μὲν ἡ πενία σωτηρία· τοῖς δὲ ὄλεθρος ἡ περιουσία. καὶ μὴν οἱ τοιχωρύχοι, τοὺς τῶν πλουσίων περισκοποῦσι τοίχους· καὶ προσέρχονται μετὰ τῶν ὀργάνων. ὅθεν ἐστὶ πολλὰ λαβεῖν· εἰ δὲ βοηθεῖν αὐτοῖς οἱ ἀδικούμενοι βούλονται μετὰ τῶν χρημάτων ἀπώλεσαν τὰς ψυχὰς, ἔργῳ μαθόντες, ὅτι κρεῖττον ἦν ἄρα πένεσθαι· καὶ μὴν ὅστις μὲν εὐπορεῖ φθονεῖται καὶ ἐπιβουλεύεται· κἂν καταλάβῃ ποτὲ αἰτία, καὶ παραστῇ ὁ κίνδυνος, πολλοὺς ἔχει τοὺς ἐπικειμένους· ἐγκαλεῖν μὲν οὐδ᾽ ἴσως[4] ἔχοντας· δακνομένους δὲ ὑπὸ τοῦ παρ᾽ ἐκείνῳ τὸ πλέον εἶναι. τοῖς πλουσίοις καὶ τεθνεῶσιν ἤδη παρακολουθεῖ τὸ πάσχειν κακῶς· ἐπειδὰν γὰρ ταφῶσιν ἀξίως τῆς τύχης, πολλοὺς ἔχουσι τοὺς οὐκ ἐῶντας ἀκίνητον μένειν τὸν τάφον· ὥστ᾽ ἀνάγκη τὸ σῶμα ῥίπτεσθαι, καὶ δευτέρας δεῖσθαι ταφῆς. παῖδες δὲ πολλῆς οὐσίας κληρονόμοι, πολλοὺς ἔχουσι τοὺς σπαράττον-

[4] f. ἐγκαλεῖν μὲν οὐδὲν ἴσως.

τοντας καὶ ἐλαύνοντας, καὶ λαβεῖν βουλομένους ἐξ αὐτῶν τι· καὶ φοβουμένους εἰ μὴ δοῖεν, καὶ τὸ λαβεῖν, ἀφορμὴν ποιουμένους δευτέρας ἁρπαγῆς· ἀνάγκη τοίνυν ἕλκεσθαί τε καὶ θορυβεῖσθαι καὶ ἐνοχλεῖσθαι, καὶ τῆς διανοίας ἀμελεῖν, ὑπὸ τοῦ πλήθους τῶν περιϊσαμένων[5] κακῶν. καὶ ἐπὶ τὰ μέγιστα μὲν[6] τῶν ἐν ἀνθρώποις δεινῶν, ἀπὸ τῶν τοιούτων λαμβάνει[7] τὰς ἀφορμάς· οὕτω διαφθείρονται γάμοι χρημάτων διδομένων· οὕτω νέων ὥρα, μισθοῦ προτεινομένου. Τοῦτο[8] τὰς προδοσίας ἐργάζεται· καὶ νῦν μὲν στρατηγὸς ἀπέδοτο τὸ στρατόπεδον· νῦν δὲ πρεσβευτὴς, χρημάτων ἐπιθυμήσας ἑκάτερος· οἱ δὲ τῶν θεῶν καταφρονοῦντες, καὶ τὰ ἱερὰ συλῶντες, οἱ δὲ θήκας κινοῦντες, καὶ τάφους ἀνορύττοντες, πόθεν ἐπὶ τὸ τοιαῦτα τολμᾷν ὁρμῶνται; ἀπὸ τοῦ περὶ χρήματα μεμηνέναι. ἐξέταζέ μοι τοὺς θρασεῖς καὶ τοὺς ὑβριστὰς καὶ τοὺς ἀσελγεῖς, καὶ ὅσοι διαπτύουσι τοὺς ἐντυγχάνοντας. ἀπὸ γὰρ τῶν πλουτούντων τούτοις εὑρήσεις, οὐ τῶν ἐν μετρίοις διαζώντων. ὁ πλοῦτος οὐκ ἐᾷ σωφρονεῖν· ἀλλ' ἐρᾷν παρακαλεῖ· ὁ πλουτῶν ἀμελεῖ παιδείας, ὡς ἀρκούντων αὐτῷ τῶν χρημάτων· καὶ τὸν πέλας ἀδικεῖ, προσπεριβαλέσθαι τοῖς οὖσιν ἐθέλων· μέτρον γὰρ οὐδὲν ἐπίσταται περιουσίας· καὶ δειλία δὲ τούτοις ἐνοικεῖ. τὸ γὰρ ἀεὶ κολακεύεσθαι καὶ τρυφᾷν καὶ μεθύειν καὶ ζῆν ἐν καλοῖς ἀκούσμασιν, οὐκ ἐᾷ κινδύνων ἐπιθυμητὴν γενέσθαι· καὶ μὴν εἰ τὸ ὑγιαίνειν ἥδιστον· οἱ δὲ γέμουσι νοσήματος.[9] τὸ γὰρ ὑπερεσθίειν καὶ τὸ γαστρὶ χαρίζεσθαι, καὶ τὸ μὴ γυμνάζεσθαι τὸ σῶμα τοῖς πόνοις, πᾶσαν ἰδέαν νοσημάτων ἐφέλκεται. ἔτι τοίνυν ἐν ταῖς μάχαις λείπουσι τὰς τάξεις, καὶ φεύγουσι, καὶ οὐδὲ τὸν κτύπον ὑπομένουσι τῶν ἀσπίδων. Ἴλιον τὸ πολύχρυσον ὑπὸ τῶν Ἑλλήνων μάλα ἀπορούντων

[5] περιϊσαμένων] παριστ. M.

[6] μὲν videtur delendum.

[7] f. λαμβάνειν in infinitiuo, qui pendet ex ἀνάγκη.

[8] τοῦτο] scil. τὸ χρήματα δίδοσθαι aut τὸ μισθὸς προτείνεσθαι.

[9] malim νοσημάτων in plurali.

των[10] ἡλίσκετο. Ξέρξης ὁ τῆς Ἀσίας δεσπότης, ὁ μεταποιῶν τὴν γῆν τε καὶ θάλασσαν, ὑπ' ἀνδρῶν ὀλίγων ἠλαύνετο. τοὺς μὲν Ἀθηναίους εὕροις ἂν ὅτε πλεῖστα ἐκτήσαντο, μάλιστα κακῶς ἀπαλλάξαντας· τούς τε Λακεδαιμονίους, νόμῳ μὲν πενομένους, ἡγουμένους δὲ τῶν Ἑλλήνων· ἀκούσαντας δὲ παρὰ τοῦ Πυθίου, φυλάττεσθαι τὴν φιλοχρήματον[11] ὡς ὄλεθρον ἔχουσαν. Ἡ μανία δὲ δεινὸν μὲν, ἀλλ' οὐκ ἔστιν ἔγκλημα τῆς γνώμης· ἀφίησι γὰρ ἡ τύχη τὸν ἁμαρτάνοντα τῆς αἰτίας· ὁ δὲ πλοῦτος αὐτὴν διαφθείρει τὴν ψυχὴν, καὶ ποιεῖ κακὸν τὸν ἔχοντα· καὶ μανίας μὲν οὐδεὶς οὐδέποτε δίκην ἔδωκε. διὰ δὲ τὴν τοῦ πλούτου ἀδικίαν ὁρῶμεν πολλοὺς κολαζομένους.

ΨΟΓΟΣ ΠΕΝΙΑΣ.

ΕΜΕ δὲ εἴ τις ἔροιτο τί μέγιστον ἡγοῦμαι τῶν ἀνθρωπείων κακῶν, πενίαν εἴποιμ' ἄν· οἶμαι δὲ οὐ πρῶτος ταύτην φέρειν τὴν ψῆφον· ἀλλὰ πολλοῖς μὲν ποιηταῖς· πολλοῖς δὲ ῥήτορσιν ἀκολουθεῖν, οἱ καὶ τὴν φύσιν ἐσκέψαντο τοῦ πράγματος, καὶ κατηγόρησαν ἱκανῶς. πῶς γὰρ οὐκ ἔμελλον κατηγορεῖν τῆς ὑπὸ θεῶν μεμισημένης τε καὶ ἐκβεβλημένης οὐρανοῦ; ὅταν γὰρ Ὅμηρος λέγῃ χρυσοῦν εἶναι τοῖς θεοῖς τὸ δάπεδον, ὁμολογεῖ πλοῦτον εἶναι παρ' αὐτοῖς, καὶ τὰ τοῦ πλούτου καλά· ἐπεὶ καὶ τῶν πόλεων ἃς φιλοῦσι, πλοῦτον ταύταις δεδώκασι· σημεῖον δέ. Ῥοδίοις γὰρ φησὶ Πίνδαρος, ἐξ οὐρανοῦ ῥῦσαι χρυσόν· Θουκυδίδου δὲ ἀκούεις λέγοντος· ταπεινῶς διακεῖσθαι τὴν Ἑλλάδα τοπρῶτον, ἕως μὴ χρήματα ἐνῆν· ἔνθεν ἴδοι τις ἂν τῶν πόλεων τὰς χρημάτων ἀπορούσας, ταπεινάς τε οὔσας καὶ φαύλας[12] καὶ ἀμόρφους· οὔτε γὰρ ἂν τεῖχος ἰσχυρὸν περιβάλοιτο πόλις, οὔτ' ἂν τὸ μέτρον ἑαυτῆς ἐπὶ πλεῖ-

[10] ἀπορέντων] sic recte coni. M. εὐπορ. t. M.

[11] ἴσ. φιλοχρηματίαν. m. M.

[12] φαύλας] sic dedi; est enim hoc adiectiuum trium terminationum. φαύλους M.

πλεῖστον τῆς γῆς ἐκτείνειεν, οὔτ᾽ ναοὺς κατασκευάσαιτο περιφανεῖς, οὔτ᾽ ἂν οἰκίας λαμπράς, εἰ μὴ τὴν ἀπὸ τοῦ πλούτου χορηγίαν ἐπὶ τούτοις ἔχοι. πολέμου δὲ καταλαβόντος ἐν ἡ πενία, πόθεν ἂν τῇ τοιαύτῃ σωτηρία, μηθ᾽ ὅπλων ὑπαρχόντων, μήτε νηῶν, μήτε τριηράρχων, μήτε ξενικοῦ προσγινομένου· μήτε τροφῆς τοῖς στρατευομένοις οὔσης· ἀλλ᾽ οὐδὲ τὴν εἰρήνην φαιδρὰν εἶναι τοῖς τοιούτοις οἷόν τε, τῆς γε τὴν[13] ἐκ τῆς ἀσφαλείας τέρψιν ἀφανιζούσης. ὁ πένης εἰ μὲν ἄγαμος διαμένειεν, ὑπ᾽ ἐρημίας πιέζοιτ᾽ ἄν. γήμας δὲ αὐτῷ παραπλησίαν, διπλοῦν αὐτῷ πεποίηκε τὸ κακόν· παῖδες δὲ εἰ γένοιντο, μείζων τῆς πενίας ἡ αἴσθησις· καὶ δεῖ δακρύειν ἀφ᾽ ὧν[14] τοῖς εὐπόροις ἑορτάζειν ὑπάρχει· ὥστε οὐ παῖδας ἰδεῖν, ἀλλὰ τοὐναντίον αἰτοῦσι παρὰ τῶν θεῶν· εἰ δὲ δὴ γενόμενοι, πρὸς τὰς δουλοπρεπεῖς καταφέρονται τέχνας, ἀπὸ τῶν χειρῶν ποιούμενοι τὸν βίον· ἐλευθερίου δὲ μαθήματος οὐκ ἐᾷ μεταλαμβάνειν ἡ πενία. οὐκ κτᾶσθαι ῥητορικήν· οὐκ ἐν φιλοσοφίᾳ διατριβὴν[15] οὐδὲ πένης ἀπὸ τῶν εἰς τὴν πόλιν φιλοτιμιῶν. λαμπρὸς οὐδὲ περίβλεπτος, οὐ χορηγεῖν[16] δυνάμενος· οὐκ ἐπιδοῦναι ναῦν· οὐ λῦσαι λιμὸν, ἐκ τῶν ἔνδον ἀποκειμένων. οὗτοι καὶ φρονήσει διενέγκωσι, κἂν συμβουλὴν ἔλθωσι κομίζοντες χρησίμην, κατεφρονήθησαν διὰ τὴν τύχην, καὶ τοὺς πειθομένους οὐκ ἔχον· ἐπεὶ κἂν στρατηγός τις ᾖ[17] πένης ὤν, παραπλήσιόν τι πάσχει· καὶ τοὺς ἐγχειριοῦντας τὸ στράτευμα οὐκ ἔχει· πένης πρεσβεύων κἂν ὡς δικαιότατα διακονήσῃ, δωροδοκεῖν ὑποπτεύεται· καὶ ὅλως τὰς ἀρετάς, εἴ τινες ἄρα γένοιντο, σπάνιον δὲ, κωλύει λάμπειν. ὡς τά γε πολλὰ πονηρίας ἐστὶ διδάσκαλος ἀναγκάζουσα κακὸν εἶναι τὸν ἀποροῦντα. ἀπὸ τούτων[18] εἰσὶν εἰ τολμῶντες

κερ-

[13] f. τῆς γε πενίας τὴν —

[14] ἀφ᾽ ὧν] id eſt ἀπὸ τούτων ob liberos, ἀφ᾽ ὧν — ob quos natos laetari ſolent locupletes feſtosque dies agere.

[15] ἴσ. διατρίβειν in. M.

[16] οὐ χορηγεῖν] οὐδὲ χορ. M.

[17] f. στρατηγικός τις ᾖ etiamſi quis artibus praeſtet imperatoriis. ἴσ. ᾖ in. M.

[18] ἀπὸ τούτων] id eſt ἀπὸ τούτου ſcil. τοῦ πένεσθαι. hinc exiſtunt οἱ (non εἰ) τολμῶντες.

κερδαίνειν ἐκ τῶν τάφων καὶ τὰς θήκας τῶν οἰχομένων ἀναῤῥηγνῦναι· ἀπὸ τούτων οἱ τοίχους ὀρύττοντες ἱερόσυλοι, κλέπται· μήτ᾽ ἀνθρώπους αἰδούμενοι, μήτε θεοὺς δεδιότες. οὗτοι τὰς δεξιὰς ἐν ἐρήμοις ὁπλίζουσι κατὰ τῶν ὁδοιπόρων, καὶ σφάττουσιν οἷς οὐδὲν ἔχουσιν ἐγκαλεῖν, ἐσθῆτος ἕνεκα φαύλης ἢ δραχμῶν ὀλίγων· τούτοις δοῦναι καὶ παρακαταθήκην σφαλερόν· ἴσασιν γὰρ ἀποστερεῖν καὶ μετὰ τοῦτο ἐπιορκεῖν· πένης ἐπίτιμος οὐ πολὺ τῶν ἀτίμων διαφέρει. τὴν γλῶτταν ὑπὸ τῆς τύχης, ὡς ἔφη που Θέογνις, δεδεμένος. καὶ περιέρχονται κατὰ πόλιν σκυθρωποὶ, καὶ κύπτοντες εἰς γῆν· ἀποβεβληκότες μὲν οὐδένα τῶν οἰκείων· στένοντες δὲ μᾶλλον ὡς πενόμενοι, παραχωροῦντες θάκων, ὑπεχωροῦντες ὁδῶν· ἀγαπῶντες, εἰ μὴ πάθοιεν κακῶς· τὰ σώματα μὲν τοῖς νοσοῦσιν ἐοικότες, τὰς ψυχὰς δὲ τοῖς ἀεὶ πληγήσεσθαι μέλλουσι. θυγάτηρ τῷ πένητι συμφορὰ, καὶ μνηστὴρ οὐδαμοῦ· ἡ ἄγαμος, ἐλεεινόν·[19] τοῦ καιροῦ τὴν ἀτυχίαν μειζόνως ἐλέγχοντος· ἔτι τοίνυν ἐν δικαστηρίοις, εἰ μὲν διώκοι πένης ἀδικούμενος, συκοφαντεῖν ἔδοξε· εἰ δὲ φεύγει μηδὲν ἀδικῶν, ῥαδίως ἥλω. τέθνηκε; περὶ ταφῆς ἡ φροντὶς, καὶ δακρύουσιν οὐχ οὕτω τὴν τελευτὴν οἱ προσήκοντες, ὡς τὸ μὴ κρύψαι τὸ σῶμα πρεπόντως ἔχειν. οὐδὲν τοσοῦτον ἡ δουλεία· ὁ μέν γε οἰκέτης καθεύδει ῥαθύμως, ταῖς τοῦ δεσπότου φροντίσι τρεφόμενος, καὶ τ᾽ ἄλλα ἔχων ὧν δεῖται τὸ σῶμα· πένης δὲ ἐλεύθερος ἀγρυπνῶν διατελεῖ, ζητῶν ὅθεν θρέψεται· χαλεπὴν ἔχων δέσποιναν τὴν ἀπορίαν, ἀναγκάζουσαν λιμώττειν. δεινὸν ἡ νόσος τοῖς ἀνθρώποις, καὶ τὸ ἀῤῥωστήμασι κάμνειν· ἀλλὰ τῷ μὲν εὐπόρῳ πολλαχόθεν ἡ παραμυθία, καὶ ἰατροὶ καὶ φάρμακα καὶ θεραπεία συχνὴ καὶ τέχνη· πένης δὲ ἀῤῥωστῶν, διπλῇ προσπαλαίει νόσῳ· φαίη δ᾽ ἄν τις ἀκριβῶς ἐσκεμμένος τὴν πενίαν, κουφότερον εἶναι τὸ μετ᾽ εὐπορίας νοσεῖν ἢ μετὰ τοῦ χρημάτων σπανίζειν, ὑγιαίνειν.

19 f. ἡ δ᾽ ἄγαμος ἐλεεινὸν θέαμα.

ΨΟΓΟΣ ΟΡΓΗΣ.

ΚΑΙ αὐτὸς ποτὲ βλαβεὶς ὑπ' ὀργῆς· πολλάκις δὲ αὐτῆς κεκρατηκώς· καὶ πεῖρα μαθὼν οἷόν ἐστι τὸ ταύτης καὶ περιεῖναι καὶ μή, βούλομαι περὶ αὐτῆς εἰπεῖν. οὐ περὶ τῆς τοιαύτης ἄξιον· μᾶλλον δὲ ὅσον μὲν ἄξιον, οὐκ ἔστιν εἰπεῖν. ὅσα δὲ ἐγχωρεῖ καλὸν μὴ σιωπῆσαι. πρῶτον μὲν οὖν μὴ νομίζωμεν αὐτὴν ἐν οὐρανῷ τε καὶ τῇ τῶν θεῶν εἶναι διαίτῃ. μὴ δ' ὑμᾶς μηδεὶς ἐξαπατάτω ποιητὴς τοιαῦτα ληρῶν. εἰ γὰρ εὐδαίμονες μὲν οἱ θεοί· καὶ τοῦτο ἀνωμολόγηται· στασιάζειν δὲ ὁμοῦ καὶ εὐδαιμονεῖν οὐκ ἔστιν· αἱ δὲ ὀργαὶ στάσεις ποιοῦσι, πῶς οὐκ ἀνάγκη τὰ πράγματα τῶν θεῶν καθαρεύειν ὀργῆς; ἀλλὰ μὴν αὐτῶν γε τῶν ποιητῶν ἀκούομεν ῥεῖα ζώειν τοὺς θεοὺς λεγόντων. οὐκ ὀργῇ, καὶ τῷ χαλεπῶς πρὸς ἀλλήλους ἔχειν. πῶς γὰρ ἂν εἴη ῥεῖα ζώειν;[20] τὴν μὲν οὖν Ἄτην φασὶν ἐκπεσεῖν ἐκεῖθεν, ὅπως μηδὲν τῶν αὐτῆς[21] παρ' ἐκείνοις ποιῇ. ἐγὼ δὲ θαυμάσαιμ' ἄν, εἰ τὴν μὲν ἄτην οὐκ ἐπιτηδείαν ἡγοῦντο[22] συνδιατρίβειν αὐτοῖς, τὴν δ' ὀργὴν ἠγάπων, ἀφ' ἧς ᾔδεσαν οὐκ ἐλάττω γενησόμενα κακά. οὐκοῦν καὶ ταύτην ἐξέρριψαν ἄν, ἢ μετ' ἐκείνης, ἢ πρὸ ἐκείνης ἢ μετ' ἐκείνην εὐθύς· μᾶλλον δὲ οὐδετέραν[23] ἐξέωσαν· ἀλλ' οὐδὲ τὴν ἀρχὴν παρεδέξαντο. θεῶν γὰρ ἦν, ἰδεῖν, οἶμαι πρὶν παθεῖν, τὸ μέλλον. οὐκοῦν ἀνθρώπων τὰ τῆς ὀργῆς· καὶ οὐδὲ τούτων πεπαιδευμένων·[24] οὔκουν τούς γε γνησίως φιλοσοφοῦντας ἔστιν ἰδεῖν ὑπὸ τοῦδε τοῦ πάθους κατεχομένους· ἀλλὰ τοῦτον ὄντα πρῶτον φιλοσοφίας καρπόν, τὸ καθαρὰν ὀργῆς τὴν ψυχὴν παρέχεσθαι. καὶ τοίγε ὀργῇ δουλεύοντα καὶ μὴ τοῖς ἐκ τῆς φιλοσοφίας λόγοις, ἥκιστά γε φαμὲν φιλοσοφεῖν. τὸν δέ γε κρείττονα ταύτης, κἂν μὴ δεινὸς ᾖ τὰ ἐκείνων,[25]

ἐν

[20] post πῶς γὰρ ἂν εἴη ῥεῖα ζώειν subaudi χαλεπῶς πρὸς ἀλλήλους ἔχοντας.

[21] αὐτοῖς m. M.

[22] ἡγοῦνται m. M.

[23] οὐδέτερον m. M.

[24] σπουδαίων m. M.

[25] τὰ ἐκείνων] scil. τῶν φιλοσόφων λεπτολογήματα.

ἐν ἄκροις γραφόμεθα· οὕτω μέγιστος ἄθλων ἐστὶν, ὀργὴν φανῆναι νικῶντα· ἣ ποιεῖ μὲν κακῶς ἄλλους· ποιεῖ δὲ αὐτὸν τὸν ἔχοντα. σκοπῶμεν δὲ οὑτωσί. πατὴρ ἥττων ὀργῆς, ἀφόρητος υἱέσιν, ὑβρίζων, ἐλαύνων, παίων· καὶ πολλοὶ τῶν γε τοιούτων ἀποδράντες, ἀλᾶσθαι μᾶλλον καὶ πτωχεύειν ἐδέξαντο καὶ τοὺς ἀλλοτρίους σφίσιν οἴκους οἰκειοτέρους ἔκριναν. ὁ δ' ἀπὸ τῶν παίδων τὴν ὀργὴν ἐπὶ τὴν γυναῖκα μετενεγκὼν, ταχέως κἀκείνην ἐξήλασεν. ἥκων δὲ ἐπὶ τοὺς οἰκέτας, πολλοὺς δραπέτας ἐποίησεν. ἔστι δὲ οὓς καὶ φονέας τοῖς μὲν γὰρ ἤρκεσεν ἀπελθοῦσιν ἀπηλλάχθαι κακῶν· τοῖς δ' ἔδοξε καὶ δίκην λαβεῖν· καὶ νύκτας ἀναμείναντες, τῶν πληγῶν καὶ τῶν μαστίγων ξίφεσι τὴν δίκην ἔλαβον. πάλιν τοίνυν γυνὴ μὲν εἰς ὀργὴν ἕτοιμος, ἀνδρός τε καὶ οἴκου καὶ τῶν ἐν τούτοις ἀγαθῶν αὐτὴν ἀπεστέρησε· παῖδες δὲ τὸ δεινότατον τοῦτο καὶ δυσσεβὲς, πατέρας ἐπάταξαν· καὶ γραφὴν ὑπέμειναν, καὶ δικαστὰς εἶδον. καὶ οὐδαμόθεν συγγνώμη. ὀργὴ καὶ τὸν οἰκέτην αὐτὸν ἀγνοεῖν ἀνέπεισε· καὶ μεῖζον τῆς τύχης ἔβλεψέ τε καὶ ἐφθέγξατο· καὶ τὴν χεῖρα κινήσας οὐ κατὰ νόμον, μύλωνα καὶ πέδας ἀντὶ τοῦ κακοῦ φρονήματος ἔσχεν. αὕτη καὶ φιλίας δεσμοὺς διακόπτειν πέφυκε· τὸν μὲν ὀργιζόμενον ἐφ' ἅπαν ἐξάγουσα ῥῆμα· τὸν δὲ παροινούμενον, ἐχθρὸν ἀντὶ φίλου τῇ λύπῃ ποιοῦσα· οὐ γάρ ἐστι ῥᾴδιον τὰ ἀπὸ τῆς ὀργῆς ἐνεγκεῖν, οὐ νέοις, οὐ πρεσβύταις, οὐκ ἀνδράσιν, οὐ γυναιξὶν, οὐκ ἐλευθέροις, οὐ δούλοις. γείτων ὀργίλος ἔν τε ἀγρῷ καὶ πόλει, μεγάλη τῷ πέλας συμφορά. ἡσυχάζειν μὲν γὰρ τοῖς τοιούτοις οὐδὲ μικρὸν ἔξεστι χρόνον· ἀεὶ δὲ ἐν κραυγῇ καὶ θορύβῳ καὶ ῥήμασι πικροῖς εἶναι καὶ μάχαις. κἂν νὺξ ἀφέληται,[26] πάλιν ἧκεν ἡμέρα τὰ τῆς προτέρας[27] φέρουσα. καὶ τὸν ἐπιεικέστερον ἢ σιγῇ δεῖ στένειν· τοῦτο δὲ οὐ ῥᾴδιον. ἢ ἐκβαίνοντα τῶν τρόπων,[28] ἀσχημονεῖν. τοῦτο καὶ στρατηγὸν ἂν ποιήσειεν

26 ἀφέληται] scil. rixas et conuicia.

27 malim τῆς προτεραίας.

28 τὸν τρόπον ἐκβάντα m. M.

ἤσειεν ἄχρηστον, καὶ στρατόπεδον ἀθυμότερον. τὸν μὲν οὐκ ἔχοντα παρὰ[29] τὴν ὀργὴν χρῆσθαι τῇ τέχνῃ. τὸ δὲ οὐχ ἡδέως τῷ τοιούτῳ παρέχον αὑτό. βαρεῖς καὶ τῷ νέων χορῷ διδάσκαλοι ὀργῇ χρώμενοι.[30] καὶ οὔτ' ἂν ἐκεῖνοι* ῥυθμίζοιντο καλῶς, πληττόμενοι τὰς ψυχὰς τοῖς ἀπὸ τῆς ὀργῆς λόγοις. οὔτ' ἂν οὗτοι δέχοιντο τὰς μαθήσεις ἀκριβῶς. ἀλλὰ σκηπτόμενοι νοσεῖν, οἴκοι πολλάκις ἂν μένοιεν δεδιότες τὴν ἐπ' αὐτοῖς ῥηγνυμένην ὀργήν.[31] ταυτὸν ἄν, καὶ ἀθλητὴς πάθοι τοιούτῳ παιδοτρίβῃ περιπεσών. καὶ αὐτὸς δὲ πίπτων εἰς ὀργὴν ἐν τοῖς ἄθλοις ἀντὶ τῶν ὑπὸ τῆς τέχνης αὐτῷ παρηγγελμένων, τοῖς παραπίπτουσιν ἂν χρῷτο. ἐν νηῒ δὲ τῶν πλεόντων ὀργὴ πρὸς ἀλλήλους ἀντὶ χειμῶνος καὶ ζάλης γίγνοιτ' ἂν τῷ σκάφει. ἡνίοχος ὀργῇ κατειλημμένος, χείρους ἂν ποιήσαι[32] τοὺς ἵππους τοῖς ἀπὸ τῶν χαλινῶν ἀλγήμασιν ἀναγκάζων κακουργεῖν. καὶ περὶ τοὺς βοῦς ἄν, ταυτὸ γίγνοιτο παρὰ τοῦ βοηλάτου ταυτὸν ἐκείνῳ[33] πεπονθότες. δῆμος δὲ τραχὺς καὶ ῥᾳδίως ὀργιζόμενος, πολλάκις ἀποστερεῖται τοῦ τὰ δέοντα μαθεῖν, τῶν ἐχόντων εἰπεῖν τὶ φόβῳ σιγώντων· καὶ δίκην ἣν ἔδει παρὰ τῶν πολεμίων, ταύτην παρὰ τῶν οἰκείων ἥσθη λαβών. ἀλλ' οὐδὲ δικαστὴς γένοιτ' ἂν τῶν οἰκείων ἀγαθὸς φύλαξ μετ' ὀργῆς τῶν ἀγωνιζομένων.[34] οὐ γὰρ ἕπεται τοῖς νόμοις,

[29] πρὸς m. M.

[30] βαρὺ χορῷ καὶ ν. διδάσκαλος ὀργῇ χρώμενος m. M.

* ἐκεῖνοι et οὗτοι quo referantur haud video, cum de vno tantum grege iuuenum, literis imbuendorum, facta esset mentio. errant enim, qui ἐκεῖνοι ad magistros trahunt; id quod insequentia non patiuntur. necesse est vt de duobus choris agere instituerit orator, altero ad saltandum instruendo, altero literis. illi priori conuenit istud οὐκ ἂν ῥυθμίζοιντο καλῶς. huic οὐ δέχοιντο τὰς μαθήσεις ἀκριβῶς.

[31] ὀργὴν non est in Ferrariensi. et possit μάστιγα subaudiri.

[32] ποιοῖτο m. M.

[33] ἐκείνῳ | scil. τῷ ἡνιόχῳ. v. versu 30. ed. M. tum πεπονθότος lege in genitiuo, vt est etiam in Ferrar. redit enim ad βοηλάτην.

[34] f. τῶν δικαίων ἀγαθὸς φύλαξ, μετ' ὀργῆς ἀκροώμενος τῶν ἀγωνιζ.

μοις, ἀλλὰ χαρίζεται τῷ θυμῷ. ὁ βασιλεὺς ἕως μὲν ἐστὶ τοῖς ἀρχομένοις ἤπιος, τοῦτ᾽ ἔστιν ὅπερ ὀνομάζεται· χαλεπὸς δὲ γενόμενος, καὶ διδοὺς ἑαυτὸν ὀργῇ. καὶ διὰ τοῦτο τοὺς μὲν χρήματα ἀφαιρούμενος· τοὺς δὲ, ἐκβάλλων τῶν ὅρων, τοὺς δὲ δέων· τοὺς δὲ, ἀποκτιννὺς, εἰς τύραννον ἐκκεκύλισται· κἂν σφόδρα φεύγῃ τοὔνομα τοῦτο, καὶ τοῦ τῆς βασιλείας ἔχηται. ἐμοὶ δὲ καὶ πρεσβευτὴς ἀρέσκει, κραυγὴν καὶ μέμψεις καὶ ὀγκώματα[35] ἐκείνων παρ᾽ οὓς ἀφῖκται δυνάμενος ἐνεγκεῖν. ὃδ᾽ ὑπ᾽ ὀργῆς χειμαζόμενος, ταχὺ τοῖς ἐχθροῖς βεβοηθηκὼς, ἀπέρχεται. τὰ αὐτοῦ μὲν ἰσχυρὰ ποιήσας ἀσθενῆ· τἀκείνων δὲ ἀσθενῆ δείξας ἰσχύοντα καὶ γὰρ εἰ τὰ μάλιστα πάντα δι᾽ ὧν ἦν κρατεῖν, παρεσκευασμένος ἦλθεν, ἥ γε ὀργὴ προσπεσοῦσα, πᾶν τὸ ἐσκεμμένον ἐσκέδασε, καὶ κατέστησεν αὐτὸν εἰς ἴσον τῷ μηδὲ φροντίσαντι τὴν ἀρχήν. ἀλλότριοι ὀργὴ γάμων ἀλλότριον θυσίας, κώμων, συμποσίων.[36] τούτων μὲν γὰρ ἕκαστον ἐν γαλήνῃ, καὶ τῷ τέρπειν ἀλλήλους, τὴν εὐφροσύνην ἔχει. τῆς δὲ ὀργῆς ἐπεισελθούσης, ταραχὴ καὶ πόλεμος, καὶ λυπεῖν ἀλλήλους ἀνάγκη. ἔτι τοίνυν ἀποστερεῖ μὲν τοὺς ἀῤῥωστοῦντας[37] βοηθείας· τὸν δὲ ἰατρὸν εὐδοξίας. εἰ γὰρ ὁ μὲν,[38] χαλεπὸς εἴη πρὸς τὸν μεμνημένον φαρμάκων· ὁ δ᾽ ἀποπηδᾷ τοῦ κάμνοντος, οἷς ἤκουσεν ἀνιώμενος· ὁ μὲν, οὐκ ἂν ἔχοι πρὸς τὸ νόσημα σύμμαχον.[39] ὁ δὲ, πολλοὺς[40] τοὺς κατηγόρους, ὡς ἂν προδότης τοῦ κάμνοντος· οὕτω δὲ ἐστὶ φύσει κακὸν ὁ θυμὸς τοῖς ἔχουσιν, ὥστ᾽ εἰ καὶ τ᾽ ἄλλα πάντα αὐτοῖς ἃ δὴ δοκεῖ ποιεῖν εὐδαιμονίαν ὑπάρχει[41] παρὰ τῆς τύχης, αὐτοί γε σφᾶς αὐτοὺς ἀθλιωτέρους τῶν ἀτυχούντων ποιοῦσι

[35] ὀγκώματα] imo vero ἐγκλήματα.

[36] ἀλλότριον κ. ἀλλότριον συμπ. m. M.

[37] τὸν ἀῤῥωστοῦντα β. ἀποστερεῖ δὲ τὸν ἰ in. M.

[38] ὁ μὲν] aegrotus — ὁ δὲ] medicus.

[39] σύμμαχον] subaudi τὸν ἰατρόν.

[40] πολλοὺς] scil. ἔχοι, multos sit habiturus reprehensores.

[41] ὑπάρχῃ in coniunctiuo, aut ὑπάρχοι in optatiuo.

ποιοῦσι. βαρὺ μὲν τὸ ἐν ἀθυμίᾳ ζῆν. ἀθυμία δὲ καταναγκάζει τὸ τινὰ αὐτὸν ἑαυτοῦ κατεγνωκέναι. τοῦτο δὲ ἐστι τῶν ὡς ἡμαρτήκασιν εἰδότων· τὸ δ᾽ ἁμαρτάνειν πυκνὰ, τῆς ὀργῆς ἔργον οἶμαι τοῦ λογισμοῦ μὲν παρεωσμένου, τοῦ θυμοῦ δὲ τυραννοῦντος. τὸν τοιοῦτον ἀεί γε βοᾶν ἀνάγκη. καὶ την μὲν καρδίαν οἷον ἐκπηδᾶν νομίζειν, τὴν κεφαλὴν δὲ ὡσπερεὶ διΐξασθαι· φωνὴν δὲ ἀκραιφνῆ μὴ δύνασθαι δεικνύναι· τοὺς δὲ ὀφθαλμοὺς διαπύρους.[42] πολλοῖς δὲ καὶ νόσου δεινῆς ἀρχὴν ἤνεγκεν ὀργῆς ὑπερβολή. ὑπὸ[43] μόνων δὲ τούτων ἐν ἴσῳ τοῖς ἀνθρώποις[44] ἀτιμάζεται τὰ θεῖα. καὶ καταρῶνται μὲν γῇ, καταρῶνται δὲ καὶ οὐρανῷ· κακῶς δὲ ἀγορεύουσι τὸν τούτων δημιουργόν· ἃ κατὰ τοῦ δυσμενοῦς οὐκ ἂν ἀνὴρ σωφρονῶν φθέγξαιτο, ταῦτα ῥᾳδίως ἐπὶ τοὺς κρείττους ἀφιέντες· καὶ[45] οὐκ ἀξιοῦσι δεδοικέναι τοῦ διὸς τὸ πῦρ. δεινὸν τὸ κέρδους ἡττᾶσθαι, καὶ χρήματα συλλέγειν ὅθεν οὐκ ἄξιον· ἀλλὰ τοῦτο μέν ἐστι, ταῖς ἑτέρων βλάβαις τὰ αὐτοῦ μείζω ποιεῖν. ὀργὴ δὲ πρὶν ἕτερον, αὐτὸν ζημιοῖ τὸν ὀργιζόμενον. δεινὸν ἡττᾶσθαι κάλλους σωμάτων· ἀλλ᾽ ὁ μὲν τοῦτο παθὼν, πρῶτον μὲν ἐν μικρῷ μέρει τῆς ἡμέρας ὁμιλήσας[46] τοῖς παιδικοῖς, ἅπτοιτ᾽ ἂν ἔργων καλλιόνων. ἔπειτα μετὰ τῆς ὥρας ἣν ἐθαύμασε λήγει νοσῶν. ὅτῳ δὲ θυμὸς ἐμπέφυκε ζέων, πανταχοῦ τε αὐτὸν ἀπόλλυσι, καὶ θανάτῳ μόνῳ παύεται. μέμφεσθαι μὲν ἄξιον τοὺς οἰνόφλυγας· καὶ ὅσοι μέχρι μέθης πίνουσιν. ἀλλ᾽ ἐκεῖνοι πιόντες μὲν εἰσὶν ἀηδεῖς, πρὶν δὲ πιεῖν οὐ τοιοῦτοι. ὥστ᾽ εἴ τις αὐτοὺς ἀνάγκῃ κωλύσειε μὴ πιεῖν, οὐδὲν ἂν χείρους εἶεν τῶν ἄλλων. τὸν δ᾽ ὑπ᾽ ὀργῆς[47] κρατούμενον, τίς ἂν ἀπαλλάξειε τῆς δεσποίνης[48] μηχανή;

ἔτι

[42] τοὺς δὲ ὀφθαλμοὺς διαπύρους] verba haec absunt a Ferrariensi, quae si seruantur, necesse est φανῆναι vel tale quid addi, neque enim δεικνύναι poterit e praemissis huc trahi.

[43] ὑπεροχή. ὑπὲρ m. M.

[44] f. τοῖς ἀνθρωπίνοις aut τοῖς ἀνθρωπείοις.

[45] καὶ omittit m. M.

[46] ὁμιλήσας] ὡμιλήσας M.

[47] τὸν δ᾽ ὑπ᾽ ὀργῆς] sic Ferrar. δ᾽ omittit M.

[48] τοῦ δεσπότου m. M.

ἔτι μέν τοι καὶ τῶν μεθυσκομένων τοῦτ᾽ ἐστὶ τὸ δεινότατον· ὅτι τὸν νοῦν διαφθείροντες εἰς ὀργὴν ἐκφέρονται. ὀργὴ κατὰ τῶν τέκνων τὴν Μήδειαν ὥπλισεν. ὀργὴ τὴν Πρόκνην κατὰ τοῦ μηδὲν ἠδικηκότος Ἴτυος. καὶ προσέθηκεν ἑτέραν ὠμοτήτα· δεῖπνον τῷ πατρὶ παραθεῖσα τὸν υἱόν. ὀργῆς ἦν καὶ[49] τὰ Θηβαίων εἰς τοὺς ἐπὶ τῇ Καδμείᾳ τῶν Ἀργείων πεσόντας.[50] οἱ τοὺς τεθνεῶτας ἀποστεροῦντες ταφῆς, ἑαυτοῖς ἀσεβείας τε δόξαν ἐποίησαν, καὶ κινδύνους ἑτέρους πρὸς Θησέα.[51] τὴν Ἀχιλλέως ὀργὴν ὑπὲρ ἧς ἡ Ἰλιὰς, οὐδεὶς ὅστις οὐκ οἶδεν ἀνθρώπων. ἐφ᾽ ᾗ, τὸν Ἀχιλλέα καταδυόμενον ὁρῶμεν, καὶ τὴν ἐρωμένην[52] καταρώμενον· ὡς τῆς ἀφορμῆς τῶν κακῶν ἐκεῖθεν ἡκούσης. ὀργὴ Τυδέα διεκώλυσεν ἀθανασίας τυχεῖν. ὀργὴ Καμβύσης τὰ πολλὰ ἐκεῖνα ἐξήμαρτε. δι᾽ ὀργὴν ἡ πόλις ἡ τῶν Ἀθηναίων, δέκα στρατηγῶν ἀγαθῶν ἑαυτὴν ἀπεστέρησε. καὶ τὸν λαμπρὸν ἐκεῖνον Ἀλέξανδρον τὸν ἐν πολέμοις ἀήττητον, ὀργὴ κατέστησεν αἰτίαις οὐ μικραῖς ἔνοχον. καὶ εἰ δή τις ἅπαντας τοὺς ὑπ᾽ αὐτῆς ἐζημιωμένους καταλέγειν ἐθέλοι,[53] ἀδύνατ᾽ ἂν ζητοίη· διόπερ τούτου μὲν ἀφέξομαι. κρείττων δὲ ὀργῆς εἶναι παρὰ τῶν θεῶν αἰτῶ.[54]

ΨΟΓΟΣ ΑΜΠΕΛΟΥ.

Οὐχ᾽ ὅτι πολλοὶ τῇ ἀμπέλῳ χαίρουσιν, ὀκνήσω περὶ αὐτῆς τἀληθὲς εἰπεῖν. πλέον γὰρ αἰδοῦμαι τὴν ἀλήθειαν ἢ τὸ τῶν ἀνθρώπων πλῆθος, οἳ τὴν ἄμπελον ἡγοῦνται ἀγαθὸν, ὥσπερ καὶ ἄλλα πολλὰ τῶν κακῶν· ἃ βλάπτει μὲν ὁμολογουμένως· τέρπει δὲ, καὶ διὰ τοῦτο ἐπαινεῖται. τὸν τοίνυν πρῶτον περὶ αὐτὴν Ἰκάριον σπουδάσαντα, εὑρήσομεν δι᾽ αὐτὸ τὸ σπουδασθὲν ἀποθανόντα. ὡς γὰρ περιῄει, παιδεύων τὰ περὶ αὐτὴν τοὺς ἀνθρώπους, ἔγευσε μὲν τοῦ οἴνου τοὺς Θρᾷκας· οἱ

δὲ

[49] κατὰ m. M.
[50] πεσόντων m. M.
[51] ἴσ. προσέθεσαν. m. M
[52] τῇ γ᾽ ἐρωμένῃ m. M.
[53] ἐθέλοι] ἐθέλει M.
[54] ζητῶ m. M.

δὲ ἔπασχον τὰ τῶν μαινομένων, παίοντες τοὺς πλησίον, προπηλακίζοντες, παρειμένοι τοὺς ὀφθαλμοὺς, καὶ τὴν γλῶτταν φερόμενοι τῇδε κἀκεῖσε· οἱ δέ τινες αὐτῶν ἔπιπτον· ἃ ὁρῶντες οἱ μὴ πεπτωκότες φάρμακον ἡγήσαντο τὸν Ἰκάριον κεράσαι τοῖς μεθύουσι, καὶ λαβόντες ἀπέκτειναν· οὕτω μὲν ἠμείψατο τὸν πρῶτον ἡ ἄμπελος φυτουργόν. ἔχει δὲ οὐδὲ κάλλος, οὐδὲ πάχος, οὐδὲ μέγεθος, οὐδὲ κλάδους ἰσχυρούς· ἃ ἔντε φοίνιξιν ἔστιν ἰδεῖν, καὶ καρύαις, καὶ δρυῒ καὶ κυπαρίττοις· οὐδὲ συντελεῖ εἰς οἰκίαν μὴ ὅτι εὐδαίμονι καὶ λαμπρῶς οἰκοδομουμένῳ, ἀλλ' οὐδ' ἂν πένητι καὶ φαύλῳ. πῶς δ' ἂν ἢ τοίχους συνδήσειεν, ἢ κέραμον ἐνέγκαι· ἥγε οὐδ' αὐτὴ πρὸς τὸ ἵστασθαι ἀρκεῖ. ἀλλὰ δεῖ πολλῆς ἐπικουρείας. ὥσπερ γὰρ οἱ μεθύοντες ἄλλων ἀνέχονται χερσί· κἂν ἀποστῶσιν οἱ βοηθοῦντες, οἱ δὲ κατέπεσον· οὕτω καὶ ἡ ἄμπελος δεῖται τῶν ὀρθωσόντων[55] κλίμακας ὑποκεῖσθαι δεῖ καὶ χάρακας, μήπου κατενεχθῇ. διὰ γὰρ τοῦ ἑαυτοῦ σχήματος, δηλοῖ τὴν τοῦ καρποῦ φύσιν. ἃ γὰρ οἶνος ἐργάζεται τοὺς πίνοντας· ταῦτα αὐτὴ πέπονθεν ὑπὸ τῆς φύσεως, καὶ προβαίνει τοῖς κλήμασιν, ὅποι[56] ἂν τύχοι, τοῖς τῶν γειτόνων ὑπ' ἀσελγείας ἐπιοῦσα·[57] τοῦτο δὲ τὸ μῆκος ἀσθένεια γίνεται τοῦ φυτοῦ· πῶς ἂν οὖν ἐρίσειε τῇ ἐλαίᾳ οὕτω μὲν καλῇ, οὕτω δὲ ἰσχυρᾷ, οὕτω δὲ μεγάλῃ· καὶ ἂν κομάσῃ,[58] τὸν πλεῖστον χρόνον γεγυμνωμένη τῆς κόμης· καὶ μὴν περὶ μὲν ἐκείνην βραχὺς πόνος ἢ οὐδεὶς ἀλλ' ἀναμένουσι τὸν καρπὸν καθήμενοι. ἡ δέ γε ἄμπελος καλεῖ πρὸς ἑαυτὴν τοὺς θεραπεύσοντας· καὶ πολὺς οὕτως, ἐπὶ κακῷ τῶν ἀνθρώπων κάματος ἀνειλοῦται·[59] τὰ γὰρ πλεῖστα τῶν ἀδικημάτων οἶνος ποιεῖ· τοὺς ἔρωτας, τὰς μοιχείας, πληγὰς, ὕβρεις, προπηλακισμοὺς, ὑπεροψίαν τῶν νόμων. καί τις ἐπάταξε τὸν πατέρα μεθυσθείς· ὁ δὲ βωμὸν ἀνέτρεψεν· ὁ δὲ ἄγαλμα κατήνεγκεν· ὄχλος δὲ

εἰ

[55] ὀρθωσόντων] ὀρθωσάντ M.
[56] ὅποι, quoquo. ὅπῃ M.
[57] ἐπιοῦσα] ἐπιοῦσα M.
[58] f. μεγάλῃ καὶ ἀεὶ κομάσῃ.
[59] aut ἀνήλωται aut ἀντλᾶται.

εἰ μεθυσθείη, στάσεως ἂν ἐπιθυμήσειεν· ὁ γὰρ οἶνος ἐλαύνει τὸν λογισμὸν, καὶ τυραννήσας τὴν ψυχὴν ὠθεῖ τὸν ἄνθρωπον ἐπὶ τὰ δεινότατα, καθάπερ πνεῦμα βίαιον· στρατιῶται δὲ οἴνου γέμοντες, εἰ συμπλακεῖεν τοῖς πολεμίοις, ῥᾷστοί εἰσι κρατηθῆναι μᾶλλον ἢ παῖδες νήφοντες· διὰ τοῦτον[60] ἄρα καὶ Ἕκτωρ διωθεῖται, τῆς μητρὸς προσαγούσης, λέγων ἐκπεσεῖσθαι τῆς δυνάμεως· εἰ μεταλάβοι τοῦ ποτοῦ· δικαστὴς οἴνῳ χαίρων, ἀπολέσειεν ἂν τοὺς ἀρχομένους.[61] Ἀθλητὴς ἄριστος τάχιστα δὴ γίνεται κάκιστος, οἴνῳ προσκείμενος· λόγοις δὲ καὶ φιλοσοφίᾳ τί οὕτως ἐμποδὼν ὡς οἶνος; ἀνάγκη γὰρ ὕπνῳ κατειλημμένον κεῖσθαι. ὁ δὲ τοῦτον φυγὼν, ἀγαθὸς ἔμπορος εἴη παιδείας. καὶ μὴν καὶ ὑγείᾳ πολέμιος· οὐκ ἐῶν οὔτε τὴν διάνοιαν οὔτε τὸ σῶμα ἐῤῥῶσθαι· τὸ μὲν γὰρ ποιεῖ μαλακόν· τὴν δὲ μανικήν· καὶ πολλοὶ πίνοντες ἀπὸ μέθης εἰς μανίαν προῆλθον. εἰ μὴ ἔδεισε τὸν οἶνον ὁ Δημοσθένης, οὐκ ἂν ἐπὶ τοσοῦτον ἀφίκετο τῆς τέχνης· εἰ μὴ Λαΐος ἔπεσεν εἰς πολὺν πότον, οὐκ ἂν ἔσπειρε τὸν Οἰδίπουν. καὶ μὴν καὶ ὁ Κενταύρων καὶ Λαπιθῶν πόλεμος οἴνου ἔργον· ὃς καὶ Πολύφημον τὸν Κύκλωπα τηλικοῦτον ὄντα ὑπὸ μικρῶν κρατούμενον ἔδειξε. λέγεται δὲ καὶ Τροίαν οὕτως ἁλῶναι, πινόντων καὶ ὀρχουμένων τῶν Τρώων· τί οὖν φασὶν οἱ θαυμάζοντες τὴν ἄμπελον, καὶ πρὸ τῆς ἐλαίας αὐτὴν ἄγοντες; ὅταν φαίνηται καὶ τῶν ἄλλων[62] μὴ βλάπτειν χεῖρω, βλαβερωτάτη οὖσα πάντων τῶν φυτῶν· οὐδ' ὅσον[63] κακὸν ἐμποιεῖν ἢ παύειν· ὧν τὸ μέν ἐστιν ἀμπέλου· τὸ δ' ἐκείνης· τοὺς γὰρ παραφρονοῦντας δι' οἶνον, ἔλαιον πέφυκεν εἰς νοῦν ἀπανάγειν.[64]

[60] τοῦτον] τοῦτο M.

[61] ἀρχομένους non bene respondet praemisso vocabulo δικαστής. videtur aliquid de ἄρχων praecessisse ad hunc ferme modum: δικαστὴς οἴνῳ χαίρων διαφθείρειεν ἂν τοὺς νόμους (vel τὴν δίκην) καὶ ἄρχων ἀπολέσειεν ἂν τοὺς ἀρχομένους.

[62] ἄλλων] f. ἀνθρώπων.

[63] ὅσον] imo vero ἴσον, non perinde est vulnus facere et sanare.

[64] malim ἐπανάγειν.

ΣΥΓΚΡΙ-

ΣΥΓΚΡΙΣΙΣ ΝΑΥΤΙΛΙΑΣ καὶ γεωργίας.

ΤΕΡΠΕΣΘΩ μὲν ὅς τις ἐθέλει ναυτιλίᾳ, καὶ πλείτω καὶ κινδυνευέτω. ἐμοὶ δὲ γεωργίαν τε ἔπεισιν ἐπαινεῖν, καὶ τοὺς ἐν τῷ γεωργεῖν εὐδαιμονίζειν. καὶ δῆτα ἐξεταζέσθω πρὸς ἄλληλα διὰ τοῦ λόγου. φανεῖται γὰρ μετὰ μὲν τῆς, πολλὰ καὶ δεινά. γεωργία δὲ ἔχουσα πάντα τὰ μέγιστα. παλαιότατον μὲν δὴ πρᾶγμα γεωργία, καὶ ἅμα τοῖς ἀνθρώποις εἰς τὸν βίον συνεισελθόν. ἔδει γὰρ εὐθὺς μὲν γενομένους δεῖσθαι καὶ τῶν ἀπὸ γῆς τροφῶν, δεηθέντες δὲ τὴν γῆν ἐπιχειρεῖν ἐργάζεσθαι. ναυτιλίαν δὲ, καὶ τὸ πλεῖν, εἰσήγαγεν εἰς τὸν βίον ἡ πλεονεξία. τὸ γὰρ δὴ πλεῖν αὐτοὺς ἔρως ἠνάγκαζε τοῦ πλείονος.[1] καὶ τοῦτο τολμᾷ. καὶ πρῶτα ἔργα[2] τῶν νεῶν λῃστεῖαι, καὶ τὸ ἁρπάζειν τὰ ἀλλήλων. καὶ νῦν πᾶν μὲν αὐτὸ οὐκ ἄνευ τῶν κινδύνων· πᾶν δὲ φυγῆς ἄξιον, οὗ πολὺ τὸ κινδυνεύειν. τούτου δὲ ὄντος τοιούτου, μεστὴ μὲν κινδύνων ἡ θάλαττα, καθαρὰ δὲ ἡ γῆ. καὶ τὸ ταύτην ἐργάζεσθαι· τίς μὲν φόβος ἐν τῷ ζεύξαντα[3] τὰς βοῦς ἀναῤῥῆξαι τὴν γῆν; τίς δὲ ἐν τῷ σπέρματα ἐπὶ τὴν γῆν ἀφεῖναι; οἱ πλωτῆρες δὲ, ἐπειδὴ λύσαντες παραμείψωσι τῶν λιμένων τὰ στόματα, πλησίον ἔχοντες τὸν θάνατον πλέουσι, λεπτὴν ἔχοντες εἰς σωτηρίαν ἐλπίδα, τὰ ξύλα ἐφ' ὧν φέρονται. καὶ μὴν θεαμάτων μὲν ἥδιστον ἀγρὸς, ἄμπελοι, τὸ τῆς Ἀθήνας δῶρον, καρποὶ, φυτὰ, λήια. πικρότερον δὲ ἡ θάλασσα κυκωμένη ταῖς τῶν ἀνέμων προσβολαῖς, κύματά τε κυρτούμενα, καὶ ἄνεμος[4] φοβερός. ὥστε καὶ] εἴ τις ἐκ τούτων διεσώθη, διὰ πάσης ἀδικίας[5] φερόμενος[6] σέσωσται. ἔτι τοίνυν δικαιοσύνη μὲν κάλλιστον, ἀδικία δὲ κάκιστον. ποιεῖ

δὲ

[1] f. τοῦ πλείονος ὃς καὶ τοῦτο — scil. ingredi in mare, et navigationibus id exercere.
[2] πρῶτον ἔργον m. M.
[3] ζεύξαντα] ζεύξαντι M.
[4] ἀφρὸς m. M.
[5] praefero e margine ἀνοίας.
[6] ἀφικόμενος m. M.

δὲ γεωργία μὲν δικαίους, ναυτιλία δὲ ἀδίκους. ὁ μὲν γὰρ γεωργὸς σπείρας καὶ εὐξάμενος τοῖς θεοῖς, ἀναμένει τοὺς καρποὺς, καὶ δέχεται τὰς ἀμοιβὰς παρὰ τῆς γῆς, μηδένα λυπήσας οὐδέν. τοῖς δέ γε ἐμπόροις, ἐν ταῖς ἐπιορκίαις τὰ ὄντα αὔξεται, καὶ ἡ τέχνη[7] πρὸς τὸ πλουτεῖν τὸ καταφρονεῖν τῶν θεῶν· καὶ ἐπὶ πᾶσαν πόλιν πλέουσι, τοῦτο τὸ κακὸν ἐργαζόμενοι, ψευδόμενοι, παράγοντες, παρακρουόμενοι· καὶ ὅστις ἄριστα οἶδε τοῦτο ποιεῖν, οὗτος εὐπορώτατος[8] ἄπεισιν. ὑγεία παρὰ γεωργοῖς· συνεχεῖς γὰρ οἱ πόνοι. καὶ ἔστιν αὐτοῖς ἔργα, καὶ θέρους καὶ χειμῶνος, καὶ τῶν ἄλλων ὡρῶν. τὸ γὰρ ἀεὶ κινεῖσθαι καὶ φιλοτεχνεῖν, νοσήματα μὲν ἀποκλείει,[9] τὸ ὑγιαίνειν δὲ διατηρεῖ. πλωτῆρες δὲ τὰ πολλὰ ἀργοὶ κεῖνται, τοῦτο μὲν χειμῶνος, καὶ πάλιν ἐν καπηλείοις καὶ καπνῷ. τοῦτο δὲ θέρους, ἡνίκα ἂν εὐτυχῶσιν. εἰ γὰρ ἐξ οὐρίων φέρωνται,[10] κάθηνται ἐπὶ τῶν καταστρωμάτων, πίνοντες συνεχῶς, καὶ ἐσθίοντες ἔξω τοῦ μετρίου. καὶ ταῦτα εἴωθε τοῖς σώμασι νοσήματα ἐντίκτειν. ὡς ἡδὺ μὲν γεωργῷ διψήσαντι πιεῖν ἐκ πηγῆς, προθέντα τὸ στόμα τοῖς νάμασι. λυπηρὸν δὲ ναύτῃ πολὺν χρόνον ἐν πελάγει κάμνοντι, πιεῖν ὕδωρ οὐδὲν βέλτιον βορβόρου. τῷ γεωργῷ μὲν ἑσπέρας οἴκαδε ἐπανήκοντι, γυνή ἐστι παραμυθία, παῖδες ἐρῶντές τε καὶ ὁρώμενοι. ὁ δὲ πλέων δέδιε μὲν ὑπὲρ ἑαυτοῦ,[11] ταράττεται δὲ τῷ παρὰ τῶν φιλτάτων ἀδήλῳ. κερδαλέον ἡ θάλαττα, καὶ τὸ πλεῖν. ἐγὼ δὲ ᾐσθόμην καὶ γεωργοὺς πλουτοῦντας, ἢ[12] τοὺς πλέοντας. ἀλλὰ δῶμεν εἰ δοκεῖ, πλέονα διδόναι τὰ κέρδη τὴν θάλατταν. ἀλλ' ἡ διδοῦσα, αὕτη καὶ ἀφαιρεῖται, καὶ μετὰ τῶν φορτίων προσαφαιρεῖται τὰς ψυχάς.

[7] καὶ τέχνη (scil. ἐστὶ) sine articulo ἡ.

[8] εὐπορώτατος] sic dedi, ob praecedens ἄριστα. εὐπορώτερος M.

[9] ἀποκωλύει m. M.

[10] φέρωνται | φέρονται M.

[11] αὐτὸς περὶ m. M.

[12] f. πλουτοῦντας μᾶλλον ἢ. m. M. dat γεωργοῦντας.

χάς.[13] καί τις ἀναχθεὶς μετὰ πολλῶν χρημάτων, ἢ συγκατέδυ τοῖς χρήμασιν, ἢ ἀπεσώθη γυμνός. καὶ πλείστους δὴ ἀνθρώπων ἀπειργάσατο τοῦτο[14] ἡ θάλαττα· καὶ ὁ τῶν ἐμπόρων εὐπορώτατος ἕως ἂν πλέῃ, οὔπω πλούσιός ἐστιν, οὐδὲ κέκτηται οὐδέν· ἀλλ᾽ ἔστι τῶν ἀνέμων καὶ αὐτὸς καὶ τὰ ἐκείνου. ἤδη δέ τινες ὁρῶντες τὴν οἰκίαν, τοῖς ὅρμοις πλέοντες,[15] ῥαγείσης ἐξαίφνης τῆς νεὼς ἐξέπνευσαν ἐλεεινότεροι[16] τῶν ἀποπνιγέντων. ἥδιστον ἐν τῇ πατρίδι διαταφῆναι,[17] καὶ εἰπόντα τι πρὸς τοὺς οἰκείους ἀπελθεῖν· τοῦτο γεωργοῖς παρέχει τὸ γεωργεῖν. τῶν δὲ πεπλευκότων πολλοῖς οὐδαμοῦ τάφος ἐστὶν, ἀλλ᾽ ἐν ταῖς ναυαγίαις γαστέρας ἰχθύων ἐπλήρωσαν.

ΣΥΓΚΡΙΣΙΣ ΑΧΙΛΛΕΩΣ καὶ Διομήδους.

ΟΥ τῶν πολλῶν πείσομαι πάθος, οὐδ᾽ ἡγήσομαι τὸν Ἀχιλλέα βελτίω τοῦ Διομήδους· ἀλλὰ τοὐναντίον ἐκεῖνον Ἀχιλλέως. εἰ καὶ μὴ διὰ πάντων, ἀλλ᾽ ἔν γε τοῖς πλείοσιν. αὐτίκα τὸ γένος εἴ τις θαυμάζει, τὸν Πηλέα καὶ τὸν Αἰακὸν σκοπῶν, καὶ τὸν Δία. καὶ περὶ Διομήδους ἔχοι ἂν εἰπεῖν, ὅτι καὶ αὐτὸς σπέρμα θεῖον ἦν. Θετταλίαν δὲ εἰ πάνυ τις θαυμάζει, τῇ Πελοποννήσῳ γε καὶ ἄκων εἴξει. αὐξηθείσης[18] τοίνυν τῆς παιδείας ἴσης ἀμφοτέροις, οἵους γεγενῆσθαι[19] τοὺς ἄνδρας ἀπὸ τῶν ἔργων σκοπήσωμεν. οὐκοῦν ἐκάλει μὲν ὁ Τρωϊκὸς πόλεμος τοὺς ἀρίστους, δοκιμάζων στρατιώτας[20] εὐψυχίαν.

13 f. καὶ τὰς ψυχάς.

14 post τοῦτο add. m. M. ἐποίησεν.

15 f. τὴν οἰκείαν (per οι, patriam.) τοῖς ὅρμοις προσπλέοντες.

16 f. ἐλεεινότατοι inter omnes suffocatos vel strangulatos hi commiseratione sunt dignissimi.

17 ταφῆναι simplex malo. δια adhaesit e fine vocabuli πατρίδι.

18 f. αὐξηθεῖσι.

19 f. ἀμφοτέροις γενομένοις, οἵας εἰκὸς (scil. ἐστι,) γεγενῆσθαι —

20 f. στρατιώτου aut στρατιωτικήν.

ὁ δὲ γενναῖος Ἀχιλλεὺς πολλὰ φράσας χαίρειν ὅπλοις, καὶ τῇ δόξῃ τȣ̃ πατρὸς εἰς Σκῦρον καταφεύγει. καὶ εἰς παρθενῶνα κατέδυ, καὶ τὴν φύσιν ἔκρυψε τῷ σχήματι, κόρη δοκεῖν εἶναι βȣλόμενος,[21] ἢ παρατάξασθαι. Διομήδης δὲ ȣ̓ μόνον[22] αὐτὸς ὑπήκουε τῷ καιρῷ, ἀλλὰ καὶ τοὺς ἀργῶς διακειμένους ἐκίνει· καὶ πρῶτον τȣ̃τον παρὰ[23] τȣ̃ Χείρωνος ἐπὶ τὰς παρθένους δραμόντα. πῶς οὖν τούτου κρείσσων[24] πρὸς τὸν πόλεμον, ὁ τȣ̃το πάσχων ἂν εἴη; ὡς τοίνυν ἧκον εἰς τὴν Ἴλιον, φοβηθέντων εὐθὺς τῶν πολεμίων, ἐθαυμάζετο μὲν οὗτος, ἐπῃνεῖτο δὲ ἐκεῖνος, τῶν ὑπ᾽ Ἀχιλλέως πραττομένων, ἀνιούσης ἐπὶ τὸν Διομήδη τῆς εὐδοξίας· δι᾽ ὃν[25] ἐκεῖνος ἐκοινώνητε τῶν ἀγώνων. χρόνου δὲ πολλοῦ διελθόντος, καὶ τȣ̃ στρατοπέδου νοσȣ̃ντος, σκοπείτω τις τὴν ἀπόνοιαν, καὶ τὴν ἀπαιδευσίαν τῶν ἠθῶν τȣ̃ Ἀχιλλέως πρῶτον μὲν τοίνυν εἰς ἐκκλησίαν συνῆγε, παρώσας τὸν βασιλέα· καὶ τοὺς περὶ ταῦτα νόμους ἐτάραξεν. ἔπειτα ὕβρισεν οὕτως ἀσελγῶς τὸν Ἀγαμέμνονα, φειδόμενος οὐδενὸς ῥήματος, ὡς οὐδεὶς ἂν ἄρχων τὸν αὐτοῦ στρατιώτην. τελευταῖον δὲ καὶ ξίφος ἐγύμνωσεν ἐπ᾽ αὐτόν. καὶ εἰ μὴ θεῶν τις ἐκώλυσεν, οὐδὲν ἂν ἦν ἐμποδὼν πάντα ἐκεῖνα τοῖς Ἕλλησι μάτην πεπονῆσθαι. καὶ ταῦτα ἔπραττεν, αἰχμαλώτου μιᾶς ἐρῶν· ἣν ὁρῶν ἀγομένην, ἐδάκρυεν. οὕτως ἐδούλευσε ταῖς ἡδοναῖς. ἀλλ᾽ οὐ Διομήδης ἐθαύμασεν αἰχμαλώτου κάλλος· ἀλλ᾽ ὁμοίως ἀπεῖχεν ἡδονῆς πονηρᾶς, καὶ θυμοῦ τὸ μέτρον ἐκβαίνοντος. καὶ ταῦτα, ὅς τις οἶδεν Ὅμηρον, ἱκανῶς ἐξεπίσταται. ὁ γὰρ Ἄρης ὁ παρ᾽ αὐτȣ̃ τιτρωσκόμενος, καὶ ἡ τὸ αὐτὸ πάσχουσα Ἀφροδί-

τη

21 βȣλόμενος] subaudi μᾶλλον.

22 μόνον] μόνων M.

23 l. καὶ πρῶτον τȣ̃τον, (scil. ἐκίνει commouebat, Achillem puta) τὸν παρὰ τȣ̃ Χ. m. M. dat αὐτὸν παρά.

24 l. τȣ̃ τȣ̃το ποιȣ̃ντος κρείσσων.

25 δι᾽ ὃν] *ob quem*, Diomedem puta, *ille*, Achilles nempe. δι᾽ ὧν M.

τη, μαρτυροῦσι κρεῖττον ἢ πληγῆναι σιδήρῳ.[26] πόθεν τοίνυν Ἀχιλλεὺς βελτίων Διομήδους; οὐχ ὁ μὲν ἡσύχαζεν, ὁ δὲ παρετάττετο; οὐχ ὁ μὲν ὠργίσατο, ὁ δὲ ἤλαυνε τοὺς πολεμίους; οὐχ ὁ μὲν ᾖδε πρὸς λύραν, ὁ δὲ πρὸς οἰμωγὰς τοὺς ἐναντίους καθίστη; καὶ ταῦτα ἔπραττε Διομήδης,[27] τῆς τύχης ἐπὶ τοὺς ἐναντίους μεθεστηκυίας, καὶ τοῦ Διὸς τοῖς ἄνω[28] βέλεσι συναγωνιζομένου τοῖς Τρωσί. δεῖ δὲ τὴν ἀνδρείαν δοκιμάζειν οὐκ ἐν ταῖς εὐπραξίαις, ἀλλ᾽ ἐν ταῖς ἀκαιρίαις. ἐν μὲν γὰρ ἐκείναις καὶ τοὺς φαυλοτέρους ὁρῶμεν εὐδοκιμοῦντας, ἐν δὲ ταύταις τοὺς τῶν ἄλλων διαφέροντας ἀντέχοντας. εἰκότως ἄρα τῶν πρεσβευόντων ὡς ἐκεῖνον ἀπράκτων ἀπανελθόντων, ἐπιτίμα[29] τῷ πεπομφότι. τὸ δὲ νυκτερινὸν ἔργον, πότ᾽ ἂν Ἀχιλλεὺς ὑπέμεινεν; ὦ τοσοῦτον ἴσχυεν,[30] ὥστε πεπτωκὸς τὸ φρόνημα τῶν Ἑλλήνων, ἐπέῤῥωσε ταῖς τῶν ἐναντίων σφαγαῖς. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; οἱ γὰρ πολέμιοι πάλαι τὴν ψῆφον ἐνηνόχασιν. ὅταν γὰρ λέγωσιν, οὐδὲ Ἀχιλλέα ποτὲ οὕτως ἐδείσαμεν, τότε διδάσκουσιν ἅπαντας ὡς οὐ δεῖ φιλονικεῖν, οὐδ᾽ εἰς ἴσον ἄγειν τῷ Διομήδει τὸν πολὺ λειπόμενον. κριταὶ γὰρ ἀκριβεῖς τῆς περὶ[31] τοῖς Ἕλλησιν ἀρετῆς, οἱ πολέμιοι, παρ᾽ αὐτῶν ὧν ἔπαθον μεμαθηκότες, τίς ἀμείνων καὶ τίς δεύτερος; εἶτά μοι τὸν Ἕκτορα λέγεις, ὡς ἀπέθανεν ὑπ᾽ Ἀχιλλέως. τὸ δὲ πῶς ὑπερβαίνεις; οἶσθα γάρ, ὡς εἴ τις προσθείη τῆς νίκης τὸν τρόπον, ἑτέρου μὲν φανεῖται τὸ ἔργον, ἑτέροις[32] δὲ ἡ δόξα. τοῦτο δὲ Ἕκτορα, πολὺ μὲν πρότερον Αἴας Ἀχιλλέως κατέβαλεν ἐν τῷ μονομαχεῖν. ταυτὸ δ᾽ ἂν ἐπεποιήκει Διομήδης,

[26] f. σιδήρῳ (cuius ſymbolum eſt Mars) ἢ καὶ ἡδονῇ cuius nota eſt Venus.)

[27] Διομήδης] Διομήδην M.

[28] praefero ἄνωθεν e margine M.

[29] ἐπετίμα] Diomedes puta.

[30] f. ὑπέμεινεν, ἐν ᾧ τοσοῦτον ἴσχυσεν. (Diomedes puta.)

[31] περὶ] imo vero παρά.

[32] ἑτέροις] num ἑτέρου aut ἑτέρων? pro τοῦτο malim τοῦτον in maſculino, vt ad Hectorem referatur. Hunc Hectorem dudum ante Aiax —

δης, εἴπερ ἦν λαχών. σημεῖον δὲ, καὶ τοῦτον ηὔξατο τὸ στρατόπεδον τῶν λαγχανόντων εἶναι, τῇ τῆς νίκης ἐλπίδι πρὸς τὴν εὐχὴν ἀγόμενοι. εἶδε ὁ μὲν εὐθὺς αὐτὸν κατῄσχυνε τὰ πεπραγμένα,[33] Πολυξένης ἐρῶν, πρὸς τοὺς ἐχθροὺς σπενδόμενος, τοὺς οἰκείους προδιδούς. ὁ δὲ, ἐξῆλθε μέχρι τοῦ τέλους τηρῶν τὴν τάξιν τῆς εὐνοίας,[34] δι᾽ ἣν ἦλθε μὲν εἰς μέσην τὴν τῶν ἐναντίων πόλιν, ἐγύμνωσε δὲ τοῦ μόνου φυλακτηρίου τὸ Ἴλιον. εἰ οὖν ὑπὲρ μὲν τοῦ τὴν πόλιν ἑλεῖν ὁ πᾶς συνεστήκει πόλεμος, τοῦτο δὲ διὰ τὴν Διομήδους τόλμην πέπρακται, πῶς οὐ μικρὰ πάντα τὰ τῶν ἄλλων πρὸς τὰ τοῦδε, τῶν τόσους καὶ τόσους ἀποκτενόντων; ἔτι τοίνυν ὁ μὲν αἰσχρῶς ἀποθνήσκει, παρὰ τοῦ δειλοτάτου καὶ τοξότου Πάριδος. ὁ δὲ, τό, τε ἄστυ τῶν δυσμενῶν ἐπολιόρκησε, καὶ μετ᾽ εὐκλείας ἀπέπλευσε· καὶ τῆς οἴκοι ταραχῆς καταγνοὺς, οἰκιστὴς ἑτέρωθι[35] γίγνεται· καὶ τῆς ἀθανασίας, ἧς ὁ Τυδεὺς οὐκ ἔτυχε, μικροῦ ταύτης ἀπέλαυσε[36] Διομήδης.

ΣΥΓΚΡΙΣΙΣ ΑΙΑΝΤΟΣ καὶ Ἀχιλλέως.

ΑΛΛ᾽ εἰ καὶ παράδοξον ἐνίοις φαίνεται τὸ πανταχοῦ δεύτερον παρ᾽ ἐμοὶ κεκρίσθαι τὸν Ἀχιλλέα τῆς Αἴαντος ἀρετῆς· ὅμως οὐκ ὀκνήσω δεῖξαι τοῦθ᾽ οὕτως ἔχον, πρὸ τῆς φήμης τὴν ἀλήθειαν ποιούμενος· τὰ μὲν γὰρ δὴ τῆς αὐτῶν εὐγενείας ἴσα. Πηλεὺς γὰρ καὶ Τελαμὼν Αἰάκου παῖδες· ἐκεῖνος δὲ Διός· καὶ τὸ[37] Τροίαν συνεξελεῖν Ἡρακλεῖ τὸν Τελαμῶνα, τὴν ἐπὶ κενταύρους στρατείαν ἔχοι τις ἀντιθεῖναι Πηλέως. ἀλλ᾽ οὐκ ἔτι τὸ ἴσον ἐν ταῖς πατρίσι σώζεται. ποῦ γὰρ ἴσον Θετταλία, τὸ τῆς Ἑλλάδος

33 f. αὐτὸν κατῄσχυνε καὶ τὰ πεπραγμένα. Semet ipſe dedecorauit et res a ſe geſtas.

34 ἐννοίας m. M.

35 ἑτέρωθεν m. M.

36 ἀπέλαυσε] ἀπήλαυσε M.

37 τὸ] lege τῷ in datiuo.

λάδος ἔσχατον, καὶ Σαλαμὶν ἢ μικρὸν μέρος[38] τῆς Ἀττικῆς; καινόν τι ἡγεῖται τραφῆναι μυελοῖς λεόντων τὸν Ἀχιλλέα; πρὸς τοῦτον ἐρῶ νομιμωτέραν τροφὴν τοῦ Αἴαντος. ὅστις οὖν ἄνθρωπος ὢν, ὡς ἀνθρώπῳ προσήκει τέθραπται, βελτίων ἐστὶν ἐκείνου κατ' αὐτὸ τοῦτο τοῦ τραφέντος ἔξω τῶν νόμων. ἀλλ' ὁ Τρωϊκὸς πόλεμος βελτίω τὸν Ἀχιλλέα δείκνυσιν· εἶτα τοῦ[39] κρύπτεσθαι μετὰ παρθένων, ἄμεινον τοῦ τοῖς πολεμίοις ἐμπίπτειν; τίς γὰρ οὐκ οἶδεν, ὡς ὑβρισμένης τῆς Ἑλλάδος, διὰ τῶν εἰς τὸν Μενέλαον ἀδικημάτων· καὶ τοῦ καιροῦ καλοῦντος, τοὺς δυναμένους ἀγανακτεῖν ὑπὲρ τῶν τοιούτων κακῶν. Αἴας μὲν καθεῖλκε τὰς ναῦς, καὶ ἐνέβαινε καὶ ἦν ἐν πρώτοις· καὶ τοὺς ἠδικηκότας ἔσπευδεν ἰδεῖν· ὁ δὲ θαυμαστὸς Ἀχιλλεὺς εἰς Σκῦρον ἔρχεται· καὶ ταῖς Λυκομήδους ἀναμίγνυται θυγατράσιν, ὡς δὴ καὶ αὐτὸς ὢν κόρη· καὶ τὰ τῶν ἀνδρῶν φυγὼν, τὰ τῶν γυναικῶν ἐπλάττετο· ἀλλ' ἐπειδή ποτε μετέσχε καὶ τῶν πραγμάτων· τὸ δὲ ὅπως ἀφήσω· τί λαμπρότερον Αἴαντος ἐπεδείξατο; τελευταῖος ἐσκηνώσατο δι' ἀνδρείαν· καὶ γὰρ Αἴας ἐπὶ θάτερα τελευταῖος, ἀπὸ τῆς αὐτῆς αἰτίας. ἐληΐζετο τοὺς περιοίκους ἐκεῖνος· ὁ δὲ καὶ τοὺς πλεῖστον ἀπέχοντας, καὶ τοσαῦτα τὴν στρατιὰν ὠφελῶν, οὐδέποτε ἐπήρθη πρὸς ὕβριν. ὃ πολλάκις Ἀχιλλεὺς διετέλει κινῶν τὴν τάξιν· τὰ μὴ προσήκοντα συγχέων· ἐκὼν ἀγνοῶν ἃ τοῖς βασιλεῦσιν ὀφείλεται. ἐκεῖνος ἦν ὁ συνάγων εἰς ἐκκλησίαν· παρώσας τὸν Ἀγαμέμνονα, καὶ τοὺς ἰδιώτας ἐπαίρων αὐτοῦ καταφρονεῖν· καὶ μετὰ ταῦτα διαῤῥήδην ὑβρίζων ἐν μέσοις τοῖς Ἕλλησι· καὶ τὸ ξίφος ἕλκων ἐπὶ τὸν κρατοῦντα. καὶ τὸ τελευταῖον προδιδοὺς τοὺς ὁμοφύλους, καὶ κατευχόμενος τῶν Ἀχαιῶν· καθήμενος ἐπὶ σκηνῆς καὶ τρυφῶν ἐν τοῖς Ἑλληνικοῖς κακοῖς· ὁ δὲ λέγων, ὡς μετὰ μὲν ἐκείνων[40] κρείττους ἦσαν τῶν ἐναντίων,

[38] f ἢ μικροῦ μέρους, particula quae aene quae non est agri. Attici ἴσ. ὃ μ. m. M.

[39] τοῦ] imo vero τό. est interrogatio ironica cum indignatione et fastidio.

[40] ἐκείνου malim. Achille puta.

τίων, οἱ Ἕλληνες· ἀφεστηκότες[41] δὲ ἥττηντο, τὸ πᾶν ἀγνοεῖ. οὐ γὰρ Ἀχιλλεὺς ἐποίησεν ἑκάτερον· ἀλλ᾽ ἡ τύχη τοὺς αὐτοὺς ἰσχυροὺς ποιεῖ, καὶ πάλιν ἀσθενεῖς· ἐν μὲν οὖν ταῖς εὐτυχίαις Ἀχιλλεὺς ἐλαμπρύνετο· τοῦτο δὲ οἶμαι καὶ τοῦ φαυλοτέρου ἂν ἦν στρατιώτου. τὴν δὲ Αἴαντος ἀρετὴν, ἐξέφηνεν ἡ τοῦ καιροῦ δυσκολία. τοῦ γὰρ Διὸς ἀποδιδόντος τῇ Θέτιδι χάριν, καὶ ποιοῦντος τὰ τῶν Τρώων μείζω, μόνος Αἴας εἰς σωτηρίαν ἤρκει καὶ ναυσὶ καὶ σώμασι, δύο πολέμους πολεμῶν· τὸν μὲν πρὸς τοὺς ἐναντίους· τὸν δὲ πρὸς τὴν τύχην. τὸ δὲ μὴ τοῖς φίλοις ἐθέλειν βοηθεῖν, Ἀχιλλέως ἦν. ὁ δὲ πείθων ἐπικουρεῖν, Αἴας ἦν· καὶ ὁ μὲν ὠργίζετο· τουτέστιν ἐνόσει τὴν γνώμην· ὁ δὲ πῶς παύσεται τοῦ νοσήματος ἔπραττε. πάντα τοίνυν τἆλλα ἀφεὶς, ἀπὸ τῶν εἰς Ἕκτορα δείξω τὸ μέσον ἀμφοῖν, Ὁμήρῳ μάρτυρι χρώμενος· λέγει γὰρ ὡς ὁ μέγας Αἴας ἐν τῇ μονομαχίᾳ κατέβαλε τὸν Πριάμου· καὶ εἰ μὴ θεῶν τις ἐκώλυσεν ἀπέσφακτο ἂν ὁ Πριάμου· καὶ ὡς αὐτὸν ἱκέτευεν Ἕκτωρ, ἀπηλλάχθαι τῆς μάχης. ὁ δὲ αὐτὸς οὗτος, μεμνημένος τῆς Ἕκτορος τελευτῆς, τὴν Ἀθηνᾶν ἔδωκεν Ἀχιλλεῖ σύμμαχον· οὐκοῦν Αἴας μὲν ἐκράτησεν Ἕκτορος, θεοῦ μὴ παρόντος Ἕκτορι· τοῦ δὲ αὐτοῦ πάλιν Ἀχιλλεὺς, θεοῦ βλάπτοντος Ἕκτορα· Ἀχιλλέα οὖν Ἀλέξανδρος ἀποκτιννύει, ἐφ᾽ ᾧ Πρίαμον[42] ᾐσχύνετο. τὸν δὲ Τελαμῶνα[43] οὐδεὶς ηὐτύχησεν ἀποκτεῖναι. τὸ γὰρ δὴ ξίφος αὐτὸς μὲν ὦσεν· αὐτὸς δὲ ἐδέξατο· ταῦτ᾽ ἐγὼ σκοπήσας πρὸς ἐμαυτὸν, ἡγησάμην δοκεῖν μὲν Ἕκτορος ἀμείνω τὸν Ἀχιλλέα· εἶναι δὲ Ἀχιλλέος τὸν Αἴαντα.[44]

[41] f. ἀφεστηκότος in genitiuo sing. vt autem Achilles a societate cum Graecis defeciſſet, diſceſſiſſet.

[42] lege Πρίαμος in nominatiuo, cuius ipſum patrem, Priamum, pudebat.

[43] τὸν δὲ Τελαμῶνος, ſcil. υἱὸν, Telamonis autem filium, id eſt Aiacem.

[44] f. τὸν Ἀχιλλέα εἶναι, τοῦ δὲ Ἀχιλλέως τ. A.

ΣΥΓΚΡΙΣΙΣ ΔΗΜΟΣΘΕΝΟΥΣ καὶ Αἰσχίνου.

ΟΥΤΕ κάλλιον οὐδὲν Ἀθήνησι γέγονε Δημοσθένους· κάκιόν τε οὐδὲν Αἰσχίνου. λέγω δὲ οὔτε μάτην ἐκείνῳ[45] λοιδορῶν, οὔτε τούτῳ χαριζόμενος· ἀλλ' εἰς τὸ πρᾶγμα[46] βλέπων. ὡς μὲν οὖν Ἀθηναῖος οὗτος, καὶ πατρὸς ἀμέμπτου, καὶ τὸν βίον ἀπὸ τῶν δικαίων ἔχοντος, οὐδ' εἷς ἀντείποι. τὸν δὲ Αἰσχίνην, οὐκ ἔστιν εἰπεῖν Ἀθηναῖον· εἴγε δοῦλος ἦν ὁ πατὴρ ἐκείνῳ, καὶ οὐ δοῦλος μόνον, ἀλλὰ καὶ πονηρὸς οἰκέτης· οὐ γὰρ ἂν ἐν πέδαις ἦν, εἰ μὴ πολλάκις εἴληπτο κακουργῶν· πᾶς οὖν εὖ φρονῶν ἐπῄνεσε μητέρα Δημοσθένους, τὴν δὲ Αἰσχίνου Λευκοθέαν, ἐπῄνουν οἱ χρώμενοι μόνοι· ἐκ τούτων δὴ γεγονότες, ὁ μὲν ἐν ὀρφανίᾳ λόγων εἴχετο· καὶ συνῆν παιδευταῖς ἀφ' ὧν ἦν γενέσθαι βελτίω. τὴν δὲ Αἰσχίνην ἔδει[47] νῦν μὲν συντεπίζειν τῷ πατρὶ τὸ παιδαγωγεῖν[48] νῦν δὲ συνεφάπτεσθαι τῷ πατρὶ[49] τελετῶν οὐ νενομισμένων. ἔχω λέγειν χορηγίας Δημοσθένους, εἰσφοράς, τριηραρχίας. εἴποι τις ἂν Αἰσχίνου τοὺς ὄφεις καὶ τοὺς θιάσους, καὶ νεήλατα, καὶ τραγῳδῶν χορούς· ὁ μὲν, φιλοτιμούμενος εἰς τοὺς δεσμώτας τῶν φίλων, καὶ τὰς ἐπὶ τῷ καλῷ δαπάνας οὐκ ἔφυγεν· ὁ δὲ περιῄει τοὺς ἀγροὺς ἀπὸ τῆς φωνῆς τρεφόμενος, οὐδὲ πάνυ τρέπων[50] τοὺς θεωμένους· οὐ γὰρ ἂν ἐλάμβανε τραύματα[51] πῶς οὖν Ἀθηναῖος ἐνομίσθη δοῦλος ὤν; ἐνέβαλεν ἑαυτὸν εἰς τοὺς δημότας τῇ τέχνῃ[52] καὶ γραμματεὺς ὢν οὐκ ἀπείχετο τοῦ καὶ ἐνταῦθα

45 ἐκείνῳ ad propius (Aeſchinem puta) redit, τούτῳ ad remotius, Demoſthenem.

46 εἰς τὸ πρᾶγμα] τὸ omittit M

47 ἔδει oportebat.] ᾄδει M.

48 f. τὸ παιδαγωγεῖον.

49 τῷ πατρὶ] imo vero τῇ μητρί.

50 τρέπων] imo vero τέρπων. v. p. 108. 22. ed. M.

51 τραύματα] τρώματα M.

52 τῇ τέχνῃ] ſubaudi ἣν ἤσκει. per artem, quam exercebat. eo quod eſſet ſcriba, ipſe ſe inſcripſit in album procine, id quod ei, iſtam artem exercenti, perfacile factu erat.

ταῦθα πορεύεσθαι.[53] σκοπῶμεν τοίνυν ἐν αὐτοῖς τοῖς μεγίστοις. ταῦτα δὲ λέγω, τὰς[54] εἰς τὴν πόλιν· ὁ μὲν ὤνησε λέγων· ὃδ᾽ ἐπειδὴ προσῆλθε τοῖς κοινοῖς, ἐζημίωσε. Φιλίππου γὰρ ἐπιθυμήσαντος τῆς Ἑλλάδος, καὶ τοῖς μὲν ὅπλοις οὐ πάνυ προσέχοντος,[55] διὰ δὲ τῶν πολιτευομένων ὠνουμένου τὰς πόλεις· καὶ πανταχοῦ[56] τοῦ νοσήματος ἐλθόντος, ὁ μὲν Δημοσθένης, τῷ τε διδόντι, καὶ τοῖς λαμβάνουσι, πολεμῶν διετέλει· γράφων μὲν ἐπ᾽ ἐκεῖνον ἀποστόλους· ὑπάγων δὲ τοῖς νόμοις, τοὺς παρ᾽ ἐκείνου πλουτοῦντας· ὁ δ᾽ Αἰσχίνης τῷ Φιλίππῳ μικρὸν λοιδορησάμενος, εἰς τὸ πιστευθῆναι[57] τὴν πατρίδα, ἀφεὶς ἐμφανῶς μετετάξατο· καὶ τοσαῦτα ἔλεγεν, ὅσα Φιλίᾳ[58] συμφέρει πραττούσης μὲν ἄμεινον τῆς πόλεως σιωπῶν· ἐν δὲ τοῖς ἐκείνης πταίμασιν εἰς παῤῥησίαν ἐρχόμενος· προσήγει ὁ Φίλιππος Ὀλυνθίοις. τίς οὖν ὁ συμβουλεύων, ὁ κεκραγὼς, ὁ τῶν προγόνων ἀναμιμνήσκων· ὁ τὸν δῆμον ἐγείρων, ὁ τὰ τῶν[59] ἐπὶ Θράκης Χαλκιδέων διεξιών· ὁ Δημοσθένης. ἀλλ᾽ ἐπειδὴ πρεσβεύοντες ἦλθον ὡς Φίλιππον, οὐχ᾽ ὁ μὲν ἀνήλισκεν, ὁ δὲ ἐλάμβανεν; οὐκ αἰχμαλώτων[60] πολίταις ἐπανόρθου τὰς τύχας, καὶ τὰ[61] τοῦ τυραννοῦντος ξένια διώθει, τῷ δ᾽[62] ἐδόκει δέχεσθαι; οὐχ ὁ μὲν ἔφυγε τὸ δεῖπνον Ξενόφρονος· ὃδ᾽ ἠσχημόνει μεθύων,

53 f. πορνεύεσθαι scortum agere, stupri pati. aut alias leg. τοῦ καὶ ἐντεῦθεν πορίζεσθαι quaestum etiam illinc facere.

54 τὰς] imo vero τὰ, in neutro, scil. ὑπ᾽ ἀμφοῖν πεπραγμένα.

55 f. προέχοντος (sine σ in prima syllaba), armis non admodum praeualente.

56 f. πανταχοῖ.

57 sic distingue: εἰς τὸ πιστευθῆναι, quo fiduciam ciuium adpisceretur, quo fidem penes eos inueniret. τὴν πατρίδα ἀφεὶς derelicta patria.

58 φιλίᾳ] imo vero Φιλίππῳ συμφέροι (in optatiuo) aut συμφέρῃ in coniunctiuo.

59 ἐγείρων, ὁ τὰ τῶν] ἀγείρων, ὁ τῶν M.

60 aut αἰχμαλώτοις πολίταις aut αἰχμαλώτων πολιτῶν.

61 καὶ τὰ τοῦ τυρ.] καὶ κατὰ τοῦ τ. M.

62 τῷ δ᾽] huic autem, Aeschini puta. τὸ δὲ M.

θύων, Φρύνην μιμούμενος, καὶ Φρύνωνι χαίρων, ὃς διὰ τοῦ παιδὸς ἐχαρίζετο Φιλίππῳ; τίς ἦν ὁ γράφων σπεύδειν ἐπὶ Θρᾴκην, καὶ μὴ διδόναι Φιλίππῳ πρὸ τῶν ὡρῶν[63] καρπίζειν τὰ χωρία; τίς δὲ ὁ πράττων ὅπως ἔσται Φιλίππῳ χρόνος εἰς ἁρπαγὴν τῶν χωρίων; ἓν μὲν τοῦτο τοσοῦτον. τὴν πόλιν δὲ, ὁ μὲν ἔβλαψεν· ὁ δὲ ἔπραττε μὴ συμβῆναι·[64] Φωκέας δὲ ἐννοήσας, ἔθνος τοσοῦτον ἀπολωλὸς, πόλεις εἴκοσι καὶ δύο διεσπαρμένας· τίς οὐκ ἂν στενάξειεν Ἑλλήνων ἀκούων τοὺς τρόπους; τοῦτο μέντοι τὸ πάθος, καὶ τὴν πολλὴν ἐρημίαν Αἰσχίνης εἴργασται ῥήμασι πεπλασμένοις, Θηβαίους ἀπολεῖσθαι λέγων· Φωκέων Φιλίππῳ μέλει.[65] οἷς πιστεύσας ὁ δῆμος, εὐθὺς οὐ ζήτει[66] Φωκέας· οἱ δὲ, ἀνῄρηντο. ἀλλ᾽ οὐ Δημοσθένην ἐλάνθανεν ἐξαπατῶν· ἀλλ᾽ ἐβόα καὶ ἐμαρτύρετο καὶ σώζειν ἐπειρᾶτο τὰς πόλεις. καὶ τὸ μέγιστον· τοῦ δήμου γὰρ τοῖς κολακεύουσι προσκειμένου[67] μᾶλλον ἢ τοῖς τὰ βέλτιστα λέγουσιν· οὐδ᾽ οὕτως ἀγανακτήσας ἐνέλιπεν ἕλκων αὐτοὺς ἀπὸ τῶν χαριζομένων, ἐπὶ τὸ ποιεῖν ἃ συμφέρει. μετ᾽ ἐκεῖνον ἔπλεον, ὑπὲρ ἐκείνων στόλοι Περινθίων,[68] Βυζαντίων, Χερρονησιωτῶν, τῆς Εὐβοίας· δι᾽ ἐκεῖνον ἐσώζοντο μὲν οἱ κινδυνεύοντες. ἐστεφανοῦντο δὲ οἱ σώσαντες. καὶ αὐτὸς ἀνάγεσθαί τε παρῄνει, καὶ ὅπως πλεύσωνται τῆς πόλεως ἀξίως προὐνοεῖτο, τὸν νόμον[69] τιθεὶς ἀναιροῦντα τὰς περὶ τῶν αὐτῶν ἁμαρτίας

63 ὡρῶν] antequam fruges mature ferrerent. ὅρων M.

64 f. ἔπραττε τοῦτο μὴ συμβῆναι. aut ἔπραττε μηδὲν βλάβος συμβῆναι.

65 f. μέλειν, in infinitiuo.

66 f. εὐθὺς οὐ σώζειν ἐζήτει, non statim studebat eos periculo eripere.

67 προσκειμένου] sic dedi, προκειμ. M.

68 f. μετ᾽ ἐκεῖνον ἔπλεον στόλοι ἐκείνων ὑπὲρ Περινθίων. post haec (adhortationes puta atque obiurgationes Demosthenis) exibant in mare classes eorum, (Athenienſium puta) ad succurrendum Perinthiis. aut etiam κατ᾽ ἐκεῖνον secundum illum, Demosthenem puta, illo auctore nauigebant illorum classes pro Perinthiis.

69 f. προὐνοεῖτο νόμον τιθεὶς τὸν ἀναιροῦντα τὰς περὶ τῶν ναυτῶν ἁμαρτίας. prospiciebat ferenda lege illa, quae tolleret peccata in nautis.

τίας· ἐκεῖνος ἐψιλωμένην[70] τὴν πόλιν συμμάχων ἐξ ἠπείρου καὶ θαλάττης ἐπέφραττε·[71] καὶ οὐκ ἐν μὲν τοῖς λόγοις ἐδείκνυεν οἵαν οὐδὲ δεῖ τι προέσθαι,[72] φείδεσθαι μᾶλλον ἡρεῖτο. ἀλλ᾽ εἰσίας τὴν φυλὴν ἐχορήγει Παναθηναίοις, ἐχορήγει Διονυσίοις· ἐπεδίδου τριήρεις· καὶ τὸν πλοῦτον ἐποίει πρός τε τὸν δῆμον κοινὸν,[73] καὶ τοὺς καθέκαστα. πολλαὶ πενήτων θυγατέρες δι᾽ ἐκεῖνον ἔτυχον γάμων. ἀντὶ δὲ τούτων τί τις ἂν ἔχοι διελθεῖν Αἰσχίνου; ποίαν πρόσοδον; ποῖον νόμον; ποῖον χωρίον; ποίαν φιλοτιμίαν; ἀνδρεῖος ἦν ἐν οἷς Ἀντιφῶντι συνηγωνίζετο. μετὰ[74] μὲν τῶν τριήρων ἥκοντι· ταῖς δὲ φροντίσι τοῦ Δημοσθένους ἐξευρημένῳ δικαίως;[75] Ἀναξίνῳ[76] τᾷ σκοπᾷ συνὼν καλὴν ἀπέδωκεν Ἀθηναίοις τὴν χάριν· Πύθωνι μαρτυρῶν, ᾧ τὸ στόμα ὁ Δημοσθένης ἐνέφραξεν. ἐγὼ δὲ καὶ τῶν ἐν Χαιρωνείᾳ κακῶν αἰτιῶμαι τὸν Αἰσχίνην· οὐκ ἂν μὲν γὰρ ἐξῆλθον εἰς Χαιρώνειαν Ἀθηναῖοι, μὴ κατειλημμένης Ἐλατείας· οὐκ ἂν δὲ ἧκεν εἰς Ἐλάτειαν Φίλιππος, μὴ τῶν Ἀμφικτυονικῶν εὐπορήσας ἀφορμῶν· παρ᾽ οὗ δὲ τὰς ἀφορμὰς ἔλαβεν, Αἰσχίνης ἦν. ἔρχεται δύναμις,[77] ἣν ἐδέξατο μὲν Χαιρώνεια κατὰ

[70] ἐψιλωμένην.] ψιλωμένην M.

[71] l. ἀπέφραττε.

[72] f. οἵαν ἔδει πίστιν καὶ προθυμίαν. οὐ δ᾽ ἔδει τι προέσθαι — in concionibus quidem demonstrabat eam fidem, atque studium id, quod ab eo demonstrari par erat. vbi autem deceret aliquid sumtuum erogari, ibi parcere satius ducebat? Neutiquam. Conuiviis potius excipiebat —

[73] κοινὸν] sic dedi; redit enim ad πλοῦτον. communicabat opes suas cum populo et cum amicis singularibus. κοινῇ M.

[74] μετὰ] sententia postulat ἐπὶ λύμῃ vel ἐπὶ φθορᾷ, qui cum venisset Athenas cum consilio, classem incendio delendi.

[75] ἐξευρημένῳ in datiuo. (redit enim ad Ἀντιφῶντι.) δικαίως. Sententiose. id quod etiam fieri par erat. ἐξευρημένων. δίκαιος M.

[76] Ἀναξίνῳ (per iota simplex) Ἀναξαίνῳ M.

[77] ἔρχεται δύναμις] Philippi puta aduersus Atticam. quas copias Philippi suscipiebat Chaeronea, h. e. copiae Atheniensium, copiis Philippi apud Chaeroneam occurrentes, eas sistebant, et vlterius progredi

κατὰ ψήφισμα Δημοσθένους· ἤγετο[78] δὲ ἐπ' αὐτὴν τὴν Ἀττικὴν ὑπ' Αἰσχίνου. ὁ δὲ, Θηβαίους προσλαβὼν καὶ συστήσας,[79] καὶ ταῦτα μεμερισμένους, καὶ τοῖς ἀττικίζουσι[80] τοὺς τὰ Φιλίππου φρονοῦντας ἀφομοιώσας, ἀπεκρούσατο τῆς χώρας τὴν μάχην· καὶ ἐστεφανοῦτο. τῷ δ' Αἰσχίνῃ, ποῖος στέφανος; τοῦ Φιλίππου δὲ μεθεστηκότος, καὶ τῆς ἀρχῆς εἰς τὸν Ἀλέξανδρον ἡκούσης, ἐστέῤῥησεν[81] ἑκάτερος τὴν γνώμην, ὁ μὲν πολεμῶν, ὁ δὲ θεραπεύων τὸν τύραννον. εἴπω τὸ μέγιστον δεῖγμα τῆς ἀρετῆς ἐκείνου, καὶ τῆς τούτου κακίας. ἐζητήθη παρὰ τῶν ἐχθρῶν Δημοσθένης· ὁ δὲ ἐθαυμάζετο, καὶ παρὰ τοῖς πολίταις ὁ μὲν ἐτιμᾶτο· ὁ δὲ ἐφθόνει· καὶ γραφόμενος αὐτὸν, τοῦτο ἐδείκνυ τὸ φθονεῖν·[82] ἑλεῖν δὲ οὐκ εἶχεν· καὶ φυγὴν ἐπέβαλεν αὐτῷ,[83] καὶ μεθειστήκει· καὶ Ῥόδος εἶχεν αὐτόν· καὶ τὰ τοῦ πατρὸς μετῄει·[84] καὶ τῆς τῶν Ἀθηναίων φιλανθρωπίας εἰς τὴν κάθοδον οὐκ ἀπέλαυσε[85] μόνος. σκόπει δὲ καὶ τὴν τοῦ Δημοσθένους τελευτήν. εἶχε γάρ τι καὶ αὐτὴ θαυμαστόν· ἐπειδὴ γὰρ ᾔρετο τὰ τοῦ Μακεδόνος, ὥς τ' ἤδη καὶ ῥήτορας ἐκεῖθεν λαμβάνειν, ᾤχετο φαρμάκῳ χρησάμενος, οὐκ ἐνεγκὼν κολακεῦσαι τυράννους.

gredi prohibebant, exſequentes hoc facto decretum, a Demoſthene ſcriptum.

78 ἤγετο] ſcil. αὕτη ἡ δύναμις.

79 συστήσας] id eſt συλλέξας εἰς ἓν σύστημα.

80 ἀττικίζουσι.] ἀττικίσασι M.

81 ἐστέῤῥησεν] videtur leg. ἐτήρησεν. vterque priſtinum conſeruauit animum.

82 aut duo iſtaec vocabula τὸ φθονεῖν delenda ſunt, vt ſcholium vocabuli τοῦτο, aut leg. τούτῳ, hoc facto, vel hoc parto ἐδείκνυ τὸν φθόνον.

83 αὐτῷ cum aſpero. ipſemet ſibi pro mulcta exſilium irrogauit. αὐτῷ M.

84 μετῄει·] ſic dedi. μετήεις M.

85 ἀπέλαυσε] M. dat ἀπέλαυσεν. iam ſaepius hoc idem vitium mihi fuit notandum.

ΣΥΓΚΡΙ-

ΣΥΓΚΡΙΣΙΣ ΑΓΡΟΥ καὶ πόλεως.

ΜΕΓΕΘΕΙ μὲν ἡττᾶσθαι πόλεως ἀγρὸν ὁμολογῶ· νικᾶν δὲ τοῖς ἄλλοις φαίην ἄν, ἀγρόν. καὶ πρῶτον ἐν τῷ[86] τῆς πόλεως ἀγρὸν εἶναι πρεσβύτερον. τίς γὰρ οὐκ οἶδεν ὡς οἱ πρῶτοι φανέντες ἐπὶ γῆς ἄνθρωποι, τῶν ὀρῶν οἱ μέν, ἐν ταῖς κορυφαῖς, οἱ δέ, ἐν τοῖς μέσοις οἰκοῦντες, ἀντὶ πόλεων ἀγροὺς τοῖς ἐκγόνοις παρεδίδοσαν; ὀψὲ δέ ποτε συνελθόντες ᾤκησαν πόλεις. εἰ δὲ τὸ ἀρχαῖον τιμιώτερον, ἀγρὸς πόλεως τιμιώτερος. οὐ μὴν ἀμείνους γε τοὺς συνελθόντας ἡ σύνοδος ἔδειξεν, ἀλλ' εἰς τὸ κακῶς ποιεῖν ἀλλήλους μᾶλλον προήγαγε.[87] κἂν ἐξετάζει[88] τίς, πλείω τὴν ἀδικίαν ἐν ταῖς πόλεσιν ἢ τοῖς ἀγροῖς εὑρήσει. τοῖς μὲν γὰρ ἔργον περὶ τὴν γῆν πονεῖν. καὶ ταύτῃ τὰ πολλὰ διαλέγονται σπείροντες, ἀμῶντες, τρυγῶντες, καὶ ζῶσιν ἱδρῶσι τὰς εὐπορίας κτώμενοι. οἱ δὲ ἐν τοῖς ἄστεσι, γραφαῖς καὶ κατηγορίαις καὶ συκοφαντίαις κτῶνται τὰ χρήματα τὰ ἀλλήλων ἀφαιρούμενοι. καὶ μηχανὰς ἃς πλέκουσι τῆς νυκτὸς μεθημέραν ἀλλήλοις ἐπάγουσι. καὶ ἔστιν ἡ ἀγορὰ χωρίον ἐπιβουλευμάτων, τοῦ μέν, ἐκεῖνον, ἐκείνου δὲ τοῦτον ἀπολέσαι ζητοῦντος. καὶ μισθὸς ἐπ' ὀλέθρῳ τῶν πολιτῶν δίδοται ῥήτορσι. καὶ λόγοι γράφονται κατὰ τῶν ἀσθενεστέρων· καὶ χρήματα μάρτυρας εἰσάγει ψευδεῖς, καὶ διαφθείρει δικαστάς. τὸ γὰρ ἀργεῖν ἐπὶ ταύτην ἄγει τὴν ἐργασίαν· ὥσπερ αὖ καὶ ἐπὶ τοὺς τῶν σωμάτων ἔρωτας. ἐν γὰρ δὴ τοῖς ἄστεσι πολλοὶ μὲν οἱ τοῖς νέοις ἐπιτιθέμενοι· πολλοὶ δὲ οἱ γάμους ἀδικοῦντες, ἔχοντες εἰς τὰ τοιαῦτα διακόνους τὸ τῶν ἀλιτηρίων γένος μαστρωπῶν. καὶ γὰρ αὕτη ἡ τέχνη πόλεως, οὐκ ἀγροῦ νόσημα. οὗτοι δὴ μεθύοντες καὶ κωμάζοντες καὶ ἐρῶντες καὶ ἀντερῶντες, ἀπὸ τῆς περὶ ταῦτα

τα

86 πρῶτά γε, τῷ m. M.

87 malim προήγαγε] προσηγ. malim. M.

88 ἐξετάζῃ in coniunctiuo

τα φιλονεικίας καὶ διὰ λοιδοριῶν καὶ πληγῶν καὶ τραυμάτων ἀφικόμενοι, πολλάκις εἰς φόνον τελευτῶσιν. ἀγρὸς δὲ τῶν περὶ τὰ ἀφροδίσια μανιῶν καθαρός· ἐρῶσι δὲ οἱ τῦτον οἰκοῦντες, ἀρότρων καὶ βοῶν καὶ ἁμάξης καὶ αὔλακος. καὶ τὴν πρὸς τὰς αὐτῶν γυναῖκας ἴσασιν ὁμιλίαν. ἑταίρα δὲ αὐτοὺς ἐφ᾽ ἑαυτὴν[89] οὐχ ἕλκει· οὐδὲ τοῖς εἰς αὐτὴν ἀναλώμασι ποιεῖ πένητας. οὐδ᾽ ἠριςηκὼς[90] ὁ γεωργὸς ἐπὶ κύβους φέρεται· οὐδὲ δεδειπνηκὼς ἐπὶ τὸ θυροκοπεῖν ἥκει· οὐδ᾽ ὑβρίζει καὶ παίει, καὶ νομίζει νεανικὸν εἶναι τὸ κακόν τι μέγα ἐργάσασθαι. ὅλως δὲ ὅσα ὑπὸ μέθης γίγνεται,[91] τούτων ὐδὲν ἂν ὑπὸ τῶν οὐ μεθυσκομένων γένοιτο. ἐπεὶ καὶ ταῖς γυναιξὶν αὐταῖς ὑπὲρ παίδων μόνον γενέσεως πλησιάζουσιν. εἰ δὲ μέγιςον ἀγαθὸν ἡ σωφροσύνη, καὶ τὸ μὴ δουλεύειν ἡδοναῖς· τουτὶ δὲ τῶν ἐν ἀγροῖς οἰκούντων, οὐ τῶν ἐν ταῖς πόλεσι· πῶς οὐχὶ καὶ ταύτῃ νικῶν ἀγρὸς ἄςυ φανεῖται; ἔτι τοίνυν εἰ μέλλουσιν ἀπολαύσεσθαι τῆς γῆς, ὡρῶν τε καὶ ἄςρων αὐτοὺς ἐμπείρους εἶναι προσήκει, καὶ τῦ πότε δεῖ ποιεῖν,[92] καὶ γῆς φύσεως, καὶ τί μὲν αὕτη δύναιτ᾽ ἂν φέρειν· τί δὲ ἐκείνη· τί δὲ ὐκ ἂν δύναιτο· ταύτην δὲ τίς ὐκ ἂν τῶν εὖ φρονούντων τὴν σοφίαν προτιμήσειε τῆς ἐν ἄςεσιν, ἢ ποιεῖ δύνασθαι λέγειν· ᾗ πολλοὶ πολλοὺς ἀπώλεσαν, δεινότητι νόμων κρατήσαντες. ἀνδρειοτέρους τοίνυν ποτέρους χρὴ νομίζειν εἶναι, τοὺς ἔσω τείχους ἐπὶ τῶν τραπεζῶν[93] καὶ κουρείων καὶ μυροπωλείων ἀλλήλοις συνόντας καὶ διαλεγομένους ἢ οἵ τινες πρὸ τῶν θυρῶν πολλάκις ἄρκτους καὶ λέοντας καὶ παρδάλεις θηρῶνται; πρὸς μὲν γὰρ τοὺς λύκους, καὶ συνεχὴς σφίσιν ὁ πόλεμος ἀμυνομένοις ὑπὲρ τῶν βοσκημάτων· οἱ δὲ, καὶ τέχναις παντοδαπαῖς τὰ θηρία ταῦτα αἱροῦσι καὶ σιωπῶ τὰς τῶν ἑρπετῶν ἐφόδους, ὧν ἀνάγκη κρατεῖν τόν γε ὐκ ἀπολούμενον. ἀφ᾽ ὧν ἄν μοι δοκεῖ

τις

[89] ὐ μεθίςησιν ἐφ᾽ ἑαυτὴν ἀπ᾽ ἐκείνων m. M.

[90] ὐδ᾽ ἠριςηκὼς] ἐριςικῶς M.

[91] τίκτεται m. M.

[92] malim πονεῖν, laborare.

[93] ἐπὶ τῶν τραπεζῶν,] apud mensas nummulariorum in foro ſtantes.

τις εἰς παράταξιν ἐλθὼν, μᾶλλον ἂν θαῤῥήσαι πολεμίους, ἢ ἀπὸ τῶν ἐν ταῖς πόλεσι λήρων. ὑγείας τοίνυν πότεροι μᾶλλον μετέχουσιν. οἱ κρύος μεμελετηκότες φέρειν καὶ καῦμα, καὶ τροφῇ κεκολασμένῃ χρώμενοι, καὶ λουτρῷ, πηγαῖς τε καὶ ποταμοῖς· ἢ οἱ τοῦ θέρους μὲν τὴν ἀκτῖνα φεύγοντες· χειμῶνος δὲ ἐν ταῖς εὐναῖς κείμενοι, λουόμενοι δὲ ἐν βαλανείοις. εἰς δὲ τὴν γαστέρα τὰ ἀπὸ τῶν μαγείρων κακὰ ἐγκατατιθέμενοι. λέγουσι δὲ καὶ ἰατρῶν παῖδες, ἐν ἀέρι πολὺ βελτίονι τοὺς ἐπὶ τῶν ἀγρῶν διαιτᾶσθαι· καὶ διὰ τοῦτο τοὺς ἐν ἄστει νοσοῦντας ἐκεῖσε[94] κομίζουσι· σύμμαχον τῇ τέχνῃ προσλαμβάνοντες τὸν ἀέρα. καὶ οἱ μὲν, ἀπὸ τῶν αὐτῶν φαρμάκων ἐνταῦθα τὶ πλέον ὤνησαν· τοῖς δὲ καὶ τοῦτ' ἀπέχρησεν αὐτὸ, τὸ ἐκεῖσε κομίσαι τὸν κάμνοντα. εἰ δὲ καὶ ἆθλα ἐτίθετο μακροτέρου βίου, τῶν ἐν ἀγροῖς ταῦτ' ἂν ἐγίγνετο. ἔτι τοίνυν ὁ μὲν ἀγρὸν οἰκῶν ἐλθὼν εἰς ἄστυ σκοτοδινιᾷ, καὶ πειρᾶται πάλιν τὴν ταχίστην εἰς τὸν ἀγρὸν ἐλθεῖν πόθῳ[95] τῆς ἡσυχίας. οἱ δ' ἐν τοῖς ἄστεσιν, ὁπόταν ἀναπνεῦσαι βουληθῶσιν, εἰς τοὺς ἀγροὺς θέουσι· τὰς μὲν πόλεις, κλύδωνας, τοὺς δὲ ἀγροὺς, λιμένας νομίζοντες. καὶ ἥ τε γνώμη ῥάων εὐθύς· τό τε σῶμα κουφότερον. εἰ δὲ πανταχοῦ τοῦ δεομένου, τὸ πληροῦν τὴν χρείαν βέλτιον, ἐκ τῶν ἀγρῶν ἡ τροφὴ ταῖς πόλεσιν· ἀλλ' οὐκ ἀπὸ τούτων ἐκείνοις. βασάνοις[96] τοίνυν καὶ τὸν μαστιγούμενον καὶ τὸν στρεβλούμενον, καὶ τὸν ἐπὶ ξίφος καὶ τὸν ἐπὶ πῦρ ψήφῳ δικαστῶν πεμπόμενον, οἱ μὲν, ὁρῶσιν· οἱ δὲ, ἀκούουσιν. ὅσῳ τοίνυν ἧττον εἰς λύπην ὄψεως ἀκοὴ, τοσούτῳ τῆς ἐν ἄστει διαίτης ἡ κατ' ἀγρὸν ἀμείνων. χωρὶς δὲ τούτων, οἱ μὲν δύναιντ' ἂν αὐτῶν φυλάττειν τοὺς τρόπους. τῶν δὲ ἐν ταῖς πόλεσιν ἀνθρώπων οἱ πλείους ὑπὸ τῆς τῶν ξένων ἐπιμιξίας κινοῦνται. καὶ πολλοὶ τῶν σφῶν αὐτῶν ἀποστάντες,[97] τὰ

ἐκείνων

94 ἐκεῖ m. M.

59 πόῤῥωτ. m. M.

96 malim βασάνους in accusatiuo.

97 ἐπιστάντες m. M.

ἐκείνων ἐζήλωσαν. εἰ δὲ σκηνῇ καὶ θαυματοποιοῖς, καὶ τοιούτοις θαύμασιν ἀγρὸς ἡττᾶται· τοῦτ' ἐστιν ᾧ κρείττων ἐστίν· ὅτι τὴν ἀπὸ τῶν τοιούτων διαπέφευγε λύμην.[98] πρὸς τὸ βελτίους ἡδονὰς καρποῦσθαι. ἢ μικρὸν εἰς ἡδονὴν μόσχων τε καὶ ἀρνῶν φωνή; εἰ δὲ οὔπω ταῦτα μεγάλα, τί ἂν ἀντιθείη πόλις ταῖς ἀηδόνων φωναῖς; ἐπὶ δὲ τούτοις, ποίας οὐ γραφῆς τερπνότερον ἰωνιὰ καὶ ῥοδωνιὰ, καὶ λειμῶνες καὶ κλάδοι τέττιγας φέροντες. αὐλοὶ δὲ καὶ σύριγγες νομέων εἰς αὔλεις[99] ἐλαυνόντων βοῶν ἀγέλας, καὶ αἰπόλια καὶ ποίμνια, ποίων θεάτρων οὐχ ἡδίω; τὴν δὲ τῶν παλαιστῶν κόνιν καὶ τὸ τῶν πυκτῶν αἷμα τῇ κινήσει τῶν ληίων παραβάλλειν ἄξιον. παγκρατιαστῶν δὲ πληγὰς τοῖς ταύρων ἀγῶσιν; ἐστιαθῆναι δ' ἥδιον ὑπ' ὀρόφῳ τῷ παρὰ[100] τῶν τεκτόνων, ἢ ὑπὸ σκιᾷ τῇ παρὰ τῶν ἐν δένδροις,[1] ὑπεραιωρουμένων βοτρύων;[2] τίς οὕτως ἐν θεάτρῳ χορὸς ἀκοὴν εὔφρανεν, ὡς οἱ τοὺς βότρυας πατοῦντες ἐν τοῖς ληνοῖς, καὶ οἶνον ποιοῦντες σὺν ᾄσμασιν; ἔστι μὲν οὖν εὐδαιμονέστατον θεὸν ἰδεῖν καὶ θεῷ συγγενέσθαι· τούτου δὲ ἐν ἀγρῷ μᾶλλον ἄν, ἢν ἐν πόλει τις τύχοι. ἐπεὶ καὶ Ἡσίοδος ποιμαίνων ταῖς μούσαις ἐνέτυχε καὶ Φιλιππίδης ὕστερον πολλοῖς χρόνοις τῷ Πανὶ παρὰ[3] τὸ παρθένιον ἔτυχεν. εἰ δὲ βελτίους αἱ πόλεις, οὐκ ἂν ἐν Ἑλικῶνι καὶ Πιερίᾳ τὰς μούσας διατρίβειν ἠκούομεν·[4] ἀλλ' ἐν ταῖς μεγίσταις τῶν πόλεων. νῦν δὲ καὶ Διόνυσος ἐν ἀγρῷ φαίνεται τῷ Ἰκαρίῳ διαλεχθεὶς, καὶ τυχὼν ξενίων, καὶ δοὺς τὴν ἄμπελον.

98 διέφυγε βλάβην m. M.
99 f. εἰς ἐπαύλεις.
100 περὶ m. M.
1 τῶν δένδρων m. M.
2 βοτρύων] num καρπῶν?
3 παρὰ] num περί?
4 ἠκούσαμεν m. M.

ΗΘΟΠΟΙΙΑΙ.

ΤΙΝΑΣ ΑΝ ΕΙΠΟΙ ΛΟΓΟΥΣ ΜΗΔΕΙΑ *μέλλουσα ἀποσφάττειν τοὺς ἑαυτῆς παῖδας.*

ΕΙΧΟΝ ἄρα καὶ αὐτὴ βοήθειαν τὴν παρὰ τῆς τέχνης· καὶ οὐκ ἔμελλον ἀλγήσειν μόνον ἀδικουμένη, ἀλλὰ καὶ λήψεσθαι[1] δίκην. οὐκ ἔτι βασιλεὺς Ἰάσων, οὐκ ἔτι τῶν Κορινθίων ἐπαιρόμενος πλούτῳ.[2] πάντα ἀνέτρεψεν ὁ στέφανος· πάντα διέφθειρεν ὁ πέπλος, πάντα συγκέχυται τῷ πυρί, καὶ πρόσεστι τῇ συμφορᾷ τὸ τῆς ἀνοίας[3] μέρος, τὸ μηδὲν ὑπιδέσθαι τῶν[4] παρ' ἐμοῦ. τί οὖν; ἀρκεῖν ἡγησόμεθα ταῦτα, καὶ πλέον οὐδὲν ζητήσομεν; μηδαμῶς. ἔστιν ἑτέρα τιμωρία χαλεπωτέρα τῆς προτέρας, οὐδὲν δεομένη φαρμάκων, καὶ λανθανούσης μηχανῆς, ἀλλὰ γνώμης ἀνδρειοτέρας, καὶ δεξιᾶς μηδὲν ὀκνούσης. εἰσὶ παῖδες τῷ πάντων ἀδικωτάτῳ, καὶ καλεῖται πατήρ. ἀφελώμεθα ταύτην αὐτῶν τὴν παραμυθίαν, καὶ τὴν προσηγορίαν. οὐδὲν ἐᾷ με τῶν δικαίων ἐξετάζειν τὸ πλῆθος, καὶ μέγεθος τῶν ἐμῶν κακῶν, ἀλλ' ὅταν λογίσωμαι[5] τί δράσασα, τίνων ἀπέλαυσα,[6] πάντα πρὸς δίκην ἡγοῦμαι μικρά. Αἰήτης ἐμοὶ πατὴρ, καὶ Σκυθῶν ἦν βασιλὶς,[7] καὶ παρθενία, καὶ φήμη βελτίων, καὶ πολλοὶ τῶν ἐν τέλει μνηστῆρες, καὶ τῶν παρόντων ἐλπίδες ἀμείνους. κατέπλευσεν ὁ μιαρὸς οὗτος, ὁ μήτε θεοὺς δεδιὼς, μήτ' ἀνθρώπους φοβούμενος.[8] καὶ ἦν ἐν πᾶσι κακοῖς,

[1] λήψεσθαι] λήψεται M.
[2] ἐπαιρόμενος· πλοῦτον m. M.
[3] ἀγνοίας m. M.
[4] τῶν] sic dedi. τῆς M.
[5] λογίσωμαι] λογήσομαι M. et in m. ἐνθυμηθῶ.
[6] ἀπέλαυσα] ἀπήλαυσα M. et in m. ἀπολέλαυκα.
[7] βασιλὶς] regina. βασιλεὺς M.
[8] αἰδούμενος, ἢ αἰσχυνόμενος m. M.

κακοῖς, καὶ τῶν ἀδυνάτων ἔδει γενέσθαι κρείττω, ταύρων πῦρ ἀφιέντων, ὁπλιτῶν ἐκ γῆς ἀνατρεχόντων, δράκοντος οὐκ εἰδότος καθεύδειν. τὸ μὲν οὖν δίκαιον ἦν, ἧττω δειχθῆναι τῶν ὅλων, καὶ πεσεῖν αὐτοῦ, καὶ τὴν νίκην γενέσθαι τ' οὐμοῦ πατρός, καὶ μὴ καταγελάσαι τῆς Αἰήτου βασιλείας ἄνθρωπον ἑνὸς πλοίου[9] δεσπότην. ἐγὼ δὲ ἡ πάντας μὲν παρελθοῦσα προδότας πονηρίᾳ, πάντας δὲ ἀνοήτους μωρίᾳ, τοὺς μὲν οἰκείους ἐχθρούς, τοὺς δὲ ἐχθροὺς οἰκείους ἡγησάμην. καὶ κατὰ τῆς πατρίδος ἔστην, μετὰ τῶν ἀλλοφύλων. καὶ τὴν τέχνην ἀντέταξα τῇ φύσει τῶν θηρίων. ἔσβεστο[10] τὸ πῦρ· ἤνεγκαν οἱ ταῦροι τὸν ζυγόν. ἔσχεν ἀρότρῳ γῆ πάντων στερροτέρα. καθεύδων ὤφθη Δράκων οὔπω πρότερον τοῦτο παθών. ἐν χερσὶν ἦν τὸ δέρας τοῦ τρέμοντος.[11] ἐγὼ δὲ ἐπὶ τούτοις ἀνέβαινον εἰς τὴν ναῦν, πολλαῖς πιστεύσασα, καὶ μεγάλαις[12] ἐπαγγελίαις, ὅρκοις, αὐταῖς ταῖς εὐεργεσίαις. ἐδέξατο τῆς ἐμῆς εὐνοίας ἀπόδειξιν, καὶ Ἰωλκός, οὗ βασιλεὺς Πελίας δυσμενὴς γέρων ὑπὸ τούτων ἃς ἐγέννησε κατεκόπτετο, νεότητος ἐλπίδι προαπελθὼν ἀπάτῃ. τὰ μὲν εἰς Ἰάσωνα παρ' ἐμοῦ τοιαῦτα. τὰ μὲν οἴκοι.[13] τὰ δὲ ἐπὶ τῆς Ἑλλάδος. αἱ δ' ἀμοιβαὶ τίνες; Κόρινθον εἶδε, καὶ τὴν Κρέοντος ἀρχήν, καὶ περὶ τῆς Γλαύκης ἤκουσε. καὶ λόγος οὐδεὶς τῶν ἐμῶν, ἀλλ' ἐγάμει παῖδας ἔχων. εἶδεν ὑμέναιον ζώσης ἐμοῦ. καὶ πάντα ἐκεῖνα ἐξεβέβλητο· καὶ πρὸς τὸν ἔρωτα τῆς δυναστείας, αἱ παρ' ἐμοῦ χάριτες ἠμέληντο. καὶ οὐκ ἀπέχρη ταῦτα, ἀλλ' ἠλαυνόμην, ὑβριζόμην, προὐπηλακιζόμην. ἐντεῦθεν[14] εἰκότως μὲν ἠγανάκτουν· πρὸς δὲ τὴν μόνην καταφυγὴν εἶδον τὴν τέχνην· ἡ δὲ ἤρκεσε. χωρῶμεν δὴ καὶ διὰ τῶν λοιπῶν, καὶ δι' ὅσων ἔξεστιν ἴωμεν. πλῆττε Μήδεια παῖδας· σφάττε παῖδας τοῦ Ἰάσονος, ἀνδρὸς ἀδίκου, πονηροῦ πατρός, ξένου κακοῦ. μηδέν σε τῶν πάντων διαλλαττέτω. μὴ φύσις, μὴ γαστήρ, μὴ λογισ-

[9] f. ἄνθρωπον οὐδ' ἑνὸς πλ. δ.
[10] ἄσβεστον m. M.
[11] τρέμοντα m. M.
[12] μεγάλαις] μεγάλας M.
[13] εἰς οἶκον m. M.
[14] ἐνταῦθα m. M.

λογισμὸς ὠδίνων, μὴ τροφὴ, μὴ φωνὴ. μὴ μορφὴ ζημιούσθω μὲν Ἰάσων τοῖς παισίν. οἱ δὲ τὴν παρὰ τῶν ἐχθρῶν διαφευγέτωσαν αἰκίαν. μὴ γὰρ λάβοιεν τούτους οἱ Γλαύκης συγγενεῖς, μηδ' ἀφήσειεν[15] εἰς αὐτοὺς τὸν θυμόν. δεινὸν μὲν τὸ ἔργον, ἀλλ' ἀκόλουθον τῷ προτέρῳ. παρὰ τὴν φύσιν ἀτεβήσομεν; τοῦτο πάλαι τετολμήκαμεν. ἀδελφοῦ φόνος ἐπὶ τὸν τῶν παίδων παραπέμπει[16] φόνον. τῆς αὐτῆς ἐστὶ καὶ τοῦτο γνώμης τῆς αὐτῆς δεξιᾶς. Ἥκετε[17] ὦ παῖδες ὑπὸ τὸ ξίφος, ἥκετε· τοῦτο εἰς ὑμᾶς ὁ πατὴρ ὠθεῖ δι' ἐμοῦ· εἰ γὰρ ἐκεῖνος ἦν χρηστὸς, οὐδὲν γε τούτων ἔδει. καλαὶ αἱ μορφαί. καλὸς ὁ τύπος τῶν σωμάτων.[18] ἀλλ' ἐοίκασι τῷ πατρί. τοῦθ' ἥδιώ με ποιήσει τὸν φόνον. οἱ μὲν οὖν αὐτίκα κείσονται, ἐγὼ δ' ἄνωθεν ἐξ ἀέρος μέσου τὸν ἀλιτήριον ὄψομαι, καὶ στένων καὶ στέγων,[19] καὶ πάντα ποιῶν, βοήσεται μὲν, οὐδὲ μὴν λήψεταί με· τοιούτῳ ζεύγει θαρρῶ δρακόντων.[20] ἐπιβᾶσα δὲ τῶν Ἀθηνῶν, ἐκεῖθεν τὴν λύπην ἀποθήσομαι.

ΤΙΝΑΣ ΑΝ ΕΙΠΟΙ ΛΟΓΟΥΣ

Ἀνδρομάχη κειμένῳ ἐφ' Ἕκτορι.

ΗΚΕΙ δὴ πρὸς ἔργον ὁ φόβος. καὶ τοὺς ἐμοὺς λόγους Ἕκτωρ ὑπεριδὼν ἔγνω με τὰ βέλτιστα εἰσηγουμένην. παρῄνουν ἑαυτοῦ φείδεσθαι· ὁ δὲ, ἠφείδησε. τοιγαροῦν τέθνηκεν οὐκ ἐν ταῖς ἡμετέραις, ὦ θεοὶ, χερσὶν, ἀλλ' ὑπὸ τῶν Ἀχιλλέως· τὸ δὲ ἐκεῖνον τεθνάναι. τὸν Πρίαμον ἐστὶν ἀπολωλέναι, τὴν Ἑκάβην, τοὺς ἀδελφοὺς, τουτὶ τὰ παι-

15 f. μηδ' ἀφήσειαν (in plur.) si vsus linguae id permittat, quamquam ἀφῆσαι in aor. 1. in vsu non est, quod sciam, sed ἀφῆκα. foret ergo ἀφήκειαν conuenientius.

16 απεκ. m. M.

17 ἱκετεύω m. M.

18 τοῦ σώματος m. M.

19 duo vocabula καὶ στέγων delenda sunt vt perperam iterata e proximo καὶ στένων.

20 οὐ μὴν λη. με — δράκοντε m. M.

παιδίον, ἐμὲ, τὴν πόλιν ὅλην. ἐκεῖνος ἔσωζε τὸ Ἴλιον. πόθεν οὖν ἔτι σωθήσεται; ἔῤῥει πάντα, καὶ διέφθαρται. καὶ γέγονα γυναικῶν ἀθλιωτάτη. οἵας με γεύσασαν[21] ὁ δαίμων εὐδαιμονίας ἀπεστέρησεν; ἦν μοι πατὴρ καὶ μήτηρ ἐν βασιλείοις, καὶ χορὸς ἀδελφῶν, καὶ πάντα λαμπρά. τούτοις προσεγένετο μεῖζον ἕτερον· σύνοικος Ἕκτωρ, ὁπλίτης θαυμαστὸς, ἀγαθός. ἐβλεπόμην,[22] ἐθαυμαζόμην.[23] καὶ τὴν Ἀνδρομάχην τὶς προσειπὼν, τὴν τοῦ στρατηγοῦ προσέθηκεν αὐτὴν, τοῦ κρατοῦντος,[24] τὴν μακαρίαν. ἔδει μὲν οὖν μέχρι γήρως δι' ὁμοίας ἀφικέσθαι τῆς τύχης, ἀλλ' οὐκ εἴασε ὁ χαλεπὸς οὗτος Ἀχιλλεὺς, ὃν ἡ Θέτις ἔτεκεν ἐπ' ἐμοί. κατήνεγκέ μοι τὸν πατέρα, ἀπέσφαξε τοὺς ἀδελφοὺς, δουλείαν ἐπέβαλε τῇ μητρὶ, εἶτα ἀπέδοτο καὶ οὐδὲ αὐτὴ περίεστι. καὶ ταῦτα δεινὰ μὲν, φορητὰ δὲ ἐποίησας Ἕκτωρ τὰ δυστυχήματα· καὶ τὰ πάντων παρεῖχες μόνος. καὶ ἀπεστερόμην, ἅμην εἶναί μοι διὰ σοῦ. ἀλλ' ἀπεσφάγης, ἐδέξω τὴν πληγήν. οἰχόμεθα, ἀπολώλαμεν. πρόσεισι τὰ δεινά. πλησίον ὁ κίνδυνος, ἐγγὺς τὸ πῦρ. ὁρᾷν μοι δοκῶ τοὺς Τρῶας κατακοπτομένους, τὰς γυναῖκας ὑβριζομένας, αἰσχυνομένας, τοὺς παῖδας ἑλκομένους, ὁρᾷν τὸ πῦρ,[25] ὁρᾷν τὸν σίδηρον. ἀνέῳκται τοῖς πολεμίοις τὸ Ἴλιον, οὐκ ἔτι σοῦ προβεβλημένου τῶν πυλῶν. ὦ παιδίον, ἴσως σε λαβών τις τῶν πολεμίων, προσαῤῥάξει τῷ πύργῳ. γενναῖος ἦν ὁ πατήρ· ὀφείλεις δίκας τοῖς Ἀχαιοῖς. ἐμὲ δὲ ἄρα ἀποκτενεῖ τις, τοῦτο γοῦν εὐτυχήσομεν. ἀλλ' οὐκ ἔτι[26] δουλεία με μένει, καὶ διακονία, πληγαὶ, καὶ διατελοῦς δάκρυα. καὶ γῆν ἴσως ὄψομαι, παρ' ἧς ἡμῖν οὗτος ὁ πολέμιος ἦλθε.[27] τάχα που

καὶ

[21] γεύσας cum guſtu me imbuiſſet. (in nominatiuo ſing. gen. maſculini.)

[22] f. σύνοικος ἀγαθὸς Ἕκτωρ, ὁπλίτης θαυμαστὸς, ἐβλεπόμην—

[23] εὐδαιμονιζόμην m. M.

[24] f. προσέθηκεν αὖ, (vel ἂν) τὴν τοῦ κρατοῦντος.

[25] τὴν φλόγα m. M.

[26] ἀλλ' οὐκ ἔστι. verum ſecus habet. hoc non fiet. δουλεία με μένει, ſeruitus potius me manet.

[27] ἐπῆλθε m. M.

καὶ τὸ δεινὸν ἀναγκασθήσομαι, μίγνυσθαι τῷ τὸν Ἕκτορα ἀποκτείναντι.

ΤΙΝΑΣ ΑΝ ΕΙΠΟΙ ΛΟΓΟΥΣ ὁ Χείρων ἀκούσας ἐν τῷ παρθενῶνι εἶναι τὸν Ἀχιλλέα.

Ὦ ΠΗΛΕΙΟΝ. ἀλλότρια σῆς χορείας τὰ θρυλλούμενα. ὦ παιδεία καὶ ἀρετὴ, καταισχυνθεῖσα τοῖς λόγοις. τίς τῶν τῆς ἀδοξίας ῥημάτων ἄγγελος;[28] τίς αἰσχρᾷ φήμῃ ὑπερετεῖν ἐτόλμησεν, ἄπιστα μὲν λέγων, κατηγορῶν τῆς ἀληθείας· τάχα δὲ πυ καὶ πιστευόμενος. τίνα καταιτιάσομαι τῆς ἀδοξίας; ἀρετὴν τίνα τῶν προγόνων μιμησάμενος Ἀχιλλεὺς, τὰ τῶν παρθενώνων[29] ἠγάπησεν; Αἰακὸν, ἢ τὸν Πηλέα; ἀλλ᾽ ὁ μὲν ἐκ Διὸς χειροτονίαν[30] ἐδέξατο· ὁ δὲ σωφροσύνης ἆθλον, τὸν Θέτιδος γάμον, καὶ θεῶν κηδεστὴς θνητὸς ὢν ἀνηγορεύετο.[31] ἀλλ᾽ οἷς πεπαίδευται παραπλήσια κατείργασται. τοῦτον[32] νὴ δία, τὸν Πήλειον ἀκοντίσας[33] σεμνυνόμενον, ἔτρεμον. τούτου καὶ δεξιὰν ἔφριττε θὴρ καταγωνιζόμενος.[34] ποῦ σοι, παῖ Πηλέως, τῆς ἱππικῆς τὰ διδάγματα; ποῦ δρόμος καὶ γυμνάσια, δι᾽ ὧν ἐφάνης ἀήττητος; εἰς τοιοῦτον ἄρα τέλος ἐξεπαίδευον,[35] ἐξέπεμπον διαθλήσαντα, ἵνα χεῖρα

28 f. τίς τῆς ἀδοξίας ἄγγελος; aut τίς μεστῶν ἀδοξίας ῥημάτων ἄγγελος; m. M. dat τῆς ἀδοξίας.

29 παρθένων m. M.

30 χειροτονίαν] aut vitioſum hoc eſt, aut deſunt quaedam.

31 ἀπηγορ. m. M.

32 f. τοῦτον hunc (Achillem) νὴ Δία τὸν Πήλειον per Iouem Peleum, id eſt, Pelio menti praeſidentem, aut Peleo, patri Achillis, cognatum, huiusque generis auctorem, ἀκοντι σεμνυνόμενον ἔτρεμον tremere, h. e. reformidare ſolebant in iaculo ſeſe iactantem.

33 ἴσ. ἀκοντίσαντα m. M.

34 aut καταγωνιζόμενος in ſenſu paſſiui eſt accipiendum, *deuictus, ſuperatus,* qui ſenſus eſt inuſitatus et abhorrens, aut ἀνταγωνιζόμενος leg. *repugnans.* θὴρ eſt Chiron ipſe, qui loquens hic aſſimulatur.

35 f. εἰς τοιοῦτον ἄρα τέλος ἐγώ σε ἐπαίδευον; ἐξέπεμπον νὴ Δί᾽ ἀθλήσοντα.

ρα δεξιὰν διαδέξωνται παρθένοι, ἵνα μετὰ Πηλέως Λυκομήδης οἰκειωθήσεται;[36] ἵνα τὸν Πηλέως, σιωπῶ καὶ τοὔνομα, κόραι σύννομον ἐκδέξωνται;[37] ὦ μόνος τῶν ἀνομοίων κοινωνίαν εἰργασμένος Λυκομήδους καὶ Χείρωνος; καὶ μετὰ Πηλέως[38] ὁ θάλαμος, καὶ μετὰ ἱππικὴν ἱστουργία παρθένων.[39] καὶ μετὰ κυνηγέσια, πῶς τάλαρια, τὰ διδάγματα, τὸν Χείρωνα; πῶς ἐδίδαξε δεξιὰν τόξον φέρειν, διδαχθεῖσαν τὰ τῶν παρθένων ἐργάζεσθαι; οἴμοι τῆς ἀκμῆς. ἄρα καὶ χλαῖνα γυναικεία κατεκόσμησεν, ἄρα καὶ κρήδεμνον καταισχύνει τὸν βόστρυχον. ὑπέμειναν πόδες ὑπὸ[40] θηρίων τοῖς ὄρεσι βαίνοντες, οἱ δρόμῳ φοβήσαντες τοὺς πάντων ταχεῖ κρατήσαντας. τὰς χεῖρας οὐ διέφυγεν οὐδ' ἵππος κεραίνων, οὐδὲ λέων ὁρμῇ φερόμενος τὴν ψυχὴν νενίκηκεν οὐ φόβος, οὐ τρόμος, οὐκ ἀπειλὴ δυσμενῶν. ἀλλ' ὧν ἠπιστάμην, τἀναντία νῦν ἀγγέλλουσι· κἂν ἀπώσαιμεν τοὺς λόγους, ἡ φήμη πολλοῖς πεπίστευται. τοῦ Ἀχιλλέως πρόγονοι θεοῖς[41] τὴν δόξαν, ὁ Πηλέως προσανέθηκεν. ἐστὶ γὰρ αἷμα θεῶν, παρθένος δὲ τὴν προαίρεσιν. τίς ἄρα Θέτιδι τούτων ἄγγελος γενήσεται; θεὸς γὰρ οὖσα, καὶ γυνή, τοῖς παροῦσιν αἰσχυνθήσεται. διὸ μήτηρ ἀνδρὸς ἐκέκλητο,[42] καὶ κόρης αὖθις κληθήσεται, ἐπιμελεία

τῆς

[36] οἰκειώσεται m. M.

[37] ἐκδέξωνται] ἐκδέξονται M.

[38] f. μετὰ πήλιον id eſt poſt illam diſciplinae ſeueritatem, in qua adoleuiſti in monte Pelio.

[39] f. μετὰ ἱππικὴν ἱστουργία. καὶ παρθενὼν μετὰ κυνηγέσια, πῶς ταλασίαι (in plurali) τὰ διδάγματα (ſcil. εἰσί σοι νῦν) μετὰ τὸν Χείρωνα; (id eſt μετὰ τὰ παρὰ τοῦ Χείρωνος διδάγματα) τίς ἐδίδαξε δεξιὰν, τόξον φέρειν διδαχθεῖσαν τὰ τῶν παρθένων (ſcil. ἔργα) ἐργάζεσθαι; Dextram, arcum geſtare condocefactam, ecquis docuit opera facere virginalia?

[40] hic deſunt nonnulla. m. M. dat κατὰ θ. ἐπ' ὄρ.

[41] f. τοῦ Ἀχιλλέως πρόγονοι θεοί. Achillis maiores ſunt dii, ὧν τὴν δόξαν ὁ Πηλέως παρθένοις προσανέθηκεν. quorum gloriam Achilles virginibus prodidit, permiſit. m. M. dat τὴν ἀδοξίαν ὁ Πηλ. παρθένοις προσανέθ.

[42] κληθήτω m. M.

τῆς φύσεως[43] διττὸν λαβοῦσα τὸ πρόσρημα· καὶ δι' ἑνὸς τοῦ φιλτάτου τοῖς ἐναντίοις[44] κληθεῖσα. λυέσθω μοι τοίνυν τὰ τῆς ἀρετῆς παιδεύματα.[45] ἀφείσθω μοι νέων κατάλογος προσφιλής.[46] τὸ γὰρ τῆς παιδείας φοβεῖ με τέλος ἀκλεές.

ΤΙΝΑΣ ΑΝ ΕΙΠΟΙ ΛΟΓΟΥΣ
ἡ Νιόβη κειμένων τῶν παίδων.

Ὦ ΘΕΟΙ καὶ δαίμονες! πόθεν ταυτὶ τὰ πολλὰ βέλη καὶ δεινά. καὶ πάντα κατὰ τῶν ἐμῶν παίδων! φεῦ τῶν κακῶν! ἀπολώλεκα τοὺς ἐμαυτῆς ἅπαντας· τοὺς δώδεκα· καὶ οὐκ ἔστι προσερῶν ἔτι με μητέρα, τὴν ὑπὸ τοσούτων ἄρτι τοῦτο καλουμένην. ὢ τῶν ἐμπεπηγότων τοῖς σώμασιν οἰστῶν! ὢ τοῦ ῥέοντος διὰ τῶν σωμάτων αἵματος! ὢ κάλλους θυγατέρων. ὢ κάλλους υἱέων. ὢ πλοκάμων ὥρα! ὢ προσώπου χάριτες! ὢ στέρνων φιλτάτων! οὐδὲν ἄρα τούτων ᾐδέσθησαν οἱ τοξεύοντες. τίνι πρῶτον περιχυθῶ; τίνα[47] κλαύσω δεύτερον; ἐπὶ τίνα ἔλθω τρίτον; τίνα ὑπερβῶ; τίνος ἅψομαι; πόθεν ἄν μοι γένοιτο πλῆθος δακρύων ἀποχρῶν νεκροῖς δώδεκα; τίς ἔσται τῆς συμφορᾶς[48] ὁ τρόπος; ἀθρόους δεήσει κομίζειν, καὶ κλίνῃ κλίνην ἀκολουθεῖν· ἢ τὸν μὲν θάπτειν, ἐφ' ἕτερον δὲ τρέχειν. εἷς ἔσται τάφος ἅπασι καθ' ἕκαστον, εἷς, καὶ δώδεκα στῆλαι, καὶ τοσαῦτα ἐπιγράμματα

[43] ἐπιμελείᾳ τῆς φύσεως] sententia subiicit ἐπὶ ταυτότητι τῆς φύσεως quamuis maneret (aut ipsa, aut filius eius, eadem, idemue) ratione naturae, tamen geminum adepta nomen, vt diceretur mater modo maris, modo puellae. ἐπὶ ἀμελείᾳ m. M.

[44] f. τοῖς ἐναντιωτάτοις. quid enim potest esse diuersius, et magis inter se repugnans natura, quam vir foeminae.

[45] παιδεύτρια m. M.

[46] κατάλογος προσφιλής] videtur τέως interponendum. qui adhuc iucundus mihi fuit.

[47] τίνα] τίνι M.

[48] f. τῆς ἐκφορᾶς. exsequiarum, elationis e domo ad humandum.

τα. ὢ καινοῦ πάθους! ἐν ἀνδρῶσι τὰ τοῦ πολεμίου. ἐν παρθενῶσι τὰ τῶν παρατάξεων. ἀφελκέτω τις τὰ βέλη· καλυπτέτω τοὺς νεκρούς· ἀπείρηκα βλέπουσα τὰ τραύματα. τίς ὑμῖν,[49] τίς ἐπεστράτευσε δαίμων; αἰσθάνομαι ἡ κακοδαίμων· συνίημι μόλις· ἡ μήτηρ ἡμᾶς,[50] ὦ παῖδες, ἀπολώλεκεν. ἐγὼ τὴν τύχην ἡμῖν μετέβαλον, καὶ τοῖς γε ἄλλοις ἀνθρώποις τὰς περὶ ἐμοῦ φωνάς·[51] ἦν γὰρ ἔμπροσθεν ὡς εὐδαίμων ἡ Νιόβη, γεγονυῖα μὲν ἐκ τοιούτων· τεκοῦσα δὲ τοιούσδε, καὶ προσέτι τοσούτους. τῇ δὲ ἄρα γε καὶ μείζονα ἕτερα προσῆν· συνουσία θεῶν, καὶ φιλία Λητοῦς· ἣν ὁρᾷ παροῦσαν· ἢ ἀκούει λαλούσης. πρὸς ταύτην ἐγώ ποτε παίζουσα τὴν θεὸν, ἡ δυστυχὴς ἠρίθμησα τοὺς ἐμαυτῆς· ἡ δὲ οὐκ ἤνεγκε γυναῖκα μωραίνουσαν· ἀλλὰ τὴν πολλὴν ἐκείνην καὶ μακρὰν φιλίαν, ῥῆμα μικρὸν φθάσαν τὸν λογισμὸν διέσπασε καὶ διέλυσεν. Ἴδε πόσα δύναται γλώττης ἁμαρτία. ὢ τῆς ὑπερβολῆς! ὢ τῆς ὠμότητος! οὐκ ἦν ἱκανὸν ἀποστερῆσαί με τῆς πρὸς αὐτὴν ὁμιλίας; οὐκ ἦν ἱκανὸν ἐκβαλεῖν με τῆς συνουσίας; ἀλλ' ἔδει τι καὶ σώματος[52] παθεῖν. ἦσαν αὗται αἱ χεῖρες[53] ἦσαν ὀφθαλμοὶ καὶ πόδες· τούτων ἔδει τι πεπηρῶσθαι· μᾶλλον δὲ ἀντὶ τούτων τὴν οὐκ εἰδυῖαν σιωπᾶν γλῶτταν. ἀλλ' ἔδει τινὰ πεσεῖν πάντως τοῖς Ἀπόλλωνος βέλεσι; τί οὖν; οὐκ ἐμοὶ σῶμα, τῇ φθεγξαμένῃ, τῇ πεπονηρευμένῃ; οὐχ οὕτως ἂν καὶ τὸ δίκαιον ἐτάξετο, τῆς τιμωρίας ἐπὶ τὴν ἀδικίαν[54] ἐλθούσης; νῦν δὲ, ὦ θεοὶ καὶ νόμοι, καὶ δίκη· κακὴ μὲν ἡ μήτηρ· ἀναμάρτητοι δὲ οἱ παῖδες. καὶ ζῇ μὲν ἡ μήτηρ, τεθνᾶσι δὲ οἱ παῖδες. τί πλημμελοῦντες; ὦ Λητοῖ καὶ Ἄπολλον καὶ Ἄρτεμι, καὶ βέλη! ἀλλ' ἔδει τοῦτο τηλι-

κοῦτο

[49] olim ἡμῖν.

[50] malim ὑμᾶς.

[51] f. φωναί. ἦσαν γὰρ αἵδε αἱ ἔμπροσθεν. voces, praedicationes hominum hae olim erunt de me. ὡς εὐδαίμων — quam beata —

[52] f. καὶ τοῦ σώματος (scil. τοῦ ἐμοῦ μέρος) sed necesse erat, vt corporis mei quoque pars aliqua pateretur.

[53] αὗται αἱ χεῖρες] M. omittit αἱ.

[54] f. τὴν ἀδικήσασαν.

κοῦτο ὂν παρoφθῆναι τὸ δίκαιον. εἷς παῖς ἀποθνησκέτω· μία κόρη πιπτέτω· εἰ δὲ ὀλίγον τοῦτο, νειμώμεθα τοὺς ἐμούς. εἰ δὲ δεῖ καὶ πλείονας ἀπελθεῖν, ἀλλὰ καταλιπέ μοι τὸ καλεῖσθαι μητέρα· Φεισαμένη σώματος ἑνὸς, ἀφ' ἑκατέρου μέρους· ἀλλ' ἀνάγκη τοὺς ἐμοὺς πάντας παῖδας, καὶ πάσας ἐξηλεῖφθαι. τί οὖν μὴ κἀμὲ προσέθηκας; ἀλλὰ κολάζεις τῷ ζῆν. τουτὶ μὲν οὖν τὸ κακὸν ἐμαυτῆς, λύσω· διὰ τί γὰρ βιώσομαι; ἵνα δακρύοιμι καὶ θρηνοίην. καὶ ταῦτά μοι συνειδείη μόνη ἡμέρα,[55] ἵνα ἐπὶ τοὺς τάφους τρέχω, καὶ μάτην καλοίην τοὺς ἐμαυτῆς· καὶ καλοίμην ἀθλιωτάτη πασῶν. Τί[56] με παραμυθήσεται τῶν πάντων; τίς ἕτερος τοιαῦτα παθών; καλή γε ἡ νίκη τῶν θεῶν! οἶκον εὐδαίμονα κεκενώκασιν· ἧπου Φιλοτιμοῦνται νῦν ὡς ἀπεκτονότες δώδεκα· ἀλλ' οὐκ ἔσονται δώδεκα.[57] προτίθεται καὶ[58] τρίτη· δι' ὑμᾶς ἀπολουμένην ἐμέ.

ΔΕΥΤΕΡΑ ΗΘΟΠΟΙΙΑ.

Τὸ αὐτό.

Ὦ δεινοῦ πάθους, καὶ παραδόξου συμφορᾶς, καὶ δεινῆς ἀωρίας τῶν μεγάλων συμφορῶν! κεῖταί μοι πλήρωμα παίδων δυστυχές. εἰς ἑκατέραν μεμερισμένον τὴν Φύσιν· ἴσην ἑνὶ καιρῷ τὴν συμφορὰν δεξάμενον· κρεῖττον παραδείγματος· οὔτε πραχθὲν πρότερον, οὔτε πρὸς τὸ μέλλον ἐνδεχόμενον συμβῆναι. ὦ πολλὰς ὠδῖνας ὠδίνουσα ἐγώ·[59] πολλὰ δὲ αὐχήσασα πρότερον ἐπὶ τοῖς παισί, μέγαν

[55] f. καὶ ταῦτα μή μοι συνειδείη μόνη ἡ ἡμέρα. neque ſolus dies horum mihi luctuum ſit conſcius, ſed etiam nox. h. e. vt perpetuo, diuque noctuque lamenter.

[56] ἴσ. τίς, m. M.

[57] num ſic? ἀλλ' οὐκ ἔσονται δώδεκα. τοῖς γὰρ δέκα προστίθετε (in imperatiuo aut etiam ſi mauis, in indicatiuo) καὶ τρίτην (in accuſatiuo) δι' ὑμᾶς ἀπολουμένην ἐμέ. Aut ſic προστίθετε καὶ τρίτην — aut tertia ſit mater, poſt mares et foeminas. Tres ergo partes erunt, 1) mares filii, 2) filiae, 3) mater denique tertia.

[58] ἴσ. καὶ δεκάτη τρ. m. M.

[59] f. ὦ πολλὰς μάτην ὠδῖνας ὠδίνασα (in aor. 1.) ἐγώ.

μέγαν δὲ ἐγείρασα ἐπὶ τοῖς κειμένοις τὸν θρῆνον, ἄπαις ἡ δυστυχής· ἐν ἐρημίᾳ μὲν τῶν παίδων· ἐν ἀφθονίᾳ δὲ πολλῶν δακρύων, καὶ τῶν ἐπ' αὐτοῖς θρήνων. μεῖζον ἐφρόνησα τῆς θνητῆς φύσεως· ἡμιλλήθην πρὸς τὴν τῶν κρειττόνων εὐπαιδίαν ἐπὶ πολλῇ δὲ τῇ ζημίᾳ ἐπέγνων, ὡς μή ποτ' ὤφελον μήτηρ εἶναι· ἡ ἐγενόμην εὐτυχής, ὡς ἐνόμιζον· καὶ παίδων γενέσει διέφερον τῶν πολλῶν, ἑκατέρῳ τῷ γένει κομῶσα· πολλοῖς μὲν ἠϊθέοις· πολλαῖς δὲ παρθένοις ἀγαλλομένη· αἱ δὲ εὐτυχίαι πολλάκις τὴν γνώμην διαφθείρουσι. καὶ τοῦτο οἶδα παθοῦσα, ὅτε τῆς Λητοῦς μεῖζον ἐφρόνησα· οὐ συνίην ἡ δυστυχής, ὡς τὰ μὲν θεῶν ἀθάνατα καὶ διαρκῆ, καὶ πάντων ἀπαθῆ κακῶν· τὰ δὲ ἀνθρώπινα ταῖς μεταβολαῖς ὑπόκειται. ἀλλ' ἐπειδὰν ταῦτα ἐξήμαρτον, ἐμὲ τὴν τιμωρίαν ἐπιγνῶναι[60] ἐχρῆν καὶ τοῖς Ἀρτέμιδος καὶ τοῖς Ἀπόλλωνος βέλεσι τοξευθῆναι. ἀλλ' οὐχ οὕτως ἐδίκασαν ἡμῖν οἱ κρείττους· ἀλλὰ τοὺς παῖδας, τοὺς πόρρω τῆς αἰτίας, τοὺς οὐδὲν εἰπόντας, οὐδὲ αὐχήσαντας, οἷον ἡ δυστυχὴς ἐγώ, τούτους ἀπολωλέκασι. φεῦ τῶν ἐλπίδων τῶν προτέρων ἐκείνων, καὶ τῆς παρούσης ταύτης μεταβολῆς! Ἐγὼ μὲν λαμπάδα γαμήλιον ᾤμην προσάψειν τοῖς ἠϊθέοις καὶ ταῖς παρθένοις· ἔφθη δὲ ἡ συμφορὰ τὰς ἐπ' ἐκείνων ἐλπίδας.[61] Τίνα ὀδύρομαι[62] πρῶτον; Τίνα στενάξω; Τίνα ἀνακαλέσομαι τῶν κειμένων; Τίς χρόνος ἀρκέσει μοὶ πρὸς τὸν χορόν;[63] ποίων δακρύων πλῆθος ἀποδώσει κατ' ἀξίαν[64] τοῖς κειμένοις; Τίς ὁ μετὰ ταῦτα ἔσται μοὶ βίος; οὔτε γὰρ λήθην δύναμαι λαβεῖν τῶν ἐμαυτῆς κακῶν· ἀλλ' ἐν ὄψει τὰ δυσχερῆ· καὶ τὰ

60 ἐπιγνῶναι] ſententia poſtulat ὑποσχεῖν.

61 f. τὰς ἀπ' ἐκείνων ἐλπ.

62 aut ὀδυροῦμαι in futuro, id quod malim, aut ὀδύρωμαι (per o mega) in coniunctiuo aoriſti primi.

63 χορὸν] malim γόον.

64 f. τὸ κατ' ἀξίαν. quod idem eſt ac ſi dixiſſet τὴν ἀξίαν. nam πλῆθος h. l. eſt nominatiuus. quacnam lacrymarum multitudo liberis id luctus, quod ipſis debetur, pro merito dependet?

τὰ δεινὰ ἐν ὀφθαλμοῖς·[65] καὶ οὐδεὶς χρόνος τηλικοῦτος[66] ἀρκέσει πρὸς τὸν θρῆνον ἐμοί· μία γένοιτο ἀπαλλαγή, εἰ συναπέλθοιμι τοῖς δακρύσιν εἰς ἀναίσθητον μεταβολήν· ἢ τῷ θανάτῳ σβέσαιμι τὸ δεινὸν, ἀγχόνῃ χρησαμένη ἢ κατὰ θαλάττης καὶ πετρῶν ἐμαυτὴν ἀφεῖσα, ἢ κατὰ ἐμαυτῆς ἐνέγκασα τὴν καιρίαν.

ΤΙΝΑΣ ΑΝ ΕΙΠΟΙ ΛΟΓΟΥΣ

ζωγράφος, γράφων τὸν Ἀπόλλωνα εἰς δάφνην ξυλίνην,[67] καὶ τοῦ ξύλου μὴ δεχομένου τὰ χρώματα.

ΑΡΝΕΙΤΑΙ σου τὸν ἔρωτα καὶ μέχρι δένδρων, Ἄπολλον. ἡ ποθουμένη παρθένος· οὐ βούλεταί σοι σπένδεσθαι μεταβληθεῖσα[68] τὴν φύσιν· σωφροσύνην ἀσπάζεται καὶ δένδρον γενομένη[69] φεύγει καὶ τὸν τύπον ἐν τοῖς χρώμασι δεικνύμενον· καὶ καταισχύνει μου τὴν τέχνην, μὴ δεχομένη τὴν γραφήν· ἡ μὲν χεὶρ χαράττει θεόν· τὰ δὲ χρώματα λύεται πολεμούμενα τῷ ξύλῳ· τί ταῦτα ζωγράφοι; οὐκ ἔτι τοῖς βουλεύμασιν ἡμῶν συντρέχει τὰ χρώματα· οἷς δὲ βούλεται ἡ δεξιὰ, διαμάχεται τὰ ξύλα. ἦν ἄρα καὶ δένδρον ψυχῆς οὐκ ἀπηλλαγμένον. οἰκεῖ

τὸ

[65] καὶ τὰ δεινὰ ἐν ὀφθαλμοῖς] non ideo haec vocabula videntur inducenda, quod idem prorsus dicunt modo praemissis illis ἐν ὄψει τὰ δυσχερῆ. Solet Libanius in his opusculis rhetoricis, ad exercendam in dicendo iuuentutem accommodatis, dictiones, vocabulis diuersas, sed sententiis consonantes, cumulare, quo exemplis doceret iuuenes copiam orationis. Sexcentis locis id factum obseruaui, quamquam rarissime his in schedis meis hac de re admonendum duxi.

[66] f. τηλικοῦτος, (subaudi ἐστὶν) ὃς ἀρκέσει.

[67] videtur ξυλίνην delendum, aut leg. εἰς πίνακα ἐκ δάφνης ξυλίνην. vulgatam si defendere iuuabit, dicendum erit, ξυλίνην eo esse ad δάφνην appositum, ne quis δάφνην nude positum legens, per errorem pro puella Daphne, olim ab Apolline adamata et metamorphosin passa, acciperet.

[68] f. ἀδὲ μεταβληθεῖσα τ. φ.

[69] γενομένη.] γενόμενον M.

τὸ δένδρον[70] μετὰ τῆς προσηγορίας· δάφνη μὲν ἡ κόρη. δάφνη δὲ τὸ φυτὸν φεύγει πάλιν τὴν κοινωνίαν. ὐ δέχεταί σε, Πύθιε. κἂν περιπτύσσῃ τοῖς χρώμασι, καὶ εἰκόνι συμπλέκῃ, πάλιν ἀρνεῖται τὸν πόθον. ταύτην οἶδεν[71] ἡ τέχνη παρέχειν θυσίαν τοῖς θεοῖς, τύποις καὶ γραφαῖς εἰκόνων το θεῖον ἐναπομάττουσα. ὦ Ζεῦ θεῶν πάτερ· καὶ σὲ μὲν ἐγγράφειν,[72] καὶ ἐξ Ὀλύμπου τύπον εἰς ἀνθρώπους μετήνεγκα. Ἥραν σύζυγα τῷ θεῷ χαράττων, ὐ διήμαρτον. Ἀθηνᾶ πρόμαχε, μετὰ πατρός σε συνέγραφον,[73] ἀλλὰ χαίρουσα πάλαι πολέμοις, ὐκ ἐπολέμεις τῇ γραφῇ. ἤδη ποτὲ καὶ τῆς Ἠχοῦς κατεψευσάμην τὸν πόθον· καὶ τὴν ἀσώματον θεὸν ὑποτυπώσας ὐκ ἤχαλλον· καὶ φωνὴν ἐβιαζόμην παρθένον δεῖξαι[74] τοῖς τύποις. ὑπηρετεῖ δέ μοι τέχνη χρώμασιν ἀναγκασθεῖσα. νυνὶ δὲ παρθένος μόνη με νικᾷ, μνήμῃ καὶ προσρήματι· καὶ οὖσα δένδρον τοὔνομα, συνδεδενδρωται[75] καὶ τὸ βούλημα· φρονεῖ κόρη φυτόν· μᾶλλον δὲ κόρη γίνεται· τὸν γὰρ λογισμὸν ὐκ ἤμειψε· καὶ νῦν ἔσαι διήγημα τοῖ ποιηταῖς ἀπιςούμενον· διηγοῦνται μεταβολὴν, καὶ μῦθον ᾖδον τοῖς παισί. διηγήσονται καὶ φυτῦ τὴν πρὸς τὸν Ἀπόλλωνα φυγήν· καί τινας ἕξουσι τοὺς δεχομένους τὸν λόγον. Ὦ θεὸς μηδὲ χρώμασι[76] τῇ κόρῃ διαλλαττόμενους. ὦ θεὸς νενικημένος . . . περιπτύσσηται φυτόν.[77] ποῦ σῦ τὸ τόξον Ἄπολλον· ἡ μόνη δάφνη νενι-

[70] num οἰκεῖ ἔτι καὶ νῦν τὸ δένδρον μετὰ τῆς προσηγορίας ἡ δάφνης ψυχή; δάφνη μὲν ἡ κόρη σε πάλαι ἔφυγε. δάφνη δὲ καὶ τὸ φυτὸν φεύγει πάλιν τὴν σὴν κοινωνίαν.

[71] f. ταύτην γὰρ μόνην οἶδεν.

[72] f. σε μὲν γράφειν (vel ἐνγράφειν οἶδα, καὶ ἐξ ὀλύμπυ. m. M. dat ἴσ. ἐγεγράφειν.

[73] f. σε συχνάκις ἔγραφον. σὺ δὲ χαίρυσα. —

[74] δεῖξαι] id est ἐκφῆναι. non prorſus improbo. malim tamen ῥῆξαι.

[75] συνδεδένδρωται] συνδένδρ. M.

[76] f. ὁ θεὸς μηδ' ἐν χρώμασι.

[77] f. ὁ θεὸς πόθῳ νενικημένος φεῦγον περιπτύσσεται φυτόν. m. M. dat: In hac lacunula ex apicibus colligo, deſiderari ἄν. In ſequenti ſuſpicor, leg. μετὰ σῦ κεκρατ.

γενίκηκε μετὰ σ . . . . ατημένου,[78] κεκράτηται καὶ τὰ χρώματα.

ΤΙΝΑΣ ΑΝ ΕΙΠΟΙ ΛΟΓΟΥΣ

δειλὸς θεασάμενος πόλεμον ἐν τῷ οἰκείῳ οἴκῳ γεγραμμένον.

Τις, ὦ θεαὶ, στρατόπεδον ἀπέδειξε τὴν ἐμὴν οἰκίαν; ποῖος ὥπλισεν Ἄρης; ποῖος στρατηγὸς ταύτας ἤγαγε τὰς τάξεις; οὐδὲ συμβαλεῖν[79] μελλούσας. ἀλλ᾽ ὁ πόλεμος ἀκμάζει, καὶ τὰ πολλὰ τῆς μάχης γεγένηται. πρότερον ἔξω θορύβων καταγωγὴν εἶχον τὴν οἰκίαν, καὶ μακρὰν ἐρεχελίαν ὑφέρων τῶν πολιτῶν, διασώζειν ἐμαυτὸν ἐβουλόμην. νῦν δὲ τῆς φυγῆς ἀξίαν ὁρῶ· καὶ προϊδεῖν οὐ δύναμαι τίς[80] ὑπὲρ εἰρήνης ἢ[81] ἐκκλησία· τῶν συνιόντων ἐγενόμην. εἰ πόλεμον ἠπείλησαν οἱ ῥήτορες, ὡς βέλη πολέμων φεύγων τοὺς λόγους, ἔθεον οἴκαδε τὴν μένουσαν ἔνδον τὴν καλὴν οἰκίαν εὑρίσκον. ὡς ζωγράφος δεινὸς τὴν τέχνην ὥπλισε καθ᾽ ἡμῶν, καὶ πόλεμον ἔστησε πολὺν ἐν ὀλίγῳ χωρίῳ· πόλεμον οἷον αἱ πόλεις πολλῶν κατασκευάζουσι χρήματα[82] πάσας μὲν ἔστησε τὰς τάξεις, ὁπλίτας, ἱππέας, τοξότας, σφενδονίτας. καὶ μένει ἥσυχον οὐδέν· ἀλλ᾽ ὁ πόλεμος τῶν ἱππέων πολύς· καὶ

[78] f. νενίκηκε, καὶ μετὰ σοῦ κεκρατημένου —

[79] f. τάξεις, τὰς οὐδέποτε συμβ.

[80] f. καὶ προσιδεῖν οὐ δύναμαι ἔτι. neque possum eam (domum meam) amplius aspicere. ὑπὲρ εἰρήνης ἦν ἐκκλησία. Concio habebatur super pace contrahenda. τῶν συνιόντων ἐγενόμην. cui ego quoque intereram. εἶτα πόλεμον deinde vero (vel, verum enim vero) bellum minitabantur oratores, quorum ego orationes fugiens perinde, atque tela hostium, πολεμίων, non πολέμων, currebam ad domum meam. τὴν μὲν οὖν εἰρηνεύουσαν ἔνδον, τὴν καλὴν — domum itaque hanc pacatam intus, bellam, praeclaram, inueni a perito artis pictore aduersus nos armatam.

[81] ἴσ. ἦν οὐ m. M.

[82] f. ἀπὸ πολλῶν κατασκευάζουσι χρημάτων. m. M. dat. ἴσ. πολλοῖς κ. χρήμασι.

καὶ χεῖρες ἐνεργοῦσι γενναῖα,[83] καὶ βέλη προσομιλοῦσι σώμασι,[84] καὶ μέλλει προσομιλεῖν ἐξ ἀέρος καὶ πᾶν ὄργανον ἐνεργὸν, καὶ τὸν σίδηρον ἠκονημένον ὁρῶ, καὶ πολλὴν ἔχει τὴν λαμπηδόνα. ἀπλοῖς ὅσον Φοίνισσαι[85] τραυματίαι δὲ πολλοί· καὶ θνήσκοντες τὸ εἶδος αἱροῦσι πολλοὺς ἕτεροι,[86] καὶ φεύγων ἕτερος λαμβάνεται· καὶ γενόμενος ἱκέτης, μετὰ τῆς ἱκετείας[87] δέχεται τὴν πληγήν. τούτοις ἀναγκάζομαι συζῆν· μετὰ τούτων ἡμέρας πολλὰς καὶ διαίτας[88] ἄγειν· οὐ γὰρ ἔχουσι κόρον, οὐδὲ τέλος τοῦ ἔργου ἀπηνέστεροι τῶν μαχομένων ἀληθῶς εἰσι· χαλεπώτεροι τῶν ἐν πεδίοις· ἐκείνοις μὲν καὶ νὺξ ἐπῆλθε,[89] καὶ διήλλαξε, καὶ δείπνου καιρός· καὶ πεσόντων ἀναίρεσις· τούτους δὲ θεῶν ἢ ἀνθρώπων οὐδεὶς ἀποστήσει τῶν πολεμίων.[90] Ἡράκλεις![91] τοῖς μὲν ἀναμένουσιν ὡς ἐτάχθησαν, οὐκ εἰδόσιν οὐδὲ μικρὸν εἴκειν ἀνάγκη. φεύγειν ἐντεῦθεν καλόν· ἐξίσταμαι τοῦ κτήματος· ἐχέτω τὴν οἰκίαν·[92] καλείσθω τῆς μάχης ὁ στρατιώτης· μόνος ὑμᾶς ζωγράφος θεωρείτω.

83 f. γενναῖαι, vt ad χεῖρες redeat.

84 f. προσομιλεῖ τε σώμασι alia tela iam feriunt corpora, alia ex auris inferuntur adhuc in corpora ſtatim ferienda.

85 f. ἀπλοΐδες, ὅσαι, Φοίνισσαι. quotquot ſunt (h. e. hac in tabula picta conſpiciuntur) ſaga, ſunt omnia cruore rutila.

86 f. αἴρουσι πολλοὺς οἱ ἑταῖροι. multos ſui ſodales tollunt humo, ſiue vt mortuos ad ſepulturam, ſiue vt grauiter ſauciatos ad tabernacula, qui medicis curandi tradantur. vulgatam ſi tenebimus, idem paene dicet αἰροῦσι πολλοὺς ἕτεροι. atque καὶ φεύγων ἕτερος λαμβάνεται.

87 μετὰ τὴν ἱκετείαν. in accuſat. ſing.

88 διαίτας] num νύκτας διάγειν dieſque noctesque peragere.

89 ἐκείνοις μὲν γὰρ καὶ νὺξ ἐπελθοῦσα διήλλαξε.

90 τῶν πολεμίων] ſcil. ἔργων. malim tamen τοῦ πολεμεῖν

91 f. Ἡράκλεις, τῆς ἀνδρείας! o Hercule, proh fortitudinem illam! μένουσιν manent in ordinibus, quos quique ſortiti ſunt, οὐκ εἰδότες (in nominativo plur.) neſcii cedere, ne minimum quidem, neceſſitati.

92 ἐχέτω τὴν οἰκίαν] ecquis autem? locum hunc cum inſequentibus non intelligo.

ΤΙΝΑΣ ΑΝ ΕΙΠΟΙ ΛΟΓΟΥΣ

ὁ Μενέλαος μαθὼν περὶ τῆς τοῦ Ἀγαμέμνονος τελευτῆς.

ΦΕΥ τῆς μαντείας τῆς δυστυχοῦς! οἷα ἔσπευδον ἀκοῦσαι καὶ μαθεῖν! ἃ κέρδος ἦν ἔμοιγε μέχρι παντὸς ἀγνοεῖν· οἴχεται Ἀγαμέμνων· καὶ τέθνηκεν ὁ πάντων ἐμοὶ φίλτατος, οὐκ ἐν καλῷ τὴν πληγὴν δεξάμενος· ἀλλ' ἀφ' ὧν ἥκιστα ἐχρῆν· καὶ μείζω τὰ τῆς αἰσχύνης ἐπὶ τῷ πάθει τῆς ἀπηντηκυίας συμφορᾶς· ὁ τῆς Ἑλλάδος ἁπάσης ἡγούμενος· ὁ τοῦ μεγάλου πολέμου στρατηγός. ὁ τοῖς Ἡρακλέους ἁμιλληθεὶς κατορθώμασι· καὶ τὸ μέγα κατὰ τῆς Ἀσίας ἐγείρας τρόπαιον· οἴκοι γενόμενος ἔχει τὴν καιρίαν, καὶ τέθνηκε· καὶ τῆς τοῦ πολέμου τύχης κρείττων φανεὶς, καὶ οὐδὲν ἀνήκεστον παθὼν ἐν τοῖς ὅπλοις· ἐν εἰρήνῃ καὶ ἐπὶ τῆς τοιαύτης ἑστίας, καὶ οἴκοι γενόμενος διέφθαρται· ὦ δυστυχὴς ἐγὼ τῶν παρόντων! εἰς οἵαν ἀφῖκταί μοι τὰ πράγματα μεταβολήν! πρότερον μὲν λαμπρὸς ἦν, καὶ πᾶσιν ἐπίσημος τῇ δόξῃ, οἷα πρὸς Ἀγαμέμνονος σκῆπτρα ἔχων,[93] καὶ τῆς Ἑλλάδος ἁπάσης ἡγούμενος. καὶ τὸ Πελόπειον γένος ἐμὸν ἦν· καὶ δι' ἡμῶν ἔσχε τῆς δόξης τὴν ἐπίδοσιν· νῦν δὲ ὁ μὲν οἴχεται· οὐδ' ἐπὶ παρατάξεως πεσὼν, οὐδ' ἐν καλῷ δεξάμενος τὴν πληγήν· ἀλλὰ γυναικείας ἐπιβουλῆς γενόμενος πάρεργον· ἐμὲ δὲ δαίμων τὶς ἀπάγει τῆς Ἑλλάδος, καὶ πόῤῥω κατέχει τῆς οἰκίας·[94] καὶ τῶν ἐπικουρησόντων[95] Ἀγαμέμνων ἔρημος·[96] οὐ γὰρ ἤρκει τὸ πρότερον ἐκείνῳ, πόλεμος μακρὸς[97] καὶ συνεχὴς πρὸς τοὺς ἀπὸ τῆς Ἀσίας πάντας, καὶ τὰ τῶν κινδύνων συνεχῆ, πολλαῖς περιόδοις ἐνιαυτῶν μετρούμενα· ἀλλ' ὅτι[98] μετὰ τὴν νίκην τὰ τῆς εἰρή-

[93] sententia postulat οἷα δεύτερα μετ' Ἀγαμέμνονα τὰ σκῆπτρα ἔχων. aut κοινὰ μετ' Ἀγαμέμνονος σκῆπτρα ἔ.

[94] τῆς οἰκείας a patria.

[95] ἐπικουρησόντων] ἐπικουρησάντων M.

[96] ἔρημος] scil. ἦν, vel ἔπεσεν vel tale quid subauditur.

[97] οὐ γὰρ ἤρκει ὁ πρότερος ἐκείνῳ (scil. τῷ ἡμετέρῳ κακῷ δαίμονι) πόλεμος, ὁ μακρὸς —

[98] ὅτι] imo vero ὅτε quum.

εἰρήνης[99] ἀπέκειτο, καὶ ἐν ῥᾳστώνῃ τὸν βίον διάγειν ἐξῆν, εἰς τὴν ἐναντίαν ἀφίγμεθα μεταβολήν. ὁ μὲν κεῖται πεσών· ἐγὼ δὲ πολλῇ θαλάττῃ κατεχόμενος, καὶ μακρὰν ἀνύων πλάνην, οὔπω δεδύνημαι τῆς οἰκίας[100] ἐπιβῆναι· οὐδ᾽ ἀποδοῦναι τὸν ἴσον Ἀγαμέμνονι ἔρανον. ἀλλ᾽ ἐκεῖνος μὲν ὑπὲρ ἐμοῦ δεινότατα ὑπέστη, τοσούτοις κινδύνοις παραβαλλόμενος, καὶ προκινδυνεύων τοῦ παντὸς Ἑλληνικοῦ· ἐγὼ δὲ οὐχ οἷός τε ἐγενόμην ἐπαμῦναι κειμένῳ· ἀλλ᾽ ἡ φήμη καταλαβοῦσα διὰ τῆς μαντείας μοι τὴν συμφορὰν ἀπήγγειλεν· ὡς μηδὲν ἔχειν πλέον ἢ στένειν ἐπὶ τοῖς ἀπηντηκόσιν. ἦ που νῦν Αἴγισθος μέγα φρονεῖ· καὶ τὰ σκῆπτρα Ἀγαμέμνονος ὑποδεξάμενος, ἔχει πολλοὺς τοὺς ὑπακούοντας. ἐγὼ δὲ οὐ δύναμαι δίκην παρ᾽ ἐκείνου λαβεῖν· τί γάρ με δεῖ περιεῖναι καὶ μέγα φρονεῖν; τίς ἡδονὴ τοῦ μετὰ ταῦτα βίου, εἰ μὴ δίκην ὑπὲρ ἐκείνου λήψομαι;

ΤΙΝΑΣ ΑΝ ΕΙΠΟΙ ΛΟΓΟΥΣ

Ἀχιλλεὺς ἐπὶ Πατρόκλῳ.

ΟΙΜΟΙ τῆς παρούσης συμφορᾶς! πέπτωκας Πάτροκλε! ἐφ᾽ ἑτέραις μὲν ἐπέμπου ταῖς ἐλπίσιν· ἑτέρας δὲ τῆς τύχης ἐπειράθης· ἐγὼ μὲν ἤλπιζόν σε νενικηκότα δέχεσθαι· νυνὶ δὲ τετελευτηκότα θρηνῶ· ἐπὶ κακῷ τότε τοῖς Ἕλλησιν ἐβοήθησας· οὐκέτι γὰρ ὄψομαί σε τὸν φιλέταιρον, τὸν πάντων μοι τῶν ἑταίρων τιμιώτερον. εἴθε μοι κατὰ σκηνὴν ἔμενες, καὶ τούτων ἂν ἦμεν ἡμεῖς ἀπηλλαγμένοι τῶν θρήνων. ταῦτα ἐφοβούμην· ταῦτ᾽ ἐκβέβηκε. ἀλλὰ γὰρ ἀναμιμνήσκομαι τῶν προτέρων ἀγαθῶν, τῶν τότε, ὅτε κατεφρόνεις[1] Ἀγαμέμνονος· ἐμὲ δὲ ἠγάπας· ὅτε ἀντὶ τοῦ τὸν σὸν γηροβοσκεῖν πατέρα, τὴν μετ᾽ ἐμοῦ πορείαν εἵλου· καὶ οὔτε μήτηρ, οὔτε ἄλλος οὐδεὶς ἔπειθέ σε μένειν. τὰ δὲ ἐπὶ τούτοις οὐκ ἐλάττω·

σὺ

[99] τὰ τῆς εἰρήνης] scil. ἀγαθὰ ἡμῖν ἀπολαῦσαι ἀπέκειτο.

[1] κατεφρόνεις] κατεφόνεις M.

σὺ γὰρ ἦσθα ὁ φιλῶν μὲν οὓς ἠγάπων, μισῶν δὲ οἷς ἀπηχθόμην· χαίρων δὲ τοῖς ἐμοῖς ἤθεσι μᾶλλον ἢ τοῖς ἑτέρων· εὐνοῶν, συμβουλευόμενος· τιμὴν ἀπονέμων τὴν ἀξίαν· συνοργιζόμενος· ὦ τὴν ἐμὴν ἐπισχοῦσα πανοπλίαν, ὅτε πολεμεῖν ἐβουλήθης ὅτε τοὺς Ἕλληνας καὶ πάσας τὰς ναῦς τοῦ πυρὸς ἀπήλλαξας. καὶ ταῦτα μέν[2] οὕτως· τὰ δ' ἐντεῦθεν δάκρυα, θρῆνοι, ὀδυρμοί. τίς μοι τὴν σὴν πληρώσει τάξιν; ποίοις ἂν ὀφθαλμοῖς ἴδοιμι τὸν σὸν πατέρα, ὅταν ἐς ᾅδου κείμενόν[3] σε καταλελοιπὼς ἀπέλθω; ἀλλ' ἐπειδὴ τοῦτό γε παθεῖν ἐχρῆν ὡς οὐκ ὤφελεν· οὐδὲ τελευτήσαντα ἀπολείψομαι, ἀλλ' ἀμυνῶ[4] σοι κατὰ τὸ δυνατόν· ἐπειδὴ δὲ τὸν βίον κἀμὲ καταλῦσαι δέοι, σὺν σοὶ κείσομαι. οὐ γάρ μοι θέμις, μεθ' οὗ ζῶν διετέλουν· τούτου τελευτήσαντος ἐχθροὶ γενέσθαι. Εἶεν· ἐχέτω μὲν ἡμῖν ταῦτα ὡς ἔχει. ἐγὼ δὲ λοιπὸν ἐπὶ τὴν μάχην καὶ τὸν Ἕκτορα τρέψομαι. καὶ οὐ πρότερον ἀνήσω, πρὶν ἂν τοῦ σοῦ γεγονότος φονέως λαβόμενος, καὶ τοῦτον ἀνελὼν περὶ τὸ σὸν ἑλκύσω μνῆμα· οὐκ ὀλίγην ἐμαυτῷ τοῦ παρόντος ἐπὶ σοὶ πάθους, διὰ τῆς Ἕκτορος ἀναιρέσεως παραμυθίαν διδούς· ἀλλὰ τί ταῦτα λέγω; γυμνὸς ὅπλων ἄνθρωπος, τῷ πάντων μοι τῶν ἑταίρων τιμιωτάτῳ, τὴν ἐμὴν διὰ τῶν ὅπλων ἀσφάλειαν συναπολωλεκώς, ἐφ' ᾗ νῦν ὁ πάντων ἔχθιστος φαιδρύνεται. πόθεν οὖν ὅπλων εὐπορήσομεν; οὔπω γὰρ[5] Αἴαντα ἀφοπλίζειν καλόν· τά τε τῶν ἄλλων[6] οὐχ ἁρμόδια. ἀλλ' εὗρον δι' ὧν εὐπορήσομεν ὅπλων. ἐπὶ τὴν μητέρα πορεύσομαι· αὕτη πρὸς τὸν Ἥφαιστον ἀφίξεται· ἐκεῖθεν μοι τὴν πρέπουσαν πανοπλίαν κομίζει,[7] ᾗ χρησάμενος τιμωρήσω τῷ πεπτω-

[2] f. καὶ ταῦτα μὲν οὐ μεμπτά, vel tale quid.

[3] f. εἰκῇ κείμενον aut ἄταφον (vel ἀτιμώρητον) κείμενον.

[4] ἀμυνῶ] ἀμμυνῶ M.

[5] οὔτε γὰρ — respondet illud τε alteri mox insequenti τά τε τῶν ἄλλων.

[6] τά τε τῶν ἄλλων] scil. ὅπλα. οὐχ ἁρμόδια] id est ἁρμόζοντα ἐμοί.

[7] f. κομίσει (in futuro) aut κομιεῖ. apportabit, mater mea puta.

πεπτωκότι φίλῳ· καὶ δίκην λήψομαι παρὰ τοῦ ταύτης τῆς συμφορᾶς αἰτίου.

ΤΙΝΑΣ ΑΝ ΕΙΠΟΙ ΛΟΓΟΥΣ

Ἀχιλλεὺς ἐρῶν μετὰ τὴν ἀναίρεσιν Πενθεσιλείας.

ΑΠΙΣΤΟΝ καὶ μετὰ τὸ πάθος τὸ διήγημα· μετὰ τροπαίου δακρύω· μετὰ νίκην[8] ὀδύρομαι· ἑαλων κατορθώσας τὸν πόλεμον· καὶ τῆς πολεμίας κρατῶν, ἐγενόμην αἰχμάλωτος. αἰνίγματα[9] γὰρ τὰ καθ' ἡμᾶς παραπλήσια. ὦ πόλεμος τῷ νικήσαντι χαλεπός· μετέστησας[10] ἡμῖν τὴν προσδοκίαν ἐπὶ θάτερον· ἐγέλων ἐπὶ τῆς παρατάξεως. παιδιὰν τὴν μάχην οἰόμενος· καὶ γυναικῶν εἶναι τὸν πόλεμον ὑπολαμβάνων, ἀρκέσειν ἐνόμιζον τὴν θέαν πρὸς κατόρθωμα· ἀλλ' ὡς ἔοικε δυσκατάγωνιστος ἦν ὁ πόλεμος· καὶ ἀσθενεῖς μὲν Ἀμαζόνες ἐδόκουν φαινόμεναι. δύσμαχοι δὲ τοῖς ἔργοις ἐφάνησαν, ὑπερβαίνουσαι τῷ τολμήματι τὴν φύσιν, νικῶσαι καὶ πίπτουσαι[11] καὶ χεῖρα βεβλημέναι[12] τὸν ἀριστεύσαντα. κατ' ἐκείνης πέμπων τὴν βολὴν ἐξετόξευον· οὐκ ᾔδειν δὲ ὡς κατ' Ἄρεος ὁρμῶν Ἀφροδίτην εὑρήσω. ὦ πᾶσιν ἔρως πολεμιώτατος, εἶχες Ἀχιλλέα δι' ἀψύχου σώματος. ἐκάλυπτεν ἡ σκηνὴ τὴν εὐπρέπειαν· καὶ τὸ κάλλος ἀγνοῶν, διαφθεῖραι τὴν πολεμίαν ἐσπούδαζον· ἀλλ' εἰ ἡ γυμνὴ[13] καθ' ἡμῶν παρετάξω, εἶχες ἂν πρὸ τῆς βολῆς ἡττώμενον τὸν πολέμιον. πῶς διαγράψω τὸ φαινόμενον; ἀδυνατεῖ γὰρ καὶ λόγος καὶ τέχνη τὴν εἰκόνα τῆς κόρης τεχνάσασθαι. ἀκόρεστος[14] ἡ θέα γοητεύουσα τὸν ἐρῶντα

πρὸς

[8] νίκην] νίκης M.

[9] recte coniecit Morellus αἰνίγματι.

[10] μετέστησας] μεθέστησας M.

[11] festinatio typothetarum hic voculam πίπτουσαι strangulauit; de quo Morellus in annotatione ad h. l. admonuit.

[12] f. καὶ χειρώμεναι βεβλημέναι. quae quamuis prostratae sint, tamen ipsa mina sua victorem suum vincunt.

[13] εἰ γυμνὴ sine articulo.

[14] ἀκόρεστος] insatiabilis. ἀκόρευτος M. et in M. ἴσ. ἀκόρητος.

πρὸς πόθον· οἵας ἡμᾶς ἀπεξέρησεν ἡ δεξιά. ὡς πολέμιος[15] τὴν παροῦσαν ἀριστείαν νενίκηκα· ἀλλὰ παραμυθήσομαι τοῖς δευτέροις τὴν συμφοράν· ἀπολογήσομαί σοι κειμένῃ, πληρῶν τὰ τῆς ὁσίας ἐπιφανέστερα[16] ἀνεῖλον ὡς πολεμίαν· ὡς οἰκείαν κοσμήσω τῷ τάφῳ· ἀναθήσω σοι τὸ ξίφος· τὰ τῆς συγγνωμοσύνης, ἐν τούτῳ πιστούμενος.

ΤΟ ΑΥΤΟ.[17]

Εἴγε ταῦτα,[18] μετὰ τὴν νίκην δεδουλώμεθα, μετὰ τροπαίου[19] πεπτώκαμεν. οἷα τῶν κειμένων τὰ σκῦλα· οὕτω λαφυραγωγοῦνται νεκροί. πόθος ἡμῖν μετὰ νίκην μάχεται. καὶ καταπολεμεῖ θεὸς ἐν ἀψύχῳ σώματι. ἠγνόουν τοιούτους πολεμίους ἔχων· ἰσχυρότερα μετὰ τὴν τελευτὴν τὰ σώματα· ἃ γὰρ ζῶντα οὐκ ἐδέασαν, μετὰ θάνατον δεδύνηνται. μέμφομαι τὴν νίκην. οὐ φέρω τὸ κατόρθωμα· ἐγκαλῶ τῷ πολέμῳ, ὅτι μοι τοιαύτην νίκην ἐβράβευσεν, ἐξ ἧς ὤφθην αἰχμάλωτος. μὴ γὰρ πόλεμον ἐπολέμησα; κατ' ἐμαυτοῦ τὴν συμφορὰν ἤγειρα. μὴ γὰρ νίκην ἠτύχησα; δούλην μελέτην[20] ἠγωνιζόμην· εἴθε μήποτε τοιαύτην μάχην ἐτόλμησα. Ὦ πόλεμε μετὰ τὴν νίκην ἀπάνθρωπε, τοιούτους ἡμῖν νεκροὺς δεδώρησαι, τοὺς μετὰ θάνατον βλάπτοντας. ἐγὼ καὶ τῇ μελίᾳ μέμφομαι· καὶ μισῶ ξίφος ἐν ᾧ νενίκηκα, ὅτι μή[21] κατὰ πάντων ἀφειδῶς ὥρμησαν. τί γὰρ ὁ dei-

[15] ὡς πολέμιος] cohaeret hic nominatiuus cum νενίκηκα. M. dat πολεμίοις, et in m. πολεμίαις.

[16] ἐπιφανέστατα, in superlatiuo.

[17] f. leg. εἰς τὸ αὐτὸ, scil. θέμα, vel σκέμμα. in idem argumentum.

[18] l. εὖ γε ταῦτα! scil. γέγονε, vel ἐξέβη. das geht gut.

[19] l. μετὰ τρόπαιον.

[20] δούλην μελέτην] corrupta haec sanare non possum.

[21] μή, malim μοι. aut redvndat hoc μοι, aut si qua ei vis inest, haec inest: quod serius, quam velim, facuivnt aduersus omnes sine discrimine.

δείλαιος ἐμαινόμην ἀνήμερα. οὐκ ἦσαν καὶ νίκης ἕτεροι τρόποι; πόσα πολεμίων αἰχμάλωτα σώματα; εἴ μοι περιῆς, ὦ φιλτάτη, ἀπὸ τῆς μάχης ἂν ἐπὶ τὸν θάλαμον[22] ἀπὸ τῆς τάξεως εἰς ὑμέναιον· γάμος ἐμοῦ[23] καὶ πόλεμος· εὐωχία καὶ λύθρος. ὑμέναιοι καὶ σφαγαί· εἶδεν ἄν τις ἐκ παρατάξεως νυμφίον στεφάνῳ κοσμούμενον οὐχ οἷον εἶδεν[24] ἀλλ' οἷον Ἀφροδίτη ἐν παστᾶσιν. εὐδαίμων ἦν ὁ Πηλεὺς, θαλαττίᾳ συνοικῶν δαίμονι· καὶ θαυμαζόμενος ἐπὶ τῷ γάμῳ· τοῦτον ἂν, εἴ μοι περιῆς, ἐπεκαλέσαμεν.[25]

ΤΙΝΑΣ ΑΝ ΕΙΠΟΙ ΛΟΓΟΥΣ
Ὀδυσσεὺς ἐν τῷ Κύκλωπος σπηλαίῳ καταληφθείς.

ΦΕΥ τῆς ἀτόπου θέας, καὶ τῆς ἄγαν κινδύνων ὑπερβολῆς! ἐπιλέλοιπέ μου τὰ τῶν λογισμῶν, καὶ ὅ, τι χρήσομαι πρὸς τὸ παρὸν, οὐκ ἔχω· πῶς ἂν δυνηθείην τὸν κίνδυνον ἐκφυγεῖν· ἄμαχος τὴν γνώμην καὶ θηριώδης τὸ ἦθος, καὶ τῆς τῶν γιγάντων φύσεως ἀτοπώτερος· καὶ τοσοῦτος τὴν ῥώμην, καὶ τηλικοῦτος τὸ μέγεθος· ὡς μόνοις ἂν τοῖς Διὸς σκηπτοῖς κατενεχθῆναι. ἀποτετείχισταί μοι τὰ τῆς ἐξόδου καὶ τὰ τῆς αὐλῆς ἀποκέκλεισται· μηχανὴν δὲ εὑρεῖν ἢ λύσιν τῶν δεινῶν ἀμήχανον· προκείμεθα γὰρ τῷ θηρίῳ πρὸς βοράν· μικρὸν αὐτοῦ[26] κατὰ δυάδας λαβεῖν καὶ διαχρήσασθαι. οἱ μὲν ἤδη τεθνήκασιν, ὧν τὰ λείψανα οὐκ εὐτυχῆ πρόκειται· οἱ δὲ ἔχουσι τὸν φόβον. ἅπαντες δὲ κατεπτήχασι· πρὸς δὲ ἡμᾶς ὁρῶσι, καὶ τὴν ἡμετέραν τέχνην καὶ σύνεσιν· πολλοῖς ὡμίλησα κακοῖς· προσεγυμνάσθην πολέμοις· ἀλλ' ἐκεῖνα μὲν καὶ ἀνθρώπινα καὶ εἰωθότα· καὶ τὰ μὲν ὅπλοις ἦν βια-

[22] ἐπὶ τὸν θάλαμον] scil. ἦεις aut ἦγε.
[23] γάμος ἐμοῦ] scil. ἦν ἄν.
[24] ἴσ. Ἑλένη m. M.
[25] f. ἀνεκαλέσαμεν revocassemus, idest ἀνεπευάσαμεν, rehovassemus.
[26] probo Morelli coniecturam αὐτῷ. sed et ἡμᾶς addi velim pone δυάδας.

βιάσασθαι· τὰ δὲ τοῖς λογισμοῖς ἐκφυγεῖν. μέγας δ᾽ ὁ τῶν Ἰλιέων πόλεμος· ἀλλὰ πολλοὺς εἶχεν[27] τοὺς συνισταμένους· καὶ τῆς νίκης μὲν ἦν ἐπεξιέναι· τὴν ἧτταν δὲ παραμυθεῖσθαι τῇ φυγῇ· πολλοὺς μὲν ἐκ τοῦ φανεροῦ πολέμους[28] ἐπεδειξάμην τοῖς πολεμίοις· ἤδη δὲ καὶ νυκτὸς ἐπέστην τῷ Τρωϊκῷ,[29] Δόλωνα ἀνεῖλον· τὸν Ῥῆσον διεχειρισάμην·[30] τοῖς πολλοῖς Θρᾳξὶν ἐπέστησα τὴν συμφοράν· εἰς μέσους ἐγενόμην τοὺς πολεμίους· σχῆμα ὑποκρινόμενος ἕτερον· καὶ τὸ φυλακτήριον τῆς Τροίας ἐξειλόμην, καὶ τοῖς Ἕλλησι παρέδωκα τῆς νίκης τὸ ἐνέχυρον ἔχειν· τὴν Σώκου πληγὴν ἤνεγκα γενναίως· τοῦ τελευταίου λόγου[31] καὶ αὐτὸς ἡγεμὼν ἐγενόμην· τὴν Τροίαν κατήνεγκα. ἀλλὰ νῦν ἄπορά μοι τὰ τῶν λογισμῶν εἰς σωτηρίαν. Κίκονας ἀνεῖλον· ἦν γὰρ πρὸς ἴσους ὁ πόλεμος. κρείττων ἐγενόμην τῆς Λωτοφάγων ἡδονῆς· ἦν γὰρ παρ᾽ ἐμοὶ τὸ φυλάξασθαι. τῶν Λαιστρυγόνων ὠμότητας[32] διέφυγον· καιρὸν γὰρ εἶχον τῆς φυγῆς. ἀλλὰ νῦν ὥσπερ ἐν δεσμωτηρίῳ καθεῖργμαι· ὃ μήτε διαρρῆξαι ῥάδιον, μηδὲ παρακινῆσαι τὴν ἐν θύραις ἐμβολὴν τοῦ λίθου. ἐστρατήγηται μὲν γὰρ τὰ πρῶτά μοι καλῶς· οἴνῳ κατεπόντισα τὸ θηρίον, καὶ πρόκειται εἴγε βουλοίμην διαχρήσασθαι· ἀλλ᾽ εἰ τελευτήσειεν, ἡμῖν ἀπόκειται λιμῷ διαφθαρῆναι, οὐκ οὔσης ἐξόδου, οὐδὲ δυνάμεως τοσαύτης· ἥτις ἀρκέσει πρὸς ἔκβασιν ἐλευθερῶσαι τῆς ἐπικειμένης πέτρας· μόνης γὰρ τῆς Κύκλωπος χειρὸς καὶ τῆς ἐκείνου δυνάμεως καὶ ἐπιθεῖναι ἀφελέσθαι. οὐκοῦν περιεῖναι δεῖ[33] εἴγε μέλλοιμι τὰς ἐξόδους ἔχειν· περιόντος δὲ οὐκ ἔστι σώζεσθαι. μέσον

δὲ

[27] num εἴχομεν? multos habebamus adiutores. καὶ τῇ νίκῃ in datiuo. vincentibus nobis licebat victoriam persequi.

[28] πολέμους] num ἀγῶνας?

[29] post τρωϊκῷ deesse videtur στρατῷ vel στρατοπέδῳ.

[30] f. διαχρησάμην.

[31] λόγου] imo vero λόχου.

[32] f. ὠμότητα in singulari. Saltim vsitatius is est, quam pluralis.

[33] f. περιεῖναι ἐᾶν δεῖ. Sed multa huius loci foedissime corrupta sunt, et desperata, quae praeteribimus.

δι' τούτων ἀμφότερον εὑρεῖν τε ὃν καταλείψομεν· ἢ μὴ δι' ἐκείνων τῶν πυλῶν ἀφαίρεσιν ἔξω δὲ καταξᾶσι, μηδὲ δυνηθῆναι ἐκείνου λαβεῖν. συνῆκα τὸ πρακτέον ὀψὲ μὲν, ἀλλ' ὅμως συνῆκα. πήρωσιν δεῖ καταψηφίσασθαι καὶ τὸν ἕνα τὸν ὀφθαλμὸν ἐκτυφλοῦν. οὕτω γὰρ δυνήσεται ὡς δυνηθῆναι[34] τὸν λίθον ἐξελεῖν, ἢ[35] ἀδεὴς ἡμῖν ἔσται, οὐκ ἔχων ὅτι χρήσαιτο ἑαυτῷ. ταῦτα δεδόχθω· ταῦτα τολμῶμεν. στέλεχος ἐλαίας τουτὶ πρόκειται. πυρῶσαι δεῖ, καὶ ἀποκαθάραντος[36] εἰς ὀξὺ ὥσπερ αἰχμῇ κατὰ τοῦ ὀφθαλμοῦ χρήσασθαι· καὶ τὸ μὲν ξύλον οὗτοι μετεωρίσουσιν· ἐγὼ δὲ εἰς τὸν ὀφθαλμὸν ἁρμόσας[37] πηρὸν ἀποδεῖξαι πειράσομαι. εὖγε τῆς ἐπινοίας· εὖγε τοῦ τολμήματος· γένοιτο δὲ εἰς καλὸν ἐκβῆναι τῇ τύχῃ.

ΤΙΝΑΣ ΑΝ ΕΙΠΟΙ ΛΟΓΟΥΣ

Ὀδυσσεὺς πρὸς τὸν Κύκλωπα, ὁρῶν τοὺς ἑταίρους ἐσθίοντα.

ΠΟΛΛΩΝ μὲν δὴ καὶ ἄλλων πεπείραμαι κακῶν. καὶ πάλαι μὲν ὅτε βαρβάρους πρῶτον κατεπολέμησα· καὶ νῦν ὅτε καλῶς[38] τὴν θάλατταν ἔπλευσα· ὅτε στρατιώτης οὐκ εὐτυχὴς,[39] καὶ ναύτης δυστυχής. ἔδει γάρ με καὶ πρὸς Κυκλώπων ἄντρα ἐλθεῖν, καὶ τὴν ἀσεβῆ σοῦ Πολύφημε τράπεζαν ἰδεῖν, ἣν παρέθηκας σαυτῷ, πρῶτος καὶ μόνος πληρώσας αὐτὴν παιδαισίας κακῶν. Ἐνέτυχον μὲν πρὸ σου ἀνδράσι λῃστρικοῖς, καὶ βαρβάροις ἀνδρείοις.[40] οὐκ οἶδα[41] δὲ ἄνομον τράπεζαν τεθειμένην,

πλὴν

[34] Verba ὡς δυνηθῆναι delenda videntur.

[35] ἢ] malim *καὶ et carebit nobis formidine.* nil erit quod ab eo timeamus.

[36] ἀποκαθάραντας (in accusatiuo plur.) id est ἀποξύσαντας. postquam eum delibrauerimus, purgauerimus, dedolauerimus.

[37] f. ἐναρμόσας.

[38] videtur Morellus bene coniecisse in margine κακῶς.

[39] f. οὔτε στρατιώτης ὢν εὐτυχής

[40] ἀνδρείως m. M.

[41] f. οὐκ εἶδον non vidi.

πλὴν ταύτην, [42] ἧς γέγονας ἡγεμὼν, πληρώσας αὐτὴν τοσούτων νεκρῶν ὁλοκλήρων. εἴθε μὲν οὖν πρῶτον ἔργον ἐγινόμην ἢ τελευταῖος [43] γενήσεσθαι· οἶδα γὰρ ὡς παραθήσεις με τελευταίας [44] τροφῆς ἀπάνθρωπον λείψανον. εἴθε μὲν οὖν Κικόνων ἔργον ἐγενόμην, καὶ μὴ τὸν πρὸς ἐκείνους πόλεμον ἐνενικήκειν· ἄμεινον ἡττημένος, ἢ νίκην νενικηκὼς λοιδορουμένην. ἐγὼ δ' ἡδέως Λαιστρυγόνων ἠνεχόμην, ἵν' ἔχουσι τάφους οἱ νεκροί· οὐ γὰρ μικρὸν παραμύθιον ἀνθρώπῳ ἀποθνήσκοντι, στήλη καὶ τάφος. ὁλόκληρον κατέχει τὸν ἄνθρωπον ἡ στήλη. νῦν ἐξεύρηταί τις ἐν ἀνθρώποις, τοσούτων σωμάτων γαστὴρ αὕτη, τὴν ἄσπαρτον μιμουμένη. καὶ θυμὸς ἀπαραίτητος, δαπάνην ὅλης εἰρεσίας ναυτικῆς. ὁ γάρ σοι, Πολύφημος, λογισμὸς ὄκνον οὐκ ἔχει· οὐδ' ἐβουλεύσω ποτὲ ἀνθρώπινον· ἀλλ' ἔλεον μὲν ἐξῴκισας σεαυτοῦ· δίκῃ δὲ λοιδορῇ πάντοτε. χαίροις δὲ τροφαῖς ἀκόσμοις· μετὰ μικρὸν ὅλον ὁρῶ βίον δαπανώμενον· τίς ἡ τοσαύτη φθορὰ τῶν σωμάτων; τίς πολλὴ νόσος κατέχει ψυχὰς ἀνθρωπίνας; νενίκηκας τὴν ἐξ Αἰθιοπίας καταβαίνουσαν λοιμώδη νόσον. ὦ πόλεμοι παλαιοὶ, καὶ τάξεις ἀρχαῖαι, καὶ μάχαι συνεχεῖς.

ΤΙΝΑΣ ΑΝ ΕΙΠΟΙ ΛΟΓΟΥΣ

Ὀδυσσεὺς τοὺς μνηστῆρας ἀνελών.

Ἓν ἀγώνισμα καταλείπεται [45] τοῦτο ἔχοι τέλος εὐτυχές· καὶ κεῖται τὸ τῶν μνηστήρων πλήρωμα. οἴχονται πάντες οἱ τοῖς ἐμοῖς ἀναιδῶς χρώμενοι· καὶ τῆς ὕβρεως μὲν ἐλευθέρα ἡ γυνή· ἐλεύθερος δὲ τῆς ἐπιβουλῆς ὁ παῖς·

ἐμοὶ

42 πλὴν ταύτης (in genitivo.)

43 Lg. ἐγενόμην ὁ μέλλων τελευταῖον (in neutro) γενήσεσθαι.

44 rursus τελευταῖον in neutro; sed locus paulo post insequens est iterum misere mendosus, et vix videntur haec tam corruptae tres ethopoeiae Libanii esse.

45 F. κατελείπετο.

ἐμοὶ δὲ περίεστι τῶν οἴκοι κρατεῖν. πολλοῖς μὲν ἐνήθλησα κινδύνοις κακοῖς, οὐδὲν δὲ παρέσχε μοι τῆς ἀγωνίας τὴν ὑπερβολήν, ὡς ἡ ὑπὸ μνηστήρων ὕβρις τῆς γυναικός. παρανόμημα ἀνδρὸς βαρβάρου τὸ κινῆσαν τὸν πόλεμον, καὶ τὴν Ἑλλάδα ἐξοπλίσαν κατὰ τοῦ βαρβάρου. ἐγὼ τὸν στόλον ἐκεῖνον συνεκρότησα, καὶ φευκταίους[46] τοὺς Ἕλληνας ἐπέσχον. ἐγὼ καὶ τὸν Ἀχιλλέα ὥπλισα, καὶ παρέδωκα σύμμαχον τοῖς Ἕλλησι. τὰ δὲ ἐπὶ τῆς Τροίας Σῶκον οὐ λέγω, καὶ τὸν ἐκείνου ἀδελφόν, καὶ τὸ πολὺ τῆς Λυκίας ἔθνος ὅσους αὐτὸς διεχρησάμην. ἀλλὰ καὶ Δόλωνα εἷλον, καὶ τοῖς Θρᾳξὶν ἐπέστην· καὶ τὸ σύνθημα ἔδωκα τῷ Φειου τῷ Διομήδει. ἐγὼ τὸ μέγα φυλακτήριον τῆς Τροίας ἐξήγαγον· καὶ παρέδωκα τῆς νίκης τὴν ἀφορμήν. ἐγὼ καὶ τὸν Τελαμῶνος παρευδοκίμησα παρὰ τοῖς ὅπλοις κρινάμενος, καὶ τὸν τελευταῖον λόχον συνεκρότησα τὸν Ἑλληνικόν. καὶ τὸ τοῦ Δουρείου τόλμημα ἐμὸν ἔργον ἐγένετο. τὰ δὲ ἐπὶ τῆς πλάνης πολλὰ καὶ μυρία. Κίκονας εἷλον· Λαιστρυγόνων ἐξέφυγον τὴν ὠμότητα· Κύκλωπα ἠμυνάμην· τῶν Καλυψοῦς ὑπερεῖδον ἐρώτων· τοῦ Κίρκης κυκεῶνος κρείττων ἐγενόμην. τὰ δὲ ἐπὶ τῇ θαλάττῃ, δεινὰ τὰ πολλὰ καὶ μύρια ἐνήθλησα· τὴν Σκύλλην ὑπομείνας, τὴν Χάρυβδιν, καὶ μέσος ἑκατέρων ἐλθών, τὰς Σειρῆνας παρέπλευσα, φωνῆς[47] οὔτε ἀνήκοος μείνας, καὶ τὰ τῶν ἀκουσάντων μὴ παθών. Λωτοφάγους δὲ οὐ λέγω, οὐδὲ ὅσα μοὶ περὶ τὴν Αἰολίαν πέπρακται· ἀλλ' ἐγὼ τὴν εἰς ᾅδου πορείαν ἦλθον. μόνος Ἡρακλῆς[48] τὰ ἴσα τολμήσας καὶ δυνηθείς. ἀλλὰ ἀπέκειτο τῶν προειρημένων χαλεπώτερα τὰ οἴκοι, καὶ τὰ τῶν μνηστήρων τολμήματα. ἐκεῖνοι ἐπειρῶντο τὴν γυναῖκα, καὶ τὸν παῖδα ἔσπευδον ἀνελεῖν. τὴν ἐμὴν ἀνήλισκον περιουσίαν· ὕβριζον παρόντα. ἀλλὰ δεδώκασι δίκην, καὶ τῆς ἐμῆς τοξείας πάρεργον γεγόνασιν. ἐπ' ἀδείας ἀπόκειταί καὶ τῶν οἴκοι κρατεῖν. ἀλλὰ συνήσον-

ται

[46] φευκταίους] pro φεύγοντας vel εἰς φυγὴν ὁρμῶντας. raro modo dictum.

[47] f. τῆς φωνῆς cum articulo.

[48] f. Ἡρακλεῖ in datiuo.

ται τούτου οἱ προσήκοντες· καὶ ὑπεξελεύσονταί ὑπὲρ τῶν ἀνηρημάτων,[49] καὶ μάχης μοὶ δεήσοι· οὔκουν οἴκοι μένειν ἀκαιρία δεινή. εἰ δὲ ἐπὶ τὸν ἀγρὸν γενοίμην, ἔςι καὶ διὰ κινδύνων ἐλθόντα κρατεῖν; καὶ μηχανὴν εὑρεῖν, δι' ἧς ἔςι[50] σπεισάμενον ἐπ' ἐμαυτῆς μένειν.

ΤΙΝΑΣ ΑΝ ΛΟΓΟΥΣ ΕΙΠΟΙ

Μήδεια, γαμοῦντος ἑτέραν Ἰάσονος.

ΝΥΝ ἤθελον παρεῖναι μετὰ τῶν ταύρων καὶ τὸν δράκοντα, ἵνα παρ' αὐτὰ Θετταλῷ συςῶ[51] * * * νυμφίος Ἰάσων ἑτέρας μεθ' ἡμᾶς· καὶ τὸ δέρας καὶ τὸν Ἄψυρτον. χορεύει τὶς παρὰ τὸν γάμον, παίζων μου τὴν ὑπόθεσιν·[52] σκιρτᾷ τις ὑφ' ἡδονῆς γελῶν με. τί μετ' Ἀργείων ἡ βάρβαρος; ἄλλος ὑπὸ Διονύσου βαλλόμενος, περιπλέκεταί με δακρύουσαν, καὶ παρενοχλεῖ μου τοῖς ὤασι τὰς ἀκοὰς ψιθυρίζων,[53] ἀντὶ Ἰάσονος ἔχειν με. καὶ σιωπῶ γένος θεῶν, ὃ πολλάκις ὀμνύων ἠσέβησεν· ἐν γῇ Σκυθῶν τὴν Ἄρτεμιν ὤμνυε· τὸν Ποσειδῶνα παρὰ τὴν θάλασσαν· παρὰ τὴν Ἑλλάδα, τὴν Ἀθηνᾶν, καὶ Δία τὸν Ὀλύμπιον· πάντας λέγει τοὺς ἀρίςους, οὐκ οἶδα· θεοὺς πολλοὺς γάρ μοι κατεβόα ψευδόμενος. ἰδοὺ κακεῖνους κἀμὲ καὶ τοὺς παῖδας ἀγνωμονεῖ. τὸν νεώτερον περιμένεις, ὦ Θετταλέ, τὸν ἐράσμιον· κἀγὼ ταυτὸν φυλάττω πρὸς φόνους ἐπιτήδειον. ὀνειροπολεῖς τὴν παςάδα,

[49] τούτων et ὑπεξελεύσονται ὑπὲρ τῶν ἀνῃρημένων.

[50] ἔςαι et ἐπὶ τοῖς ἐμαυτοῦ μένειν.

[51] f. ἵνα πάλιν τῷ Θετταλῷ συςῶσι. vt rurſus cum Theſſalo (h. e. cum Iaſone in certamen congrediantur, deſignat tauros igniuomos in Colchide, et draconem, cuſtodem velleris aurei.

[52] παίζων μου τὴν ὑπόθεσιν] nomen meum et res a me geſtas ludibrio traducens. qui mimicis geſticulationibus aut ſaltatione repraeſentatur, is illius mimi ſaltationisue eſt ὑπόθεσις ſeu argumentum.

[53] f. τοῖς ὠσί, πρὸς τὰς ἀκοὰς ψιθυρίζων.

στάδα, καὶ τὸ πῦρ τὸ γαμήλιον κἀγὼ τὸ ξίφος, καὶ τὸν στέφανον τὸν Ἡφαίστειον σπεύδεις ἀνάψαι τὴν δᾷδα τῇ Κύπριδι· ἀνάψω κἀγὼ τῷ σῷ ἔρωτι τὴν σὴν νύμφην. χαριστήριον πλεόνων δώδεκα·[54] καὶ δίδωμί σοι τὰ δάκρυα. ἕτοιμος ἵσταται τῶν δρακόντων ὁ δίφρος. μετὰ τὴν τόλμαν, φευξοῦμαι μετέωρος. εὐεργετήσω δὲ τὰς τῶν γυναικῶν μονογάμους, καὶ νόμον ἐν τῇ Ἑλλάδι θήσω τὸν σώφρονα. δείξω γὰρ φόβῳ τῆς ἐμῆς ἱστορίας, ἑτέρων ἐρᾶν τοὺς συνοίκους, μὴ βούλεσθαι ἀλλὰ ταύτας ἔχειν κυρίας γυναῖκας, ἄχρι τῆς τελευτῆς, ὧν καὶ τὸ ἄνθος τῆς παρθενίας ἐμίαναν.

ΤΙΝΑΣ ΑΝ ΕΙΠΟΙ ΛΟΓΟΥΣ

Ἀχιλλεὺς ἀφαιρούμενος τὴν Βρισηίδα.

Ἑστήκας, ὦ Μενέλαε, τῇ γῇ τὴν ὄψιν χρησάμενος·[55] ἀπεστράφης, Διόμηδες, μὴ θέλων ἀπιοῦσαν τὴν κόρην θεάσασθαι; σιωπᾷς, ὦ γέρων, ἔτι μὴν πιστεύων[56] τῷ δράματι; ἐσφάλημεν. Πάριν * εἰσάγοντες ἕτερον ὁπλιζόμενον κατὰ πατρίδος· τί τὸν Ἀλέξανδρον Ἀγαμέμνων ἀμύνεται μάτην; ἄμφω τὰς ἀλλοτρίας ἁρπάζουσι. εὐτρέπιζε μετὰ μικρὸν Ὀδυσσεὺς τῷ βασιλεῖ τὴν Πηνελόπην ἐπιθυμήσαντι. τραγῴδησον πρύτανι, τὰς ὡραίας τῶν γυναικῶν τῷ κρατοῦντι προσφέρεσθαι. τί οὖν ὄφελος ἐμοὶ τῆς ἐμῆς ἐστερημένῳ, διὰ τὴν Ἑλένην ὁπλίζεσθαι. δυσσεβῶ βάρβαρον ἠδικηκότα μηδὲν ἀμυνόμενος, ὑπερασπίζω τοῦ βλάψαντος· ἀλλ' οὐκ ἔστι χεὶρ Ἀχιλλέως Τρωικῆς παρατάξεως· μετὰ τὴν Βρισηίδος ἀφαίρεσιν· ἐσφάλην, καὶ τὴν ἀρχὴν κατὰ τῆς ἐμῆς ἐρωμένης ὁπλιζόμενος. οὐδὲ γὰρ αἰχμάλωτον εὗρον, ὅτε ταύ-

[54] ἴσ. δέδωκα m. M.

[55] f. χρησάμενος.

[56] f. ἔτι μὴ πιστεύων. sed iuvat reliquos ethopoeias praeterire, quae non videntur Libanii esse. mihi certe non placent, saltim ex earum gustu. nam parum earum legi. Transibo ad Ecphrases.

ταύτην ἀφῄρημαι. ἐκέρδανες, ὦ Τροία, μετὰ τὴν Βρισηΐδα τὴν ἅλωσιν· ξέσει Πριάμυ ἐν λίθῳ τὴν κόρην, ἀνάθημα τῆς Ἰλίου σωτήριον, παρὰ τὸ τῆς τύχης τέμενος. ἀνερθώσει ταύτῃ τὸ ξόανον. γράφει Φρὺξ αὐτὴν περὶ τὴν ἑστίαν, φυγὼν μου τὸ δόρυ τὸ μείλινον. Διομήδες φυλάττει μακρὰν ἀπ' ἐμοῦ καταβοᾷ τῇ σάλπιγγι ὅταν μετὰ τοῦ ξίφους ὁ κτύπος προτρέψηται, μέλος με κατάσχῃ τῆς φόρμιγγος. ἀσπὶς ὅταν ἐρεθίσῃ τῷ δόρατι, πλέον με καταθέλξει, καὶ χορδὴ κρυομένη τοῖς ᾄσμασι. τίνα δοκεῖς ὦ Πάτροκλε τὸν αἰτήν πνέοντα; ἐπισκόπει αὖθις αν ἐπὶ τὴν Φθίαν ἄγουσαν. ἀποπλεύσωμεν ἀπὸ τῆς Τροίας χάριν ἔχοντες τοῖς βαρβάροις, ὑπὸ δὲ τῶν Ἀργείων πολεμούμενοι. μάτην ἐκοπίασα; μάτην παρῆλθον· οὐχ ἑκὼν τὰς πόλεις ἀνατεθέαμαι; ὁδὸν δέδωκα τούτων τὰ τείχη τοῖς βαδίζειν ἐθέλουσιν. οἰκεῖ τις τὴν ἐρημίαν ἄπολις ὢν διὰ τὸν Θέτιδος· ἔτι τὶς θρηνῶν υἱὸν, πρῶτος τὴν Περσεφόνην ἠσπάσατο. ἔτι τὶς λέγων, οὗτός ἐστιν ὁ Θέτταλος, τῷ πλησίον ἂν ἠσπάσατο· ὁ δὲ καὶ δεικνὺς τῷ ἀγνοοῦντι συντέθνηκεν. ἅπαντα δὲ ἦν, ὡς εἰπεῖν, τῆς πορείας Ἀχιλλέως ἐγκώμια. τὰ δὲ πάντα συνδήσας, τῷ κρατοῦντι προσέφερον. μίαν δὲ ἐπ' αὐτῷ παραμυθίαν ἐτήρουν αἰχμάλωτον· ὁ δὲ με τῆς εὐεργεσίας ἀμυνόμενος, καὶ τῆς μιᾶς αἰχμαλώτου Βρισηΐδος ἀπεστέρησεν. ἀλλὰ σιγῶ· ἵνα μὴ καιρὸν εὕρω τῆς σάλπιγγος διηγούμενος. ἓν ἔτι βούλομαι φθέγξασθαι προπετὲς, ὡς ἀδικούμενος. ἐράτω τὶς, ὦ θεοὶ, καὶ Κλυταιμνήστρας, ἐν Ἄργει· τῶν ἴσων Ἀγαμέμνων τύχῃ καὶ πείθομαι.

ΤΙΝΑΣ ΑΝ ΕΙΠΟΙ ΛΟΓΟΥΣ

Ἀχιλλεὺς, ἡττωμένων Ἑλλήνων.

ΑΛΛ' εἰ καὶ μὴ πρότερον, νῦν Ἀγαμέμνων γινώσκει τὴν ἡμετέραν ῥοπήν· καὶ παθὼν μεμάθηκε μὴ τοὺς ἀρίστους ἀτιμάζειν. φεύγει καὶ τρέμει καὶ πέφρικε· καὶ περὶ ἀπολογίας ποιεῖται τὸν λόγον, ἐν τοῖς Ἀχαιοῖς ὁ νεανίας. καί τοι τούτων οὐδὲν ἂν ἦν, εἰ σωφρονεῖν ἤθελε, καὶ μὴ τοῖς αὐτῷ λυμαίνεσθαι πράγμασι. καλῶς, ὦ θεοὶ, καλῶς ἐδικάσατε, τοὺς μὲν ταπεινοὺς ἄραντες μεγάλους τοὺς Τρῶας· τοὺς δὲ φοβεροὺς δι' ἐμοῦ πρότερον ταπεινώσαντες τοὺς Ἕλληνας. μηδεὶς γὰρ ἀχάριστος εὖ πραττέτω. οὐκ ᾐσχύνθη τὰς τρεῖς καὶ εἴκοσι πόλεις τὰς ὑπ' ἐμοῦ πεσούσας Ἀγαμέμνων, οὐ τοὺς κατὰ θάλατταν πόνους, οὐ τὰς ἐν τῇ γῇ ταλαιπωρίας· οὐ τὸν πλοῦτον ἐκείνων,[1] ἐν οὐ λάφυρα, οὐ γυναῖκας, ὧν μεστὴν ἔχων σκηνὴν, ἑτέρων ἐπεθύμει. καὶ ταῦτα ἐποίουν ἐγὼ, μήτε τοῖς Τρωσὶν ἔχων ὑπὲρ τῆς ἐμαυτοῦ γῆς ἐγκαλεῖν· μήθ' ὅρκων ἀνάγκῃ κατειλημμένος· ἀλλ' ἔπλεον δόξης τ' ἔρωτι, καὶ τῷ τοῖς ὑβρισμένοις ἐθέλειν χαρίζεσθαι. τίνα δὴ καὶ τὰ λυπήσαντα τὸν χρηστὸν βασιλέα; ταῦτα ἃ καὶ μόνα δικαίως ἄν μοι τιμὰς ἤνεγκεν, εἰ καὶ μηδὲν ἐτύγχανον ἐν τοῖς ὅπλοις τοὺς πολεμίους λελυπηκώς· ἐξεπολέμωσε τῷ στρατῷ τὸν Ἀπόλλω, γυναικὸς ἕνεκα μιᾶς, ἧς τὸν πατέρα γέροντα ἄνθρωπον μικροῦ συνέκοψε, ᾧ τρόπον τινὰ συνεπρέσβευσεν ὁ θεός. εἶτα οἱ μὲν ἀναλίσκονται λοιμῷ· ὁ δὲ τῆς Χρυσηΐδος ἀπήλαυεν. ἔμελε δὲ οὐδενὶ τοῦ πράγματος. χρόνου δὲ προϊόντος, ἐφρόντισα, ἤλγησα, ὁμολογῶ· τοὺς ἀπολλυμένους ἠλέησα· τίνες οὖν οἱ τούτων μισθοί; κήρυκες εὐθὺς ἐπὶ τὸ γέρας τοὐμὸν, καὶ ἀφείλοντο· καὶ πολὺ τούτων χαλεπώτερα ῥήματα, ἐν οἷς δύσεριν, καὶ φιλόνεικον καὶ ἀφόρητον καὶ βαρὺν ὠνόμαζε· καὶ ἀνάγεσθαι τὴν ταχίστην ἐκέλευεν, ὡς ἐν ἄλλοις ἔχων τὰς τῆς νίκης ἐλπίδας· πῶς οὖν ἐνίκησεν ἔτι; καὶ

τεῖχος

[1] ἴσ. ἱκανὸν ἐ m. M.

τεῖχος προυβάλλετο τῶν νεῶν· οὕτως ἀρκοῦσι πρὸς σωτηρίαν τῶν ὅλων, αἱ τῶν ἀρίστων ἐλπίδες· εὐδαίμων εἰμί τις, τὴν ἡμέραν ταύτην ἰδών, οὐκ ἀρνοῦμαι, ἢ τὴν ἔμπροσθεν τῶν πραγμάτων ἀνέτρεψε τύχην. ὁ τὰ μὲν πολλὰ κρυπτόμενος Ἕκτωρ, ἐπίδειξιν δὲ νομίζων ἀνδρείας τὸ μέχρι τῆς δρυὸς προσελθεῖν, μέμφεται τῇ νυκτὶ τὰς ναῦς ἐξελομένῃ πυρός· καὶ καλῶς γε μέμφεται· κἂν ἡμέρα φανῇ, δυνήσεται τὸ πῦρ ἐμβαλεῖν, ἐμοῦ μὲν ἡσυχάζοντος, τοῦ Διὸς δὲ τοῖς ὑβρικόσι πολεμοῦντος. ἡγοῦμαι μὲν οὖν καὶ τὸ στράτευμα τῶν ἀδικημάτων κοινωνεῖν· οἱ[2] γὰρ λαβόντες λίθους, οὐκ ἐπέτρεπον τῷ τοιαῦτα βλάπτοντι τὰ πράγματα· πάντως ἄν, κἂν ἄκων ἐσωφρόνει. νῦν δὲ ὁ μὲν ἠσέλγαινεν, οἱ δὲ ἐσιώπων. διὰ τοῦτο ἐλαύνονται σφάττονται καὶ τὸν Ἕκτορα δεδοίκασιν, ὥσπερ τι τῶν ἐξ οὐρανοῦ βελῶν. οἶδα τοίνυν, ὡς ὀδύρεται μὲν ἐπὶ τοῖς παροῦσιν Ἀγαμέμνων, κατηγορεῖ δὲ τῆς αὐτοῦ μανίας· ἐκπέμψει δὲ τοὺς ἀπολογησομένους· αἱ δὲ τῆς Ἀθηνᾶς ὑποσχέσεις ἔργον ἥξουσι. δώρων μοι μεμνήσεται πολλῶν Ἀγαμέμνων. ἐγὼ δὲ οὐδὲν οὕτως οὔτ' ὄψομαι οὔτ' ἀκούσομαι μέγας·[3] διὸ τὴν ὀργὴν ἐμβαλὼν συμπαρατάξομαι.

ΤΙΝΑΣ ΑΝ ΕΙΠΟΙ ΛΟΓΟΥΣ

Πολυξένη, κελευομένη παρὰ τῶν Ἑλλήνων κομίζεσθαι, λεγόντων αὐτῇ, ὅτι νύμφη ἔσῃ τοῦ Ἀχιλλέως.

ΟΤΕ δὲ Ἕκτορος ἀδελφὸν ἐστράτευες, Ἀγάμεμνον, οὐχ οὕτως ἦλθες ὁπλιζόμενος· οὕτω Τηλεμάχῳ νύμφην κατὰ τῆς ἀσπίδος, Ἰθακήσιε ὦ καὶ τοῦ γαμοῦντος ὅστις εἶ. δίχα μὲ τῶν ξιφῶν τῷ θαλάμῳ προπέμψατε. ποίαν ἔχω τὴν διαφορὰν πολεμουμένη καὶ νυμφευομένη διὰ τοῦ δόρατος; μίαν καὶ παρ' ἡμῖν,[4] ὡς κόρη χάριν αὐτῷ. ἐπειδὴ τὸ πρὶν τρέμουσα τὸν Πηλέως, οὐ τεθέαμαι·

[2] ἴσ. εἰ γὰρ m. M.

[3] μέγα m. M.

[4] παρ' ὑμῶν m. M.

μοι δείξει μοι τὶς αὐτὸν, ἵνα τὸν νυμφίον ἀσπάσωμαι. ἤκουον αὐτὸν παντὸς τοῦ γένους ἀντίπαλον. ἰδεῖν ἐπείγομαι παρθένον Φρυγίας, εἰ πόθῳ δεδούλωται. ἐκ ἐβόας πρὸ μικροῦ Διομήδες, πεπτωκότα τὸν Θέτιδος; καὶ τίνι με προσάγεις, ἀπόκριναι· ἀπώλεσας τὴν Ἑλένην, στερηθεὶς Ἀχιλλέως ἐθρήνεις Μενέλαε. εἰπέ μοι πρὸς θεῶν ὁ νυμφευόμενος· ἐρωτᾷ. μαρτυρεῖ μοι τὰ φθάσαντα· εἰ δὲ τὸ σπουδαζόμενον ἐφ' ὑμῖν ἐστιν ἀνελεῖν με, μή με νύμφην Ἀχιλλέως ὀνομάζοντες σφαγιάσητε. πάτερ ὦ γέρων Πρίαμε, τί κόπτεις κατὰ μικρὸν τὸν πολιόν σου πλόκαμον; ηὔξω νύμφην τὴν Πολυξένην θεάσασθαι; ἰδού σοι τίς δαίμων καινότερον ἐπεβούλευσε; καὶ τὰ καλὰ σοῦ τῆς ἀριστείας, ὦ Πάρι, τρόπαια, τοῦ γένους ὑπάρχει πολέμια. ἓν βέλος κατ' Ἀχιλλέως ἠκόντισας, [5] ἵνα μηδὲν τῶν σῶν ἐάσῃς κἂν λείψανον. κρεῖττον δέ μοι γενήσεται κατοικεῖν κάτω μετὰ τοῦ Ἕκτορος. τί γὰρ ὄψομαι τερπνὸν μετὰ τῶν ζώντων αἰχμάλωτος;

ΤΙΝΑΣ ΑΝ ΕΙΠΟΙ ΛΟΓΟΥΣ

Αἴας στερηθεὶς τῶν ὅπλων.

ΠΑΛΑΙ μὲν κατὰ βαρβάρων Ἕλληνες ὁπλιζόμεθα, τὴν ἐκ βαρβάρων ἀδικίαν εἰς ἡμᾶς ἀμυνόμενοι. νῦν δὲ κατηγορεῖν τῶν πολεμίων ἀφέντες, τὰ τῶν ὁμοφύλων κατοδυρόμεθα τραύματα. τί ταῦτα, σύμμαχοι; φαίην. τίς Ἕλλην ὑπάρχων τὰ τῶν βαρβάρων ἐμιμήσατο; ὁ Λαέρτου τὰ δυσμενῶν κατ' Αἴαντος ἐβουλεύσατο. ἔσπευσα τῆς πανοπλίας κρατήσειν τοῖς πόνοις. ἐπορεύθην, τοῖς κινδύνοις ἐμαυτὸν προβαλλόμενος· οὐ φόβον ὑφορώμενος· οὐ συμφέρον λογιζόμενος· οὐκ ὤκνησα τὸν κίνδυνον· ἀλλ' ἔρωτι τῆς ἀρετῆς, καὶ τῶν βλημάτων λαθόμενος. ἐκράτησα τοίνυν βουλήματος· ἤνυσα τὸν ἆθλον· οὐδ' ἥμαρτον τοῦ πόνου, ἀλλὰ κρατήσας, νενικημένος ἐλέγχομαι· καὶ μόνον τὸν πόνον κλη-

[5] ἠκόντισας m. M.

κληρονομήσας, πεφώραμαι. τῶν μὲν κινδύνων πειραθεὶς· τοῦ δὲ ἔρατος ἀφαιρούμενος. τίς τοίνυν ὁ παραινέσας; τίς ὁ κατ' ἐμοῦ κωμάσας τῆς πανοπλίας σοφίσματα; Ἰθακήσιος ἀνήρ· οἴμοι, Λαέρτου παῖς· ὁ συνασπίσας πρότερον· νῦν δὲ πολεμῶν· βουλεύματι στρατεύσας κατὰ τῶν Τρώων· Τρὼς δὲ τὴν γνώμην γενόμενος. ὁ τὰς Πριαμιδῶν ὑπερβαλλόμενος τύχας· καὶ Δαρδάνου παῖδας ταῖς ἀδικίαις νικήσας. μὴ γὰρ γύναιον ἥρπασε· κοῦφον ἦν τὸ τόλμημα; εἰ κόρην ἐσύλησε. τῆς γὰρ ἡδονῆς στερηθεὶς, παραμυθίαν ἐλάμβανον. ἀλλὰ γυμνὸς τῆς ἀσπίδος ἔρημος τῆς πανοπλίας ἄοπλος ἐναπείφθηναι· τῶν τῆς ἀριστείας ὀργάνων σεσυλημένος ἐλέγχομαι· καλεῖ πόλεμος Αἴαντα. παρατάξεως ἡ χρεία πρὸ τοῦ ἄστεος ἡ μάχη· ἐξιέναι στρατεύεσθαι, παρατάττεσθαι προσήκει· πῶς οὖν στρατεύσομαι τῆς πανοπλίας στερόμενος; πῶς δὲ γυμνὸς τοῦ θώρακος φοβήσω; τεῖχος ἀριστέως ἡ πανοπλία νενόμισται· φρούριον ἀρραγὲς ἡ πανοπλία πεπίστευται· κἀκ τῆς ἀσπίδος νικηφόρος ὀνομάζομαι. οὕτω με Τρῶες ἐθαύμαζον στρατευόμενον. οὕτως ἐφόβησα τὸν πολέμιον μαχόμενος· μίξας προθυμίᾳ τῆς ἀσπίδος τὸ κατόρθωμα.

ΤΙΝΑΣ ΑΝ ΕΙΠΟΙ ΛΟΓΟΥΣ

Αἴας μέλλων ἑαυτὸν ἀποσφάττειν.

Ω δύο μεγίστων κακῶν, μανίας τε ἧς ἐμάνην, καὶ σωφροσύνης ἣν νῦν σωφρονῶ· δρῶν μὲν οὐκ ᾔδειν ἃ ἔδρων, δράσας δὲ μανθάνω τὰ πεπραγμένα. ἀπέκτεινα μὲν, ἀλλὰ βοσκήματα· ἀπέκτεινα μὲν, ἀλλ' ὡς οὐκ ἤθελον. ἀλλ' ηὐφραινόμην μὲν ὡς δίκην λαμβάνων, ἐσφάττετο δὲ βοσκήματα. ζῶσι δὲ οἱ πονηρότατοι βασιλεῖς, καὶ ὁ κατάρατος Ὀδυσσεύς. μικρὸν εἰς συμφορὰν ἤδη μοι φαίνεται τὸ μὴ τῶν ὅπλων τυχεῖν. ὑπερβέβληκε μανία, τὴν ἐπ' ἐκείνοις λύπην· καὶ τήν γε μανίαν αὐτὴν τὸ πάλιν ἀνελθεῖν. τίς μου τὴν ψυχὴν ἐτάραξε τῶν θεῶν;

θεῶν; τίς τῷ μὲν ἠδικημένῳ πεπολέμηκε, τοῖς δὲ ἠδικηκόσι κεχάρισται; τίς οὕτω κρίσιν ἄτοπον ἐπῄνεσεν; Αἴας Ὀδυσσέως φαυλότερον τοῖς Ἕλλησιν, ὁ παραταξάμενος[6] πρὸς τὴν μάχην, ἢ μείζω μὲν ἐγεγόνει τὰ τῶν πολεμίων Ἀχιλλεὺς δὲ ἀπῄει ὑβρισμένος; τοιαῦτα γὰρ τοῖς ἀρίστοις παρὰ τῶν Ἀτρειδῶν γέρα. μέγας μὲν Ἕκτωρ καὶ βαρύς, θεῶν δὲ εὐνοίᾳ τεθαρρηκώς· οὗ φανέντος ἔλιπε μὲν τὴν τάξιν ὁ γενναῖος, καὶ τιμᾶν ἄξιος, ἔλιπον δὲ ἄλλοι τῶν ἐν τέλει· φυγῆς δὲ ὁ βασιλεὺς ἐμέμνητο πολλάκις αἱ δὲ ἐλπίδες ἔτι ἐλελοίπεσαν. τίς οὖν ἀντέσχε πρὸς ἐκεῖνον τὸν χειμάρρουν; τίς μονομαχῶν κατέβαλε τὸν Πριάμου; τὸ πῦρ δὲ ἀπεκρούσατο τῶν νεῶν; διὰ τίνα καὶ σκηνὰς ἔχουσι, καὶ πλεῖν δύνανται, καὶ ζῶσι καὶ δικάζουσιν; ἐῶ τοὺς περὶ τῶν νεκρῶν ἀγῶνας. ἀλλά, τὸ τῆς συγγενείας δίκαιον, τίνος ἐποιεῖτο τὴν πανοπλίαν; νῦν δὲ ὁ μὲν Ἀχιλλέως ἀνεψιὸς ἄτιμος· ὁ δὲ οὐδὲν ἐκείνῳ προσήκων κεκόσμηται. ταῦτα, ὦ ξίφος; ἀλλὰ κατέκοπτον τοὺς δυσμενεῖς, ἀλλὰ χαρίζομαι δή τοι καὶ τρίτον Ὀδυσσεῖ καὶ τουτὶ τὸ ξίφος ἐπεὶ μοι καὶ τοὺς ἐχθρούς, ἐμὲ κτεινάτω. δόξῃ συμβεβίωκα. καὶ τὴν νῦν αἰσχύνην οὐ φέρω. δεῖ γὰρ τοὺς ἀγαθοὺς ἢ ζῆν εὐδοκιμοῦντας ἢ τεθνηκέναι. μὴ γὰρ ἴδοιμι τοὺς Ἕλληνας ἔτι, μηδ᾽ εἰ μέλλοιέν μου φείδεσθαι· μηδὲ δρίην ἐμαυτὸν ὑπὲρ τούτων τοῖς ἐναντίοις. αἰσχύνομαι τὰ κατωρθωμένα, οὐ δύναμαι δὲ ἀποπλεῖν οἴκαδε. τὸ δὲ ἐπὶ τούτοις ἀφόρητον, παῖς εἰμι Τελαμῶνος, τοῦ ταύτῃ μὲν καθελόντος τὴν πόλιν, ἀριστεῖα δὲ κεκομικότος εἰς Σαλαμῖνα, πολλῶν οὖν μοι θανάτων δεινότερον ἀπελθεῖν πρὸς ἐκεῖνον, καὶ διηγήσασθαι τὰ κατ᾽ ἐμαυτοῦ. κειμένῳ δὲ βουλόμενος ἐπεμβαινέτω.

[6] ἴσ. ῷ παραταξαμένῳ m. M.

TINAΣ

ΤΙΝΑΣ ΑΝ ΕΙΠΟΙ ΛΟΓΟΥΣ

Αἴας μετὰ τὴν μανίαν.

Ὦ τῆς ἄρτι μανίας, ὦ τῆς νῦν σωφροσύνης οἷα μὲν ἔδρασα παραφρονήσας, οἷα δὲ αἰσθάνομαι δράσας ἐμαινην ψήφῳ θεῶν. τί οὖν ἐπὶ τῆς μανίας οὐκ ἔμεινα; ἀπέλαβον τοὺς λογισμοὺς, εἰς τὸ μειζόνως δυστυχεῖν. τίς ἄρα μοι συνέπλευσεν ἐριννὺς ἐκ Σαλαμῖνος πλέοντι; ὦ πολλῶν κατορθωμάτων, εἰς οἷον ἥκετε πέρας; ἐξέστην τῶν φρενῶν, ἐμαυτὸν ἠγνόησα. τιμωρίας ᾤμην λαμβάνειν· ᾔδειν δὲ ὧν ἐποίουν οὐδέν. οὐκ Ὀδυσσεὺς ἦν ὁ δεχόμενος τὴν πληγήν· ὁ θεοῖς ἐχθρὸς, ὁ πανοῦργος· οὐδὲ Μενέλαος ὁ μαλακός. οὐδ' Ἀγαμέμνων, ὃν κακῶς ποιῶν οὐκ ἀπέκτεινεν Ἀχιλλεύς. ἀλλ' ἡ μὲν ὁρμὴ κατ' ἐκείνων. αἱ δὲ σφαγαὶ κατὰ τῶν βοσκημάτων· καὶ τὴν ἔχθραν δείξας ἠτύχησα τῶν ἔργων· καί τοι δίκαια μὲν ἐβουλόμην, δικαίοις δ' ἐπεχείρουν· ἀνθρώπους ἀναισθήτους, ἀγνώμονας, κακῶς ἀδικήσαντας, μετῄειν· θαυμάσαντας δὲ τὴν Ὀδυσσέως κομψείαν, οὐδαμοῦ θέντας τὰς ἐμὰς ἀριστείας· ὁ πλέον[7] ἐγὼ πάντων, καὶ τροφὴν ἀγείρων τῷ στρατῷ, καὶ τὴν ἴσην εἰσφέρων Ἀχιλλεῖ ῥοπήν. ὁ πρᾶος εἰς τοὺς ἄρχοντας, ὁ πλείω πράττων ἢ λαλῶν· ὁ τὸν Ἕκτορα κομψὸν ἀποφήνας· ὁ καταβαλὼν ῥᾳδίως, ὁ παρ' αὐτοῦ θαυμαζόμενος ἐπ' ἀνδρείᾳ Ἕκτορος· ὁ μετὰ ταῦτα ἀπόντος Ἀχιλλέως, ἀντ' ἐκείνου τοῖς πράγμασιν ἀρκέσας· ὁ τῇ τῆς τύχης ἐπηρείᾳ, τὴν ἀρετὴν ἀντιτάξας· ὁ βοῶν, ὁ προτρέπων, ὁ μαχόμενος. ὁ ῥυόμενος τὸ ναυτικὸν, ὁ τοὺς νεκροὺς τῶν ἀγαθῶν ἀνδρῶν ἐξαρπάσας ἐκ τῶν ἐναντίων, ὁ τὸ σῶμα Ἀχιλλέως κομίσας, ὁ τὰ ὅπλα. ὦ θεοὶ οἵων ἔτυχον τῶν Ἀχαιῶν. κρίσις ἦν. καὶ Ὀδυσσεὺς ἀνίστατο φιλονεικήσων, καὶ λόγον ἀπαιτῶν ἐντεχνάζειν, καὶ τῶν ἔργων ἡ μαρτυρία παρῶσο. καὶ ἀπῆλθον, ἐγὼ μὲν ἄτιμος, ὁ δὲ τοῖς ὅπλοις

κοσμοί

[7] πλέων m. M.

κοσμούμενος τοῖς ἐμοῖς μετ᾽ Ἀχιλλέα. ταῦτ᾽ οὐκ ὀργῆς ἄξια; ταῦτα οὐ δίκης; ταῦτα οὐ ξίφους; ἀπεπλάνησέ με τῆς ἐγχειρήσεως ὁ δαίμων· καὶ ἀπήνεγκεν ἑτέρωσε, καὶ προσέθηκε τῇ τῶν Ἑλλήνων ψήφῳ, τὴν τῆς μανίας αἰσχύνην. ἀλλὰ γὰρ ἔχω τῶν συμφορῶν τὴν λύσιν· ἃ γὰρ ἐκείνους οὐκ ἠδυνήθην, ταῦτα ἐμαυτὸν δυνήσομαι δρᾶσαι. ὦ σφαγεῦ, σύ μοι παρ᾽ Ἕκτορος ἐγένου, πρὸς τὴν χρείαν ἄρκεσον· ἐχθροῦ δῶρον εἶ, σοὶ πρέπει τοὔργον. τίς γένωμαι ζῶν; ποίαν ὁδὸν ἔλθω πραγματείας; συμπαρατάξομαι τοῖς Ἕλλησιν. ἀλλ᾽ οὐ φέρω τοιαῦτ᾽ εἰργασμένος, οὔτ᾽ ἀσφαλές· ἀλλὰ μετατάξομαι πρὸς τοὺς Τρῶας; ἀλλ᾽ οὔτ᾽ εὐπρεπές, οὔτ᾽ ἄλλως ἀσφαλές. τῶν τε γὰρ νῦν ὄντων ὀνειδῶν οὐκ ἔλαττον εἰς αἰσχύνην, βαρβάρους ἀπ᾽ Αἴαντος εὖ παθεῖν· οὓς τε εἴργασμαι τοσαῦτα δεινά, τούτοις οὐκ ἔνι πιστεύειν. τί δὴ λοιπόν; ἐπαναπλεῖν οἴκαδε μετὰ λαμπροῦ γε τοῦ σχήματος· καὶ τί πρὸς τὸν πατέρα λέξω τῆς νεὼς ἐπιβάς, τὸν συγκάθετον μὲν Ἡρακλεῖ τὴν Τροίαν, ἀπελθόντα δὲ σὺν ἀριστείοις. τί διηγήσομαι πυνθανομένῳ; τὰ ὅπλα, τὴν κρίσιν, τὴν ἧτταν, τὰ βεβουλευμένα μοι, τὰ ἡμαρτημένα; μήποτ᾽ ἐκείνην ἴδοιμι τὴν ἡμέραν. ἄρα δὲ δὴ τὸν σίδηρον ὠθεῖν. τοῦ δὲ παιδὸς θεοῖς μελήσει καὶ Τεύκρῳ.

ΠΟΙΟΥΣ ΑΝ ΕΙΠΟΙ ΛΟΓΟΥΣ

Βελλεροφόντης μέλλων μάχεσθαι τῇ Χιμαίρᾳ.

Ἡδίστης ξενίας πικρὸν ὁρῶ τὸ τέλος, καὶ μεγίστην φιλοτιμίαν, λαμπρὸς διαδέχεται πόλεμος· ταύτην δίδωμι σωφροσύνης δίκην· ταύτην τῆς ἐμῆς ἀρετῆς ὑπομένω τιμωρίαν, ἥν μοι βίος εὐδαίμων ἐνήργει· ἀλλ᾽ ἀρχὴ τῶν φαινομένων κακῶν ἐκεῖθεν ἐγίνετο· ἐθαυμαζόμην ὁρώμενος· ἀφανεῖ δὲ κάλλει τὸ φαινόμενον κοσμήσας, πειρῶμαι κινδύνων· ἤρα μου γυνὴ βασιλέως· ἐγὼ δὲ σωφροσύνης· καὶ τότε μὲν ἐνίκησεν ἔρως ἐμός· ὁ δὲ τῆς γυναικὸς ἡττώμενος, πικρῶς ὑπεξέρχεται, καὶ τῆς ἧττη-

της ἀμύνεται· ἀπάτην καὶ ψεῦδος παρακαλέσασα συμμάχους. ἀλλ' ὁ μὲν βασιλεὺς ἐκεῖνος ὀργιζόμενος ἐφείσατο· ὁ δὲ μηδὲν θυμωθεὶς, γέγονεν ἀπάτης ἐμῆς διακονία, καὶ ξένον ἐποίησε τὸν πόλεμον, καὶ μάχην οἵαν ἤκουσεν ἀνθρώπων οὐδεὶς σύνοδον εὗρε θηρίων κοινὴν, καὶ χαλεπὰς ἔμιξε φύσεις πολλάς· προβέβληται μὲν ὁ λέων κομῶν· ὁ δὲ κατόπιν πολέμιος δράκων ἐστί. τὴν Χίμαιραν ἐκ νώτων ἔχει προκύπτουσαν· ὡς ἐξ ὕλης πολλοῦ τοῦ στόματος ἐκπέμπουσαν φλόγα, καὶ τρίπλοῦς ὁ κίνδυνος, ὀδοῦσι λέοντος ἀλῶναι, καὶ δράκοντος ἰῷ, καὶ ῥώμῃ πυρός· καὶ προσιόντα δέδοικα τὸν θῆρα, καὶ στρεφόμενον οὐκ ἔχω τὸν δράκοντα θαρρεῖν. ἂν θέλω προσελθεῖν, οὐ τολμῶ, κωλύοντος τοῦ πυρός· ἀλλ' εἰς καιρόν μοι τὰ Πηγάσου πτερά. μεταβήσομαι πρὸς τὸν ἀέρα μετάρσιος. οὐδεὶς γὰρ ἐπὶ τῆς γῆς ἱστάμενος νικήσει τοσοῦτον κακόν· ἀλλὰ καὶ αὐτὸν προσλαβὼν τὸν ἀέρα βοηθὸν, καινῷ χρησάμενος ὀχήματι, καὶ χεῖρας παρακαλέσας, καὶ ῥώμην καὶ ἀνδρείαν συμμαχῆσαι τῇ ἀδελφῇ σωφροσύνῃ, μηδὲ χεῖρον ἢ τοῖς ἐναντίοις ἐρᾶσι συνεμάχησεν ἀπάτη, καὶ συκοφαντία καὶ δόλος.

ΤΙΝΑΣ ΑΝ ΕΙΠΟΙ ΛΟΓΟΥΣ
δειλὸς φιλάργυρος, εὑρὼν χρύσεον ξίφος.

Ὦ τύχης καινὰ δῶρα! ὦ γνώμης ἀμφίβολα τολμήματα! τί γὰρ καὶ δράσομεν; εἴξομεν τῷ φόβῳ; ἀλλὰ μένειν κελεύει τὸ κέρδος ἐλεύθερον. εἴθε μήποτε τέχνας ἐξήσκησαν ἄνθρωποι. τί γὰρ βούλονται; οὐκέτι τὸν ἵππον ἀγαπῶσι τῇ τέχνῃ· πλουτοῦσι τῷ πολέμῳ· οἱ χρυσῷ κατ' ἀλλήλων ὁπλίζονται· καὶ μὴν οὐ μᾶλλον σίδηρος ἢ χρυσὸς βάλλειν ἐπίσταται. ἀλλὰ τί ταῦτα μάτην λογίζομαι; οὕτω καθ' ἡμῶν βραβεύει τὸ δαιμόνιον· τοιαύτας ἀναιρεῖ τὰς δωρεὰς ἡ τύχη· εἴγε πονηρὸς ἐγενόμην ἐγώ· ἐκέρδησά γε ἂν τὸν ἐπὶ τούτῳ τῷ πλούτῳ φόβον. τί γάρ με δειλὸν ἡ φύσις ἔτεκε; τί δὲ φιλοκερ-

δὴς ἐγενόμην ἄνωθεν; εἴθε μου τὰς ὠδῖνας ἔφθη ἡ πρὸς ταῦτα σιγὴ τῆς θέας. ἃ χαίρω[8] ἰδεῖν καὶ μόνη τάχα τῇ θέᾳ. εἴθε οὖν παρὸν καὶ τὸ κέρδος τῷ τραύματι πολλάκις ὀνομάζειν φοβοῦμαι τὸ ξίφος. ἀλλὰ τί ταῦτα; ποῦ τῶν ὁδοιπόρων οἱ πλησιάζοντες; ἐξεῦρον γάρ τι πρὸς τὸ παρὸν, ᾧ τύχῃ· κοινωνήσω τοῖς διοδεύουσι τοῦ κτήματος· ὅτε τὴν θέαν τούτου ἀφῄρημαι, τότε τῇ χειρὶ παραθεὶς, ἢ ταῖς γνώμαις κινηθεὶς, κουφίσω μόνον ἐννοῶν τὸ κέρδος· εἴθε γὰρ ἦν τάλαντον ἢ χρυσοῦ κόσμος ἕτερος· καλὸς ἂν ἦν ὁ θησαυρός· νυνὶ δὲ μείζων ὁ φόβος τοῦ κτήματος. εἰσὶ γάρ εἰσι πολλαὶ κέρδους προφάσεις· προσεδρεύσω τῷ τόπῳ ἐνταυθοῖ μένων, τοὺς θεοὺς ἱκετεύων· συμμαχῆσαί μοι τῷ χρόνῳ· μελετήσας τὸ τόλμημα, τάφον ἢ κέρδος ἕξω τὸ προκείμενον.

ΤΙΝΑΣ ΑΝ ΕΙΠΟΙ ΛΟΓΟΥΣ

πόρνη σωφρονήσασα.

Ἐρρέτω μοι γένος προαγωγῶν· οὐκέτι δύο καὶ τριῶν ὀβολῶν τῷ προσιόντι πιπράσκομαι· καθελεῖ μου τὶς τὰ περὶ τὴν Κύπριν τῶν ἐραστῶν ἀναθήματα· καὶ τῇ μνήμῃ μέμφομαι, διὰ τὰ πρότερον· ἥρπαζον τὸ ῥᾷδιον. ἤσκουν τὴν ἀναισχυντίαν· ὠνειροπόλουν τὰ χείρονα· ἔσπευδον τὴν νύκτα τῆς ἡμέρας αἰσχροτέραν ἐργάσασθαι· ἔτι περιπλεκομένη τὸν δεῖνα, τὸν πλησίον ἐθήρευον, ἀπέσπαπτον τῷ γείτονι ψιθυρίζουσα. ἐμὸς ἦν ὁ λῃστής· ἐφίλουν τὸν ἀποκήρυκτον· μεστὴν εἶχον τὴν οἰκίαν ἀνδρῶν ἀπόρων. ἀλλὰ καθαίρω τὴν γνώμην· φεύγω τὴν Ἀφροδίτην· φιλῶ τῆς Ἀθηνᾶς τὴν ἐπιείκειαν· νόμῳ ἐν τῷ λιβανῷ θήσω.[9] τοῦτον ἵνα τοῦ γράμματος ἔχῃ τὴν δύναμιν. ἐξόν σοι γύναι καὶ σωφρονεῖν καὶ φεύγειν τὴν ἀφρογένειαν· μή σου τῆς ἀσεβείας προβάλῃ, τὴν Ἀφροδίτην μοι· οὐ πέφρακται τοῖς σώφροσιν ἱκετεύειν τέμενος· φεύγει καὶ Κύπρις τὸν γάμον τὸν ἐφύβριστον· ὅπου πολλάκις ἀγροεῖ τὸ

[8] χαίρων m. M.
[9] ἴσ. θύσω m. M.

τὸ σπέρμα πατὴρ ὃ πεφύτευκεν. ὁ δεύτερος τοῦ πρώτου σφετερίζεται καὶ μίσγεται τὰ γένη, καὶ πάντα τίκτει δυσσέβεια. ταῦτα γράφω καὶ γράψω, καὶ τούτοις χρήσομαι· τάχα τῶν ἑτέρων ἀνελῶ τὸ πικρὸν ἐργαστήριον.

ΤΙΝΑΣ ΑΝ ΕΙΠΟΙ ΛΟΓΟΥΣ

Μένοικευς, ὑπὲρ νίκης τῆς πατρίδος, ἑαυτὸν ἀποσφάξαι βουλόμενος.

Ο μάντις ἔφηνε τῆς γνώμης τὴν ἀφορμήν· καὶ εἰ δέον ἐστὶ σώζεσθαι τὴν πόλιν, ἢ τοὐναντίον οἴχεσθαι, προηγόρευσεν. ὁ πατὴρ δὲ ὅλος τῆς φύσεώς ἐστι· καὶ τὸν παῖδα βούλεται σώζεσθαι καὶ φυγῆς μοι δίδωσι σύνθημα· ἀναίρεσιν καὶ ἀνδραποδισμὸν τῆς πατρίδος καταψηφιζόμενος· ἐγὼ δὲ, οὐκ ἂν προδότης γενοίμην τῆς ἐμαυτοῦ, οὐδὲ φιλόψυχος, οὕτω καὶ πρὸς τὸν θάνατον ἀγεννής, ὡς μὴ δοῦναι τῇ πατρίδι τὴν νίκην· καὶ τὸ μεῖναι πρὸς τὸ μέλλον ἂν, ἐπὶ τοῦ ἴσου σχήματος. Κοινὸς μὲν ἁπάντων ὁ θάνατος καὶ ἀναγκαῖον πάντας γενομένους ἀποθανεῖν· τὸ δὲ ἐν καλῷ τῷ σχήματι δέξασθαι τὴν τελευτήν, τῶν εὖ φρονούντων ἴδιον. εἰ μὲν οὖν πεισθείην τῷ πατρὶ, καὶ φυγῇ χρησαίμην, ἁλώσεται μὲν ἡ πόλις· πεσεῖται δὲ τὰ τείχη ταύτης. πολὺς δὲ ὁ φθόνος[10] τῶν ἐν ἡλικίᾳ. ἀνδραποδισθήσονται δὲ παῖδες, καὶ γυναῖκες, καὶ τὸ μέγα ὄνομα τῶν Θηβῶν οὐκ ἐπὶ τῆς Ἑλλάδος ἕξει τὴν δόξαν. ἐμοὶ δὲ ἐπονείδιστος ὁ βίος, εἰ τῆς Ἑλλάδος προαπελθεῖν, μὴ τοῦτο ἑλοίμην. εἰ δὲ ὑποσταίην τὴν σφαγὴν, καὶ κατ' ἐμαυτοῦ τὴν πληγὴν ἐπενέγκαιμι, πεπείσεται μὲν Ἀργολικὸν στρατόπεδον. δίκην δὲ ὑφέξουσιν οἱ στρατεύσαντες ἐφ' ἡμᾶς[11] * * * περιβόητος ἐπὶ τοῖς τροπαίοις, μεγάλην τὴν ἐλευθερίαν ἔχουσα· ἀγαλλομένη τῇ νίκῃ. ταῦτα δὲ ἡμῖν ἐπιγράφουσιν ἅπαντες· καὶ πολὺς

10 φόνος m. M.
11 ἴσ. ἡ δὲ πόλις ἔσται m. M.

πολὺς ὁ Μενοικεὺς ἐν ἐπαίνοις καὶ ἐγκωμίοις· ἰσοθέους τιμὰς ἔχων. οὐ δεῖ δὴ μαλακίζεσθαι. ὦ πόσοι πεπτώκασιν ἐπὶ παρατάξεως! πόσοι πολεμοῦντες ἐδέξαντο τὴν πληγήν; τούτων ἕνα με καὶ αὐτὸν γενέσθαι δεῖ, καὶ μείζονα ἐκείνων τὴν δόξαν λαβεῖν. τοῖς μὲν γὰρ οὐδὲν ἐγκώμιον τῆς πατρίδος προαπελθοῦσιν· ἐμοὶ δὲ τὸ πᾶν ἀπόκειται τῆς δόξης· καὶ τὰς τιμὰς ἰσοθέους ἕξω, καὶ τὴν μνήμην παρὰ πᾶσι, τῆς ἐμαυτοῦ πατρίδος προαπελθών.

ΕΚΦΡΑΣΕΙΣ.

ΕΚΦΡΑΣΙΣ ΠΕΖΟΜΑΧΙΑΣ

ἢ πολέμου.

ΑΝΘΡΩΠΟΙ δὲ ἐπειδὴ εἰς πόλεμον καταστῶσι, κατὰ τὰ ὑπάρχοντα αὐτοῖς ποιοῦνται τοὺς ἀγῶνας, οἷς μὲν εἰσὶ νῆες, ναυσίν· οἷς δὲ ἵπποι, ἱππεῦσιν· οἱ δὲ[a] τῶν ὅπλων ἰσχύοντες, ταῦτα κρίνουσι πρὸς ἀλλήλους. οἷς δέ ἐστι τὰ πάντα, διὰ πάντων μάχονται. καλαὶ μὲν οὖν αἱ ναυμαχίαι, καὶ τέχνης δέονται. πεζομαχίαι δὲ ἀξιολογώταται καὶ ἀρχαιόταται. ἐγὼ δὲ θεατὴς γενόμενος μάχης τοιαύτης, ἐθέλω σοι δεῖξαι λόγῳ τὴν θέαν. πόλεις ἐν ἠπείρῳ πλησίον ἀλλήλων κείμεναι, εἰς ἔχθραν ἧκον, ἐπειδὴ τῇ μὲν ἐδόκει πλεονεκτῆσαι, ἡ δὲ οὐκ ἠνέσχετο ἐλαττοῦσθαι. λόγοι δὲ ἦσαν ἐν ἑκατέρᾳ τῶν ῥητόρων· ὧν οἱ μὲν ἐπῄνουν τὸ κρατεῖν, οἱ δὲ τὸ μὴ ὑπακούειν[b]. καὶ οἱ μὲν ἐνέβαλον ἔρωτα τοῖς αὐτῶν τοῦ

ἄρχειν,

[a] f. οἱ δὲ διὰ τῶν ὅπλων ἰσχύοντες, ταύτῃ (scil. τῇ ὁδῷ) κρίνουσι τὰ πρὸς ἀλλήλους. ξ lcit. διαφορα.)

[b] ὑπακούειν m. M.

ἄρχειν, οἱ δὲ τῆς ἐλευθερίας. καὶ ἡνίκα πολέμου καιρὸς ἦν, ἐν παρασκευαῖς ἦσαν, τὰ ὑπάρχοντά τε ἐξετάζοντες, καὶ συμμάχους ἀγείροντες. ἐπιόντων δὲ τῶν ἀδικούντων, ἀντεπεξῄεσαν οἱ ἀμυνόμενοι. καὶ ἐδέξατο χωρίον ἀμφοτέρους λεῖόν τε καὶ εὐρὺ, καὶ ἀρκοῦν τῷ ἔργῳ. ἐτάξαντο δὲ ὧδε· ἐπὶ μὲν ἑκατέρου μέρους[3] ἦσαν ἀμφότεροι[4] οἱ ἱππεῖς. τὸ δὲ μέσον ἐπεῖχον οἱ ὁπλῖται, τοξόται τε, καὶ ὅσον ψιλὸν ἐφείποντο. θήξαντες δὲ οἱ στρατηγοὶ ταῖς παρακλήσεσι τῶν μαχομένων τὰς γνώμας, ἐκέλευον ἆραι τὰ σημεῖα. καὶ ἦρξαντο[5] τοξόται τῆς μάχης. καὶ βέλη πολλὰ ἐφέρετο, τὰ μὲν εἰς σώματα, τὰ δὲ ἀπετύγχανεν. ὡς δὲ ἀνήλωτο τὰ βέλη τοῖς τοξόταις, ἐν χερσὶν ἦν ἡ μάχη. καὶ δρασμὸς[6] πολὺς, καὶ πάταγος, καὶ φόνος, ἓν εἰργάζετο τέως τὰ δόρατα. ἐπεὶ δὲ οὐ τούτοις ἦν ἔτι χρῆσθαι, ξίφεσιν ἀλλήλους ἀπέκτεινον. καὶ τοῦ μὲν ἀπεκόπη χεὶρ, τοῦ δὲ ὀφθαλμὸς ἐξεκόπη· ὁ δὲ ἐν τῷ βουβῶνι πληγεὶς ἔκειτο· τοῦ δέ τις ἀνέρρηξε τὴν γαστέρα. καὶ ὁ μὲν ἀγαθὸς εἶχεν ἐπὶ τῷ[7] στήθει τὴν πληγήν. τὸν δὲ κακὸν εἶδες ἂν[8] κατὰ τοῦ νώτου τοῦτο παθόντα. κτείνας τις τοῦτον ἐσκύλευε κείμενον. τὸν δὲ ἰδών τις σκυλεύοντα, πλήξας ἐπικατήνεγκεν. αὐτὸν δὲ ἐκεῖνος, ἐκεῖνον δὲ ἕτερος. ὁ μέν τις πολλοὺς κτείνας[9] ἀπέθανεν, ὁ δὲ ὀλίγους· ὁ δέ τις οὐδὲν δράσας, ἔκειτό γε ἐπ᾽[10] ἀσπίδι τεθνεὼς, ὁ δ᾽ ἐπ᾽ οὐδεί· πολλοὶ δὲ καὶ τεθνάναι σχηματιζόμενοι, τοὺς ἐφισταμένους κάτωθεν ἐτίτρωσκον. ἱππεὺς ἔκτεινεν ὁπλίτην, ὁπλίτης ἱππέα. ὁ μὲν ἐκβαλὼν τοῦ ἵππου τὸν στρατιώτην, ὁ δὲ πρότερον πλήξας τὸν ἵππον, ἔπειτα ἐκεῖνον δυνηθείς. τὸ δὲ αἷμα τὴν γῆν ἐφοίνισσε.

καὶ

3 κέρως m. M.
4 f. ἀμφοτέροις. aut παρ᾽ ἀμφοτέροις.
5 ἦρχον m. M.
6 δρασμὸς] imo vero βρασμὸς fremitus, quasi bullientis, aestuantis maris.
7 ἐν τῷ. m. M.
8 εἶδεν ἄν τις. m. M.
9 κτείνας] κτήνας M.
10 ὑπ᾽ ἀ. m. M.

καὶ ἐπιβαίνοντες τοῖς νεκροῖς οἱ ζῶντες, τὰ λοιπὰ ἔπρασσον. ἤδη δέ τις καὶ ζῶν εἰλημμένος, λύτρων ἐμέμνητο πρὸς τὸν ἑλόντα· τῷ δὲ οὐδὲν ἔμελλε[11] χρημάτων, ἀλλ' ἐπλήρου τὸν βόθρον. μέχρι μὲν οὖν μεσημβρίαν σαθῆναι,[12] ἀμφοτέρωθεν ἦν ἔργα γενναῖα. τὸ δὲ ἐντεῦθεν, ἔδοσαν δίκην οἱ ἀδικοῦντες. τῶν γὰρ ἱππέων αὐτοὺς περικλειόντων, δείσαντες μὴ κυκλωθεῖεν, ᾤχοντο φεύγοντες. οἱ δὲ ἐνέκειντο σὺν βοῇ, ἣν ἠφίεσαν· χαίροντές τε τῇ τροπῇ, καὶ ἅμα ἐκείνους προσεκπλήττοντες. διώκοντές τε τοῦ ζωγρεῖν μᾶλλον, ἢ τοῦ φυγεῖν[13] ἐγίνοντο. καὶ εἷλον αἰχμαλώτους πολλούς, τοὺς μὲν τετρωμένους, τοὺς δὲ ἄνευ τραυμάτων. οἱ δὲ διαφυγόντες, κατέφυγον εἰς τὸ ἄστυ, καὶ ἀνείλοντο νεκροὺς ὑποσπόνδους· οἱ δὲ αἰχμαλώτους ἄγοντες, καὶ λάφυρα, παιανίζοντες ἀνέστρεφον. καὶ ἦν παρὰ μὲν τοῖς νενικηκόσι τὰ τῶν κρατούντων, θυσίαι,[14] πρόσοδοι καὶ στεφανοῦν[15] τοὺς ἀριστεύοντας· οἱ δὲ ἡττώμενοι τοὺς ῥήτορας εἶχον ἐν μέμψει. κατηγόρουν δὲ ἅμα μὲν[16] τῶν στρατηγούντων οἱ ῥήτορες. καὶ ἐδόκει τῶν παρόντων, τοῖς μὲν χρῆναι καταλύσασθαι τὴν ἔχθραν, τοῖς δὲ καὶ δευτέραν αὖθις συγκροτῆσαι μάχην.

ΕΚΦΡΑΣΙΣ ΓΡΑΦΗΣ
ἐν βουλευτηρίῳ.

ΕΝ δὲ τῇ αὐλῇ τοῦ βουλευτηρίου, ἣ δέ ἐστιν οὐ μεγάλη μέν, καλὴ δέ, στοῶν ἐν μέσῳ τεσσάρων, ἃς ἐποίουν κίονες, εἶδον τοιαύτην γραφήν. ἀγρὸς ἦν, καὶ οἰκήματα ἀγροίκῳ πρέποντα, τὰ μὲν μείζω, τὰ δὲ ἐλάττω. πλὴν[17] δὲ τῶν οἰκημάτων ἀνατρέχουσαι ἑωρῶντο κυπάριττοι· ὅλας μὲν οὐκ ἦν ἰδεῖν· ἐκώλυε γὰρ τὰ οἰκήματα· τὰ δὲ ἄκρα τῶν

[11] f. ἔμελε (uno λ).
[12] μεσημβρία σαθερὰ m. M.
[13] praefero φονεύειν e margine M.
[14] ἃ τῶν κρ. ἐστί. θ. m. M.
[15] f. ἐστεφάνουν in imperfecto.
[16] ἅμα μὲν] f. ἁμιλλώμενοι.
[17] πλὴν] lege πλησίον.

τῶν δένδρων ἐφαίνετο, τότε γε ὑπεραίροντα.[18] ταῦτα ὡς εἰκὸς, ἀνάπαυλαν παρεῖχε τοῖς ἀγροίκοις, σκιᾷ τε τῇ ἀπὸ τῆς κόμης, καὶ ὀρνίθων φωνῆς, οἱ χαίροντες ἐπὶ τῶν δένδρων ἱζάνοντες.[19] ἐγράφοντο δέ τινες ἐκ τῶν οἰκημάτων τέσσαρες. ὁ μὲν παρεκελεύετό τι μειρακυλλίῳ πλησίον ἑστῶτι· τοῦτο γὰρ ἐμήνυεν ἡ δεξία, ὡς ἄρα τί ἐπιτάττοι. ὁ δὲ ἐπέστρεφε[20] πρὸς τούτους, οἷα φωνῆς ἀκούων τοῦ ἐπιτάττοντος. ὁ δὲ δὴ τέταρτος[21] ὀλίγῳ[22] προελθὼν τῶν θυρῶν, τὴν δεξιὰν ἐκτετακὼς, ῥάβδον τῇ ἑτέρᾳ φέρων, ἐφαίνετό τι βοᾶν πρὸς τοὺς πονοῦντας περὶ τὴν ἅμαξαν. ἄρτι γὰρ ἅμαξα φορτίου πλήρης. οὐκ ἔχω δὲ εἰπεῖν εἴτε ἄχυρα ἦν, εἴτε ἄλλο φορτίον· τὸν ἀγρὸν ἀφεῖσα μέσην εἶχε τὴν ὁδόν. ἅτε οὖν οὐκ ἀκριβῶς καταλύσαντες[23] τὸ φορτίον, ἀλλὰ ῥαθύμως βοηθεῖν ἐπειρῶντο, ὁ μὲν ἔνθεν. ὁ δὲ ἔνθεν· ὁ μὲν γυμνὸς ὅλου διὰ τώματος, βακτηρίᾳ[24] ἀνέχων τὸ φορτίον·[25] τοῦ δὲ ἐφαίνετο μὲν τὸ πρόσωπον, καὶ μέρος τι τοῦ στήθους. ὅσα δὲ[26] εἰκὸς ἐκ τοῦ προσώπου ταῖν χεροῖν, καὶ αὐτὸς ἤμυνε τὰ δ' ἄλλα ὑπὲρ[27] τῆς ἁμάξης ἐκρύπτετο. ἡ δὲ ἅμαξα, οὔτε τετράκυκλος, ἔφησεν Ὅμηρος, ἀλλὰ δυοῖν τροχοῖν, ἣ καὶ τὸ φορτίον περιέῤῥει, καὶ ἐδέοντο τῶν

[18] f. ἐφαίνετο, τὰ τέγη ὑπεραίροντα super culmina vel fastigia tectorum eminentia.

[19] f. γραφαῖς, οἳ ἔχαιρον — ἱζάνοντες aut οἳ χαίροντες ᾖδον ἐπὶ τ. δ. ἱ.

[20] f. ἐπεστρέφετο πρὸς τοῦτον. m. M. dat ὑπέστρεφε.

[21] τέταρτος] imo vero τρίτος. nisi si quid deest, quod videtur.

[22] malim ὀλίγον e m. M.

[23] f. καταδήσαντες. *Sie batten das Stroh oder Heu nicht recht feste, sondern locker und ruschelig zusammen gebunden.*

[24] f. sic distinguendum: γυμνὸς, nudus, ὅλου διὰ σώματος βακτηρίᾳ — toto corpore connixus sustinebat obiecta furca ruentem molem. πλὴν διὰ m. M.

[25] βακτηρίαν τὸ φ. ἔχων m. M.

[26] δὲ] imo vero τε, *et quaecunque* partes manuum atque cubitorum necesse erat etiam in conspectum venire, quandoquidem facies esset prodita a pictore. (Secundum proportionem oris.)

[27] ὑπὲρ] imo vero ὑπό.

τῶν ἀμυνόντων οἱ βόες. ἄμφω τὸ χρῶμα φοίνικες, καὶ εὖ τεθραμμένοι, καὶ τοὺς αὐχένας πλατεῖς. τῷ βοηλάτῃ δὲ τὸν χιτωνίσκον ἀνέστειλεν εἰς γόνυ ζωστήρ. τῇ μὲν οὖν δεξιᾷ λαβόμενος τῶν χαλινῶν εἷλκε· ῥάβδον δὲ ἔχων ἐν τῇ ἑτέρᾳ,[28] οὐδὲν ἄρα ἐδεῖτο εἰς τὸ προθύμους ποιεῖσθαι[29] τοὺς βοῦς· ἀλλ' ἠρκεῖτο τῇ φωνῇ. καὶ γὰρ ἡδύ τι πρὸς αὐτοὺς οἷα δή τις φθεγγόμενος ἔβλεπεν, ὧν ἂν ξυνίῃ βοῦς. ἔτρεφεν ὁ βοηλάτης καὶ κύνα· ὡς ἂν ἔχοι καθεύδειν, ἔχων τὸν φύλακα. καὶ παρῆν ὁ κύων τοῖς βουσὶ παραθέων. χωροῦσα δὲ ἡ ἅμαξα, πλησίον ἦν ἱεροῦ. τοῦτο γὰρ ἐσήμαινον οἱ κίονες, καὶ τὰ ὑπερκύπτοντα δένδρα. ἄγαλμα δὲ οὐκ ἐδείκνυεν ἡ γραφή, ἴσως αὐτὰ τὰ δένδρα θεοὺς ἡγοῦντο, καὶ ἐθεράπευον· ἢ τάχα ἦν μὲν ἄγαλμά τι, τὸ δὲ ὑπὸ τῶν δένδρων οὐκ ἐφαίνετο.

ΕΚΦΡΑΣΙΣ ΜΕΘΗΣ.

ΤΟΝ οἶνον ἣν πίνῃ τις μετρίως, τό, τε σῶμα ὤνησε, τὴν δὲ[30] ψυχὴν οὐκ ἔβλαψεν. ἣν δ' ἐκφέρηται πρὸς ἀμετρίαν, καὶ πίνῃ πρὸς ὑπερβολήν, καὶ ἤδη μεθύσκηται, τοιάδε ἀνάγκη πάσχειν. εἶδον γὰρ μεθύοντα ἄνθρωπον ἔν τε αὐτῷ τῷ συμποσίῳ, καὶ οἴκαδε ἰόντι παρηκολούθησα. ἕως μὲν οὖν οὐκ ἐμπέπληστο, πάνυ σωφρόνως τε διελέγετο, καὶ ἦν ἥμερος, καὶ εἶπεν ἄν τι οὐκ ἄμουσον, καὶ σκῶμμα ἂν ἠνέσχετο. κρατοῦντος δὲ ἤδη τοῦ οἴνου, καὶ τυραννοῦντος, τότε σῶμα ἠρυθραίνετο, πρόχειρός τε ἦν εἰς ὀργήν, καὶ ὕβριζε μὲν ἑτέρους. εἰ δέ τις χαριεντίσαιτο, ἐδυσχέραινε. κατηγόρει δὲ καὶ τοῦ οἰνοχόου μηδὲν ἁμαρτάνοντος. καὶ ἥτε κύλιξ ἐξέπιπτε[31] τῆς χειρός· τό, τε βλέμμα παρήγετο· ἥτε γλῶττα, τὸ αὐτὸ ἐπεπόνθει. ὡς δὲ καὶ ἀνίστασθαι ἔδει, τῶν ὀρθωσόντων ἐδεῖτο, καὶ ἀξόντων. καὶ μέχρι μὲν ἐπὶ τὴν ἀγορὰν ἧκεν,

ἐδεῖτο

[28] θατέρᾳ m. M.
[29] ποιῆσαι m. M.
[30] δὲ] lege τε.
[31] ἐξέπιπτε] ἔπιπτε M.

ἐδεῖτο[32] τοῦ ἄγοντος, ὡς δὲ ἐνταῦθ' ἐγεγόνει, τὸν μὲν ἀφῆκεν, ἐπειρᾶτο δ' ἀρκεῖν αὐτῷ· οὐ μὴν ἴσχυσεν. ἐῴκει τοῖς παραπαίουσι, τῇδε καὶ τῇδε φερόμενος, ἐλπίδα παρέχων ἀεὶ πεσεῖσθαι· τῷδ' αὐτῷ καὶ γέλωτα. οὐ γὰρ ἦν ὅς τις ἄνευ τοῦ γελᾶν ἑώρα. τῶν δὲ συνήθων ὅς τις προσῆλθε βοηθήσων, οὔτ' ἐγνωρίζετο, δυσμενοῦς[33] τε ἔργον ἐδόκει ποιεῖν. μόλις δὲ ἐλθὼν οἴκαδε, πολλῶν ἑπομένων, (ἡδονὴν γὰρ δὴ παρεῖχεν ἡ τοῦ μεθύοντος συμφορὰ) τοῖς μὲν οἰκέταις ἐπέπληττεν· ἡ γυνὴ δὲ αὐτῷ κακῶς ἐδόκει τἄνδον διῳκηκέναι, πλημμελοῦσα οὐδέν. καὶ οὐδενὸς ἐπ' αὐτῶν ἐφείδετο ῥήματος, τρανὲς δ' οὐδ' ὁλόκληρον· ἀλλὰ τῶν μὲν γράμματα, τῶν δ' ἀφῄρητο συλλαβήν, τοῦ δεῖ τι καὶ πλέον[34] καθίζων δὲ διεμέμφετο τὴν οἰκίαν, ὡς οὐκ ἐθέλουσαν ἑστάναι. καὶ ἐβόα, πολλὰ δὴ καὶ συνεχῆ, καθάπερ ἀδικούμενος. ἔπειτα ἐκταθεὶς, ἔκειτο κατειλημμένος ὕπνῳ μάλιστα ἐοικότι θανάτῳ, μακροῦ δὴ τούτου τετυχηκώς. καὶ τῆς ἡμέρας φανείσης, ἀπέλαβε τοὺς λογισμοὺς, ὧν ἐπεπόνθει ὑπὸ τῆς μέθης· αὐτὸς μὲν εἰδὼς οὐδὲν, τοὺς δ' ἄλλους ἔχων διδασκάλους.

ΕΚΦΡΑΣΙΣ ΕΑΡΟΣ,

συγγραφικῷ χαρακτῆρι.

ΤΟ δὲ ἔαρ φιλῶ τε πλέον ἢ τὰς ἄλλας ὥρας, καὶ οἷον ἐστιν ἐθέλω διηγήσασθαι. λύει μὲν γὰρ ὥσπερ ἐκ δεσμωτηρίου τοὺς ἀνθρώπους τοῦ χειμῶνος. καὶ τὴν ἡμέραν πολλῷ δείκνυσι διαφέρουσαν τῆς νυκτός· ἐλευθεροῖ γὰρ τὰς ἀκτῖνας τῶν νεφῶν. καὶ τότε δὴ φαιδρός τε ἥλιος καὶ ἥμερος, καὶ τερπνὸς τοῖς σώμασι. θερμότερος μὲν ἢ τοῦ χειμῶνος προσβάλλων· οὔπω δ' εἰς ἀμετρίαν τῆς θερμότητος εἰσβαίνων, ὃ τοῦ θέρους πέφυκε ποιεῖν· ὥσθ'

32 ἄχετο m. M.

33 δυσμενοῦς] inimici. δυσγενοῦς M.

34 f. τοῦ δέ τι καὶ πλέον aut τοῦ δ' ἔτι καὶ πλέον.

ὥστ' ἡδέως ἄν τις ἐπ' αὐτῷ μέρος οὐ μικρὸν τῆς ἡμέρας διατρίψειε. τότε δὴ καὶ τὴν ἠῶ ῥοδοδάκτυλον ἔξεστι προσειπεῖν. ἀλλὰ καὶ τὴν νύκτα ποιεῖ τερπνὴν τὰ ἄστρα φαινόμενά τε καὶ κρυπτόμενα. καὶ γίγνεται ἀγρυπνοῦντι θέαμα ἥδιστον πεποικιλμένος τοῖς τόποις ὁ οὐρανός. ἡ γῆ δὲ τὰ παρ' αὐτῆς ἐκφέρει. καὶ χλωρὰ τότε τὰ λήϊα γεωργοὺς εὐφραίνοντα ταῖς ἐλπίσιν. ἀλλὰ καὶ δένδρα τὴν κόμην ἀπολαμβάνει. καὶ πάντα ἐν ἐπαγγελίαις καρπῶν. καί τις ἐφ' ὑψηλοῦ[35] ἑστὼς, βλέπων μὲν εἰς τὴν ἤπειρον, βλέπων δὲ εἰς θάλατταν, οὐχ ἧττω ἂν τὴν εὐφροσύνην ἀπὸ ταύτης, ἢ ἀπὸ τῆς ἠπείρου καρπώσαιτο. ἀνοίγνυται τότε[36] καὶ ἡ θάλαττα τοῖς πλωτῆρσιν. οὐ γὰρ ὑψηλὰ τότε τὰ κύματα, οὔτε ὄρεσιν ἐοικότα· ἀλλ' ὕπτια μὲν αὐτῇ τὰ νῶτα (πνεύματά τε) ἐμπόρων δὲ μεστὰ,[37] τῶν τε τὰ πελάγη περαιουμένων, τῶν τε κατὰ γῆν ἐπιμιγνύντων.[38] οὐ γὰρ ὁδοὶ τραχεῖαι, οὔτε ὄμβροι λυπηροί, ἀλλὰ καὶ αὐτὸ τὸ πορεύεσθαι, καὶ παρ' ἀλλήλους ἰέναι, τῶν κερδῶν οὐ μεῖον εἰς ἡδονήν. ποταμοὶ δὲ οἱ μὲν ἀέναοι καθαροὶ οἱ δὲ χείμαρροι σωφρονέστεροι. καὶ αἱ πηγαὶ δὲ πολὺ βελτίους ἢ τοῦ χειμῶνος· ἀργεῖν δὲ ἐν τούτοις ἐθέλει μὲν οὐδείς· πρὸς ἔργον δ' ἐπείγεται, καὶ μελέτην, ὁ ἱππεὺς, ὁ τοξότης, ὁ κυνηγέτης. ἐοίκασι δ' ἀναβεβιωκόσιν οἱ ἄνθρωποι. τὰ πολλὰ μὲν ἀγοράζοντες, χωροῦντες δὲ καὶ ἐπ' ἀγροὺς, ἐντρυφῶσιν[39] ὀρνίθων τε ᾠδαῖς, καὶ ἀνθέων ὀδμαῖς. ᾄδει μὲν ἐν ἔαρι[40] χελιδών· ᾄδει δὲ καὶ ἀηδὼν, αἱ Πανδίονος θυγατέρες αἱ ἠδικημέναι παρὰ τοῦ Θρᾳκός. ἀλλὰ καὶ τὰ ἄλλα τῶν ὀρνίθων γένη φαίνεται πανταχοῦ πετόμενα, καὶ τοῖς οἰωνισταῖς ὀξείας ποιεῖται τὰς μαν-

[35] ἐφ' ὑψηλοῦ] ἀφ' ὑψ. M.

[36] ἀνοίγνυται τότε] interponendum videtur γάρ. m. M. dat ἀνοίγεται.

[37] f. πνεύματά τε ἤπια, ἐμπόρων τε πάντα μεστά,

[38] f. τῶν τε καὶ γῇ ἐπιμιγνυμένων. vulgatam κατὰ γῆν si seruabis, haec erit sententia: in portubus venientium ad litora maris.

[39] καὶ τρυφῶντες m. M.

[40] μὲν ἐν ἔαρι] sic dedi, M. omittit ἐν.

μαντείας. καὶ κινεῖται δὲ πρὸς μίξιν τὰ πετεινὰ καὶ τὰ ἄλλα πάντα. ἀγροὶ δὲ ἥδιστοι φωνῇ τε ἀρνῶν, καὶ ὅπερ ἔφην ἤδη, τοῖς ἄνθεσι, τῷ ῥόδῳ, τῷ ἴῳ, τοῖς κρίνοις, τοῖς ἄλλοις, ἃ ἡδὺ μὲν ἰδεῖν, ἡδὺ δὲ καὶ εἰς χεῖρας λαβεῖν. ἐπὶ ταῦτα καὶ τὸ ἔαρ ἐξάγει τοὺς ἀνθρώπους, καὶ εὐωχεῖ, τερπομένους μὲν οἴνῳ, τερπομένους δὲ στεφάνοις· οὐδὲ γὰρ ἀνέχονται συμπίνειν ἄνευ ῥόδων. ἀλλ' ἔστι ταῦτα πανταχοῦ πολλὰ, ἐν τραπέζαις, ἐν ἐκπώμασιν, ἐν χερσὶν, ἐν κεφαλαῖς. τὰ δὲ, καὶ διέῤῥιπται κατὰ γῆς. ταῦτα καὶ τὰς πόλεις φαιδροτέρας ποιεῖ, γεωργῶν κομιζόντων τε καὶ ἀποδιδομένων. μετὰ τούτων καὶ αἱ παρθένοι καθεύδουσι. καὶ ὅποι περ ἂν ἴδοις, ῥόδα ὄψει λάμποντα. τιμᾶται γὰρ τὸ ἄνθος καὶ ἀγαπᾶται μάλιστα, τῆς ὥρας τὸ χαρίεν δεικνύον. χαίρουσι δ' οἶμαι, καὶ θεοὶ τοῖς ἀπὸ τούτων στεφάνοις, ὥσπερ καὶ λιβανωτῷ.

ΕΚΦΡΑΣΙΣ ΚΑΛΑΝΔΩΝ.

ΤΑΣ ἑορτὰς ἄνθρωποι φιλοῦσιν, ὅτι αὐτοὺς ἀπαλλάττουσι μὲν πόνων τε καὶ ἱδρώτων· παρέχουσι δὲ παίζειν καὶ εὐωχεῖσθαι, καὶ ὡς ἥδιστα διάγειν. ἑορτὴ δὲ ἡ μὲν τῆς οἰκίας, ἡ δὲ πόλεως, ἡ δὲ ἔθνους. μίαν δὲ οἶδα κοινὴν ἁπάντων ὁπόσοι ζῶσιν ὑπὸ τὴν Ῥωμαίων ἀρχήν. γίγνεται δὲ ἐνιαυτοῦ τοῦ μὲν πεπαυμένου, τοῦ δὲ ἀρχομένου. πρῶτον μὲν οὖν προσιοῦσα ποθεινόν τι χρῆμά ἐστι, καὶ δοκεῖ τοῖς ἀνθρώποις βραδύνειν ὁ χρόνος. καὶ ἐπείγονται λαβέσθαι τῆς ἑορτῆς, ὥσπερ τῆς γῆς ἐπιθυμοῦσιν οἱ πλέοντες. ἔπειτα πᾶς ὥρμηται ἀναλίσκειν ἡκούσης, ὅτῳ τε πολλὰ χρήματα, καὶ ὅς τις φειδόμενος ἀργύριόν τι συνέλεξεν. ἐσθῆτά τε ὁ μέν τις ἔπλυνεν ὁ δὲ ἐχρήσατο. καὶ οἷς μὲν γεωργία, πάνθ' ὅσα ἀγρὸς δίδωσι φέρεται. τάτ' ἄλλα, καὶ ὀρνίθων μυρίων[41] γένη, τῶν μὲν, τιθασσῶν, τῶν δὲ, ἀγρίων. οἷς δ' ἀπὸ τῶν χει-

[41] μυρία m. M.

χειρῶν ὁ βίος, τούτοις τε καὶ τὰ[42] παρὰ τῶν καπηλευόντων ἀρκεῖ. τότε γὰρ μάλιστ' ἂν ἴδοις ἀγορὰν ἀνθοῦσαν. τῇ μὲν οὖν προδρόμῳ τῆς ἑορτῆς ἡμέρα, δῶρα δι' ἄστεος κομίζεται, ὅσα ἂν τράπεζαν ποιήσαι λαμπράν. τὰ μὲν παρὰ τῶν δυνατῶν ἀλλήλους τιμώντων· τὰ δὲ τούτοις τῶν ὑποδεεστέρων, παρά τε τούτων ἐκείνοις. τῶν μὲν θεραπευόντων τὴν ἐκείνων ἰσχύν· τῶν δὲ, τοῖς θεραπεύουσι τῆς ἑαυτῶν μεταδιδόντων τρυφῆς. ἑσπέρας δὲ ἡκούσης, ὀλίγον μὲν τὸ καθεῦδον. οἱ πολλοὶ δὲ ἐν ᾠδαῖς τε καὶ πηδήμασι καὶ σκώμμασιν· οἱ δὴ[43] καὶ τοῖς ἐν τοῖς ἐργαστηρίοις ἐμβάλλοντες, θυροκοποῦντες καταπωθάζουσι, καὶ οὐκ ἐῶσι καθεύδειν. καὶ οἱ μὲν, ἀγανακτοῦσιν οἷς ἀκούουσι. τοῖς δὲ, τοῦτο γέλως. καὶ οὐδεὶς οὕτω στρυφνὸς, ὅστις ἂν παριὼν τοῖς δρωμένοις ἐπιτιμήσαι. ἀλλὰ καὶ ὅστις κρείττων γέλωτος ἐγέλασεν. ὄρθρου δὲ ὑποφαινομένου, καὶ ἀλεκτρυόνος ᾄδοντος, οἱ μὲν, κοσμοῦσι δάφνης τε κλάδοις καὶ ἑτέροις εἴδεσι στεφάνων τὰ αὐτῶν ἕκαστοι πρόθυρα. οἱ δὲ ἄγουσιν εἰς ἱερὰ σὺν εὐφημίαις ἄνδρα ἱπποτρόφον,[44] λάμποντες ἐσθήμασιν ὧν τὸ πλέον πορφύρα. καὶ λαμπάδια πολλὰ παρέχει τὸ φῶς. τῷ δὲ θεράποντες ἕπονται διασπείροντες εἰς τὸν ὄχλον ἀργύριον. καὶ τὸ δέξασθαι φερόμενον[45] παρώσωντα τὸν πέλας, ἥδιστόν γε. καὶ χαίρουσιν[46] ἐνταῦθα καταπατούμενοι. θύσαντες δὲ καὶ νίκην αἰτήσαντες παρὰ τῶν θεῶν, οἱ τοὺς ἵππους ἐπὶ ταῖς ἁμίλλαις τρέφοντες χαροῦσι παρὰ τοὺς ἄρχοντας, διδόντες τοῖς τῶν ἀρχόντων ὑπηρέταις χρυσοῦς. ἡ βουλὴ δὲ παροῦσα, ταῦτα

[42] f. τούτοις τά τε ὑπάρχοντα et copiae domesticae praesentes, et emtae a cauponibus.

[43] οἱ δὴ] f. vno vocabulo ἤδη.

[44] ἄνδρα ἱπποτρόφον] *einen reichen und vornehmen Mann.* hominem nobilem et beatum. consulem designat. ἀνδρὶ ἱπποτρόφῳ m M.

[45] φερόμενον] scil. τὸ ἀργύριον. nummos argenteos et aureos per auras volitantes excipere, praereptos aliis, item captantibus, ea vero est praecipua hilaritas.

[46] φέρουσιν m. M.

ταῦτα ὁρᾷ τε καὶ δρᾷ. καὶ γὰρ ἐκ τῶν[47] ἐκείνων χειρῶν τοῖς ὑπηρέταις ἀφικνεῖται ταῦτα.[48] καὶ μὴν καὶ ὁ ἄρχων τότε τὸν ἀρχόμενον ἐφίλησε· χρυσὸν[49] τὸν μὲν δοὺς, τὸν δὲ[50] λαβών. ῥεῖ δὲ καὶ ἄλλοις πολὺ πανταχόθεν χρυσίον· τῶν μὲν τοὺς ἄρχοντας μιμουμένων· τῶν δὲ εἰσάπαξ διδόντων· ὧν δὴ καὶ οἱ σοφίας εἰσὶ μανθάνοντες· τιθέντες τηνικαῦτα μὲν μισθὸν τόνδε τῆς ἑορτῆς ἕνεκα. ἡμέρας δὲ φανείσης, οἱ μὲν, τοὺς ἐν τῇ νυκτὶ πότους· πίνουσι γὰρ δὴ τῆς νυκτὸς, ὁπόσοις καὶ τοῦτ᾽ εἶναι δοκεῖ τῆς ἑορτῆς τὸ κεφάλαιον· τὴν σὺν ἐν τῇ νυκτὶ πόσιν. ἄμετρον δηλοῦσι τῇ μέθῃ καὶ ἀνάγκῃ κεῖσθαι καθεύδοντας. οἱ δ᾽ αὖ δεξιώτεροι, ἐν φροντίσιν[51] ἔχουσι τὴν τῶν δώρων πομπήν. καὶ πολλοὶ τούτων διὰ στοῶν τὲ καὶ στενωπῶν πέμπουσι τὰ δῶρα. ὧν ὁ μέν τις τὸ πλέον ἀπέπεμψεν· ὁ δὲ οὐδέν. καὶ ὅγε τὸ πᾶν προέμενος, μειζόνως εὔφρανε τὸν δόντα. τοιαῦτα μὲν τῆς νουμηνίας τὰ ἔργα. δευτέρᾳ δὲ ἱσταμένου, τὰ μὲν τῶν δώρων οὐ μένει, νόμος δὲ οἴκοι μένειν. καὶ πρὸς κύβοις εἰσὶ δεσπόται τὲ ἀναμὶξ καὶ οἰκέται. καὶ ῥαθυμῆσαι τότε οἰκέτην οὐδὲν δεινόν. ἀλλὰ καὶ μεθύων τὶς αἰτίαν διέφυγε, τῆς ἑορτῆς παραιτουμένης. ἐπεὶ καὶ παιδαγωγός τις ἄγριος, τότε οὐκ ἄγριος· καὶ διδάσκαλος ὅστις χαλεπὸς, τότε οὐ χαλεπός. ἀλλ᾽ ἰσηγορίαν ὁ καιρὸς ποιεῖ. καὶ μάστιγες μὲν ἠρεμοῦσι καὶ πληγαί. γέμει δὲ πάντα εἰρήνης τὲ καὶ ἐλευθερίας καὶ ἡδονῆς· καὶ οὐδεὶς οὕτω πτωχός, ὅστις λαμπρᾶς ἐδωδῆς εἰς πλησμονὴν οὐχ ἧκε· βρύει γὰρ ἅπασι τοῖς τοιούτοις ὁ καιρός. καὶ πάντων ἐν χερσὶ πάντα, καθάπερ τῆς γῆς ἀνείσης. τρίτη δὲ ἱσταμένου, ζεύγνυται μὲν ἁμιλλητήρια ἅρματα. πολλὴ δὲ ἔρις ὑπὲρ τῆς νίκης. πολὺς δὲ ὅμιλος ἐν ἱπποδρόμῳ, καὶ λουτρὰ ἐπ᾽ ἐκείνῳ. καὶ ἐπὶ τούτοις τράπεζαι καὶ ἐπὶ τῶν αὐτῶν τραπεζῶν κύβοι· καὶ τισὶν ἡ περὶ ταῦτα ἔρις προσανήλωσε τῇ ἡμέρᾳ τὴν νύκτα· καὶ οὐκ ἐγένετο πόνος ἢ ἀγρυ-

[47] f. καὶ γὰρ καὶ ἐκ τῆς.

[48] f. ταὐτὰ eadem, scil. numi aurei.

[49] ἴσ. χρυσῶν m. M.

[50] τὸν δὲ] f. τῇδε.

[51] φροντίδας m. M.

ἀγρυπνίᾳ. τετάρτη δὴ ἡμέρα, τὴν μὲν ἀκμὴν τῆς ἑορτῆς ἀμβλύνει τὸ πᾶν δὲ οὐδ' ἡ μετ' ἐκείνην σβέσαι δύναιτ' ἂν ἀλλ' ὥσπερ αὖρά τις ἔτι λεπτὴ πνέουσα, κατέχει τοὺς ἀνθρώπους ὁ καιρὸς ἐν εὐφροσύναις ἀμυδροτέραις. καὶ μόλις πως, καὶ σὺν ὄκνῳ τῶν ἔργων ἅπτονται· καθάπερ ἵπποι διὰ χρόνου πάλιν ὑπαγόμενοι ζυγῷ. καὶ ὁμοῦ τε πρὸς ἔργον χωροῦσι καὶ εὔχονται τὴν αὐτὴν αὖθις ἑορτὴν ἐπιδεῖν.

ΕΚΦΡΑΣΙΣ ΔΡΟΜΟΥ τῶν Ἡρώων.

ΗΚΟΥΣΑΣ μὲν ὅπως ἔδραμον Ἥρωες ἡνίκα καὶ Ἀχιλλεὺς ἐτίμα τὸν Πατρόκλου τάφον παντοδαποῖς ἀγωνίσμασι λάμβανε δὲ καὶ τῇ ἀκοῇ τὴν θέαν. ἁμιλλᾶται γὰρ ἡ γραφὴ πρὸς τὰ ἔπη. οἱ μὲν Ἀτρεῖδαι κάθηνται δηλοῦντες τοῖς σκήπτροις τὴν τύχην, καὶ ἔτι τοῖς διαδήμασι. ταῦτα[52] γὰρ εἶμαι τὴν βασιλείαν σημαίνει. τείνουσι δὲ πρὸς τὸν δρόμον τοὺς ὀφθαλμούς. καὶ εἰσὶ τῶν γινομένων. ξανθὸς μὲν ὁ Μενέλεως, μέλας δὲ ὁ Ἀγαμέμνων τὴν τρίχα. δορυφόροι δὲ τρεῖς κατόπιν ἑστᾶσι, γυμνοὶ μὲν τὰς κεφαλάς· δόρατα δὲ ἦν αὐτοῖς καὶ ἀσπίδες. ἐφαίνετο δὲ τῷ μὲν, τὰ ἀπὸ τῆς κορυφῆς ἄχρι τοῦ στέρνου· τοῖς[53] δὲ, οὐδέν. ἀλλὰ καὶ χλαμύδες αὐτοῖς ἦσαν, καὶ τοῖς μὲν[54] γένειον, τῷ δὲ οὔ. καὶ ὁ Νέστωρ ἐγέγραπτο[55] μετὰ τῶν βασιλέων καθήμενος, οὐ μᾶλλον[56] κομῶν τε τὴν κεφαλήν. μέσον αὐτοῦ δὲ καὶ τοῦ Μενελάου ποιῶν τὸν Ἀγαμέμνονα. λέγειν τέ τι πρὸς αὐτοὺς ἐδόκει.[57] καὶ τοῦτ' ἐμήνυε τῷ σχήματι τῶν δακτύλων. Ἀχιλλεὺς δὲ ἐπὶ τούτοις[58] ἐγέγραπτο, καλὸς μὲν τὴν κόμην· τὸ πρόσωπον δὲ μετεῖχεν ἀθυμίας. εἶα δὴ τῶν ἄθλων ἐπὶ νεκρῷ γιγνομένων. τοῦτον δὲ περὶ πλεί-

στου

[52] ταυτὶ m. M.
[53] τῷ et [54] τὸ μὲν m. M.
[55] ἐγέγραπτο] ἐγέγραπτοι M.
[56] οὐ μᾶλλον] videtur hic aliquid deesse.
[57] f. δοκεῖ (in praesente.)
[58] τούτῳ m. M.

του τῶν Μυρμιδόνων ἐποιεῖτο. Χλαμύδα δὲ ἠμφίεστο,[59] καὶ γαστέρα καὶ μηρὸν καὶ κνήμην ἐδείκνυ γυμνήν·

ΕΚΦΡΑΣΙΣ ΕΤΕΡΑΣ ΓΡΑΦΗΣ ἐν βουλευτηρίῳ.

ΕΝ δὲ ἑτέρᾳ γραφῇ ταῦτα εἶδον. πόλις ἦν ἐφ' ὑψηλοῦ πεπολισμένη· καὶ τοῦτο ἐδηλοῦτο τοῖς τείχεσιν. ἐντεῦθεν ἐμοὶ δοκεῖν ἄνδρες ἐξεληλυθότες εἰς ἀγρὸν[60] ἧκον ἀπολαυσόμενοι τῆς ὥρας τῆς ηρινῆς. τοῦτο γὰρ ἐμηνύετο τοῖς στεφάνοις τῶν ἀνδρῶν, οὓς εἶχον ἐκ ῥόδων. οὗτοι δὲ κατέκειντο μὲν κατὰ στρωμάτων ποικίλων. τρεῖς ὄντες ὑπὸ δυσὶ δένδρεσιν ὑψηλοῖς. ὧν ἐξάψαντες ὕφασμα πυραυγὲς, ὑπὲρ ἑαυτῶν ἔτεινον ἀντ' ὀροφῆς. ὅπως εἴργοιτο ἡ ἀκτὶς μὴ λυπεῖν αὐτοὺς ἑστιωμένους εἱστιῶντο γάρ· καί μοι ἐδόκουν ἐδηδοκότες ἱκανῶς, ἐπὶ πότον ἤδη τρέπεσθαι· ὁ μὲν οὖν τὸ δεξιὸν ἔχων μέρος, ἄρας χεῖρα δεξιὰν, τὸν στέφανον περιέρροπτε τῇ κεφαλῇ τῆς τάξεως ἐκβεβηκότα ὁ δ' ἐπὶ θάτερα καὶ αὐτὸς χειρὶ δεξιᾷ τὸν ἐν μέσῳ δαιτυμόνα πρὸς ἑαυτὸν εἷλκε, λέγειν τὶ ἴσως ὡρμημένος. ὁ δ' ἐπεστρέφετο πρὸς αὐτὸν[61] ἠρέμα, ὡς μὴ δοκοίη τὸν ἑταῖρον ἀτιμάζειν. τὰ πρόσωπα δὲ πᾶσιν ὑπὸ τοῦ οἴνου πρὸς τὴν τῶν ῥόδων ἀφῖκτο χροίαν. ἐφοινίσσετο γὰρ ἱκανῶς. οἵ τε διακονοῦντες ἔκ τινων προῄεσαν οἰκημάτων, ἃ πρὸς θατέρῳ τῶν δένδρων ᾠκοδόμητο. ἀγρὸς ταῦτα ἦν. τῶν μὲν οὖν ἄλλων οὐχ ὅλα ἦν εὔδηλα τὰ σώματα· ὁ δὲ οἰνοχόος σπουδῇ διαβαίνων, ἔκπωμα ὀρέγει ἐνδεικνύμενος καὶ προσώπῳ καὶ σχήματι, τὸ σὺν προθυμίᾳ διακονεῖν. πρὸς δὲ τῆς τραπέζης κύων οὐ μέγας ἐπὶ τοῖν ὀπίσω σκελοῖν ἱζάνων, πρὸς αὐτὴν ἀνέβλεπε τὴν τράπεζαν

59 f. χλαμύδα δὲ ἠμφίεστο, ἣ τὴν γαστέρα ἐκάλυπτε. μηρὸν δὲ καὶ κν. ἐ. γ.

60 ἀγρὸν m. M.

61 ἑαυτὸν m. M.

ζαν κεχηνὼς, ὅπως εὐτρεπὲς ἔχοι τὸ στόμα πρὸς τὸ ῥιπτούμενον. καὶ ἵππος πλησίον, ἐλεύθερος χαλινοῦ, πρὸς πόαν ἐγκεκυφὼς ἤσθιε· φοίνιξ τὴν τρίχα· καὶ αὐτῷ δὲ παρεῖχε τὴν σκιὰν ἡ τοῦ δένδρου κόμη· τοῦ κεκλικότος ἐπὶ τὴν θοίνην, τοῦτον νομιστέον τὸν ἵππον. οἱ δὲ ἄρα ἦσαν πενέστεροι. καὶ ἔμελλον ἀναστάντες χρήσασθαι τοῖς ποσὶν ἐπὶ τὸ ἄστυ.

ΘΕΣΙΣ, ΕΙ ΓΑΜΗΤΕΟΝ.

ΕΠΙ πολλῶν μὲν καὶ ἄλλων δοκοῦσί μοι τῆς ὀρθῆς δόξης οἱ πολλοὶ τῶν ἀνθρώπων ἁμαρτάνειν, μάλιστα δὲ τοῦτο πεπόνθασιν οἱ τὸ γαμεῖν ὡς ἓν τῶν δεινοτάτων φεύγοντες, εἶτα μέγα φρονοῦσιν ὡς εὖ βεβουλευμένοι, τὰ πάντων ἀσυμφορώτατα ᾑρημένοι. καὶ διὰ τοῦτο πολλοῖς αὐτῶν καθιστᾶσι[62] μιμητὰς, διχῇ βλάπτοντες τὸν ἀνθρώπινον βίον· οἷς τε αὐτοὶ πράττουσι, καὶ οἷς τοὺς ἄλλους παρακαλοῦσι. παραδῶμεν δὲ, εἰ δοκεῖ, τὸ πρᾶγμα λογισμοῖς. καὶ τοὺς μὲν οἷόν τε μεταστήσωμεν, τοὺς δὲ ποιεῖν ἃ ἀνδρός ἐστι νοῦν ἔχοντος ἀναγκάσωμεν. δίκαιον δὲ θεοῖς ὁμογνώμονας εἶναι, καὶ μὴ διεστάναι κατὰ τὴν κρίσιν, μηδὲ στασιάζοντας φαίνεσθαι πρὸς τοὺς τῶν ἁπάντων[63] κυρίους. πῶς οὖν ὁ Ζεὺς περὶ γάμου βεβούλευται, καὶ πάντες οἱ τὸν οὐρανὸν ἔχοντες; οὐ τὴν μὲν Ἥραν αὐτὸς ἔγημε, τὴν δὲ Ἀφροδίτην Ἥφαιστος. καὶ ἄλλος ἄλλην, καὶ πατέρες[64] ἐκλήθησαν καὶ ἀδελφοί; τί οὖν, οὐ σεμνύνονται ταῖς ἀπὸ τοῦ πράγματος κλήσεσιν; οὐ γαμήλιος μὲν ὁ Ζεὺς, ἡ δὲ Ἥρα σύζυγος. ἡ δ᾽ Ἀφροδίτη πάντα ἀφεῖσα περὶ τοῦτο διατρίβει; γάμος ἔδειξεν Ἀπόλλωνα καὶ τὴν Ἄρτεμιν, γάμος Ἄρην, γάμος τὸν Ἡρακλέα. τὴν Ἑλένην, τοὺς Διοσκούρους. οὐ γὰρ μόνον θεοὶ θεοῖς ἠξίωσαν μίγνυσθαι, ἀλλὰ καὶ μέχρι γῆς ἦλθον, τοὺς ἡμιθέους σπείροντες. οἱ δὲ ἡμίθεοι

θεοι

[62] καθιστᾶσι] constituunt. καθεστᾶσι M.

[63] οἴκων m. M.

[64] πάντες m. M.

θεοὶ ζηλωταὶ τῶν πατέρων καταστάντες, ἐγένοντο καὶ αὐτοὶ πατέρες, οἱ μὲν καθ' ἡσυχίαν γαμοῦντες, οἱ δὲ καὶ πολέμους ὑπὲρ γυναικῶν ἀράμενοι. ἀκήκοα καὶ τοῦ Μίνω παῖδα, καὶ Δαιδάλου, καὶ Ταντάλου. εἰ δὲ τὸ γαμεῖν οὐ καλὸν ἦν, οὔτ' ἂν θεοὶ τοῦτο μετῆλθόν ποτε, τούς τε ἐξ αὐτῶν γεγονότας πάντας ἂν ἀπέτρεπον. νῦν δ' ἔργῳ μεμαρτυρήκασι, θείαν εἶναι τὴν ὑπὲρ τῶν παίδων μίξιν. οὔτε γὰρ μὴ τὸ βέλτιον ἰδεῖν, τοὺς θεοὺς ἔστιν εἰπεῖν, οὔτ' εὖ εἰδότας,[65] ἐξεπίτηδες πρὸ τῶν ἀμεινόνων αἱρεῖσθαι τὰ χείρω. ὅστις ἀπ' αὐτοῦ πεπεισμένος[66] παρὰ τῶν θεῶν φεύγει τὸν γάμον, κατηγορεῖ τῶν θεῶν, ὡς τὰ φαῦλα τετιμηκότων· καὶ βούλεται δοκεῖν ἐκείνων εἶναι φρονιμώτερος· ὡς τῶν μὲν τοῦ δέοντος ἐκπεπτωκότων, αὐτὸς δὲ ὡς τὸ[67] κάλλιστον εὑρών. ὅταν δὲ τοῦτο ποιῇ, περιφανῶς ἀσεβεῖ, καὶ γίνεται τῶν τοὺς βωμοὺς ἀνασπώντων μιαρώτερος· οὐ τιμῆς ἀποστερῶν τινὸς τοὺς κρείττονας, ἀλλὰ πονηροὺς οἷς ποιοῦσιν ἀποφαίνων, καὶ πολεμίους.[68] ἀλλ' ἐῶ ταῦτα. τῇ φύσει δὲ ὅς τις μάχεται, πῶς ἂν σωφρονεῖν δοκοίη; τί οὖν τὸ βούλημα τῆς φύσεως εἶναι νομίζεις, ἢ γε μίξεις καὶ γονὰς καὶ τόκον; τεκμήριον δὲ τὰ μὴ μετέχοντα λογισμῶν τῶν ζώων, τῆς ἐκείνης ἀνάγκης[69] ἕλκεται, καὶ δείκνυσιν ἔκγονα. καλῶς ἄρα παρὰ ταῖς ἀρίσταις τῶν ἑλληνίδων πόλεων, ἐν ἐγκλήμασι τὸ μὴ γαμεῖν ἔκειτο. θαυμάζω δὲ, εἰ τοῖς μὲν πατράσι[70] χάριν εἰσόμεθα τοῦ γενέσθαι, μὴ νομιοῦμεν δὲ καὶ αὐτοὶ ταῖς πόλεσιν ἀφειλεῖν τοὺς ἀνθ' ἡμῶν ἐκεῖνα[71] διαδεξομένους. ἢ χρήματα μὲν

[65] εὔδοντας m. M.

[66] f. ὅστις ἂν αὐτὸς ὑφ' αὑτοῦ πεπεισμένος: aus Eigensinne, nach seinem eigenen Kopfe.

[67] f. αὐτὸς δέ πως enclitice τὸ nescio qui.

[68] τοὺς ὀλυμπίους m. M.

[69] ταῖς ἐκείνης ἀνάγκαις (in datiuo plur.)

[70] ἀνδράσι m. M.

[71] f. ταῖς πόλεσιν ὀφείλειν τοὺς ἀνθ' ἡμῶν ἐκείνας [scil. τὰς πόλεις] nos quoque debere civitatibus [subaudi relinquere] qui nostram in vicem eas habitandas et gubernandas capessant.

μὲν ὀφείλοντα μὴ δεῖναι δεινόν, σώματα δὲ ὀφείλοντα μὴ[72] φυτεῦσαι μέτριον. οὕτω τοίνυν ἀδικοῦσιν οἱ[73] τὸν γάμον φεύγοντες, καὶ τὰ μέγιστα καλὰ[74] καταβλάπτουσιν αὐτούς τε καὶ τὰς πόλεις, καὶ συνταράσσουσιν ἅπαντα τὰ ἐν τῇ γῇ καλά. ποῖαι μὲν γὰρ θυσίαι θεοῖς ἔτι; ποῖα δὲ βουλευτήρια; ποῖαι δὲ ἐκκλησίαι; ποῖαι δὲ στρατεῖαι κατὰ γῆν; τίνες ἀπόστολοι; τὰς δὲ πόλεις αὐτὰς πῶς[75] οἷόν τε μένειν, ἂν τοὺς ἐνοικοῦντας ἐξέλοι τις; ἐρημωθεῖεν ἂν αἱ πόλεις, εἰ στάιη τὰ τῶν γάμων, καὶ μὴ προβαίνῃ. ὅταν γὰρ οἱ μὲν ὄντες ἀπίωσιν, οἱ δὲ ἀντ' ἐκείνων μὴ φαίνωνται, πῶς οὐκ ἀνάγκη τοῦθ' ὅπερ ἔφην συμβαίνειν; καὶ μὴν οὐδ' ἐκεῖνό γε ἔστιν εἰπεῖν, ὡς κοινῇ μὲν ταῖς πόλεσι λυσιτελεῖ, τοῖς δὲ καθέκαστον οὐδὲν ὠφελεῖ. καὶ γὰρ ἐκείνοις, πολλὰ ἂν ἐκ τοῦ πράγματος τὰ συμφέροντα γένοιτο· τῷ πλουσίῳ μὲν ἡ περιουσία διπλασία καθίσταται, τῷ πένητι δὲ πολλάκις μὲν χρήματα προσεγένετο, πολλάκις δὲ ἀντ' ἐκείνων τῆς γυναικὸς ὁ τρόπος, χρηστῆς τε οὔσης καὶ σώφρονος καὶ φιλεργοῦ. ἐν μὲν τοῖς ἀγαθοῖς ὁ γεγαμηκὼς ἕξει τὴν συνησθησομένην. ὃ μὲν εἰργάσατο χρήματα διατρίβων ἐπ' ἀγορᾶς, ἡ[76] δὲ ἔνδον λαβοῦσα διεφύλαξεν· ἀλλ' οὐκ οἰκέται μάταιον ποιοῦντες τῷ δεσπότῃ τὸν πόνον. ἔτι τοίνυν τράπεζαι τοῖς γεγαμηκόσιν ἡδίους, ὅταν ἐπανιὼν ἀπαγγέλλῃ πρὸς τὸ γύναιον τὴν ἔξω λαμπρότητα. καὶ μὴν ὅστις ἐπιθυμεῖ γῆν πολλὴν ἐπελθεῖν καὶ θάλατταν, καὶ πόλεις γνῶναι, καὶ τρόπους ἀνθρώπων ἐκμαθεῖν, οὗτος ὑπὲρ τῆς οἰκίας τεθαῤῥηκὼς καὶ πλεῖ καὶ βαδίζει. εἰ δὲ αὐτὸς ἀναγκάζοιτο καὶ τ' ἄνδον διοικεῖν, καὶ τῶν κοινῶν ἐπιμελεῖσθαι, κακὸς ἂν εἴη καὶ πολιτευόμενος καὶ τῆς οἰκίας φύλαξ, μεριζομένης αὐτῷ τῆς γνώμης εἰς ἑκατέραν φροντίδα, καὶ διὰ τοῦτο μηδέτερον ἱκανῶς ἐπιτελοῦντος. τὸ δὲ πάντων βαρύτατον, ἀνθρώποις ἀῤῥωστία καὶ νόσος μίαν

[72] βουληθῆναι φυ. m. M.
[73] περιφανῶς οἱ m. M.
[74] recte omittunt codices nonnulli καλά.
[75] ὅλως m. M.
[76] ἡ δὲ τὰ ἔνδον] sic dedi, τὰ omittit M.

μίαν ἔχει μεγίστην παραμυθίαν, γυναῖκα παρακαθημένην. κἂν πάντες κάμνωσι θεραπεύοντες, ἀδελφοὶ, θεῖος, ἀνεψιὸς, οἱ λοιποὶ συγγενεῖς, ἐπιτήδειοι, φυλέται, μόνη καθάπερ ἀδαμαντίνη πρὸς τοὺς πόνους ἀρκεῖ, δακρύουσα, τρέμουσα, περιτρέχουσα, τοὺς ἰατροὺς ἱκετεύουσα, τοῖς θεοῖς εὐχομένη, τὸ κακὸν ἀπὸ τοῦ συνοικοῦντος ἐπ' αὐτὴν[77] μεταστῆσαι. τῶν γεγαμηκότων ἀνάγκη καὶ τοὺς οἰκέτας εἶναι κοσμιωτέρους. ἡ γὰρ πονεῖν ἀναγκάζουσα, καὶ τρυφᾶν οὐκ ἐπιτρέπουσα, καὶ τῶν δρωμένων,[78] ἕκαστον ἐπισκεπτομένη, καὶ πανταχοῦ[79] περιάγουσα τοὺς ὀφθαλμοὺς, ἔνδον κάθηται. εἰ δὲ τὸ φίλων πολλῶν εὐμοιρεῖν μέγα, τὸ γένει προσθεῖναι γένος, πῶς οὐ χρησιμώτερον; οὐδὲν γὰρ ἀλλ' ἢ τεῖχος τῶν γεγαμηκότων γίνεται, τὸ πλῆθος τῶν οἰκείων. οἳ κατηγοροῦντι μὲν συγκατηγοροῦσι· κρινομένῳ δὲ συναπολογοῦνται, ἀδικουμένῳ δὲ βοηθοῦσι, βουλευομένῳ δὲ συμπαραινοῦσι. διὰ τοῦτο πολλὰ μὲν ἔστιν ἰδεῖν, πολλὰ δὲ ἀκοῦσαι, πολλὰ δὲ προγνῶναι, πολλὰ δὲ μὴ παθεῖν. ὁ δὲ δὴ μέγιστος καὶ χρησιμώτατος[80] καὶ κάλλιστος τοῦ γάμου καρπὸς, οἱ παῖδες· νῦν μὲν ὄντες τῶν ἔργων συλλήπτορες, νῦν δὲ γηροτρόφοι. μετὰ ταῦτα δὲ θάπτοντες· ἔπειτα κοσμοῦντες τοὺς τάφους ἐνιαυτῶν πληρουμένων. εἰ δὲ δὴ καὶ οἱ παῖδες ἀγαθοὶ γένοιντο, καὶ τινος ἀρετῆς μετειληφότες, πηλίκον ἂν εἴη τῷ πατρί; καὶ γὰρ ἂν μὴ τῶν λαμπρῶν ἐκεῖνος ᾖ, καὶ τῶν ἀπὸ γενεᾶς τινὸς γνωριζομένων, ἧς οὖν ἐγέννησεν[81] εὐκλείας κοινωνήσας ὀνομαστὸς κατέστη. ἔστι δὲ πρῶτον μὲν μέγιστον καὶ ἀγαθὸν,[82] αὐτὸν εἶναι οὕτως

λοστῷ

[77] αὐτὴν] sic m. M. αὐτῇ t. M.

[78] δρωμένων] δρωμένῳ M.

[79] f. πανταχοῖ.

[80] χρησιμώτατος.] χρησιμώτερος M.

[81] f. οἷς γοῦν ἐγέννησεν [id est τούτοις, οὓς ἐγέννησεν] gloriam certe participans eorum, quos genuit, fit clarus. m. M. dat τῆς οὖν.

[82] f. πρῶτον μὲν καὶ μέγιστον ἀγαθόν.

λοστῷ[83] ἀεὶ λειπόμενον τοιούτους υἱοὺς παρέχεσθαι. τί οὖν τῶν ποιούντων εὐδαιμονίαν παραβάλλοι τις; ἂν ἢ ῥητορικὴν, ἢ φιλοσοφίαν, ἢ πρεσβείαν, ἢ στρατείαν;[84] ἀρκεῖ γὰρ εἰς ἅπασαν εὐδαιμονίαν, τὰ τῶν ἐγγόνων τοῖς γεννήσασι παρὰ πάντων ἔργα θαυμαζόμενα. τὰ τοίνυν καλὰ, λόγος εἶναι χαλεπά. τοῦτο δὲ ὂν ἡλίκον ἐδείξαμεν, καὶ τῶν ῥαδίως ἐστὶ πραττομένων· ἐπειδὴ γάρ τις ὁρμήσῃ γαμεῖν, προσῆλθε τοῖς τὰ τοιαῦτα πράττουσιν[85] εἶπεν ὅτου[86] δέεται· προσέπεμψε τῷ τρέφοντι παρθένον. ὁ δὲ ἐλθὼν ἐπῄνεσε τὸν νεανίσκον, τὸ γένος, τὴν φύσιν, τὴν σωφροσύνην, ἐμνήσθη που τῆς οὐσίας μέτρου. καὶ ἡ πείσας εὐθὺς ἀπῆλθεν, ἢ εἰ μὴ τοῦτο, δευτέρα καὶ τρίτη πρόσοδος τὴν σπουδὴν ἐπλήρωσεν. ἄλλως θ' ὅταν καὶ πρὸς τὴν αὐτοῦ τύχην ἕκαστος μετίῃ[87] τὴν κόρην· ὁ εὔπορος, τὴν πολλὰ κεκτημένην· ὁ χρημάτων ἐνδεὴς, τὴν οὐχ ὑπερβάλλουσαν τῷ κλήρῳ. καί τοι πένητας ἴσμεν ἀξιωθέντας γυναικὸς πλούτῳ νικώσης. ἅμα δὲ τῷ γάμῳ, καὶ δόξα βελτίων συνεισέρχεται. ὅτε γὰρ πρότερον ἐπαινούμενος, θαυμαστότερος γίνεται, καὶ μᾶλλον δοκεῖ σωφρονεῖν. οἷς τέ τινες ἦσαν πρὸ τῶν γάμων αἰτίαι, λέλυνται.[88] καὶ ὅλως ἐλευθέρου σχήματος ἀντιποιουμένῳ πρέπον, παρὰ μὲν γυναικὸς ἐπὶ τὰ κοινὰ προϊέναι, παρὰ δὲ γυναῖκα πάλιν ἀπὸ τῶν κοινῶν ἀναστρέφειν. τούτῳ[89] καὶ συμβουλεύοντι προσέχουσι, καὶ πρεσβείαν ἐγχειρίζουσι, καὶ δίαιταν ἐπιτρέπουσι. δοκεῖ γὰρ ὁ παῖδας τρέφων, καὶ θεοὺς φοβεῖσθαι, καὶ ἀνθρώπους αἰσχύνεσθαι, καὶ δόξης ἐπιθυμεῖν, καὶ τὸ δίκαιον τιμᾶν. δόξα τῷ μὲν οὐ βουληθέντι γαμεῖν, ἡ χείρων, τῷ δὲ ἑλομένῳ συνοικεῖν, ἡ βελτίων ἀναγκαίως ἕπεται. καὶ

τοσοῦτον

[83] τὸ δεύτερον πολλοστῷ m. M.

[84] f. στρατηγίαν.

[85] f. τοῖς τὰ αὐτὰ πράττουσιν. iis, qui eodem sunt loco atque ipse est, h. e. qui etiam coniugium experiunt. πράττουσιν pro πάσχουσιν.

[86] ὅτου] cuius rei egeat; quo sibi opus sit. ὅπου M.

[87] μετίῃ] μετείη M.

[88] λύονται M.

[89] τῷ τοιούτῳ m. M.

τοσοῦτον ἰσχύει τούτων ἑκάτερον, ὥσθ' ὁ μὲν ἄγαμος, κἂν σωφρονῇ, τὴν ἐναντίαν τύχην ἐφέλκεται. ὁ δ' οὖν γεγαμηκώς, κἂν εἰς ἡδονὰς ἐκφέρηται, συκοφαντεῖσθαι δοκεῖ. πολλὴν γὰρ ἔχει ἀνάγκην εἰς τὸ σωφρονεῖν τὸ γύναιον. ἐξελεγχόμενοι τοίνυν ὑπὸ τῶν εἰρημένων, ὅτι τῶν καλλίστων αὐτοὺς ἀποστεροῦσιν οἱ φεύγοντες τὸν γάμον, τὰς μοιχείας, φασί, δεδοίκαμεν, καὶ βαρὺ τὰς τῶν παίδων ἀποβολὰς ἡγούμεθα, ὥσπερ ταῦτα πάντα ἀκολουθοῦντα τῷ γάμῳ. καί τοι, τίς οὐκ οἶδεν, ὡς αἱ μοιχεῖαι μὲν ὀλίγοις,[90] τὸ δὲ σωφρονεῖν ἐν τοῖς πλείοσι; καὶ περὶ τῶν παιδίων ἴσον λέγω. πλείους μὲν ἴσμεν σωθέντας, ἢ τεθνεῶτας. πάντων οὖν ἀτοπώτατον, εἰ τῶν παραδειγμάτων πειθόντων, ὅτι μᾶλλον ἐστὶν ἀπολαῦσαι τῶν χρηστῶν, ἢ περιπεσεῖν ταῖς συμφοραῖς, δείσομεν τὸ πρᾶγμα μᾶλλον ἢ ζητήσομεν. καὶ ταῦτα, πολλῆς βοηθείας εἰς ἀμφότερα ταῦτα προφαινομένης. οὐ γὰρ ὀλίγον εἰς σωφροσύνην γυναικῶν αἱ συμβουλίαι δύνανται, καὶ τὸ φυλάττειν· οὐδέ γε[91] εἰς σωτηρίαν παίδων θυσίαι, καὶ τὰ ἀναθήματα. ὅλως δὲ, εἴ τις ἄνθρωπος ὢν ζητεῖ τινα πρᾶξιν καθαρὰν δυσκολίας, οὐκ οἶδε, ζητῶν ἃ θεῶν ἐστὶ μόνων. ἐπεὶ τίνι τῶν πάντων οὐ συνέζευκται λυπηρά; οὐκ ἀκούεις τῶν γεωργῶν αἰτιωμένων νῦν μὲν τοὺς αὐχμούς, νῦν δὲ τὴν τῶν ὄμβρων ὑπερβολήν; οὐ τῶν κατὰ θάλασσαν ἐμπόρων τὰ τῆς θαλάσσης κακά, τοὺς σκηπτούς, τὰ κύματα, τοὺς λῃστάς, ἕτερα μυρία; οὐ σήμερον μὲν ὁ ῥήτωρ σώζεται,[92] τῇ δ' ὑστεραίᾳ ἐν γραφαῖς ἐστὶ καὶ κινδύνοις. ἀθλητὴς δὲ παγκρατιάζων, ἤδη που τὸν ὦμον[93] ἐξεκόπη· ἀλλ' οὐκ ἀφίησιν[94] αὐτοὺς τῶν ἔργων ὁ φόβος. εἰ δὲ ὥσπερ ὑμεῖς οὐ

γαμεῖτε

[90] f. αἱ μοιχεῖαι μὲν ἐν ὀλίγαις [in genere foeminino] subaudi εἰσὶ vel εὑρίσκονται. et sic quoque versu 15. ταῖς πλείοσι. vxoribus puta.

[91] οὐδέ γε] scil. ὀλίγον δύνανται.

[92] praefero e margine M. θαυμάζεται.

[93] ὀφθαλμὸν m. M.

[94] ἀφίστησιν c. m. M. praefero.

γαμεῖτε διὰ τὰς μοιχείας, οὕτως ἐκείνων οἱ μὲν τὸ γεωργεῖν, οἱ δὲ τὸ πλεῖν, οἱ δὲ τὸ πολιτεύεσθαι καὶ τὰ κοινὰ πράττειν ἔφευγον, κατελέλυντο ἂν πάντα τὰ κοσμοῦντα τοῖς ἀνθρώποις τὸν βίον. τί οὖν ἐγώ φημι[95] δεῖν ἐκεῖνο μᾶλλον ἐννοεῖν ὑμέναιον, κρότους, τοὺς παραπέμποντας, τοὺς δαιτυμόνας, δᾶδας, εὐωχίας, παίδων ἐλπίδας, ὧν οὐδὲν ἥδιον τοῖς εὐφρονοῦσι[96] τῶν ἀνθρώπων.

[95] sic distinguo et lego: τί οὖν ἐγώ; [scil. φημί.] quid igitur ego aio? φημὶ δεῖν ἐκεῖνα [in neutro plurali] μᾶλλον ἐννοεῖν. Istaec nempe aio potius oportere cogitare, scilicet Hymenaeum etc.

[96] f. τοῖς σωφρονοῦσι, aut saltim τοῖς εὖ φρονοῦσι diuisis vocabulis.

ΛΙΒΑΝΙΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ ΘΗΡΑΣ ΕΚΦΡΑΣΙΣ.

ΘΗΡΑΣ μὲν δή,[1] μὲν ἔσχεν ἀήρ, τὸ δὲ ἔλαχε θάλασσα· καὶ μετ' ἀμφότερα τελευτᾶν[2] ἔγνωκεν ἤπειρον,[3] ὃ κρεῖττον ἀμφοῖν προῆλθε. καθάπαξ ἀέρος μὲν καὶ[4] ὅση πρὸς θάλατταν, τέχνης μᾶλλον ἢ ῥώμης προσδεῖται· θήρα δὲ ἡ πρὸς ἤπειρον· τέχνης μὲν οὐχ ἧττον, ὅτι μὴ μᾶλλον. ῥώμης δὲ μᾶλλον, ἢ τέχνης δεῖται· διὸ θαυμάσας ἣν ἐργάζεται γῆν, ταύτην κατιδὼν ἀφηγήσομαι. Ἑσπέρα μὲν ἦν, καὶ φῶς σελήνης, οἷος μήτε ἅπαν ἰδεῖν μήτε λαθεῖν παντελῶς ἐῶν τὸ φαινόμενον· ἄνδρες δὲ ἄρτι πόλεως ᾔεσαν, οἷς βίος πρὸς θήραν· ἐπαγόμενοι θήρας ἅμα καὶ στάλικας, οἷς ἐστι θηρᾶν· καὶ διώκειν μὲν ἵππους, ἰχνεύειν δὲ κύνας, καὶ κατέχειν πρὸς τούτοις τὰ φεύγοντα· ὡς δὲ εἰς ὄρος προσῄεσαν, θηρᾶν ἐπι-

[1] δὲ Bau.
[2] τελευτῶν Bau.
[3] ἤπειρος Bau.
[4] μὲν γὰρ καὶ Bau.

ἐπετήδευον, ἃ θηρᾶν ἐβεβούληντο. καὶ πρῶτον μὲν κύνας εἰς τὴν θήραν ἀνῆκαν, εὐρίνῳ βάσει τὸ λανθάνον ἰχνεύοντες.[5] ποιητὴς ἔφη τις. καὶ σιγῇ μὲν θηρᾶν ἐπετήδευον, ὡς δὲ ἠπόρουν σιωπῇ κατασχεῖν, βοὴ συμμιγὴς ἐξ ἁπάντων ἐφέρετο. ὑλακὴ μὲν κυνῶν βοὴ δὲ ἀνδρῶν, τῶν δὲ ἵππων χρεμετισμός· καὶ τῆς εὐνῆς τὸ θηρίον ἐξαναστὰν, πρὸς τὴν ἔκπληξιν ὁμόσε τοῖς θηρῶσιν ἐφέρετο, καὶ καταστὰν εἰς ἀλκὴν, φόβον προϊὸν[6] ἢ πόθον τῆς τέχνης παρείχετο. συστραφέντες[7] δὲ ὅμως παρ' αὐτὰς ἔνδον εἰσώθουν τὰς στάλικας ἤδη δὲ ἔνδον ἦν, καὶ μικροῦ ἑαλώκει[8] προσπεσόντες δὲ ἐξ ἡδονῆς, καὶ ἀτακτότερον ἀνεσόβουν τὴν θήραν· ἤδη δὲ παντὸς ἔργου ἦν, καὶ προθέσει τοῦ βάλλοντος.[9] καὶ τῶν μὲν κυνῶν ὑστερούντων εἰς δίωξιν τῶν δ' αὖ ἵππων οὐκ ἐφικνουμένων εἰς αἵρεσιν· ἔργον ἡ θήρα κατέστη τῶν τόξων· καὶ πεσὸν οἷς ἐβάλλετο, κτείνωσι[10] μὲν, οὐ μὴν ἀτίμως τοὺς θεοὺς κατελίμπανον· ἀλλ' ἀπέρχονται μὲν τῆς θήρας θεοῖς, οἳ θήραν ἀνθρώποις ἐξεῦρον. κατευωχοῦντο[11] δὲ πρὸς τὴν νίκην αὐτοί· καὶ τὸ λοιπὸν τοῦ θηράματος ὑπόμνημα νίκης[12] εἰς[13] τὴν πόλιν ἐκόμισαν. ταῦτα τοῖς θηρῶσιν ἡδονὴν μὲν εἰς κίνδυνον· ἀδίκημα δὲ τοῖς ὁρῶσι σιγώμενον.

5 ἰχνεύοντας Bau.
6 ἴσ. προϊὸν καὶ πόθον m. M. etiam Bau. dat προϊόν.
7 ἴσ. θηρευταὶ m. Mor.
8 μικροῦ μὲν ἑαλώκει Bau.
9 καὶ προθ. τοῦ βαλλ. desunt Bau.
10 κτείνουσι Bau.
11 γρ. κατευωχοῦντο m. Mor.
12 νίκης deest Bau.
13 εἰς] πρὸς Bau.

ΛΙΒΑΝΙΟΥ ΕΚΦΡΑΣΙΣ, ΛΕΥΚΤΡΙΚΟΥ ΥΠΟΘΕΣΙΝ ΕΧΟΥΣΑ.

ΜΕΤΑ τὸν Πελοποννησιακὸν πόλεμον νικήσαντες τοὺς Ἀθηναίους Λακεδαιμόνιοι, ἐβουλήθησαν καὶ τοὺς οἰκείους συμμάχους καταδουλώσασθαι καὶ πρῶτον ἐπὶ Θηβαίους ςρατεύσαντες, ἐξελθόντες οἱ Θηβαῖοι μετ' Ἀθηναίων, δεύτερον νενικήκασιν. εἶτα τὸ τρίτον καθ' ἑαυτοὺς ἐξεληλυθότες καὶ συμβαλόντες ἐν Λεύκτροις, κατὰ κράτος ἐνίκησαν· μετὰ δὲ τὴν νίκην, πάλιν ἀντεπιςρατεύουσι τοῖς Λακεδαιμονίοις· καὶ Λακεδαιμόνιοι μὲν πρὸς Ἀθηναίους ὑπὲρ συμμαχίας πρεσβεύονται· πρεσβεύονται δὲ καὶ Θηβαῖοι κωλῦσαι βουλόμενοι. ταύτην τὴν ὅλην ὁ Ἀριςείδης ἔλαβεν.

ΛΙΒΑΝΙΟΥ ΕΚΦΡΑΣΙΣ, ΗΡΑΚΛΕΟΥΣ ΕΣΤΩΤΟΣ ΕΝ ΤΗι ΛΕΟΝΤΗι.

ΟΥΚ ἦν ἄρα τὸν[1] Ἡρακλέα πεπαυμένον τῶν ἔργων, ἐπαίνου καταςῆναι χωρὶς οὐδὲ λῆξαι τοῦ θαύματος, ὡς τῶν ἄθλων ἐπαύσατο· μένειν δὲ τοῖς ὁρῶσι καὶ πονοῦντα, καὶ μετὰ πόνων πλαττόμενον· οἷον γοῦν[2] ὁ δημιουργὸς εἰς περιφανῆ χῶρον ἀνέςησεν. ἀνάκειται γὰρ Ἡρακλῆς, οὐχ οἷον εἶδεν ἡ Νεμέα παρακινδυνεύοντα[3] ἀλλ' οἷον ἄργον ἀπέλαυνεν,[4] ἐπ' ἀναιρέσει τοῦ λέοντος· ἀνέςηκε γοῦν φέρων μὲν τῶν ἀγωνισμάτων γνωρίσματα· λήξας

[1] f. οὐκ ἦν ἄρα εἰκὸς τὸν

[2] f. οἷον γοῦν τοῦτον.

[3] recte Bau. προκινδυνεύοντα, primum facientem periculum.

[4] recte Bau. οἷον ἄργος ἀπέλαβεν. in marg. Mor. ἴσ. ἀγρόν.

λήξας δὲ ὅμως τῆς ἀγώνων ἀκμῆς· πρῶτος[5] μὲν γὰρ αὐτῷ ἡ[6] κεφαλὴ νεύει πρὸς γῆν· καὶ δοκεῖ μοι σκοπεῖν· εἴ τι κτείνειεν ἕτερον· ἔπειτα δεινῇ[7] συναπονεύει τῇ κεφαλῇ καὶ ἅπαν τὸ σῶμα γυμνὸν προκαλύμματος· οὐ γὰρ ἦν Ἡρακλεῖ μέλειν αἰδοῦς, σκοπουμένῳ πρὸς ἀρετήν. τῶν δὲ δὴ χειρῶν ἡ μὲν δεξιὰ τέταται καὶ συγκέκαμπται κατόπιν εἰς νῶτον· παρεῖται δὲ ἡ λαιὰ, καὶ τείνει πρὸς γῆν· ἀνέχει δὲ αὐτὸν[8] ὑπὸ μάλης· τὸ δὲ ὁμαλὸν ἐνιδρυμένον εἰς γῆν, τοῖς αὐτοῖς, ῥαστώνῃ χρησάμενος, τὸ ῥόπαλον ἀνέχει[9] παυόμενος, ὡς[10] μαχόμενον ἔσωζεν. εὖ δέ μοι δοκεῖ ὁ δημιουργὸς διῃρηκέναι τοῦ ῥοπάλου[11] τὴν τάξιν. δεξιῷ μὲν γὰρ χρῆται πόνῳ·[12] λαιῷ δὲ παυόμενος[13] ἐν ἡσυχίας καιρῷ χεῖρα δ᾽ ἄρα[14] δέδωκεν ἄπρακτον· ἡ δὲ λεοντῆ τῷ ῥοπάλῳ προσίδρυται· καὶ καλύπτει τόν τε λέοντα[15] καὶ δι᾽ οὗ διέφθαρται· τοῖν δὲ δὴ ποδοῖν ὁ μὲν δεξιὸς ὁρμᾷ πρὸς ὁρμήν· ὁ δὲ λαιὸς ὑποβέβηκε, καὶ τῷ βάθρῳ προσήρεισται· καὶ παρέχει τοῖς ὁρῶσι μαθεῖν, οἷος Ἡρακλῆς καὶ πονῶν καὶ παυόμενος.

5 πρῶτον Bau. recte.
6 ἡ deeſt Bau.
7 recte Bau. δειρῇ.
8 αὐτὴν Bau. et in m. Mor.
9 ἔχει Bau.
10 ὡς] ὃ Bau. recte
11 δεξιὸν ῥόπαλον appellat clauum, quae dextra geſtatur, vt λαιόν, quae ſiniſtra.
12 recte Bau. dat. ἐν πόνοις. in m. Mor. γρ. πονῶν.
13 παυόμενος Bau. malim πεπαυμένος.
14 recte omittit Bau. δ᾽ ἄρα, et ergo ſic diſtinguendum: καιρῷ χεῖρα δέδωκεν, ſublato puncto.
15 τό τε λέον. καὶ — φέρεται Bau. et in Mor. cum γρ.

ΤΟΥ ΑΥΤΟΥ ΛΙΒΑΝΙΟΥ ΕΚΦΡΑΣΙΣ ἩΡΑΚΛΕΟΥΣ ΒΑΣΤΑΖΟΝΤΟΣ τὸν Ἐρυμάνθιον κάπρον.

ἩΡΑΚΛΗΣ[1] δὲ ἄρα γενόμενος[2] Διὸς, οὐρανὸς μὲν ἐμαρτύρει τὴν γένεσιν· ἐδήλου δὲ ἡ γῆ[3] καθαιρομένη τοῖς ἄθλοις. Νεμέα μὲν γὰρ αὐτῷ τῶν ἀγώνων ἀρχή· καὶ μετὰ ταῦτα Ἐρυμάνθιον κάπρον ἐνεγκὼν[4] ἀγώνισμα δεύτερον· καὶ κρατούμενον μὲν εἶλε[5] τὸν κάπρον Ἐρύμανθος. ἐγὼ δὲ[6] μετ' αὐτὸν ἐπὶ χαλκῆς εἰκόνος φερόμενον, καὶ ὅπως εἶχε κατιδὼν διηγήσομαι. χῶρος ἦν ἐν ἄστει περιφανεῖ, καὶ παρ' αὐτῷ Ἡρακλῆς ἐν παντοδαποῖς ἀνεστηκὼς ἀγωνίσμασι· καὶ τοῖς μὲν ἄλλοις ἔτι πονῶν[7] ἐξεικάζεται, τὸν δὲ δὴ κάπρον ἤδη παραλαβὼν[8] ὥσπερ ἀγανακτούσης τῆς τέχνης, εἰ πόνων Ἡρακλῆς, καί πως ἐπιδεήσεται·[9] γυμνὸς οὖν, ὥσπερ εἰώθει, ἵσταται. τὸ δέ οἱ πρόσωπον ἅπαν εἰς γῆν. ὤμους δὲ ἀμπέχει ἡ λεοντῆ, καὶ βάθρον ἦν ἀγωνίσματος, αὐτὴ φανεῖσα τὸ πρῶτον ἀγώνων. ταῖν δὲ δὴ χεροῖν δεξιᾷ μὲν ἀνῃρημένον ἔχει τὸν κάπρον, καὶ τῷ ὄπισθεν ἔχει τὸν ἑξῆς·[10] ὥσπερ οὐδ' ὃν Ἡρακλεῖ πρὸς τοὺς ἄλλους εὐώνυμον. τὸ δὲ δὴ στέρνον ἀνέστηκεν ἅπαν, ὥσπερ τῶν προσόντων οὐδὲν αἰσθανόμενον. τῶν δὲ ποδῶν ὁ δεξιὸς εἰς γόνυ κάμπτεται· ὁ δ' αὖ λαιὸς ὀρθὸς ἔστηκε, καὶ προσερείδει τὸ βάθρον, δηλῶν ἐξ ἐπιγράμματος τεχνησάμενον. ἐπὶ

δὲ

[1] ἴσ. Ἡρακλέους in m. Mor.

[2] lego γένος. in m. Mor. γενομένου.

[3] f. ἐδήλου δὲ καὶ ἡ γῆ.

[4] ἐνεγκὼν] videtur hic aliquid deesse.

[5] εἶδε lege, vidit.

[6] ἐγὼ δὲ] scil. εἶδον.

[7] aut κἀν τοῖς μὲν ἄλλοις leg. scil. ἀγωνίσμασι, aut καὶ τοὺς μὲν ἄλλους ἄθλους ἔτι πονῶν. m. Mor. dat γρ. τοὺς μὲν ἄλλους ἔτι.

[8] f. καταβαλών.

[9] f. καὶ παυσάμενος] vel καὶ πεπαυμένος ἐπιδεήσεται.

[10] ἑξῆς] γρ. ἐξὸν m. Mor.

δὲ τῶν ὤμων ὁ κάπρος ἀνῃρημένος μὲν τέτακται· διῄρηται δὲ οὐχ ὡς ἔπεσεν. ἀλλ', ὥσπερ δεσμοῖς, ταῖς Ἡρακλέους χερσὶν προκατείληπται· καὶ φέρουσι κείμενον αἳ μαχόμενον ἔκτειναν. ταῦτα εἰ μὴ θεώμενος ἔφραζον, ἠδίκουν τὸ κατασκεύασμα.

ΛΙΒΑΝΙΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ ΚΑΛΛΟΥΣ ΕΚΦΡΑΣΙΣ.

ΤΗΜΕΡΟΝ εἶδον κόρην ἐκ θυρίδων προκύπτουσαν· καὶ ἰδὼν ἑαλώκειν εὐθύς. ἔμπνουν γὰρ ἐδόκουν τὴν σελήνην ὁρᾶν ἐπὶ γῆς ἢ μεταπεπλάσθαι τὴν Ἀφροδίτην εἰς ἄνθρωπον· καὶ πείθειν εἶχον ἐμαυτὸν, ὡς ἀΰλῳ κάλλει τὸ πρόσωπον ἰνδαλματῆσαι.[1] Ἔρως γὰρ ἐκ τῶν ἐκείνης δωμάτων[2] ἐτόξευε· καὶ προκατελάμβανε τὴν θέαν ἡ τόξευσις· καί πως ὀφθαλμοὶ μὲν τοῦ κάλλους[3] ἐθαύμαζον· ψυχὴ δὲ τῆς ὀδύνης ᾐσθάνετο, καὶ βλέπειν ἐθέλων, ἀπέθανον·[4] καὶ τὸ μὲν κάλλος γλυκύ· ἡ δὲ τρῶσις πικρόν·[5] καί πως γλυκύτερον ἦν τὸ λυπεῖν· τῶν γὰρ ὀφθαλμῶν λιχνευομένων εἰς ὅρασιν, τὸ κάλλος εἰς τὴν ψυχὴν διωλίσθαινε· καὶ πῦρ ἐρωτικὸν τὸ πᾶν ἐλυμαίνετο. τίς γὰρ ἂν ἐκείνης τὸ κάλλος ἐγγράψαιτο; τίς παραδοίη γραφῇ; τίς διαμορφώσει[6] τοῖς χρώμασι; καλὸς Ἀπέλλης, καὶ λόγος τούτου πολύς· ἀλλὰ μέχρι ταύτης καλὸς, καίπως ἐπιγραφέτω τῇ τύχῃ καὶ χάριτας, ὅτι πρὸ ταύτης ἠρίστευσε, καὶ τῆς ζωγραφικῆς ἐδείκνυτο ἔντεχνον, καὶ κάλλος οὐκ εἶχεν ὁρᾶν, ὑπερνικῶν χει-

[1] f. ἰνδαλματίσαι.

[2] δωμάτων] imo vero ὀμμάτων.

[3] f. τὸ κάλλος in accuſatiuo.

[4] γρ. ἐπάνθανον· καὶ ἐλάνθανον marg. Mor.

[5] γρ. πικρὰ m. Mor.

[6] διαμορφώσειε in optatiuo. reliqua perlegere haud iuuat, quae non intelligo. vix videtur Libanii eſſe.

χειρὸς ἔντεχνον μίμημα. ἀλλ' ἔχει μὲν κἀκεῖνος τῆς συμφορᾶς παρηγόρημα, τὸ κάλλος ὁρᾶν ἐπὶ γῆς ἀτονοῦν,[7] καὶ τῶν ὀμμάτων τὴν δύναμιν, καὶ ταυτὸν ὑπομένειν τοῖς πειρωμένοις κάλλος ἡλίου παραδοῦναι τοῖς χρώμασι· κάλλιστος οὖν ζωγράφος καὶ τῆς κόρης ἡ ἐμὴ ψυχή· ἀχρωματίστως γὰρ τὸ κάλλος ὁρᾶν παρ' ἑαυτῇ συμμεμόρφωτο. καὶ νῦν ὁρᾶν τὴν εἰκόνα πεφάντασται· καὶ πόλεμον[8] ὁ τεχνίτης ἔχει τὸ τέχνασμα· μεμψαίμην τοῖς ἐμοῖς ὀφθαλμοῖς, ἀλλ' οὐκ ἀμόρφου κόρης ἠράσθησαν· ἀλλὰ τὴν ψυχὴν ὅτι πέπονθεν· ἀλλ' ἡδὺ τὸ πάθος, καὶ τοῦ πάθους μᾶλλον ὁ θάνατος, ἵν' ἔχει στεφανηφορεῖσθαι τῷ ἔρωτι. τοιούτου γενομένου κάλλους ἀγώνισμα· ἔγωγε οὖν ἐξ ἀπορίας ἠπόρημαι· καὶ λέγειν ἔχων πολλὰ, ταῖς τῶν πολλῶν ὑπερβολαῖς ἀνακρούομαι, καὶ τὴν εὐπορίαν τοῦ λόγου ἀπορίας σιγὴ διαδέχεται. εἶδε τὸ πάθος ψυχὴ, κἀκείνη σοφιστεύει τὸν ἔρωτα· καὶ δι' ὧν ἐπεπόνθει, δείξει τοῦ κάλλους τὴν δύναμιν· δοκῶ τὴν κόρην τὸν τῆς Ἀφροδίτης κεστὸν διαζώννυσθαι, καὶ διὰ ταύτην τοὺς νέους θηρᾶν· ἢ μεταπλασθῆναι τὴν ἄϋλον πρὸς παχύτητα σώματος· ἀλλ' οὐκ ἦν τὸ κάλλος ἐκεῖνο θεᾶς, κόρης ἦν καὶ καλῆς. ἐκεῖνο τὶς ἰδὼν ἐπηύξατ' ἂν θανεῖν, εἰ προσψαύσοιτο. ἐπηυξάμην τοῦτο κἀγώ. ἀλλ' ἀτέλεστος ἦν ἡ εὐχή. ἐπ' ἐκεῖνο τὸ πρόσωπον περιεχόρευον χάριτες, καὶ μεταρσίους τοὺς πόδας ἐκούφιζον ἵνα μὴ τοῦ κάλλους προσψαύοιντο· καὶ πλέον αἱ παρειαὶ τοῦ συνήθους φοινίσσωνται. αἱ Μοῦσαι περὶ τὴν κόρην ὡμήριζον, καί τι λέγειν τοῦ κάλλους οὐκ εἶχον ἐπάξιον. Ἔρως εὐτύχει[9] παρ' αὐτῇ τὰ τόξα τείνων, καὶ πικρὸν ἐπαλείφων τοῖς βέλεσι φάρμακον· καὶ ταῖς βολαῖς τῶν ἐκείνης ὀμμάτων ἐμπιστεύων τὴν τόξευσιν. ἵστατο γοῦν ἡ κόρη μέσον Μουσῶν, καὶ χαρίτων, καὶ ἔρωτος. ταῖς μὲν παγκάλως συμπαίζουσα, τοῦ δὲ τὴν βελοθήκην κινοῦσα[10] ταῖς τῶν ὀμμάτων τοξεύσεσιν· ἔνθα γὰρ εἶδεν, ἐκεῖ τὸ βέλος πικρὸν προσεπήγνυτο, καὶ μάτην ἐδείκνυτο

Παν-

[7] γρ. ἄτοπον m. Mor.
[8] ἴσ. πολέμιον m. Mor.
[9] ἴσ. εὐστόχει m. Mor.
[10] ἴσ. κενοῦσα m. Mor.

Πάνδαρος 'Φιλοτίμῳ λόγῳ ἐπικεκλημένη, ἀντίθεος· ἐκείνη γὰρ ὑπερενίκα τὰς χάριτας, καὶ μοῦσα μᾶλλον ἦν[11] τὸ μουσῶν· καὶ δέσμιον εἶχε τὸν Ἔρωτα. δοκῶ πως κἀκεῖνον τὰς τοῦ κάλλους μαρμαρυγὰς ἐκπληττόμενον. εἰ γὰρ οὑτωσὶ τὴν φύσιν οὐσίωτο, ὥστε διολισθαίνειν μικρὸν πρὸς ἐμπάθειαν, ὅλος ἂν ἐκεῖνος τοῦ ἔρωτος, καὶ ἔρως ἂν ἕτερος ἐγεγόνει τῷ ἔρωτι. ἔγωγ᾽ οὖν τὰς πλατείας διερχόμενος ἔφιππος μέχρις ἐκείνης εἶχον τὸ εὔτονον. τὸ πᾶν γὰρ ἐκεῖσε νενάρκωτο, καὶ τῆς ἡμιόνου τὸ ἄτακτον χεὶρ ἐρῶσα βιαίως ἐκόμιζε· κἂν ἐκείνη τὸν χαλινὸν ἐνδακοῦσα πρὸς ὕψος ἐκύρτου τὸν τράχηλον, καὶ πως ἀτακτεῖν περὶ τὴν πάροδον ἤθελεν· εἶδον[12] γὰρ κάλλος καλὸν ὄμμα προσμειδιοῦν,[13] καὶ ταῖς διαλόξοις στροφαῖς χαριτούμενος ὀφρῦν ἑλικοειδῆ τὴν ἀψίδα περιτορνεύουσαν, παρειὰς[14] τῷ συμμέτρῳ τῆς χροιᾶς, καὶ τῆς θέας περιαυγαζούσας[15] τὸ φοίνιγμα βόστρυχον πρὸς τῷ ὦτε περικεκλωσμένον παρασύροντα τοὺς ἀνθέρικας κἀκείνους οὔλους καὶ χρυσοειδὲς ἐπαυγάζοντας. τὸ δὲ τῆς κόρης κανθόουλον ταῖς παρειαῖς συναζόμενον, πρὸς μὲν τι συγγενὲς τοῦ φοινίγματος, καί τι χρυσαυγίζον ἐμίγνυε. πρὸς δέ γε τὸ λευκόχρουν χρυσοειδῆ τε πάντα παρέτεινεν·[16] ἐδέχετο δὲ καὶ αὐτὸ ἐκ τῆς τῶν ἐκεῖθεν χρωμάτων αὐγῆς· καί πως ἀντεχρωζεν ἡδέως πρὸς ἕκαστα· καὶ παράδεισος ἀνθέων[17] ἐδόκει τὸ πρόσωπον· εἶδον καὶ χείλη, καὶ νῦν λειποθυμῶ πρὸς τὴν ἔκφρασιν. γυρόθεν γὰρ ἡ λευκότης θαυμασίως πρὸς τὸ φοίνιγμα διετόρνευσε. μέσον δ᾽ ἐκεῖνο καθαρῶς ἐφοινίττετο· καὶ ῥόδον εἶχον ὁρᾶν περιτετειχισμένον ταῖς κάλυξι, μόνην μὴ φέρον τὴν ἄκανθαν. ἱκανὸν γὰρ ἡ ἐμὴ ψυχὴ προανήρπασε καὶ ἡ γνῶσις ἐξ ἀρχῆς προσπέπηκτο·[18] ὅσον δὲ εἰκὸς ἦν ἐκ τῶν χειλέων τεκμαίρεσθαι, μαλθακὸν

11 ἴσ. ἢ τὸ m. Mor.
12 γρ. οἶδεν m. Mor.
13 γρ. προσμειδιῶν m. Mor.
14 γρ. παρειαῖς m. Mor.
15 γρ. θεᾶς περιαυγαζούσης m. Mor.
16 γρ. παρέστεινεν m. Mor.
17 γρ. ἀνθ᾽ ὧν m. Mor.
18 προσεπέπηκτο m. Mor.

θακὸν ἂν εἶχον ἴσως τὸ φίλημα· σίμβλον γὰρ ἦν μελισσῶν· καί πως εἰ ἔφθη μικρὸν ὑποφθέγξασθαι, εἶδον ἂν τάχει, καὶ μέλι καταῤῥέον ἐκ ςόματος, καὶ γλῶσσαν περιλιχμαζομένην τὸ γλύκυσμα, καὶ τὸ φοίνιγμα καθυγραίνουσαν. κάλλος οὖν τοιοῦτον ἰδὼν, πόθου παντὸς διεςάλαξα δάκρυον· ᾤκτειρον γάρ μου τὸ πάθος, καὶ οἱ ὀφθαλμοί. ἀλλ' οὐκ εἶδεν ἡ κόρη τὰ δάκρυα· εἰ γὰρ εἶδεν, ἐλέησεν ἂν τὸν διὰ τὸ κάλλος ἐκείνης δακρύσαντα. σοβαρὸν γὰρ οἷον πρὸς ἡμᾶς ἐνητένιζε· καὶ τὸ βλέμμα θάνατος ἦν· τὸ γὰρ ὄμμα πρὸς τὸν τῆς ἡμιένου διαλλαξεύσασα πάτταγον, ἕτερον εἰς τὴν ἐμὴν ψυχὴν ἐπέτεκε πάτταγον. ἤθελον οὖν ὁρᾷν τολμηρᾶς, καὶ ζόφος εἶχε τὸν ὀφθαλμὸν, καὶ θέλων βλέπειν οὐκ ἔβλεπον. ἀντωθούμην γὰρ πρὸς ἔλεον· ἐβουλόμην ἀφιέναι φωνὴν, ἀλλ' ἐπεῖχε ταύτην αἰδὼς, καί ποτε τὸ πάθος ἐκίνησε. καὶ τῇ γλώσσῃ τόλμαν ἐνέθηκε. καί τι λιγυρὸν ἠβουλήθη προσφθέγξασθαι· ἀλλ' ἡ κόρη πρὸ τῆς φωνῆς, ὡς ὄρθιος παρακλασθῆναι[19] κυπάριττος, λειποψυχεῖν με τὸν τολμηρὸν παρεσκεύασε· ᾤκτείρησεν ἔρως τὴν συμφορὰν, καὶ παρὰ τῇ κόρῃ τὸ πτερὸν ἠδίςως ὑπέσυρε, καί πως ἔρωτι τὰς παρειὰς ὑπηνέμησε. τῆς δὲ σπασάσης, καὶ λοξευσάσης τὸν ὀφθαλμὸν πρὸς τὸν ἔρωτα, πτερὸν διεῤῥύη, καὶ τῆς χειρὸς τὸ τόξον ἐκπέπτωκε, καὶ δοῦλος κόρης καλῆς ὁ πολλῶν δεσπότης ἐδείκνυτο. ἐγὼ δὲ τοσαῦτα κατιδὼν πεπονθότα τὸν ἔρωτα, δειλὸς ἀριςεὺς ἐγεγόνειν εὐθύς. καὶ καθορῶν τὸν δεσπότην δουλούμενον, δρασμὸν αὐτὸς ἐβουλόμην ὑπότρομος· μόλις οὖν ἐκεῖ καταλιπὼν τὴν ψυχὴν, οἴκαδε τὸ σῶμα νεκρὸν ἀπεκόμισα.

19 ἴσ. παρακλασθῆσα m. M.

ΛΙΒΑΝΙΟΥ ΣΟΦΙΣΤΟΥ ΤΑΩΝΟΣ ΕΚΦΡΑΣΙΣ

ΜΙΜΕΙΤΑΙ τὰς τέχνας ἡ Φύσις καὶ ζωγράφων ἐργασίαν μετασκευάζει τοῖς χρώμασιν ἀδίδακτον ποικιλίαν, ὥσπερ δεικνύει ἐθέλουσαν.

ΗΝ τι τέμενος ἱερὸν κατεστεμμένον τοῖς ἄνθεσιν. ἐδόκει γάρ πως ὁ δῆμος ἐπείγεσθαι πρὸς πανήγυριν. ἄρτι δὲ τὰ προπύλαια τοῦ τεμένους ἑωρακὼς, κατεῖδον τί τοιοῦτον. ὄρνις ἦν ἔνδον περσικός· τοῦτο γὰρ αὐτὸ καλούντων τῶν ἱερέων ἀκήκοα· μεγέθει μέν πως κύκνων οὐ λίαν ἀπολειπόμενος· χερσὶ δὲ ζωγράφων τὸ σῶμα, καθάπερ μυρίοις κατακοσμουμενος[1] ἄσμασιν. Ὅμηρος μὲν γάρ που κατὰ τὴν ποίησιν πολλάκις, τὴν μὲν βασιλίδα[2] τῶν θεῶν βοῶπιν προσονομάζει, ὀφθαλμῶν τὸ κάλλος οὕτω[3] τιμᾶν βουλευσάμενος· Γλαυκώπιδα δὲ κούρην ἀνακηρύττει τοῖς ἔπεσιν. ἀλλ᾽ ὅπερ μέρος τοῦ σώματος εἰς εὐμορφίαν χαρίζεται, τῶν ποιητῶν ἡ δεινότης, τοῦ ὅλου σώματος καὶ πάσης πτέρυγος[4] φορᾶν ἑωρᾶτο σαφῶς τῶν ὀρνίθων ὁ κάλλιστος. ἐκ μὲν γὰρ κεφαλῆς καὶ βασιλείας εἶχε γνωρίσματα ἐπανεστηκόσι πτεροῖς, καὶ τὰ πόρρωθεν· τὸ δὲ τῆς δειρῆς χρυσαυγὲς, κυανῷ συμμίσγει, καὶ θείας ὄντως τῆς χάριτος, εἰ ζωγράφοις γράψαι, καὶ τυπῶσαι συγχωρήσομεν· τὰ δὲ λοιπὰ τῶν πτερύγων εἰς ἄκρον ἐξησκημένα τοῖς ὀφθαλμοῖς, καὶ ἀστράπτοντα, Παιανιέως ἐπιζητεῖ τὴν δεινότητα. ἐπειδὴ δὲ ὄρνιθος ἐθεασάμην καὶ κίνησιν, ἐπείγοι με λόγος εἰπεῖν καὶ τὰ τῆς ὁρμῆς παράλογα θαύματα. ἄρτι γὰρ ἑκατέρωθεν

τὰς

[1] ἴσ. κατακοσμούμενον χρώμασιν m. Mor.
[2] Ἥρη βοῶπις m. Mor.
[3] γρ. ἔτι m. Mor.
[4] γρ. πᾶσαι πτέρυγες.

τὰς πτέρυγας, ὥσπερ εἰς πτῆσιν δονήσας, καὶ λοιπὸν κυρτώσας[5] πως ὑπὲρ κεφαλῆς βιασάμενος· ἀγάλματος μὲν κάλλιστον ἐπεδείκνυτο τύπον, ναοῦ τε[6] λαμπροῦ, καὶ προσκυνῆσαι τὸν θεατὴν προτρεπόμενος, ἀγάλματος λαμπροῦ δεδουλωμένον τῷ θαύματι· ζωγράφων κάλλιστε· τότε σου πρῶτον τῆς τέχνης ἐγὼ κατεφρόνησα, ὡς ἀτελῆ ὄφρα γ' ἐπ' Ἀττικῆς τέχνῃ τιμώμενος· ὡραίους δὲ γραφὰς παρ' οὐδὲν ἐποιησάμην, ὄρνιθος Περσικοῦ νενικημένος τοῖς χρώμασιν. ἀλλ' ἰδοὺ γὰρ ζωγράφον ἐλέγξας τῆς τέχνης γραφῆς ἀμείνονος Ἀττικοῦ τῷ λόγῳ δεδήλωται· ὡς καὶ τοὺς ἐπαινεῖν ἐθελήσαντας τὸ τῆς θέας ἔχειν τῆς ἀκροάσεως ἄμεινον.

5 γρ. κυρτώσαι πως m. Mor. 6 γρ. καὶ λαμπρᾶ m. Mor.

ΛΙΒΑΝΙΟΥ ΣΟΦΙΣΤΟΥ ΕΓΚΩΜΙΟΝ ΦΟΙΝΙΚΟΣ ΚΑΙ ΜΗΛΕΑΣ.

ΕΚΦΡΑΣΙΣ ϛ'.

ΕΠΑΙΝΕΣΑΙ φυτὰ προαιρούμενος ἃ προῆλθε θεῶν, οὐκ οἶδα, ὅ,τι θαυμάσομαι, μηλέαν, ἢ φοίνικα. προῆλθε μὲν γὰρ ἄμφω[1] θεῶν· θεῶν δὲ τῶν ἴσων. ὅτε γὰρ φοῖνιξ προῆλθεν Ἀπόλλωνος, τότε αὖ μηλέα πρὸς αὐτὸν[2] ἀνενήνοχεν· ὥστε μίαν ἀμφοῖν τοῦ βίου λαβοῦσι τὴν γένεσιν, ἴσος ἔπαινος ἐξ ἡμῶν ἐποφείλεται· καὶ γεγενημένα τοῦ καλλίστου θεοῦ καλλίστοις[3] χώροις ἐπίστανται φύεσθαι. τὰ μὲν γὰρ ἄλλα τῶν δένδρων, ἢ φύειν οἶδε τοῖς ὄρεσιν.[4] ἢ προσοικεῖν τὴν θάλατταν. μόνα δὲ τῶν ὄντων, μηλέα καὶ φοῖνιξ, παρὰ τοῖς ἡμε-

ρωτε-

1 ἄμφω] γρ. ἀπὸ m. Mor.

2 in descriptione palmae et mali recte Bau. dat. τότε αὖ. μῆλον εἰς αὐτόν.

3 ἐν τοῖς καλλίστοις B.

4 φύειν οἶδεν ἐν τοῖς ὄρεσιν B.

ρωτέροις τῶν χωρίων εἴωθε φύεσθαι. καὶ τὸ ἥμερον, τῇ τῶν χωρίων σημαίνει πραότητι· καὶ τὸ δὴ κάλλιστον, φύσιν οὐκ οἶδε, μὴ πονούσης τῆς τέχνης· ὥπερ οὐκ ἀνεχόμενα φύεσθαι, μὴ λαβόντα καὶ φύσιν καὶ τέχνην. καὶ τιμῶντα καὶ[5] φύσιν καὶ πόνον, διαιρεῖται ταῖς ὥραις εἰς βλάστην.[6] ἡ μὲν γὰρ οἶδε προϊέναι τοῦ θέρους, καὶ παρὰ τοῦ καλλίστου τῶν θεῶν[7] προελήλυθεν Ἄρεος. καὶ δυοῖν ὡρῶν τῶν ἐπαινουμένων φανεῖσα, τὰς μετ᾽ ἐκείνας ἠγνόησε. χειμῶνα μὲν γὰρ ἀγνοεῖ καὶ μετόπωρον· ἃ τῶν ἀνθρώπων ἀνεῖλε τὰς πράξεις καὶ τῆς μηλέας συνανεῖλε τὸ κάλλος. φοίνιξ δὲ τελευτῶν. λήγειν οὐκ οἶδε τῆς βλάστης· πρὸς δὲ, οὐ πρὸς μίαν ἤνθησεν ὥραν·[8] ἀλλ᾽ ἔστι καὶ τῶν ὡρῶν μονιμώτερος.[9] καὶ μεταβαλούσης τῆς ὥρας, ἡ τύχη τὴν τοῦ φοίνικος οὐ μετέθηκε βλάστην. μηλέα τοίνυν καὶ φοίνιξ, τιμῶσαν ἔχει τὴν φύσιν ἑκάτερον. ὅ, τε γὰρ φοίνιξ ὑψοῦ πρόεισι, καὶ γῆς ἀνέχει τὰ μάλιστα καὶ παρ᾽ αὐτὸν, ὡς εἰπεῖν, ἰέναι σπεύδει τὸν οὐρανὸν, ὥσπερ οὐκ ἀνεχόμενος μένειν ἐν γῇ, καὶ[10] τῆς γῆς γεγονώς. τόν γε τοῦ βίου χρόνον παραπλήσιον ἔχει· οὐκοῦν[11] ἔστιν οὐδεὶς, ὃς θᾶττον οἶδεν ἀναιρούμενον φοίνικα· ἀλλ᾽ οἶδε μόνον τῶν φυομένων μακροβιώτερον. κόμη δὲ αὐτῷ προῆλθεν εἰς κάλλος, καὶ διαρρεῖ τῇδε κἀκεῖσε τὸ βλάστημα· καὶ ὃ τῶν δένδρων ἐπαινετώτερον ὅτι, τοῖς μὲν ἄλλοις, προϊόντα πανταχῇ τὰ βλαστήματα, σώματος εἶδος οὐ δίδωσιν ἴσον. μόνος δὲ φοίνιξ κατ᾽ εὐθὺ προϊὼν, ἐπὶ τῆς κεφαλῆς διασώζει τὴν βλάστην· δύο τοῖς ἐναντιωτάτοις καλοῖς κοσμηθείς. ἐπὶ μῆκός τε ἰών· ὡς ἀνέμῳ κλινόμενος, καὶ πρὸς τοῦτον ἀνθεστηκώς,

5 καὶ] γρ. τό δὲ καὶ m. M. in Bau. deest καί.

6 διαιρεῖται ταῖς ὥραις εἰς βλάστην] sic Bau. ταῖς ὥραις desunt Mor.

7 τῶν θεῶν] sic Bau. τῶν deest Mor.

8 ὥραν] γρ. τοῦ χρόνου m. M.

9 μονιμώτερος] sic Bau. μονικώτερος Mor. et in marg. γρ. διακέστερος.

10 τῆς] ἐκ τῆς m. Mor.

11 ἔχει τῷ μεγέθει τοῦ σώματος· οὐκοῦν] sic Bau. in Mor. τῷ σώμ. desunt.

στηκὼς, καὶ[12] μὴ πολύ τι τῆς γῆς ἐπαρθεῖς· ἡ δ' αὖ μηλέα βραχύ τι προελήλυθε, καὶ μένει τοῖς ἐρῶσιν ἐγγύς·[13] καὶ γεγονὸς ἔρωτος βλάστημα, τοῖς ἐρῶσι χαρίζεται· καὶ τοὺς θεατὰς οὐκ ἀφαιρεῖται τὴν ὄψιν· καὶ κατέχει τὸ δένδρον ἡ φύσις ἐφ' ἑαυτῆς, ὥσπερ δείσασα, μή τις ἐμπεσὼν[14] διαφθείρειεν ἄνεμος· καὶ τὸ βλάστημα πανταχόθεν ἀνίησιν· ὥσπερ τοὺς ἐραστὰς ψυχαγωγοῦσα διὰ παντός. ἀλλὰ μὴν οἱ καρποὶ παρ' ἑκατέροιν οἷοι; φοίνικες μὲν γὰρ, τὸ χρῶμα παντοδαποὶ, καὶ πρῶτον εἰσὶ τοῦ τεκόντος ἐπώνυμοι· προϊόντες δὲ ἐρυθραίνονται, καὶ παρ' αὐτῶν φοινισσόμενοι, τὰ μὲν τῷ παντὶ βλαστήματι μένουσι· τὰ δὲ πρὸς ἤλεκτρον φέρονται· καὶ πάντα χρώματα τῷ κάλλει διέσωσαν. φοινίσσονται μὲν[15] γὰρ, ὡς εἰς ἄλλο τι μὴ μεταπίπτοντες· λευκαίνονται δὲ, ὡς ἑτέρῳ μὴ προσγινόμενοι· καὶ συμμεταβάλλει ταῖς ὥραις ἡ πρόσοψις.[16] ὠχρὰν μὲν γὰρ ἔαρ εἶληφεν· εἶτα θέρους φοινίσσεται, καὶ πρὸς ἀπόλαυσιν οὐκ ἀπέοικε μέλιτος. μηλέα δὲ τὸν καρπὸν διετήρησεν, καθ' ὅσον[17] ἔρως ἐπόθησεν. ἆρα καὶ μόνα ταῦτα περὶ τῶν δένδρων ἔχω διεξελθεῖν; πολλῶν μὲν τ' ἂν[18] αὐτὰ λέγων ἀποστερῶ, τὸ λοιπὸν μὴ προσθείς. φοῖνιξ μὲν γὰρ, παντὸς ἀγῶνος γίνεται στέφανος, καὶ τὸν θαλλὸν ἔχει νίκης ὑπόμνημα. μηλέα δ' αὖθις στεφανοῖ τὸν ἀγῶνα τὸν Πύθιον. καὶ ἔτι πρὸς τούτοις, ἑκάτερον νοσοῦσιν ἐπικουρεῖ[19] ὅ, τε γὰρ φοῖνιξ, εἰς ἀπαλλαγὴν προῆλθε νοσήματος ἅ τε μῆλον ἐργάζεται, λύσις καθίσταται πάθους. εἶτα, τίς μηλέᾳ παραθήσει τὸν φοίνικα; ὁ μὲν γὰρ ἐπὶ κόμης ἐβλάστησε μόνης· ἡ δὲ διὰ παντὸς ἐξανθεῖ τοῦ βλαστήματος.[20] ταύτῃ μὲν μηλέα φέρει τὸ πλέον. ὁ φοῖνιξ δὲ

πᾶς

[12] καὶ] ὡς B.

[13] ἐγγὺς] sic Bau. ἐγγὺ M.

[14] ἐμπεσὼν] sic Bau. ἐκπεσὼν Mor.

[15] μὲν deest Bau.

[16] πρόσοψις] sic Bau. πρόψις Mor.

[17] καθ' ὅσον sic Bau. Mor. omittit καθ'.

[18] μὲν τ' ἂν] sic Bau. μὲν τ' ἂν Mor.

[19] ἐπικρατεῖ Bau.

[20] τοῦ βλασ.] sic Bau. τοῦ deest Mor.

πῶς εἰς τὴν μηλέας ἄνεισι τάξιν. καὶ ὁ μὲν εἰς ἅπασαν ἐκόμησεν ὥραν· ἡ δὲ, εἰς ἕνα καιρὸν μόνον ἐβλάστησεν.[21] ἦν πολλὰ ἕτερα περὶ αὐτῶν διεξελθεῖν· ἀλλ᾽ ἀφαιρεῖται τὸ πλῆθος ἑκάτερον.[22] ἃ γὰρ περὶ ἑκάτερον[23] λέγειν καθέστηκεν ἄπορον, συναμφοτέρων ἐστὶν[24] ἀπορώτερον.

ΛΙΒΑΝΙΟΥ ΣΟΦΙΣΤΟΥ ΕΚΦΡΑΣΙΣ

κήπου.

ΕΥδαίμονες ἄρα ἦσαν οἱ Φαίακες· οὐχ ὅτι θεῶν ἐγεγόνεισαν· ἀλλ᾽ οἷς ἐτίμων πρὸ παντὸς τὰ κηπεύματα, καὶ τὸ μὲν εὐτυχὲς ἐν τοῖς Φαίαξιν ἐκ τῶν κηπευμάτων ὡρίζετο. ἐγὼ δὲ ὃν[25] τεθέαμαι, καὶ διεξιέναι βουλήσομαι· χῶρος ἦν καθειμένος· ἐπέῤῥει δὲ ἐς αὐτὸν, ὅσα τῶν ὀρῶν[26] συνέπιπτε ῥεύματα. αἱμασιὰ δὲ περιεῖργε τὸν χῶρον· οὐχ ἧς ἄν τις προσαψάμενος[27] ἔπαθεν· ἀλλὰ λίθων συγκειμένων λογάδην·[28] τὴν αἱμασίαν στίχος φυτῶν διεδέχετο· φυτῶν δὲ οὐχ ἃ γεωργῶν[29] οἶδε προέρχεσθαι· ἀλλ᾽ ὅσα φέρειν ἐπίσταται φύσις. πτελέαι γοῦν αἰγείροις συμπεφύκεισαν· ἄμπελοι δὲ ἐπανεῖχον αὐταῖς, τὸν[30] οἰκεῖον καρπὸν ἐκείνων εἶναι δοκεῖν[31] προσ-

[21] καιρὸν μόνον ἐβ.] sic B. μόνον deest Mor.

[22] περὶ ἑκατέρα Bau. f. ἃ γὰρ περὶ ἑκατέρα λέγειν. καθέστηκεν συναμφοτέρων ἔτι ἀπ.

[23] ἴσ. ἑκατέρων et [24] δὲ ἐστὶν m. Mor.

[25] ὃν] sic Bau. recte. θεὸν Mor. et in marg. ἴσ. θεοῦ κῆπον ἢ δαιδάλου.

[26] ὀρῶν] γρ. ἐκ τῶν ὡρῶν m. M. ζώρων Bau. f. ὅσα ἐκ τῶν ὀρῶν, e montibus.

[27] προσαψάμενος] sic recte Bau. non e rubis, qualem qui tetigerit manibus, is dolet προσαψόμενος Mor.

[28] f. συγκειμένη λογάδων. m. M. adscripsit σχολ. κατὰ τέχνην.

[29] γρ. γεωργὸς m. Mor.

[30] τὸν] imo vero τὸ, cohaeret enim cum δοκεῖν.

[31] m. Mor. adscr. σχολ. ὥστε δοκεῖν.

προσεχόμεναι·[32] διεδέχοντο δὲ τὰς ἀμπέλους συκέαι· ἃς γλυκερὰς ἄν τις ποιητὴς παρωνόμασε· μηλέαι δὲ μετὰ τὰς συκέας ἐπεφύκεσαν, βεβαιοῦσαι τὸν μῦθον τῷ χρώματι· χρυσὸς γὰρ ἐδόκει τοῦ καρποῦ καταφέρεσθαι. τὸ δὲ λοιπὸν ἅπαν διῄρεῖτο πρὸς πρασιάς. καὶ πηγὴ κατὰ μέσον[33] ἀνέβλυζε ῥεῦμα φέρουσα τοῦ κινοῦντος[34] ὀξύτερον. ὄρνιθες δὲ ἐφοίτων παντοδαποὶ κατακηλοῦντες μὲν ταῖς ᾠδαῖς τοὺς ἀκούοντας· εὐωχιάζοντες δὲ τοὺς θηρῶντας ταῖς ἄγραις. καὶ[35] ταῦτα μὲν ἰδεῖν ὑπῆρχεν[36] ἡδονῇ,[37] διεξελθεῖν δὲ τοῖς ἀκούουσιν ἥδιον.

ΕΚΦΡΑΣΙΣ ΛΙΜΕΝΟΣ.

ΤΩΝ πόλεων αἱ μὲν ἀπὸ[1] θαλάσσης ἀποδιέστησαν.[2] αἱ δ' ἐπ'[3] αὐτοῖς τοῖς αἰγιαλοῖς κατῳκίσθησαν· εὐδαιμονες δὲ μᾶλλον τῶν πόλεων, αἱ προσοικεῖν λαχοῦσαι την[4] θάλασσαν. ἅ τε γὰρ φέρει τοῖς ἐνοικοῦσιν ἡ γῆ, διαδέχεται[5] θάλασσα· ἅ τε μετὰ ταύτην εἰσφέρει τὸ πέλαγος, ἤπειρος δέχεται· καὶ τὴν ἐπιμιξίαν ἀμφοῖν ποιοῦσι λιμένες. τῶν δ' αὖ λιμένων οἱ μὲν τέχνῃ[6] προέρχονται καὶ χερσὶν ἐσκευάσθησαν· τοὺς δὲ φύσις ἀνῆκε,[7] μηδὲν εἰς τοῦτο δεομένη τῆς τέχνης· ὃν δὲ νῦν εἶδον, εἰργάσαι μὲν ἡ φύσις· εἰπεῖν δὲ ὡς ἔχει προῄρημαι. πλευ

ραὶ

[32] παρεχόμεναι. praebentes opinionem se fructum esse, illi duplici generi arborum proprium et natiuum.

[33] μέσον] sic Bau. recte. μέσῳ Mor.

[34] κινοῦντος] χλ. πνεύματος m. Mor.

[35] καὶ et μὲν desunt Bau.

[36] ὑπῆρχεν] sic recte Bau. ὑπῆλθεν Mor.

[37] ἡδονῇ] ἐν ἡδονῇ Mor.

[1] recte abest ἀπὸ Bau.

[2] ἀποδιέστησαν] videtur haec lectio e duabus esse colliquata, ex ἀπέστησαν, et ex διέστησαν.

[3] ὑπ' Bau.

[4] γρ. πρὸς τὴν m. Mor.

[5] f. γῆ, δι' αὐτῶν δέχεται.

[6] χ. ὑπότεχνοι m. Mor.

[7] γρ. ἀνέδωκε m. Mor.

ραὶ γῆς ἐξανέχουσαι· καὶ παρ' αὐτὸ χωροῦσαι τὸ πέλαγος εἰς ἀλλήλας ἐπανακάμπτουσι, καὶ πρὸς ἀλλήλας ἰοῦσαι κύκλον τελοῦσι, καὶ κύκλον οὐχ ὅλον· ἀλλ' ὅσον στόμα τῷ λιμένι καταλιπεῖν. ἔπειτα νῆες αἱ μὲν ἔνδον εἰσὶν ὁρμιζόμεναι· αἱ δὲ τὸν ὅρμον ἐκλείπουσι· καὶ αἱ μὲν ἄρτι πελάγους[8] καταίρουσιν· αἱ δὲ ἐπὶ πέλαγος αἴρονται· καὶ πάσας κομίζει οὐ μόνον, οἶμαι, τὸ πνεῦμα προσπίπτον· ἀλλ' ἤδη καὶ χεῖρες ἐρετῶν ἐπεισήνεγκαν. ταῖς μὲν γὰρ αὐτῶν κατὰ πρύμναν τὰ πνεύματα· ταῖς δὲ ἐρετῶν ἀντὶ πνεύματος αρκοῦσιν αἱ χεῖρες. καὶ τὸ μὲν εἰς[9] γῆν ἐκ θαλάττης κομίζουσαι ἐπεξήγαγον· τὸ δὲ ἀπὸ τῆς γῆς ἐπὶ τὰς ναῦς τὰ προσήκοντα τίθενται. καὶ τῶν παρ' ἑκατέροις γεγονότων, ὁ λιμὴν ὑπῆρχεν ἐπίδειξις· στοαὶ δ' ἐφ' ἑκατέρας πλευρᾶς τοῖς προσιοῦσιν ἀναπαυτήριοι.[10] καὶ Ποσειδῶνος ἐγκατῳκοδόμητο τέμενος· ὃν ἐκάλουν μὲν ἅπαντες, οὐ μὴν ἐπὶ τοῖς ἴσοις ἐκάλουν· ἀλλ' οἱ μὲν σωτῆρα πρὸς τὸ μέλλον αἰτοῦντες· οἱ δὲ χάριν εἰδότες, ἧς[11] διεσώθησαν. εὐχὴ καὶ δέος κατεῖχε τὸν χῶρον. καὶ ἀγὼν ἡδονῆς συναναμέμικτο. τοὺς τε γὰρ ἄρτι προσιόντας ἡ χάρις,[12] τοὺς τε ἐκπλεῖν ἤδη μέλλοντας κατεῖχε τὸ δέος· ἀμφοτέροις δὲ ἦν πρὸς ἱκετείαν ὁ Ποσειδῶν· ἢ κληθεὶς, ἢ καλούμενος. τούτων εἰς ἅπαν τὴν ἡδονὴν διελθεῖν ἀπορώτερον· πλὴν εἰ μή τις[13] αὐτοὺς τοὺς πλέοντας[14] παραστήσαιτο μάρτυρας.

8 σχ. ἀπὸ πελ. m. Mor.
9 εἰς] χ. τὸ φορτίον m. M.
10 γρ. ἀναπαυστήριοι m. Mor.
11 ἧς] ἴσ. οἷς m. Mor. et B.
12 ἡ χάρις] sic Bau. et in marg. ἡ ἀχαριστία ὅτι ἐσώθησαν. ἡ deest Mor.
13 ἄν τις Bau.
14 παραπλέοντας Bau.

ΕΚΦΡΑΣΙΣ ΝΑΥΜΑΧΙΑΣ.

ΤΥΧΗ δὲ ἄρα τῶν ἀνθρωπείων κατάρχουσα, πρὸ παντὸς ἄλλου τῶν πολέμων ἐπιστατεῖ καὶ φέρει τὴν τῶν πραττομένων ῥοπὴν ἐφ' ἑκάτερα· γῆ γὰρ καὶ θάλαττα διαιροῦνται τὰς μάχας· καὶ πόλεμος μὲν ἠπειρωτικὸς εἰς ἀλκὴν μάλιστα πράττεται· ναυτικὸς δὲ πρὸς ἀλκὴν ἅμα καὶ τέχνην· δύο τοίνυν πόλεε νησιώτιδε πρὸς ἔριν ἀλλήλαις ἐλθοῦσαι, πρὸς ἀγῶνα παρεσκευάζοντο. ἐγκλήματα μὲν πρὸς ἀλλήλας πραττόμεναι· τύχην δὲ φέρουσαι τοῦ κινδύνου τὴν πρόφασιν. ὡς δὲ ὁ κῆρυξ οὐδὲν εἰρηναῖον ἀπήγγειλε, παρεσκευάζοντο πρὸς τὸ μέλλον ἑκάτεροι. δεξιὸν μὲν κέρας οἱ ἄριστοι πλέοντες, ἔχοντες· εὐώνυμον δὲ, οἱ κρατεῖν οὐ δυνάμενοι· καὶ προσβαλόντες ἀλλήλοις, διέκπλοις καὶ ταῖς ἀναστροφαῖς κυκλωσάμενοι, ἅτεροι τῷ δεξιῷ κατὰ μέσον τοὺς λοιποὺς ἀπελάμβανον· καὶ ναῦς μὲν, ἐμβαλούσης νεὼς διεφθείρετο· ἄνδρες δὲ ζωγρηθέντες ἀπήροντο[1] καὶ νὺξ μὲν ἐπῆν τῷ παθήματι. ἑκάτεροι δὲ ἐχώρουν πρὸς τὸ οἰκεῖον στρατόπεδον· οἱ μὲν νικηθέντες, ἀγαπῶντες, εἰ σώζοιντο· οἱ δ' αὖ νενικηκότες τὰς μὲν τῶν νεῶν κενὰς ἀναδούμενοι· τὰς δ' αὖ τοῖς ἀνδράσι καθέλκοντες, καὶ τρόπαιον στησάμενοι, μίαν ὧν εἷλον νεῶν ἀνέθεσαν τῷ Ποσειδῶνι πρεσβεύοντες. ταῦτα τόλμης μὲν ὑπῆρχεν ἰδεῖν· ἀδίκημα δὲ μὴ διελθεῖν οἷα γεγένηται.

[1] ἀπήγοντο Bau. et m. Mor. cum γρ.

ΕΚΦΡΑΣΙΣ ΛΕΟΝΤΟΣ
κατέχοντος ἔλαφον.

ΑΛΚΑΙ δὲ ἄρα σωμάτων ἐπαινοῦνται μὲν[1] ἐν παντὶ μάλιστα δὲ οἷς ὁ λόγος οὐκ ἔνεστιν, ὅθεν τὰ λέοντος ἐῤῥωμένα παρέσχεν ἡ φύσις. μιμεῖσθαι δὲ τέχνη πειρᾶται, καὶ διελθεῖν πεπλασμένα ὁ λόγος. ἐν περιφανεῖ τοίνυν χώρῳ τοῦ ἄστεος, λέων ἐξείκασται συμπεπλεγμένος ἐν ὄρει πρὸς ἔλαφον. ἅπας τε γὰρ ἔχεται πάσης· τῷ[2] κατὰ μέρος διείληφεν, ὡς ἑλεῖν περιῆν· οἵ τε ὀδόντες τῇ δειρῇ περιπείρονται· καὶ κόμη τῆς κεφαλῆς ἐπανίσταται· καὶ πρὸς ὅλην ἁλοῦσαν[3] διαιρεῖται τὴν ἔλαφον, στόματα δαπανῶν καὶ συνέχων τοῖς ὄνυξι, καὶ πιέζων τῷ λοιπῷ σώματι. οὐρὰν[4] δὲ συμπεριείλικται· τῆς μὲν παρ' αὐτῆς πληγῆς οὐκ ἔτι δεόμενος· ἀντ' ἄλλου δὲ αὐτὴν ἐπιφέρων δεσμοῦ. ἡ δ' αὖ ἔλαφος τὸ μὲν κέρας ἀνῆκεν, ὥσπερ αἰτιωμένη τὴν φύσιν, εἰ μηδὲν αὐτῇ[5] πρὸς μάχην ἐξήρκησε. τὸ δὲ οἱ πρόσωπον ἐγκάρσιόν τε ἐστὶ καὶ πρὸς θάτερον νένευκε, καὶ τοῦ στόματος ὑπανέῳγεν, ὀδόντας μὲν ὑποφαίνουσα, περιαλγοῦσα δὲ τῷ παθήματι· οἱ δὲ δὴ πόδες ἴσασι μὲν οἱ πρῶτοι πρὸς τὴν γῆν· καὶ[6] τὸ βάθρον ἐρείδουσιν· οἱ λοιποὶ δὲ πρὸς γόνυ συγκάμπτονται, καὶ κατὰ γῆς συνελέγησαν· καὶ σχηματίζεται μὲν πρὸς ἅπαν[7] τοσοῦτον, ὅσον ὁ λέων ἐμπεσὼν ἐβιάσατο· εὖ δέ μοι δοκεῖ ὁ δημιουργὸς, ἐλάφου θήραν ἐπ' αὐτοῖς στῆσαι[8] τοῖς νεύμασιν· ὥσπερ ἐνδείξασθαι τοῖς πολλοῖς προαιρούμενος, ὡς προελθοῦσι θήραν εἰσὶν ἔλαφοι

[1] μὲν] Bau. deest Mor.

[2] τῷ] ἐν Bau. ἴσ. τὸ κ. μ. διειληφέναι m. Mor.

[3] ἀλῦσα Bau.

[4] γρ. ὀρᾷ m. Mor.

[5] αὐτὴν Bau.

[6] καὶ] χ. πρὸς m. Mor.

[7] ἅπαν] γρ. σχῆμα m. Mor.

[8] θήραν ἐπ' αὐτοῖς στῆσαι] sic Bau. ἐπ' αὐτοῖς desunt Mor.

φοι πρόχειροι. λέγων οὖν [9] ἀφῆκεν ὁ λόγος, ἃ μηδὲ λέγειν οἴκοθεν δύναται.

[9] ἐν] ἐκ Bau.

ΛΙΒΑΝΙΟΥ ΣΟΦΙΣΤΟΥ ΕΚΦΡΑΣΙΣ ΗΡΑΚΛΕΟΥΣ ΚΑΙ ΑΝΤΑΙΟΥ

ΟΥΡΑΝΟΝ τε καὶ γῆν διείλοντο μὲν οἱ Θεῶν κράτιστοι. καὶ τὸ μέσον ἀμφοῖν ὁ χῶρος σημαίνει· δηλοῦσι δὲ πλέον παῖδες Θεῶν, πρὸς ἀλλήλους ἀγωνιζόμενοι. προελθὼν γὰρ Ἡρακλῆς τοῦ Διὸς πρὸς Ἀνταῖον ἀνταγωνίζεται· τὸν γῆς προελθόντα πρότερον. καὶ συμπλεκομένους εἶδεν ὁ πρότερος χρόνος, οὓς καὶ [1] ἀγωνιζομένους κατέσχεν ἡ τέχνη. χῶρος γάρ τις περιφαινόμενος ἄστεος, ἀνεστηκότας ἀμφοτέρους παρέχεται. καὶ τὸν ἀγῶνα λήγοντα μᾶλλον, ἢ καταρχόμενον [2] οἱ πλάσαντες ἀνέφηναν. ὡς γὰρ ἀγωνισμάτων πλείστων γεγονότων ἀμφοῖν, Ἡρακλῆς Ἀνταῖον αἴρει μετέωρον· αἴρει δὲ κατὰ κεφαλῆς ὠθῶν ἐπὶ γῆν. καὶ τὸ μὲν πρόσωπον πνέον ἔτι σώζει τοὺς πόνους· κεφαλὴ γὰρ πόνοις ὑπερορᾷ, καὶ μικροῦ τοῖς Ἀνταίου ποσὶν ἀποκρύπτεται· ἔπειτα δειρὴ πρὸς τὴν ὁρμὴν τῶν ἀγωνισμάτων ἀνέστηκε. τὼ δὲ χεῖρε πρὸς τὸν Ἀνταῖον ἔχει συμπλέξας καὶ πιέζει λαβὼν, καὶ καταβάλλειν ἀπειλεῖ πρὸς τὴν φύσασαν· ὥσπερ Ἀνταίῳ δεικνὺς, ὡς οὐδὲν ὀνήσει τοῦτον ἡ γῆ, παράγουσα μὲν, ὡς ἀμῦναι προσήκουσα, ἀποροῦσα δὲ σώζειν, ὥσπερ αὐτοῦ πίπτοντος ἐν τῷ βάλλεσθαι. τὸ δὲ στέρνον Ἀνταίῳ συναποκρύπτεται. τὼ δὲ δὴ μηρὼ, ἄμφω μὲν διέστηκεν· ἀνέχει δὲ πρὸς Ἀνταῖον ὁ δεξιός· ὥσπερ Ἡρακλέους ἀνιᾶσαι σπουδάζοντος· οἷς καταβαλεῖν [3] μὲν ἀπειλεῖ· πεσεῖν δὲ πρὸς γῆν [4] οὐ κατέλιπε. τοῖν δὲ δὴ ποδοῖν πρὸς τὸ βάθρον ἑκάτερος ἕστηκεν. ὁ δὲ δὴ λοιπὸς αἴρεται μὲν

ἀπὸ

[1] καὶ deest Bau.
[2] κατερχόμενον Bau.
[3] καταβάλλει Bau.
[4] κατὰ γῆς Bau.

ἀπὸ γῆς, καὶ δεῖσθαι τῆς τεκούσης οὐ συγκεχώρηται. φέρεται δὲ πρὸς ἀέρα μετέωρος, τῆς μὲν συμμάχου[5] ἀλλοτριούμενος· αἰρόμενος δὲ οἷς πεσεῖσθαι καταναγκάζεται· καὶ τὴν μὲν κεφαλὴν κάτω φέρεται βλέπουσαν· πεσεῖν δὲ θᾶττον οὐ συγκεχώρηται· ἀνιαρωτέραν[6] ἄγων τὴν ἐλπίδα τοῦ μέλλοντος, καὶ προσάπαξ πεσεῖν οὐκ ἐώμενος, ἀεὶ πεσεῖσθαι ταῖς ἐλπίσι δοκεῖ. ταῖν δὲ δὴ χεροῖν ἡ μὲν δεξιὰ λύειν πειρᾶται τῶν Ἡρακλέους δεσμῶν τὴν πληγήν· ἡ δ' εὐώνυμος πρὸς γῆν τέταται, δεομένη τε ὁμοῦ τῆς[7] μητρὸς, καὶ προσερεῖσαι βουλομένη τῇ γῇ, βαλλομένου τοῦ σώματος. τὸ δὲ δὴ στέρνον ταῖς Ἡρακλέους χερσὶ πιεζόμενον ἔχεται. πρὸς δὲ τὴν βίαν ἡ γαστὴρ ὑποδίδωσι. τοῖν δὲ δὴ μηροῖν ἑκάτερος ἄνω μετέωρος φέρεται.[8] καὶ τὼ πόδε φέρει πρὸς ἀέρα μέσον ἀνέχοντας ἐναλλὰξ, τὴν θέσιν τοῖς ἀγῶσι φερόμενος· οὗ γὰρ ἔδει κεῖσθαι τοὺς πόδας, ἡ κεφαλὴ μετατέθειται· πρὸς ἃ δὲ τὴν κεφαλὴν ἑστάναι προσῆκεν, οἱ πόδες ἀνέχουσιν· οὕτως Ἡρακλέους μεταβαλόντος τὸ σχῆμα τοῦ σώματος, ὡς ἡ τύχη τὴν μάχην. ταῦτα καὶ θεωρεῖν ὑπῆρξεν ἐν ἡδονῇ, καὶ τοῖς πλάσασιν ἔστηκε βέβαια.

ΕΚΦΡΑΣΙΣ ΕΤΕΡΑ ΤΩΝ αὐτῶν.

ΕΞΕΛΙΠΕ μὲν μετὰ τοὺς ἀγῶνας τὴν γῆν Ἡρακλῆς· μένει δὲ ὅμως ἐπὶ τῶν ἀγωνισμάτων ἐν γῇ, καὶ θεοῖς συνδιαιτώμενος. ὥσπερ γὰρ οὐκ ἀνεχομένης τῆς τύχης οὐδὲν ἐᾶσαι λαθεῖν, ὧν Ἡρακλῆς ἠγωνίσατο, τὴν τῶν πλασάντων ἐπεδείξατο τέχνην· ἡ δὲ πολλαχῇ μὲν ἀγω-

[5] συμμαχούσης Bau.

[6] γρ. ἀνιαροτέραν m. Mor.

[7] δεομένη τε ὁμοῦ τῆς] sic B. ὁμοῦ deest Mor.

[8] τοῖν δ. δ. μηροῖν ἑκ. ἀ. μετ. φερ.] sic Bau. τῶν δ. δ. μηρῶν Mor. et omittit μετέωρος.

ἀγωνιζόμενον ἔδειξε, μᾶλλον δὲ οἷς πρὸς παῖδα τῆς γῆς ἀγωνίζεται. ἐν περιφανεῖ γὰρ χώρῳ τοῦ ἄστεος ἀνέστηκεν Ἡρακλῆς ἐν χαλκῷ, πρὸς παῖδα τὸν γῆς συμπλεκόμενος, σκευὴν καθάπαξ οὐ περικείμενος. καί μοι δοκεῖ τὸν δημιουργὸν τοιοῦτον σχῆμα περιθεῖναι τῆς πάλης· ὡς καθάπαξ τοῦ δημιουργοῦ τὸν Ἡρακλέα τοιοῦτον εἶναι συμπλάττοντος· καὶ ὡς οὐκ ὂν Ἡρακλεῖ προκαλύπτεσθαι[1] πρὸς ἀγῶνα κινουμένῳ τοιόνδε. περίκειται δὲ τὴν κόμην στέφανος, ἔτι μὲν αὐτῷ συνεστώτων τῶν πόνων. ὥσπερ δὲ οὐκ ἀναμένων τὸ πέρας εἰς κρίσιν, πρεσβύτερον δὲ τῆς νίκης, τὸ τῆς μάχης ἔχων ὑπόμνημα. εἶτα τὸ πρόσωπον ἐγκάρσιόν τε ἅπαν ἐστὶ, καὶ πρὸς αὐτὸν βλέπει τὸν συμπλεκόμενον· ὥσπερ οὐδὲ τοῦ προσώπου τὸ πρόσχημα φόβου χωρὶς καταλείποντος. συνάγει δὲ τὰς ὀφρῦς ὁ θυμὸς, καὶ τὴν ὀργὴν ὁ δημιουργὸς οὐκ ἀφῆκε λαθεῖν· ἔπειτα συγκλείσας ἔχει τὸ στόμα, τῆς ἀπὸ τοῦ πνεύματος ψυχαγωγίας[2] οὐ προσδεόμενος. ἐγκάρσιος δὲ ἐστὶν ἡ δειρή· καὶ πρὸς τὴν ὁρμὴν τῶν ἀγωνισμάτων ἀπένευσε·[3] τοσοῦτον τὸν δεξιὸν ὦμον ἀπολείπουσα· ὅσον τῷ λαιῷ πιέζων ἐβάρυνε. ταῖν δὲ δὴ χεροῖν ἡ δεξιὰ μὲν τῆς ἐκείνου δεξιᾶς εἴληπται, καὶ χερσὶν ἴσαις οὐχ ὁμοίως ἀγῶνος ἔδειξε τύχην. ἡ μὲν γὰρ προὔχει καὶ τύχῃ καὶ σχήματι· τῇ δ' εὐωνύμῳ τὸ πᾶν πιστεύει τῆς νίκης. ὥσπερ ἀγανακτῶν εἰ Διὸς γεννηθεὶς, δεξιᾷ χειρὶ τὸν παῖδα τῆς γῆς παρασείσαιτο·[4] πιέζει δὲ τὴν δειρὴν τῇ λαιᾷ· καὶ τῇ τεκούσῃ πελάσαι βιάζεται· τὸ δὲ οἱ στέρνον ἐξώγκωτό[5] τε καὶ ἐξοιδεῖ, καὶ τὴν ἔνδον ὀργὴν[6] ὑποσημαίνει τῷ σχήματι. παρατέτακται[7] δὲ ὑπὸ τῷ στέρνῳ γαστὴρ· ὥσπερ ἄνω παρὰ τὸ στέρνον ὠθοῦσα τὸ πνεῦμα. τοῖν δὲ δὴ μηροῖν, ὁ μὲν δεξιὸς ἐπ' αὐτῷ τῷ ποδὶ τέτακται,[8] καὶ

[1] Ἡρακλεῖ προκαλύπτεσθαι] sic Bau. προκαλ. deest Mor.
[2] πνεύματος ψυχαγωγίας] sic Bau. ψυχαγ. deest Mor.
[3] γρ. ἀνέστηκε m. Mor.
[4] παραστήσαιτο Bau.
[5] ἐξώγκωται Bau.
[6] ὁρμὴν Bau.
[7] παράτεταται Bau. et m. Mor. cum γρ.
[8] τέταται Bau.

καὶ προσερείδει τῷ βάθρῳ, καὶ προδηλοῖ τὴν ὁρμὴν τοῦ πιέζοντος· ὁ δὲ δὴ λαιὸς ὑποβέβληται μὲν [9] τοῖς Ἀνταίου μηροῖς· ὠθεῖν δὲ ἐς τὸ ἄνω πειρώμενος, ὅλον Ἀνταῖον ἐξωθεῖ τοῖς μηροῖς, καὶ καταβαλεῖν ἀπειλεῖ πρὸς τὴν γῆν. ὁ δὲ Ἀνταῖος περίκειται μὲν οὐδὲν ἐπὶ τῆς κεφαλῆς· ἀρκέσειν δέ οἱ πρὸς τὴν μάχην ἡγεῖται τὴν κόμην, ἐπὶ μέγα προσήκουσαν.[10] καί μοι τὸν Ἀνταῖον κομᾶν ὁ δημιουργὸς ὑποπλάσαι δοκεῖ, καὶ τῆς τοκούσης σημαίνων τὴν φύσιν, καὶ τὴν μέλλουσαν αἰνιττόμενος ἧτταν· τὸ δέ οἱ πρόσωπον, οὐδὲ ὅλην ἔχει καταμαθεῖν τὴν μητέρα· ἀλλὰ τὸ μὲν ἀφῆκεν εἰς γῆν ἀφορᾶν, ὡς ἂν κινηθεὶς τὴν μητέρα ἐπιμαρτύραιτο, καὶ κόμπον ἄλλως ἐξελέγξῃ τὸ γένος· τὸ δέ οἱ στόμα διῄρηται μέν, ὡς εἰς πάροδον βιαζομένου τοῦ πνεύματος· καὶ στένειν παρέχει τὴν ἧτταν· καὶ μόνον θρήνων ὁ δημιουργὸς ἀφῆκεν ἐλεύθερον. πιεζομένη δὲ πρὸς τῆς βίας ἡ κεφαλή, τὴν δειρὴν πᾶσαν ἀπέκρυψε, καὶ λαιὸς αὐτὴν πιεζομένην ὦμος ἀνέχει. τῶν δ' αὖ χειρῶν ἡ μὲν δεξιὰ προκατείληπται καὶ καθίσαται πρὸς τὴν μάχην, τοσοῦτον ἀποδέουσα τοῦ συμμαχεῖν, ὡς ἐκ τοὔμπαλιν ἕλκεσθαι· τῇ λοιπῇ δὲ χειρί, τὸν μὲν Ἡρακλέους βραχίονα παρέχεται· καὶ παρ' αὐτὴν τὴν εὐώνυμον μασχάλην τέταται πάντως.[11] πειρωμένη δὲ προσψαῦσαι τῆς πλευρᾶς, ἁμαρτάνει τῆς νίκης· τὸ δέ οἱ στέρνον διέχεν ἐκ θυμοῦ, τῆς Ἡρακλέους δυνάμεως, τοσοῦτον πιεζούσης τὸ στῆθος ὅσον ὑποδῦναι τὴν γαστέρα ποιῆσαι. τοῖν δὲ δὴ μηροῖν ὁ δεξιὸς μὲν συμπλέκεται, καὶ μετέωρος ἐκ τῆς Ἡρακλέους συμπλοκῆς αἴρεται· ὁ εὐώνυμος δὲ βραχὺ μέν τι πρὸς γόνυ κέκαμπται. καὶ παντὶ ποδὶ ψαύει τῆς γῆς, ὥσπερ οὐκ ἐώσης τῆς τεκούσης αὐτὸν καθάπαξ ἁλῶναι νικώμενον. ἀλλ' ὅσον Ἡρακλῆς πειρᾶται καταβαλεῖν· τοσοῦτον ἡ γῆ πεσεῖν οὐκ ἐᾷ. καὶ ἀγὼν Ἡρακλεῖ διπλοῦς καταλείπεται. πρὸς Ἀνταῖον μὲν ἤδη συμπλεκόμενον· πρὸς δὲ τὴν μητέρα πεσεῖν οὐκ ἐῶσαν. ἐν δὲ ἀμφοτέροις βάθρον ἔχει. καὶ

τῆς

9 μὲν deest Bau.

10 προήκουσαν Bau.

11 πάντῃ Bau.

τῆς γῆς ἐξαῖρον,[12] καὶ γῆς αὐτὸν[13] μηδὲν ἐφαπτόμενον. πόνους δὲ ἄρα τοὺς Ἡρακλέους οὐκ ἦν ἔξω πόνων διελθεῖν.

ΕΚΦΡΑΣΙΣ ΗΡΑΣ.

ΤΑΜΩΝ δὲ ἄρα τὸ μὲν οἶδεν ὁ νόμος· τὸ δὲ πρὸς ἡδονὴν προῆλθεν εἰς βίον. καὶ τῶν γάμων, οὗ ἡδονὴ μὲν ἐπίσταται, παρὰ τὴν Ἥραν ἑτέρα θεὰ ἐπεστάτησεν. ἡδονὴν δὲ ἣν οἶδεν ὁ νόμος, Ἥρα παρήγαγεν. ὅθεν θαυμάζειν ἐπῆλθε τοὺς πλάσαντας, οἱ τιμᾶν τὴν Ἥραν ἐθέλοντες, οὐκ ἔξω γάμων τῶν κατὰ νόμον ἐπλάσαντο· καὶ τὸ σχῆμα σημαίνει τὴν χάριν. ἐλθόντι γοῦν κατὰ τὸ μέσον τοῦ ἄστεος, Ἥρα κατὰ μέσην ἀγορὰν συνέστηκεν,[1] οὐχ οἵαν ὁ Ζεὺς ἐκάλει πρὸς μίξιν· οὐδὲ οἵαν Ἡρακλῆς ἐκίνει πλανώμενος· ἀλλ' οἵαν καὶ αὐτὴ[2] Ἀφροδίτη τετίμηκε, πρὸς τὸν Ἡφαίστου παιδεύουσαν γάμον. καὶ πρῶτον μὲν, κεφαλὴν ἔσκεπέ τι προκάλυμμα· τὸ δὲ μέχρι τοῦ λοιποῦ διῆκον σώματος· τῷ τε γὰρ ὤμῳ μετὰ τὴν κεφαλὴν, καὶ τὸ στέρνον μετὰ τοῦ ὤμου[3] συμπεριβέβληται. καί μοι δοκεῖ παστάδα εἶναι τὸ πρόσχημα· καὶ συζυγίαν ὁ πλάσας ζηλοῦν τὴν θεὸν, ὡς αἱ ἐζευγμέναι τοιαίδε συγκρύπτονται· οὐ μὴν ὅτι τὰ τῆς κεφαλῆς αὐτῇ προκεκάλυπται, τὸν κόσμον ἀπέκρυψεν. ἀλλ' ἔνδον μὲν ὁ κόσμος τοῦ προκαλύμματος, σημαίνει τὸ κάλλος· ἐπίκειται δὲ τῷ κόσμῳ καὶ τὸ προκάλυμμα, καὶ ὅλον σημαίνει τὸν κόσμον, οἷς προκεκάλυπται· καὶ κρώβυλον[4] ὥσπερ τινὰ κατὰ μέσην ἀνέχει[5] τὴν κεφαλήν. εἶτα πλό-

[12] ἐξαίρειν Bau. sed vulg. superscr.
[13] αὐτὸ Bau.
[1] συνανέστηκεν Bau.
[2] αὐτὴ Bau.
[3] τοὺς ὤμους Bau.
[4] κρώβυλον — in Bau. superscr. est δεσμόν.
[5] ἔχει simplex Bau.

πλόκαμος μέχρι τῶν ὤμων καθεῖται, καὶ παρῃώρηται πρὸς τὸ στέρνον· τὸ δὲ πρόσωπον εἰς χάριν ἀνεῖται· ὀφθαλμοὶ γάρ πως ἐρωτικῶς ἀποβλέπουσιν. αἱ δ' αὖ παρειαὶ μικρὸν ὑπολάμπουσι· στόμα δέ οἱ συγκέκλεισται· καὶ τὴν ἐξ αἰδοῦς ἀποφαίνει σιγήν· ἡ δ' αὖ δειρὴ κατ' εὐθὺ νεύειν οὐκ οἶδεν· ἀλλὰ βραχύ τι πρὸς ἐγκάρσιον κέκλιται, ὥσπερ ἐξ αἰδοῦς ἐπὶ θάτερα νευθεῖσα· τὸ δέ οἱ στέρνον δι' ἀμφοῖν κέκρυπται. προκαλύπτει μὲν γὰρ πρῶτον χιτών· εἶτα ἐπανέχει θοἰμάτιον· οὐ μὴν ὡς ἔχει στέρνον ἔκρυψεν·[6] ὅ, τε γὰρ ζωστὴρ ἔνδον ὑποσφίγγει τὸ[7] στέρνον· οἵ τ' αὖ μαζοὶ βραχύ τι τοῦ προκαλύμματος φαίνουσιν. εἶχον δὲ διελθεῖν καὶ ὅπως εἶχε γαστήρ, καὶ ὅπως ταύτην σωφροσύνη διαδέχεται σώματος· εἰ μὴ σωφροσύνης ἀλλότριον, τὸ διελθεῖν γυναικὸς τὰ μετὰ τὸ στέρνον. ταῖν δὲ δὴ χεροῖν[8] ἡ δεξιὰ μὲν ἐς ἅπαν ἐκτέταται, ἡ δὲ δὴ λαιὰ[9] συγκέκαμπται παρ' αὐτὴν τὴν πλευρὰν, καὶ τῆς ἰγνύος ἐφάπτεται. τοῖν δὲ δὴ ποδοῖν προέχει μὲν ὁ δεξιὸς τοῦ λοιποῦ, καὶ τῇ ἀρβύλῃ συγκέκρυπται· τὸν δὲ δὴ λοιπὸν[10] διήκων μέχρι τῆς γῆς ὁ χιτὼν συνεκρύψατο. ὥσπερ καὶ[11] τοῦ δημιουργοῦ μεμαθηκότος, τῆς τοῦ Ὁμήρου ποιήσεως· ὡς ἑλκεσίπεπλον τῶν γυναικῶν ὑπάρχει τὸ πρόσχημα.

[6] συνέκρυψεν Bau.

[7] τὸ deest Bau.

[8] δὲ δὴ χερ.] sic Bau. δὴ deest Mor.

[9] δὲ δὴ λαιὰ] sic Bau. sed Mor. omittit δή.

[10] δὲ δὴ λοιπὸν] sic Bau. δὴ deest Mor.

[11] καὶ deest Bau.

ΕΚΦΡΑΣΙΣ ΠΟΛΥΞΕΝΗΣ

σφαττομένης ὑπὸ τοῦ Νεοπτολέμου.

ΤΟ δὲ Πολυξένης πάθος τεθέαται μὲν γεγενημένον ἡ Τροία· παρέχει δὲ ἡ σκηνὴ μετὰ τὴν Τροίαν ἰδεῖν. καὶ λαθεῖν δ'[1] ἐπὶ τούτοις οὐκ ἐῶσιν οἱ πλάττοντες, χαλκῷ τὸ πραχθὲν ἀπεικάζοντες. ἐν περιφανεῖ τοίνυν χωρίῳ ἦν ἄστεος·[2] ἀνάκειταί τισιν ἡ Πολυξένης εἰκών, παρ' αὐτὸν οὖσα τὸν Νεοπτόλεμον. ὁ μὲν γὰρ ἕστηκε παρὰ ταύτην γυμνὸς, κράνος μόνον λαβὼν περικείμενον· καὶ κράνος οὐχ ὅλον, ἀλλ' οἷον ἄνεμος[3] ἄκραις ἐπιψαύσαιτο[4] ταῖς κόμαις· ὥσπερ οὐκ ἀνεχομένου τοῦ ταῦτα δημιουργήσαντος Νεοπτολέμῳ περιθεῖναι σκευὴν, ἐπειγομένῳ πρὸς γυναικὸς σφαγήν. εἶτα τὸ πρόσωπον, ἐγκάρσιόν τε ἅπαν ἐστὶ, καὶ πρὸς αὐτὴν ἀπονένευκε θυμοῦ μετέχον, ὡς διαχρώμενος ἔτυχεν· ἡ δὲ οἱ δειρὴ, τῷ παντὶ συναποκλίνει προσώπῳ· τοῖν δὲ δὴ χεροῖν, ἡ μὲν δεξιὰ τῆς κόρης ἐπείληπται, καὶ κόμης τὴν ἄκραν, ἄνω που πρὸς αὐτὴν ἀνατείνουσα· ἡ δὲ δὴ λαιὰ πρὸς ξίφος ὥπλισται, καὶ τὸ πᾶν ἔργον ὑπισχνεῖται ποιῆσαι.[5] ὥσπερ ἀγανακτοῦντος τἀνδρὸς εἰ πρὸς γυναῖκα δεήσῃ δεξιᾶς, καὶ κόρην χειρὶ διαφθερεῖ, ἐν ᾗ πρὸς ἄνδρας ἠρίστευσεν. εἶτα τὸ στέρνον ἅπαν ἐξώγκωται, καὶ πρὸς τὸν ἔνδον[6] θυμὸν ἐξοιδεῖ. τοῖν δὲ δὴ μηροῖν ὁ μὲν δεξιὸς προσερείδει τῇ κόρῃ, καὶ δοκεῖ πιέζειν, ὡς μὴ καθάπαξ κινοῖτο. ὁ δ' αὖ λαιὸς ὑποτέτακται· καὶ πρὸς αὐτὸ τὸ βάθρον ἐξ ἄκρας ἀνέστηκε. τοσοῦτον ἀνέχων, ὅσον ἡ χρεία τῆς σφαγῆς ἐβιάζετο. παρ' αὐτὸν δὲ ἡ παῖς, οὔτε πρὸς ἅπαν ἀνέστηκεν,

[1] δ' deest Bau.
[2] χώρῳ τοῦ ἄσ. Bau.
[3] ἄνεμος deest Bau.
[4] ἐπιψαύσαι Bau.
[5] ποιήσειν Bau.
[6] ἔνδον] ὅλον Bau.

στηκεν, οὔτε ἐπὶ τοῦ βάθρου πᾶσα καθεῖσαι.[7] ἀλλὰ πρὸς τὴν τοῦ θανάτου ἐκητάτισαι χρείαν. τὸ μὲν γὰρ πρόσωπον ἅπαν συντέτακται, καὶ δειρὴν ἀνέχει, πρὸς ἀναίρεσιν ἕτοιμον. ταῖν δὲ δὴ χεροῖν, ἡ μὲν ἐπιψαύει τοῦ βάθρου· τὴν δὲ εὐώνυμον, κόμη[8] πρὸς τὴν τοῦ πέπλου συνέστειλε χρείαν. τοῦ δ' αὖ στέρνου προανέχει μὲν ὁ δεξιὸς τῶν μαζῶν, καὶ γυμνὸς ἀνεῖται τοῖς βουλομένοις ἰδεῖν. ὥσπερ ἐνδείξασθαι προῃρημένου τοῦ πλάσαντος, ὡς ἄλλους[9] ὁ Ἀχιλλεὺς διαφθείρεται· ὁ δὲ δὴ λαιὸς τῶν μαζῶν ὑπὸ πέπλῳ συγκέκρυπται· εὖ δέ μοι καὶ τόδε τοῦ δημιουργοῦ[10] ἔδοξεν, αἰδοῖ καὶ πόθῳ τοὺς μαζοὺς διελεῖν· καὶ τὸν μὲν συγκρύψαι τῇ κόρῃ πρὸς τὴν αἰδῶ· τὸν δὲ καταλιπεῖν πρὸς ἔλεγχον ἔρωτος, καὶ μήτε τοῦ[11] χιτῶνα διαῤῥῆξαι πρὸς ἅπαν· μήτε τοῦ χιτῶνος χωρὶς καταλεῖψαι τῇ κόρῃ. τὸ μὲν γὰρ στέρνον ὁ χιτὼν περιῤῥεῖ, καὶ διαχεῖται πρὸς τὸ μέσον αἱμοῤῥαγής·[12] τὰ δὲ μετὰ τὸν[13] μαζὸν συνέχει ζωστὴρ, οὐκ ἐῶν τὸ πλέον ὑπορεῦσαι[14] παντάπασι, καὶ παραχεῖν ἀνδρῶν ὀφθαλμοῖς. ἃ μηδὲ γυναικῶν θέμις[15] ἰδεῖν·[16] τοῖν δὲ δὴ μηροῖν συλλαβοῦσα μὲν ἑκατέρους ἔχει· καὶ συμπλέκει τοσοῦτον, ὅσον ἡ βία τοῦ πιέζοντος ἔταξε. τοῖν δὲ δὴ ποδοῖν, ὁ μὲν δεξιὸς ἅπας συγκέκρυπται· ὁ δὲ λαιὸς βραχύ τι τοῦ πέπλου προφαίνεται. βάθρον ἄμφω ἀνακειμένοις[17] ἔχει περιφανές. πάθημα δεινὸν λαθεῖν, καθάπαξ οὐκ ἐώσης τῆς τέχνης·

[7] καθῆσαι Bau.

[8] γρ. κόμην m. Mor. κόμη deest Bau.

[9] ἀλλὰς Bau. ἴσ. κάλλες m. M.

[10] δημιεργήσαντος Bau.

[11] τοῦ] τὸν Bau.

[12] ἡμιῤῥαγὴς Bau.

[13] τὸν deest Bau.

[14] ὑποῤῥᾶσαι Bau.

[15] γυναικῶν θέμις] sic Bau. γυναικῶν θέας Mor.

[16] ἴσ. ἐστὶν ἰδεῖν m. Mor.

[17] ἀνακειμένοις deest Bau.

ΕΚΦΡΑΣΙΣ ΜΗΔΕΙΑΣ.

Τὰ δὲ Μηδείας δεινὰ, τεθέαται μὲν τῆς Ἑλλάδος ἡ Κόρινθος· ἅπασα δὲ δι' ἀγαλμάτων ἔγνωκε γῆ, καὶ τὸ πραχθὲν ἐν ἑνὶ τεθέανται πάντες· πάντας εἰς ὄψιν παραγούσης τῆς τέχνης. ἐν περιφανεῖ τοίνυν χώρῳ τοῦ ἄστεος ἀνάκειται Μήδεια, οὐχ οἵαν ἐν Κόλχοις ἀνιερωμένην ἔλαχεν Ἄρτεμις· οὐδὲ οἵαν Ἰάσων συναγωνιζομένην ἔσχεν ἄθλοις· ἀλλ' οἵαν ἡ Κόρινθος ἀδικουμένην εἶδε καὶ κτείνουσαν· καὶ παρελθοῦσα τὸν πόθον ἡ τέχνη, πλάττει πρὸς τὰς συμφορὰς ἀπεικάζουσα. ἕστηκε τοίνυν οἵαν ἡ λίθος ἀναστῆναι ποιεῖ· πρόσωπον μὲν οὐκ ἔξω φέρουσα λύσσης, ἀλλὰ τὸ πάθος· ὅθεν καὶ τὸ σῶμα ἅπαν ἐπέχεται, καὶ πρὸς τὸ λαιὸν ἀπονεύει, πρὸς γῆν, ὥσπερ οὐκ ἀνεχομένην κειμένους ἰδεῖν, οὓς μανεῖσα διέφθειρε· καὶ τιμᾷ τὴν φύσιν τοῖς ὄμμασιν, ἣν τῷ θράσει λελύπηκεν. ἔπειτα φᾶρος περιβάλλει τὴν Μήδειαν, καὶ καθεῖται πρὸς ὤμους, κἀκ τοῦ δεξιοῦ πρὸς τὸ λαιὸν ἀναβέβληκε τοῦ δημιουργοῦ γυναῖκα δεῖξαι σπουδάζοντος, ἣν γυναῖκα δοκεῖν οὐκ ἀφῆκεν ἡ τόλμα. ταῖν δὲ δὴ χεροῖν ἡ δεξιὰ μὲν ξίφει καθώπλισται, καὶ δοκεῖ τὸν φόνον εἰς τοὺς παῖδας ἐπανατείνεσθαι, καὶ ποιεῖν ἀεὶ δοκεῖ τὸ προσάπαξ μενόμενον[1]· ἡ δὲ δὴ λαιὰ εἰς ἀγκῶνας συγκέκαμπται, καὶ ἐπανέχει τὸ φᾶρος. περιτέταται δὲ τὸ στέρνον ζωστὴρ, χιτῶνα συνέχων[2] διπλοῦν. ὁ μὲν γὰρ αὐτὸν κρύψας ἃ μὴ θέμις ἰδεῖν αἰωρούμενος ἔληξεν· ὁ δὲ καθήκει μέχρι ποδῶν, ὅσον θεάσασθαι καταλείψας τοὺς πόδας. τοῖν δὲ δὴ ποδοῖν ὁ μὲν δεξιὸς εἰς γόνυ κέκαμπται, καὶ δοκεῖ πιέζειν ἀναιρουμένους τοὺς παῖδας, ὥσπερ ὅτε ἔτυχε σφάττουσα· καὶ χεῖρας ὡσαύτως, καὶ γόνατα ἔχουσα· ὁ δὲ δὴ δηλοῖ πῶς[3] τῷ βάθρῳ προσερεῖσαι,

[1] γρ. μεινάμενον m. Mor.
[2] γρ. συνέχον δ. ὁ μὲν γὰρ αὐτῶν m. Mor.
[3] ἴσ. πῶς m. Mor.

ϛαι, καὶ μετέωρος ἦρται τῆς γῆς, ὥσπερ οὐκ ἀνεχομένης[4] τῆς τέχνης περιφανὲς, ὡς ἀφανεῖ μέρει κατακρύψαι τῆς γῆς.

ΕΚΦΡΑΣΙΣ ΤΡΩΑΔΟΣ ἀπεστραμμένης.

Παθήματα δὲ παρὰ τὴν Τροίαν Ἥρωα, πολλὰ μὲν ὁ Τρώων εἰργάσατο πόλεμον. Αἴας δὲ πάντα μανεὶς ἀπεκρύψατο. Αἴαντα τοίνυν οὐ σωφρονήσαντα, εἶδε μὲν πρῶτον ἡ Τροία· ἀπείληφε δὲ μετὰ Τροίαν σκηνή· καὶ μετὰ τῆς σκηνῆς ὁ χαλκὸς ὑποκρίνεται. ἐν περιφανεῖ τοίνυν χώρῳ τοῦ ἄστεος ἐν χαλκῷ τὶς Αἴας ἀνέστηκε, μηδὲ τῷ χαλκῷ σωφρονεῖν ἐπιστάμενος. ἀνάκειται τοίνυν, οὐχ οἷον ἡ Τροία εἶδεν μαχόμενον, ἀλλ' οἷον εὗρε μετ' αὐτὸν ἡ σκηνή. πρῶτον μὲν γὰρ ἅπας χωρὶς προκαλύμματος ἕστηκε· τὴν μανίαν δηλοῖ τὸ μὴ δεῖσθαι τοῦ κρύπτοντος. ἕστηκε γὰρ αἰδοῦς ἀμελῶν, οὐκ εἰδὼς ὅπως ἕστηκε σχήματος· καὶ γυμνὸς ἐσθῆτος ἅπας ἀνεστηκὼς, τὴν μανίαν ταύτην προδηλῶν, ἐκ τῶν κατὰ μέρος οὐχ ἧττον ὑποσημαίνει τὸ πάθος. οὔτε γάρ ἐστι μανίας ἐλεύθερος, οὔτε κατὰ μέρος[1] ἐστὶ τοῦ πάθους ἀλλότριος· καὶ πρῶτον κράνος τῇ κεφαλῇ περιβέβληται, ὥσπερ ἐνδείξασθαι βουλομένου τοῦ δημιουργοῦ τὸ πάθος, καὶ τοῦτο τῆς μάχης ποιουμένου τεκμήριον· ὡς ὅσα θεᾶται, καὶ παραινεῖται[2] τοῦ σώματος· ἀφῆκεν Αἴας τὸ κράνος τῆς κεφαλῆς, ὅτι μηδὲ τοῦτο παρῆν κατιδεῖν· εἶτα τὸ πρόσωπον αὐτῷ φανερὸν ἐμπεποίηται. δεῖγμα γοῦν ὧν κατὰ γνώμην νοσοῦσιν ἄνθρωποι· πρόσωπον λύσσης ἅπαν ὑπῆρξεν ὑπόμνημα, ὀφθαλμοὶ δὲ μᾶλλον τοῦ μὴ φρονεῖν καθεκάστην ἔλεγχος. πῦρ γοῦν ὑποφαίνει τῶν ὀφθαλμῶν,

μῶν,

[4] γρ. τὸ τῆς m. Mor.
[1] γρ. μέρους m. Mor.
[2] γρ. παραιρεῖται τοῦ m. M.

μῶν, κἀκ τῶν ὀμμάτων πρὸς ἄλλον τε καὶ ἄλλον τρέπεται χῶρον. κἂν τοῖς ὀφθαλμοῖς, ἡ τοῦ πάθους εἰκὼν καταφαίνεται· παρειαὶ δὲ διδοῦσαι, καὶ συνωγκωμέναι τῷ κάτωθεν πνεύματι. τὸ δέ οἱ στόμα διῄρεται διῃρημένον εἰς ἄνοδον πνεύματος, ὅπερ λύσσα κατείργασται, καὶ τὴν κάτωθεν ὁρμὴν ὑποσημαῖνον τῷ σχήματι. δειρὴ δὲ συμμεταβαλλομένη τῷ προσώπῳ συχνά. δηλοῖ τε τὴν λύσσαν ἡ πλοκὴ τῶν χειρῶν. ἡ μὲν γὰρ δεξιὰ καθεῖται κατὰ μηροῦ· ἡ δὲ λαιὰ πρὸς αὐτὸν ἐπανάκειται· καὶ μικρὸν πρὸς ἀλλήλας συμπλέκονται, ὥσπερ τοῦ πάθους οὐδὲν αὐτόνομον ἔχοντος· τὸ δὲ προκάλυμμα ἅπαν τῷ λαιῷ τῶν βραχιόνων συνέσταλται· ὥσπερ ἐνδείξασθαι τὸ μὴ καθεστὼς[3] τῶν φρενῶν προῃρημένης τῆς τέχνης· οὔτε γὰρ ἐσθῆτος ἀφῆκε χωρίς, οὔτε ταύτην περικείμενον ἔδειξε. τὸ δέ οἱ στέρνον ἅπαν ἐξώγκωται, καὶ πρὸς τὴν ἔνδοθεν λύσσαν ἐπαίρεται· καὶ ὅσον μανία παρέχεται, τοσοῦτον κατιδεῖν ὑπάρχει τὸ στέρνον· καὶ ὡς ἔχει πάθος[4] ἡ γνώμη, καὶ τὸ στέρνον τοῦ σχήματος· γαστὴρ δὲ ὑπεδίδου, καὶ συνεστέλλετο· καὶ τοσοῦτον ἀφῃρεῖτο τὸ μέτρον, ὅσον τὸ στέρνον ἐξώγκωτο· τοῖν δὲ δὴ ποδοῖν ὁ μὲν εὐώνυμος ἕστηκεν ἅπας, καὶ πρὸς αὐτὸ[5] τὸ πᾶν ἐρείδει τοῦ σώματος· ὁ δὲ δὴ δεξιὸς εἰς γόνυ κάμπτεται, καὶ προσανέχει τοῦ λίθου, καὶ μικροῦ πρὸς ὁδὸν ἐξορμᾷ, καὶ δηλοῖ τῆς γνώμης τὸ μὴ μένον ἐπὶ τοῦ σχήματος. οὕτως ὅλον τε αὐτὸν ἡ λύσσα δηλοῖ, καὶ κατὰ μέρος ὑποφαίνει τὸ πάθος. ταῦτα θαῦμα μὲν κατιδεῖν, ἀδίκημα δὲ σιωπῇ παρελθεῖν.

[3] γρ. καθεστῶς m. Mor.
[4] ἴσ. πάθους m. Mor.
[5] γρ. αὐτὸν τ. π. ερ. τοῦ σώματος m. Mor.

ΕΚΦΡΑΣΙΣ ΤΡΩΑΔΟΣ[1] ἀπεστραμμένης. Β'.

Παθήματα Τροίας, εἶδε μὲν ἐπὶ τῆς ἀντιπέραν ἠπείρου πεπραγμένα[2] πρὸς τὴν μάχην ὁ χρόνος, ἐμιμήσατο δὲ μετὰ ταῦτα ἐκείνη·[3] καὶ τρίτον ὁ χαλκὸς ἀπεικάζει τὴν τύχην, ἐπὶ δὲ τῷ χαλκῷ πρόκειται λόγος· καὶ γενόμενος[4] ἐν Τροίᾳ σημαίνων τὸ πάθος, καὶ παρὰ τὴν σκηνὴν τραγῳδούμενον, καὶ ἐπὶ τῆς εἰκόνος μιμούμενον.[5] ὡς δ' ἔχει τὸ πάθος, ἐν ἡμῖν διηγήσομαι. ἐν περιφανεῖ χωρίῳ τοῦ ἄστεος ἀνάκειταί τις γυνὴ Τρωϊκή, πάσας ἐν αὐτῇ τὰς τῆς Τροίας σημαίνουσα τύχας. ὥστε εἰ μὴ φράσας ἔτυχεν Ὅμηρος, ὁ χαλκὸς κατεμήνυε.[6] πρῶτον μὲν γὰρ ἐπὶ τῆς καθέδρας καθῆστο γυνὴ κειμένη,[7] σημαίνουσα πόλιν ἐφ' οἷς[8] ἑστάναι μὴ βούλεται. οὐ γὰρ ἦν ἑστάναι τὴν ἄνθρωπον ἐγκειμένην[9] τῇ γῇ· τῆς δὲ αὖ γυναικὸς γυμνὴ μὲν ἡ κεφαλὴ τοῦ[10] προκαλύμματος· ἀναιρεῖ γὰρ αἰδῶ κειμένη πατρίς. ἔπειτα[11] μίτρα συνέχει τὴν κόμην, ὥσπερ ὑπερυθριώσης τῆς γυναικός, εἰ καθάπαξ τῆς αἰδοῦς ἀμελήσειεν. ἔπειτα δὲ[12] τὸ πρόσωπον ἐγκάρσιόν τε ἐστί,[13] καὶ εἰς ἕτερα νένευκεν. ὥσπερ κειμένην μαθεῖν τὴν πατρίδα μὴ ἀνεχομένην·[14]

ὢν

[1] τρωΐδος Bau.
[2] πεπραγμένα deest Bau.
[3] ταῦτα ἐκείνη] ταύτη σκηνὴ Bau.
[4] γενόμενος Bau. et m. Mor. cum γρ.
[5] τυπώμενον Bau.
[6] ἐμήνυσεν ἂν Bau.
[7] κάθειται γυνὴ κειμένη Bau.
[8] ἐφ' οἷς] sic Bau. ἐφ' deest Mor.
[9] ἐγκειμένην Bau.
[10] τοῦ deest Bau.
[11] ἔπειτα] καὶ Bau.
[12] ἔπειτα δὲ] sic Bau. δὲ deest Mor.
[13] τε ἐστὶ] sic Bau. τε deest Mor.
[14] ἀνεχόμενον Bau.

ὢν γὰρ[15] ὑπέστη τὴν τύχην, οὐ φέρει τὴν θέαν. ἡ δ' αὖ δειρὴ τῷ προσώπῳ συναπονένευκε· τοῖν δὲ δὴ χεροῖν ἡ μὲν δεξιὰ, ἐς ὀρθοὺς δακτύλους συγκέκαμπται, καὶ ἀνέχει τὸ πρόσωπον· τὸ δὲ δὴ στέρνον ἅπαν ἐσθῆτι συγκέκρυπται, οὔτε εἰς ἅπαν γυμνοῦται τοῦ προκαλύμματος. ἀλλ' ἡμιῤῥαγὴς μὲν προῆλθε χιτὼν ἐπ' ἀμφότερα δὲ σημαίνει τὸ πέρας· οἷς μὲν γὰρ ἔῤῥηκται, σημαίνει τὴν τύχην. οἷς δ' οὐκ εἰς ἅπαν διήρηται,[16] τὴν αἰδῶ τῆς ἀνθρώπου συνέκρυψε. τοῖν δὲ δὴ μαζοῖν ὁ μὲν δεξιὸς ἀνεῖται γυμνὸς, οὐκ ἐώσης τῆς τύχης εἰς ἅπαν τὴν αἰδῶ διασώζεσθαι· καὶ μοι δοκεῖ μηδὲ αἰσθάνεσθαι διὰ τῆς συμφορᾶς ἡ γυνὴ γυμνουμένου τοῦ μαζοῦ. τὸ[17] δ' αὖ λοιπὸν ὁ δημιουργὸς συνεκρύψατο· συγκρύψας δὲ[18] καὶ καλυψάμενος, ὡς μὴ φαίνεσθαι. ζωστὴρ δὲ τοὺς μαζοὺς διαδέχεται, καὶ ῥαγεῖσαν ἐσθῆτα προελθεῖν[19] οὐκ ἐᾷ· γαστὴρ δ' αὖ ὑπάρχει τῆς γυναικὸς βραχύ τι[20] προϊοῦσα[21] πρὸς ὄγκον, ὅσον ἡ πλοκὴ τῶν μηρῶν ἐβιάσατο· τῶν δ' αὖ μηρῶν ὁ μὲν[22] εὐώνυμος τὸν δεξιὸν δὴ[23] ὑποβέβηκε, καὶ[24] ἣν εἴληφε τάξιν ἐκ φύσεως, καὶ πλαττόμενος ἔσωθεν ὑποβαίνει[25] γοῦν κἂν τούτῳ, καὶ ἀντέχει[26] τῶν δεξιῶν·[27] ὁ δ' αὖ δεξιὸς τῷ λαιῷ περιτίθεται· ἔξω δὲ ἐξανέσχε[28] τοῦ βάθρου, μετεωριζούσης τὸν πόδα τῆς συμφορᾶς. οὐ γὰρ ἦν τοῖν[29] ἀμφοῖν ἐπιβαίνειν ποδοῖν, τὴν ἐπιβῆναι πατρίδος οὐκ ἔχουσαν. ὁ δ' αὖ λαιὸς ἅπας συγκεκάλυπται καὶ δακτύλοις ἄκροις, ὑπορεῖ δὲ[30] τὸ βάθρον. ταῦτα τοὺς θεωμένους οὐκ ἀλλοτριοῖ τῆς συμφορᾶς. οὐ γάρ ἐστιν ἀδακρυτὶ θεωρῆσαι τὴν ἄνθρωπον.

[15] γάρ deest Bau.
[16] σημαίνει τὴν τύχην. οἷς δ' οὐκ εἰς ἅπαν διήρηται addidi e Bau. desunt Mor.
[17] τὸ] τὸν Bau.
[18] δὲ deest Bau.
[19] πέξω προελθεῖν Bau.
[20] τι deest Bau.
[21] προελθοῦσα Bau.
[22] μὲν deest Bau.
[23] τὸν δεξιὸν δὴ add. e Bau. desunt Mor.
[24] καὶ] καθ' Bau.
[25] ὑποβαίνει Bau.
[26] ἀνέχει Bau.
[27] τὸν δεξιὸν Bau.
[28] ἐξανέχει Bau.
[29] τοῖν] ἐν Bau.
[30] ὑπερείδει Bau.

ΕΚΦΡΑΣΙΣ ΧΙΜΑΙΡΑΣ.

Φύσεις δὲ ἄρα παράλογοι προῆλθον μὲν ἐκ τύχης τὸ πρῶτον· γενόμεναι δὲ, μένειν οὐκ ἔλαχον· ὁ λόγος δὲ ὅμως ἐτήρησεν ἃς χρόνος συνέκρυψε· καὶ πολλαὶ μὲν παράλογοι γεγόνασι φύσεις· μάλιστα δὲ τῶν ἄλλων ἡ Χίμαιρα, περὶ ἧς ἤδη μὲν καὶ ὡς ἔχει διεξῆλθε τὸ μέτρον· ζηλώσει δὲ ὅμως καὶ τὸ μέτρον ὁ λόγος. συνθήκη τριπλῆ γέγονε φύσεως, ἐφ' ἑνὸς πάντα πλάττουσα σώματος. κατήρχετο μὲν γὰρ ὅθεν οὐκ ἔληγε, ἐτελεύτα δὲ ὅθεν οὐκ ἤρχετο· καὶ τὸ μέσον αὐτῇ τῶν ἄκρων ἀπήλλακτο· καὶ συνθεῖσα τὰς φύσεις ἡ τύχη, συνθεῖναι τὰς κλήσεις οὐκ ἔσχεν. ἀλλ' ἐξ ἑνὸς ἐξηγόρευσεν ἐκ πολλῶν ἀποφῆναι· καὶ τοὔνομα προῆλθε τῆς γονῆς ἐνδεέστερον. Λέων τις ἦν ὅσα πρῶτον ἰδεῖν, καὶ Δράκων τοῦ παντὸς ἔληγε σώματος· μεσούσης δὲ αἰγὸς, καὶ πῦρ ἐποίει φανὲν φοβερώτερον, ὥσπερ οὐκ ἀρκοῦντος φοβῆσαι τοῦ πλάσματος· καὶ θέαμα μὲν, ἄλλο πρὸς ἄλλο προήρχετο· μία δὲ πάντων ἐτύγχανε γένεσις. ὡρμᾶτο μὲν γὰρ οἷα λέων φοβῶν· κατέπληττε δὲ οἷα Δράκων ἐξελιττόμενος, καὶ φοβεῖν ἡ αἲξ ἀποροῦσα, τῇ φύσει προσθήκη πυρὸς, τῶν λοιπῶν ἦν φοβερωτέρα. οὐκ ἦν ὅ, τι ἂν τις μᾶλλον καταδείσειεν· ἀποβλέπων εἰς ἕκαστον, τὸ μή πω φανὲν τοῦ φοβοῦντος ἤδη δεινότερον· ἡ μὲν γὰρ ἔφλεγεν· ὁ δὲ ὑπεσύριττεν, ὁ δὲ χαλεπώτερος ἦν ὠρυόμενος. ἠγωνίζετο δὲ πρὸς ταύτην ἀνὴρ παραλογώτερος ἐχούμενος, ἵππου πρὸς τὰς[1] ἀπὸ γῆς ἐξ ἀέρος ἐμάχετο· καὶ πτερὰ πρὸς φυγὴν τῶν κινδύνων εἰργάζετο· καὶ προήει μὲν τὸ πῦρ, ὡς μαχόμενον· ἤρετο δὲ ὁ Βελλεροφόντης μετέωρος, ἀμφότερα ἐπὶ μιᾶς ὀργῆς[2] ἐργαζόμενος· καὶ κτείνων τὴν Χίμαιραν, καὶ παθεῖν αὐτὸς ἐξαρνούμενος,

καὶ

[1] γρ. τὰ γ. α. m. Mor. [2] ἴσ. ὁρμῆς m. Mor.

καὶ γεγενῆσθαι δοκοῦσαν θεὸν τῷ συμμαχουμένῳ παρὰ θεῶν ἀνηλίσκετο. καὶ τοῦτο δὲ ἐδήλου Βελλεροφόντης, κτείνων τὴν Χίμαιραν, ὡς θεὸς, τῶν θεῶν ἀφικούμενος. ταῦτα θεάσασθαι μὲν ὑπῆρχε· διεξελθεῖν δὲ ἡδονὴ μᾶλλον, ἢ δέος.

ΗΘΟΠΟΙΙΑ Λ΄.

Τίνας ἂν εἴποι λόγους Εὐνοῦχος ἐρῶν.

ΕΝ ἔτι λοιπὸν ἔρωτι λείπεται, τὸ καὶ τοὺς τεθνηκότας ἀλλήλων παρασκευάσειν ἐρᾷν. νεκρὸς γὰρ ὢν, καὶ αὐτὸς ἡδονὰς οὐ διέφυγον· ἀλλ᾽ ἤδη γέγονα τοῖς ἐκείνου βέλεσι θήραμα· ὑπηρέτης κατέστην αὐτοῦ, πράττειν ὃ βούλεται μὴ δυνάμενος· ὦ πόθου πέρας οὐκ ἔχοντος! κἂν γὰρ ἀποτύχω, γέγονα δυστυχής· κἂν τύχω, πάλιν εἰμὶ δυστυχέστερος, ἄγειν οὐκ ἔχων εἰς πρᾶξιν τὸ τῆς προαιρέσεως. οὐκ ἔστιν, ὦ ἔρως. ἐν ἐμοὶ τελεῖσθαι τὰ σά· μάτην ἡμῖν ἐπαφῆκας τὰ βέλη, καὶ τὴν φαρέτραν ἐκένωσας καὶ πρὸς γάμον ἠνάγκασας σπουδάζειν τὸν οὐκ εἰδότα συνάπτεσθαι· οὐκ ἔστι συνάγειν ἃ μὴ συνελθεῖν ἡ φύσις ἀφῆκε. προῆλθον ἀνὴρ, καὶ γέγονα διὰ τέχνης ἀμφίβολος ἄνθρωπος, καὶ μὴ πράττων ὡς ἄνθρωπος, μόνος πρὸς τὸ νοσεῖν κατέστην ἀνήρ. τὸ γὰρ πράττειν ἀφῄρημαι, οὔτε μένειν εἴασεν ὅπερ ὑπῆρχον, ἡ τύχη, οὔτε μεταβεβλημένον ἀφῆκεν ὁ ἔρως· ἤκουον καὶ πρώην ἐρώτων, καὶ παρὰ δόξαν τούτους ἐνόμιζον· νῦν δὲ σμικροὶ πάντες πρὸς τὸν ἐμὸν παράλογον κατέστησαν ἔρωτα. ἥλω Πασιφάη ποτὲ ταύρου, καὶ τέχνην εἶχε πρὸς τὴν μίξιν ἐπίκουρον. ἐγὼ δὲ πάντα παρὰ τῆς φύσεως κομισάμενος, ἐκ τέχνης ἠτύχησα. ἀλλ᾽ ὦ ἔρως, ἢ παῦσαι τὸ πάθος, ἢ τὴν φύσιν μετάβαλε· τούτων γὰρ πέφυκεν ἕτερον, ἑτέρῳ πολέμιον.

ΗΘΟΠΟΙΙΑ Β΄.

Τίνας ἂν εἴποι ζωγράφος λόγους γράψας κόρην, καὶ ἐρασθεὶς ταύτης.

ΟΥΔΕΝ ἄρα κάλλους ἐστὶ δυνατώτερον, εἴγε καὶ διὰ χρωμάτων θηρᾷν ἐπίσταται, καὶ τοῖς ἀψύχοις ἁλίσκεσθαι παρασκευάζει τὰ ἔμψυχα. συνῆλθε πεποικιλμένῳ κηρῷ, καὶ τὸν εἰργασμένον ἐρᾷν κατηνάγκασε τούτου. ὢ τέχνης προσελθούσης κατὰ τοῦ κτησαμένου· ὢ δεξιᾶς ἀδικούσης μετὰ τῶν ὀφθαλμῶν τὴν διάνοιαν. τεχνίτης καλεῖσθαι βουλόμενος ἀγαθὸς, ἐραστὴς εὐτυχὴς ὀνομάζομαι· ἔγραψα πολλάκις ἐρώντων ὑπόθεσιν, καὶ διετύπουν χρώμασι τὰ τούτων μυστήρια. ἐποίουν ἔρωτος τινὰς τετρωμένους τῷ βέλει, μὴ παρούσης πληγῆς. ἐξήπτετο καὶ πάλιν, ἐκ λαμπάδος μὴ φαινομένης, πῦρ· φωνὴν παρεῖχον διὰ τῆς τέχνης, ὡς εἰπεῖν τῷ κηρῷ, καὶ σκιὰν δοκεῖν διαλέγεσθαι παρεσκεύαζον· ἔγραφον ἄρτι μὲν τὸν ἔρωτα δυσφοροῦντα πολὺ, μετ᾽ ὀλίγον δὲ πρὸς τὴν ἐρωμένην δηλοῦντα σχήματι τὴν προαίρεσιν. ἄλλοτε δῶρον ἐκπέμποντα· καὶ πολλάκις ψυχαγωγούμενον, οἷα δὴ πεπεικότα· πολλάκις δὲ ἀποτυγχάνοντα, καὶ πάλιν δακρύοντα, καὶ οὐ μόνον τὰς παρ᾽ ἀνθρώποις ἐμιμούμην εἰκόνας. ἀλλὰ καὶ θεοὺς παρειχόμην δουλεύοντας ἔρωτι· καὶ τὴν ἐκείνων φύσιν μετέπλαττον, ὃ μὴ πάσχειν πεφύκασιν· οἷον τὸν Δία βοῦν ἐποίουν δι᾽ ἔρωτα· καὶ τὴν Εὐρώπην φέρειν ἐπὶ τῶν ὤμων ἠνάγκαζον, καὶ περαιοῦσθαι διὰ χρωμάτων κατὰ τὴν θάλατταν· κύκνος ἦν δι᾽ ἐμοῦ· καὶ ὅτε τούτῳ χαρίζεσθαι προῃρούμην, χρυσὸν ἔγραφον· πάλιν αὐτὸν ἐκπέμποντα κεραυνόν· καὶ σώζων τὸ φοβερὸν ἀπεστερούμην τοῦ Διός· τί δὲ Ἀπόλλων βραδύτερον[1] γλώττης, διὰ

[1] Ισ. βραδύτερος m. Mcr.

διὰ τῆς ἐμῆς ἐγίγνετο δεξιᾶς, καὶ δρόμον ἀπέραντον ἐνετίθουν τοῖς χρώμασι, ἐν οὐ κεκινημένοις ποσίν. εἶδα κηρῷ[2] δήσας τὸν Ἄρεα· καὶ πᾶσιν ἁπλῶς ἐγιγνόμην ὑπόθεσις· ἐγὼ δὲ νῦν ἑτέροις γεγένημαι. γράφετέ τι καινὸν, ὦ τεχνῖται, τὸν ἐμὸν ἔρωτα διηγούμενοι· εἰς ἔπλασα τούτοις ἑάλων κόρης ἐρῶ καὶ τυχεῖν μὲν ταύτης, γέγονεν ἄπορον. οὔτε γὰρ βαδίζειν, οὔτε παραιτεῖσθαι τὴν πρᾶξιν ἐπίσταται· μίγνυσθαι δὲ ταύτῃ, καὶ τὴν ἐπιθυμίαν εἰς πέρας ἄγειν ἐστὶν ἀδύνατον. πείθω τὴν οὐ πεφυκυῖαν πυνθάνεσθαι. ἀσπάζομαι φύσιν ἀναίσθητον. ἀλλ' ὦ χρώματα, τῆς τοιαύτης παύεσθε χάριτος· καὶ μὴ πάθος ἐγείρετε, μὴ παρεχόμενον μετὰ ταῦτα τὴν ἴασιν.

---

2 γρ. δῆσαι m. Mor.

ΛΙΒΑ-

ΛΙΒΑΝΙΟΥ ΣΟΦΙΣΤΟΥ ΔΙΗΓΗΜΑΤΑ.

ΠΕΡΙ ΗΦΑΙΣΤΟΥ.

Ῥίπτει τὸν Ἥφαιστον Ἥρα ἐξ οὐρανοῦ τῇ τοῦ παιδὸς αἰσχυνομένη χωλείᾳ. ὁ δὲ τῇ τέχνῃ ἐχρῆτο, καὶ ἐν θαλάσσῃ σεσωσμένος ὑπὸ δαιμόνων θαλαττίων, πολλὰ μὲν καὶ ἄλλα ἐδημιούργει, τὰ μὲν Εὐρυνόμῃ, τὰ δὲ Θέτιδι, παρ' ὧν περισέσωστο, ποιεῖ δὲ καὶ θρόνον τῇ μητρὶ δῶρον ἀφανεῖς ἔχοντα δεσμοὺς, καὶ πέμπει. καὶ ἡ μάλα τε ἥσθη τῷ δώρῳ, καὶ καθιζάνει, καὶ ἐδέθη, καὶ ὁ λύσων οὐκ ἦν. βουλὴ δὲ γίνεται θεῶν περὶ τῆς εἰς οὐρανοὺς ἀναβάσεως Ἡφαίστου. μόνον γὰρ ἂν ἐκεῖνον καὶ λῦσαι. σιγώντων οὖν τῶν ἄλλων, καὶ ἀπορούντων, Ἄρης ὑπισχνεῖται, καὶ ἐλθὼν πράττει μὲν οὐδὲν, αἰσχρῶς δὲ ἀπαλλάττεται, πυρσοῖς αὐτὸν δειματώσαντος Ἡφαίστου. ταλαιπωρουμένης δὲ * μετὰ οἴνου Διόνυσος, καὶ διὰ μέθης εἶχεν Ἥφαιστον ἑπόμενον. ὁ δὲ ἐλθὼν καὶ τὴν μητέρα * Διόνυσον. ἡ δὲ αὐτὸν ἀμειβομένη, πείθει τοὺς οὐρανίους θεοὺς ἕνα τῶν οὐρανίων θεῶν καὶ Διόνυσον εἶναι.

ΠΕΡΙ ΑΚΑΛΑΝΘΙΔΟΣ.

Τὴν δὲ Ἀκαλανθίδα γαλῆν ἐκ γυναικὸς ἐποίησεν ἡ πρὸς τὴν Ἥραν ἀπάτη. εἰργούσης γὰρ τῆς Ἥρας τῷ Ἡρακλεῖ τὴν ἐκ τῆς γαστρὸς ἔξοδον, τοῦτο δὲ ἄρα ἐποίει, ἐφ' ᾧ περὶ τὼ γόνατε συμπλέξαι τὼ χεῖρε, Ἀκαλανθὶς ὡς δὴ τεκοῦσα, οὔπω τεκούσης Ἀλκμήνης, ἐκπηδήσασα διέθει τε, καὶ ἐμιμεῖτο τὰ τῆς χαιρούσης. ἡ θεὸς δὲ παρακρουσθεῖσα ἀνεπέτασεν Ἀλκμήνης τὰς ὠδῖνας. καὶ δίκην Ἀκαλανθὶς ἐδίδου τῆς ἀπάτης τὴν μεταβολήν.

ΠΕΡΙ

ΠΕΡΙ ΚΑΠΑΝΕΩΣ.

Ἀπειλοῦντα Καπανέα καὶ ἄκοντος Διὸς αἱρήσειν τὰς Θήβας, ὁ Ζεὺς κεραυνῷ βάλλει· τὸν δὲ Ἄδραστον ἵπποις αὐτοῖς διαστᾶσα ἡ γῆ δέχεται. Τυδεὺς δὲ ὑπὸ Μελανίππου τρωθεὶς ἐδεῖτο τῶν ἑταίρων βοηθῆσαι τῷ τεθνεῶτι. κτείναντος δέ τινος τὸν Μελάνιππον, καὶ κομίσαντος ἔτι ζῶντι Τυδεῖ τὴν κεφαλὴν, ὁ μὲν λαβὼν αὐτὴν τοῖς ὀδοῦσιν ἐτιμωρεῖτο. τὴν δὲ Ἀθηνᾶν αὐτῷ φέρουσαν ἀθανασίαν, τοῦτο ἐκώλυσεν ἐκδοῦναι. Πολυνείκει δὲ συγκατενεχθεὶς τῷ ἀδελφῷ, ταφῆς καὶ ἀπεστέρητο μὲν παρὰ τοῦ Κρέοντος, ἐτύγχανε δὲ παρὰ τῆς ἀδελφῆς. λέγεται δὲ καὶ ἡ γυνὴ Πολυνείκους Ἀργεία συνεφάψασθαι τοῦ ἄθλου.

ΠΕΡΙ ΑΔΡΑΣΤΕΙΑΣ.

Ἐκνενικηκότες οἱ Θηβαῖοι τοὺς Πολυνείκην καταγαγόντας οὐδὲ θάπτειν οὐδ᾽ ὅλως τοὺς πεσόντας ἐπέτρεπον. ἧκον οὖν αἱ τούτων γυναῖκες Ἀθήναζε, καὶ ἱκετεύσασαι, κινοῦσι μὲν ὑπὲρ τῶν νεκρῶν τὸν Θησέα. κρατηθέντων δὲ τῶν Θηβαίων, καὶ καιομένων τῶν νεκρῶν, Εὐάδνην τὴν Καπανέως γυναῖκα, ὡς λόγος, κοινωνῆσαι τῷ ἀνδρὶ τῆς πυρᾶς. τούτων οἱ παῖδες πατράσι τιμωροῦνται, καὶ ἐπελθόντες αἱροῦσι Θήβας. ἡγεῖται δὲ ὁ παῖς Ἀδράστου, καὶ ἀναιρεῖται μόνος. τοῦ δὲ ἄρα ὁ πατὴρ μόνος τῶν ἑπτὰ λοχαγῶν ἀπεσώθη. ἔδοξε δὴ τοῦ δαιμονίου νεμεσήσαντος, τοῦτο τῇδε γενέσθαι. καὶ αὐτίκα οἱ Ἕλληνες ἱερῷ τιμῶσι τὴν Νέμεσιν, προσειπόντες Ἀδράστειαν τὴν θεόν.

ΠΕΡΙ ΠΟΛΥΚΡΑΤΟΥΣ.

Πολυκράτους Σάμου μὲν ἄρχοντος, πάντα δὲ εὐτυχοῦντος, καὶ ἐπ᾽ οὐδενὶ λυπουμένου, δέος εἰσῄει μεταβολῆς. ἔπραττεν οὖν ὅπως ἂν ἰάσηται, καὶ δακτύλιον ὧν εἶχε κτημάτων κάλλιστον ἑκὼν μὲν ἔρριψεν εἰς τὴν θάλασσαν. οὐκ

ἐγ…

ἔχων δὲ ἤλγει. γίνεται δὴ πάλιν ὁ δακτύλιος τοῦ Πολυκράτους δι' ἰχθύος, ὃν ἀνελὼν ἁλιεὺς, μέγαν τε ὄντα, καὶ βασιλέως ἄξιον φέρων ἔδωκεν ἐκείνῳ. ὁ δὲ ἰχθὺς ὡς ἦν χερσὶ τῶν μαγείρων ἀναχισθεὶς ἀπέδωκε Πολυκράτει τὸν δακτύλιον.

ΠΕΡΙ ΚΑΛΛΙΣΤΟΥΣ.

Τὴν Ἥραν ὁ Ζεὺς ἐλύπει Καλλιστοῦς ἐρῶν, καὶ ποιεῖ τὴν ἐρωμένην ἄρκτον, τοῦ τὴν Ἥραν λαθεῖν, ὡς δὲ αὐτὴν ἔχε πλησίον μεταδίδωσι τοῦ οὐρανοῦ, καὶ ἔστιν ἡ Καλλίστη τῶν ἀρκτώων ἀστέρων. ἀπὸ δὲ ταύτης παῖς Ἄρκας, ὅθεν Ἀρκάδες. οὗ τεχθέντος Ἑρμῆ τῆς σωτηρίας ἐμέλησε.

ΠΕΡΙ ΣΙΜΩΝΙΔΟΥ.

Ἐχώρει μὲν ἐπὶ Τάραντα Σιμωνίδης ὁ Κεῖος, Λεωπρέπους ὁ ποιητής. νεκρὸν δὲ ἄταφον ὡς ἐπεῖδεν ἐῤῥιμμένον, ἠλέησέ τε καὶ θάπτει. ἡμέρᾳ τῇ μετὰ τὴν ταφὴν πλεῖν ἐς Σικελίαν ὀνειράτων* τοῦτον γ' ὀνείρατι κωλύων. πείθεται μὲν ὁ Σιμωνίδης, καὶ μένει. πλεῖ δὲ ἡ ναῦς, καὶ βαπτίζεται.* δὲ εἰς Τάραντα κομίσαντος τὸ πάθος, ἐγίνετο ὅσα εἰκὸς ἐπὶ τοιούτου κακοῦ. Σιμωνίδης δὲ στεφάνους τῇ στήλῃ περιέθηκε. καὶ ἐναγίσας τῷ νεκρῷ σωτῆρα αὐτοῦ τὸν κείμενον ἐκήρυξεν ἐπιγράμματι. καὶ τοῦτο ἡ στήλη δείκνυσιν.

ΠΕΡΙ ΝΕΟΠΤΟΛΕΜΟΥ.

Ἀποθνήσκει τοῖς Ἀπόλλωνος βέλεσιν Ἀχιλλεύς. θρασυνόμενος δὲ Νεοπτόλεμος ᾔτει τὸν Ἀπόλλωνα δίκας τοῦ φόνου, ἐπινοήσας ὡς οὐ καλῶς αὐτῷ τοῦτο ἐπεποίητο, διαλλάξων αὐτῷ τὸν θεὸν εἰς Δελφοὺς ἀπῄει, καὶ ἀπέθανεν ὑπὸ τῶν ἐνεικέντων Δελφῶν, οὓς ἐξηπάτησεν Ὀρέστης, λέγων, αὐτὸν ἐφ' ἁρπαγῇ τῶν ἱερῶν ἥκειν χρημάτων·

ΠΕΡΙ

ΠΕΡΙ ΑΛΚΗΣΤΙΔΟΣ.

Ἐθήτευσε μὲν Ἀπόλλων Ἀδμήτῳ γνώμῃ Διός. ἐθεράπευσε δὲ Ἄδμητος τὸν Ἀπόλλωνα. ἐπεὶ δὲ ἧκον αἱ μοῖραι, καὶ ἔδει τελευτᾷν, ἀναβάλλει τὸν θάνατον αὐτοῦ ὁ θεὸς, δεηθεὶς τῶν μοιρῶν, αἳ τῷ μὲν εἶξαν. ἐζήτει δὲ, ὃς ἀντ' ἐκείνου τὸν θάνατον ὑποστήσεται. διελέχθη τοῖς γονεῦσιν ὁ Ἄδμητος γήρᾳ βαρυνομένοις. οἱ δὲ ἐφιλοψύχουν, καὶ οὐκ ἠνέχοντο ἀπιέναι. παρέρχεται δὴ τὴν φύσιν Ἄλκηστις ἡ γυνὴ, καὶ αὐτὴ ἀποθνήσκει. πένθους δὲ κατέχοντος τὴν οἰκίαν Ἡρακλῆς ἥκων ξενίζεται, καὶ μαθὼν τὴν τύχην, καὶ πονέσας, καὶ κρατήσας τῶν κάτω δαιμόνων, ἐπανάγει τὴν ἄνθρωπον.

ΠΕΡΙ ΚΑΝΔΑΥΛΟΥ.

Ἤρα τῆς ἑαυτοῦ γυναικὸς ὁ Κανδαύλης, καὶ παρεκάλει τὴν Γύγην ἐπὶ τὴν θέαν τῆς ὥρας. ὁ δὲ τὸ πρῶτον ἀρνούμενος, ἐγκειμένου τοῦ Κανδαύλου, συνεχώρησεν. ὑφ' οὗ δὴ καὶ καταστὰς ὄπισθεν τῆς θύρας τὴν γυναῖκα καταγυμνουμένην ἰδὼν ἀπηλλάγη. ἡ δὲ μεταστραφεῖσα τὸ πραχθὲν οὐκ ἠγνόησεν. ἤνεγκέ τε σιγῇ. μεταπέμπεται δὲ τὸν Γύγην, ἐπειδὴ ἡμέρα ἦν, καὶ ἐκέλευσεν ἀποθνήσκειν ἀντὶ τῆς θέας, ἢ τοῦτο δρᾷν τὸν Κανδαύλην, ὑπισχνουμένη συνοικήσειν αὐτῇ μετὰ τὸν φόνον τὸν Γύγην. ἤρεσκε μὲν οὐδέτερον. εἰς δὲ τὸ κτείνειν ἀπέκλινε. καὶ διαχρησάμενος καθεύδοντα τὸν δεσπότην, γαμεῖ τε ἐκείνην, καὶ βασιλεύει Λυδῶν.

ΠΕΡΙ ΔΑΦΝΗΣ.

Δάφνης τὸ κάλλος ἐγέννησε μὲν Λάδων ὁ ποταμὸς, ἐθαύμασε δὲ Ἀπόλλων. παθὼν δέ τι πρὸς αὐτὴν ἐρωτικὸν, ἐπεὶ πείθειν οὐκ εἶχεν, ἐδίωκεν. ἡ δὲ εὔχεται τῇ γῇ μὴ ἁλῶναι, καὶ τυχοῦσα τῆς εὐχῆς ἀφανίζεται. καὶ τὸ μὲν σῶμα δένδρον ἐγίνετο. Δάφνη δὲ τὸ δένδρον ἦν. ὁ θεὸς δὲ τὸν πόθον οὐ κατέλυεν, ἀλλὰ τὰ πρὸς τὴν κόρην

ρην μετήνεγκεν ἐπὶ τοὺς κλάδους, καὶ ἔστιν ἐραστὴς τῶν φύλλων.

ΠΕΡΙ ΠΡΟΚΝΗΣ, ΚΑΙ ΦΙΛΟΜΗΛΗΣ.

Ἐξ Ἀθηνῶν Τηρεὺς Πρόκνην ἄγεται τὴν Πανδίονος, ὃς ἐβασίλευεν Ἀθηναίων. αὐτὸς δὲ Τηρεὺς ἐκράτει Θράκης. χρόνου δὲ προϊόντος ἐπεθύμει λαμβάνων τὴν Πρόκνην, ἰδεῖν Φιλομήλαν τὴν ἀδελφὴν, καὶ διὰ τοῦτο ἐλθὼν Ἀθήναζε, καὶ λαβὼν, ἐν τῇ πορείᾳ μίγνυται τῇ παρθένῳ, βιασάμενος, οὐ πείσας. φοβούμενος δὲ τὸν ἔλεγχον, τὴν γλῶτταν περιελὼν πόῤῥω τῆς πόλεως ἵδρυσεν ἐν κώμῃ φυλακά τινα παρακαταστήσας. ἄλλως μὲν οὖν οὐκ ἦν μηνῦσαι τῇ Πρόκνῃ τὸ τόλμημα. τῆς ἑορτῆς δὲ ἐπελθούσης, ἐν ᾗ τῇ βασιλίδι τὰς Θράττας δῶρα πέμπειν νόμος ἦν, πέμπει πέπλον ἡ Φιλομήλα γράμματα ἐνυφήνασα. τὰ δὲ ἐδήλου τὴν βίαν. ἡ δὲ, ὡς ἔγνω, τὴν μὲν μεταπέμπεται, τὸν δὲ Ἴτυν ἀπέσφαξεν ὃς ἐκ Τηρέως ἦν αὐτῇ, καὶ εἱστίασε τὸν πατέρα τῷ σώματι τοῦ παιδός. ὡς δὲ δὴ ἐκόρεσεν, ἐδίδασκεν αὐτὸν, ἥ τις ἦν ἡ βρῶσις τὰ ἀκρότερα δείξασα. ὁ μὲν οὖν ἐδίωκεν ὡς ἀποκτηνείων, αἱ δὲ ἔφευγον. καὶ ἐν τῇ διάξει μετεβλήθησαν εἰς ὄρνις αἵ τε γυναῖκες, καὶ ὁ Τηρεύς. Χελιδόνα μὲν ἡ Φιλομήλα, Ἀηδόνα δὲ ἡ Πρόκνη· λέγεται δὲ καὶ ὁ τοῦ παιδὸς γευσάμενος Ἔποψ γενέσθαι·

ΑΛΛΩΣ.

Πρόκνην ἐξ Ἀθηνῶν ἠγάγετο Τηρεὺς τὴν Πανδίονος· ἐρῶσα δὲ ἡ Πρόκνη τὴν ἀδελφὴν Φιλομήλαν θεάσασθαι, Τηρέα ποιεῖται τῆς θέας διάκονον. ὁ δὲ παραλαβὼν, ἐπόθει μὲν καθ' ὁδὸν, καὶ ποθῶν ἐβιάσατο. καὶ βιασάμενος ἀφεῖλε τῶν πραχθέντων τὸν ἔλεγχον, τὴν γλῶσσαν ἀποτεμών. ἡ δὲ ἀφικομένη παρὰ τὴν Πρόκνην, εἰπεῖν μὲν οὐκ εἶχε τὸ πάθος, διηγεῖται δὲ τὸ συμβὰν τῇ χειρὶ ἱστῷ προσυφάνασα. καὶ μαθοῦσα τὸ πάθος ἡ

Πρόκνη

Πρόκνη τὸν παῖδα τροφὴν τῷ πατρὶ παρατίθησιν. ὁ δὲ τρέφεται μὲν οἷς ἠγνόει τὰ φίλτατα. τραφεὶς δὲ, ἀνελεῖν ἐπεχείρει τὴν θρέψασαν. θεοὶ δὲ τῆς συμφορᾶς τοῦ παιδὸς οἰκτείροντες ἀμφοτέρους εἰς ὀρνίθων μεταβεβλήκασι φύσεις.

ΠΕΡΙ ΜΑΡΣΥΟΥ, ΚΑΙ ΑΥΛΩΝ.

Ηὔλει ἡ Ἀθηνᾶ, καὶ τὸ εἴδωλον αὐτῆς ἐν τοῖς ὕδασιν ἰδοῦσα, τὸν αὐλὸν ἔῤῥιψεν, ὡς οὐκ ἔχον εὐσχημοσύνην τῷ προσώπῳ τὸ αὐλεῖν. γίνεται δὴ οὗτος Μαρσύου. καὶ ἐποίησεν αὐτὸν αὐλητὴν ὀνομαστόν. ὁ δὲ ἐπείθετο ἤδη, καὶ Ἀπόλλωνος εἶναι κρείττων. καὶ εἰς ἔριν ἐκάλει. καὶ οἱ μὲν ἤριζον, ἐψήφιζόν τε αἱ μοῦσαι, καὶ ὁ θεὸς ἐνίκα, δίκην τε ἐπιθεὶς τῷ αὐλητῇ κρεμάσας ἔδειρε, καὶ τὸ αἷμα γίνεται ποταμὸς, τῷ δὲ ποταμῷ ὄνομα Μαρσύας.

ΠΕΡΙ ΠΑΣΙΦΑΗΣ.

Ἐγκαλοῦσα τὶ τῷ Ἡλίῳ ἡ Ἀφροδίτη πλήττει τὰς ἐκείνου θυγατέρας ἔρωσι καινοῖς. ἐρᾷ δὴ καὶ Πασιφάη ταύρου, καὶ καρτερεῖν οὐκ ἔχουσα, φράζει πρὸς τὸν Δαίδαλον τὸ πάθος. ὁ δὲ ἦν Ἀθηναῖος, καὶ φυγὼν διέτριβεν ἐν Κρήτῃ. πείθεται δὴ, καὶ βοηθεῖ τῇ γυναικὶ διὰ βοὸς ξυλίνης· κοίλην γὰρ αὐτὴν ἐργασάμενος, καὶ κατακλείσας ταύτῃ τὴν ἐρῶσαν, δέρματι βοὸς καλύψας τὸ πλάσμα, κινεῖ τὸν ταῦρον ἐπὶ τὴν εἰκόνα, καὶ ἐλθὼν μίγνυται δὴ τῇ γυναικὶ, βοῒ δὲ, ὡς ᾤετο. τότε ὁ Μινώταυρος γίνεται, ταῦρος μὲν τῇ κεφαλῇ, τὸ δὲ ἐντεῦθεν ἄνθρωπος.

ΑΛΛΩΣ.

Ἡλίου παῖς Πασιφάη γεγένηται, καὶ γενομένη τοῦ καλλίστου τῶν θεῶν, πάθος ὑπέστη παραλογώτατον. ταύρου γὰρ ἐπιμαίνεται, καὶ τὸ πάθος οὐ δυναμένη διενεγκεῖν,

πρὸς

πρὸς τὸν Δαίδαλον ἤγγειλεν. ὁ δὲ ξυλίνην * μηχανὴν περιέβαλεν, ἣ περὶ τὴν ἀγέλην συνήγετο, καὶ τὴν ἄνθρωπον ἔνδον κατακλείσας ἐργάζεται * ἣν ὁ πρότερος οὐκ ἠπίστατο χρόνος, καὶ τῆς ὁμολογίας ὑπόμνημα ταῦρος προσελήλυθεν ἐφ' ἑνὸς σώματος ἄμφω χαρακτηρίζων τοὺς φύσαντας.

ΠΕΡΙ ΗΡΑΚΛΕΟΥΣ.

Ἀλκμήνη τίκτει τῷ Διῒ μὲν Ἡρακλέα. τῷ δὲ Ἀμφιτρύωνι Ἰφικλέα, καὶ τὸ μέσον τοῦ σπέρματος ἐν τοῖς ἐκγόνοις ἐδείχθη· τὰ μὲν γὰρ ἔκειτο ἐσπαργανωμένα ἀρτίγονα, δράκοντες δὲ ὡς ἐπῆλθον, ἐπιβουλευούσης Ἥρας τῷ Ἡρακλεῖ, πτήσσει μὲν Ἰφικλῆς, καὶ ὑπότρομος γίνεται, Ἡρακλῆς δὲ δέχεται τὰ ἑρπετὰ, καὶ ἀποπνίγει.

ΑΛΛΩΣ.

Θεῶν αἱ γοναὶ καὶ περὶ τὰ σπάργανα φαίνονται· δηλοῖ δὲ ἡ συνουσία Διῒ, καὶ μετ' αὐτὸν Ἀμφιτρύωνι, καὶ συνουσίας διττῆς ἐπὶ τῶν παίδων φέρουσα γνώρισμα. προῆλθε μὲν γὰρ Ἡρακλῆς τοῦ Διὸς, ὁ δὲ Ἰφικλῆς Ἀμφιτρύωνος. καὶ κειμένων ἐν σπαργάνοις τῶν παίδων, Ἥρα μὲν τοῖς παισὶν ἐπαφίησι δράκοντας, Ἡρακλῆς δὲ ἑωρακὼς ὁμοῦ τῇ θέᾳ προσιόντας ἀνῄρηκεν, καὶ πρὸς αὐτὴν Ἰφικλέους καταπεπληγμένου τὴν θέαν, ἄθλων προοίμιον τὴν τοῦ βίου ἀρχὴν ἐποιήσατο.

ΠΕΡΙ ΛΗΤΟΥΣ.

Ἤπειγον αἱ ὠδῖνες τὴν Λητώ· ἐδέχετο δὲ αὐτὴν οὔτε ἤπειρος, οὔτε νῆσος οὐδεμία τῶν φανερῶν. ἡ Δῆλος δὲ πρῶτον μὲν ἠφανίζετο τῇ θαλάσσῃ. τότε δὲ γνώμῃ Διὸς ἀνέδυ τε, καὶ ἐξεφάνη, καὶ ἐδέξατο τὸν τόκον. τεχθεὶς δὲ ὁ Ἀπόλλων, εὐθὺς ἦν τοξότης, καὶ ἔργον αὐτῷ πρῶτον ὁ δράκων, ὃς ἐπολέμει τῇ Λητοῖ βουλομένῃ τεκεῖν.

ΠΕΡΙ ΑΛΕΚΤΡΥΟΝΟΣ.

Ὁ Ἀλεκτρυὼν ὄρνις ἐστὶν ἐξ ἀνθρώπου τὸ πρίν. ὅτε δὲ ἦν ἄνθρωπος, Ἄρεως ἦν δορυφόρος· τούτῳ παρέδωκε τὰς θύρας τοῦ θαλάμου Ἄρης, ὅτε ἠδίκησεν εἰς τὴν εὐνὴν τὸν Ἥφαιστον, ἐφ' ᾧ πρὸς τοῦ περιόρθρου τὰς θύρας ἀράττει, ὡς μὴ ἁλώῃ μοιχεύων. κεκοίμηνται οὖν ἀμφότεροι, καὶ ὁ θεράπων, καὶ ὁ δεσπότης, καὶ τὸ ἔργον ἐγνώσθη τῆς ἡμέρας φανείσης. γίνεται οὖν ὄρνις ὁ στρατιώτης ταύτην ὑποχὼν τὴν δίκην· καὶ πολλὰ δηλοῖ τὸν πάλαι στρατιώτην, ὁ λόφος, ὁ θυμὸς, τὰ κέντρα. καὶ μεμνημένος γε, ἐφ' ᾧ τοῦτο ἔπαθε, πρὶν ἥλιον ζεύξασθαι τὸ ἅρμα, τῶν ἀνθρώπων ἐλαύνει τὸν ὕπνον διὰ τῆς ᾠδῆς.

ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΠΑΡΙΔΟΣ ΑΡΠΑΓΗΣ.

Θέτιν ὁ Ζεὺς ἐθαύμαζε τοῦ κάλλους, παρὰ δὲ τῆς Νυκτὸς ἀκούσας, ὡς ὁ τικτόμενος ἐκ Θέτιδος ἀμείνων ἔσται τοῦ πατρὸς, αὐτὸς μὲν οὐ μίγνυται, Πηλεῖ δὲ δίδωσι. καὶ δέχεται μὲν τοὺς γάμους τὸ Πήλιον, καὶ θεῶν ὕμνον, καὶ Ἀπόλλωνος ᾠδήν. ἡ δὲ Ἔρις, οὐ γὰρ μετεῖχε τῆς θοίνης, μῆλον χρυσοῦν ἀφίησιν εἰς τὴν τράπεζαν. δῶρον εἶναι τῆς καλλίστης θεῶν, τοῦτο ἐνεγέγραπτο· γίνεται οὖν ἀμφισβήτησις τὸ μῆλον, τῇ τοῦ Διὸς γυναικὶ, καὶ Ἀφροδίτῃ, καὶ Ἀθηνᾷ· ὁ δὲ φεύγει μὲν αὐτὸς τὴν κρίσιν, ποιεῖ δὲ αὐταῖς Πάριν τὸν Πριάμου κριτήν. ὡς οὖν ἧκον περὶ τὸν βουκόλον, νικᾷ μὲν ἡ Ἀφροδίτη * τοῦτο γὰρ ἄμεινον ὁ Πάρις ἡγήσατο, βασιλείαν τε, ἣν ἐδίδου τῆς Ἀσίας ἡ Ἥρα, καὶ τὸ μαχόμενον κρατεῖν, ὃ ἦν τῆς Ἀθηνᾶς ὑπόσχεσις, παρῃτήσατο. ναυπηγεῖ δὲ καὶ πλοῖον, καὶ λαμβάνει τὴν Ἑλένην, καὶ ἀπόλλυσι τὸ Ἴλιον.

ΠΕΡΙ ΔΑΝΑΟΥ, ΚΑΙ ΑΙΓΥΠΤΟΥ.

Ἐγένοντο Δαναῷ πεντήκοντα θυγατέρες. ὁ δὲ Αἴγυπτος Δαναοῦ ἀδελφὸς καὶ αὐτὸς ἦν υἱέων πεντήκοντα πα-

τήρ.

τήρ. ἐβούλετο οὖν συνοικεῖν τὰς ἑαυτοῦ θυγατέρας τοῖς ἐκείνου παισί. καὶ τῶν γάμων δρωμένων, ἐγχειρίδια δοὺς Δαναὸς ταῖς παρθένοις, ἐκέλευσεν ἑκάστην, ᾧ ζευγνύοιτο, τοῦτον κτείνειν. ταῖς μὲν οὖν ἄλλαις ἐτολμήθη τὸ ἔργον, καὶ ἀπέθνησκον οἱ νυμφίοι. τῇ δὲ Ὑπερμνήστρᾳ δεινὸν τὸ πρᾶγμα ἐφάνη, καὶ ἀπειθήσασα τῷ πατρὶ, φείδεται τοῦ Λυγγέως. φεύγει δὴ Δαναὸς, καὶ ἧκεν εἰς Πελοπόννησον, καὶ κατέχε τὸ Ἄργος.

ΠΕΡΙ ΙΚΑΡΙΟΥ.

Ἐπεφοίτησεν Ἰκαρίῳ Διόνυσος. ὁ δὲ αὐτὸν ἐδέξατο, καὶ ἐθεράπευσεν. καὶ λαμβάνει παρὰ θεοῦ δῶρον τὴν ἄμπελον. καὶ διδάσκει τὴν τέχνην. ὡς δὲ ἧκεν εἰς Θρᾴκην, πιόντες οἱ Θρᾷκες ἐμεθύσθησαν. καὶ ἡγήσαντο φάρμακον τὸν οἶνον. καὶ ἐν τούτῳ δόξης ὄντες ἐπέκτεινον τὸν Ἰκάριον.

ΠΕΡΙ ΑΡΙΩΝΟΣ.

Ὁ Ἀρίων Μηθυμναῖος ὢν, ἐκ Μηθύμνης ἔπλευσεν εἰς Κόρινθον. καὶ δεικνὺς αὐτόθι τὴν τέχνην εὐδοκίμει. βουλόμενος δὲ καὶ ἐν Ἰταλίᾳ γενέσθαι λαμπρὸς, ἔπλευσε κἀκεῖσε, καὶ αὖθις εὐδοκιμεῖ. γενομένων δὲ αὐτῷ χρημάτων μεγάλων, νεὼς ἐπιβὰς Κορινθίας, εἰς Κόρινθον ἐπαναπλεῖ. καὶ οἱ ναῦται τῶν χρημάτων ἐρασθέντες, κτείνειν ἐπεχείρουν. ὡς δὲ ἀφιστάμενος αὐτοῖς τῶν χρημάτων ἐπὶ τῷ σώζεσθαι οὐκ ἔπειθε, δευτέρας δεῖται συγχωρήσεως, στῆναι ἐν τῇ σκευῇ καὶ ᾆσαι, καὶ ἐκπηδήσειν εἰς τὴν θάλασσαν ἐπὶ τῷ τέλει τοῦ ᾄσματος. καὶ οἱ μὲν ἐπέτρεψαν. ὁ δὲ ᾖσε, καὶ ἐξεπήδησεν. Δελφὶς δὲ αὐτὸν ὑποθεὶς τῷ κιθαρῳδῷ πρὸς Ταίναρον ἐξεκόμισεν.

ΠΕΡΙ ΑΛΦΕΙΟΥ.

Ἔρως καὶ ποταμοῖς ἐνοχλεῖ. δηλοῖ δὲ Ἀλφειὸς Σικελικῆς πηγῆς Ἀρεθούσης ἐρῶν. ὃς προϊὼν ἐκ τῆς Ἤλιδος,

τὸ ῥεῖθρον οὐκ ἀναμίγνυσι πολὺ διερχόμενος πέλαγος. ὡς ἐκ τούτου φυλάττειν ἀκέραιον τὸν τοῦ ἔρωτος πόθον.

ΠΕΡΙ ΔΗΙΑΝΕΙΡΑΣ.

Δηιάνειραν τὴν Οἰνέως ἐπόθει μὲν Ἡρακλῆς, ἀντεπόθει δὲ καὶ Ἀχελῶος ὁ ποταμός. εἰς ἔργον δὲ καταστάντες ἐκ πόθου, ἀγῶνι μὲν τὴν ἅμιλλαν ἔκρινον, καὶ ἆθλον τὸν τῆς κόρης γάμον προὐτίθεντο. καὶ προσπεσὼν Ἡρακλῆς παρασπᾷ μὲν Ἀχελῷον τοῦ κέρως. τὸ δὲ καταῤῥεῦσαν αἷμα τοῦ τραύματος κατεβάλλετο Σειρήνων γένεσιν.

ΠΕΡΙ ΤΗΣ ΠΙΤΥΟΣ.

Ἤρα τῆς Πίτυος ὁ Πάν. ἤρα δὲ καὶ ὁ Βορέας. ἦν γὰρ κόρη πρότερον ἡ Πίτυς, καὶ ἐπ' αὐτῇ ποιοῦνται τὴν αἵρεσιν, ὁποτέρῳ δεῖ χαρίσασθαι· τὸ δὲ ἐντεῦθεν ἐδείκνυσαν τὰ ὄντα αὐτοῖς ἀγαθὰ, σπεύδων ἑκάτερος ἀμείνων φανῆναι· Βορέας μὲν ἔπνει λαμπρὸς, καὶ ἔκαμπτε δένδρα, τὰ δὲ κατέφερεν. ὁ δὲ Πὰν ἐσκίρτα, ἐπῇδε, δῶρα ἔφερε τῶν ἀναθημάτων, ἃ ἦν αὐτῷ παρὰ τῶν νομέων. ἐφέλκεται τὴν Πίτυν. καὶ Βοῤῥᾶς ἀλγεῖ, καὶ σφοδρῶς ἐπιπεσὼν, ὦσέ τε κατὰ τῶν πετρῶν, καὶ διέφθειρε τὴν κόρην. ἡ γῆ δὲ, καὶ γὰρ ᾤκτειρε τὸ πάθος, ἤμειψεν εἰς φυτὸν τὸ σῶμα. διὰ τοῦτο Πανὶ μὲν ἐκ Πίτυος ὁ στέφανος. Βορέας δὲ καὶ τὸ δένδρον λυπεῖ. καί φασι τὸν ἦχον, ὃν ἡ Πίτυς ποιεῖ δεχομένη τὸ πνεῦμα, θρῆνον εἶναι.

ΑΛΛΩΣ.

Ἤρα τῆς Πίτυος ὁ Πάν. ἀντήρα δὲ καὶ ὁ Βορέας αὐτῆς. ἑκατέρου δὲ προσαγομένου τὴν κόρην, πρὸς τὸν Πᾶνα μεθίσταται· καὶ ζηλοτυπεῖ μὲν ἐπὶ τούτοις Βοῤῥᾶς. πνεύσας δὲ ἐπ' αὐτῇ βιαιότερον, τὴν μὲν κόρην ὠθεῖ. παραλαβοῦσαι δὲ ταύτην αἱ πέτραι τῷ θανάτῳ παρέδοσαν.

γῆ

γῆ δὲ ἐλεοῦσα τὸ πάθος, ἀνῆκε δένδρον ὅμιον περὶ τοὺς ἐραστὰς διακείμενον. τὸν μὲν γὰρ Πᾶνα στεφανοῖ τῷ θαλλῷ, θρηνεῖ δὲ τοῦ Βορέου προσπνεύσαντος.

ΠΕΡΙ ΑΤΑΛΑΝΤΗΣ.

Πολλοὶ μὲν ἔκειντο μνηστῆρες ὑπὸ Ἀταλάντης ἡττηθέντες, ποδωκείᾳ τῆς κόρης. ἔδει γὰρ ἡττώμενον ἀποθανεῖν, νικῶντας δὲ γαμεῖν. Ἱππομένης δὲ ταύτης ἐπιθυμῶν, δεδιὼς δὲ τὸν κίνδυνον, δεῖται τῆς Ἀφροδίτης συμπρᾶξαι. ἡ δὲ ἔδωκε τὰ χρυσᾶ μῆλα, καὶ εἶπεν ὃ χρὴ ποιεῖν ἐν τῷ δρόμῳ. ὡς οὖν ἔθεον, ὁπότε πλησίον ἡ κόρη γένοιτο, μῆλον ἠφίει, ἡ δὲ ἐθαύμαζέ τε, καὶ ὑπολειπομένη, τὸ μῆλον ἀνῃρεῖτο. ἐγγιζούσης δὲ πάλιν τὸ αὐτὸ ἐδρᾶτο. καὶ διὰ τοιοῦδε σοφίσματος Ἀταλάντη μὲν εἶχε τὰ μῆλα, Ἱππομένης δὲ Ἀταλάντην.

ΑΛΛΩΣ.

Ἀταλάντην τὴν Σχοινέως ἔχειν μὲν ἐπόθουν πολλοί. Ἱππομένης δὲ παρ' ἑτέρους πολλούς. ἆθλον δὲ ἑαυτὴν ἡ παῖς περιετίθει τοῖς νικῶσιν εἰς Ἱππομένους τὸ τάχος. Ἀφροδίτην Ἱππομένης εὕρατο σύμπονον, καὶ μῆλα χρυσᾶ ῥίπτει ἐπὶ τὸ στάδιον. καὶ ἡ μὲν τὰ μῆλα συνέλεγεν, ὁ δὲ παρῄει συλλέγουσαν, καὶ τέχνῃ μᾶλλον, ἢ ῥώμῃ τὸν Ἀταλάντης γάμον ἐκτήσατο.

ΠΕΡΙ ΚΗΦΕΩΣ, ΚΑΙ ΠΕΡΣΕΩΣ.

Κηφεὺς εἶχεν Αἰθιόπων τε ἀρχὴν, καὶ γυναῖκα καλήν. αὕτη καὶ τὰς Νηρηΐδας κάλλει νικᾶν ἐνομίζετο, καὶ ἔλεγεν. αἱ δὲ δέονται τοῦ σφῶν ἄρχοντος, λαβεῖν ὑπὲρ αὐτῶν δίκην. ὡς δὲ ἔπεισαν, ὁ μὲν ἐπὶ τὴν τοῦ Κηφέως γῆν Κῆτος ἔπεμψεν, Κηφεὺς δὲ χρησμῷ πειθόμενος, πέτρας ἐπικειμένης θαλάσσῃ, τὴν θυγατέρα ἐκδήσας, παρεῖχεν ἀπολλύναι τῷ Κήτει. ταύτην σώζει τε, καὶ

λύει Περσεὺς, τεμὼν ἐν Λιβύῃ, καὶ φέρων τὴν Μεδούσης κεφαλὴν, λίθον τε ποιήσας τὸ Κῆτος.

ΑΛΛΩΣ.

Κηφεὺς Αἰθιοπίας κρατῶν, Κασσιέπειαν ἐκέκτητο σύνοικον. ἣ τοσοῦτον ἐπῄει διὰ κάλλος φρονεῖν, ὡς αὐτὰς οἴεσθαι Νηρηίδας ὑπερβάλλειν. ἀγανακτήσας δὲ ἐπὶ τούτοις ὁ Ποσειδῶν, Κῆτος ἀνῆκε τὴν Αἰθιόπων γῆν λυμαινόμενον. ἀπορῶν δὲ Κηφεὺς, λύσιν τοῦ δυστυχήματος ἤκουεν, εἰ τὴν Ἀνδρομέδαν παραθείη τῷ Κήτει. καὶ παρατυχὼν ὁ Περσεὺς ἀπολιθοῖ μὲν τῇ Γοργόνι τὸ Κῆτος, σωτηρίας δὲ γέρας, τῆς σωθείσης ἐκομίσατο τὸν γάμον.

ΠΕΡΙ ΡΗΝΟΥ.

Ῥῆνος ὁ βαρβαρικὸς ποταμὸς, σωφροσύνης ὑπάρχων κριτὴς παραῤῥεῖ τοὺς Κελτούς. ἐπειδὰν γάρ τις αὐτοῖς ἄρτι γένηται παῖς, λαβόντες τῷ ῥείθρῳ παρατιθέασιν. ὁ δὲ παραλαβὼν, ἀποδίδωσι μὲν τοῖς γονεῦσι τὰ γνήσια, κτείνει δὲ τὰ νόθα παρ' αὐτῷ καταχών. καὶ διαγινώσκεται τὸ σῶφρον, βίῳ τε καὶ θανάτῳ.

ΠΕΡΙ ΤΩΝ ΑΛΩΑΔΩΝ, ΚΑΙ ΠΕΡΙ ΕΛΑΤΗΣ.

Ὦτος καὶ Ἐφιάλτης Ἀλωέως μὲν γεγόνασι παῖδες, ἀδελφὰ δὲ εἶχον μετὰ τῶν βουλευμάτων τὰ σώματα. παραπλησίως δὲ τῷ μεγέθει φρονοῦντες τοῦ σώματος, βατὸν ἑαυτοῖς τὸν οὐρανὸν κατεσκεύαζον. καὶ θέντες ὄρος ἐπ' ὄρει, προϊέναι μὲν ἐπειρῶντο παρὰ τοὺς κρείττονας. ἀνακόπτει δὲ αὐτοὺς τῶν ἐγχειρημάτων ὁ Ζεὺς σκηπτῷ κατείργων τὸ πρὸς αὐτῶν μελετώμενον. Ἐλάτη δὲ ἡ τούτων ἀδελφὴ, παραπλησία μὲν ὑπῆρχε τὸ μέγεθος, δακρύσασα δὲ τὸ συμβὰν, δένδρῳ φύσιν ἠλλάξατο, καὶ μεταβαλοῦσα τὴν φύσιν, μένει τὸ μέγεθος, ὡς ἐτύγχανε πρότερον. ὅθεν τὸ ἔπος τὴν Ἐλάτην οὐρανομήκη προσεῖπεν.

ΠΕΡΙ

ΠΕΡΙ ΕΝΙΠΕΩΣ.

Καὶ παρὰ τοῖς ποταμοῖς τὸ σῶφρον εὐδοκιμεῖ. δῆλος δὲ Ἐνιπεύς, Τυρὼ μὲν ἐρῶσαν ἀποστρεφόμενος. ἐξ ἀπάτης δὲ τῇ παιδὶ Ποσειδῶν συναπτόμενος. ἤρα μὲν γὰρ Ἐνιπεὺς Τυρώ. ἀντήρα δὲ καὶ Ποσειδῶν τῆς Τυροῦς. καὶ πρὸς Ἐνιπέα τῆς κόρης κλινούσης, τὴν Ἐνιπέως Ποσειδῶν ὑπεκρίνετο φύσιν, καὶ πείσας τὴν κόρην συνελθεῖν ἐκ τοῦ σχήματος, Νειλέα, καὶ Πελίαν ἐκ τῆς κόρης παῖδας προήγαγεν, ὡς τὸ ἔπος ἐδήλωσεν.

ΠΕΡΙ ΤΗΣ ΔΑΝΑΗΣ.

Τὴν Δανάην ὁ πατὴρ Ἀκρίσιος ἐφύλαττεν ὡς παῖδα, ἐν χαλκῷ θαλάμῳ τὴν παρθένον τηρῶν. Ζεὺς δὲ ἐρασθείς, καὶ χρυσὸς διὰ στέγους ῥυεὶς συνεγένετο. ἡ δὲ τίκτει τὸν Περσέα, ὃν Ἀκρίσιος ἅμα τῇ μητρὶ κατακλείσας εἰς λάρνακα παρέδωκε τῇ θαλάσσῃ. Περσεὺς δὲ καὶ ἐκ τούτου σώζεται. καὶ δίσκον ἀφεὶς ἐν ἀγῶνι τὸν πάππον ἄκων ἀπέκτεινε, καὶ τὸ μάντευμα εἰς τέλος ἦγεν.

ΛΙΒΑΝΙΟΥ ΣΟΦΙΣΤΟΥ ΕΚΦΡΑΣΕΙΣ.

ΠΑΝΗΓΥΡΕΩΣ.

Πανηγύρεων δὲ, μελλουσῶν μὲν πόθος ἀνθρώποις, παρουσῶν δὲ ἡδονή, πεπαυμένων δὲ μνήμη. καὶ γὰρ αὖ τὸ μεμνῆσθαι καθίστησι τοὺς ἀνθρώπους ἐγγὺς τῶν ἔργων αὐτῶν. ἔχει δέ τινα καὶ ὠφέλειαν ἡ μνήμη. περὶ γὰρ πανηγύρεως λέγοντα, καὶ περὶ θεῶν ἀνάγκη λέγειν, οἷς αὐτὰ ποιεῖσθαι κατεδείχθησαν. ὧν προσιουσῶν, παρασκευάζονται μὲν μετ᾽ εὐθυμίας ἄνθρωποι. παρασκευάζονται δὲ οἱ μὲν πολλοὶ ταῦτα, ἀφ᾽ ὧν ἑστιάσονται λαμ-

πρῶς. οἱ δὲ δὴ ἀξιώτεροι ταῦτά τε, καὶ οἷς θεραπεύουσι τοὺς θεούς. καὶ ἀγρόθεν ἄγεται βοσκήματα, καὶ οἶνος, καὶ τ' ἄλλα ὅσα ἂν ἐξ ἀγροῦ γένοιτο. ἐσθῆτά τε ἐκκαθαίρουσι, καὶ σπεύδει ἕκαστος, ὅπως ἂν διὰ πάντων ἑορτάσῃ· τοῖς δὲ ἐνδεεστέροις παρὰ τῶν εὐπόρων ἐστὶν ἱμάτια χρησαμένοις κοσμεῖσθαι· ἐπιστάσης δὲ τῆς κυρίας, ἱερεῖς μὲν ἀνοίγουσι τὰ ἱερὰ, καὶ ἀγαλμάτων ἐπιμελοῦνται, καὶ οὐδὲν τῶν εἰς κοινὸν φερόντων ῥαθυμεῖται· μεσταὶ δὲ αἱ πόλεις ὄχλου, τῶν ὁμόρων συῤῥεόντων ἐπὶ τὰ δρώμενα, τῶν μὲν πεζῇ, τῶν δὲ ναυσίν. ἡλίου δὲ ἀνίσχοντος ἐν ἐσθήμασι λαμπροῖς ἐπὶ τὸν νεὼν φοιτῶσι θεραπεύσοντες θεὸν τοῦτον, ᾧ τελεῖται ἡ πανήγυρις· ἡγεῖται μὲν οὖν ὁ δεσπότης φέρων λιβανωτόν. ἕπεται δὲ ὁ ἱκέτης ἱερεῖον κομίζων, καὶ πατράσι συνομαρτοῦσιν υἱεῖς, οἱ μὲν ἤδη αἰσθανόμενοι θεῶν ἰσχύος, οἱ δὲ κομιδῇ νέοι. ὁ μέν τις ἄπεισι τεθυκώς· ὁ δὲ ἔρχεται τοῦτο δράσων. εὐχαὶ δὲ πολλαὶ πανταχοῦ, καὶ πρὸς ἀλλήλους ῥήματα εὔφημα. γυναικῶν ἱέρεια μὲν ἐν ἱεροῖς. ταῖς δὲ ἄλλαις ἀρκεῖ θεάσασθαι τὸν ὅμιλον τῶν ταῦτα ποιούντων. ἐπειδὰν δὲ αὐτοῖς εὖ ἔχοι τὰ πρὸς τοὺς δαίμονας διαδέχονται τράπεζαι, ἐν αἷς ὕμνοι μὲν αὐτοῦ τοῦ τιμωμένου τῇ πανηγύρει θεοῦ. φιλοτησίαι δὲ καὶ ᾄσματα, σπουδαῖα μὲν τὰ τῶν σπουδαίων, ἐς δὲ γέλωτα πεποιημένα τὰ τῶν μὴ τοιούτων. ἑστιῶνται δὲ οἱ μὲν ἐν τοῖς ἱεροῖς, οἱ δὲ οἴκοι. καὶ δέονται πολῖται ξένων παρὰ σφίσιν εὐωχεῖσθαι. καὶ ἐν τῷ πότῳ φιλίαι μὲν ἀρχαῖαι βεβαιοῦνται μειζόνως, αἱ δὲ ἀρχὴν λαμβάνουσιν. ἐξανιστάμενοι δὲ, οἱ μὲν τοὺς ξένους παραλαμβάνοντες δεικνύουσιν ὅ, τι ἐν τῇ πόλει θέας ἄξιον. οἱ δὲ ἐν ἀγορᾷ συγκαθήμενοι διαλέγονται σὺν φαιδρότητι· κατηφὴς δὲ οὐδεὶς, ἀλλὰ ἀνεῖται πρὸς εὐφροσύνην τὰ πρόσωπα. χρεῶν εἰσπράξεις ἠρεμοῦσι. καὶ πᾶν ὅ, τι λυπηρὸν ἐν δευτέρῳ γίνεται· γραφαὶ δὲ ἡσυχάζουσι, καὶ δικαστὴς οὐ ψηφίζεται. τὰ δὲ ἡδονὴν ἔχοντα μόνα ἀνθεῖ, καὶ οὔτε οἰκέταις πληγῶν φόβος. παιδαγωγοὶ δὲ τοῖς νέοις ἥμεροι. δειπνεῖν δὲ ἔνι τῆς ἑσπέρας λαμπρῶς. ἔνθα δὴ πολλοὶ μὲν λαμπτῆρες, ὡς ἐμ-

πεπλῆσθαι

πεπλῆσθαι φωτὸς τὸ ἄστυ. πολλοὶ δὲ κωμασταὶ, καὶ αὐτῶν εἴδη, καὶ συρίγγων ἐν στενωποῖς ᾠδαί· τῶν μὲν τὰ αὐτὰ ᾀδόντων, τῶν δὲ οὐ τὰ αὐτά. τότε καὶ εἰς μέθην πιεῖν οὐ πᾶν ὄνειδος. δοκεῖ γάρ πως καὶ τούτου τὴν αἰσχύνην ὁ καιρὸς ἀφαιρεῖν· τῇ δὲ ὑστεραίᾳ τὸ μὲν θεῖον οὐκ ἀμελεῖται, βραχύτεροι δὲ οἱ τῇ προτεραίᾳ θεραπεύσαντες στειχοῦσιν ἐπὶ τὰ θεάματα. οἷς μὲν εἰσὶ στίχων ἅμιλλαι ἐπὶ ταῦτα. οἷς δὲ ἐν ταῖς σκηναῖς ἐπέκεινα. καὶ ἡ τρίτη δὲ οὐ πολὺ τούτων λείπεται, καὶ συνεκτείνονται τῷ χρόνῳ τῶν ἑορτῶν αἵ τε θυμηδίαι, καὶ τὸ τῆς γνώμης φαιδρόν· ληγούσης δὲ πανηγύρεως εὐχὴ περὶ τοῦ μέλλοντος, ἰδεῖν αὖθις τὴν πανήγυριν αὐτοὺς, καὶ παῖδας, καὶ ἐπιτηδείους. καὶ ἀπίασιν οἱ ξένοι, καὶ πολῖται παραπέμπουσιν.

ΤΥΧΑΙΟΥ.

Τύχαι δὲ ἄρα πάντα μὲν τὰ ἀνθρώπινα, ὅπῃ βούλονται φέρουσιν. ἐγκαθίδρυνται δὲ δικαίως ταῖς πόλεσιν, ἐξ ὧν ἅπαντα δικαίως κατορθοῦσι τιμώμεναι. καὶ τὰς μὲν καθ᾽ ἑκάστην τῶν πόλεων ἱδρυμένας, οἱ παρ᾽ ἑκάστην θεώμενοι φράζουσιν. ἐγὼ δὲ ἣν τεθέαμαι, καὶ διεξέρχομαι· τέμενος ἐν μέσῳ τῆς πόλεως ἵδρυται, συγκείμενον μὲν ἐκ πλειόνων θεῶν, τύχης δὲ ἅπαν ὠνόμασται. καί μοι δοκοῦσιν ἡ τὴν κλῆσιν τῷ χώρῳ προσθέντες εἰς τὸ δέον ποιεῖν. οἷς γὰρ ἅπαντα τύχῃ συγκρύπτεται, τούτοις ἡ θεῶν ἀπὸ τῆς τύχης συνεκέκρυπτο κλῆσις. κατεσκεύασται δὲ ὁ χῶρος ὧδέ πως. ἤσκηται μὲν ἅπας ἐξ ἐδάφους εἰς ὀροφήν. διῄρηται δὲ ἡ κατασκευὴ κατὰ κύκλους ἡμίσεας. ἐφ᾽ ἑκάστῳ δὲ παντοδαποὶ προβέβληνται κίονες. οἱ δ᾽ αὖ κύκλοι εἰσὶ πρὸς ἀγαλμάτων ὑποδοχὰς ἀνιστάμενοι, καὶ μετρεῖν ἔξεστι, τοὺς κύκλους μὲν τοῖς ἀγάλμασιν, ἐκ δὲ τῶν ἀγαλμάτων παρεστήκασι κίονες. θεοὶ δὲ εἰσὶν ἀνεστηκότες οἱ πάντες. ἀλλ᾽ ὅσοι δύο κατὰ δέκατον ἀριθμόν. καὶ κορυφὴ μὲν ἔχει τὸν οἰκιστὴν ἐξ ἑτέρων ἄκρων καὶ μέσων. ἀνέστηκε δὲ φέρων μὲν αὐτοὺς τοῦ Σωτῆρος

ὑπόμνημα. φερόμενος δὲ δι' ὧν ἡ πόλις εἴωθε τρέφεσθαι. καὶ σημαίνει τῆς γῆς τὴν δόσιν ἡ χάρις. κύκλοι δὲ κατὰ μέσον ἥμισυ ὅσον ἀριθμὸς θεῶν ὀνομάζεται, καὶ μέσον ἐκ μέσου τύχης ἕστηκεν ἄγαλμα, στεφάνῳ δηλοῦν Ἀλεξάνδρου τὰς νίκας. καὶ στέφεται μὲν ὑπὸ τύχης ἡ γῆ. στέφει δὲ αὐτὴ τὸν νικήσαντα. νῖκαι δὲ τῆς τύχης ἑκατέρωθεν ἀνεστήκασιν, καλῶς τοῦ δημιουργοῦ τῆς τύχης δηλοῦντος τὴν δύναμιν, ὡς πάντα νικᾶν οἶδεν ἡ τύχη. τελευτᾷ δὲ ἡ τοῦ χώρου κατασκευὴ πρὸς ἡτοιμασμένον ἐξ ἀγάλματος ἐλάφειον στέφανον. καὶ φιλοσοφεῖ εἷς ἐπὶ καθέδρας ἄκρου. γυμνὸς δὲ ἕτερος πρὸς τὸ λοιπὸν ἀνέστηκεν. οὐρανοῦ μὲν ἐπὶ τῆς λαιᾶς φερόμενος πρόσχημα, τὴν δ' αὖ δεξιὰν εἰς ἅπαντα πρόχειρον. γυμνὸς δὲ προκαλύμματος ἵσταται. καὶ στῆλαι χαλκαὶ κατὰ μέσον ἑστήκασιν ἔδαφος, ἐγκεκολαμμέναι τὰ τῆς πόλεως νόμιμα. καὶ κατὰ μέσον αἱ πύλαι παρὰ τῶν μουσῶν ἄγουσαι τέμενος. χαλκοὶ δὲ βασιλεῖς κατὰ μέσον ἑστήκασιν οὐχ ὅσους ἐκόμισε χρόνος, ἀλλ' ὅσοι τῶν κομισθέντων ἦσαν σεμνότεροι. ταῦτα θαῦμα μὲν ὑπῆρχεν ἰδεῖν, κέρδος δὲ μαθεῖν, ἀδίκημα δὲ σιωπῇ κατακρύπτεσθαι.

ΠΑΛΛΑΔΟΣ.

Θεοὶ ἄρα γεγονότες δημιουργοί, δημιουργεῖσθαι παρὰ τῆς πλαττούσης ἐπίστανται τέχνης, καὶ συγχωροῦσι γενέσθαι τῇ τέχνῃ, ὅπερ φύσει γεγόνασιν. καὶ πολλοὶ μὲν θεοὶ κατ' ἀγορὰν ἀνεστήκασιν, Ἀθηνᾶ δὲ μᾶλλον πρὸ παντὸς ἕστηκε θαύματος. ἐγὼ δὲ ὃ τεθέαμαι, καὶ διηγήσομαι. μουσῶν τέμενος ἦν, καὶ πρὸς λόγους ὁ χῶρος ἀνεῖσθαι βουλόμενος, καὶ δύο ταῦτα δημιουργεῖν σύμβολα τῆς οὔσης ἐπιδείξασθαι τέχνης Ἀθηνᾶν προανέστησεν, καὶ πρὶν ἐμβαλεῖν εἰς μουσῶν τέμενος, ἡ θεὸς καταφαίνεται, τὴν ἔνδον οὖσαν σημαίνουσα τέχνην. καί μοι δοκεῖ ὁ δημιουργὸς ἐπ' ἀμφοῖν τοῖν καιροῖν Ἀθηνᾶν ἀναστήσασθαι. δι' ὧν μὲν γὰρ αὐτὴν ἐν μουσῶν τεμένει καθίδρυσεν, εἰρήνης ἔδειξε πρύτανιν. οἷς δὲ ἅπασαν ὥπλισε, καὶ πολέμου κυρίαν κατα-

καταλείπειν δοκεῖ. κράνος τοίνυν αὐτῆς περιβάλλει τὴν κεφαλήν, καὶ προανέχει μὲν λόφος τοῦ κράνους, κορυφῆς δὲ τὸ κράνος, καὶ περιβαλὼν τὴν κεφαλὴν τῇ κυνῇ τὴν ὄψιν οὐκ ἔκρυψεν, ἀλλ' αὐτόνομον ἀφῆκε τὸ πρόσωπον, ὥσπερ ἀδικεῖν τὸν τεχνίτην δοκεῖν, εἰ δι' οὗ λόγοι προέρχονται, ταῦτα συγκρύψειε τοῦ πολέμου τὸ γνώρισμα. καὶ ἅμα μοι δοκεῖ ὑποφῆναι ζητεῖν ὡς οὐδὲν λόγων γίνεται κώλυμα. τὸ δὲ πρόσωπον γυμνὸν γεγονὸς ἐγκάρσιον * καὶ πρὸς ἕτερα νένευκε, καὶ φοβεῖ τῶν ὀμμάτων ἑκάτερον, ὥσπερ ἀρκοῦν μόνον ἰδεῖν, καὶ φοβῆσαι μόνον δυνάμενον· τὸ δὲ στόμα διῃρημένον εἰς λόγους ἀνεῖται. καὶ ἡ δειρὰ τῷ προσώπῳ συναποκέκλιται. αὐτὸ δὲ τὸ στέρνον θώραξ τε περιβάλλει ποικίλος, καὶ κατὰ μέσον ἀνέχει πάντα, τῆς θεοῦ συγκειμένης πρὸς ἔκπληξιν. ταῖν δὲ χεροῖν ἡ δεξιὰ μὲν ἀνεῖται γυμνή· καὶ τὸ συνέχον οὐδὲν ἔστη τῆς πράξεως ἕτοιμον, * πρὸ τῆς ἄκρας περιβάλλει χειρὸς βραχὺ τῇ θεῷ τῆς γυναικείας περιθέμενος φύσεως. ἡ δὲ λαιὰ πᾶσα μὲν τέταται, καὶ πρὸς θέναρ συγκέκαμπται, καὶ τῆς ἀσπίδος ἄκρας ἐπιλαμβάνεται, καὶ πᾶσαν προσερείδει τῇ γῇ, τοὐναντίον τὴν πᾶσαν ὁπλίτας ποιήσασαν. τῶν μὲν γὰρ αἱ χεῖρες τῶν ὀχάνων ἀντιλαμβάνονται, καὶ κατὰ μέσον τὰς ἀσπίδας ἀνέχουσιν, ὀμφαλοῦ τὸ κατέχον συγκρύπτοντες, οἱ δὲ τὴν ἴτυν τῶν ὀργάνων μεταχειρίζονται, καὶ τὴν τῆς ἀσπίδος κατειλήφασιν ἄκραν, ὥσπερ ἐξαρκοῦντες, ἄκρας ἐφάψασθαι, καὶ πᾶσαν μεταχειρίζεσθαι. τὴν δὲ λαιὰν ὁ μετὰ τὸ θέναρ προσέρχεται ἐπελιττόμενος ὄφις. ταῦτα τῆς θεοῦ περικειμένης εἰς κόσμον, ἃ φοβεῖν μὲν τοὺς ἄλλους ἐπίσταται· τὸ δὲ λοιπὸν τῆς θεοῦ πέπλος περιβάλλει ποδήρης, καὶ κατὰ μέσον συνέχει ζωστὴρ τὸν προκείμενον περιστέλλων χιτῶνα. καί μοι ἡ τέχνη δοκεῖ διπλοῦν τῇ θεῷ καταστήσασθαι πέπλον, ὥσπερ τοὺς θνητοὺς εἰς ἀνάμνησιν ἄγουσα τῶν ἐπῶν, ἐν οἷς Ἀθηνᾶ περιβάλλεται· βραχὺ οἱ πόδες τοῦ χιτῶνος ἐξέχουσιν, ἅμα μὲν δεικνύντες, ἐφ' ὧν ἀνεστήκασιν. ἅμα δὲ αἰδῶ γυναικείαν ἐμφαίνοντες, οὐκ εἰς ἅπαν ἐθέλουσι φαίνεσθαι. βραχὺ

δὲ

δὲ τῶν ποδῶν ὁ λαιὸς εἰς γόνυ συγκέκαμπται, καθάπαξ ἄπρακτον οὐκ ἀνεχομένης τῆς τέχνης τὴν θεὸν κατασήσασθαι· καὶ γοῦν τὸ γόνυ δοκεῖ, καὶ χωρεῖν ἐπὶ βάδισμα, ἡ δ᾽ ἀσπὶς ἐκ τῆς εἰς ἄκρον ἀνέσηκε χειρὸς, καταθείσης μὲν τῇ θεῷ τὴν σκευὴν, παρεχούσης δὲ τοῖς θεωμένοις ὁρᾶν, ὡς παρασκευῆς μὲν δέοι πρὸς πόλεμον, μὴ εἶναι δὲ πρὸς παράταξιν πρόχειρον. οἷς μὲν γὰρ ἡ γῆ κατέχει τελευταῖος πόλεμος, δι᾽ ὧν δὲ ἡ χεὶρ ἄκρα προσέψαυσε τὴν παρασκευὴν σημαίνει τῆς μάχης. ἡ δ᾽ ἀσπὶς τις εἶναι δοκεῖ τοῦ Διὸς, ἐν ᾗ θύσανοι ἠώρηνται, καὶ κατὰ μέσον ἐκπλήττει γοργὸν, πάντα τὸν φόβον δηλοῦσα τῆς μάχης, καὶ τὴν πρὸς τὸν Δία βεβαιοῦσα συγγένειαν· νίκαι δὲ διπλαῖ πρὸς ἑκατέραν ἄκραν τῆς ἀσπίδος εἰσὶν, ἐπεὶ καὶ διπλᾶ κρατεῖν Ἀθηνᾶ πέφυκε πρὸς ὅπλα καὶ λόγους. καὶ οὔτε ἡ θεὰ τῆς ἡδονῆς ἠλλοτρίωται, οὐδὲ τὴν ἡδονὴν λαθεῖν ἀφίεισιν ὁ λόγος· ἀλλ᾽ ἔστι ῥαστώνη κοινὴ θεωμένοις, καὶ λέγουσιν.

ΠΡΟΜΗΘΕΩΣ.

Οὐκ ἦν ἄρα τὸν φθόνον, οὐδὲ τῆς θεῶν ἔξω καθίστασθαι φύσεως. οὐδὲ τὰς χάριτας θεῶν[1] γε χωρὶς εἰς ἀνθρώπους ἐλθεῖν. καί μοι δοκεῖ τὶς δημιουργὸς εἰς εὐσέβειαν τοὺς ἀνθρώπους παιδοτριβῶν, Προμηθέα πλάσαι τῷ χαλκῷ κολαζόμενον· ἀνάκειται γοῦν τὶς εἰκασθεὶς Προμηθεύς, οὐχ οἷον ἄνθρωποι κολαζόμενον ἴσασιν, ἀλλ᾽ οἷον θεοὶ κεκλοφότα κολάζουσι. πῦρ γοῦν οὐ παράκειται Προμηθεῖ, ἀλλὰ τὴν χάριν ἡ τέχνη συνέκρυψεν. ἀετὸς δὲ Προμηθεῖ συνέστηκεν, οὐδὲ πεπλασμένον ἔξω τιμωρίας ἐῶν· ὡς γὰρ ἀνθρώπους ἐπιστρέφων εἰς τιμὴν τῶν θεῶν, οὕπω τὴν δίκην σαφεστέραν ἀνέπλασεν. καί μοι καιρὸς διελθεῖν, ἃ καθέκαστον ὁ πλάστας ἀνέθηκε. κολάζεται γὰρ Προμηθεὺς, καὶ τὴν κόμην ὁ πλάσας οὐκ εἰς κάλλος συνέθηκεν, ἀλλ᾽ εἰς ἐπίδειξιν κολάσεως μείζονος. οὐ γὰρ ἀνεῖται πρὸς κόσμον ἡ κόμη, οὐ δὲ σύγκειται τοῖς θεωμένοις

εἰς

[1] τῶν θεῶν Eau.

εἰς ὥραν, ἀλλὰ τὸ μὲν αὐτῆς συνέστηκε, τὸ δὲ ἐγκάρσιον φέρεται. καί μοι τῶν κολαζομένων ὑποσημαίνει τὸν τρόπον, ὡς αὐχμῶσί τε, καὶ κεκονιωμένοι πεφύκασι, καὶ κόσμου τινὸς, ἢ κόμης οὐκ ἐπιμέλονται· ἀλλ᾽ ἡ μὲν φύσις τὴν κόμην, τὴν δὲ ἀκοσμίαν ἡ τιμωρία πεποίηκεν· ἔπειτα τὴν κόμην διαδέχεται πρόσωπον ὀδυνώμενόν τε παντάπασι, καὶ τῆς ἀνίας[2] οὐ καθάπαξ ἀλλότριον. ἀλλ᾽ ἐπῆρται μὲν μετὰ κόμην τὸ μέτωπον, καὶ ἀνιωμένῳ προσέοικεν. ἔπειτα τὰς ὀφρῦς προσδιέστειλε, καὶ τὴν τῶν ὀφθαλμῶν ἑκάτερον μύσας συνέκλεισε, καὶ τὴν ὀδύνην ἐν μέρει τὸ πρόσωπον ἔστησεν. ἔπειτα ῥὶς, στόμα καὶ παρειὰς διαδέχεται, τὸ μὲν μεμυκὸς, καὶ πρὸς τῆς ἀνίας[3] αὐτῆς πιεζόμενον. αἱ δὲ συστελλόμεναι,[4] καὶ τὴν τιμωρίαν αἰτοῦσαι μετριωτέραν καθίστασθαι· τὸ δὲ τοῦ προσώπου πρόσχημα ἅπαν ἐγκάρσιον. κατ᾽ εὐθὺ μὲν βλέπειν οὐκ ἀνεχόμενον, ὥσπερ οὐκ ἀνεχομένης τῆς δίκης ἐν κέρδει λιπεῖν τῆς ἀγνοίας τὴν θέαν,[5] ἀλλ᾽ ἐπ᾽ ἄμφω κολάζεται, ὁρῶν ἅμα, καὶ τιμωρούμενος. γένειον δὲ πρὸς τούτοις ἠμελημένον καθεῖται, καὶ τὴν κόμην ἐδήλωσε. συναυχμεῖ μὲν οὖν[6] αὕτη, καὶ πέρα τοῦ μετρίου κομᾷ.[7] δειρὴ δὲ, καὶ στέρνον, πάντα[8] πρὸς μίαν ἀποβλέπει τὴν δίκην. ἡ μὲν γὰρ τῷ προσώπῳ συννένευκε, καὶ κάτω συγκέκυπται βλέποντι, τὸ δὲ ἐξώγκωταί τε. καὶ τὸ δαπανώμενον ἀνθέλκειν δοκεῖ καὶ λαβεῖν οὐκ ἐᾷ τὸ λοιπὸν, ὃ προσπεσὼν ἕλκει πρὸς ἑαυτὸν ἀετός. τὸ δὲ μετὰ τὸ στέρνον ἅπαν συνήγαγεν. ὥσπερ τοῦ δημιουργοῦ πᾶσι σημαίνοντος, ὡς ἅπαν, ὃ μετ᾽ ἐκεῖνο δοκεῖ, τῷ ἀετῷ προσαναλοῦται· καί μοι θαυμάσαι πάντας ποιητὰς ὡς βουλεύονται, καὶ τὸν δημιουργὸν ἐπῆλθε τῆς τέχνης. τοὺς μὲν, ὅτι[9] Προμηθέα κολαζόμενον λέγουσιν, ᾧ θεοὺς λιπεῖν ἐβουλεύετο, τῇ δὲ ἐπιθυμίᾳ τῆς χάριτος, ἐξ ἧς ἀνθρώπους εὖ ποιεῖν ἐβουλεύετο Προμηθεύς. ταῦτα οἱ μὲν

κρειτ-

[2] ἀνοίας Bau.
[3] ἀνοίας B.
[4] συστελ. superscriptum est στρεφόμεναι B.
[5] τὴν θέαν omittit B.
[6] γοῦν B.
[7] κομᾷν B.
[8] ἅπαντα B.
[9] ἢ ταύτῃ B.

κρείττους κολάζουσιν, οἱ δὲ ποιηταὶ φράσαι προήρηνται· λαθεῖν δὲ ταῦτα ὁ δημιουργήσας οὐκ ἔλιπε. τοῖν δὲ δὴ ποδοῖν ὁ μὲν εἰς γόνυ κέκαμπται, καὶ ἐξανέχει τὸν ἀετὸν, βάθρον καθιστάμενος ὄρνιθι, καὶ τῷ τρέφοντι προσηγάγετο σώματι, ὥσπερ τὸν αὐτὸν δεινὸς κολαζόμενον, καὶ τῷ κολάζοντι παρέχοντα βάσιν. τοῦ γὰρ ὄρνιθος οὐκ ἔχοντος, ὅπη[10] δὴ στήσεται, ἀνέχει τὸν πόδα, καὶ συμμαχεῖ τῷ κολάζοντι. ὁ δὲ δὴ λοιπὸς ἕστηκε, καὶ τὸ λοιπὸν ἐξάναι παρασκευάζει τοῦ σώματος, καὶ γίνεται βάθρον τῷ σώματι. τοῖν δὲ δὴ χεροῖν ἡ δεξιὰ μὲν [πρὸς γόνυ] κέκαμπται, καὶ κατόπιν ἀνέχει τὴν κεφαλὴν, [καὶ τοὺς δακτύλους δὲ ἐναλλὰξ συστείλας· ὁ μὲν γὰρ αὐτῶν καμπύλος, τῶν δὲ λοιπῶν, ἕκαστος ἐν παντὶ συγκείμενος ἔσταλται· καὶ πρόσχημα μὲν ἕκαστος ἄλλό τι αὖ ἐπέδειξεν, μίαν δὲ πάντες ὀδύνην ὑπόμνημα καθίσταται χείρ· ἅτε οὔτε ἀμύνειν ἐξαρκοῦσα τῷ Προμηθεῖ, οὔτε τὴν ὀδύνην ἐῶσα λαθεῖν. καὶ ἡ μὲν[11] ἀνίᾳ δηλοῦται τῇ δεξιᾷ, ἐπικουρεῖν δὲ οὐκ ἔχει τῷ πάσχοντι, ὥσπερ τῆς φύσεως εἰς ἐπίδειξιν τοῦ δυστυχήματος ἀνείσης τὰς χεῖρας, ἀλλ᾽ οὐκ εἰς συμμαχίαν τῷ δυστυχήσαντι· ἀποσείσασθαι γὰρ τὸν ὄρνιν οὐ δύναται· σημαίνει δὲ μόνον ὡς παρὼν ἀνιᾷ. ἡ δὲ δὴ λαιὰ παραπλησίως μὲν ἐκείνῃ συνέσταλται, τὸν μὲν τῶν δακτύλων συγκάμπτουσα, τοὺς δὲ λοιποὺς εἰς ἅπαν συνέλκουσα. καὶ τῶν μὲν ποδῶν ὁ λαιὸς τῷ παντὶ σώματι γίνεται βάθρον, τοῦ δὲ παντὸς ἕτερός τις ἀντέχων ὑπέχει. ὥσπερ οὐκ ἀνεχομένου τοῦ ταῦτα δημιουργήσαντος τὸν Προμηθέα λιπεῖν ἐπὶ γῆς, ὃν διὰ τοῦ πυρὸς εὖ πεποίηκεν. ὁ δὲ δὴ ἀετὸς ἀνέχεται μὲν πρὸς τοῦ γόνατος. ἐς αὐτὸ δὲ τὸ ἧπαρ χωρεῖ. καὶ παρ᾽ αὐτὴν τετάσθαι δοκεῖ τὴν τομὴν, ἣν ἐξειργάσατο. καὶ τοὺς μὲν πόδας ἄμφω μερίσας ἀνέχων συνέχει· ἑκάτερον δὲ τοῖν πτεροῖν[12] οὔτε καθάπαξ συνέσταλται, οὔτε παντάπασιν ἀποτέταται, ἀλλ᾽ ὥσπερ ἕτοιμος ὢν ἐς[13] ὁρμὴν, βραχὺ

μὲν

[10] πῇ B.

[11] μὲν omittit B.

[12] τῶν πτερῶν B.

[13] πρὸς B.

μέν τοι τῶν πτερῶν[14] προσανέτεινεν· ἐν δὲ τοῦτο παραδηλοῖ, ὡς ἣν ἀποκάμῃ φέρον τὸ γόνυ, πρὸς τιμωρίαν ἀρκέσουσι πτέρυγες.

ΕΤΕΟΚΛΕΟΥΣ, ΚΑΙ ΠΟΛΥΝΕΙΚΟΥΣ.

Τὰ δὲ Θηβῶν εὐτυχήματα τεθέαται μὲν κατὰ τὰς Θήβας ἡ Ἑλλάς, ὅλη δὲ παρὰ τὰς Ἀθήνας ἐπὶ τῆς σκηνῆς ἐθεάσατο γῆ. καὶ κατὰ μέρος αἱ πόλεις εἰλήφασι τῷ χαλκῷ τὸ πάθος μιμούμεναι· ἐγὼ δὲ τεθέαμαι ὡς ἐν περιφανεῖ χώρῳ τοῦ ἄστεος. ἀνέστηκε μετὰ Πολυνείκους Ἐτεοκλῆς ἐπὶ ταῖς Θήβαις, τοιοῦτον πρὸς ἀγῶνα τιμώμενος, ὃν ἔξω Θηβῶν ἀγωνίζεται· καὶ πρῶτον μὲν ἑκατέρων αἱ κεφαλαὶ περιβέβληνται κράνεσιν· εἶτα ἀλλήλους πολεμοῦντες ἐντρέπονται, καὶ τὰ πρόσωπα βλέπειν ἀλλήλοις οὐκ ἀνεχόμενοι, δηλοῦσι τὴν φύσιν ἀδικουμένην παραλόγῳ τολμήματι. δειραὶ δὲ τοῖς προσώποις συναπονεύουσι, καὶ τὸ ξίφος ὁ μὲν ἐπανέχει τῇ δεξιᾷ, καὶ δηλοῖ τῇ πληγῇ, ὅτι πάθος ἀλλότριον τῇ φύσει συνάπτεται· ὁ δὲ μιαιφονῶν, καὶ βραδύτερος ἑστηκὼς καθέλκει τὸ ξίφος, ὥσπερ ἐπισκοπῶν, εἰ νόμος ταῦτα παθεῖν τὴν συγγένειαν· κάθηνται δὲ ἀμφοτέρων εὐώνυμοι· ἐξήρτηται δὲ καὶ θατέρου τὸ ξίφος ἔτι μένον παρὰ τὸν κουλεόν. ἐξήρτηται δὲ καὶ τελαμῶνος ἐξ ὤμου. τὰ δὲ στέρνα πρὸς ὄγκον ἔχεν ἑκάτερος. ἐξοιδοῦται γάρ, καὶ ἀναπνεῖ πρὸς θυμόν· τῶν δὲ μηρῶν ὁ μὲν ἔχει τὸν δεξιὸν εἰς γόνυ καὶ ἁπτόμενον, καὶ πρὸς τὸν ἀνταγωνιστὴν ἐπικλίνοντα, ὁ δὲ τὸν λαιὸν ὁμοίως ἐκάλυψεν, ἐφ᾽ ὁμοίου τοῦ σχήματος. οἱ δὲ λοιποὶ τῶν ποδῶν τὸ βάθρον ἐρείδουσι, καὶ συνάπτει τὸ βάθρον, οὓς πρὸς ἀγῶνα * διττοὶ τὸ βάθρον ἀνέχουσι κίονες, ἑκάτεροι δηλοῦντες τῶν ἀγωνιζομένων τὸ μέτρον. ταῦτα θαῦμα μὲν ὑπάρχει ἰδεῖν, ἀδίκημα δὲ σιωπῇ κατακρύπτεσθαι.

[14] μὲν τι τὸ πτερὸν B.

ΑΛΕΞΑΝ-

ΑΛΕΞΑΝΔΡΟΥ ΤΟΥ ΚΤΙΣΤΟΥ.

Κτίσται δὲ ἄρα περιφανεῖς πλεῖστοι μὲν καθέστασαν πόλεων, μάλιστα δὲ πάντων Ἀλέξανδρος. οὗ πόλιν ἀνέστησεν, οἵαν οὐχ ἕτερος· δηλοῖ δὲ αὐτὸς περὶ ταύτην ἀνεστηκὼς, ὡς ἐπὶ γῆς ἐμφανοῦς οἰκιστῆς ἐμφανέστατος. τὴν γὰρ πόλιν θαλάσσῃ πρόσοικον ἤγειρεν, αὐτὸς δὲ παρ᾽ αὐτὴν ἀνέστηκε θάλατταν· καὶ τὴν φύσιν αὐτῆς ἡ ἐπὶ τῆς εἰκόνος δείκνυσι στάσις· πρῶτον μὲν γὰρ αὐτὸν ἐποχούμενον ἵππος ἀνέχει, ἵππος δὲ οὐχ οἷον ἄν τις μεταχειρίσειεν, ἀλλ᾽ οἷος πρὸς τοὺς ἐκείνου ἀγῶνας ἀρκέσει. καὶ τὸ τάχος τῶν ἔργων ἡ τοῦ φέροντος ἐπιδείκνυται ῥώμη· ἔπειτα αὐτὸς κράνος μὲν οὐδὲν ἦγε ἐπάνω τῆς κεφαλῆς· οὐ γὰρ ἐδεῖτο τοῦ προκαλύμματος, ὁ γῆν ἅπασαν ἐννοῶν παραστήσασθαι, καὶ περιποιήσασθαι· δοκεῖ δέ μοι πάντα τοῖς ὄμμασιν εἶναι, ἃ προϊὼν κατεστρέψατο· σχῆμα πρὸς ὅλην ἀποβλέπει τὴν γῆν, καὶ τὸ πᾶν, ὡς εἰπεῖν συλλήβδην, φαίνει τὸ πρόσωπον· κόμη δὲ ἀνειμένη πρὸς αὔρας. καὶ πρὸς ὁρμὴν τοῦ φέροντος κλίνουσα καί μοι δοκοῦσιν οἷον ἀκτῖνες * πρὸς ἥλιον αἱ τρίχες αὐτῆς· ἔπειτα δεξιᾷ τῷ προσώπῳ συναπονένευκε. καὶ ἡ χεὶρ δεξιὰ μετέωρος αἴρεται, καὶ λαβεῖν ἀεί μοι δοκεῖ, καὶ τὸ πρόσω ζητεῖ, τὸ παρὸν καταστρέψασα. ἡ δὲ λαιὰ συνεσταλμένην ἔχει χλαμύδα, καὶ ταῖς αὔραις αὐτὴν οὐ κατέλιπε φέρεσθαι. καὶ δεσμὸς κατέστη τοῖς πνεύμασι· στέρνον δὲ ἅπαν ἐξωδημένον φαίνεται θώρακι. καὶ χλαμύδι συγκέκρυπται, καὶ διπλᾶ φέρει τῶν καιρῶν ὑπομνήματα. θώρακα μὲν τοῦ πολέμου τὸ σύμβολον, χλαμύδα δὲ τῆς εἰρήνης τὸ γνώρισμα· καί μοι δοκεῖ τὴν διάνοιαν ὁ δημιουργὸς παραστήσασθαι τὴν χλαμύδα προσθεὶς ἐπάνω τοῦ θώρακος, οἷς γὰρ εἰρήνης πόλεμον ἐτίθετο δεύτερον, τούτοις ὁ θώραξ τῇ χλαμύδι συγκέκρυπται· καὶ τὸ λανθάνον παρέχει δοκεῖν ἑτοιμότερον. ἔπειτα μηρὼ διῃρημένω πρὸς ἵππον, καὶ πόδες ἄμφω μετέωροι. καὶ δεξιὸς μὲν ἀντὶ κέντρου προσάπτεται, ὁ λοιπὸς δὲ αὐτόνομος φέρεται· Μακεδονικὰ δὲ φέρει τὰ πέδιλα, ἃ καὶ κνήμην περιστέλλει οὐχ ὅλην. ἀλλὰ τὸ μὲν τῆς κνήμης ἐστὶν ἰδεῖν, τὸ δὲ πρὸς

εἰς ἡ-

εἰρήνην ὁπλίζεται· καὶ τὰ μὲν ἀμφότερα πρὸς εἰρήνην διαιρεῖται καὶ πόλεμον· καὶ τὰ μὲν πρῶτα βλέπει πρὸς πόλεμον, τὰ δὲ λοιπὰ πρὸς σπονδὰς ἀπονένευκεν· κίνδυνον γὰρ σπονδαὶ διαδέχονται· καὶ ὧδε μὲν ἔχεν Ἀλέξανδρος. ἐποχεῖται δὲ καὶ μάλα ῥᾳδίως ἐφ' ἵππον καὶ τὸν ἔποχον ὁ κομίζων ἐνδείκνυται· μᾶλλον δὲ δι' ἑκατέρου κατιδεῖν ἑκάτερον πάρεστιν. Ἀλεξάνδρου μὲν τὸν ἵππον οἷον δεικνύντος, τοῦ δ' ἵππου δηλοῦντος τὸν ἐποχούμενον. κεφαλὴ μὲν γὰρ ὡς οἵα νομισθῆναι βοὸς, καὶ τὴν προσηγορίαν εἴληφεν, ἐξ ὧν ἐνομίζετο, φύσιν ἑτέραν τὰ πρῶτα παρεδήλου τοῦ σώματος· μόνον οὐ κέρας ἀνεῖχε τὸ πρόσωπον. χαλινὰ κατέχειν οὐκ οἷα· οὐ γὰρ οἷος εὐθύνεσθαι· μᾶλλον δὲ χαλινοῦ τέχνην ἔδειξεν ἄπρακτον. καὶ τοῖς μὲν ἄλλοις οἷος μὴ κατέχεσθαι· Ἀλεξάνδρῳ δὲ χαλινῶν εὐπειθέστερος. ὄμμα δὲ φοβερὸν, καὶ μονονοῦ φοβοῦν πρὸ τοῦ βάλλοντος. ῥῖνες δέ οἱ διεγείρονται πνεύμασι, καὶ τὴν μὲν ὀργὴν ὁ θυμὸς κατεμήνυεν· ἐδήλου δὲ τὸν θυμὸν τὸ προκάλυμμα. δειρή τε ἐπὶ πλεῖστον οὐχ ἥκουσα· συνέστελλε γὰρ ἡ φύσις πρὸς τὴν ὁρμήν. καὶ οἱ πόδες οἱ πρόσθεν ἠρμένοι, καὶ πρὸς ἀέρα μετέωροι, καὶ χωρεῖν πρὸς τὸ πρόσθεν ἐπείγονται· καὶ γῆς οὐκ ἐθέλουσιν ἅπτεσθαι, τοῦ δημιουργοῦ καλῶς ἐκ τῆς γῆς ἀπαρτήσαντος. πεφύκασι γὰρ ἰθεῖς ἑτοιμότατοι, καὶ γῆς ἐπιβαίνειν, καὶ δοκεῖν τῆς γῆς μὴ προσάπτεσθαι· οἱ δὲ τελευταῖοι πρὸς τὸ βάθρον ἐρείδονται, καὶ δοκοῦσιν ἰσχὺν διδόναι τοῖς ἔμπροσθεν, καὶ ὃ πρὸς γῆν ὑπομένουσι, παθεῖν τοὺς λοιποὺς οὐ παρέχουσιν. οὐρὰ δὲ οὔτε ὅλη καθεῖται, οὔτε ἀφῃρέθη τοῦ μέτρου, ἀλλ' ἔχει μὲν, ὅσον κοσμηθῆναι, τὴν φύσιν. παρείλεται δὲ, ὅσον ἐμποδὼν μὴ γένηται ταῖς μάχαις. ἀνέχει δὲ αὐτὸν ὑπὸ γῆς βάθρον, τέτρασιν ἐπικείμενον κίοσι. καὶ τὸ μὲν βάθρον ἐπικείμενον σημαίνει τὴν γῆν. οἱ δὲ κίονες τῶν τμημάτων ἑκάστῳ φέρουσιν, ἐφ' ὅσα προῆλθεν Ἀλέξανδρος. πρὸς γὰρ ἀνίσχοντα φέρουσιν ἥλιον, καὶ ἐν ἄρκτῳ δηλοῦται τεταμένη· πρὸς νότον ὁπόσα τῆς γῆς Ἀλέξανδρον ἔχει. καὶ λῆξαι τοῦ λέγειν περίεστιν, εἰ μή τις καὶ πλέον θαυμάσειεν.

ΛΙΒΑΝΙΟΥ ΣΟΦΙΣΤΟΥ ΠΡΟΓΥΜΝΑΣΜΑΤΑ. ΧΡΕΙΑ.

ΘΕΟΦΡΑΣΤΟΣ ΕΡΩΤΗΘΕΙΣ, ΤΙ ΕΣΤΙΝ ΕΡΩΣ; ἔφησε, πάθος ψυχῆς σχολαζούσης.

Ἐμοὶ δοκεῖ καὶ Θεόφραστον ἐπαινεῖν, ὃς ἐπὶ φιλοσοφίᾳ λαμπρὰν ἐκτήσατο δόξαν, ζηλωτὴς Ἀριστοτέλους τοῦ διδασκάλου γενόμενος, καὶ τοὺς ἐκείνου πόνους, καὶ τὰς ἐκείνου διδασκαλίας δείξας τοῖς ἑαυτοῦ συγγράμμασιν· ᾧ καὶ τοὔνομα διὰ τὴν περὶ τὸ λέγειν ὑπῆρξεν ἀρετὴν, τῶν τὸν ἐκείνου λόγον τεθαυμακότων, προσηγορίαν θεμένων αὐτῷ τὸν Θεόφραστον. τοῦτον, ἤρετό τις προσελθὼν, ἀξιώσας παρ' αὐτοῦ μανθάνειν, τί ποτε ἄρα χρὴ νομίζειν τὸν Ἔρωτα, καὶ περὶ τί φύεται τῶν ὄντων. ὁ δὲ πρὸς αὐτὸν ἔφη. τὴν ἀφειμένην τῶν φροντίδων ψυχὴν, ταύτην τοῖς ἐρωτικοῖς κατέχεσθαι πάθεσι. καὶ ταύταις ἐνοχλεῖν τὸν Ἔρωτα ἔγνωμεν, ὁπόσας ἐστὶν εὑρεῖν τῶν ἄλλων πραγμάτων κεχωρισμένας. εὖγε τοῦ λόγου Θεόφραστε. καλῶς ἐμοὶ κατανενοηκέναι δοκεῖς τοῦ πάθους τὰς ἀφορμάς. μαρτύριον δὲ τῶν εἰρημένων ἐναργὲς τὸ τοὺς ὀρθῶς ἔχοντας λογισμοὺς, τούτῳ τῷ λόγῳ συμβαίνειν. ὅτι δὲ τοῦτο τῶν μετεχόντων ἀληθείας ἐστὶ, τὸ παρὰ τοῦ Θεοφράστου ῥηθὲν γνῶναι ῥᾴδιον. θῶμεν γὰρ οὑτωσὶ, καὶ λογισώμεθα ψυχὴν εἶναί τινα, μήτε παιδείας ὀρεγομένην, δι' ἧς ἢ ῥητορεύειν ἐστὶν, ἢ φιλοσοφεῖν. μήτ' αὖ μετιοῦσαν τὴν τῶν χειρῶν ἐργασίαν, οἷον χαλκευτικὴν, ἢ τεκτονικὴν, ἢ τὸ ναυπηγεῖσθαι ναῦς, ἢ τὴν τῶν οἰκοδομούντων, ἢ τὴν ὑφαντικὴν, ἢ τινα τοιαύτην ἑτέραν, ἧς τὸ ἔργον ἐν ταῖς χερσίν· εἰ τοίνυν τοιαύτην εὑρίσκοιμεν φύσιν ἀργίᾳ χαίρουσαν, ὄκνοις ἡδομένην, ἀτεχνίᾳ συνοῦσαν,

ἆρα

ἄρα τὴν τοιαύτην οὐκ ἂν ἀποφαινοίμεθα τῶν αὐτῶν σπουδασμάτων, ἤ τινα χεῖρω νοσεῖν; ἐπεὶ καὶ τὸν ἀντὶ τοῦ γεωργεῖν οἴκοι καθήμενον, καὶ καταῤῥαθυμοῦντα τῆς γῆς, καὶ τὸν ἀντὶ τοῦ πλεῖν, ἐν τῇ γῇ μένοντα μάτην, οὐ πεπιστεύκαμεν τῇ διανοίᾳ παρέχειν σχολὴν, ὥστε τῶν ἀτόπων ἐρᾷν; καὶ γὰρ οὕτως ἔχει· καὶ τὸ πρᾶγμα φύσει τοιοῦτόν ἐστιν. ὁ περὶ μηδενὸς τῶν ἀναγκαίων πεφροντικὼς, μὴ δέ γε τῇ ψυχῇ μεριμνήσας, μὴ δὲ ἐπί τινων ἐπιτηδευμάτων ἑλκόμενος, οὗτος ἀντὶ τοῦ τῶν βελτιόνων ἐρᾷν, ἃ τῆς ἀργίας ἐστὶν, ὑπομένει, τῆς τοῦ σώματος ἐπιθυμίας ἡττώμενος. καὶ ταύτῃ δουλεύων, καὶ ταύτην αἱρούμενος, οὐκ ἐπιτιθεὶς τοῖς ἔρωσι χαλινὸν, τὴν ἐν τοῖς ἔργοις σχολήν· καὶ εἰκότως. ὁ γὰρ μήτε δικάζων, μήτε νομοθετῶν, μήτε δημηγορῶν, μήτε ψηφίσματα γράφων, μήτε συνηγορῶν, μήτε πρεσβεύων, μήτε στρατηγῶν, μήτε πολεμῶν, μήτε περὶ τὴν γῆν πονῶν, μὴ περὶ τὸ πλεῖν ἀσχολούμενος, μὴ λόγων ἐρῶν, ὅλως δὲ μηδὲν τῶν ἐν ἀνθρώποις μετιὼν, ἐξ ὧν ἐστιν, ἢ πόλιν ὠφελεῖν, ἢ τὸν αὑτοῦ βίον οἰκονομεῖν, οὗτος τίνος οὐκ ἂν ἐρασθείη τῶν πονηρῶν ἐπιθυμιῶν, αἷς τὸ σῶμα διδοὺς, ἥκιστα τῇ ψυχῇ σωφρονεῖ; καὶ τοὺς τοιούτους ἂν εὕροις μεθύοντας, κωμάζοντας, γάμοις ἐπιβουλεύοντας, κόρας ἁρπάζοντας, διασπῶντας τὴν σωφροσύνην, ἁπλῶς εἰπεῖν. μόνον ἐρᾷν, ἀντὶ τοῦ σπουδάζειν εἰδότας. κατενοήσαμεν τὴν ψυχὴν ἀπὸ σπουδαίων σχολάζουσαν. ἴδωμεν δὲ καὶ τὴν ἑτέραν ἣ τοὐναντίον διακειμένη φιλοπόνῳ τῇ φύσει κέχρηται· γνῶναι δὲ ῥᾴδιον οὑτωσί· πονείτω τὶς ἐν λόγοις, καὶ τούτων μόνον ἐράτω. ὁ τοιοῦτος οὐκ ἂν εἰς ἑτέρους ἔρωτας ὀλισθαίνει, τῷ βελτίονι κατεχόμενος. ἄλλος ἐργαζέσθω τὴν γῆν, ἕτερος πλείτω τὴν θάλατταν, ὁ μὲν χαλκευέτω, τῷ δὲ μελέτω τεκτονικῆς, ἑτέρῳ δὲ στρατηγεῖν, τῷ δὲ πρεσβεύειν, καὶ τῷ μὲν νομοθετεῖν, τῷ δὲ ψηφίσματα γράφειν, καὶ τῷ μὲν πολεμεῖν, τῷ δὲ διατιθέναι τὰς πανηγύρεις. τίς οὖν ἅψαιτό ποτε τῶν οὕτως ἐχόντων ἄτοπος ἔρως; οὐκ ἔστι. τοῦ γὰρ τὴν ψυχὴν ἀνθέλκοντος ὄντος, πᾶσα ἀνάγκη καὶ τὸ σῶμα ταῖς σπου-

δαῖς ὑπεργεῖν, καὶ τοὺς τοιούτους καλοῦμέν τε, καὶ νομίζομεν σώφρονας, οἷς ἐπιβέβληται τῇ ψυχῇ χαλινός, ὃ μικρῷ πρόσθεν ἔφην, τὰ μάταια τῆς ψυχῆς κατείργων κινήματα. καὶ ποιῶν αὐτὴν ἐν τῷ φιλοπονεῖν μὴ τοῖς σώμασιν ἥκειν ἀργοῦσιν, μὴ δέ γε πρὸς τὴν ἐπιθυμίαν ἐξίστασθαι, μὴ δὲ τῇ τοιαύτῃ δουλεύειν φύσει. ἀλλ' εἶναι πάντων ἀμείνονα τῶν πεφυκότων ἐπὶ τὰ τοιαῦτα καθέλκειν. ἂν ἄγοις ἵππον ἄνευ πόνων, καὶ τοῦτον ἀφεὶς παραδιδόναι τοῖς πωλοδάμναις, ἄγων τῇ φάτνῃ προσδήσῃς τρυφᾶν γε μόνον, οὐκέτι δὲ καὶ πρὸς δρόμον ἐξάγων, ἆρα οὐκ ἂν ἴδοις αὐτὸν ἐπιτρέποντα τῇ ῥύμῃ τῆς φύσεως, καὶ κεχρῆσθαι τῷ κεκτημένῳ γενόμενον ἀνεπιτήδειον; τὸν δέ γε προσομιλοῦντα τοῖς πόνοις, καὶ συνόντα τοῖς δρόμοις, καὶ μὴ κατεχόμενον ὄκνοις, ἆρ' οὐκ ἤδη καὶ τὴν οὖσαν εὑρήσομεν ἀποβαλόντα θρασύτητα, καὶ πείθεσθαι τὸν ἐπιστάτην ἄγειν εὐκόλως ἐπιστάμενον; ταῦτα δὴ συμβαίνειν οἴου καὶ περὶ τοὺς ἀνθρώπους· αἱ φύσεις ἐν τῷ πονεῖν σωφρονοῦσιν, ἐν τῷ ῥαθυμεῖν ἀκολασταίνουσιν, καὶ τὸ κατέχον οὐκ ἔστι τὸν οὐκ ἐθέλοντα κατέχεσθαι τοῖς πόνοις. ὁ Δημοσθένης πόνων ἐπιθυμῶν, καὶ τοὺς ἀτόπους ἔφευγεν ἔρωτας. τῶν Ἡρώων ὁ Διομήδης σωφρονέστατος ἦν, ὅτι καὶ πονεῖν ἐπιτήδειος. τῶν φιλοσόφων ὁ Πυθαγόρας, στρατηγῶν ὁ Θεμιστοκλῆς, ὁ μὲν ἔργον ἔχων τὸ φιλοσοφεῖν, καὶ τοῖς θεοῖς ὁμιλεῖν. οἱ δ' ὅτι οὖν ἐχρῶντο καλῶς, καὶ βουλῇ, καὶ χειρὶ τὴν ἐνεγκοῦσαν ἐκσώζοντες. ἐπεὶ πότ' ἂν ἔρως εἰσῆλθε Θεμιστοκλέα τοιοῦτος κατὰ Μήδων παραταττόμενον, καὶ περὶ τῆς πρὸς ἐκείνους βουλευόμενον μάχης, περὶ τῶν λογίων ἐνθυμούμενον. καὶ τὸ ξύλινον εὑρίσκοντα τεῖχος, τὰς ναῦς. πότε τὸν Περικλέα τὸν πάνυ, τὸν Ὀλύμπιον, ᾧ τὴν προσηγορίαν ἐφύτευσαν οἱ πόνοι. καὶ μὴν ἐμοὶ δοκεῖ καὶ τὸν Ἀριστείδην δικαιοσύνης ἐπιθυμεῖν, καὶ περὶ τοῦτον ἐσπουδακέναι τὸν βίον, ἁπάσης ἀμείνω πεποιηκέναι χείρονος ἐπιθυμίας, καὶ δυνατώτερον. εἰ δέ μοι λέγεις Καλλίαν τὸν δημόσιον, ἢ Πιττακὸν, ἢ Μίμους γελοίων τε ποιητὰς ἐπονειδίστων ᾀσμάτων, ὅτι τοιούτοις ἐδούλευον ἔρωσιν, οὐκ ἂν θαυμά-

σαιμι

σαιμι πρὸς τὴν ἐν τῷ βίῳ ῥαθυμίαν ὁρῶν, καὶ ὡς ἐδὲν ἦν τῶν ἀξίων ἐπαίνε πράττοντας ἐκείνες ἰδεῖν, καὶ τῇ διανοίᾳ παρεχόντων χολήν. ταῦτα καὶ ποιητῶν ἐκ ὀλίγοι, καὶ φιλοσόφων, καὶ τῶν ἐπὶ ῥητορικῇ μέγα δεδυνημένων, εἰ καὶ μὴ μνημονεύειν ἔχω τῶν ὀνομάτων, ἐπήνεσαν, ἐθαύμασαν, ἐν τῷ λέγειν ἐπαίδευσαν. εἴ τις ἐν ἐπιθυμεῖ κακὴν ἐπιθυμίαν ἐκφεύγειν, ἐράτω τῶν βελτιόνων, ἵνα μὴ τῶν χειρόνων, καὶ χολαζέτω τοῖς κρείττοσιν, ἵνα μὴ τοῖς βλάπτεσι· ταῦτα δὲ ἂν εἴη καθάπερ ἔδειξα τοῖς λογισμοῖς οἱ πονηροὶ τῶν σωμάτων ἐρῶντες.

ΓΝΩΜΗ ΠΡΟΤΡΕΠΤΙΚΗ.

Δεῖ δὴ χρημάτων, καὶ ἄνευ τέτων ἐδέν ἐςι γενέσθαι τῶν δεόντων.

Ἐςι μὲν τὸ χρησιμώτατον πάντων τῶν ἐν τῷ βίῳ, ῥητορική. τῶν δ' αὖ ῥητόρων τὸ κεφάλαιον Δημοσθένης, ὃς παρῆλθε μὲν τὸν Ἰσοκράτην, ἀπέκρυψε δὲ τὸν αὐτῦ διδάσκαλον Ἰσαῖον. κρείττων δὲ φανεὶς καὶ τῶν καθ' ἑαυτὸν, καὶ τῶν ἔμπροσθεν, ἐδὲ τοῖς ἐσομένοις ἅμιλλαν ἔδωκεν. ὢν δὲ λέγειν ἄριςος, πολὺ βελτίων ἦν τὴν προαίρεσιν. ὃς κατὰ μὲν τῆς πατρίδος ἐκ ἐδέξατο χρυσίον, ὑπὲρ δὲ τῆς ἐνεγκέσης διετέλεσε πονῶν. καὶ τοσῦτον ἀπέχε τῦ γενέσθαι πονηρὸς, ὥςε καὶ τὲς ἄλλες ἀπηνάγκαζεν εἶναι χρηςές. τῶν μὲν ἐν πολιτευμάτων. οἷς ὤρθε τὰς Ἀθήνας, ἐν ἑτέροις καιροῖς μνημονεύσομεν. νῦν δέ μοι τὴν γνώμην ἐκείνην ἐπῆλθε θαυμάσαι, δι' ἧς ἐ μόνον τὲς ἐκκλησιάζοντας ἡνίκα ° ὤνησεν, ἀλλὰ καὶ πάντας ἁπλῶς, οἷς ὁμιλῆσαι τοῖς ἐκείνε συγγράμμασιν ὑπῆρχεν. ἀποφαίνεται γὰρ τὸ, δεῖν χρημάτων, ὡς ἐκ ἐνὸν ἄλλως, ἢ μετ' ἐκείνων τὰ δέοντα πραχθῆναι. καὶ τὰ μὲν ἐκείνε ταῦτα. μαρτυρεῖ δὲ τῷ λόγῳ τὰ πράγματα. πρῶτον μὲν, ἵν' ἀπὸ τῦ μεγίςε ποιήσωμαι τὴν ἀρχὴν, τὰ ταῖς πόλεσιν ἀναγκαιότατα δι' ἐκείνων γίνεται, τὰ τείχη, τὰ ὅπλα, νῆες, νεὼς, οἶκοι, λε-

τρῶν χάριτες, ἱερῶν κάλλη, χαρακώματα, τάφροι· καὶ μὴν τῶν μὲν θεῶν εὔνοιαν αἱ θυσίαι προσάγονται, λαμπρῶς δὲ θύειν τοῖς εὐποροῦσιν ὑπάρχει. ταῦτα τοίνυν, καὶ περὶ τῶν ἀναθημάτων ἐστὶν εἰπεῖν. στρατεία δὲ πῶς ἂν ἐκπεμφθείη συμμάχοις κινδυνεύουσιν ἄνευ σιτηρεσίου; σιτηρέσιον δὲ πῶς ἂν γένοιτο χρημάτων χωρίς; οὐ τοίνυν τὰ μὲν τῶν πολεμίων οὕτω, τὰ δὲ καθέκαστον ἑτέρως. ἀλλὰ κἀνταῦθα τὸ ἴσον ἄγεσθαι κρατεῖ. σκεψώμεθα γάρ· δεῖ μὲν οἰκίαν οἰκοδομεῖσθαι, δεῖ δὲ γύναιον ἄγεσθαι, δεῖ δὲ τοὺς γινομένους παῖδας τρέφειν· τούτων δὲ ἕκαστον ἐκ δαπάνης ὁρμᾶται· εἰ τῶν ἀρρωστούντων ἀφέλοις τὰ χρήματα, ταχὺ τεθνήξονται· εἰ τῶν σοφίας ἐπιθυμούντων, οὐδέποτε κτήσονται· δεῖ μὲν γὰρ βιβλία ὠνεῖσθαι· δεῖ δὲ τὰς μαθήσεις παρὰ τῶν ἐπισταμένων πρίασθαι· ἁπλῶς δὲ τῶν τε τὰς ψυχὰς ὠφελούντων, καὶ τῶν τὰ σώματα φυλαττόντων οὐδὲν, ὃ μὴ τὴν ἀφορμὴν ἐκεῖθεν λαμβάνει· ἐπεὶ καὶ πρὸς αὐτὴν τὴν ἐσθῆτα δεῖ χρημάτων, ὧν χωρὶς οὐκ ἔστιν αὐτῇ χρήσασθαι· τίς δ' ἂν ἀποδημία συμφέρουσα γένοιτο, μὴ τούτων ὑπόντων; τίς δ' ἂν χρήσιμος πρὸς τὴν ἐνεγκοῦσαν φανείη, μὴ χορηγῶν, μὴ λειτουργῶν, μὴ τριηραρχῶν, μὴ πρῶτος ἐν ταῖς ἐπιδόσεσιν ἐνδεικνύμενος; οὐκ ἂν τυραννὶς ἐπὶ πλεῖον ἀρκέσειε πενίᾳ συνεζευγμένη. οὐκ ἂν βασιλεία ταύτης ὑπούσης. καὶ δημοκρατίαν ἴσμεν χρημάτων ἀπορίᾳ ταχέως κινουμένην. μετὰ τούτων ἔστι καὶ τοὺς ἐπιτηδείους ὠφελεῖν, καὶ τῶν δυσμενῶν κρατεῖν. πρόχειρον γὰρ τοὺς εὐπόρους, ξενικῶν προσθήκῃ τὰς δυνάμεις αὐξῆσαι. εἰ τοίνυν οἷς περιουσία χρημάτων, τούτοις ἅπαντα χωρεῖ κατὰ νοῦν, ἀνάγκη μηδὲν πληροῦσθαι τῶν δεόντων, ἔνθα τούτων ἡ σπάνις. οὔτε ἄνευ ὅπλων ἐστὶ ποιεῖσθαι πόλεμον, οὔτ' ἄνευ σκάφους περαιοῦσθαι τὴν θάλατταν, οὐ βαδίζειν χωρὶς ποδῶν, οὔτ' ἄνευ χρημάτων τοῦ δέοντος τυχεῖν. ὥσπερ γὰρ ὀφθαλμῶν ἐστερημένον οὐκ ἔστιν ὁρᾶν, οὕτως τὸν ἐν ἐνδείᾳ καθεστῶτα χρημάτων, ἃ προσῆκεν, οὐκ ἔστι ποιεῖν. ἀπόβλεψον δὴ εἰς τὴν Ἀθηναίων πόλιν, καὶ μᾶλλον ἐκ τοῦ παραδείγματος θαυμάσῃ τὸν λόγον. ἐκεῖ-

νοι

νοι μὲν γὰρ ἕως ἐθάῤῥουν, μυρίοις ταλάντοις ἐν ἀκροπόλει κειμένοις, ἡγοῦντο μὲν τῶν Ἑλλήνων, ἐκράτουν δὲ τῶν Λακεδαιμονίων, ἦσαν δὲ φοβερώτεροι τῷ Περσῶν βασιλεῖ. ἐπεὶ δὲ προϊὼν ὁ χρόνος ἐξανάλωσε τὰς περιουσίας, ὑπέκυψαν μὲν τοῖς ἐχθροῖς, τυράννους δὲ παρεδέξαντο, κατέσκαψαν δὲ τὰ τείχη τῶν δυσμενῶν κελευόντων. ἐπ' αὐτῶν τοίνυν τῶν καιρῶν, ἐν οἷς ἐπολιτεύετο Δημοσθένης, οὐδὲν οὕτως ἐλυμήνατο τοῖς πράγμασιν, ὡς τὸ τῆς ἀπορίας. οὐδὲ ἄλλο τι Φίλιππον ηὔξησεν, ἢ τὸ πλουτεῖν. καὶ τοσοῦτον ἴσχυσε τῷ κεκτῆσθαι χρυσίον, ὥστε τῶν ἄμεινον ἠσκημένων πολεμεῖν τὰς πόλεις ἐπρίατο, τοὺς παρ' ἑκάστης προστάτας ὠνούμενος. οὐ τοίνυν Δημοσθένης μὲν οὕτως, ἄλλως δὲ Πίνδαρος. οὐδ' οὗτοι μὲν πάντα συνᾴδουσιν, Θουκυδίδης δὲ τοὐναντίον φθέγγεται. ἀλλὰ καὶ ῥήτορας, καὶ συγγραφέας καὶ ποιητὰς ταυτὸν εὑρήσεις λέγοντας, δεῖ χρημάτων τοῖς μὴ μέλλουσιν ἁμαρτήσασθαι τοῦ δέοντος. ὥστ' εἴπερ καὶ ὑμῖν ἔρως τοῦ κατορθοῦν ἐπιμελητέον πόρων.

ΑΝΑΣΚΕΥΗ.

Ὅτι οὐκ εἰκότα τὰ κατὰ τὸν Αἴαντα τὸν Λοκρόν.

Ἕτερος λόγος οὗτος ψευδὴς ὑπὸ τῶν ποιητῶν περὶ τῶν ἑλόντων τὸ Ἴλιον Ἑλλήνων εἰρημένος. βιάσασθαι μὲν τὸν Αἴαντα τὴν Πριάμου Κασσάνδραν τῷ τῆς Ἀθηνᾶς ἕδει προκειμένην τε, καὶ δεομένην, μὴ τοῦτο παθεῖν. λόγον δὲ οὐδένα τοῦ τετολμημένου ποιεῖσθαι τοὺς Ἕλληνας, πρὶν Κάλχας εἶπεν, ὡς ὀργίζετο ἡ θεός. τόδε δὲ ἐπὶ τὴν δίκην ἐλθεῖν μὲν, λαβεῖν δὲ οὐ δυνηθῆναι, προκαταφυγόντος τοῦ τὰ δεινὰ εἰργασμένου, πρὸς βωμοὺς τινὰς θεῶν. ἐπὶ τούτοις ἐκκλησία περὶ τῆς ἐναγωγῆς. καὶ Μενέλαος μὲν ἐπείγεται, καὶ κελεύει πλεῖν εὐθέως. Ἀγαμέμνων δὲ παρῄνει προδιαλλάξαντας αὐτοῖς τὴν θεόν. εἶθ' οὕτω πλεῖν. στάσεως δὲ γενομένης, τῶν μὲν ἄλλων τινὲς ἦλθόν τε οἴκαδε, καὶ ἀπεσώθησαν, ὧν καὶ Νέστωρ ἦν. Μενέλαος δὲ χειμάζεται, καὶ πλὴν πέντε νεῶν, ἁπάσας ἀποβαλὼν, εἰς Αἴγυπτον ὑπὸ τῶν ἀνέμων ἐλαυ-

νόμενος κατηνέχθη. πρῶτον μὲν οὖν ἐκεῖνο θαυμάσαι τὶς ἂν, εἰ Αἴας ὁ τῶν Λοκρῶν ἡγεμὼν, καὶ τοσαύτας ἄγων ναῦς, καὶ πόλεων τοσούτων ἡγούμενος, καὶ τιμώμενος ἐν τοῖς Ἕλλησιν, ἐπ' ἀρετῇ, καὶ τῷ μηδενὸς ἡττᾶσθαι τῶν αἰσχρῶν, οὕτως ἐξεπλάγη παρθένον ἰδὼν, ὥστε εὐθὺς μαίνεσθαι, καὶ πᾶν δίκαιόν τε καὶ πλέον ἐκβάλλειν ἐκ τῆς ψυχῆς. καὶ μηδὲν ἐννοεῖν ὧν εἰκὸς, μὴ τοὺς ἀρχομένους. μὴ τοὺς ἄλλους Ἕλληνας, μὴ τοὺς τούτων ἄρχοντας, μὴ φίλους, μὴ δυσμενεῖς, εἴ τινες ἄρα ἦσαν αὐτῷ. τὸ μέγιστον, μὴ τὸν νεὼν, μὴ τοὺς βωμοὺς, μὴ τὴν Ἀθηνᾶν αὐτήν. εἰ γὰρ καὶ σφόδρα ἤρα τῆς κόρης. καίτοι τοῦτό γε οὐκ ἔχον λόγον ἐστὶν, ἰδόντα εὐθὺς ἐρασθῆναι. χρόνου γὰρ οἶμαι τά γε τοιαῦτα δεῖται πλείονος. καὶ συνεχοῦς ὄψεως, καὶ μακροτέρας ὁμιλίας. ἀλλ' εἰ δεῖ τοῦτο δοῦναι. καὶ ἐγχωρῆσαι, τὴν πρώτην ὄψιν οὕτως ἀφόρητον ἐπιθυμίαν τεκεῖν, τί λαθὼν ἐν ὀφθαλμοῖς ἐμίγνυτο τῆς θεοῦ, καὶ οὐκ ἀποσπάσας ἐπὶ τὴν σκηνὴν ἄγων ἔπραττεν, ὅ, τι ἐβούλετο. δεινὸν γὰρ καὶ τοῦτο τὴν ἀδικοῦσαν μὲν οὐδὲν, ἀδικουμένην δὲ τὰ μέγιστα μὴ δὲ τῆς παρὰ τῶν θεῶν ἐπικουρίας ἀπολαύειν, ἀλλ' ἐκ μέσων ἁρπάζειν τῶν ἱερῶν. εἶχε δ' ἂν ἐλάττω τὴν ἀσέβειαν. οὐ γὰρ ἴσον οἶμαι τῷ μίγνυσθαι τῆς Ἀθηνᾶς ὁρώσης, τὸ τὸν λαβόντα τὴν κόρην οἴχεσθαι· ἠνάγκαζεν ὁ Ἔρως, ἀλλ' ἡ θεὸς ἐφόβει. πολλῶν δὲ ἐπιθυμοῦντες ἄνθρωποι πολλάκις ἀπέχονται, καὶ κρείττονας δείσαντες, καὶ νόμους, καὶ τὸν ἐπὶ τοῖς ἔργοις λόγον. ἔδει δὲ τὸν Ἕλληνα, καὶ φρόνιμον, καὶ ἡγεμόνα, καὶ ἐρῶντα. θήσω γὰρ τὴν μὲν αὐτῇ σκηνῇ κρύψαι, πρὸς δὲ τοὺς Ἕλληνας ἐν τῷ καιρῷ τῶν τιμῶν, ὁμολογῆσαι τὸ πάθος, ὁμολογήσαντα δὲ, καὶ τὴν κόρην ἔχειν ἠξιοῦτο. πάντως ἂν ἔδοσαν οἱ τὸν ἄνδρα εἰδότες, μεμνημένοι μὲν τῶν πόνων, οὓς παρὰ πάντα τὸν πόλεμον ἤνεγκεν. αἰδούμενοι δὲ τὴν σωφροσύνην τοῦ κατασχόντος αὐτὸν, καὶ οὕτω μὲν εἶχεν ἂν διὰ τέλους τὴν ἐρωμένην. ὡς δὲ νῦν ἔπραξεν ἀπεστέρηται. δόξας γὰρ ἀδικεῖν, καὶ τῆς παρρησίας αὐτὸν. οἷς ἔδρασεν, ἐκβάλλων, οὐκ ἔτ' εἶχε λέγειν, οἷς ποτ' ἂν ἐχρῆτο· εἶεν. ἀλλ' ἠσεβήκει μὲν

ἅμα

ἄμα, ἠσεβεῖτο δὲ ἡ θεός. ἔλαθε δὲ τοῦτο οὐδένα τῶν Ἑλλήνων. τί οὖν ἔδει ποιεῖν τοὺς καθημένους, ἀγανακτεῖν, βοᾶν, εἰς δικαστήριον ἄγειν, ἀπαιτεῖν τιμωρίαν, δεικνύειν ὀργὴν ἐπὶ τοῖς πεπραγμένοις; νῦν δὲ τοιοῦτον μὲν οὐδέν. ἡσυχία δὲ πολλή. μᾶλλον δὲ ἡ θεὸς μὲν ἐν οὐδενὶ λόγῳ· πολλὴ δὲ ἡ πρὸς τὸν πλοῦν ὁρμή. καὶ ὁ μάντις ἐδίδασκεν, ὡς οὔπω καιρός· δεῖν γὰρ καὶ πρότερον θεραπεῦσαι τὴν θεόν· τί γένοιτο ἂν τῶν Ἑλλήνων ἀνοητότερον; Κάλχαντος ἐδέοντο πρὸς τὸ μαθεῖν, ὡς θεὸς ὑβριζόμενος ὠργίζετο. καὶ ὡς ὀργὴ δαιμόνων μεγάλη ζημία. οὐ γὰρ καὶ γυναικὶ, καὶ παιδὶ τοῦτό γε δῆλον; οὐ γὰρ καὶ τοῖς οἰκέταις, καὶ τοῖς δορυφόροις τῶν Ἑλλήνων; οὐ γὰρ καὶ τοῖς ἀναισθήτοις εἶναι δοκοῦσι βαρβάροις· ἀλλ᾽ ὁ τὴν ἀρχὴν ἔχων διὰ σύνεσιν Ἀγαμέμνων, καὶ ὁ ῥήτωρ Ὀδυσσεὺς, καὶ ὁ τῷ πολλῷ χρόνῳ εἰς ἄκρον ἥκων σοφίας ὁ Πύλιος. προσθείην δ᾽ ἂν καὶ τὸν Τυδέως, ὃς ἐν πολλαῖς ἐκκλησίαις ἐπεδέδεικτο τὴν ἑαυτοῦ φρόνησιν. αὐτοῦ πάντες ἐκάθηντο, μένοντες τὴν Κάλχαντος μαντικὴν, ἵνα ἐκεῖνος αὐτοῖς εἴπῃ περὶ τῶν οὐ προδήλων. λοιπὸν οὖν ἦν εἰς ἐκεῖνον βλέποντας, καὶ καθῆσθαι, καὶ βαδίζειν, καὶ λαβεῖν, καὶ σιωπᾶν καὶ τιμᾶν τοὺς ἀγαθοὺς, καὶ μισεῖν τοὺς κακούς· τίνες οὖν ἦσαν, ἐπειδὴ περ ἐδιδάχθησαν; κατεψηφίσαντο τοῦ Λοκροῦ θάνατον, ὁ δὲ διέφευγε, καὶ ἦν ἐπὶ τῶν βωμῶν. πῶς οὖν εἰς τοσοῦτον εἰπέ μοι διέφυγε κακόν; πῶς οὐ γέγονεν ἐκ μέσου τῆς στρατιᾶς ἁπάσης; πρὸ μὲν γὰρ τοῦ ταύτην ἐνεχθῆναι, πάντως ἂν αὐτὴν ἀνέμενεν. ἄδηλον ὂν πότερον γνώσονται· κεκριμένου δὲ τοῦ δεῖν ἀποθανεῖν, εὐθὺς ἂν ἀπέθνησκε λίθοις· οὐ γὰρ ἦν οἶμαι τοῦ Παλαμήδους βελτίων. εἰ μὲν οὖν παιδιὰ τὸ πρᾶγμα ἦν, καὶ αὐτοὶ συνέπραττον αὐτῷ πρὸς σωτηρίαν. οὐκ ἀνδρῶν ἔργον Ἑλλήνων ἐποίουν. εἰ δ᾽ ὄντως ἤθελον δίκην λαβεῖν, ἔλαβον ἄν. καὶ οὐκ ἦν διάδυσις τῷ πεπονηρευμένῳ, εἵλκετο δ᾽ ἂν καὶ ἀπὸ τοῦ βωμοῦ δικαίως· καὶ οὐκ ἂν οὕτω κακῶς ἠτίμησαν τὸν βωμόν. οὐδ᾽ αὖ τὸν θεὸν, οὗπερ ἦν ὁ βωμός. τουτὶ γὰρ ἦν ἐν τῷ δοκεῖν τιμᾶν τοὺς θεοὺς, ἀτιμάζειν τοὺς θεούς. εἴπερ τοὺς εἰς ἐκείνους ἀσεβοῦντας, δι᾽

αὐτοὺς ἐκείνους ἔσωζον. ἀλλ᾽ οἶμαι τοσοῦτόν γε ᾔδεσαν ὡς τὰς καταφυγὰς ταύτας τοῖς πάσχουσι κακῶς, ἀλλ᾽ οὐ τοῖς δικάζουσιν ἐξεῦρον οἱ νόμοι. καὶ οὐκ ἂν τὴν ὀφειλομένην τοῖς χρηστοῖς ἐπικουρίαν, ἐπὶ τὸν πονηρότατον ἁπάντων μετήνεγκαν. εἰ γὰρ ἤρκει βωμὸς εἰς παραίτησιν, τί τὸ κωλύον ἦν ἀπὸ τῶν ἀδικημάτων εὐθὺς ἐκεῖσε τρέχειν τὸν ἀνδροφόνον, τὸν μοιχὸν, τὸν τυμβωρύχον, τὸν προδότην, τὸν ἱερόσυλον, πάντας ἁπλῶς τοὺς ἀξίους ἀπολωλέναι; καὶ οὕτως ἂν οἵ τε βωμοὶ τοὺς πονηροὺς ἐπήσκουν, καὶ παρὰ τῶν θεῶν ἂν ἦν τοῖς ἀνθρώποις εἰς κακίαν παράκλησις, ἐπαγγελλομένων ἄδειαν διὰ τῶν βωμῶν τοῖς ἀδικοῦσι· ταῦτ᾽ οὖν ἐγνωκότες οἱ τότε, καὶ δι᾽ αὐτό γε μειζόνως ἂν αὐτὸν ἐμίσουν, ὅτι τοὺς αὐτοὺς βωμοὺς οὐδέν τι ἡγεῖτο, τοῖς μὲν ἄλλοις ἀσθενεῖς, αὐτῷ δὲ ἰσχυροὺς ἀξιῶν εἶναι. οἱ δὲ οὕτως ἦσαν εὐήθεις, ὥστ᾽ ἐκεῖνον ἀφέντες, ὥσπερ τῶν θεῶν ἀντειλημμένων τῆς μιαρᾶς κεφαλῆς, ἐκκλησίαν ποιήσαντες ἐσκόπουν, εἴτ᾽ ἀμελητέον τῶν πρὸς τὴν Ἀθηνᾶν, εἴτε καὶ μή· τουτὶ δὲ ἴσον ἦν τῷ σκοπεῖν, εἴτ᾽ ἄμεινον ἀπολωλέναι τὸν στρατὸν, εἴτε καὶ μή. καὶ διεφέροντο πρὸς ἀλλήλους οἱ παῖδες Ἀτρέως, τότε πρῶτον τοῦτο ποιήσαντες. καὶ ὁ πανταχοῦ τὸν Ἀγαμέμνονα τιμῶν, καὶ ὑπερεχόμενος, οὗτος μετὰ τοὺς μυρίους ἐκείνους μόχθους, οὓς ὑπὲρ αὐτοῦ, καὶ τῆς Ἑλένης ἀνεχόμενος οὐκ ἀπεῖπεν, ἐκεῖνος ὕβριζεν ὑπάγων, εἰ τῶν ἐριζόντων ἦν, ἀλλ᾽ οὐ τῶν πειθομένων. καὶ ταῦτα τοῦ μὲν καὶ λέγοντος, καὶ πράττοντος, ἃ κοινῇ συνοίσειν ἔμελλεν. αὐτὸς δὲ τὰ πάντων ἀλυσιτελέστατα. τί δ᾽ ἦν τὸ καὶ τὸν Μενέλαον οὕτω κατάγον, οὐκ ἐφ᾽ ᾧ πάντα ἐπραγματεύετο τοῦτο εἶχε τὴν Ἑλένην; οὐ μόνος τῶν Ἀχαιῶν ἐπὶ τῆς Τροίας συνῴκει τῇ γυναικί; σπεύδειν μὲν οὖν ἠπείγετο ἀπὸ Σπάρτης εἰς Τροίαν. εἰκὸς ἦν τὸν τὴν ἡρπασμένην κομίσασθαι ζητοῦντα, ἔχοντα δὲ καὶ κεκομισμένην, καὶ λελυμένην τῶν δεινῶν, τίν᾽ εἶχε λόγον μικρὸν ὑπὲρ τῶν ἀναγκαίων μὴ βουλεύεσθαι, μένειν; μᾶλλον γὰρ ἦν εἰκὸς τοῦτο παθεῖν τὸν Ἀγαμέμνονα ποθοῦντα τὴν Κλυταιμνήστραν, ἢ τὸν ἀπολαύοντα τῆς ἑαυτοῦ

τὸν

τὸν ἀδελφὸν Ἀγαμέμνονος. οὐ τοίνυν οὐδὲ τὴν Ἀθηνᾶν εὑρίσκω δίκην εἰδυῖαν ὑπὲρ αὐτῆς λαμβάνειν. σκόπει γάρ· ἐπήνεγκε χειμῶνα τῷ Μενελάῳ πλέοντι. διὰ δὲ τούτου πολλὰς μὲν τῶν ἐκείνου νεῶν διέφθειρεν, αὐτὸν δὲ εἰς Αἴγυπτον ἀπήνεγκεν. ὅθεν ὕστερον ἀναχθεὶς εἶδε τὴν οἰκίαν, καὶ πάλιν ἐβασίλευε τῆς Λακεδαιμονίας. οὐκοῦν ὁ μὲν ὀφείλων ἀποθανεῖν, σώζεται, οἱ δ' οὐ σφόδρα μετέχοντες τῶν ἐπὶ τῆς ἐκκλησίας ἡμαρτημένων, ἀπόλλυνται, καὶ τίς οὕτως ἀνθρώπων ἄτοπος, ὅστις ἐλάττονι μὲν ζημιώσει ζημίᾳ τοῦτον, ᾧ τὰ μέγιστα ἐγκαλεῖ, μεγίστῃ δὲ, ᾧ μηδὲν μέμφεται; τὸ γὰρ δίκαιον ἦν δήπου, τοὺς μὲν ὑπηκόους αὐτοὺς σεσῶσθαι, μόνον δὲ ἐκεῖνον ἀπολωλέναι· τοῦτο δὲ εἰ μὴ βούλεσθαι τὴν Ἀθηνᾶν, ἢ μὴ βουλομένην δύνασθαι, τῆς ἴσης ἀτοπίας· ἀλλ' ἡ μὲν θεὸς ἐβούλετο τὰ δίκαια, καὶ ὅ, τι ἂν ἐθέλοι, πράττει. τοῖς δὲ ταῦτ' εἰρηκόσιν ἐπιτιμᾶν ἄξιον.

ΚΑΤΑΣΚΕΥΗ.

Ὅτι εἰκότα τὰ κατὰ τὸν Αἴαντα τὸν Λοκρόν.

Οἱ τὸν Αἴαντα τὸν Ὀϊλέως μὴ φάσκοντες, ἃ τετόλμηκε περὶ τὴν Κασσάνδραν τετολμηκέναι, μήδ' ὅσα τούτοις ἠκολούθησε, γεγονέναι, δοκοῦσί μοι τοῦτο πάσχειν, ὅπερ ἐγκαλοῦσιν αὐτοὶ, ψεύδεσθαί τε, καὶ τοῖς ἀληθῶς πεπραγμένοις μάχεσθαι· πρῶτον μὲν γὰρ τί καινὸν, ἢ κόρην κάλλει διενεγκεῖν, ἢ τοῦτο στρατιώτην ἰδόντα θαυμάσαι, ἢ θαυμάσαντα παθεῖν τι πρὸς τὸ κάλλος, καὶ τοῦ καιροῦ διδόντος ἐξουσίαν, μιγῆναι; νενικηκότες γὰρ οἶμαι, καὶ τὴν τῶν πολεμίων μόλις ἑλόντες πόλιν ἐν τοῖς τῶν ἡττωμένων ἐτρύφων. τοῖς μὲν οὖν ἄλλοις ἄλλα ἐφαίνετο καλὰ, καὶ ταῦτα ἐκτῶντο. Αἴαντα δὲ τὸ τῆς Κασσάνδρας πρόσωπον πάντων ἔπειθε τῶν ἄλλων ὑπερορᾶν. καὶ ταύτην ἐδίωκεν. εὐχὴ δὲ ἄρα ἦν τοῖς Ἕλλησι πολεμοῦσι τοῖς ἴσοις τοὺς ἐναντίους ἀμύνασθαι, καὶ περὶ τὰς ἐκείνων γυναῖκας δρᾶσαι τοῦτο, ὃ περὶ τὴν Ἑλένην ἐκεῖνοι. τὴν Ἀθηνᾶν δὲ οὐκ αἰσχυνόμενος Αἴας, οὐ καλῶς μὲν, ἐρῶντος δὲ ἔργον ἔπραττεν. τοῦτο δέ ἐστιν ὑπὸ τοῦ κρατοῦντος ἄγεσθαι, καὶ πάντα τολμᾶν ἀναγκάζοντος τοῦ θεοῦ.

θεὸς

θεὸς τοίνυν ἐνίκα θεόν. ὁ Ἔρως τὴν Ἀθηνᾶν, μᾶλλον δὲ τὴν πρὸς ἐκείνην αἰδῶ τὰ τούτου βέλη, ὧν οὐδὲν πικρότερον, οὐδὲ δυνατώτερον. τοῦτο ἀσθενῆ πάντα τ' ἄλλα ποιεῖ, πατρὸς λόγους, μητρὸς δεήσεις, φίλων παραινέσεις, νόμων ἀπειλάς. ἐπεὶ καὶ τῶν μοιχευόντων ἕκαστος, οἶδε μὲν ὡς οὔτε λαθεῖν ῥᾴδιον, ἄλλως δὲ ἀποσφαγήσεται, χωρεῖ δὲ ὅμως ἐπ' ἐκεῖνα, ἐν οἷς οἶδε ταῦτα ὄντα. καὶ τί δεῖ τὸν ἔρωτα λέγειν, καὶ τὴν ἔρωτος δυναστείαν; ἀλλ' ἡ πενία τοὺς ἱεροσύλους ποιεῖ, καὶ νύκτος ἐπιθέμενός τις τοῖς ἀγάλμασι, στεφάνους ἀφελόμενος τῶν κεφαλῶν, ἀπῆλθε φέρων, οὐχ ὡς λήσων τοὺς θεούς, οὐδ' ὡς μὴ ληψόμενος τῆς ἐκείνων πεῖραν ὀργῆς, ἀλλ' ὡς οὐκ ἐώσης τῆς παρούσης ἀπορίας, οὐδὲν ἐκείνων λογίζεσθαι. καὶ ὅτι οὐκ ἴσον εἰς ἀνάγκην ἔρως τε, καὶ τοῦ σπανίζειν ἀργυρίου, τίς τῶν ἁπάντων οὐκ οἶδεν; ὁ τοίνυν Αἴας τῷ λογισμῷ μὲν οὐδὲν ἔδρα. πάντα δὲ ἐπιθυμίᾳ, δι' ἣν ἴσως κἀκεῖνο ἔπειθεν ἑαυτόν, ὡς ἐκλέλοιπεν ἡ θεὸς ἑαλωκυῖαν τὴν πόλιν. τῆς δαίμονος δὲ ἀπούσης, οὐδὲν ἀμείνων εἴη τῶν βεβήλων ὁ νεώς. ἡ δὲ ἔνδον τε ἦν, καὶ τοῖς γινομένοις ἤλγει, καὶ τῶν Ἑλλήνων ἡγεῖτο κοινὸν τὸ ἀσέβημα τῶν οὐδεμίαν ἐπιστροφὴν πεποιημένων. οἱ δὲ ἄρα τοῦτο ἠγνόουν πλὴν τοῦ μάντεως. τούτῳ γὰρ ὁ μάντις τῶν ἄλλων βελτίων, τῷ τὰ τοὺς ἄλλους διαφεύγοντα ἐπίστασθαι. καὶ οὐκ ἂν μὲν φαίην, ὡς οὐκ ᾔσθοντο τῶν περὶ τὴν Κασσάνδραν. ἡγοῦντο δὲ ἴσως ὥσπερ ἄλλων πολλῶν οὐ λαμβάνουσιν οἱ θεοὶ δίκην, οὕτως οὐδὲ τούτων τὴν Ἀθηνᾶν ζητήσειν. ἢ καὶ νὴ Δία γε ζητοῦσαν παρὰ μόνου λήψεσθαι τοῦ δεδρακότος. ἀπῆγεν ὡς εἰκὸς αὐτοὺς κἀκεῖνα τῆς περὶ αὐτὰ προνοίας, ἥτε ἀπὸ τοῦ νενικηκέναι χαρά, καὶ ἡ περὶ τὴν λείαν σπουδή, καὶ τὸ πρὸς τὴν θάλατταν ἤδη βλέπειν, καὶ τὸ τοῖς παροῦσιν ἀγαθοῖς μὴ δεῖν ἐπεισάγειν μηδέν. οἱ μὲν οὕτως, ὧν ἥκιστα ἐχρῆν, ἠμέλουν, καὶ τῶν νεῶν ἥπτοντο. ὁ δὲ τὴν τῶν θεῶν ἄριστα γνώμην εἰδὼς ὁ Κάλχας, ὁ καὶ τὸν λοιμὸν αὐτοῖς λελυκὼς τῇ τέχνῃ, καὶ συνιεὶς τῆς ὀργῆς, καὶ τὰ γενησόμενα δεινὰ παρεώρα, καὶ ὅπως τις ἔσται τῶν ἡμαρτημένων ἴασις ἀνεβούλευε σκοπεῖν. καὶ τίς ἦν ἡ θεὸς πρὸς αὐτοὺς ἐ-

οἷς ὕβριστο, παρελθὼν ἔφραζεν; ἐντεῦθεν ἐφέροντο παρὰ τοῦ πεπαρῳνηκότος. ὁ δὲ, ἐπὶ τὴν μόνην ἐν τοῖς τοιούτοις καταφυγὴν εἶδε τοὺς βωμούς. οὐκ ἂν ἐκεῖνοί τε ἔπραττον ἃ τῶν τὴν θεὸν δεδοικότων ἦν. οὕτως τ * τὴν τιμωρίαν. ἀποσπᾶν δὲ ἄνδρα τῶν βωμῶν ἐχόμενον, οὔτε νόμιμον, οὔτε καλὸν, καὶ ταῦτα ὁμόφυλον, καὶ στρατηγὸν, καὶ τῇ τῶν Ἑλλήνων ἀκαιρίᾳ τὸν ὁμώνυμον πολλαχοῦ μεμιμημένον. ὅμως δὲ οὐκ εἶχε λόγον ταῦτα καὶ μέμφεσθαι, καὶ ποιεῖν, καὶ τὸ τὴν θεὸν ὀλιγωρεῖσθαι δεινὸν ἡγουμένους, αὐτοὺς τῶν βωμῶν καταλύειν τὴν τιμὴν καὶ τὰ Αἴαντος κακὰ, δι' αὐτῶν τῶν εἰς τὸν Αἴαντα μιμεῖσθαι· ταυτὶ μὲν ἐκεῖνον ἔσωσεν. ὡς δὲ πάλιν εἰς ἐκκλησίαν ἦεσαν, οὐ ταυτὰ τοῖς Ἀτρείδαις παρειστήκει φρονεῖν. τοῦτο δὲ οὐδὲν καινὸν, μὴ τὰ αὐτὰ τοῖς συμβουλεύουσιν ἐφ' ἑκάστου τῶν πραγμάτων ἀρέσκειν, ἀλλὰ τῷ μὲν τοῦτο, τὸ δὲ ἕτερον δοκεῖν. τοῦτο τοίνυν καὶ τότε συνέβη, τὸν μὲν πρεσβύτερον, καὶ τῶν ὅλων ἐπιστατοῦντα, τὸ συνοῖσον ἅπασι τοῖς Ἕλλησι καθορᾶν, τὸν δὲ Μενέλαον ἀμείνω τὰ χείρω νομίζειν. ἀπειληφὼς γὰρ οἶμαι τὴν Ἑλένην, καὶ οὐκέτι ἀξιῶν ὁμοίως εἴκειν Ἀγαμέμνονι, καὶ σπεύδων ἀποδοῦναι τῷ μὲν οἴκῳ τὴν γυναῖκα, τὸν οἶκον δὲ τῇ γυναικί. καὶ τὴν μὲν ἐπὶ πλέον διατριβὴν ἡγούμενος ζημίαν. εὐδαίμων δὲ ἐπιβῆναι τῆς Σπάρτης, δεικνύντα τοῦ πολέμου τὸ ἆθλον. διὸ δὴ πάντα ταῦτα περὶ τοῦ δεῖν ἀποπλεῖν ἐμάχετο, τῷ ἀδελφῷ συμβουλεύοντι μένειν. κακῶς μὲν φρονῶν. * συμφερόντων προτιθείς. καὶ τοῦτο ἐμάνθανεν ἤδη πολεμῶν, ὁρῶν μὲν τὰς πολλὰς τῶν νεῶν ἀπολλυμένας, ὁριζόμενος δὲ εἰς Αἴγυπτον, οὐκ εἰς Λακεδαίμονα, καὶ πενθῶν μὲν τοὺς ἀποπνιγέντας τῶν στρατιωτῶν, ὀδυρόμενος δ' ἑαυτὸν ἐν τῇ ξένῃ καθήμενος. δίκην ταύτην μεγίστην διδοὺς, ὧν ἕνεκα ἠπείγετο ταῦτα ἡμαρτηκέναι. θεοὶ δὲ ἀνθρώπους οὐ τοῖς αὐτοῖς κολάζουσιν εἴδεσιν, ἀλλὰ τὸν μὲν εἰς πενίαν ἐνέβαλον, τὸν δὲ παίδων ἀπεστέρησαν, τῷ δὲ τὸ σῶμα ἐπήρωσαν, καὶ τῷ μὲν τὶς ἐτελεύτησεν, ὁ δὲ ζῶν ἐν πλάνῃ κακοπαθεῖ. ταύτην καὶ Μενέλαος ἐδίδου δίκην, πόρρω μὲν ὢν τῆς οἰκίας, αἰσχυνόμενος δὲ τοὺς ζῶντας ὑπὲρ τῶν

οἴχο-

οἰχομένων, ἀντὶ δὲ τῆς ἐν Σπάρτῃ βασιλείας, πολλὰ ταπεινότερα τῆς ἀξίας τῆς αὐτοῦ, περὶ θύρας ἀλλοτρίας ἠναγκασμένος περιπατεῖν.

ΘΕΣΙΣ.

Εἰ τειχιστέον τὰς πόλεις.

Ὁ τὴν φυλακὴν τοῦ βίου ζητῶν, αἱρείσθω τὰ τείχη. πᾶν γὰρ ὃ ταῖς πόλεσι σώζεται, φρουρεῖται τοῖς τείχεσι. τειχίζει μὲν γὰρ οὐρανὸς τοὺς θεοὺς, τὰ δὲ θνητῶν διατηροῦσι περίβολοι. καὶ ὃ τοῖς θεοῖς οὐρανὸς, τὰ τείχη θνητοῖς. καὶ ἐγὼ μὲν τοὺς ποιητὰς ἄγαμαι, τειχιστὰς τοὺς θεοὺς πεποιηκότας τῆς Τροίας. οὕτως καὶ ὅσοι θεῶν οὐ δεδύνηνται, τεῖχος κατεσκευάσαντο, καὶ τιμᾶται καὶ παρ' αὐτοῖς οὐκ ἐν χρείᾳ καθεστηκόσιν ἡ τέχνη. σοφώτεροι μὲν γὰρ ἐκ τειχῶν ἄνθρωποι γίνονται, καὶ κατ' ἐξουσίαν ἐκκλησιάζειν τείχη δεδώκασιν. ἔπειτα πρὸς μάχης ἐπαίρει κατασκευὴν, καὶ κατασκευὰς τῶν ὅπλων ἑστηκότες περίβολοι νέμουσιν. καὶ μὴν τὰ τείχη σωφροσύνην διατηρεῖ. παθεῖν γὰρ οὐκ ἐῶσι γυναῖκας, ὅσα γυναιξὶν οἱ πολέμιοι φέρουσιν. καὶ δικαστηρίων σωζομένων ἐκ τείχους, ἐντεῦθεν ἄνθρωποι καθεστήκασι δίκαιοι. εἰ δὲ διὰ τείχους ἐῤῥωμένοι γεγόναμεν, καὶ περὶ τῶν δεόντων ἐβουλευόμεθα, καὶ τὰ δίκαια σώζεται τείχεσι. καὶ εἰ διὰ τούτων τὸ σωφρονεῖν, πῶς οὐκ εἰς ὅσον οἷόν τε ποιητέον τὰ τείχη; ναί φησιν. ἀλλὰ δειλίας τὰ τείχη καθεστήκασι πρόφασις· δεινὸν ὀνομάζεις τὴν πρόνοιαν, καὶ τὰ κάλλιστα τῶν ἔργων αἰσχίστοις περιβάλλεις ὀνόμασιν. καὶ δι' ὧν ἐρεῖς, οὐκ ἐᾷς περιβάλλεσθαι, ἀλλὰ καθίστασαι τῆς ἀσφαλείας κατήγορος, ὄκνον ὀνομάζων τὴν φυλακήν. τοὐναντίον ἄνθρωπε θαῤῥεῖν τὸ τεῖχος, οὐ δεδιέναι παρέχεται. καὶ γὰρ ὅπλων ἀποσοβῆσαι παρασκευὴν, καὶ ξίφος ἀπαμύναι ἐχθρῶν, καὶ κατ' ἐξουσίαν πορίσασθαι νίκην τοῖς μαχομένοις μόνη τῶν τειχῶν παρέχεν ἡ τέχνη. πῶς οὖν ἔτι δειλίαν ἐρεῖς τὰ μόνα δειλίαν ἀνῃρηκότα καθάπαξ; τοὐναντίον γὰρ ἔγωγε ἔγνωκα τοῖς πολεμίοις ἐκ τῶν περιβόλων ἐγγίνεσθαι τὸ δέος. καὶ μὴν τί πάθουσιν

σιν

σιν οἱ ἄνωθεν πολεμοῦντες; μὴ δεδοίκασιν; ὥστε εἰ μὲν τὸ δέος τῶν πολεμίων ἐρεῖς, ὁμολογεῖς καὶ τὸ τεῖχος. εἰ δὲ τῶν πολιτῶν ἀπὸ τῶν ἔργων θήσω τὴν τόλμαν. ἄφες οὖν ταύτης τῆς αἰτίας τὸ τεῖχος. καί φησιν. ἀλλὰ δαπανηρὰ τοῖς κτωμένοις τὰ τείχη· τείχη τὸν ὄντα πόρον ἀνάλωσε, καὶ πόθεν ὁ τῶν ἀνθρώπων τετήρηται πλοῦτος; τὴν περιουσίαν φρουροῦσι περίβολοι. καὶ μετὰ τῶν χρημάτων τηροῦσι τὰ χρήματα. καὶ κοινὴ φυλακὴ περιουσίας εἰσὶ καὶ τῶν πολιτῶν. ὥστε τὰ τείχη τῶν χρημάτων τοῖς κατοικήσασιν οὐ δαπάνην ἐπήγαγεν, ἀλλὰ τὸν ὄντα τετήρηκε πλοῦτον. καὶ διχόθεν εἰσὶ φυλακαὶ δι' αὐτῶν τῶν τειχῶν· τὸν μὲν γὰρ οὐκ ὄντα πλοῦτον συλλέγειν ἐξηκότες περίβολοι νέμουσι. τὸν δὲ γεγενημένον ἐκ τῆς τῶν τειχῶν φυλακῆς ὑπάρχει διατηρεῖν. ὥστε οὐ τὸ τεῖχος δαπανηρὸν, ἀλλὰ τὴν οὖσαν ἀφαιρεῖται δαπάνην. φέρε γὰρ πρὸς θεῶν, εἰ πολέμιοι τοῖς οἰκοῦσι προσβάλοιεν, καὶ πάντα ἀφελῆ κατεργάσεται πόλεμος, τήν τε τῆς πόλεως περιουσίαν ὑφαρπάσαι πειρώμενοι, καὶ μηδένα λοιπὸν τοῖς κατοικοῦσι πόνον καταλιπεῖν. εἰ ταῦτα πράττειν οἱ πολέμιοι σπεύδοιεν, τί τοῦ μὴ παθεῖν καταστήσεται κώλυμα; ἢ δηλονότι τοῦ μὴ παραρρεῖσθαι τὸν ἔνδοθεν πλοῦτον φιλοτιμεῖται τῶν περιβόλων ἡ τέχνη. πῶς οὖν οὐκ ἄλογον πολεμίους μὲν πάντα καταλαβεῖν ἀπὸ τῶν περιβόλων κωλύεσθαι, κατηγορεῖν δὲ τειχῶν ὡς δαπάνης αἰτίων; μετὰ τὰ τείχη, καὶ περίβολοι τοῖς χρωμένοις σωτήριον. καὶ ἡ τύχη τοῖς κτωμένοις ἀσφάλειαν τὴν περὶ τὰ τείχη πεποίηται τέχνην. ὅτιπερ οὐκ * θαρροῦντας τειχίζεσθαι. καὶ τοίνυν * ὑπὸ τειχῶν, διὰ δὲ περιβόλου πολιτεύεται δίκαια, καὶ συνοίσουσιν οἷς ἂν * μενα καὶ τειχίσαι πᾶσι τιμητέον τὰ τείχη τιμᾶν εἰδότα καὶ πολιτείαν, καὶ βίον.

ΘΕΣΙΣ.

Εἰ πλευστέον.

Οὐκ οἶδα, εἴ τι ἐμπορίαν ἠτίμασεν, ὁ θεῶν εἰδὼς γεγονότα τὸν πλοῦν. προῆλθε μὲν γὰρ τὸ χρῆμα τῆς Ἀθη-

νᾶς

νᾶς, καὶ σοφῆς θεοῦ γεγονὸς πάντως που τῷ βίῳ καταφανὲς πρὸς ὄνησιν. τὸ γὰρ ἐξ ἀγαθῶν, καὶ ταῦτα θεῶν, τοῖς λαβοῦσιν ὠφέλιμον· ἐρᾶσα γὰρ ἡ θεὰ ἀνόνητα τῆς γῆς τοῖς ἀνθρώποις τυγχάνοντα, μὴ προσόντος τοῦ πλεῖν, οὕτως ἐργάζεσθαι δέδωκε θάλατταν, ὡς παρέχει πονεῖν ἡ φύσις τὴν ἤπειρον, καὶ τὸ μὴ ῥᾷον ὁπωσοῦν διελθεῖν ἑτοιμότερον παρέχει πορίζεσθαι. καὶ πρῶτον ἀνθρώπους σοφωτέρους εἶναι παρέχειν ὁ πλοῦς, οἷς ἄλλην ἐξ ἄλλης καταλαμβάνουσι γῆν. εἶτα ἀνδρείους ἀποτελεῖ, τολμῶντας ῥᾷον τὰ πρὸς τὴν θάλατταν, καὶ τοῖς πνεύμασιν ἀνταγωνίζεσθαι σπεύδοντας, εἶτα δικαίους ἐπιβάντας νεώς. οἷς γὰρ δέονται πρὸς τὸ μή τι παθεῖν τῶν θεῶν, καὶ παντὸς εἰσὶ δικαιότεροι. καὶ μὴν τὸ σωφρονεῖν ἡ τῆς γῆς ἀλλοτρίωσις δίδωσιν. οἷς γὰρ οὐκ ἐρᾶσι, πλησιάζουσι, καὶ σωφροσύνην ἐπιτηδεύουσιν. εἰ δὴ ἐν προῆλθε θεῶν, καὶ πᾶσαν ἀρετὴν παρέχειν ἀσκεῖν, εἰς ὅσον οἷόν τε τιμητέον τὸν πλοῦν. ναί φησιν, ἀλλ' ἐπὶ κακίᾳ τῶν ἀνθρώπων παρεσκεύασται πλοῦς. καὶ τί ἂν ἕτερον φυλάξῃ τὸ δίκαιον, εἰ τὸν πλοῦν ἀφαιρήσεται; ἄλλην ἐξ ἄλλης καταλαμβάνουσι γῆν, καὶ τὰ παρὰ πᾶσιν ἐκμανθάνοντες νόμιμα, τηροῦσι τὰ δίκαια, καὶ τοσοῦτον αὐτοῖς τοῦ δικαίου περίεστιν, ὥστε παρενθήκην αὐτοὺς εὑρεῖν τοῖς ὅθεν ἀπαίρουσιν. ἃ γὰρ ἑτέρωθεν ἔμαθον, τοῖς οἰκείοις εἰσήγαγον, καὶ γίνεται νομοθέτης δικαίων ἐξ ἑτέρων νομοθετούμενος. καὶ μὴν δεδοικότες μή τι πάθωσι πλέοντες, δικαιότεροι γίνονται· καὶ καθιστᾶ τῶν δικαίων φύλαξ ὁ φόβος, εἰ δεδοικότες μένουσι δίκαιοι, καὶ καλοῦντες θεοὺς εἰσὶν ὁσιώτεροι, καὶ τὰ παρὰ πᾶσιν ἐκμανθάνοντες δίκαια, δικαιοσύνην ἐπιτηδεύουσιν. πῶς ἄν τις αἰτιῷτο τὸν πλοῦν ἐπεισφέροντα τοῖς πλέουσιν ἄδικα; ναί φησιν, ἀλλὰ τὸ πλεῖν ἐστὶ σφαλερώτατον. οὐκοῦν μέγιστον, εἰ παρ' αὐτὸ κινδυνεύουσιν ἄνθρωποι. μεγάλα δὲ μεγάλοις κατορθοῦται τοῖς πόνοις. ἃ δὲ πονεῖν οὐκ ἐᾷ τοὺς χρωμένους, οὐκ ὤκνησαν. ὁρᾷς τὰς μάχας εἰς οἷον πόνον τοῖς χρωμένοις ἐκβαίνουσιν. ἀλλ' εἰ καὶ τὸ πολεμεῖν ἐπικίνδυνον, τὸ κατορθοῦν ἐνδοξότερον, καὶ οὐ τὰς μάχας ἀποδιδράσκουσιν ἄνθρωποι τοὺς κινδύνους σκοποῦν-

πουν-

πάντες, ἀλλ' αὐτοὺς ἑκουσίως ὑφίστανται, τὸ νικᾶν λογιζόμενοι. καὶ ἀφαιροῦνται τῶν κινδύνων τὴν αἴσθησιν, αἱ τῆς νίκης λαμπρότητες. ὅθεν μετὰ τὸ πλεῖν καὶ τὸ κτῆμα θεῶν πορισθὲν ὅλοις ὄνησις γίνεται πλέουσι. τετίμηνται μὲν γὰρ οἱ πορίσαντες, ἠσπάσαντο δὲ οἱ καθάπαξ ἀσκήσαντες, καὶ τὴν εἰς ἀνθρώπους κομιεῖ πᾶσιν ὄνησιν, θεοῖς μὲν τὴν τιμὴν, ἀνθρώποις δὲ πόρον οὐ μέτριον.

ΚΑΤΗΓΟΡΙΑ.

Νόμου τοῦ κελεύοντος, τὰς τῶν ἀδελφῶν γαμετὰς γαμεῖν.

Ἔφθασε μὲν ἡ φύσις τὸν νόμον, καὶ τοὺς ἅμα γεγονότας εἰς ὑμέναιον οὐκ ἐᾷ συνελθεῖν. βεβαιοῖ δὲ ὅμως τὴν φύσιν ὁ νόμος, καὶ δι' ἑκατέρων ἄμφω προῆλθε. φύσις μὲν νόμῳ καταβάλλουσα γένεσιν, νόμος δὲ βεβαιῶν, ἃ τῇ φύσει δοκεῖ. δεῖ δ' ἐπὶ τῷ νόμῳ βραχέα φιλοσοφῆσαι. τῶν ὄντων ὄντως ἅπαντα γένη, φύσει μὲν ὁμοίως ἀπὸ γάμου προῆλθε, γάμῳ δὲ ὅμως οὐχ ὁμοίῳ συνάπτεται· ὁ μὲν γὰρ θηριώδης, καὶ ἀλόγιστος βίος ἀφῃρημένος φύσει τὸ κρίνειν, πάντα μὲν γάμοις συγχέει, πάντα δὲ ἀλλήλοις πλησιάζειν ἐᾷ, οἷς καὶ συνάπτεται μὲν παῖς, ἧς προελήλυθε, γίνεται δὲ πατὴρ, ᾧ συνῆλθε μιγνύμενος, καὶ μαθεῖν οὐκ ἐᾷ παρὰ τῆς ὁμιλίας, ὃ γέγονεν ἕκαστον. ἄδηλον δὲ παρ' αὐτοῖς, καὶ παῖς, καὶ πατὴρ ὅσοις γάμος δοκεῖ, οὐ μὴν τοῦ λόγου μετειληφότες, τοῖς δὲ γάμοις παραπλήσιοι, ἀλλ' ἄρισται παῖς, καὶ διέστη πατὴρ, καὶ κατακέκριται μήτηρ, καὶ τὸ παραχθὲν οὐκ οἶδε τῷ κεκομικότι συνάπτεσθαι, καὶ τὴν συγγένειαν, ἧς διέστη, τετίμηκεν. καὶ τὰ μὲν ἄλλα συγγένεια ποιεῖ συναπτόμενα, τὰ δὲ συγγενῆ συγγένειαν βεβαιοῖ διϊστάμενα, ἃ καλῶς εἰδὼς ὁ τὸν παρόντα νόμον εἰσενεγκὼν, ἀδελφοὺς οὐκ ἐᾷ ταῖς τῶν ἀδελφῶν συναφθῆναι συνοίκοις. ναί φησιν, ἀλλ' ἐπικουρίας δεῖ χηρευούσαις ταῖς γυναιξίν. ἀδικεῖς ἄνθρωπε τὴν συμμαχίαν ἡδοναῖς ὁριζόμενος. ὥσπερ οὐκ ἐνὸν συμμαχεῖν, εἰ μὴ γάμος παρῆν, ἐξ ὑμεναίων ἐπιφέρεις τὴν χάριν ἀμείνω. ἔσο τὴν συγ-

γένειαν· εὐνοίᾳ μᾶλλον, ἢ τῷ γάμῳ τιμῶν, τὸ μὲν γὰρ εὔνουν πρὸς χάριν δοκεῖς πεπραχέναι τοῦ γένους. τὸ δὲ γάμῳ συμμαχεῖν συναπτόμενος, αὐτῆς εἶναι παρασκευάζει τῆς ἡδονῆς· τί δὲ χηρείαν ἐρεῖς γυναικὸς, ἔνθα τοῦ συνόντος ἀδελφὸς καταλείπεται; μενέτω πατὴρ τοῖς παρ' ἐκείνου γεγονόσι παισὶ, καὶ μὴ συγχωρείτω τῆς χηρείας αἰσθάνεσθαι· τῶν παρ' αὐτοῦ συμμάχων ἄδηλον ποιείτω τὴν τύχην ἡ χάρις, καὶ τὴν συμφορὰν ἐπικουφιζέτω, τῇ χηρείᾳ ἐπικουρῶν, καὶ μὴ ποιείτω γυναῖκα μὲν δοκεῖν ἀποβλέπειν εἰς ἡδονὰς, αὐτὸν δὲ γάμου συγγενείας ἀλλότριον. ἐπειδὴ συνάπτεται διὰ τὸ γένος. ναὶ φησιν, ἀλλὰ γυναιξὶν ἡδοναὶ πρ.χειροι. κρείττους δὲ τῶν οὐ προσηκόντων οἱ συγγενεῖς, ἀμείνους εἰς παράπαν οἱ συγγενεῖς, καὶ τὸ κατ' αὐτῶν κομιζόμενον ἐκ τοῦ προσήκοντος γίνεται δέος. οὔπω τεθέαμαι τὸ μᾶλλον παρανομεῖν ἐπαινούμενον. τί δὲ τῶν γυναικῶν κατηγορεῖς ἡδονὰς, καὶ ταῦτα βεβαιοῖς συναπτόμενος; αἱ γυναῖκες νοσήσασαι πράττουσιν, οἱ προσήκοντες εἴργουσι, καὶ κωλυταὶ γίνονται τῆς ἐκείνων ἀκρασίας, οὐ σύμμαχοι. καὶ ἔμοιγε δοκεῖ οὐδὲν ἐπαισθάνεσθαι τῶν ἐν τῇ χηρείᾳ κακῶν. τί γὰρ δεῖ τότε χηρείαν μὲν ἐλεεῖν προσποιῆσαι, καὶ παίδων ὀρφανίαν οἰκτείρειν; εἶτα τὰς συμφορὰς ἐπὶ τῷ πλησιάζειν αὐταῖς συναπτόμενος; ὁ χηρείαν εἰσάπαξ μὴ συγχωρῶν, δεύτερον ἐργάζεται, καὶ παῖδας ὀρφανοὺς ὀδυρόμενος, ἑτέρους ὀρφανοὺς πραγματεύεται. ὅσῳ γὰρ γάμον ἐργάζεται δεύτερον, δευτέρας συμφορὰς ἀπεργάζεται. καὶ ποιεῖ γάμον οὐ δυστυχήματος κώλυμα, τὸν ὄντα δυστυχημάτων μᾶλλον ἐπίδοσιν. μέγα τοῖς ἀνθρώποις τὸ γένος, καὶ συγγένεια συνάπτειν οἶδε τὰ διιστάμενα. πατέρες μὲν γὰρ ἐκ τοῦ γάμου καθίστανται, προσέρχονται δὲ δι' ὑμεναίων ἀδελφοὶ, πρὸς ἀλλήλους προσήκοντες, καὶ συζυγίᾳ μιᾷ ὁ πολὺς προέρχεται τῶν σωμάτων κατάλογος. καὶ συμμαχεῖν μὲν ἀλλήλοις, ἣν που δέῃ, προῄρηνται, προανακόπτουσι δὲ τὰς τῶν ἐπιόντων ἐπιβουλὰς, καὶ συγγένεια γίνεται πλείστη ἡ τῆς ἐπικουρίας συντέλεια καλὴ, ὁριζόμενοι βεβαίως τὰ παρὰ νόμον τῆς φύσεως οὐ παραβαίνοντα νόμιμα.

Con-

Conſpectus
Orationum et Declamationum.

Tom. I.

Tom. II.

Tom. III.

Tom.

Tom. IV.

Τοῦ αὐτοῦ Λιβανίου ῥήτορος Μελέται.

περὶ

Λιβανίου Σοφιστοῦ ἐκφράσεις.

Λιβανίου Σοφιστοῦ προγυμνάσματα· Χρεία.

FINIS.

